662478

ΕΡΩΤΙΚΩΝ ΛΟΓΩΝ ΣΥΓΓΡΑΦΕΙΣ

EROTICI SCRIPTORES GRAECI

RECOGNOVIT

RUDOLPHUS HERCHER

TOMUS PRIOR

PARTHENIUM ACHILLEM TATIUM IAMBLICHUM
ANTONIUM DIOGENEM LONGUM XENOPHONTEM EPHESIUM
CONTINENS

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLVIII

ΠΑΡΘΕΝΙΟΥ ΝΙΚΑΕΩΣ

ΠΕΡΙ ΕΡΩΤΙΚΩΝ ΠΑΘΗΜΑΤΩΝ

Ταῦτα ἐν τῷδε τῷ συγγράμματι περιέχεται·

α περὶ Λύρκου
β περὶ Πολυμήλης
γ περὶ Εὐίππης
δ περὶ Οἰνώνης
ε περὶ Λευκίππου
ς περὶ Παλλήνης
ζ περὶ Ἱππαρίνου
η περὶ Ἠρίππης
θ περὶ Πολυκρίτης
ι περὶ Λευκώνης
ια περὶ Βυβλίδος
ιβ περὶ Κάλχου
ιγ περὶ Ἁρπαλύκης
ιδ περὶ Ἀνθέως
ιε περὶ Δάφνης
ις περὶ Λαοδίκης
ιζ περὶ τῆς Περιάνδρου μητρός
ιη περὶ Νεαίρας
ιθ περὶ Παγκρατοῦς
κ περὶ Αἰροῦς
κα περὶ Πεισιδίκης
κβ περὶ Ναννίδος
κγ περὶ Ἰωνίδος
κδ περὶ Ἱππαρίνου
κε περὶ Φαύλλου
κς περὶ Ἀπριάτης
κζ περὶ Ἀλκινόης
κη περὶ Κλείτης
κθ περὶ Δάφνιδος
λ περὶ Κελτίνης
λα περὶ Διμοίτου
λβ περὶ Ἀνθίππης
λγ περὶ Αἰσάονος
λδ περὶ Κορύθου
λε περὶ Εὐλιμένης
λς περὶ Ἀργανθώνης

ΠΑΡΘΕΝΙΟΣ ΚΟΡΝΗΛΙΩι ΓΑΛΛΩι ΧΑΙΡΕΙΝ.

Μάλιστα σοὶ δοκῶν ἁρμόττειν, Κορνήλιε Γάλλε, τὴν ἄθροισιν τῶν ἐρωτικῶν παθημάτων, ἀναλεξάμενος ὡς ὅτι μάλιστα ἐν βραχυτάτοις ἀπέσταλκα. Τὰ γὰρ παρά τισι τῶν ποιητῶν κείμενα, τούτων μὴ αὐτοτελῶς λελεγμένων, κατανοήσεις ἐκ τῶνδε τὰ πλεῖστα, αὐτῷ τε σοὶ παρέσται εἰς ἔπη καὶ ἐλεγείας ἀνάγειν τὰ μάλιστα ἐξ αὐτῶν ἁρμόδια διὰ τὸ μὴ παρεῖναι τὸ περιττὸν αὐτοῖς, ὃ δὴ σὺ μετέρχῃ, χεῖρον περὶ αὐτῶν ἐνενοήθης· οἱονεὶ γὰρ ὑπομνηματίων τρόπον αὐτὰ συνελεξάμεθα, καὶ σοὶ νυνὶ τὴν χρῆσιν ὁμοίαν, ὡς ἔοικε, παρέξεται.

1[a] De Lyrco *Ἄρπασθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν, ὁ πατὴρ αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλλους καθῆκεν, ἐν δὲ αὐτοῖς Λύρκον τὸν Φορωνέως, ὃς μάλα πολλὴν γῆν ἐπιδραμὼν καὶ πολλὴν θάλασσαν περαιωθείς, τέλος, ὡς οὐχ εὗρισκεν, ἀπεῖπε τὸν κάματον· καὶ εἰς μὲν Ἄργος δεδοικὼς τὸν Ἴναχον οὐ μάλα τι κατῆλθεν, ἀφικόμενος δὲ εἰς Καῦνον πρὸς Αἰγιαλὸν γαμεῖ αὐτοῦ τὴν θυγατέρα Εἰλεβίην· ἔφασαν γὰρ τὴν κόρην ἰδοῦσαν τὸν Λύρκον εἰς ἔρωτα*

a In margine Palatini: *ἡ ἱστορία παρὰ Νικαινέτῳ ἐν τῷ Λύρκῳ καὶ Ἀπολλωνίῳ Ῥοδίῳ Καύνῳ*

ἐλθεῖν καὶ πολλὰ τοῦ πατρὸς δεηθῆναι κατασχεῖν αὐτόν· ὁ δὲ τῆς τε βασιλείας μοῖραν οὐκ ἐλαχίστην ἀποδασάμενος καὶ τῶν λοιπῶν ὑπαργμάτων γαμβρὸν εἶχεν. Χρόνου δὲ πολλοῦ προϊόντος ὡς τῷ 2
Λύρκῳ παῖδες οὐκ ἐγίνοντο, ἦλθεν εἰς Διδυμέως χρησόμενος περὶ γονῆς τέκνων· καὶ αὐτῷ θεσπίζει ὁ θεὸς παῖδας φύσειν, ἢ ἂν ἐκ τοῦ ναοῦ χωρισθεὶς πρώτῃ συγγένηται· ὁ δὲ μάλα γεγηθὼς ἠπείγετο πρὸς τὴν γυναῖκα πειθόμενος κατὰ νοῦν [ἂν] αὐτῷ χωρήσειν τὸ μαντεῖον. Ἐπεὶ δὲ πλέων ἀφίκετο ἐς 3
Βύβασσον πρὸς Στάφυλον τὸν Διονύσου, μάλα φιλοφρόνως ἐκεῖνος αὐτὸν ὑποδεχόμενος εἰς πολὺν οἶνον προυτρέψατο, κἀπειδὴ πολλῇ μέθῃ παρεῖτο, συγκατέκλινεν αὐτῷ Ἡμιθέαν τὴν θυγατέρα. Ταῦτα δὲ ἐποίει προπεπυσμένος τὸ τοῦ χρηστηρίου καὶ βουλόμενος ἐκ ταύτης αὐτῷ παῖδας γενέσθαι. Δι' ἔρι- 4
δος μέντοι ἐγένοντο Ῥοιώ τε καὶ Ἡμιθέα αἱ τοῦ Σταφύλου τίς αὐτῶν μιχθείη τῷ ξένῳ· τοσοῦτος ἀμφοτέρας κατέσχε πόθος. Λύρκος δὲ ἐπιγνοὺς τῇ ὑστεραίᾳ οἷα ἐδεδράκει [καὶ] τὴν Ἡμιθέαν ὁρῶν συγκατακεκλιμένην ἐδυσφόρει τε καὶ πολλὰ κατεμέμφετο τὸν Στάφυλον, ὡς ἀπατεῶνα γενόμενον αὐτοῦ· ὕστερον δέ, μηδὲν ἔχων ὅ τι ποιῇ, περιελόμενος τὴν ζώνην δίδωσι τῇ κόρῃ κελεύων ἠβήσαντι τῷ παιδὶ φυλάττειν, ὅπως ἔχῃ γνώρισμα, ὁπόταν ἀφίκοιτο πρὸς τὸν πατέρα αὐτοῦ εἰς Καῦνον, καὶ ἐξέπλευσεν. Αἰγιαλὸς δὲ ὡς ἤσθετο τά τε κατὰ τὸ χρηστήριον καὶ 5
τὴν Ἡμιθέαν, ἤλαυνεν τῆς γῆς αὐτόν. Ἔνθα δὴ μάχη συνεχὴς ἦν τοῖς τε τῷ Λύρκῳ προσθεμένοις καὶ τοῖς τὰ Αἰγιαλοῦ φρονοῦσι· μάλιστα δὲ συνεργὸς ἐγίνετο Εἰλείθυια· οὐ γὰρ ἀπεῖπεν τὸν Λύρκον. Μετὰ δὲ ταῦτα ἀνδρωθεὶς ὁ ἐξ Ἡμιθέας καὶ Λύρ- 6

κου (Βασίλος αὐτῷ ὄνομα) ἦλθεν εἰς τὴν Καυνίαν, καὶ αὐτὸν γνωρίσας ὁ Λύρκος ἤδη γηραιὸς ὢν ἡγεμόνα καθίστησι τῶν σφετέρων λαῶν.

2 (a) De Polymela Ὀδυσσεὺς ἀλώμενος περὶ Σικελίαν καὶ τὴν Τυρρηνῶν καὶ τὴν Σικελῶν θάλασσαν ἀφίκετο πρὸς Αἰόλον εἰς Μελιγουνίδα νῆσον, ὃς αὐτὸν κατὰ κλέος σοφίας τεθηπὼς ἐν πολλῇ φροντίδι εἶχεν· τὰ [δὲ] περὶ Τροίας ἅλωσιν καὶ ὃν τρόπον αὐτοῖς ἐσκεδάσθησαν αἱ νῆες κομιζομένοις ἀπὸ τῆς Ἰλίου διεπυνθάνετο, ξενίζων τε αὐτὸν πολὺν χρόνον διῆγε.

2 Τῷ δ' ἄρα καὶ αὐτῷ ἦν ἡ μονὴ ἡδομένῳ· Πολυμήλη γάρ, τῶν Αἰολίδων τις, ἐρασθεῖσα αὐτοῦ κρύφα συνῆν. Ὡς δὲ τοὺς ἀνέμους ἐγκεκλεισμένους παραλαβὼν ἀπέπλευσεν, ἡ κόρη φωράταί τινα τῶν Τρωϊκῶν λαφύρων ἔχουσα καὶ τούτοις μετὰ πολλῶν δα-

3 κρύων ἐναλινδουμένη. Ἔνθα [δὴ] ὁ Αἰόλος τὸν μὲν Ὀδυσσέα καίπερ οὐ παρόντα ἐκάκισεν, τὴν δὲ Πολυμήλην ἐν νῷ ἔσχεν τίσασθαι. Ἔτυχεν δὲ αὐτῆς ἠρασμένος ὁ ἀδελφὸς Διώρης, ὃς αὐτὴν παραιτεῖταί τε καὶ πείθει τὸν πατέρα αὐτῷ συνοικίσαι.

3 (b) De Euippe Οὐ μόνον δὲ Ὀδυσσεὺς περὶ Αἰόλον ἐξήμαρτεν, ἀλλὰ καὶ μετὰ τὴν ἄλην, ὡς τοὺς μνηστῆρας ἐφόνευσεν, εἰς Ἤπειρον ἐλθὼν χρηστηρίων τινῶν ἕνεκα τὴν Τυρίμμα θυγατέρα ἔφθειρεν Εὐίππην, ὃς αὐτὸν οἰκείως τε ὑπεδέξατο καὶ μετὰ πάσης προθυμίας ἐξένιζε. Παῖς δὲ αὐτῷ γίνεται ἐκ ταύτης Εὐρύαλος.

2 Τοῦτον ἡ μήτηρ, ἐπεὶ εἰς ἥβην ἦλθεν, ἀποπέμπεται εἰς Ἰθάκην, συμβόλαιά τινα δοῦσα ἐν δέλτῳ κατεσφραγισμένα. Τοῦ δὲ Ὀδυσσέως κατὰ τύχην τότε μὴ

---

a ἱστορεῖ Φιλητᾶς Ἑρμῇ

b ἱστορεῖ Σοφοκλῆς Εὐρυάλῳ

παρόντος, Πηνελόπη καταμαθοῦσα ταῦτα καὶ ἄλλως δὲ προπεπυσμένη τὸν τῆς Εὐίππης ἔρωτα, πείθει τὸν Ὀδυσσέα παραγενόμενον, πρὶν ἢ γνῶναί τι τούτων ὡς ἔχει, κατακτεῖναι τὸν Εὐρύαλον ὡς ἐπιβουλεύοντα αὐτῷ. Καὶ Ὀδυσσεὺς μὲν διὰ τὸ μὴ ἐγκρατὴς φῦναι μηδὲ ἄλλως ἐπιεικὴς αὐτόχειρ τοῦ παιδὸς ἐγένετο, καὶ οὐ μετὰ πολὺν χρόνον ἢ τόδε ἀπειργάσθαι πρὸς τῆς αὐτὸς αὐτοῦ γενεᾶς τρωθεὶς ἀκάνθῃ θαλασσίας τρυγόνος ἐτελεύτησεν. 4

Ἀλέξανδρος ὁ Πριάμου βουκολῶν κατὰ τὴν Ἴδην ἠράσθη τῆς Κεβρῆνος θυγατρὸς Οἰνώνης· λέγεται δὲ ταύτην ἔκ του θεῶν κατεχομένην θεσπίζειν περὶ τῶν μελλόντων, καὶ ἄλλως δὲ ἐπὶ συνέσει φρενῶν ἐπὶ μέγα διαβεβοῆσθαι. Ὁ οὖν Ἀλέξανδρος αὐτὴν ἀγαγόμενος παρὰ τοῦ πατρὸς εἰς τὴν Ἴδην, ὅπου αὐτῷ οἱ σταθμοὶ ἦσαν, εἶχε γυναῖκα, καὶ αὐτῇ φιλοφρονούμενος μηδαμὰ * * προλείψειν, ἐν περισσοτέρᾳ τε τιμῇ ἕξειν· ἡ δὲ συνιέναι μὲν ἔφασκεν εἰς τὸ παρὸν ὡς δὴ πάνυ αὐτῆς ἐρῴη, χρόνον μέντοι τινὰ γενήσεσθαι, ἐν ᾧ ἀπαλλάξας αὐτὴν εἰς τὴν Εὐρώπην περαιωθήσεται, κἀκεῖ πτοηθεὶς ἐπὶ γυναικὶ ξένῃ πόλεμον ἐπάξεται τοῖς οἰκείοις· ἐξηγεῖτο δὲ ὡς δεῖ αὐτὸν ἐν τῷ πολέμῳ τρωθῆναι, καὶ ὅτι οὐδεὶς αὐτὸν οἷός τε ἔσται ὑγιῆ ποιῆσαι ἢ αὐτή· ἑκάστοτε δὲ ἐπιλεγομένης αὐτῆς, ἐκεῖνος οὐκ εἶα μεμνῆσθαι. Χρόνου δὲ προϊόντος ἐπειδὴ Ἑλένην ἔγημεν, ἡ μὲν Οἰνώνη μεμφομένη τῶν πραχθέντων τὸν Ἀλέξανδρον εἰς Κεβρῆνα, ὅθενπερ ἦν γένος, ἀπεχώρησεν· ὁ δέ, παρήκοντος ἤδη τοῦ πολέμου, διατοξευόμενος Φιλοκτήτῃ τιτρώσκεται. Ἐν νῷ δὲ λαβὼν τὸ τῆς Οἰνώνης 4 (a) De Oenone 1 2 3 4

a ἱστορεῖ Νίκανδρος ἐν τῷ περὶ ποιητῶν καὶ Κεφάλων ὁ Γεργίθιος ἐν Τρωικοῖς

ἔπος, ὅτε ἔφατο αὐτὸν πρὸς αὐτῆς μόνης οἷόν τε εἶναι ἁλῶναι, κήρυκα πέμπει δεησόμενον, ὅπως ἐπειχθεῖσα ἀκέσηταί τε αὐτὸν καὶ τῶν παροιχομένων λήθην ποιήσηται, ἅτε δὴ κατὰ θεῶν βούλησιν ἀφικομένων· ἡ δὲ αὐθαδέστερον ἀπεκρίνατο ὡς χρὴ παρ' Ἑλένην αὐτὸν ἰέναι κἀκείνης δεῖσθαι, αὐτὴ δὲ μάλιστα ἠπείγετο ἔνθα δὴ ἐπέπυστο κεῖσθαι αὐτόν. Τοῦ δὲ κήρυκος τὰ λεχθέντα παρὰ τῆς Οἰνώνης θᾶττον ἀπαγγείλαντος, ἀθυμήσας ὁ Ἀλέξανδρος ἐξέπνευσεν, Οἰνώνη δὲ ἐπεὶ νέκυν ἤδη κατὰ γῆς κείμενον ἐλθοῦσα εἶδεν, ἀνῳμωξέν τε καὶ πολλὰ κατολοφυραμένη διεχρήσατο ἑαυτήν.

5 (a) De Leucippo

Λεύκιππος δέ, Ξανθίου παῖς, γένος τῶν ἀπὸ Βελλεροφόντου, διαφέρων ἰσχύι μάλιστα τῶν καθ' ἑαυτόν, ἤσκει τὰ πολεμικά. Διὸ πολὺς ἦν λόγος περὶ αὐτοῦ παρά τε Λυκίοις καὶ τοῖς προσεχέσι τούτοις, ἅτε δὴ ἀγομένοις καὶ πᾶν ὁτιοῦν δυσχερὲς πά-
2 σχουσιν. Οὗτος κατὰ μῆνιν Ἀφροδίτης εἰς ἔρωτα ἀφικόμενος τῆς ἀδελφῆς, τέως μὲν ἐκαρτέρει, οἰόμενος ῥᾷστα ἀπαλλάξεσθαι τῆς νόσου· ἐπεὶ μέντοι χρόνου διαγενομένου οὐδὲ ἐπ' ὀλίγον ἐλώφα τὸ πάθος, ἀνακοινοῦται τῇ μητρὶ καὶ πολλὰ καθικέτευε, μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον· εἰ γὰρ αὐτῷ μὴ συν-
3 εργήσειεν, ἀποσφάξειν αὐτὸν ἠπείλει. Τῆς δὲ παραχρῆμα τὴν ἐπιθυμίαν φαμένης τελέσειν, ῥᾴων ἤδη γέγονεν· ἀνακαλεσαμένη δὲ τὴν κόρην συγκατακλίνει τἀδελφῷ, κἀκ τούτου συνῆσαν οὐ μάλα τινὰ δεδοικότες, ἕως τις ἐξαγγέλλει τῷ κατηγγυημένῳ τὴν
4 κόρην μνηστῆρι. Ὁ δὲ τόν τε αὐτοῦ πατέρα παραλαβὼν καί τινας τῶν προσηκόντων, πρόσεισι τῷ Ξαν-

a ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ

θίῳ καὶ τὴν πρᾶξιν καταμηνύει, μὴ δηλῶν τοὔνομα τοῦ Λευκίππου. Ξάνθιος δὲ δυσφορῶν ἐπὶ τοῖς προσηγγελμένοις πολλὴν σπουδὴν ἐτίθετο φωρᾶσαι τὸν φθορέα, καὶ διεκελεύσατο τῷ μηνυτῇ, ὁπότε ἴδοι συνόντας, αὐτῷ δηλῶσαι· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος καὶ αὐτίκα τὸν πρεσβύτην ἐπαγαγομένου τῷ θαλάμῳ, ἡ παῖς, αἰφνιδίου ψόφου γενηθέντος, ἔτετο διὰ θυρῶν, οἰομένη λήσεσθαι τὸν ἐπιόντα· καὶ αὐτὴν ὁ πατὴρ ὑπολαβὼν εἶναι τὸν φθορέα πατάξας μαχαίρᾳ καταβάλλει. Τῆς δὲ περιωδύνου γενομένης καὶ ἀνακραγούσης, ὁ Λεύκιππος ἐπαμύνων αὐτῇ καὶ διὰ τὸ ἐκπεπλῆχθαι μὴ προϊδόμενος ὅστις ἦν, κατακτείνει τὸν πατέρα. Δι' ἣν αἰτίαν ἀπολιπὼν τὴν πάτριον Θετταλοῖς ἐπὶ τοῖς συμβεβηκόσιν εἰς Κρήτην ἠγήσατο, κἀκεῖθεν ἐξελαθεὶς ὑπὸ τῶν προσοίκων εἰς τὴν Ἐφεσίαν ἀφίκετο, ἔνθα χωρίον ᾤκησε τὸ Κρητιναῖον ἐπικληθέν. Τοῦ δὲ Λευκίππου τούτου λέγεται τὴν Μανδρολύτου θυγατέρα Λευκοφρύην ἐρασθεῖσαν προδοῦναι τὴν πόλιν τοῖς πολεμίοις, ὧν ἐτύγχανεν ἡγούμενος ὁ Λεύκιππος, ἑλομένων αὐτὸν κατὰ θεοπρόπιον τῶν δεκατευθέντων ἐκ Φερῶν ὑπ' Ἀδμήτου.

Λέγεται καὶ Σίθωνα τὸν Ὀδομάντων βασιλέα γενῆσαι θυγατέρα Παλλήνην καλήν τε καὶ ἐπίχαριν, καὶ διὰ τοῦτο ἐπὶ πλεῖστον χωρῆσαι [τὸ] κλέος αὐτῆς, φοιτᾶν τε μνηστῆρας οὐ μόνον ἀπ' αὐτῆς [τῆς] Θρᾴκης, ἀλλὰ καὶ ἔτι πρόσωθέν τινας, ἀπό τε Ἰλλυρίδος [καὶ] τῶν ἐπὶ Τανάιδος ποταμοῦ κατῳκημένων· τὸν δὲ Σίθωνα πρῶτον μὲν κελεύειν τοὺς ἀφικνουμένους μνηστῆρας πρὸς μάχην ἰέναι * * τὴν

6 De Pallene

---

a ἱστορεῖ Θεαγένης καὶ Ἡγήσιππος ἐν Παλληνιακοῖς

κόρην ἔχοντα, εἰ δὲ ἥττων φανείη, τεθνάναι, τούτῳ
2 τε τῷ τρόπῳ πάνυ συχνοὺς ἀνῃρήκει. Μετὰ δὲ ὡς
αὐτόν [τε] ἡ πλείων ἰσχὺς ἐπιλελοίπει, ἔγνωστό τε
αὐτῷ τὴν κόρην ἁρμόσασθαι, δύο μνηστῆρας ἀφιγ-
μένους, Δρύαντά τε καὶ Κλεῖτον, ἐκέλευεν, ἆθλον
προκειμένου τῆς κόρης, ἀλλήλοις διαμάχεσθαι, καὶ
τὸν μὲν τεθνάναι, τὸν δὲ περιγενόμενον τήν τε βα-
3 σιλείαν καὶ τὴν παῖδα ἔχειν. Τῆς δὲ ἀφωρισμένης
ἡμέρας παρούσης, ἡ Παλλήνη (ἔτυχε γὰρ ἐρῶσα τοῦ
Κλείτου) πάνυ ὠρῴδει περὶ αὐτοῦ, καὶ σημῆναι
μὲν οὐκ ἐτόλμα τινὶ τῶν ἀμφ' αὐτήν, δάκρυα δὲ
πολλὰ κατεχεῖτο τῶν παρειῶν αὐτῆς, ἕως οὗ ὁ τρο-
φεὺς αὐτῆς πρεσβύτης ἀναπυνθανόμενος καὶ ἐπι-
γνοὺς τὸ πάθος τῇ μὲν θαρρεῖν παρεκελεύσατο, ὡς
4 ἢ βούλεται, ταύτῃ τοῦ πράγματος χωρήσοντος· αὐ-
τὸς δὲ κρύφα ὑπέρχεται τὸν ἡνίοχον τοῦ Δρύαντος,
καὶ αὐτῷ χρυσὸν πολὺν ὁμολογήσας πείθει διὰ τῶν
ἁρματηίων τροχῶν μὴ διεῖναι τὰς περόνας. Ἔνθα
δὴ ὡς ἐς μάχην ἐξῄεσαν καὶ ἤλαυνεν ὁ Δρύας ἐπὶ
τὸν Κλεῖτον, οἱ τροχοὶ περιερρύησαν αὐτῷ τῶν ἁρ-
5 μάτων· καὶ οὕτως πεσόντα αὐτὸν ἐπιδραμὼν ὁ Κλεῖ-
τος ἀναιρεῖ. Αἰσθόμενος δὲ ὁ Σίθων τόν τε ἔρωτα
καὶ τὴν ἐπιβουλὴν τῆς θυγατρός, μάλα μεγάλην πυ-
ρὰν νήσας καὶ ἐπιθεὶς τὸν Δρύαντα οἷος ἦν ἐπικα-
τασφάξειν καὶ τὴν Παλλήνην· φαντάσματος δὲ θείου
γενομένου καὶ ἐξαπιναίως ὕδατος ἐξ οὐρανοῦ πολλοῦ
καταρραγέντος, μετέγνω τε καὶ γάμοις ἀρεσάμενος
τὸν παρόντα Θρᾳκῶν ὅμιλον ἐφίησι τῷ Κλείτῳ τὴν
κόρην ἄγεσθαι.

7[a] Ἐν δὲ τῇ Ἰταλῇ Ἡρακλείᾳ παιδὸς διαφόρου τὴν

---

a ἱστορεῖ Φανίας ὁ Ἐρέσιος

ὄψιν (Ἱππαρῖνος αὐτῷ ὄνομα) τῶν πάνυ δοκίμων De Hipparino
Ἀντιλέων ἠράσθη, ὃς πολλὰ μηχανώμενος οὐδαμῇ δυνατὸς ἦν αὐτὸν ἁρμόσασθαι. περὶ δὲ γυμνάσια διατρίβοντι [πολλὰ] τῷ παιδὶ προσρυεὶς ἔφη τοσοῦτον αὐτοῦ πόθον ἔχειν, ὥστε πάντα πόνον ἀνατλῆναι, καὶ ὅ τι ἂν κελεύῃ μηδενὸς αὐτὸν ἁμαρτήσεσθαι. Ὁ δὲ ἄρα κατειρωνευόμενος προσέταξεν αὐτῷ ἀπό 2
τινος ἐρυμνοῦ χωρίου, ὃ μάλιστα ἐφρουρεῖτο ὑπὸ τοῦ τῶν Ἡρακλεωτῶν τυράννου, τὸν κώδωνα κατακομίσαι, πειθόμενος μὴ [ἄν] ποτε τελέσειν αὐτὸν τόνδε τὸν ἆθλον. Ἀντιλέων δὲ κρύφα τὸ φρούριον ὑπελθὼν καὶ λοχήσας τὸν φύλακα τοῦ κώδωνος κατακαίνει, κἀπειδὴ ἀφίκετο πρὸς τὸ μειράκιον ἐπιτελέσας τὴν ὑπόσχεσιν, ἐν πολλῇ αὐτῷ εὐνοίᾳ ἐγένετο, καὶ ἐκ τοῦδε μάλιστα ἀλλήλους ἐφίλουν. Ἐπεὶ δὲ ὁ τύραννος τῆς ὥρας ἐγλίχετο 3
τοῦ παιδὸς καὶ οἷός [τε] ἦν αὐτὸν βίᾳ προσάγεσθαι, δυσανασχετήσας ὁ Ἀντιλέων ἐκείνῳ μὲν παρεκελεύσατο μὴ ἀντιλέγειν κινδυνεύειν, αὐτὸς δὲ οἴκοθεν ἐξιόντα τὸν τύραννον προσδραμὼν ἀνεῖλεν· καὶ τοῦτο δράσας δρόμῳ ἵετο καὶ διέφυγεν ἄν, εἰ μὴ προβάτοις συνδεδεμένοις ἀμφιπεσὼν ἐχειρώθη. Διὸ 4
τῆς πόλεως εἰς τἀρχαῖον ἀποκαταστάσης, ἀμφοτέροις παρὰ τοῖς Ἡρακλεώταις ἐτέθησαν εἰκόνες χαλκαῖ, καὶ νόμος ἐγράφη, μηδένα ἐλαύνειν τοῦ λοιποῦ πρόβατα συνδεδεμένα.

Ὅτε δὲ οἱ Γαλάται κατέδραμον τὴν Ἰωνίαν καὶ 8 (a)
τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ Θεσμοφο- De Herippe
ρίων ὄντων καὶ συνηθροισμένων γυναικῶν ἐν τῷ

a Ἱστορεῖ Ἀριστόδημος ὁ Νυσαεὺς ἐν α' Ἱστοριῶν περὶ τούτων, πλὴν ὅτι τὰ ὀνόματα ὑπαλλάττει, ἀντὶ Ἡρίππης καλῶν Γυθυμίαν, τὸν δὲ βάρβαρον Κανάραν

ἱερῷ, ὃ βραχὺ τῆς πόλεως ἀπέχει, ἀποσπασθέν τι μέρος τοῦ βαρβαρικοῦ διῆλθεν εἰς τὴν Μιλησίαν
2 καὶ ἐξαπιναίως ἐπιδραμὸν εἶλεν τὰς γυναῖκας. Ἔνθα δὴ τὰς μὲν ἐρρύσαντο πολὺ ἀργύριόν τε καὶ χρυσίον ἀντιδόντες, τινὲς δὲ τῶν βαρβάρων αὐταῖς οἰκειω- 5
θέντων ἀπῆχθησαν, ἐν δὲ αὐταῖς καὶ Ἠρίππη, γυνὴ Ξάνθου, ἀνδρὸς ἐν Μιλήτῳ πάνυ δοκίμου γένους τε
3 τοῦ πρώτου, παιδίον ἀπολιποῦσα διετές. Ταύτης πολὺν πόθον ἔχων ὁ Ξάνθος ἐξηργυρίσατο μέρος τῶν ὑπαργμάτων, καὶ κατασκευασάμενος χρυσοῦς δισχι- 10
λίους τὸ μὲν πρῶτον εἰς Ἰταλίαν ἐπεραιώθη, ἐντεῦθεν δὲ ὑπὸ ἰδιοξένων τινῶν κομιζόμενος εἰς Μασσαλίαν ἀφικνεῖται κἀκεῖθεν εἰς τὴν Κελτικήν· καὶ προσελθὼν τῇ οἰκίᾳ, ἔνθα αὐτοῦ συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ Κελτοῖς δοξαζομένων, ὑποδο- 15
4 χῆς ἐδεῖτο τυχεῖν. Τῶν δὲ διὰ φιλοξενίαν ἑτοίμως αὐτὸν ὑποδεξαμένων, εἰσελθὼν ὁρᾷ τὴν γυναῖκα, καὶ αὐτὸν ἐκείνη τῷ χεῖρε ἀμφιβαλοῦσα μάλα φιλοφρόνως προσηγάγετο. Παραχρῆμα δὲ τοῦ Κελτοῦ παραγενομένου, διεξῆλθεν αὐτῷ τήν τε ἄλην τάν- 20
δρὸς ἡ Ἠρίππη, καὶ ὡς αὐτῆς ἕνεκα ἥκοι λύτρα καταθησόμενος· ὁ δὲ ἠγάσθη τῆς ψυχῆς τὸν Ξάνθον, καὶ αὐτίκα συνουσίαν ποιησάμενος τῶν μάλιστα
5 προσηκόντων ἐξένιζεν αὐτόν. παρατείνοντος δὲ τοῦ πότου, τὴν γυναῖκα συγκατακλίνει αὐτῷ καὶ δι' ἐρ- 25
μηνέως ἐπυνθάνετο πηλίκην οὐσίαν εἴη κεκτημένος τὴν σύμπασαν· τοῦ δὲ εἰς ἀριθμὸν χιλίων χρυσῶν φήσαντος, ὁ βάρβαρος εἰς τέσσαρα μέρη κατανέμειν αὐτὸν ἐκέλευε, καὶ τὰ μὲν τρία ὑπεξαιρεῖσθαι αὐτῷ, γυναικί, παιδίῳ, τὸ δὲ τέταρτον ἀπολείπειν ἄποινα 30
6 τῆς γυναικός. Ὡς δὲ ἐς κοιτόν ποτε ἀπετράποντο, πολλὰ κατεμέμφετο τὸν Ξάνθον ἡ γυνὴ διὰ τὸ μὴ

ἔχοντα τοσοῦτο χρυσίον ὑποσχέσθαι τῷ βαρβάρῳ, κινδυνεύσειν τε αὐτόν, εἰ μὴ ἐμπεδώσειε τὴν ἐπαγγελίαν· τοῦ δὲ φήσαντος ἐν ταῖς κρηπῖσι τῶν παίδων καὶ ἄλλους τινὰς χιλίους χρυσοῦς κεκρύφθαι διὰ τὸ μὴ ἐλπίζειν ἐπιεικῆ τὸν βάρβαρον καταλήψεσθαι, δεήσειν δὲ πολλῶν λύτρων, ἡ γυνὴ τῇ ὑστεραίᾳ τῷ Κελτῷ καταμηνύει τὸ πλῆθος τοῦ χρυσοῦ καὶ παρεκελεύετο κτεῖναι τὸν Ξάνθον, φάσκουσα πολὺ μᾶλλον αἱρεῖσθαι αὐτὸν τῆς τε πατρίδος καὶ τοῦ παιδίου, τὸν μὲν γὰρ Ξάνθον παντάπασιν ἀποστυγεῖν. Τῷ δὲ ἄρα οὐ πρὸς ἡδονὴν ἦν τὰ λεχθέντα, ἐν νῷ δὲ εἶχεν αὐτὴν τίσασθαι. Ἐπειδὴ δὲ ὁ Ξάνθος ἐσπούδαζεν ἀπιέναι, μάλα φιλοφρόνως προὔπεμπεν ὁ Κελτὸς ἐπαγόμενος καὶ τὴν Ἡρίππην. ὡς δὲ ἐπὶ τοὺς ὅρους τῆς Κελτῶν χώρας ἀφίκοντο, θυσίαν ὁ βάρβαρος ἔφη τελέσαι βούλεσθαι πρὶν αὐτοὺς ἀπ' ἀλλήλων χωρισθῆναι, καὶ κομισθέντος ἱερείου, τὴν Ἡρίππην ἐκέλευεν ἀντιλαβέσθαι· τῆς δὲ κατασχούσης, ὡς καὶ ἄλλοτε σύνηθες αὐτῇ, ἐπανατεινάμενος τὸ ξίφος καθικνεῖται καὶ τὴν κεφαλὴν αὐτῆς ἀφαιρεῖ, τῷ τε Ξάνθῳ παρεκελεύετο μὴ δυσφορεῖν, ἐξαγγείλας τὴν ἐπιβουλὴν αὐτῆς, ἐπέτρεπέ τε τὸ χρυσίον ἅπαν κομίζειν αὐτῷ.

Καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μιλήσιοι ἔβησαν[a] σὺν ἐπικούροις καὶ τεῖχος πρὸ τῆς πόλεως ἐνοικοδομησάμενοι τήν τε χώραν ἔτεμνον καὶ καθείρξαντες τοὺς Ναξίους ἐφρούρουν, τότε παρθένος ἀπολειφθεῖσα κατά τινα δαίμονα ἐν Δηλίῳ ἱερῷ, ὃ πλησίον τῆς πόλεως κεῖται, (Πολυκρίτη ὄνομα αὐτῇ) De Polycrite

a ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς α' Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ' [[τῶν]] Πρὸς τοὺς καιρούς

τὸν τῶν Ἐρυθραίων ἡγεμόνα Διόγνητον εἷλεν, ὃς οἰκείαν δύναμιν ἔχων συνεμάχει τοῖς Μιλησίοις. 2 Πολλῷ δὲ συνεχόμενος πόθῳ διεπέμπετο πρὸς αὐτήν· οὐ γὰρ δή γε θεμιτὸν ἦν ἱκέτιν οὖσαν ἐν τῷ ἱερῷ βιάζεσθαι· ἡ δ' ἕως μέν τινος οὐ προσίετο τοὺς παραγινομένους· ἐπεὶ μέντοι πολὺς ἐνέκειτο, οὐκ ἔφη πεισθήσεσθαι αὐτῷ, εἰ μὴ ὀμόσειεν ὑπηρετήσειν 3 αὐτῇ ὅ τι ἂν βουληθῇ. Ὁ δὲ Διόγνητος οὐδὲν ὑποτοπήσας τοιόνδε μάλα προθύμως ὤμοσεν Ἄρτεμιν χαριεῖσθαι αὐτῇ ὅ τι ἂν προαιρῆται· κατομοσαμένου δὲ ἐκείνου, λαβομένη τῆς χειρὸς αὐτοῦ ἡ Πολυκρίτη μιμνήσκεται περὶ προδοσίας τοῦ χωρίου, καὶ πολλὰ καθικετεύει αὐτήν τε οἰκτείρειν καὶ τὰς συμ- 4 φορὰς τῆς πόλεως. Ὁ [δὲ] Διόγνητος ἀκούσας τοῦ λόγου ἐκτός τε ἐγένετο αὐτοῦ καὶ σπασάμενος τὴν μάχαιραν ὥρμησεν διεργάσασθαι τὴν κόρην. Ἐν νῷ μέντοι λαβὼν τὸ εὔγνωμον αὐτῆς καὶ ἅμα ὑπ' ἔρωτος κρατούμενος (ἔδει γάρ, ὡς ἔοικε, Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κακῶν) τότε μὲν οὐδὲν ἀπεκρίνατο, βουλευόμενος τί ποιητέον εἴη· τῇ δ' 5 ὑστεραίᾳ καθωμολογήσατο προδώσειν. κἂν τῷδε τοῖς Μιλησίοις ἑορτὴ μετὰ τρίτην ἡμέραν Θαργήλια ἐπήει, ἐν ᾗ πολύν τε ἄκρατον ἐμφοροῦνται καὶ τὰ πλείστου ἄξια καταναλίσκουσι· τότε [οὖν] παρεσκευάζετο προδιδόναι τὸ χωρίον· καὶ εὐθέως διὰ τῆς Πολυκρίτης ἐνθέμενος εἰς ἄρτον μολυβδίνην ἐπιστολὴν * * τοῖς ἀδελφοῖς αὐτῆς (ἐτύγχανον δὲ ἄρα τῆς πόλεως ἡγεμόνες οὗτοι) ὅπως εἰς ἐκείνην τὴν νύκτα παρασκευασάμενοι ἥκωσιν· σημεῖον δὲ αὐτοῖς ἀνα- 6 σχήσειν αὐτὸς ἔφη λαμπτῆρα. Καὶ ἡ Πολυκρίτη δὲ τῷ κομίζοντι τὸν ἄρτον φράζειν ἐκέλευε τοῖς ἀδελφοῖς μὴ ἐνδοιασθῆναι, ὡς τῆς πράξεως ἐπὶ τέλος ἀχθησο-

μένης, εἰ μὴ ἐκεῖνοι ἐνδοιασθεῖεν. Τοῦ δὲ ἀγγέλου ταχέως εἰς τὴν πόλιν ἐλθόντος, Πολυκλῆς, ὁ τῆς Πολυκρίτης ἀδελφός, ἐν πολλῇ φροντίδι ἐγίνετο εἴτε πεισθείη τοῖς ἐπεσταλμένοις εἴτε μή· τέλος δέ, ὡς 7
ἐδόκει πᾶσι πείθεσθαι καὶ νὺξ ἐπῆλθεν, ἐν ᾗ προσετέτακτο παραγίνεσθαι, πολλὰ κατευξάμενοι τοῖς θεοῖς, εἰσδεχομένων αὐτοὺς τῶν ἀμφὶ Διόγνητον, ἐσπίπτουσιν εἰς τὸ τεῖχος τῶν Μιλησίων οἱ μέν τινες κατὰ τὴν ἀνεῳγμένην πυλίδα, οἱ δὲ καὶ τὸ τεῖχος ὑπερελθόντες, ἀθρόοι τε ἐντὸς γενόμενοι κατέκαινον τοὺς Μιλησίους. ἔνθα δὴ κατ' ἄγνοιαν ἀποθνήσκει καὶ Διόγνητος. Τῇ δὲ ἐπιούσῃ οἱ Νάξιοι πάντες πολὺν 8
πόθον εἶχον θεάσασθαι τὴν κόρην· καὶ οἱ μέν τινες αὐτὴν μίτραις ἀνέδουν, οἱ δὲ ζώναις, αἷς βαρηθεῖσα ἡ παῖς διὰ πλῆθος τῶν ἐπιρριπτουμένων ἀπεπνίγη. Καὶ αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πεδίῳ, πάντα ἑκατὸν ἐναγίσαντες αὐτῇ· φασὶ δέ τινες καὶ Διόγνητον ἐν τῷ αὐτῷ καῆναι, ἐν ᾧ καὶ ἡ παῖς, σπουδασάντων [τῶν] Ναξίων.

Ἐν δὲ Θεσσαλίᾳ Κυάνιππος, υἱὸς Φάρακος, μάλα 10[a]
καλῆς παιδὸς εἰς ἐπιθυμίαν Λευκώνης ἐλθών, De Leucone
παρὰ τῶν πατέρων αἰτησάμενος αὐτὴν ἠγάγετο γυναῖκα. Ἦν δὲ φιλοκύνηγος· [καὶ] μεθ' ἡμέραν μὲν ἐπί τε λέοντας καὶ κάπρους ἐφέρετο, νύκτωρ δὲ κατῄει πάνυ κεκμηκὼς πρὸς τὴν κόρην, ὥστε μηδὲ διὰ λόγων ἔσθ' ὅτε γινόμενον αὐτῇ εἰς βαθὺν ὕπνον καταφέρεσθαι. Ἡ δὲ ἄρα ὑπό τε ἀνίας καὶ ἀλγη- 2
δόνων συνεχομένη ἐν πολλῇ ἀμηχανίᾳ ἦν σπουδήν τε ἐποιεῖτο κατοπτεῦσαι τὸν Κυάνιππον, ὅ τι ποιῶν ἥδοιτο τῇ κατ' ὄρος διαίτῃ· αὐτίκα δὲ εἰς γόνυ ζω-

---

[a] υ

σαμένη κρύφα τῶν θεραπαινίδων εἰς τὴν ὕλην κατα-
3 δύνει. Αἱ δὲ τοῦ Κυανίππου κύνες ἐδίωκον μὲν
ἔλαφον, οὖσαι δὲ οὐ πάνυ κτίλοι, ἅτε δὴ ἐκ πολλοῦ
ἠγριωμέναι, ὡς ὠσφρήσαντο τῆς κόρης, ἐπηνέχθη-
σαν αὐτῇ, καὶ μηδενὸς παρόντος πᾶσαν διεσπάραξαν.
καὶ ἡ μὲν διὰ πόθον ἀνδρὸς κουριδίου ταύτῃ τέλος
4 ἔσχε· Κυάνιππος δέ, ὡς ἐπελθὼν κατέλαβε λελω-
βημένην τὴν Λευκώνην, μεγάλου τε ἄχους ἐπληρώθη,
καὶ ἀνακαλεσάμενος τοὺς ἀμφ' αὐτόν, ἐκείνην μὲν
πυρὰν νηήσας ἐπέθετο, αὐτὸς δὲ πρῶτον μὲν τὰς
κύνας ἐπικατέσφαξε τῇ πυρᾷ, ἔπειτα δὲ πολλὰ ἀπο-
δυράμενος τὴν παῖδα διεχρήσατο ἑαυτόν.

11[a] Περὶ δὲ Καύνου καὶ Βυβλίδος, τῶν Μιλήτου
De Byblide παίδων, διαφόρως ἱστορεῖται. Νικαίνετος μὲν
γάρ φησι τὸν Καῦνον ἐρασθέντα τῆς ἀδελφῆς, ὡς
οὐκ ἔλεγε τοῦ πάθους, ἀπολιπεῖν τὴν οἰκίαν καὶ
ὁδεύσαντα πόρρω τῆς οἰκείας χώρας πόλιν τε κτίσαι
καὶ τοὺς ἀπεσκεδασμένους τότε Ἴωνας ἐνοικίσαι· λέ-
γει δὲ ἔπεσι τοῖσδε·

αὐτὰρ ὅ γε προτέρωσε κιὼν Οἰκούσιον ἄστυ
κτίσσατο, Τραγασίῃ δὲ Κελαινοῦς εἴχετο παιδί,
ἥ οἱ Καῦνον ἔτικτεν ἀεὶ φιλέοντα θέμιστας·
γείνατο δὲ ῥαδαλῆς ἐναλίγκιον ἀρκεύθοισι
Βυβλίδα, τῆς ἤτοι ἀέκων ἠράσσατο Καῦνος.
βῆ δεφερένδιος φεύγων ὀφιώδεα Κύπρον
καὶ Κάπρος ὑλιγενὲς καὶ Κάρια ἱρὰ λοετρά·
ἔνθ' ἤτοι πτολίεθρον ἐδείματο πρῶτος Ἰώνων.
αὐτὴ δὲ γνωτή, ὀλολυγόνος οἶτον ἔχουσα,
Βυβλὶς ἀποπρὸ πυλῶν Καύνου ὠδύρατο νόστον.

---

a ἱστορεῖ Ἀριστόκριτος περὶ Μιλήτου καὶ Ἀπολλώνιος
ὁ Ῥόδιος Καύνου κτίσει

οἱ δὲ πλείους τὴν Βυβλίδα φασὶν ἐρασθεῖσαν τοῦ 2
Καύνου λόγους αὐτῷ προσφέρειν καὶ δεῖσθαι μὴ
περιιδεῖν αὐτὴν εἰς πᾶν κακοῦ προελθοῦσαν· ἀπο-
στυγήσαντα δὲ οὕτως τὸν Καῦνον περαιωθῆναι εἰς
τὴν τότε ὑπὸ Λελέγων κατεχομένην γῆν, ἔνθα κρήνη
Ἐχενηίς, πόλιν τε κτίσαι τὴν ἀπ' αὐτοῦ κληθεῖσαν
Καῦνον· τὴν δὲ ἄρα ὑπὸ τοῦ πάθους μὴ ἀνιεμένην,
πρὸς δὲ καὶ δοκοῦσαν αἰτίαν γεγονέναι Καύνῳ τῆς
ἀπαλλαγῆς, ἀναψαμένην ἀπό τινος δρυὸς τὴν μί-
τραν ἐνθεῖναι τὸν τράχηλον. λέγεται δὲ καὶ παρ'
ἡμῖν οὕτως·

ἡ δ' ὅτε δὴ ὀλοοῖο κασιγνήτου νόον ἔγνω,
κλαῖεν ἀηδονίδων θαμινώτερον, αἵτ' ἐνὶ βήσσης
Σιθονίῳ κούρῳ πέρι μυρίον αἰάζουσιν·
καί ῥα κατὰ στυφελοῖο σαρωνίδος αὐτίκα μίτρην
ἁψαμένη, δειρὴν ἐνεθήκατο, ταὶ δ' ἐπ' ἐκείνῃ
βεύδεα παρθενικαὶ Μιλησίδες ἐρρήξαντο.

φασὶ δέ τινες καὶ ἀπὸ τῶν δακρύων κρήνην ῥυῆναι
ἰδίᾳ τὴν καλουμένην Βυβλίδα.

Λέγεται δὲ καὶ Κίρκης, πρὸς ἣν Ὀδυσσεὺς ἦλθε, 12[a]
Δαύνιόν τινα Κάλχον ἐρασθέντα τήν τε βασι- De Calcho
λείαν ἐπιτρέπειν τὴν Δαυνίων αὐτῇ καὶ ἄλλα πολλὰ
μειλίγματα παρέχεσθαι· τὴν δὲ ὑποκαομένην Ὀδυσ-
σέως (τότε γὰρ ἐτύγχανε παρὼν) ἀποστυγεῖν τε αὐ-
τὸν καὶ κωλύειν ἐπιβαίνειν τῆς νήσου. Ἐπεὶ μέντοι 2
οὐκ ἀνίει φοιτῶν καὶ διὰ στόμα ἔχων τὴν Κίρκην,
μάλα ἀχθεσθεῖσα ὑπέρχεται αὐτόν, καὶ αὐτίκα εἰσκα-
λεσαμένη τράπεζαν αὐτῷ παντοδαπῆς θοίνης πλή-
σασα παρατίθησιν· ἦν δ' ἄρα φαρμάκων ἀνάπλεω
τὰ ἐδέσματα, φαγών τε ὁ Κάλχος εὐθέως παραπλὴξ

a ν ὁ

γίνεται, καὶ αὐτὸν ἤλασεν ἐς συφεούς. Ἐπεὶ μέντοι μετὰ χρόνον Λαύνιος στρατὸς ἐπῄει τῇ νήσῳ ζήτησιν ποιούμενος τοῦ Κάλχου, μεθίησιν αὐτόν, πρότερον ὁρκίοις καταδησαμένη, μὴ ἀφίξεσθαί ποτε εἰς τὴν νῆσον μήτε μνησικακίας μήτε ἄλλου του χάριν.

13[a] De Harpalyce. Κλύμενος δὲ ὁ Τελέως ἐν Ἄργει γήμας Ἐπικάστην γεννᾷ παῖδας ἄρρενας μὲν Ἴδαν καὶ Θήραγρον, θυγατέρα δὲ Ἁρπαλύκην πολύ τι τῶν ἡλίκων θηλειῶν κάλλει διαφέρουσαν. Ταύτης εἰς ἔρωτα ἐλθὼν χρόνον μέν τινα ἐκαρτέρει καὶ περιῆν τοῦ παθήματος· ὡς δὲ πολὺ μᾶλλον αὐτὸν ὑπέρρει τὸ νόσημα, τότε διὰ τῆς τροφοῦ κατεργασάμενος τὴν κόρην λαθραίως αὐτῇ συνῆλθεν. Ἐπεὶ μέντοι γάμου καιρὸς ἦν καὶ παρῆν Ἀλάστωρ, εἷς τῶν Νειλειδῶν, ἀξόμενος αὐτήν, ᾧ καθωμολόγητο, παραχρῆμα μὲν ἐνεχείρισε, πάνυ λαμπροὺς γάμους δαίσας· μεταγνοὺς δὲ οὐ πολὺ ὕστερον διὰ τὸ ἔκφρων εἶναι μεταθεῖ τὸν Ἀλάστορα, καὶ περὶ μέσην ὁδὸν αὐτῶν ἤδη ὄντων, ἀφαιρεῖται τὴν κόρην, ἀγαγόμενός τε εἰς Ἄργος ἀναφανδὸν αὐτῇ ἐμίσγετο. Ἡ δὲ δεινὰ καὶ ἔκνομα πρὸς τοῦ πατρὸς δόξασα πεπονθέναι τὸν νεώτερον ἀδελφὸν κατακόπτει, καί τινος ἑορτῆς καὶ θυσίας παρ' Ἀργείοις τελουμένης, ἐν ᾗ δημοσίᾳ πάντες εὐωχοῦνται, τότε σκευάσασα τὰ κρέα τοῦ παιδὸς παρατίθησι τῷ πατρί. Καὶ ταῦτα δράσασα αὐτὴ μὲν εὐξαμένη θεοῖς ἐξ ἀνθρώπων ἀπαλλαγῆναι μεταβάλλει τὴν ὄψιν εἰς χαλκίδα ὄρνιν· Κλύμενος δέ, ὡς ἔννοιαν ἔλαβε τῶν συμφορῶν, διαχρῆται ἑαυτόν.

a Ἱστορεῖ Εὐφορίων Θρᾳκὶ καὶ Ἀρητάδας

Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς ἐκ βασιλείου 14[a]
γένους ὡμήρευσε παρὰ Φοβίῳ, ἐνὶ τῶν Νειλει- De Antheo
δῶν, τότε κρατοῦντι Μιλησίων. Τούτου Κλεόβοια,
ἣν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνή, ἐρα-
σθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν
παῖδα· ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο, ποτὲ μὲν φάσκων
ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία Ξένιον
καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κα-
κῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτόν, ἀνηλεῆ τε
καὶ ὑπέραυχον ἀποκαλουμένη. Ἔνθα δὴ χρόνου 2
προϊόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη,
πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα
ἐδεῖτο τοῦ Ἀνθέως ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν.
τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶ-
σθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον· καὶ
ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δὲ ἄρα ἐννοηθεῖσα ὡς
δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφο-
δρῷ ἔρωτι τοῦ παιδός, ἀναρτᾷ ἑαυτήν. Φοβίος μέν- 3
τοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε
Φρυγίῳ τῆς ἀρχῆς. Ἔφασαν δέ τινες οὐ πέρδικα,
σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ
Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε [ἐν Ἀπόλ-
λωνι]·

παῖς Ἱπποκλῆος Φοβίος Νειληιάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ' ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἡλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεύς,
ὅρκι' ὁμηρείης πίστ' ἐπιβωσάμενος,

---

a Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά

πρωθήβης, ἔαρος θαλερώτερος (οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱόν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις),
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων·
καί ἑ καθαψαμένη γούνων ἀθέμιστα τελέσσαι
πείσει· ὁ δὲ Ζῆνα Ξείνιον αἰδόμενος
σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα θαλείης
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος·
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεύς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
"γαυλός μοι χρύσεος· φρείατος ἐκ μυχάτου
νῦν ὅ γ' ἀνελκόμενος διὰ μὲν κακὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς Νύμφας ᾤχετ' ἐφυδριάδας·
πρὸς σὲ θεῶν, ἀλλ' εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηιδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης."
ὣδε μὲν ἡ Φοβίου Νειλιάδαο δάμαρ
φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἶμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμενῆς·
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
καὶ τόθ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος
ἠρίον ὀγκώσει τὸ μεμορμένον, ἡ δ' ὑπὸ δειρὴν
ἁψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

Περὶ δὲ τῆς Ἀμύκλα θυγατρὸς τάδε λέγεται Δά- 15[a]
φνης· αὕτη τὸ μὲν ἄπαν εἰς πόλιν οὐ κατῄει, οὐδ' De Daphne
ἀνεμίσγετο ταῖς λοιπαῖς παρθένοις· παρασκευασαμένη
δὲ κύνας ἐθήρευεν ἔστιν ὅτε καὶ ἐν τῇ Λακωνικῇ
καὶ ἐπιφοιτῶσα εἰς τὰ λοιπὰ τῆς Πελοποννήσου ὄρη·
δι' ἣν αἰτίαν μάλα καταθύμιος ἦν Ἀρτέμιδι, καὶ
αὐτὴν εὔστοχα βάλλειν ἐποίει. Ταύτης περὶ τὴν 2
Ἠλιδίαν ἀλωμένης Λεύκιππος, Οἰνομάου παῖς, εἰς
ἐπιθυμίαν ἦλθε, καὶ τὸ μὲν ἄλλως πως αὐτῆς πειρᾶ-
σθαι ἀπέγνω, ἀμφιεσάμενος δὲ γυναικείας ἀμπεχόνας
καὶ ὁμοιωθεὶς κόρῃ συνεθήρα αὐτῇ. Ἔτυχε δέ πως 3
αὐτῇ κατὰ νοῦν γενόμενος, οὐ μεθίει τε αὐτὸν ἀμφι-
πολεύουσά τε καὶ ἐξηρτημένη πᾶσαν ὥραν. Ἀπόλλων
δὲ καὶ αὐτὸς τῆς παιδὸς πόθῳ καόμενος, ὀργῇ τε καὶ
φθόνῳ εἶχετο τοῦ Λευκίππου συνόντος, καὶ ἐπὶ νοῦν
αὐτῇ βάλλει σὺν ταῖς λοιπαῖς παρθένοις ἐπὶ κρήνην
ἐλθούσαις λούεσθαι. Ἔνθα δὴ ὡς ἀφικόμεναι ἀπεδι- 4
δύσκοντο καὶ ἑώρων τὸν Λεύκιππον μὴ βουλόμενον,
περιέρρηξαν αὐτόν· μαθοῦσαι δὲ τὴν ἀπάτην καὶ ὡς
ἐπεβούλευεν αὐταῖς, πᾶσαι μεθίεσαν εἰς αὐτὸν τὰς
αἰχμάς. Καὶ ὁ μὲν δὴ κατὰ θεῶν βούλησιν ἀφανὴς 5
γίνεται, Ἀπόλλωνα δὲ Δάφνη ἐπ' αὐτὴν ἰόντα προϊ-
δομένη, μάλα ἐρρωμένως ἔφευγεν· ὡς δὲ συνεδιώ-
κετο, παρὰ Διὸς αἰτεῖται ἐξ ἀνθρώπων ἀπαλλαγῆναι,
καὶ αὐτήν φασι γενέσθαι τὸ δένδρον τὸ ἐπικληθὲν
ἀπ' ἐκείνης δάφνην.

Ἐλέχθη δὲ καὶ περὶ Λαοδίκης ὅδ' ὁ λόγος, ὡς 16[b]
ἄρα παραγενομένων ἐπὶ Ἑλένης ἀπαίτησιν Διο- De Laodice

---

a ἡ ἱστορία παρὰ Διοδώρῳ τῷ Ἐλαΐτῃ ἐν ἐλεγείαις καὶ Φυλάρχῳ ἐν ιε'

b ἱστορεῖ Ἡγήσιππος Μιλησιακῶν α'

μήδους καὶ Ἀκάμαντος πολλὴν ἐπιθυμίαν εἶχεν μιγῆναι παντάπασι νέῳ ὄντι Ἀκάμαντι· καὶ μέχρι μέν τινος ὑπ' αἰδοῦς κατέχεσθαι, ὕστερον δὲ νικωμένην ὑπὸ τοῦ πάθους ἀνακοινώσασθαι Περσέως γυναικὶ (Φιλοβίη αὐτῇ ὄνομα) παρακαλεῖν τε αὐτὴν ὅσον οὐκ
2 ἤδη διοιχομένῃ ἀρήγειν αὐτῇ. Κατοικτείρουσα δὲ τὴν συμφορὰν τῆς κόρης δεῖται τοῦ Περσέως ὅπως συνεργὸς αὐτῇ γένηται, ἐκέλευέ τε ξενίαν καὶ φιλότητα τίθεσθαι πρὸς τὸν Ἀκάμαντα. Περσεὺς δὲ τὸ μὲν καὶ τῇ γυναικὶ βουλόμενος ἁρμόδιος εἶναι, τὸ δὲ καὶ τὴν Λαοδίκην οἰκτείρων, πάσῃ μηχανῇ τὸν Ἀκάμαντα εἰς Ἄρδανον ἀφικέσθαι πείθει (καθίστατο γὰρ ὕπαρχος τοῦ χωρίου), ἦλθε [δὲ] καὶ Λαοδίκη ὡς εἰς ἑορτήν τινα σὺν ἄλλαις τῶν Τρῳάδων ἔτι παρθέ-
3 νος οὖσα. Ἔνθα δὴ παντοδαπὴν θοίνην ἑτοιμασάμενος συγκατακλίνει καὶ τὴν Λαοδίκην αὐτῷ, φάμενος μίαν εἶναι τῶν τοῦ βασιλέως παλλακίδων. Καὶ Λαοδίκη μὲν οὕτως ἐξέπλησε τὴν ἐπιθυμίαν, χρόνου δὲ προϊόντος γίνεται τῷ Ἀκάμαντι υἱὸς Μούνιτος ὃν ὑπ' Αἴθρᾳ τραφέντα μετὰ Τροίας ἅλωσιν διεκόμισεν ἐπ' οἶκου· καὶ αὐτὸν θηρεύοντα ἐν Ὀλύνθῳ τῆς Θρᾴκης ὄφις ἀνεῖλεν.

17 Λέγεται δὲ καὶ Περίανδρον τὸν Κορίνθιον τὴν μὲν
De Periandri matre ἀρχὴν ἐπιεικῆ τε καὶ πρᾶον εἶναι, ὕστερον δὲ φονικώτατον γενέσθαι δι' αἰτίαν τήνδε. ἡ μήτηρ αὐτοῦ κομιδῇ νέου πολλῷ [πόθῳ] κατείχετο, καὶ τέως [μὲν] ἀνεπίμπλατο τῆς ἐπιθυμίας περιπλεκομένη τῷ παιδί· προϊόντος δὲ τοῦ χρόνου τὸ πάθος ἐπὶ μεῖζον ηὔξετο, καὶ κατέχειν τὴν νόσον οὐκέτι οἵα τε ἦν, ἕως ἀποτολμήσασα προσφέρει λόγους τῷ παιδὶ ὡς αὐτοῦ γυνή τις ἐρῴη τῶν πάνυ καλῶν, παρεκάλει τε αὐτὸν
2 μὴ περιορᾶν αὐτὴν περαιτέρω καταξαινομένην. Ὁ

δὲ τὸ μὲν πρῶτον οὐκ ἔφη φθερεῖν ἐξευγμένην γυναῖκα ὑπό τε νόμων καὶ ἐθῶν, λιπαρῶς δὲ προσκειμένης τῆς μητρὸς συγκατατίθεται. Κἀπειδὴ νὺξ ἐπῆλθεν, εἰς ἣν ἐτέτακτο τῷ παιδί, προυδήλωσεν αὐτῷ μήτε λύχνα φαίνειν ἐν τῷ θαλάμῳ, μήτε ἀνάγκην αὐτῇ ἐπάγειν πρὸς τὸ διαλεχθῆναί τι· ἐπιπροσθεῖσθαι γὰρ αὐτὴν ὑπ' αἰδοῦς. Καθομολογησαμένου δὲ τοῦ Περιάνδρου πάντα ποιήσειν κατὰ τὴν ὑφήγησιν τῆς μητρός, ὡς ὅτι κράτιστα αὐτὴν ἀσκήσασα εἰσέρχεται παρὰ τὸν παῖδα, καὶ πρὶν ἢ ὑποφαίνειν ἕω λαθραίως ἔξεισιν. Τῇ δ' ὑστεραίᾳ ἀναπυνθανομένης αὐτῆς εἰ κατὰ νοῦν αὐτῷ γένοιτο καὶ εἰ αὖτις θέλοι αὐτὴν παρ' αὐτὸν ἀφικέσθαι, ὁ Περίανδρος σπουδάζειν τε ἔφη καὶ ἡσθῆναι οὐ μετρίως. Ὡς δὲ [[ἐκ]] τούτου οὐκ ἀνίει φοιτῶσα πρὸς τὸν παῖδα καί τις [[καὶ]] ἔρως ὑπῄει τὸν Περίανδρον, ἤδη σπουδὴν ἐτίθετο γνωρίσαι τὴν ἄνθρωπον ἥτις ἦν. Καὶ ἕως μέν τινος ἐδεῖτο τῆς μητρὸς ἐξικετεῦσαι ἐκείνην ὅπως τε εἰς λόγους αὐτῷ ἀφίκοιτο κἀπειδὴ εἰς πολὺν πόθον ἐπαγάγοιτο αὐτόν, δήλη ποτὲ γένοιτο· νυνὶ δὲ παντάπασι πρᾶγμα ἄγνωμον πάσχειν διὰ τὸ μὴ ἐφίεσθαι αὐτῷ καθορᾶν τὴν ἐκ πολλοῦ χρόνου συνοῦσαν αὐτῷ· ἐπεὶ δὲ ἡ μήτηρ ἀπεῖργεν αἰτιωμένη τὴν αἰσχύνην τῆς γυναικός, κελεύει τινὰ τῶν ἀμφ' αὐτὸν οἰκετῶν λύχνα κατακρύψαι. Τῆς δὲ κατὰ τὸ σύνηθες ἀφικομένης καὶ μελλούσης κατακλίνεσθαι, ἀναδραμὼν ὁ Περίανδρος ἀναίρει τὸ φῶς, καὶ κατιδὼν τὴν μητέρα ὥρμησεν ἐπὶ τὸ διεργάσασθαι αὐτήν· κατασχεθεὶς δὲ ὑπό τινος δαιμονίου φαντάσματος ἀπετράπετο, κἀκ τούτου παραπλὴξ ἦν νοῦ τε καὶ φρενῶν κατέσκηψέ τε εἰς ὠμότητα καὶ πολλοὺς ἀπέ-

σφαξε τῶν πολιτῶν· ἡ δὲ μήτηρ πολλὰ κατολοφυραμένη τὸν ἑαυτῆς δαίμονα, ἀνεῖλεν ἑαυτήν.

18[a] De Neaera Ὑψικρέων δὲ Μιλήσιος καὶ Προμέδων Νάξιος μάλιστα φίλω ἦστην. Ἀφικομένου οὖν ποτε Προμέδοντος εἰς Μίλητον, θατέρου λέγεται τὴν γυναῖκα Νέαιραν ἐρασθῆναι αὐτοῦ. Καὶ παρόντος μὲν τοῦ Ὑψικρέοντος μὴ τολμᾶν αὐτὴν διαλέγεσθαι τῷ 2 ξένῳ· μετὰ δὲ χρόνον ὡς ὁ μὲν Ὑψικρέων ἐτύγχανεν ἀποδημῶν, ὁ δὲ αὖτις ἀφίκετο, νύκτωρ αὐτοῦ κοιμωμένου ὑπεισέρχεται ἡ Νέαιρα καὶ πρῶτον μὲν οἷα [τε] ἦν πείθειν αὐτόν· ἐπειδὴ δὲ ἐκεῖνος οὐκ ἐνεδίδου, Δία τε Ἑταιρήιον καὶ Ξένιον αἰδούμενος, προσέταξεν ἡ Νέαιρα ταῖς θεραπαίναις ἀποκλεῖσαι τὸν θάλαμον, καὶ οὕτως, πολλὰ ἐπαγωγὰ ποιούσης, 3 ἠναγκάσθη μιγῆναι αὐτῇ· τῇ μέντοι ὑστεραίᾳ δεινὸν ἡγησάμενος εἶναι τὸ πραχθὲν ᾤχετο πλέων ἐπὶ τῆς Νάξου. ἔνθα [δὴ] καὶ ἡ Νέαιρα δείσασα τὸν Ὑψικρέοντα διέπλευσεν εἰς τὴν Νάξον· κἀπειδὴ αὐτὴν ἐζήτει ὁ Ὑψικρέων, ἱκέτις προσκαθίζετο ἐπὶ τῆς 4 ἑστίας τῆς ἐν τῷ Πρυτανείῳ. Οἱ δὲ Νάξιοι λιπαροῦντι τῷ Ὑψικρέοντι ἐκδώσειν μὲν οὐκ ἔφασαν, ἐκέλευον μέντοι πείσαντα αὐτὴν ἄγεσθαι· δόξας δὲ ὁ Ὑψικρέων ἀσεβεῖσθαι, πείθει [τοὺς] Μιλησίους πολεμεῖν τοῖς Ναξίοις.

19[b] De Pancrato Σκέλλις τε καὶ Κασσαμενὸς κήτορος οἱ Θρᾴκης ὁρμήσαντες ἀπὸ νήσου τῆς πρότερον μὲν Στρογγύλης, ὕστερον δὲ Νάξου κληθείσης, ἐληίζοντο μὲν τήν τε Πελοπόννησον καὶ τὰς πέριξ νήσους, προσσχόντες δὲ Θεσσαλίᾳ πολλάς τε ἄλλας γυναῖκας κατέ-

---

a ἱστορεῖ Θεόφραστος ἐν α΄ τῶν Πρὸς τοὺς καιρούς

b ἱστορεῖ Ἀνδρίσκος ἐν Ναξιακῶν β΄

συραν, ἐν δὲ καὶ τὴν Ἀλωέως γυναῖκα Ἰφιμέδην καὶ [τὴν] θυγατέρα αὐτῆς Παγκρατώ· ἧς ἀμφότεροι εἰς ἔρωτα ἀφικόμενοι ἀλλήλους κατέκτειναν.

Λέγεται δὲ καὶ Οἰνοπίωνος καὶ Νύμφης Ἑλίκης 20
Αἰρὼ κόρην γενέσθαι· ταύτης δὲ Ὠρίωνα τὸν De Haero
Ὑριέως ἐρασθέντα παρ' αὐτοῦ παραιτεῖσθαι τὴν κόρην, καὶ διὰ ταύτην τήν τε νῆσον ἐξημερῶσαι τότε θηρίων ἀνάπλεων οὖσαν, λείαν τε πολλὴν περιελαύνοντα τῶν προσχώρων ἔδνα διδόναι. Τοῦ μέντοι 2
Οἰνοπίωνος ἑκάστοτε ὑπερτιθεμένου τὸν γάμον διὰ τὸ ἀποστυγεῖν αὐτῷ γαμβρὸν τοιοῦτον γενέσθαι, ὑπὸ μέθης ἔκφρονα γενόμενον τὸν Ὠρίωνα κατᾶξαι τὸν θάλαμον, ἔνθα ἡ παῖς ἐκοιμᾶτο, καὶ βιαζόμενον ἐκκαῆναι τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ Οἰνοπίωνος.

Λέγεται δὲ καὶ ὅτε Ἀχιλλεὺς πλέων τὰς προσεχεῖς 21
τῇ ἠπείρῳ νήσους ἐπόρθει, προσσχεῖν αὐτὸν De Pisidice
Λέσβῳ. Ἔνθα δὴ καθ' ἑκάστην τῶν πόλεων αὐτὸν ἐπιόντα κεραΐζειν. Ὡς δὲ οἱ Μήθυμναν οἰκοῦντες 2
μάλα καρτερῶς ἀντεῖχον, καὶ ἐν πολλῇ ἀμηχανίᾳ ἦν διὰ τὸ μὴ δύνασθαι ἑλεῖν τὴν πόλιν, Πεισιδίκην τινὰ Μηθυμναίαν, τοῦ βασιλέως θυγατέρα, θεασαμένην ἀπὸ τοῦ τείχους τὸν Ἀχιλλέα ἐρασθῆναι αὐτοῦ, καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην ὑπισχνεῖσθαι ἐγχειρίσειν αὐτῷ τὴν πόλιν, εἴ γε μέλλοι αὐτὴν γυναῖκα ἕξειν. Ὁ δὲ τὸ μὲν παραυτίκα καθωμολο- 3
γήσατο· ἐπεὶ μέντοι ἐγκρατὴς [τῆς] πόλεως ἐγένετο, νεμεσήσας ἐπὶ τῷ δρασθέντι, προὐτρέψατο τοὺς στρατιώτας καταλεῦσαι τὴν κόρην. Μέμνηται τοῦ πάθους 4
τοῦδε καὶ ὁ τὴν Λέσβου κτίσιν ποιήσας ἐν τοῖσδε·

ἔνθα δὲ Πηλείδης κατὰ μὲν κτάνε Λάμπετον ἥρω,
ἐκ δ' Ἱκετάονα πέφνεν, ἰθαιγενέος Λεπετύμνου

υἱέα Μηθύμνης τε, καὶ ἀλκηέστατον ἄλλων,
αὐτοκασίγνητον Ἑλικάονος, ἔνδοθι πάτρης
τηλίκον ὑψίπυλον. θαλερὴ δέ μιν ἄασε Κύπρις.
ἡ γὰρ ἐπ' Αἰακίδῃ κούρης φρένας ἐπτοίησε
Πεισιδίκης, ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν
χάρμῃ ἀγαλλόμενον θηέσκετο, πολλὰ δ' ἐς ὑγρὴν
ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητος.

εἶτα μικρὸν ὑποβάς

δέκτο μὲν αὐτίκα λαὸν Ἀχαικὸν ἔνδοθι πάτρης
παρθενική, κληῖδας ὑποχλίσασα πυλάων,
ἔτλη δ' οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι τοκῆας
χαλκῷ ἐληλαμένους καὶ δούλια δεσμὰ γυναικῶν
ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίῃς Ἀχιλῆος,
ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλοι, ὄφρα οἱ εἶεν
πενθεροὶ Αἰακίδαι, Φθίῃ δ' ἔνι δώματα ναίοι
ἀνδρὸς ἀριστῆος πινυτὴ δάμαρ· οὐ δ' ὅ γ' ἔμελλε
τὰ ῥέξειν, ὀλοῷ δ' ἐπαγάσσατο πατρίδος οἴτῳ·
ἔνθ' ἥ γ' αἰνότατον γάμον εἴσιδε Πηλείδαο
Ἀργείων ὑπὸ χερσὶ δυσάμμορος, οἵ μιν ἔπεφνον
πανσυδίῃ θαμινῇσιν ἀράσσοντες λιθάδεσσιν.

22[a] De Nanide

Ἔφασαν δέ τινες καὶ τὴν Σαρδίων ἀκρόπολιν ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως ἁλῶναι προδούσης τῆς Κροίσου θυγατρὸς Νανίδος. Ἐπειδὴ γὰρ ἐπολιόρκει Σάρδεις Κῦρος καὶ οὐδὲν αὐτῷ εἰς ἅλωσιν τῆς πόλεως προὔβαινεν, ἐν πολλῷ τε δέει ἦν μὴ ἀθροισθὲν τὸ συμμαχικὸν τοῦ Κροίσου διαλύσειεν αὐτῷ τὴν στρατιάν, τότε τὴν παρθένον ταύτην ἔχει λόγος περὶ προδοσίας συνθεμένην τῷ Κύρῳ, εἰ κατὰ

a ἡ ἱστορία παρὰ Λικυμνίῳ τῷ Χίῳ μελοποιῷ καὶ Ἑρμησιάνακτι

νόμους Περσῶν ἔξει γυναῖκα αὐτήν, κατὰ τὴν ἄκραν, μηδενὸς φυλάσσοντος δι' ὀχυρότητα τοῦ χωρίου, εἰσδέχεσθαι τοὺς πολεμίους, συνεργῶν αὐτῇ καὶ ἄλλων τινῶν γινομένων· τὸν μέντοι Κῦρον μὴ ἐμπεδῶσαι αὐτῇ τὴν ὑπόσχεσιν.

Κλεώνυμος ὁ Λακεδαιμόνιος, βασιλείου γένους 23
ὢν καὶ πολλὰ κατορθώσας Λακεδαιμονίοις, ἔγημε De Chilonide
Χειλωνίδα προσήκουσαν αὐτῷ κατὰ γένος. Ταύτῃ σφοδρῶς ἐπιτεταμένου τοῦ Κλεωνύμου καὶ τὸν ἔρωτα οὐκ ἠρέμα φέροντος, τοῦ μὲν κατηλόγει, πᾶσα δὲ ἐνέκειτο Ἀκροτάτῳ, τῷ τοῦ βασιλέως υἱεῖ· καὶ 2
γὰρ ὁ μειρακίσκος αὐτῆς ἀναφανδὸν ὑπεκάετο, ὥστε πάντας ἀνὰ στόμα ἔχειν τὴν ὁμιλίαν αὐτῶν. Δι' ἣν αἰτίαν δυσανασχετήσας ὁ Κλεώνυμος καὶ ἄλλως δὲ οὐκ ἀρεσκόμενος τοῖς Λακεδαιμονίοις ἔθεσιν, ἐπεραιώθη πρὸς Πύρρον εἰς Ἤπειρον καὶ αὐτὸν ἀναπείθει πειρᾶσθαι τῆς Πελοποννήσου, ὡς εἴ γε ἐντόνως ἅψαιντο τοῦ πολέμου, ῥᾳδίως ἐκπολιορκήσοντες τὰς ἐν αὐτῇ πόλεις· ἔφη δὲ καὶ αὐτῷ τι ἤδη προδιειργάσθαι, ὥστε καὶ στάσιν ἐγγενέσθαι τισὶ τῶν πόλεων.

Ἱππαρῖνος δ' ὁ Συρακοσίων τύραννος εἰς ἐπι- 24
θυμίαν ἀφίκετο πάνυ καλοῦ παιδός· Ἀχαιὸς αὐ- De Hipparino
τῷ ὄνομα. Τοῦτον ἐξαλλάγμασι πολλοῖς ὑπαγόμενος πείθει τὴν οἰκίαν ἀπολιπόντα σὺν αὐτῷ μένειν· χρόνου δὲ προϊόντος, ὡς πολεμίων τις ἔφοδος προσηγγέλη πρός τι τῶν ὑπ' ἐκείνου κατεχομένων χωρίων, καὶ ἔδει κατὰ τάχος βοηθεῖν, ἐξορμῶν ὁ Ἱππαρῖνος παρεκελεύσατο τῷ παιδί, εἴ τις ἐντὸς τῆς αὐλῆς βιάζοιτο, κατακαίνειν αὐτὸν τῇ σπάθῃ, ἣν ἐτύγχανεν αὐτῷ κεχαρισμένος. Κἀπειδὴ συμβαλὼν τοῖς πολεμίοις 2
κατὰ κράτος αὐτοὺς εἶλεν, ἐπὶ πολὺν οἶνον ἐτράπετο

καὶ συνουσίαν· ἐκκαόμενος δὲ ὑπὸ μέθης καὶ πόθου τοῦ παιδὸς ἀφίππευσεν εἰς τὰς Συρακούσας, καὶ παραγενόμενος ἐπὶ τὴν οἰκίαν, ἔνθα τῷ παιδὶ παρεκελεύσατο μένειν, ὃς μὲν ἦν οὐκ ἐδήλου, θετταλίζων δὲ τῇ φωνῇ τὸν Ἱππαρῖνον ἔφησεν ἀπεκτονηκέναι· ὁ δὲ παῖς διαγανακτήσας, σκότους ὄντος παίει καιρίαν τὸν Ἱππαρῖνον· ὁ δὲ τρεῖς ἡμέρας ἐπιβιοὺς καὶ τοῦ φόνου τὸν Ἀχαιὸν ἀπολύσας ἐτελεύτησεν.

25[a]. De Phayllo

Φάυλλος δ' ὁ τύραννος ἠράσθη τῆς Ἀρίστωνος γυναικός, ὃς Οἰταίων προστάτης ἦν· οὗτος διαπεμπόμενος πρὸς αὐτὴν χρυσόν τε πολὺν καὶ ἄργυρον ἐπηγγέλλετο δώσειν, εἴ τέ τινος ἄλλου δέοιτο
2 φράζειν ἐκέλευεν ὡς οὐχ ἁμαρτησομένην. Τὴν δ' ἄρα πολὺς εἶχε πόθος ὅρμου τοῦ τότε κειμένου ἐν τῷ τῆς Προνοίας Ἀθηνᾶς ἱερῷ, ὃν εἶχε λόγος Ἐριφύλης
3 γεγονέναι, ἠξίου τε ταύτης τῆς δωρεᾶς τυχεῖν. Φάυλλος δὲ τά τε ἄλλα κατασύρων ἐκ Δελφῶν ἀναθήματα ἀναιρεῖται καὶ τὸν ὅρμον· ἐπεὶ δὲ διεκομίσθη εἰς οἶκον τὸν Ἀρίστωνος, χρόνον μέν τινα ἐφόρει αὐτὸν ἡ γυνὴ μάλα περίπυστος οὖσα, μετὰ δὲ ταῦτα παραπλήσιον αὐτῇ πάθος συνέβη τῷ περὶ τὴν Ἐριφύλην
4 γενομένῳ. Ὁ γὰρ νεώτερος τῶν υἱῶν αὐτῆς μανεὶς τὴν οἰκίαν ὑφῆψε, καὶ τήν τε μητέρα καὶ τὰ πολλὰ τῶν κτημάτων κατέφλεξε.

26[b]. De Apriate

Ἐν Λέσβῳ παιδὸς Ἀπριάτης Τράμβηλος ὁ Τελαμῶνος ἐρασθεὶς πολλὰ ἐποιεῖτο εἰς τὸ προσαγαγέσθαι τὴν κόρην· ὡς δὲ ἐκείνη οὐ πάνυ ἐνεδίδου, ἐνενοεῖτο δόλῳ καὶ ἀπάτῃ περιγενέσθαι αὐτῆς. Πορευομένην οὖν ποτε σὺν θεραπαινιδίοις ἐπί τι τῶν

---

a ἱστορεῖ Φύλαρχος

b ἱστορεῖ Εὐφορίων Θρᾳκί

πατρῴων χωρίων, ὃ πλησίον τῆς θαλάσσης ἔκειτο, λοχήσας εἶλεν. Ὡς δὲ ἐκείνη πολὺ μᾶλλον ἀπεμάχετο περὶ τῆς παρθενίας, ὀργισθεὶς Τράμβηλος ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν· ἐτύγχανεν δὲ ἀγχιβαθὴς οὖσα. Καὶ ἡ μὲν ἄρα οὕτως ἀπολώλει· τινὲς μέντοι (a) ἔφασαν διωκομένην ἑαυτὴν ῥῖψαι. Τράμβηλον δὲ οὐ 3 πολὺ μετέπειτα τίσις ἐλάμβανεν ἐκ θεῶν· ἐπειδὴ γὰρ Ἀχιλλεὺς ἐκ τῆς Λέσβου πολλὴν λείαν ἀποτεμόμενος ἤγαγεν, οὗτος, ἐπαγαγομένων αὐτὸν τῶν ἐγχωρίων βοηθόν, συνίσταται αὐτῷ. Ἔνθα δὴ πληγεὶς εἰς τὰ 4 στέρνα παραχρῆμα πίπτει· ἀγάμενος δὲ τῆς ἀλκῆς αὐτὸν Ἀχιλλεὺς ἔτι ἔμπνουν ἀνέκρινεν ὅστις τε ἦν καὶ ὁπόθεν· ἐπεὶ δὲ ἔγνω παῖδα Τελαμῶνος ὄντα, πολλὰ κατοδυράμενος ἐπὶ τῆς ἡιόνος μέγα χῶμα ἔχωσε. Τοῦτο ἔτι νῦν ἠρῷον Τραμβήλου καλεῖται.

Ἔχει δὲ λόγος καὶ Ἀλκινόην, τὴν Πολύβου μὲν 27 (b) τοῦ Κορινθίου θυγατέρα, γυναῖκα δὲ Ἀμφιλό- De Alcinoe χου τοῦ Δρύαντος, κατὰ μῆνιν Ἀθηνᾶς ἐπιμανῆναι ξένῳ Σαμίῳ· Ξάνθος αὐτῷ ὄνομα. Ἐπὶ μισθῷ γὰρ 2 αὐτὴν ἀγαγομένην χερνῆτιν γυναῖκα Νικάνδρην καὶ ἐργασαμένην ἐνιαυτὸν ὕστερον ἐκ τῶν οἰκίων ἐλάσαι, μὴ ἐντελῆ τὸν μισθὸν ἀποδοῦσαν· τὴν δὲ ἀράσασθαι πολλὰ Ἀθηνᾷ τίσασθαι αὐτὴν ἀντ' ἀδίκου στερήσεως· ὅθεν εἰς τοσοῦτον ἐλθεῖν, ὥστε ἀπολιπεῖν οἰκόν τε καὶ παῖδας ἤδη γεγονότας, συνεκπλεῦσαί τε τῷ Ξάνθῳ· γενομένην δὲ κατὰ μέσον πόρον ἔννοιαν λαβεῖν 3 τῶν εἰργασμένων, καὶ αὐτίκα πολλά τε δάκρυα προΐεσθαι καὶ ἀνακαλεῖν ὁτὲ μὲν ἄνδρα κουρίδιον, ὁτὲ δὲ τοὺς παῖδας· τέλος δὲ πολλὰ τοῦ Ξάνθου παρ-

---

a γρ Ἀριστόκριτος ἐν τοῖς περὶ Μιλήτου

b ἱστορεῖ Μοιρὼ ἐν ταῖς Ἀραῖς

ηγοροῦντος καὶ φαμένου γυναῖκα ἕξειν, μὴ πειθομένην ῥῖψαι ἑαυτὴν εἰς θάλασσαν.

28[a] De Clite Διαφόρως δὲ ἱστορεῖται περὶ Κυζίκου τοῦ Αἰνέου· οἱ μὲν γὰρ αὐτὸν ἔφασαν ἁρμοσάμενον Λάρισαν τὴν Πιάσου, ἧ ὁ πατὴρ ἐμίγη πρὸ γάμου, μαχόμενον ἀποθανεῖν· τινὲς δὲ προσφάτως γήμαντα Κλείτην συμβαλεῖν δι' ἄγνοιαν τοῖς μετὰ Ἰάσονος ἐπὶ τῆς Ἀργοῦς πλέουσι, καὶ οὕτως πεσόντα πᾶσι μὲν [τοῖς] ἄλλοις ἀλγεινὸν πόθον ἐμβαλεῖν, ἐξόχως δὲ τῇ Κλείτῃ· ἰδοῦσα γὰρ αὐτὸν ἐρριμμένον, περιεχύθη καὶ πολλὰ κατωδύρατο, νύκτωρ δὲ λαθοῦσα τὰς θεραπαινίδας ἀπό τινος δένδρου ἀνήρτησεν [ἑαυτήν].

29[b] De Daphnide Ἐν Σικελίᾳ δὲ Λάφνις Ἑρμοῦ παῖς ἐγένετο, σύριγγι δή τε δεξιῶς χρήσασθαι καὶ τὴν ἰδέαν ἐκπρεπής. Οὗτος εἰς μὲν τὸν πολὺν ὅμιλον ἀνδρῶν οὐ κατῄει, βουκολῶν δὲ κατὰ τὴν Αἴτνην χείματός τε καὶ θέρους ἠγραύλει. Τούτου λέγουσιν Ἐχεναΐδα Νύμφην ἐρασθεῖσαν παρακελεύσασθαι αὐτῷ γυναικὶ μὴ πλησιάζειν· μὴ πειθομένῳ γὰρ αὐτῷ συμβήσεσθαι τὰς ὄψεις ἀποβαλεῖν. Ὁ δὲ χρόνον μέν τινα καρτερῶς ἀντεῖχεν καίπερ οὐκ ὀλίγων ἐπιμαινομένων αὐτῷ· ὕστερον δὲ μία τῶν κατὰ τὴν Σικελίαν βασιλίδων οἴνῳ πολλῷ δηλησαμένη αὐτὸν ἤγαγεν εἰς ἐπιθυμίαν αὐτῇ μιγῆναι· καὶ οὕτως ἐκ τοῦδε ὁμοίως Θαμύρᾳ τῷ Θρᾳκὶ δι' ἀφροσύνην ἐπεπήρωτο.

30[c] De Celtine Λέγεται δὲ καὶ Ἡρακλέα, ὅτε ἀπ' Ἐρυθείας τὰς Γηρυόνου βοῦς ἤγαγεν, ἁλώμενον διὰ τῆς Κελ-

---

a ἱστορεῖ Εὐφορίων Ἀπολλοδώρῳ, τὰ ἑξῆς Ἀπολλώνιος Ἀργοναυτικῶν α'

b ἱστορεῖ Τίμαιος Σικελικοῖς

c ν

τῶν χώρας ἀφικέσθαι παρὰ Βρεταννόν· τῷ δὲ ἄρα ὑπάρχειν θυγατέρα, Κελτίνην ὄνομα. Ταύτην δὲ ἐρασθεῖσαν τοῦ Ἡρακλέους κατακρύψαι τὰς βοῦς, μὴ θέλειν τε ἀποδοῦναι, εἰ μὴ πρότερον αὐτῇ μιχθῆναι· τὸν δὲ Ἡρακλέα τὸ μέν τι καὶ τὰς βοῦς ἐπειγόμενον ἀνασώσασθαι, πολὺ μᾶλλον μέντοι τὸ κάλλος ἐκπλαγέντα τῆς κόρης συγγενέσθαι αὐτῇ, καὶ αὐτοῖς χρόνου περιήκοντος γενέσθαι παῖδα Κελτόν, ἀφ' οὗ δὴ Κελτοὶ προσηγορεύθησαν.

31 (a) De Dimoeta

Λέγεται δὲ καὶ Διμοίτην ἁρμόσασθαι μὲν Τροιζῆνος τἀδελφοῦ θυγατέρα Εὐῶπιν· αἰσθανόμενον δὲ συνοῦσαν αὐτὴν διὰ σφοδρὸν ἔρωτα τἀδελφῷ, δηλῶσαι τῷ Τροιζῆνι· τὴν δὲ διὰ [τὸ] δέος καὶ αἰσχύνην ἀναρτῆσαι αὑτήν, πολλὰ πρότερον λυγρὰ καταρασαμένην τῷ αἰτίῳ τῆς συμφορᾶς. Ἔνθα δὴ τὸν Διμοίτην μετ' οὐ πολὺν χρόνον ἐπιτυχεῖν γυναικὶ μάλα καλῇ τὴν ὄψιν ὑπὸ τῶν κυμάτων ἐκβεβλημένῃ καὶ αὐτῆς εἰς ἐπιθυμίαν ἐλθόντα συνεῖναι· ὡς δὲ ἤδη ἐνεδίδου τὸ σῶμα διὰ μῆκος χρόνου, χῶσαι αὐτῇ μέγαν τάφον, καὶ οὕτως μὴ ἀνιέμενον τοῦ πάθους ἐπικατασφάξαι αὐτόν. 2

32 (b) De Anthippe

Παρὰ δὲ Χάοσι μειρακίσκος τις τῶν πάνυ δοκίμων Ἀνθίππης ἠράσθη. Ταύτην ὑπελθὼν πάσῃ μηχανῇ πείθει αὐτῷ συμμιγῆναι· ἡ δὲ ἄρα καὶ αὐτὴ οὐκ ἐκτὸς ἦν τοῦ πρὸς τὸν παῖδα πόθου· καὶ ἐκ τοῦδε λανθάνοντες τοὺς αὑτῶν γονεῖς ἐξεπίμπλασαν τὴν ἐπιθυμίαν. Ἑορτῆς δέ ποτε τοῖς Χάοσι δημοτελοῦς ἀγομένης καὶ πάντων εὐωχουμένων, ἀποσκεδασθέντες εἴς τινα δρυμὸν κατειλήθησαν. Ἔτυχε δὲ ἄρα ὁ τοῦ βασιλέως υἱὸς Κίχυρος πάρδαλιν διώ- 2

a ἱστορεῖ Φύλαρχος

b υ ο

κων, ἧς συνελαθείσης εἰς ἐκεῖνον τὸν δρυμὸν ἀφίησιν ἐπ' αὐτὴν τὸν ἄκοντα. Καὶ τῆς μὲν ἁμαρτάνει, τυγχάνει δὲ τῆς παιδός· ὑπολαβὼν δὲ τὸ θηρίον καταβεβληκέναι ἐγγυτέρω τὸν ἵππον προσελαύνει· καὶ καταμαθὼν τὸ μειράκιον ἐπὶ τοῦ τραύματος τῆς παιδὸς ἔχον τῷ χεῖρε ἐκτός τε φρενῶν ἐγένετο καὶ περιδινηθεὶς ἀπολισθάνει τοῦ ἵππου εἰς χωρίον ἀπόκρημνον καὶ πετρῶδες. Ἔνθα δὴ ὁ μὲν ἐτεθνήκει, οἱ δὲ Χάονες, τιμῶντες τὸν βασιλέα, κατὰ τὸν αὐτὸν τόπον τείχη περιεβάλοντο καὶ τὴν πόλιν ἐκάλεσαν Κίχυρον. Φασὶ δέ τινες τὸν δρυμὸν ἐκεῖνον εἶναι τῆς Ἐχίονος θυγατρὸς Ἠπείρου, ἣν μεταναστᾶσαν ἐκ Βοιωτίας βαδίζειν μεθ' Ἁρμονίας καὶ Κάδμου, φερομένην τὰ Πενθέως λείψανα, ἀποθανοῦσαν δὲ περὶ τὸν δρυμὸν τόνδε ταφῆναι· διὸ καὶ τὴν γῆν Ἤπειρον ἀπὸ ταύτης ὀνομασθῆναι.

33[a] De Assaone Διαφόρως δὲ τοῖς πολλοῖς ἱστορεῖται καὶ τὰ Νιόβης. Οὐ γὰρ Ταντάλου φασὶν αὐτὴν γενέσθαι, ἀλλ' Ἀσσάονος μὲν θυγατέρα, Φιλόττου δὲ γυναῖκα· εἰς ἔριν δὲ ἀφικομένην Λητοῖ περὶ καλλιτεκνίας ὑποσχεῖν τίσιν τοιάνδε· τὸν μὲν Φίλοττον ἐν κυνηγίᾳ διαφθαρῆναι, τὸν δὲ Ἀσσάονα τῆς θυγατρὸς πόθῳ ἐχόμενον αὐτὴν αὖτῷ γήμασθαι· μὴ ἐνδιδούσης δὲ τῆς Νιόβης, τοὺς παῖδας αὐτῆς εἰς εὐωχίαν καλέσαντα καταπρῆσαι. Καὶ τὴν μὲν διὰ ταύτην τὴν συμφορὰν ἀπὸ πέτρας ὑψηλοτάτης αὑτὴν ῥῖψαι, ἔννοιαν δὲ λαβόντα τῶν σφετέρων ἁμαρτημάτων διαχρήσασθαι τὸν Ἀσσάονα ἑαυτόν.

34[b] Ἐκ δὲ Οἰνώνης καὶ Ἀλεξάνδρου παῖς ἐγένετο

---

a ἱστορεῖ Ξάνθος Λυδιακοῖς καὶ Νεάνθης β' καὶ Σιμίας ὁ Ῥόδιος

b ἱστορεῖ Ἑλλάνικος Τρωικῶν** καὶ Κεφάλων ὁ Γεργίθιος

Κόρυθος. Οὗτος ἐπίκουρος ἀφικόμενος εἰς Ἴλιον De Corytho
Ἑλένης ἠράσθη, καὶ αὐτὸν ἐκείνη μάλα φιλοφρόνως
ὑπεδέχετο· ἦν δὲ τὴν ἰδέαν κράτιστος· φωράσας δὲ
αὐτὸν ὁ πατὴρ ἀνεῖλεν. Νίκανδρος μέντοι τὸν Κό- 2
ρυθον οὐκ Οἰνώνης, ἀλλὰ Ἑλένης καὶ Ἀλεξάνδρου
φησὶν γενέσθαι, λέγων ἐν τούτοις·

ἠρία τ' εἰν Ἀίδαο κατοιχομένου Κορύθοιο,
ὅντε καὶ ἁρπακτοῖσιν ὑποδμηθεὶσ' ὑμεναίοις
Τυνδαρίς, αἰν' ἀχέουσα, κακὸν γόνον ἤρατο βούτεω.

Ἐν δὲ Κρήτῃ ἠράσθη Λύκαστος τῆς Κύδωνος 35(a)
θυγατρὸς Εὐλιμένης, ἣν ὁ πατὴρ Ἀπτέρῳ καθ- De Eulimene
ωμολόγητο πρωτεύοντι τότε Κρητῶν· ταύτῃ κρύφα
συνὼν ἐλελήθει. Ὡς δὲ τῶν Κρητικῶν τινες πόλεων
ἐπισυνέστησαν Κύδωνι καὶ πολὺ περιῆσαν, πέμπει
τοὺς πευσομένους εἰς Θεοῦ, ὅ τι ἂν ποιῶν κρατή- 2
σειεν τῶν πολεμίων. Καὶ αὐτῷ θεσπίζεται τοῖς ἐγ-
χωρίοις ἥρωσι σφαγιάσαι παρθένον. Ἀκούσας δὲ 3
τοῦ χρηστηρίου Κύδων διεκλήρου τὰς παρθένους
πάσας, καὶ κατὰ δαίμονα ἡ θυγάτηρ λαγχάνει. Λύ-
καστος δὲ δείσας περὶ αὐτῆς μηνύει τὴν φθορὰν καὶ
ὡς ἐκ πολλοῦ χρόνου συνείη αὐτῇ· ὁ δὲ πολὺς ὅμι- 4
λος πολὺ μᾶλλον ἐδικαίου αὐτὴν τεθνάναι. Ἐπειδὴ
δὲ ἐσφαγιάσθη, ὁ Κύδων τὸν ἱερέα κελεύει αὐτῆς
διατεμεῖν τὸ ἐπομφάλιον, καὶ οὕτως εὑρέθη ἔγκυος.
Ἄπτερος δὲ δόξας ὑπὸ Λυκάστου δεινὰ πεπονθέναι
λοχήσας αὐτὸν ἀνεῖλε καὶ διὰ ταύτην τὴν αἰτίαν
ἔφυγε πρὸς Ξάνθον εἰς Τέρμερα.

Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν ἐς Τροίαν ἐπίκου- 36(b)
ρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενον De Argan-
thone

---

a ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν α'

b υ

τε καὶ δασμὸν ἐπιτιθέντα. Ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι κατὰ κλέος γυναικὸς καλῆς· Ἀργανθώνη
2 αὐτῇ ὄνομα. Αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπεστύγει, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν οὐ μάλα τινὰ προσιεμένη. Ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν χῶρον βίᾳ μὲν αὐτὴν οὐκ ἦγεν, ἔφη δὲ θέλειν αὐτῇ συγκυνηγεῖν· καὶ αὐτὸς γὰρ ὁμοίως ἐκείνῃ τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν· ἡ δὲ ταῦτα λέξαντος ἐκείνου κατῄνεσε πειθο-
3 μένη αὐτὸν ἀληθῆ λέγειν. Χρόνου δὲ πολλοῦ διαγενομένου εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ Ῥήσου· καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κατεχομένη· ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ, καὶ οὕτως ἐθέλων αὐτὴν
4 ἐκεῖνος ἠγάγετο γυναῖκα. Ὕστερον δέ, πολέμου γενομένου τοῖς Τρωσί, μετῄεσαν αὐτὸν οἱ βασιλεῖς ἐπίκουρον· ἡ δὲ Ἀργανθώνη, εἴτε καὶ δι' ἔρωτα, ὃς πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως καταμαντευο-
5 μένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα. Ῥῆσος δὲ μάλα κακιζόμενος ἐπὶ [[τῇ]] μονῇ οὐκ ἠνέσχετο, ἀλλὰ ἦλθεν εἰς Τροίαν καὶ μαχόμενος ἐπὶ ποταμῷ τῷ νῦν ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ, πληγεὶς ὑπὸ Διομή-
6 δους ἀποθνήσκει. Ἡ δὲ ὡς ἤσθετο τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ, καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥήσου· τέλος δὲ σῖγα τῷ ποταμῷ προσημένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπηλλάγη.

Παρθενίου Νικαέως
περὶ ἐρωτικῶν παθημάτων
τέλος

ΑΧΙΛΛΕΩΣ ΤΑΤΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΤΩΝ ΚΑΤΑ

ΛΕΥΚΙΠΠΗΝ ΚΑΙ ΚΛΕΙΤΟΦΩΝΤΑ

ΛΟΓΟΙ ΟΚΤΩ

A

Σιδὼν ἐπὶ θαλάττῃ πόλις, Ἀσσυρίων ἡ θάλασσα, μήτηρ Φοινίκων ἡ πόλις, Θηβαίων ὁ δῆμος πατήρ· δίδυμος λιμὴν ἐν κόλπῳ πλατύς, ἠρέμα κλείων τὸ πέλαγος. Ἧι γὰρ ὁ κόλπος κατὰ πλευρὰν ἐπὶ δεξιὰ κοιλαίνεται, στόμα δεύτερον ὀρώρυκται, καὶ τὸ ὕδωρ αὖθις εἰσρεῖ, καὶ γίνεται τοῦ λιμένος ἄλλος λιμήν, ὡς χειμάζειν μὲν ταύτῃ τὰς ὁλκάδας ἐν γαλήνῃ, θερί-
2 ζειν δὲ τοῦ λιμένος ἐς τὸ προκόλπιον. Ἐνταῦθα ἦκων ἐκ πολλοῦ χειμῶνος σῶστρα ἔθυον ἐμαυτοῦ τῇ τῶν Φοινίκων θεᾷ· Ἀστάρτην αὐτὴν οἱ Σιδώνιοι καλοῦσι. Περιὼν οὖν καὶ τὴν ἄλλην πόλιν καὶ περισκοπῶν τὰ ἀναθήματα, ὁρῶ γραφὴν ἀνακειμένην γῆς ἅμα καὶ θαλάττης. Εὐρώπης ἡ γραφή, Φοι-
3 νίκων ἡ θάλασσα, Σιδῶνος ἡ γῆ. Ἐν τῇ γῇ λειμὼν καὶ χορὸς παρθένων· ἐν τῇ θαλάττῃ ταῦρος ἐνήχετο, καὶ τοῖς νώτοις καλὴ παρθένος ἐπεκάθητο, ἐπὶ Κρήτην τῷ ταύρῳ πλέουσα. Ἐκόμα πολλοῖς ἄνθεσιν ὁ λειμών, δένδρων αὐτοῖς ἀνεμέμικτο φάλαγξ καὶ φυτῶν· συνεχῆ τὰ δένδρα, συνηρεφῆ τὰ πέταλα· συνῆπτον οἱ πτόρθοι τὰ φύλλα, καὶ ἐγίνετο τοῖς ἄνθεσιν
4 ὄροφος ἡ τῶν φύλλων συμπλοκή. Ἔγραψεν ὁ τεχνίτης ὑπὸ τὰ πέταλα καὶ τὴν σκιάν, καὶ ὁ ἥλιος ἠρέμα [τοῦ λειμῶνος] κάτω [σποράδην] διέρρει, ὅσον τὸ συνηρεφὲς τῆς τῶν φύλλων κόμης ἀνέῳξεν ὁ γραφεύς.

Ὅλον ἐτείχιζε τὸν λειμῶνα περιβολή, εἴσω δὲ τοῦ τῶν ὀρόφων στεφανώματος ὁ λειμὼν ἐκάθητο· αἱ δὲ πρασιαὶ τῶν ἀνθέων ὑπὸ τὰ πέταλα τῶν φυτῶν στοιχηδὸν ἐπεφύκεσαν, νάρκισσος καὶ ῥόδα καὶ μύρριναι· ὕδωρ δὲ κατὰ μέσον ἔρρει τοῦ λειμῶνος, τὸ μὲν ἀναβλύζον κάτωθεν ἀπὸ τῆς γῆς, τὸ δὲ τοῖς ἄνθεσι καὶ τοῖς φυτοῖς περιχεόμενον. Ὀχετηγός τις ἐγέγραπτο δίκελλαν κατέχων καὶ περὶ μίαν ἀμάραν κεκυφὼς καὶ ἀνοίγων τὴν ὁδὸν τῷ ῥεύματι. Ἐν δὲ τῷ τοῦ λειμῶνος τέλει πρὸς ταῖς ἐπὶ θάλατταν τῆς γῆς ἐκβολαῖς τὰς παρθένους ἔταξεν ὁ τεχνίτης. Τὸ σχῆμα ταῖς παρθένοις καὶ χαρᾶς καὶ φόβου· στέφανοι περὶ τοῖς μετώποις δεδεμένοι· κόμαι κατὰ τῶν ὤμων λελυμέναι· τὸ σκέλος πᾶν γεγυμνωμέναι, τὸ μὲν ἄνω τοῦ χιτῶνος, τὸ δὲ κάτω τοῦ πεδίλου, τὸ γὰρ ζῶμα μέχρι γόνατος ἀνεῖλκε τὸν χιτῶνα· τὸ πρόσωπον ὠχραί, σεσηρυῖαι τὰς παρειάς, τοὺς ὀφθαλμοὺς ἀνοίξασαι πρὸς τὴν θάλατταν, μικρὸν ὑποκεχηνυῖαι τὸ στόμα, ὥσπερ ἀφήσειν ὑπὸ φόβου μέλλουσαι καὶ βοήν· τὰς χεῖρας ὡς ἐπὶ τὸν βοῦν ὤρεγον. Ἐπέβαινον ἄκρας τῆς θαλάττης, ὅσον μικρὸν ὑπεράνω τῶν ταρσῶν ὑπερέχειν τὸ κῦμα· ἐῴκεσαν δὲ βούλεσθαι μὲν ὡς ἐπὶ τὸν ταῦρον δραμεῖν, φοβεῖσθαι δὲ τῇ θαλάττῃ προσελθεῖν. Τῆς δὲ θαλάττης ἡ χρόα διπλῆ· τὸ μὲν γὰρ πρὸς τὴν γῆν ὑπέρυθρον, κυάνεον δὲ τὸ πρὸς τὸ πέλαγος. Ἀφρὸς [[δὲ]] ἐπεποίητο καὶ πέτραι καὶ κύματα· αἱ πέτραι τῆς γῆς ὑπερβεβλημέναι, ὁ ἀφρὸς περιλευκαίνων τὰς πέτρας, τὸ κῦμα κορυφούμενον καὶ περὶ τὰς πέτρας λυόμενον εἰς τοὺς ἀφρούς. [[Ὁ]] ταῦρος ἐν μέσῃ τῇ θαλάττῃ ἐγέγραπτο τοῖς κύμα-

5 Post λειμῶνος codices addunt: τῆς γραφῆς

σιν ἐποχούμενος, ὡς ὄρους ἀναβαίνοντος τοῦ κύματος ἔνθα καμπτόμενον τοῦ βοὸς κυρτοῦται τὸ σκέλος. Ἡ παρθένος μέσοις ἐπεκάθητο τοῖς νώτοις τοῦ βοός, οὐ περιβάδην, ἀλλὰ κατὰ πλευράν, ἐπὶ δεξιὰ συμβᾶσα τῷ πόδε, τῇ λαιᾷ τοῦ κέρως ἐχομένη, ὥσπερ ἡνίοχος χαλινοῦ· καὶ γὰρ ὁ βοῦς ἐπέστραπτο ταύτῃ μᾶλλον πρὸς τὸ τῆς χειρὸς ἕλκον ἡνιοχούμενος. Χιτὼν ἀμφὶ τὰ στέρνα τῆς παρθένου μέχρις αἰδοῦς· τοὐντεῦθεν ἐπεκάλυπτε χλαῖνα τὰ κάτω τοῦ σώματος· λευκὸς ὁ χιτών, ἡ χλαῖνα πορφυρᾶ, τὸ δὲ σῶμα διὰ τῆς ἐσθῆτος ὑπεφαίνετο. Βαθὺς ὀμφαλός, γαστὴρ τεταμένη, λαπάρα στενή· τὸ στενὸν εἰς ἴξὺν καταβαῖνον ηὐρύνετο. Μαζοὶ τῶν στέρνων ἠρέμα προκύπτοντες· ἡ συνάγουσα ζώνη τὸν χιτῶνα καὶ τοὺς μαζοὺς ἔκλειε, καὶ ἐγίνετο τοῦ σώματος κάτοπτρον ὁ χιτών. Αἱ χεῖρες ἄμφω διετέταντο, ἡ μὲν ἐπὶ κέρας, ἡ δὲ ἐπ' οὐράν· ἤρτητο δὲ ἀμφοῖν ἑκατέρωθεν ὑπὲρ τὴν κεφαλὴν καλύπτρα κύκλῳ τῶν νώτων ἐμπεπετασμένη. Ὁ δὲ κόλπος τοῦ πέπλου πάντοθεν ἐτέτατο κυρτούμενος· καὶ ἦν οὗτος ἄνεμος τοῦ ζωγράφου. Ἡ δὲ ἐπεκάθητο τῷ ταύρῳ δίκην πλεούσης νεώς, ὥσπερ ἱστίῳ τῷ πέπλῳ χρωμένη. Περὶ δὲ τὸν βοῦν ὠρχοῦντο δελφῖνες, ἔπαιζον Ἔρωτες· εἶπες ἂν αὐτῶν γεγράφθαι καὶ τὰ κινήματα. Ἔρως εἶλκε τὸν βοῦν· Ἔρως, μικρὸν παιδίον, ἡπλώκει τὸ πτερόν, ἤρτητο [τὴν] φαρέτραν, ἐκράτει τὸ πῦρ· ἐπέστραπτο δὲ ὡς ἐπὶ τὸν Δία καὶ ὑπεμειδία, ὥσπερ αὐτοῦ καταγελῶν ὅτι δι' αὐτὸν γέγονε βοῦς.

2 Ἐγὼ δὲ καὶ τἆλλα μὲν ἐπήνουν τῆς γραφῆς, ἅτε δὲ ὢν ἐρωτικὸς περιεργότερον ἔβλεπον τὸν ἄγοντα τὸν βοῦν Ἔρωτα καὶ "οἷον" εἶπον "ἄρχει βρέφος οὐρανοῦ καὶ γῆς καὶ θαλάττης." Ταῦτά μου λέγοντος

νεανίσκος καὶ αὐτὸς παρεστὼς "ἐγὼ ταῦτ' ἂν ἐδείκνυν" ἔφη "τοσαύτας ὕβρεις ἐξ ἔρωτος παθών." "Καὶ τί πέπονθας" εἶπον, "ὦγαθέ; καὶ γὰρ ὁρῶ σε τὴν ὄψιν οὐ μακρὰν ὄντα τῆς τοῦ θεοῦ τελετῆς." "Σμῆνος ἀνεγείρεις" εἶπε "λόγων· τὰ γὰρ ἐμὰ μύθοις ἔοικε." "Μὴ κατοκνήσῃς, ὦ βέλτιστε" ἔφην, "πρὸς τοῦ Διὸς καὶ τοῦ Ἔρωτος αὐτοῦ, ταύτῃ μᾶλλον ἥσειν, εἰ καὶ μύθοις ἔοικε." Καὶ ταῦτα δὴ λέγων δεξιοῦμαί τε αὐτὸν καὶ ἐπί τινος ἄλσους ἄγω γείτονος, ἔνθα πλάτανοι μὲν ἐπεφύκεσαν πολλαὶ καὶ πυκναί, παρέρρει δὲ ὕδωρ ψυχρόν τε καὶ διαυγές, οἷον ἀπὸ χιόνος ἄρτι λυθείσης ἔρχεται. Καθίσας οὖν αὐτὸν ἐπί τινος θώκου χαμαιζήλου καὶ αὐτὸς παρακαθισάμενος "ὥρα μοι" ἔφην "τῆς τῶν λόγων ἀκροάσεως· πάντως δ' ὁ τόπος ἡδὺς καὶ μύθων ἄξιος ἐρωτικῶν."

Ὁ δ' ἄρχεται τοῦ λέγειν ὧδε "ἐμοὶ Φοινίκη γένος, Τύρος [ἡ] πατρίς, ὄνομα Κλειτοφῶν, πατὴρ Ἱππίας, ἀδελφὸς πατρὸς Σώστρατος, οὐ πάντα δὲ ἀδελφός, ἀλλ' ὅσον ἀμφοῖν εἷς πατήρ· αἱ γὰρ μητέρες τῷ μὲν ἦν Βυζαντία, τῷ δὲ ἐμῷ πατρὶ Τυρία. Ὁ μὲν οὖν τὸν πάντα χρόνον εἶχεν ἐν Βυζαντίῳ· πολὺς γὰρ ὁ τῆς μητρὸς κλῆρος ἦν αὐτῷ· ὁ δὲ ἐμὸς πατὴρ ἐν Τύρῳ κατῴκει. Τὴν δὲ μητέρα οὐκ οἶδα τὴν ἐμήν· ἐπὶ νηπίῳ γάρ μοι τέθνηκεν. Ἐδέησεν οὖν τῷ πατρὶ γυναικὸς ἑτέρας, ἐξ ἧς ἀδελφή μοι Καλλιγόνη γίνεται. Καὶ ἐδόκει μὲν τῷ πατρὶ συνάψαι [μᾶλλον] ἡμᾶς γάμῳ· αἱ δὲ Μοῖραι τῶν ἀνθρώπων κρείττονες ἄλλην ἐτήρουν μοι γυναῖκα. Φιλεῖ δὲ τὸ δαιμόνιον πολλάκις [[τοῖς]] ἀνθρώποις τὸ μέλλον νύκτωρ λαλεῖν οὐχ ἵνα φυλάξωνται μὴ παθεῖν (οὐ γὰρ εἱμαρμένης δύνανται κρατεῖν), ἀλλ' ἵνα κουφότερον

3 πάσχοντες φέρωσι. Τὸ μὲν γὰρ ἀθρόον καὶ ἀπροσδόκητον ἐκπλήσσει τὴν ψυχὴν ἄφνω προσπεσὸν καὶ κατεβάπτισε, τὸ δὲ πρὸ τοῦ παθεῖν προσδοκώμενον προκατηνάλωσε κατὰ μικρὸν μελετώμενον τοῦ πάθους τὴν ἀκμήν. Ἐπεὶ γὰρ εἶχον ἔνατον ἔτος ἐπὶ τοῖς δέκα, καὶ παρεσκεύαζεν ὁ πατὴρ εἰς νέωτα ποιήσων τοὺς γάμους, ἦρχετο τοῦ δράματος ἡ τύχη. Ὅναρ ἐδόκουν συμφῦναι τῇ παρθένῳ τὰ κάτω μέρη μέχρις ὀμφαλοῦ, δύο δὲ ἐντεῦθεν τὰ ἄνω σώματα· ἐφίσταται δέ μοι γυνὴ φοβερὰ καὶ μεγάλη, τὸ πρόσωπον ἀγρία, ὀφθαλμὸς ἐν αἵματι, βλοσυραὶ παρειαί, ὄφεις αἱ κόμαι· ἅρπην ἐκράτει τῇ δεξιᾷ, δᾷδα τῇ λαιᾷ. Ἐπιπεσοῦσα οὖν μοι θυμῷ καὶ ἀνατείνασα τὴν ἅρπην καταφέρει τῆς ἰξύος, ἔνθα τῶν δύο σωμάτων ἦσαν αἱ συμβολαί, καὶ ἀποκόπτει μου τὴν παρθένον.

5 Περιδεὴς οὖν ἀναθορὼν [ἐκ τοῦ δείματος] φράζω μὲν πρὸς οὐδένα, κατ' ἐμαυτὸν δὲ πονηρὰ ἐσκεπτόμην.

Ἐν δὲ τούτῳ συμβαίνει τοιάδε. Ἦν ἀδελφός, ὡς ἔφην, τοῦ πατρὸς Σώστρατος. Παρὰ τούτου τις ἔρχεται κομίζων ἐπιστολὰς ἀπὸ Βυζαντίου, καὶ ἦν τὰ γεγραμμένα τοιάδε·

Ἱππίᾳ τῷ ἀδελφῷ χαίρειν Σώστρατος.

6 Ἥκουσι πρὸς σὲ θυγάτηρ ἐμὴ Λευκίππη καὶ Πάνθεια γυνή· πόλεμος γὰρ περιλαμβάνει Βυζαντίους Θρᾳκικός. Σῶξε δή μοι τὰ φίλτατα τοῦ γένους μέχρι τῆς τοῦ πολέμου τύχης.

4 Ταῦτα ὁ πατὴρ ἀναγνοὺς ἀναπηδᾷ καὶ ἐπὶ τὴν θάλατταν ἐκτρέχει καὶ μικρὸν ὕστερον αὖθις ἐπανῆκεν. Εἵποντο δὲ αὐτῷ κατόπιν πολὺ πλῆθος οἰκετῶν καὶ θεραπαινίδων, ἃς συνεκπέμψας ὁ Σώστρατος

1 post γάρ· ἐξαίφνης

ἔτυχε ταῖς γυναιξίν· ἐν μέσοις δὲ ἦν γυνὴ μεγάλη καὶ πλουσία τῇ στολῇ. Ὡς δὲ ἐνέτεινα τοὺς ὀφθαλ- 2
μοὺς ἐπ' αὐτήν, ἐν ἀριστερᾷ παρθένος ἐκφαίνεταί μοι, καὶ καταστράπτει μου τοὺς ὀφθαλμοὺς τῷ
προσώπῳ. Τοιαύτην εἶδον ἐγώ ποτε ἐπὶ ταύρῳ γε- 3
γραμμένην Σελήνην· ὄμμα γοργὸν ἐν ἡδονῇ· κόμη ξανθή, τὸ ξανθὸν οὖλον· ὀφρὺς μέλαινα, τὸ μέλαν ἄκρατον· λευκὴ παρειά, τὸ λευκὸν ἐς μέσον ἐφοινίσσετο καὶ ἐμιμεῖτο πορφύραν, οἵαν εἰς τὸν ἐλέφαντα Λυδία βάπτει γυνή· τὸ στόμα ῥόδων ἄνθος ἦν, ὅταν ἄρχηται τὸ ῥόδον ἀνοίγειν τῶν φύλλων τὰ χείλη. Ὡς δὲ εἶδον, εὐθὺς ἀπωλώλειν· 4
κάλλος γὰρ ὀξύτερον τιτρώσκει βέλους καὶ διὰ τῶν ὀφθαλμῶν ἐς τὴν ψυχὴν καταρρεῖ· ὀφθαλμὸς γὰρ ὁδὸς ἐρωτικῷ τραύματι. Πάντα δέ με εἶχεν ὁμοῦ, 5
ἔπαινος, ἔκπληξις, τρόμος, αἰδώς, ἀναίδεια· ἐπήνουν τὸ μέγεθος, ἐκπεπλήγμην τὸ κάλλος, ἔτρεμον τὴν καρδίαν, ἔβλεπον ἀναιδῶς, ἡδούμην ἁλῶναι· τοὺς δὲ ὀφθαλμοὺς ἀφέλκειν μὲν ἀπὸ τῆς κόρης ἐβιαζόμην, οἱ δὲ οὐκ ἤθελον, ἀλλ' ἀνθεῖλκον ἑαυτοὺς ἐκεῖ τῷ τοῦ κάλλους ἑλκόμενοι πείσματι, καὶ τέλος ἐνίκησαν.

Αἱ μὲν δὴ κατήγοντο πρὸς ἡμᾶς, καὶ αὐταῖς ὁ 5
πατὴρ μέρος τι τῆς οἰκίας ἀποτεμόμενος εὐτρεπίζει δεῖπνον. Καὶ ἐπεὶ καιρὸς ἦν, συνεπίνομεν κατὰ δύο τὰς κλίνας διαλαχόντες, οὕτω γὰρ ἔταξεν ὁ πατήρ· αὐτὸς κἀγὼ τὴν μέσην, αἱ μητέρες αἱ δύο τὴν ἐν ἀριστερᾷ, τὴν δεξιὰν εἶχον αἱ παρθένοι. Ἐγὼ δὲ ὡς 2
ταύτην ἤκουσα τὴν εὐταξίαν, μικροῦ προσελθὼν κατεφίλησα τὸν πατέρα, ὅτι μοι κατ' ὀφθαλμοὺς ἀνέκλινε τὴν παρθένον. Τί μὲν οὖν ἔφαγον, μὰ τοὺς 3
θεούς, ἔγωγε οὐκ ἤδειν, ἐῴκειν γὰρ τοῖς ἐν ὀνείροις

ἐσθίουσιν· ἐρείσας δὲ κατὰ τῆς στρωμνῆς τὸν ἀγκῶνα καὶ ἐγκλίνας ἑμαυτόν, ὅλοις ἔβλεπον τὴν κόρην τοῖς προσώποις, κλέπτων ἅμα τὴν θέαν· τοῦτο γάρ
4 μοι ἦν τὸ δεῖπνον. Ὡς δὲ ἦμεν ἀπὸ τοῦ δείπνου, παῖς εἰσέρχεται κιθάραν ἁρμοσάμενος, τοῦ πατρὸς 5
οἰκέτης, καὶ ψιλαῖς τὸ πρῶτον διατινάξας ταῖς χερσὶ τὰς χορδὰς ἔκρουε καί τι κρουμάτιον λιγήνας ὑποψιθυρίζουσι τοῖς δακτύλοις, μετὰ τοῦτο ἤδη τῷ πλήκτρῳ τὰς χορδὰς ἔκρουε, καὶ ὀλίγον ὅσον κιθαρίσας
5 συνῇδε τοῖς κρούμασι. Τὸ δὲ ᾆσμα ἦν Ἀπόλλων μεμ- 10
φόμενος τὴν Δάφνην φεύγουσαν καὶ διώκων ἅμα καὶ μέλλων καταλαμβάνειν καὶ γινομένη φυτὸν ἡ κόρη καὶ Ἀπόλλων τὸ φυτὸν στεφανούμενος. Τοῦτό μοι
6 μᾶλλον τὴν ψυχὴν ἐξέκαυσεν· ὑπέκκαυμα γὰρ ἐπιθυμίας λόγος ἐρωτικός· κἂν εἰς σωφροσύνην τις 15
ἑαυτὸν νουθετῇ, τῷ παραδείγματι πρὸς τὴν μίμησιν ἐρεθίζεται, μάλισθ' ὅταν ἐκ τοῦ κρείττονος ᾖ τὸ παράδειγμα· ἡ γὰρ ὧν ἁμαρτάνει τις αἰδὼς τῷ τοῦ
7 βελτίονος ἀξιώματι παρρησία γίνεται. Καὶ ταῦτα πρὸς ἐμαυτὸν ἔλεγον "ἰδοὺ καὶ Ἀπόλλων ἐρᾷ, κἀκεῖ- 20
νος παρθένου, καὶ ἐρῶν οὐκ αἰσχύνεται, ἀλλὰ διώκει τὴν παρθένον· σὺ δὲ ὀκνεῖς καὶ αἰδῇ καὶ ἀκαίρως σωφρονεῖς; μὴ κρείττων εἶ τοῦ θεοῦ;"
6 Ὡς δὲ ἦν ἑσπέρα, πρότεραι μὲν πρὸς ὕπνον ἐτράπησαν αἱ γυναῖκες, μικρὸν δὲ ὕστερον καὶ ἡμεῖς, 25
οἱ μὲν [δὴ] ἄλλοι τῇ γαστρὶ μετρήσαντες τὴν ἡδονήν, ἐγὼ δὲ τὴν εὐωχίαν ἐν τοῖς ὀφθαλμοῖς φέρων, τῶν τε τῆς κόρης προσώπων γεμισθεὶς καὶ ἀκράτῳ θεάματι καὶ μέχρι κόρου προελθὼν ἀπῆλθον μεθύων
2 ἔρωτι. Ὡς δὲ εἰς τὸ δωμάτιον παρῆλθον, ἔνθα μοι 30

---

14 post μᾶλλον: ᾀσθέν

καθεύδειν ἔθος ἦν, οὐδὲ ὕπνου τυχεῖν ἠδυνάμην.
Ἔστι μὲν γὰρ φύσει καὶ τἄλλα νοσήματα καὶ τὰ τοῦ
σώματος τραύματα [ἐν] νυκτὶ χαλεπώτερα, καὶ
ἐπανίσταται μᾶλλον ἡμῖν ἡσυχάζουσι καὶ ἐρεθίζει τὰς
ἀλγηδόνας· ὅταν γὰρ ἀναπαύηται τὸ σῶμα, τότε 3
σχολάζει τὸ ἕλκος νοσεῖν· τὰ δὲ τῆς ψυχῆς τραύματα
μὴ κινουμένου τοῦ σώματος, πολὺ μᾶλλον ὀδυνᾷ.
Ἐν ἡμέρᾳ μὲν γὰρ ὀφθαλμοὶ καὶ ὦτα πολλῆς γεμι-
ζόμενα περιεργίας ἐπικουφίζει τῆς νόσου τὴν ἀκμήν,
ἀντιπερισπῶντα τὴν ψυχὴν τῆς εἰς τὸ πονεῖν σχολῆς·
ἐὰν δὲ ἡσυχίᾳ τὸ σῶμα πεδηθῇ, καθ' ἑαυτὴν ἡ ψυχὴ
γενομένη τῷ κακῷ κυμαίνεται. Πάντα γὰρ ἐξεγείρε- 4
ται τότε τὰ τέως κοιμώμενα· τοῖς πενθοῦσιν αἱ λῦ-
παι, τοῖς μεριμνῶσιν αἱ φροντίδες, τοῖς κινδυνεύ-
ουσιν οἱ φόβοι, τοῖς ἐρῶσι τὸ πῦρ. Περὶ δὲ τὴν
ἕω μόλις ἐλεήσας μέ τις ὕπνος ἀνέπαυσεν ὀλίγον.
Ἀλλ' οὐδὲ τότε μου τῆς ψυχῆς ἀπελθεῖν ἤθελεν 5
ἡ κόρη· πάντα γὰρ ἦν μοι Λευκίππη τὰ ἐνύπνια·
διελεγόμην αὐτῇ, συνέπαιζον, συνεδείπνουν, ἡπτό-
μην, πλείονα εἶχον ἀγαθὰ τῆς ἡμέρας. Καὶ γὰρ
κατεφίλησα, καὶ ἦν τὸ φίλημα ἀληθινόν· ὥστ' ἐπει-
δή με ἤγειρεν ὁ οἰκέτης, ἐλοιδορούμην αὐτῷ τῆς
ἀκαιρίας, ὡς ἀπολέσας ὄνειρον οὕτω γλυκύν. Ἀνα- 6
στὰς οὖν ἐβάδιζον ἐξεπίτηδες εἴσω τῆς οἰκίας κατὰ
πρόσωπον τῆς κόρης βιβλίον ἅμα κρατῶν, καὶ ἐγκε-
κυφὼς ἀνεγίνωσκον· τοῖς δὲ ὀφθαλμοῖς, εἰ κατὰ τὰς
θύρας γενοίμην, ἐπίλλιζον κάτωθεν, καί τινας περι-
πατήσας διαύλους καὶ ἐποχετευσάμενος ἐκ τῆς θέας
ἔρωτα σαφῶς ἀπήειν ἔχων τὴν ψυχὴν κακῶς. Καὶ
ταῦτά μοι τριῶν ἡμερῶν ἐπυρσεύετο.

Ἦν δέ μοι Κλεινίας ἀνεψιός, ὀρφανὸς καὶ νέος, 7
δύο ἀναβεβηκὼς ἔτη τῆς ἡλικίας τῆς ἐμῆς, ἔρωτι τετε-

λεσμένος· μειρακίου δὲ ὁ ἔρως ἦν. Οὕτω δ' εἶχε
φιλοτιμίας πρὸς αὐτό, ὥστε καὶ ἵππον πριάμενος,
ἐπεὶ θεασάμενον τὸ μειράκιον ἐπῄνεσεν, εὐθὺς ἐχα-
2 ρίσατο φέρων αὐτῷ τὸν ἵππον. Ἔσκωπτον οὖν αὐτὸν
ἀεὶ τῆς ἀμεριμνίας, ὅτι σχολάζει φιλεῖν καὶ δοῦλός
ἐστιν ἐρωτικῆς ἡδονῆς· ὁ δέ μοι μειδιῶν καὶ τὴν
κεφαλὴν ἐπισείων ἔλεγεν "ἔσῃ ποτὲ καὶ σύ μοι δοῦ-
3 λος ταχύ." Πρὸς τοῦτον ἀπιὼν καὶ ἀσπασάμενος καὶ
παρακαθισάμενος "ἔδωκα" ἔφην "ὦ Κλεινία, σοι
δίκην τῶν σκωμμάτων· δοῦλος γέγονα κἀγώ." Ἀνα-
κροτήσας οὖν τὰς χεῖρας ἐξεγέλασε καὶ ἀναστὰς κατ-
εφίλησέ μου τὸ πρόσωπον ἐμφαῖνον ἐρωτικὴν ἀγρυ-
πνίαν, καὶ "ἐρᾷς" εἶπεν "ἐρᾷς ἀληθῶς· οἱ ὀφθαλ-
μοί σου λέγουσιν." Ἄρτι δὲ λέγοντος αὐτοῦ Χαρικλῆς
εἰστρέχει (τοῦτο γὰρ ἦν ὄνομα τῷ μειρακίῳ) τεθο-
4 ρυβημένος "οἴχομαί σοι" λέγων "Κλεινία." Καὶ
συνεστέναξεν ὁ Κλεινίας, ὥσπερ ἐκ τῆς ἐκείνου ψυ-
χῆς κρεμάμενος, καὶ τῇ φωνῇ τρέμων "ἀποκτενεῖς'
εἶπε "σιωπῶν· τί σε λυπεῖ; τίνι δεῖ μάχεσθαι;" Καὶ
ὁ Χαρικλῆς "γάμον" εἶπεν "ὁ πατήρ μοι προξενεῖ,
καὶ γάμον ἀμόρφου κόρης, ἵνα διπλῷ συνοικῶ κακῷ·
πονηρὸν μὲν γὰρ γυνή, κἂν εὔμορφος ᾖ· ἐὰν δὲ καὶ
5 ἀμορφίαν δυστυχῇ, τὸ κακὸν διπλοῦν. Ἀλλὰ πρὸς
τὸν πλοῦτον ὁ πατὴρ ἀποβλέπων σπουδάζει τὸ κῆδος·
ἐκδίδομαι ὁ δυστυχὴς τοῖς ἐκείνης χρήμασιν, ἵνα
γήμω πωλούμενος."
8 Ὡς οὖν ταῦτα ἤκουσεν ὁ Κλεινίας, ὠχρίασεν.
Ἐπιπαρώξυνεν οὖν τὸ μειράκιον ἀπωθεῖσθαι τὸν γά-
μον, τὸ τῶν γυναικῶν γένος λοιδορῶν. "Γάμον"
εἶπεν "ἤδη σοι δίδωσιν ὁ πατήρ; τί γὰρ ἠδίκηκας,
2 ἵνα πεδηθῇς; Οὐκ ἀκούεις τοῦ Διὸς λέγοντος

'τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμόν, ἑὸν κακὸν ἀμφαγαπῶντες;'

Αὕτη γυναικῶν ἡδονή, καὶ ἔοικε τῇ τῶν Σειρήνων φύσει· κἀκεῖναι γὰρ ἡδονῇ φονεύουσιν ᾠδῆς. Ἔστι 3
δέ σοι συνιέναι τὸ μέγεθος τοῦ κακοῦ καὶ ἀπ' αὐτῆς τῆς τοῦ γάμου παρασκευῆς. Βόμβος αὐλῶν, δικλίδων κτύπος, πυρσῶν δᾳδουχία. Ἐρεῖ τις ἰδὼν τοσοῦτον κυδοιμόν· 'Ἀτυχὴς ὁ μέλλων γαμεῖν·· ἐπὶ πόλεμον, δοκῶ μοι, πέμπεται.' Ἀλλ' εἰ μὲν ἰδιώτης ἦσθα μουσικῆς, ἠγνόεις ἂν τὰ τῶν γυναικῶν δράματα· νῦν δὲ κἂν ἄλλοις λέγοις ὅσων ἐνέπλησαν μύθων γυναῖκες τὴν σκηνήν. Ὅρμος Ἐριφύλης, Φιλομήλας ἡ τράπεζα, Σθενεβοίας ἡ διαβολή, Ἀερόπης ἡ κλοπή, Πρόκνης ἡ σφαγή. Ἂν τὸ Χρυσηίδος κάλλος Ἀγαμέμνων ποθῇ, λοιμὸν τοῖς Ἕλλησι ποιεῖ· ἂν τὸ Βρισηίδος κάλλος Ἀχιλλεὺς [ποθῇ], πένθος αὐτῷ προξενεῖ· ἐὰν ἔχῃ γυναῖκα Κανδαύλης καλήν, φονεύει Κανδαύλην ἡ γυνή. Τὸ μὲν [γὰρ] Ἑλένης τῶν 6
γάμων πῦρ ἀνῆψε κατὰ τῆς Τροίας ἄλλο πῦρ, ὁ δὲ Πηνελόπης γάμος τῆς σώφρονος πόσους νυμφίους ἀπώλεσεν; Ἀπέκτεινεν Ἱππόλυτον φιλοῦσα Φαίδρα, Κλυταιμνήστρα δὲ Ἀγαμέμνονα μὴ φιλοῦσα. Ὦ 7
πάντα τολμῶσαι γυναῖκες· κἂν φιλῶσι, φονεύουσι· κἂν μὴ φιλῶσι, φονεύουσιν. Ἀγαμέμνονα ἔδει φονευθῆναι τὸν καλόν, οὗ κάλλος οὐράνιον ἦν,

ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ·

καὶ ταύτην ἀπέκοψεν, ὦ Ζεῦ, τὴν κεφαλὴν γυνή.
Καὶ ταῦτα μὲν περὶ τῶν εὐμόρφων ἂν εἴποι τις γυ- 8
ναικῶν, ἔνθα καὶ μέτριον τὸ ἀτύχημα· τὸ γὰρ κάλ-

λος ἔχει παρηγορίαν τῶν κακῶν, καὶ τοῦτ' ἔστιν ἐν ἀτυχήμασιν εὐτύχημα· εἰ δὲ μηδὲ εὔμορφος, ὡς φῄς, ἡ συμφορὰ διπλῆ. Καὶ πῶς ἄν τις ἀνάσχοιτο, καὶ
9 ταῦτα μειράκιον οὕτω καλόν; Μή, πρὸς θεῶν, Χαρίκλεις, μήπω μοι δοῦλος γένῃ, μηδὲ τὸ ἄνθος πρὸ καιροῦ τῆς ἥβης ἀπολέσῃς. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ τοῦτ' ἔστι τοῦ γάμου τὸ ἀτύχημα· μαραίνει τὴν ἀκμήν. Μή, δέομαι, Χαρίκλεις, μήπω μοι μαρανθῇς· μὴ παραδῷς εὔμορφον τρυγῆσαι ῥόδον ἀμόρφῳ
10 γεωργῷ." Καὶ ὁ Χαρικλῆς "ταῦτα μὲν" ἔφη "θεοῖς κἀμοὶ μελήσει· καὶ γὰρ εἰς τὴν προθεσμίαν τῶν γάμων χρόνος ἐστὶν ἡμερῶν, πολλὰ δ' ἂν γένοιτο κἀν
11 νυκτὶ μιᾷ. Τὸ δὲ νῦν ἔχον ἐφ' ἱππασίαν ἄπειμι. Ἐξ ὅτου γάρ μοι τὸν ἵππον ἐχαρίσω τὸν καλόν, οὔπω σου τῶν δώρων ἀπέλαυσα. Ἐπικουφιεῖ δέ μοι τὸ γυμνάσιον τῆς ψυχῆς τὸ λυπούμενον." Ὁ μὲν οὖν ἀπῄει τὴν τελευταίαν ὁδόν, ὕστατα καὶ πρῶτα μελλήσων ἱππάζεσθαι.

9 Ἐγὼ δὲ πρὸς τὸν Κλεινίαν καταλέγω μου τὸ δρᾶμα πῶς ἐγένετο· πῶς ἴδοιμι, πῶς πάθοιμι, τὴν καταγωγήν, τὸ δεῖπνον, τὸ κάλλος τῆς κόρης. Τελευτῶν δὲ τῷ λόγῳ συνίειν ἀσχημονῶν "οὐ φέρω" λέγων "Κλεινία, τὴν ἀνίαν· ὅλος γάρ μοι προσέπεσεν ὁ ἔρως, καὶ αὐτόν μου διώκει τὸν ὕπνον τῶν
2 ὀμμάτων· πάντοτε Λευκίππην φαντάζομαι. Οὐ γέγονεν ἄλλῳ τινὶ τοιοῦτον ἀτύχημα· τὸ γὰρ κακόν μοι καὶ συνοικεῖ." Καὶ ὁ Κλεινίας "ληρεῖς" εἶπεν "οὕτως εἰς ἔρωτα εὐτυχῶν. Οὐ γὰρ ἐπ' ἀλλοτρίας θύρας ἐλθεῖν σε δεῖ οὐδὲ διάκονον παρακαλεῖν· αὐτήν σοι δέδωκε τὴν ἐρωμένην ἡ τύχη καὶ φέρουσα ἔνδον

13 post μιᾷ: καὶ κατὰ σχολὴν τηρήσομεν

ἴδρυσεν. Ἄλλῳ μὲν γὰρ ἐραστῇ καὶ τὸ βλέμμα μόνον 3
ἤρκεσε τῆς ἐρωμένης παρθένου, καὶ μέγιστον τοῦτο
ἀγαθὸν νενόμικεν ἐραστὴς ἐὰν καὶ μέχρι τῶν ὀμμά-
των εὐτυχῇ, οἱ δὲ εὐδαιμονέστεροι τῶν ἐραστῶν ἂν
τύχωσι κἂν ῥήματος μόνον· σὺ δὲ καὶ βλέπεις ἀεὶ
καὶ ἀκούεις ἀεὶ καὶ συνδειπνεῖς καὶ συμπίνεις. Καὶ 4
ταῦτα εὐτυχῶν ἐγκαλεῖς; ἀχάριστος εἶ πρὸς ἔρωτος
δωρεάν. Οὐκ οἶδας οἷόν ἐστιν ἐρωμένη βλεπομένη·
μεῖζονα τῶν ἔργων ἔχει τὴν ἡδονήν. Ὀφθαλμοὶ γὰρ
ἀλλήλοις ἀνταναπλώμενοι ἀπομάττουσιν ὡς ἐν κατό-
πτρῳ τῶν σωμάτων τὰ εἴδωλα, ἡ δὲ τοῦ κάλλους
ἀπορροὴ δι' αὐτῶν εἰς τὴν ψυχὴν καταρρέουσα ἔχει
τινὰ μίξιν ἐν ἀποστάσει· καὶ γλυκίων ἐστὶ τῆς τῶν 5
σωμάτων μίξεως· καινὴ γάρ ἐστι σωμάτων συμ-
πλοκή. Ἐγὼ δέ σοι καὶ τὸ ἔργον ἔσεσθαι ταχὺ μαν-
τεύομαι· μέγιστον γάρ ἐστιν ἐφόδιον εἰς πειθὼ
συνεχὴς πρὸς ἐρωμένην ὁμιλία. Ὀφθαλμὸς γὰρ φι-
λίας πρόξενος καὶ τὸ σύνηθες τῆς κοινωνίας εἰς χάριν
ἀνυσιμώτερον. Εἰ γὰρ τὰ ἄγρια τῶν θηρίων συν- 6
ηθεία τιθασεύεται, πολὺ μᾶλλον ταύτῃ μαλαχθείη
καὶ γυνή. Ἔχει δέ τι πρὸς παρθένον ἐπαγωγὸν ἡλι-
κιώτης ἐρῶν· τὸ δὲ ἐν ὥρᾳ τῆς ἀκμῆς ἐπεῖγον εἰς
τὴν φύσιν καὶ τὸ συνειδὸς τοῦ φιλεῖσθαι τίκτει πολ-
λάκις ἀντέρωτα. Θέλει γὰρ ἑκάστη τῶν παρθένων
εἶναι καλὴ καὶ φιλουμένη χαίρει καὶ ἐπαινεῖ τῆς
μαρτυρίας τὸν φιλοῦντα· κἂν μὴ φιλήσῃ τις αὐτήν,
οὔπω πεπίστευκεν εἶναι καλή. Ἐν οὖν σοι παραινῶ 7
μόνον, ἐρᾶσθαι πιστευσάτω, καὶ ταχέως σε μιμήσε-
ται." "Πῶς ἂν οὖν" εἶπον "γένοιτο τοῦτο τὸ μάν-
τευμα; δός μοι τὰς ἀφορμάς· σὺ γὰρ ἀρχαιότερος μύ-
στης ἐμοῦ καὶ συνηθέστερος ἤδη τῇ τελετῇ τοῦ θεοῦ.

Τί λέγω; τί ποιῶ; πῶς ἂν τύχοιμι τῆς ἐρωμένης; Οὐκ οἶδα γὰρ τὰς ὁδούς."

"*Μηδὲν*" εἶπεν ὁ *Κλεινίας* "*πρὸς ταῦτα ζήτει παρ' ἄλλου μαθεῖν· αὐτοδίδακτος γάρ ἐστιν ὁ θεὸς σοφιστής. Ὥσπερ γὰρ τὰ ἀρτίτοκα τῶν βρεφῶν οὐδεὶς διδάσκει τὴν τροφήν (αὐτόματα γὰρ ἐκμανθάνει καὶ οἶδεν ἐν τοῖς μαζοῖς οὖσαν αὐτοῖς τὴν τράπεζαν), οὕτω καὶ νεανίσκος ἔρωτος πρωτοκύμων οὐ δεῖται διδασκαλίας πρὸς τὸν τοκετόν. Ἐὰν γὰρ ἡ ὠδὶς παραγένηται καὶ ἐνστῇ τῆς ἀνάγκης ἡ προθεσμία, μηδὲν πλανηθείς, κἂν πρωτοκύμων ᾖς, εὑρήσεις τεκεῖν ὑπ' αὐτοῦ μαιωθεὶς τοῦ θεοῦ. Ὅσα δ' ἐστὶ κοινὰ καὶ μὴ τῆς εὐκαίρου τύχης δεόμενα, ταῦτα ἀκούσας μάθε. Μηδὲν μὲν εἴπῃς πρὸς τὴν παρθένον ἀφροδίσιον, τὸ δὲ ἔργον ζήτει πῶς γένηται σιωπῇ. Παῖς γὰρ καὶ παρθένος ὅμοιοι μὲν εἰς αἰδῶ· πρὸς δὲ τὴν τῆς Ἀφροδίτης χάριν κἂν [[τὴν]] γνώμην ἔχωσιν, ἃ πάσχουσιν ἀκούειν οὐ θέλουσι· τὴν γὰρ αἰσχύνην κεῖσθαι νομίζουσιν ἐν τοῖς ῥήμασι. Γυναῖκας μὲν γὰρ εὐφραίνει καὶ τὰ ῥήματα· παρθένος δὲ τοὺς μὲν ἔξωθεν ἀκροβολισμοὺς τῶν ἐραστῶν εἰς πεῖραν φέρει καὶ ἄφνω συντίθεται τοῖς νεύμασιν· ἐὰν δὲ αἰτήσῃς τὸ ἔργον προσελθών, ἐκπλήξεις αὐτῆς τὰ ὦτα τῇ φωνῇ, καὶ ἐρυθριᾷ καὶ μισεῖ τὸ ῥῆμα καὶ λοιδορεῖσθαι δοκεῖ κἂν ὑποσχέσθαι θέλῃ τὴν χάριν, αἰσχύνεται· τότε γὰρ πάσχειν νομίζει τὸ ἔργον, ὅτε [μᾶλλον] τὴν πεῖραν ἐκ τῆς τῶν λόγων ἡδονῆς ἀκούει. Ἐὰν δὲ τὴν πεῖραν προσαγαγὼν τὴν ἄλλην καὶ εὐάγωγον αὐτὴν παρασκευάσας ἡδέως ἤδη προσέρχῃ, σιώπα μὲν οὖν τὰ πολλὰ ὡς ἐν μυστηρίῳ, φίλησον δὲ προσελθὼν ἡρέμα· τὸ γὰρ ἐραστοῦ φίλημα πρός ἐρωμένην θέλουσαν μὲν παρέχειν αἰτησίς ἐστι, πρὸς*

ἀπειθοῦσαν δὲ ἱκετηρία. Κἂν μὲν προσῇ τις συνθήκη 6
τῆς πράξεως * * πολλάκις δὲ καὶ ἑκοῦσαι πρὸς τὸ
ἔργον ἐρχόμεναι θέλουσι βιάζεσθαι δοκεῖν, ἵνα τῇ
δόξῃ τῆς ἀνάγκης ἀποτρέπωνται τῆς αἰσχύνης τὸ
ἑκούσιον. Μὴ τοίνυν ὀκνήσῃς, ἐὰν ἀνθισταμένην
ἴδῃς, ἀλλ' ἐπιτήρει πῶς ἀνθίσταται· σοφίας γὰρ
κἀνταῦθα δεῖ. Κἂν μὲν προσκαρτερῇ, ἐπίσχες τὴν 7
βίαν· οὔπω γὰρ πείθεται· ἐὰν δὲ μαλθακώτερον
ἤδη θέλῃς, χορήγησον τὴν ὑπόκρισιν, μὴ ἀπολέσῃς
σου τὸ δρᾶμα."

Κἀγὼ "μεγάλα μὲν" ἔφην "ἐφόδιά μοι δέδωκας 11
καὶ εὔχομαι τυχεῖν, Κλεινία· φοβοῦμαι δ' ὅμως μὴ
κακῶν μοι γένηται τὸ εὐτύχημα μειζόνων ἀρχὴ καὶ
ἐπιτρίψῃ με πρὸς ἔρωτα πλείονα. Ἂν οὖν αὐξηθῇ
μοι τὸ δεινόν, τί δράσω; γαμεῖν μὲν οὐκ ἂν δυ- 2
ναίμην· ἄλλῃ γὰρ δέδομαι παρθένῳ· ἐπίκειται δέ
μοι πρὸς τοῦτον τὸν γάμον ὁ πατὴρ δίκαια αἰτῶν,
οὐ ξένην, οὐδὲ αἰσχρὰν γῆμαι κόρην, οὐδ' ὡς Χαρι-
κλέα πλούτῳ με πωλεῖ, ἀλλ' αὐτοῦ μοι δίδωσι θυγα-
τέρα, καλὴν μέν, ὦ θεοί, πρὶν Λευκίππην ἰδεῖν,
νῦν δὲ πρὸς τὸ κάλλος αὐτῆς τυφλώττω καὶ πρὸς
Λευκίππην μόνην τοὺς ὀφθαλμοὺς ἔχω. Ἐν μεθορίῳ 3
κεῖμαι δύο ἐναντίων· Ἔρως ἀνταγωνίζεται καὶ πατήρ.
Ὁ μὲν ἔστηκεν αἰδοῖ κρατῶν, ὁ δὲ κάθηται πυρπο-
λῶν. Πῶς κρίνω τὴν δίκην; ἀνάγκη μάχεται καὶ
φύσις, καὶ θέλω μὲν σοὶ δικάσαι, πάτερ, ἀλλ' ἀντί-
δικον ἔχω χαλεπώτερον. Βασανίζει τὸν δικαστήν,
ἕστηκε μετὰ βελῶν, κρίνει μετὰ πυρός. Ἂν ἀπει-
θήσω, πάτερ, αὐτῷ, κάομαι τῷ πυρί."

Ἡμεῖς μὲν οὖν ταῦτα ἐφιλοσοφοῦμεν περὶ τοῦ 12
θεοῦ· ἐξαίφνης δέ τις εἰστρέχει τῶν τοῦ Χαρικλέους
οἰκετῶν, ἔχων ἐπὶ τοῦ προσώπου τὴν ἀγγελίαν τοῦ

κακοῦ, ὡς τὸν Κλεινίαν εὐθὺς ἀνακραγεῖν θεασάμενον "κακόν τι γέγονε Χαρικλεῖ." Ἅμα δὲ αὐτοῦ λέγοντος συνεξεφώνησεν ὁ οἰκέτης "τέθνηκε
2 *Χαρικλῆς." Τὸν μὲν δὴ Κλεινίαν πρὸς τὴν ἀγγελίαν ἀφῆκεν ἡ φωνὴ καὶ ἔμεινεν ἀκίνητος, ὥσπερ τυφῶνι βεβλημένος τῷ λόγῳ· ὁ δὲ οἰκέτης διηγεῖται "ἐπὶ τὸν ἵππον τὸν σὸν ἐκάθισεν, ὦ Κλεινία, ὃς τὰ μὲν πρῶτα ἤλαυνεν ἠρέμα· δύο δὲ ἢ τρεῖς δρόμους περιελθὼν τὴν ἱππασίαν ἐπέσχε καὶ τὸν ἵππον ἱδροῦντα*
3 *κατέψα καθήμενος, τοῦ ῥυτῆρος ἀμελήσας. Ἀπομάττοντος δὲ τῆς ἕδρας τοὺς ἱδρῶτας ψόφος κατόπιν γίνεται, καὶ ὁ ἵππος ἐκταραχθεὶς πηδᾷ ὄρθιος ἀρθεὶς καὶ ἀλογίστως ἐφέρετο. Τὸν γὰρ χαλινὸν ἐνδακὼν καὶ τὸν αὐχένα γυρώσας φρίξας τε τὴν κόμην, οἰστρηθεὶς τῷ φόβῳ διαέριος ἵπτατο. Τῶν δὲ ποδῶν*
4 *οἱ μὲν ἔμπροσθεν ἤλλοντο, οἱ δὲ ὄπισθεν τοὺς ἔμπροσθεν ἐπειγόμενοι φθάσαι τὸν δρόμον ἐπέσπευδον, [διώκοντες τὸν ἵππον.] Ὁ δὲ ἵππος τῇ τῶν ποδῶν κυρτούμενος ἀμίλλῃ, ἄνω τε καὶ κάτω πηδῶν πρὸς τὴν ἑκατέρων σπουδὴν δίκην νεὼς χειμαζομένης τοῖς νώτοις ἐκυμαίνετο. Ὁ δὲ κακοδαίμων Χαρικλῆς ὑπὸ τοῦ τῆς ἱππείας ταλαντευόμενος κύματος ἐκ τῆς ἕδρας ἐσφαιρίζετο, ποτὲ μὲν ἐπ' οὐρὰν κατολισθάνων, ποτὲ δὲ ἐπὶ τράχηλον κυβιστῶν· ὁ δὲ τοῦ κλύδωνος*
5 *ἐπίεζεν αὐτὸν χειμών. Τῶν δὲ ῥυτήρων οὐκέτι κρατεῖν δυνάμενος, δοὺς δὲ ἑαυτὸν τῷ τοῦ δρόμου πνεύματι, τῆς τύχης ἦν. Ὁ δὲ ἵππος ῥύμῃ θέων ἐκτρέπεται τῆς λεωφόρου καὶ ἐς ὕλην ἐπήδησε καὶ εὐθὺς τὸν ἄθλιον Χαρικλέα περιρρήγνυσι δένδρῳ. Ὁ δὲ ὡς ἀπὸ μηχανῆς προσαραχθεὶς ἐκκρούεται μὲν τῆς ἕδρας, ὑπὸ δὲ τῶν τοῦ δένδρου κλάδων τὸ πρόσωπον αἰσχύνεται καὶ τοσούτοις περιδρύπτεται*

τραύμασιν, ὅσαι τῶν κλάδων ἦσαν αἱ αἱχμαί. Οἱ 6
δὲ ῥυτῆρες αὐτῷ περιδεθέντες οὐκ ἤθελον ἀφεῖναι
τὸ σῶμα, ἀλλ' ἀνθεῖλκον αὐτὸ περισύροντες θανά-
του τρίβον. Ὁ δὲ ἵππος ἔτι μᾶλλον ἐκταραχθεὶς
τῷ πτώματι καὶ ἐμποδιζόμενος εἰς τὸν δρόμον τῷ
σώματι κατεπάτει τὸν ἄθλιον, ἐκλακτίζων τὸν
δεσμὸν τῆς φυγῆς· ὥστε οὐκ ἂν αὐτόν τις ἰδὼν
γνωρίσειε."

Ταῦτα μὲν οὖν ἀκούων ὁ Κλεινίας ἐσίγα τινὰ 13
χρόνου ὑπ' ἐκπλήξεως, μεταξὺ δὲ νήψας ἐκ τοῦ κα-
κοῦ διωλύγιον ἐκώκυσε καὶ ἐκδραμεῖν ἐπὶ τὸ σῶμα
ἠπείγετο· ἐπηκολούθουν δὲ κἀγώ, παρηγορῶν ὡς
ἠδυνάμην. Καὶ ἐν τούτῳ φοράδην Χαρικλῆς ἐκομί- 2
ξετο, θέαμα οἰκτιστον καὶ ἐλεεινόν· ὅλος γὰρ τραῦμα
ἦν, ὥστε μηδένα τῶν παρόντων κατασχεῖν τὰ δάκ-
ρυα. Ἐξῆρχε δὲ τοῦ θρήνου ὁ πατὴρ πολυτάρακτον
βοῶν "οἷος ἀπ' ἐμοῦ προελθὼν οἷος ἐπανέρχῃ μοι,
τέκνον; ὢ πονηρῶν ἱππασμάτων. Οὐδὲ κοινῷ μοι
θανάτῳ τέθνηκας· οὐδ' εὐσχήμων φαίνῃ νεκρός.
Τοῖς μὲν γὰρ ἄλλοις τῶν ἀποθανόντων κἂν ἴχνος τῶν 3
γνωρισμάτων διασώζεται· κἂν τὸ ἄνθος τις τῶν
προσώπων ἀπολέσῃ, τηρεῖ τὸ εἴδωλον καὶ παρηγορεῖ
τὸ λυπούμενον καθεύδοντα μιμούμενος· τὴν μὲν γὰρ
ψυχὴν ἕξεῖλεν ὁ θάνατος, ἐν δὲ τῷ σώματι τηρεῖ τὸν
ἄνθρωπον. Σοῦ δὲ ὁμοῦ καὶ ταῦτα διέφθειρεν ἡ 4
τύχη, καί μοι τέθνηκας θάνατον διπλοῦν, ψυχῆς
καὶ σώματος. Ὄντως σου τέθνηκε καὶ τῆς εἰκόνος ἡ
σκιά· ἡ μὲν γὰρ ψυχή σου πέφευγεν, οὐχ εὑρίσκω
δέ σε οὐδὲ ἐν τῷ σώματι. Πότε μοι, τέκνον, γαμεῖς; 5
πότε σου θύσω τοὺς γάμους, ἱππεῦ καὶ νυμφίε· νυμ-
φίε μὲν ἀτελής, ἱππεῦ δὲ δυστυχής. Τάφος μέν σοι,
τέκνον, ὁ θάλαμος, γάμος δὲ ὁ θάνατος, θρῆνος δὲ

ὁ ὑμέναιος· ὁ δὲ κωκυτὸς οὗτος τῶν γάμων ᾠδαί.
6 Ἄλλο σοι, τέκνον, προσεδόκων πῦρ ἀνάψειν· ἀλλὰ
τοῦτο μὲν ἔσβεσεν ἡ φθονερὰ τύχη μετὰ σοῦ· ἀνάπτει
δέ σοι δᾷδας κακῶν. Ὢ πονηρᾶς ταύτης δᾳδουχίας.
Ἡ νυμφική σοι δᾳδουχία ταφὴ γίνεται."
14 Ταῦτα μὲν οὖν οὕτως ἐκώκυεν ὁ πατήρ· ἑτέρωθεν δὲ καθ' αὑτὸν ὁ Κλεινίας· καὶ ἦν θρήνων
ἅμιλλα, ἐραστοῦ καὶ πατρός. "Ἐγώ μου τὸν δεσπότην
ἀπολώλεκα. Τί γὰρ αὐτῷ τοιοῦτον δῶρον ἐχαριζόμην; φιάλη γὰρ οὐκ ἦν χρυσῆ, ἵν' ἐσπένδετο πίνων
2 καὶ ἐχρῆτό μου τῷ δώρῳ τρυφῶν; Ἐγὼ δὲ ὁ κακοδαίμων ἐχαριζόμην θηρίον μειρακίῳ καλῷ, ἐκαλλώπιζον δὲ καὶ τὸ πονηρὸν θηρίον προστερνιδίοις, προμετωπιδίοις, φαλάροις ἀργυροῖς, χρυσαῖς ἡνίαις.
Οἴμοι Χαρίκλεις· ἐκόσμησά σου τὸν φονέα χρυσῷ.
Ἵππε πάντων θηρίων ἀγριώτατε, πονηρὲ καὶ ἀχά-
3 ριστε καὶ ἀναίσθητε κάλλους. Ὁ μὲν κατέψα σου τοὺς ἰδρῶτας καὶ τροφὰς ἐπηγγέλλετο πλείονας καὶ ἐπήνει τὸν δρόμον, σὺ δὲ ἀπέκτεινας ἐπαινούμενος. Οὐχ ἥδου προσαπτομένου σου τοιούτου σώματος, οὐκ ἦν σοι τοιοῦτος ἱππεὺς τρυφή, ἀλλ' ἔρριψας, ἄστοργε, τὸ κάλλος χαμαί. Οἴμοι δυστυχής· ἐγώ σοι τὸν φονέα, τὸν ἀνδροφόνον ἐωνησάμην."
15 Μετὰ δὲ τὴν ταφὴν εὐθὺς ἔσπευδον ἐπὶ τὴν κόρην· ἡ δὲ ἦν ἐν τῷ παραδείσῳ τῆς οἰκίας. Ὁ δὲ
παράδεισος ἄλσος ἦν, μέγα τι χρῆμα πρὸς ὀφθαλμῶν
ἡδονήν· καὶ περὶ τὸ ἄλσος τειχίον ἦν αὔταρκες εἰς
ὕψος καὶ ἑκάστη πλευρὰ [[τοῦ]] τειχίου (τέσσαρες δὲ
ἦσαν πλευραὶ) κατάστεγος ὑπὸ χορῷ κιόνων· ὑπὸ δὲ
τοῖς κίοσιν ἔνδον ἦν ἡ τῶν δένδρων πανήγυρις.
2 Ἐθαλλον οἱ κλάδοι, συνέπιπτον ἀλλήλοις ἄλλος ἐπ' ἄλλον, ἐγίνοντο τῶν πετάλων περιπλοκαί, τῶν φύλλων

περιβολαί, τῶν καρπῶν συμπλοκαί· τοιαύτη τις ἦν ὁμιλία τῶν φυτῶν. Ἐνίοις δὲ τῶν δένδρων τῶν ἀδρο- 3
τέρων κιττὸς καὶ σμῖλαξ περιεπεφύκει, ἡ μὲν ἐξηρ-
τημένη πλατάνου καὶ περιπυκάζουσα ῥαδινῇ τῇ κόμῃ·
ὁ δὲ κιττὸς περὶ πεύκην ἑλιχθεὶς ᾠκειοῦτο τὸ δέν-
δρον ταῖς περιπλοκαῖς, καὶ ἐγίνετο τῷ κιττῷ ὄχημα
τὸ φυτόν, στέφανος δὲ ὁ κιττὸς τοῦ φυτοῦ. Ἄμ- 4
πελοι δὲ ἑκατέρωθεν τοῦ δένδρου καλάμοις ἐποχού-
μεναι τοῖς φύλλοις ἔθαλλον, καὶ ὁ καρπὸς ὡραίαν
εἶχε τὴν ἄνθην καὶ διὰ τῆς ὀπῆς τῶν καλάμων ἐξε-
κρέματο καὶ ἦν βόστρυχος τοῦ φυτοῦ· τῶν δὲ φύλ-
λων ἄνωθεν αἰωρουμένων ὑφ' ἡλίῳ πρὸς ἄνεμον
συμμιγεῖ ὠχρὰν ἐμάρμαιρεν ἡ γῆ τὴν σκιάν. Τὰ δὲ 5
ἄνθη ποικίλην ἔχοντα τὴν χρόαν ἐν μέρει συνεξέ-
φαινε τὸ κάλλος, καὶ ἦν τοῦτο τῆς γῆς πορφύρα * *
καὶ νάρκισσος καὶ ῥόδον. Μία μὲν τῷ ῥόδῳ καὶ τῷ
ναρκίσσῳ ἡ κάλυξ ὅσον εἰς περιγραφήν, καὶ ἦν φιάλη
τοῦ φυτοῦ· ἡ χρόα δὲ τῶν περὶ τὴν κάλυκα φύλ-
λων ἐσχισμένων τῷ ῥόδῳ μὲν αἵματος ὁμοῦ καὶ γά-
λακτος, τὸ κάτω τοῦ φύλλου, καὶ ὁ νάρκισσος ἦν τὸ
πᾶν ὅμοιος τῷ κάτω τοῦ ῥόδου. Τῷ [[δὲ]] ἴῳ κάλυξ 6
μὲν οὐδαμοῦ, χρόα δὲ οἵαν ἡ τῆς θαλάσσης ἀστρά-
πτει γαλήνη. Ἐν μέσοις δὲ τοῖς ἄνθεσι πηγὴ ἀνέ-
βλυζε καὶ περιεγέγραπτο τετράγωνος χαράδρα χει-
ροποίητος τῷ ῥεύματι. Τὸ δὲ ὕδωρ τῶν ἀνθέων ἦν
κάτοπτρον, ὡς δοκεῖν τὸ ἄλσος εἶναι διπλοῦν, τὸ
μὲν τῆς ἀληθείας, τὸ δὲ τῆς σκιᾶς. Ὄρνιθες δὲ οἱ 7
μὲν χειροήθεις περὶ τὸ ἄλσος ἐνέμοντο καὶ οὓς ἐκο-
λάκευον αἱ τῶν ἀνθρώπων τροφαί· οἱ δὲ ἐλεύθερον
ἔχοντες τὸ πτερὸν περὶ τὰς τῶν δένδρων κορυφὰς
ἔπαιζον· οἱ μὲν ᾄδοντες τὰ ὀρνίθων ᾄσματα, οἱ δὲ
τῇ τῶν πτερῶν ἀγλαϊζόμενοι στολῇ. Οἱ ᾠδοὶ δὲ τέτ- 8

τιγες καὶ χελιδόνες· οἱ μὲν τὴν Ἠοῦς ἄδοντες εὐνήν, αἱ δὲ τὴν Τηρέως τράπεζαν· οἱ δὲ χειροήθεις ταῶς καὶ κύκνος καὶ ψιττακός· ὁ κύκνος περὶ τὰς τῶν ὑδάτων πίδακας νεμόμενος, ὁ ψιττακὸς ἐν οἰκίσκῳ περὶ δένδρον κρεμάμενος, ὁ ταῶς τοῖς ἄνθεσιν ἐπισύρων τὸ πτερόν. Ἀντέλαμπε δὲ ἡ τῶν ἀνθέων θέα τῇ τῶν ὀρνίθων χρόᾳ καὶ ἦν ἄνθη πτερῶν.

16 Βουλόμενος οὖν εὐάγωγον τὴν κόρην εἰς ἔρωτα παρασκευάσαι, λόγων πρὸς τὸν Σάτυρον ἠρχόμην, ἀπὸ τοῦ ὄρνιθος λαβὼν τὴν εὐκαιρίαν. Διαβαδίζουσα γὰρ ἔτυχεν ἅμα τῇ Κλειοῖ καὶ ἐπιστᾶσα τῷ ταῷ.

2 Ἔτυχε γὰρ τύχῃ τινὶ συμβὰν τότε τὸν ὄρνιν ἀναπτερῶσαι τὸ κάλλος καὶ τὸ θέατρον ἐπιδεικνύναι τῶν πτερῶν. "Τοῦτο μέντοι οὐκ ἄνευ τέχνης ὁ ὄρνις" ἔφην "ποιεῖ· ἀλλ' ἔστι γὰρ ἐρωτικός. Ὅταν γὰρ ἐπαγαγέσθαι θέλῃ τὴν ἐρωμένην, τότε οὕτως καλ-

3 λωπίζεται. Ὁρᾷς ἐκείνην τὴν τῆς πλατάνου πλησίον;" δείξας θήλειαν ταῶν "ταύτῃ νῦν οὗτος τὸ κάλλος ἐπιδείκνυται λειμῶνα πτερῶν. Ὁ δὲ τοῦ ταῶ λειμὼν εὐανθέστερος· πεφύτευται γὰρ αὐτῷ καὶ χρυσὸς ἐν τοῖς πτεροῖς, κύκλῳ δὲ τὸ ἀλουργὲς τὸν χρυσὸν περιθεῖ τὸν ἴσον κύκλον, καὶ ἔστιν ὀφθαλμὸς ἐν τῷ πτερῷ."

17 Καὶ ὁ Σάτυρος συνεὶς τοῦ λόγου μου τὴν ὑπόθεσιν, ἵνα μοι μᾶλλον εἴη περὶ τούτου λέγειν, "ἦ γὰρ ὁ ἔρως" ἔφη "τοσαύτην ἔχει τὴν ἰσχύν, ὡς καὶ μέχρις ὀρνίθων πέμπειν τὸ πῦρ;" "Οὐ μέχρις ὀρνίθων" ἔφην, "τοῦτο γὰρ οὐ θαυμαστόν, ἐπεὶ καὶ αὐτὸς ἔχει πτερόν, ἀλλὰ καὶ ἑρπετῶν καὶ φυτῶν, ἐγὼ

2 δὲ δοκῶ [μοι], καὶ λίθων. Ἐρᾷ γοῦν ἡ Μαγνησία

11 post ταῷ: κατ' αὐτήν

λίθος τοῦ σιδήρου· κἂν μόνον ἴδῃ, πρὸς αὐτὴν εἵλκυσεν, ὥσπερ ἐρωτικόν τι ἔνδον ἔχουσα. Καὶ μή τι τοῦτό ἐστιν ἐρώσης λίθου καὶ ἐρωμένου σιδήρου φίλημα;

Περὶ δὲ τῶν φυτῶν λέγουσι παῖδες σοφῶν· καὶ μῦθον ἔλεγον [ἂν] τὸν λόγον εἶναι, εἰ μὴ καὶ παῖδες ἔλεγον γεωργῶν. Ὁ δὲ λόγος· ἄλλο μὲν ἄλλου φυτὸν ἐρᾷν, τῷ δὲ φοίνικι τὸν ἔρωτα μᾶλλον ἐνοχλεῖν· λέγουσι δὲ τὸν μὲν ἄρρενα τῶν φοινίκων, τὸν δὲ θῆλυν. Ὁ ἄρρην οὖν τοῦ θήλεος ἐρᾷ· κἂν ὁ θῆλυς ἀπῳκισμένος ᾖ τῇ τῆς φυτείας στάσει, ὁ ἐραστὴς αὐαίνεται. Συνίησιν οὖν ὁ γεωργὸς τὴν λύπην τοῦ φυτοῦ, καὶ εἰς τὴν τοῦ χωρίου περιωπὴν ἀνελθὼν. ἐφορᾷ ποῖ νένευκε· κλίνεται γὰρ εἰς τὸ ἐρώμενον· καὶ μαθὼν θεραπεύει τοῦ φυτοῦ τὴν νόσον· πτόρθον γὰρ τοῦ θήλεος φοίνικος λαβὼν εἰς τὴν τοῦ ἄρρενος καρδίαν ἐντίθησι. Καὶ ἀνέψυξε μὲν τὴν ψυχὴν τοῦ φυτοῦ, τὸ δὲ σῶμα ἀποθνῄσκον πάλιν ἀνεζωπύρησε καὶ ἐξανέστη, χαῖρον ἐπὶ τῇ τῆς ἐρωμένης συμπλοκῇ. Καὶ τοῦτό ἐστι γάμος φυτῶν.

Γίνεται δὲ καὶ γάμος ἄλλος ὑδάτων διαπόντιος, καὶ ἔστιν ὁ μὲν ἐραστὴς ποταμὸς Ἠλεῖος, ἡ δὲ ἐρωμένη κρήνη Σικελική. Διὰ γὰρ τῆς θαλάττης ὁ ποταμὸς ὡς διὰ πεδίου τρέχει. Ἡ δὲ οὐκ ἀφανίζει [τὸν] γλυκὺν ἐραστὴν ἁλμυρῷ κύματι, σχίζεται δὲ αὐτῷ ῥέοντι, καὶ τὸ σχίσμα τῆς θαλάττης χαράδρα τῷ ποταμῷ γίνεται· καὶ ἐπὶ τὴν Ἀρέθουσαν οὕτω τὸν Ἀλφειὸν νυμφοστολεῖ. Ὅταν οὖν ἡ [ἡ] τῶν Ὀλυμπίων ἑορτή, πολλοὶ μὲν εἰς τὰς δίνας τοῦ ποταμοῦ καθιᾶ-

---

1 post ἴδῃ: καὶ θίγῃ

11 post ἐραστής: ὁ ἄρρην

σιν ἄλλος ἄλλα δῶρα· ὁ δὲ εὐθὺς πρὸς τὴν ἐρωμένην κομίζει καὶ ταῦτά ἐστιν ἕδνα ποταμοῦ.

3 Γίνεται δὲ καὶ ἐν τοῖς ἑρπετοῖς ἄλλο ἔρωτος μυστήριον, οὐ τοῖς ὁμογενέσι μόνον πρὸς ἄλληλα, ἀλλὰ καὶ τοῖς ἀλλοφύλοις. Ὁ ἔχις ὁ τῆς γῆς ὄφις εἰς τὴν σμύραιναν οἰστρεῖ· ἡ δὲ σμύραινά ἐστιν ἄλλος ὄφις θαλάσσιος, εἰς μὲν τὴν μορφὴν ὄφις, εἰς δὲ τὴν
4 χρῆσιν ἰχθύς. Ὅταν οὖν εἰς γάμον ἐθέλωσιν ἀλλήλοις συνελθεῖν, ὁ μὲν εἰς τὸν αἰγιαλὸν ἐλθὼν συρίζει πρὸς τὴν θάλασσαν τῇ σμυραίνῃ σύμβολον, ἡ δὲ γνωρίζει τὸ σύνθημα καὶ ἐκ τῶν κυμάτων ἀναδύεται. Ἀλλ' οὐκ εὐθέως πρὸς τὸν νυμφίον ἐξέρχεται (οἶδε γὰρ ὅτι θάνατον ἐν τοῖς ὀδοῦσι φέρει), ἀλλ' ἄνεισιν εἰς πέτραν καὶ περιμένει τὸν νυμφίον καθῆραι τὸ
5 στόμα. Ἑστᾶσιν οὖν ἀμφότεροι πρὸς ἀλλήλους βλέποντες, ὁ μὲν ἐραστὴς ἠπειρώτης, ἡ δ' ἐρωμένη νησιῶτις. Ὅταν οὖν ὁ ἐραστὴς ἐξεμέσῃ τῆς νύμφης τὸν φόβον, ἡ δὲ ἐρριμμένον ἴδῃ τὸν θάνατον χαμαί, τότε καταβαίνει τῆς πέτρας καὶ εἰς τὴν ἤπειρον ἐξέρχεται καὶ τὸν ἐραστὴν περιπτύσσεται καὶ οὐκέτι φοβεῖται τὰ φιλήματα."

19 Ταῦτα ἅμα λέγων ἐνέβλεπον τῇ κόρῃ πῶς ἔχει πρὸς τὴν ἀκρόασιν τὴν ἐρωτικήν· ἡ δὲ ὑπεσήμαινεν οὐκ ἀηδῶς ἀκούειν. Τὸ δὲ κάλλος ἀστράπτον τοῦ ταῶ ἧττον ἐδόκει μοι τοῦ τῆς Λευκίππης εἶναι προσώπου. Τὸ γὰρ τοῦ σώματος κάλλος αὐτῆς πρὸς τὰ τοῦ λειμῶνος ἤριζεν ἄνθη· ναρκίσσου μὲν τὸ πρόσωπον ἔστιλβε χρόαν, ῥόδου δὲ ἀνέτελλεν ἐκ τῆς παρειᾶς, ἴου δὲ ἡ τῶν ὀφθαλμῶν ἐμάρμαιρεν αὐγή, αἱ δὲ κόμαι βοστρυχούμεναι μᾶλλον εἱλίττοντο κιτ-
2 τοῦ. Τοιοῦτος ἦν Λευκίππης ἐπὶ τῶν προσώπων ὁ λειμών. Ἡ μὲν οὖν μετὰ μικρὸν ἀπιοῦσα ᾠχετο· τῆς

γὰρ κιθάρας αὐτὴν ὁ καιρὸς ἐκάλει· ἐμοὶ δὲ ἐδόκει παρεῖναι, ἀπελθοῦσα γὰρ τὴν μορφὴν ἐπαφῆκέ μου τοῖς ὀφθαλμοῖς. Ἑαυτοὺς οὖν ἐπῃνοῦμεν ἐγώ τε καὶ 3
ὁ Σάτυρος· ἐγὼ μὲν ἐμαυτὸν τῆς μυθολογίας, ὁ δὲ
5 ὅτι μοι τὰς ἀφορμὰς παρέσχεν.

B

Ἅμα δὲ ἑαυτοὺς ἐπαινοῦντες ἐπὶ τὸ δωμάτιον 1
ἐβαδίζομεν τῆς κόρης, ἀκροασόμενοι δῆθεν τῶν κιθαρισμάτων· οὐ γὰρ ἠδυνάμην ἐμαυτοῦ κἂν ἐπ' ὀλί-
10 γον κρατεῖν τὸ μὴ ὁρᾶν τὴν κόρην. Ἡ δὲ πρῶτον μὲν ᾔσεν Ὁμήρου τὴν πρὸς τὸν λέοντα τοῦ συὸς μάχην· ἔπειτα δέ τι καὶ τῆς ἁπαλῆς μούσης ἐλίγαινε· ῥόδον γὰρ ἐπῄνει τὸ ᾆσμα. Εἴ τις τὰς καμπὰς τῆς ᾠδῆς 2
περιελὼν ψιλὸν ἔλεγεν ἁρμονίας τὸν λόγον, οὕτως
15 ἂν εἶχεν ὅ λόγος· Εἰ τοῖς ἄνθεσιν ἤθελεν ὁ Ζεὺς ἐπιθεῖναι βασιλέα, τὸ ῥόδον ἂν τῶν ἀνθέων ἐβασίλευε. Γῆς ἐστι κόσμος, φυτῶν ἀγλάισμα, ὀφθαλμὸς ἀνθέων, λειμῶνος ἐρύθημα. Ἔρωτος πνεῖ, Ἀφροδί- 3
την προξενεῖ, εὐώδεσι φύλλοις κομᾷ, εὐκινήτοις πε-
20 τάλοις τρυφᾷ, τὰ πέταλα τῷ Ζεφύρῳ γελᾷ. Ἡ μὲν ταῦτα ᾔδεν· ἐγὼ δὲ ἐδόκουν τὸ ῥόδον ἐπὶ τῶν χειλέων αὐτῆς ἰδεῖν, ὡς εἴ τις τῆς κάλυκος τὸ περιφερὲς εἰς τὴν τοῦ στόματος ἔκλεισε μορφήν.

Καὶ ἄρτι πέπαυτο τῶν κιθαρισμάτων καὶ πάλιν 2
25 τοῦ δείπνου καιρὸς ἦν. Ἦν γὰρ ἑορτὴ προτρυγαίου

---

5 post παρέσχε: καὶ μετὰ μικρὸν τοῦ δείπνου καιρὸς ἦν καὶ πάλιν ὁμοίως συνεπίνομεν

18 post ἐρύθημα: κάλλος ἀστράπτον

Διονύσου τότε. Τὸν γὰρ Διόνυσον Τύριοι νομίζου-
2 σιν ἑαυτῶν, ἐπεὶ καὶ τὸν Κάδμου μῦθον ᾄδουσι· καὶ
τῆς ἑορτῆς διηγοῦνται πατέρα μῦθον, οἶνον οὐκ εἶναί
ποτε παρ' ἀνθρώποις, οὐ τὸν μέλανα τὸν ἀνθοσμίαν,
οὐ τὸν τῆς Βιβλίνης ἀμπέλου, οὐ τὸν Μάρωνος τὸν
Θρᾴκιον, οὐ [τὸν] Χῖον τὸν ἐκ Λακαίνης, οὐ τὸν
Ἰκάρου τὸν νησιώτην, ἀλλὰ τούτους μὲν ἅπαντας
ἀποίκους εἶναι Τυρίων ἀμπέλων, τὴν δὲ πρώτην
3 παρ' αὐτοῖς φῦναι τῶν οἴνων μητέρα. Εἶναι γὰρ
ἐκεῖ φιλόξενόν τινα βουκόλον, οἷον τὸν Ἰκάριον Ἀθη-
ναῖοι λέγουσι, καὶ τοῦτον ἐνταῦθα τοῦ μύθου γενέ-
σθαι πατέρα. Ἐπὶ τοῦτον ἧκεν ὁ Διόνυσος τὸν βου-
κόλον, ὁ δὲ αὐτῷ παρατίθησιν ὅσα γῆ φέρει καὶ
ἄμαξα βοῶν· ποτὸν δὲ ἦν παρ' αὐτοῖς οἷον καὶ ὁ
4 βοῦς ἔπινεν· οὔπω γὰρ τὸ ἀμπέλινον ἦν. Ὁ Διόνυσος
ἐπαινεῖ τῆς φιλοφροσύνης τὸν βουκόλον καὶ αὐτῷ
προπίνει κύλικα φιλοτησίαν· τὸ δὲ ποτὸν οἶνος ἦν.
Ὁ δὲ πιὼν ὑφ' ἡδονῆς βακχεύεται καὶ λέγει πρὸς τὸν
θεὸν "πόθεν, ὦ ξένε, σοὶ τὸ ὕδωρ τοῦτο τὸ πορφυ-
5 ροῦν; οὐ γάρ ἐστιν ἐκεῖνο τὸ χαμαὶ ῥέον. Τὸ μὲν
γὰρ εἰς τὰ στέρνα καταβαίνει καὶ λεπτὴν ἔχει τὴν
ἡδονήν· τοῦτο δὲ καὶ πρὸ τοῦ στόματος τὰς ῥῖνας
εὐφραίνει καὶ θιγόντι μὲν ψυχρόν ἐστιν, εἰς τὴν
γαστέρα δὲ καταθορὸν ἀνάπτει κάτωθεν πῦρ ἡδο-
νῆς." Καὶ ὁ Διόνυσος ἔφη "τοῦτό ἐστιν ὀπώρας
6 ὕδωρ." Ἄγει πρὸς τὴν ἄμπελον ὁ θεὸς τὸν βουκόλον,
καὶ τῶν βοτρύων λαβὼν ἅμα καὶ θλίβων καὶ δεικνὺς

---

4 post ἀνθρώποις: οὔπω παρ' αὐτοῖς
12 post πατέρα: ὅσον Ἀττικὸν εἶναι δοκεῖν
20 post πορφυροῦν: πόθεν οὕτως εὗρες αἷμα γλυκύ;
26 post ὕδωρ: τοῦτό ἐστιν αἷμα βοτρύων

τὴν ἄμπελον "τοῦτο μέν ἐστιν" ἔφη "τὸ ὕδωρ, τοῦτο δὲ ἡ πηγή." Ὁ μὲν οὖν [οἶνος] οὕτως ἐς ἀνθρώπους παρῆλθεν, ὡς ὁ Τυρίων λόγος, ἑορτὴν δὲ ἄγουσιν ἐκείνην τὴν ἡμέραν ἐκείνῳ τῷ θεῷ.

Φιλοτιμούμενος οὖν ὁ πατὴρ τά τ' ἄλλα παρασκευάσας ἐς τὸ δεῖπνον ἔτυχε πολυτελέστατα καὶ κρατῆρα παρέθηκε τὸν ἱερὸν τοῦ θεοῦ, μετὰ τὸν Γλαύκου τοῦ Χίου δεύτερον. Τάλου μὲν τὸ πᾶν ἔργον ὀρωρυγμένης· κύκλῳ δὲ αὐτὸν ἄμπελοι περιέστεφον ἀπ' αὐτοῦ τοῦ κρατῆρος πεφυτευμέναι· οἱ δὲ βότρυες πάντη περικρεμάμενοι· ὅμφαξ μὲν αὐτῶν ἕκαστος ὅσον ἦν κενὸς ὁ κρατήρ· ἐὰν δὲ ἐγχέῃς οἶνον, κατὰ μικρὸν ὁ βότρυς ὑποπερκάζεται καὶ σταφυλὴν τὴν ὅμφακα ποιεῖ· Διόνυσός τε ἐντετύπωται τῶν βοτρύων, ἵνα τὴν ἄμπελον γεωργῇ.

Τοῦ δὲ πότου προϊόντος ἤδη καὶ ἀναισχύντως ἐς αὐτὴν ἑώρων. Ἔρως δὲ καὶ Διόνυσος, δύο βίαιοι θεοί, ψυχὴν κατασχόντες, ἐκμαίνουσιν εἰς ἀναισχυντίαν, ὁ μὲν κάων αὐτὴν τῷ συνήθει πυρί, ὁ δὲ τὸν οἶνον ὑπέκκαυμα φέρων· οἶνος γὰρ ἔρωτος τροφή. Ἤδη δὲ καὶ αὐτὴ περιεργότερον εἰς ἐμὲ βλέπειν ἐθρασύνετο. Καὶ ταῦτα μὲν ἡμῖν ἡμερῶν ἐπράττετο δέκα· καὶ πλέον τῶν ὀμμάτων ἐκερδαίνομεν ἢ ἐτολμῶμεν οὐδέν.

Κοινοῦμαι δὴ τῷ Σατύρῳ τὸ πᾶν καὶ συμπράττειν ἠξίουν· ὁ δὲ ἔλεγε καὶ αὐτὸς μὲν ἐγνωκέναι, πρὶν παρ' ἐμοῦ μαθεῖν, ὀκνεῖν δὲ ἐλέγχειν βουλόμενον λαθεῖν. Ὁ γὰρ μετὰ κλοπῆς ἐρῶν ἂν ἐλεγχθῇ πρός τινος, ὡς ὀνειδίζοντά τὸν ἐλέγξαντα μισεῖ. "Ἤδη δὲ" ἔφη "καὶ τὸ αὐτόματον ἡμῶν προὐνόησεν. Ἡ

30 post προὐνόησεν: ἡ τύχη

γὰρ τὸν θάλαμον αὐτῆς πεπιστευμένη Κλειὼ κεκοινώνηκέ μοι καὶ ἔχει πρός με ὡς ἐραστήν. Ταύτην παρασκευάσω κατὰ μικρὸν πρὸς ἡμᾶς οὕτως ἔχειν, 3 ὡς καὶ συναίρεσθαι πρὸς τὸ ἔργον. Δεῖ δέ σε τὴν κόρην μὴ μέχρι τῶν ὀμμάτων [μόνον] πειρᾶν, ἀλλὰ καὶ ῥῆμα δριμύτερον εἰπεῖν. Τότε δὲ πρόσαγε τὴν 4 δευτέραν μηχανήν. Θίγε χειρός, θλῖψον δάκτυλον, θλίβων στέναξον. Ἢν δὲ ταῦτά σου ποιοῦντος καρτερῇ καὶ προσίηται, σὸν ἔργον ἤδη δέσποινάν τε καλεῖν καὶ φιλῆσαι τράχηλον." "Πιθανῶς μὲν" ἔφην "νὴ τὴν Ἀθηνᾶν, ἐς τὸ ἔργον παιδοτριβεῖς· δέδοικα δὲ μὴ ἄτολμος καὶ δειλὸς ἔρωτος ἀθλητὴς γένωμαι." 5 "Ἔρως, ὦ γενναῖε" ἔφη "δειλίας οὐκ ἀνέχεται. Ὁρᾷς αὐτοῦ τὸ σχῆμα ὡς ἐστι στρατιωτικόν; τόξα καὶ φαρέτρα καὶ βέλη καὶ πῦρ, ἀνδρεῖα πάντα καὶ τόλμης γέμοντα. Τοιοῦτον οὖν ἐν σεαυτῷ θεὸν ἔχων δειλὸς 6 εἶ καὶ φοβῇ; Ὅρα μὴ καταψεύσῃ τοῦ θεοῦ. Ἀρχὴν δέ σοι ἐγὼ παρέξω. Τὴν Κλειὼ γὰρ ἀπάξω μάλιστα ὅταν ἐπιτήδειον ἴδω καιρὸν τοῦ σε τῇ παρθένῳ δύνασθαι συνεῖναι μόνῃ."

5 Ταῦτα εἰπὼν ἐχώρησεν ἔξω τῶν θυρῶν· ἐγὼ δὲ κατ' ἐμαυτὸν γενόμενος καὶ ὑπὸ τοῦ Σατύρου παροξυνθείς, ἤσκουν ἐμαυτὸν εἰς εὐτολμίαν πρὸς τὴν παρθένον. "Μέχρι τίνος, ἄνανδρε, σιγᾷς; τί δὲ δειλὸς εἶ στρατιώτης ἀνδρείου θεοῦ; τὴν κόρην προσελ- 2 θεῖν σοὶ περιμένεις;" Εἶτα προσετίθην "τί γάρ, ὦ κακόδαιμον, οὐ σωφρονεῖς; τί δὲ οὐκ ἐρᾷς ὧν σε δεῖ; παρθένον ἔνδον ἔχεις ἄλλην καλήν· ταύτης ἔρα, ταύτην βλέπε, ταύτην ἔξεστί σοι γαμεῖν." Ἐδόκουν πεπεῖσθαι· κάτωθεν δὲ ὥσπερ ἐκ τῆς καρδίας ὁ ἔρως

20 post δύνασθαι: καθ' αὑτόν

ἀντεφθέγγετο "ναί, τολμηρέ, κατ' ἐμοῦ στρατεύῃ καὶ ἀντιπαρατάττῃ; ἵπταμαι καὶ τοξεύω καὶ φλέγω· πῶς δυνήσῃ με φυγεῖν; Ἂν ψυλάξῃ μου τὸ τόξον, οὐκ ἔχεις φυλάξασθαι τὸ πῦρ· ἂν δὲ κατασβέσῃς σωφροσύνῃ τὴν φλόγα, αὐτῷ σε καταλήψομαι τῷ πτερῷ."

Ταῦτα διαλεγόμενος ἔλαθον ἐπιστὰς ἀπροοράτως 6
τῇ κόρῃ καὶ ὠχρίασα ἰδὼν ἐξαίφνης, εἶτ' ἐφοινίχθην· μόνη δ' ἦν καὶ οὐδὲ ἡ Κλειὼ συμπαρῆν· ὅμως [δ']
οὖν, ὡς ἂν τεθορυβημένος οὐκ ἔχων τί εἴπω "χαῖρε" ἔφην "δέσποινα." Ἡ δὲ μειδιάσασα γλυκὺ καὶ ἐμφα- 2
νίσασα διὰ τοῦ γέλωτος ὅτι συνῆκε πῶς εἶπον τὸ 'χαῖρε δέσποινα,' εἶπεν "ἐγὼ σή; μὴ τοῦτ' εἴπῃς." "Καὶ μὴν πέπρακέ μέ τίς σοι θεῶν, ὥσπερ καὶ τὸν Ἡρακλέα τῇ Ὀμφάλῃ." "Τὸν Ἑρμῆν λέγεις; τούτῳ 3
τὴν πρᾶσιν ἐκέλευσεν ὁ Ζεύς," καὶ ἅμα ἐγέλασε. "Ποῖον Ἑρμῆν; τί ληρεῖς" εἶπον "εἰδυῖα σαφῶς ὃ λέγω;" Ὡς δὲ περιέπλεκον λόγους ἐκ λόγων, τὸ αὐτόματόν μοι συνήργησεν.

Ἔτυχε τῇ προτεραίᾳ ταύτης ἡμέρᾳ περὶ μεσημ- 7
βρίαν ἡ παῖς ψάλλουσα κιθάρᾳ, ἐπιπαρῆν δὲ αὐτῇ καὶ ἡ Κλειὼ καὶ παρεκάθητο, διεβάδιζον δὲ ἐγώ· καί τις ἐξαίφνης μέλιττά ποθεν ἐπιπτᾶσα τῆς Κλειοῦς ἐπάταξε τὴν χεῖρα. Καὶ ἡ μὲν ἀνέκραγεν, ἡ δὲ παῖς 2
ἀναθοροῦσα καὶ καταθεμένη τὴν κιθάραν κατενόει τὴν πληγὴν καὶ ἅμα παρῄνει λέγουσα μηδὲν ἄχθεσθαι· παύσειν γὰρ αὐτὴν τῆς ἀλγηδόνος δύο ἐπάσασαν ῥήματα· διδαχθῆναι γὰρ αὐτὰ ὑπό τινος Αἰγυπτίας εἰς πληγὰς σφηκῶν καὶ μελιττῶν. Καὶ ἅμα 3
ἐπῇδε, καὶ ἔλεγεν ἡ Κλειὼ μετὰ μικρὸν ῥᾴων γεγονέναι. Τότε οὖν κατὰ τύχην μέλιττά τις ἡ σφὴξ περιβομβήσασα κύκλῳ μου τὸ πρόσωπον παρέπτη· κἀγὼ

τὸ ἐνθύμιον λαμβάνω καὶ τὴν χεῖρα ἐπιβαλὼν τοῖς
4 προσώποις προσεποιούμην πεπλῆχθαι καὶ ἀλγεῖν. Ἡ
δὲ παῖς προσελθοῦσα εἶλκε τὴν χεῖρα καὶ ἐπυνθάνετο
ποῦ ἐπατάχθην· κἀγὼ "κατὰ τοῦ χείλους" ἔφην·
"ἀλλὰ τί οὐκ ἐπᾴδεις, φιλτάτη;" Ἡ δὲ προσῆλθέ τε 5
καὶ ἀνέθηκεν, ὡς ἐπᾴσουσα, τὸ στόμα, καὶ τι ἐψι-
5 θύριζεν, ἐπιπολῆς ψαύουσά μου τῶν χειλέων. Κἀγὼ
κατεφίλουν σιωπῇ, κλέπτων τῶν φιλημάτων τὸν
ψόφον, ἡ δὲ ἀνοίγουσα καὶ κλείουσα τῶν χειλέων
τὴν συμβολήν, τῷ τῆς ἐπῳδῆς ψιθυρίσματι φιλήματα 10
ἐποίει τὴν ἐπῳδήν. Κἀγὼ τότε δὴ περιβαλὼν φα-
νερῶς κατεφίλουν, ἡ δὲ διασχοῦσα "τί ποιεῖς;" ἔφη.
"καὶ σὺ κατεπᾴδεις;" "Τὴν ἐπῳδὸν" εἶπον "φιλῶ, ὅτι
6 μου τὴν ὀδύνην ἰάσω." Ὡς δὲ συνῆκεν ὃ λέγω καὶ
ἐμειδίασε, θαρρήσας εἶπον "οἴμοι, φιλτάτη, πάλιν 15
τέτρωμαι χαλεπώτερον· ἐπὶ γὰρ τὴν καρδίαν κατέ-
ρρευσε τὸ τραῦμα καὶ ζητεῖ σου τὴν ἐπῳδήν. Ἤ που
καὶ σὺ μέλιτταν ἐπὶ τοῦ στόματος φέρεις· καὶ γὰρ
μέλιτος γέμεις, καὶ τιτρώσκει σου τὰ φιλήματα.
7 Ἀλλὰ δέομαι, κατέπᾳσον αὖθις καὶ μὴ ταχὺ τὴν ἐπῳ- 20
δὴν παραδράμῃς, μὴ πάλιν ἀγριάνῃ τὸ τραῦμα." Καὶ
ἅμα λέγων τὴν χεῖρα βιαιότερον περιέβαλλον καὶ
ἐφίλουν ἐλευθερώτερον· ἡ δὲ ἠνείχετο, κωλύουσα
δῆθεν.

8 Κἂν τοὐτῳ πόρρωθεν ἰδόντες προσιοῦσαν τὴν 25
θεράπαιναν διελύθημεν, ἐγὼ μὲν ἄκων καὶ λυπού-
μενος, ἡ δ' οὐκ οἶδ' ὅπως. Ῥᾳων οὖν ἐγεγόνειν καὶ
μεστὸς ἐλπίδων, ἠσθόμην δὲ ἐπικαθημένου μοι τοῦ
φιλήματος ὥσπερ σώματος, καὶ ἐφύλαττον ἀκρι-
βῶς ὡς θησαυρὸν τὸ φίλημα τηρῶν ἡδονῆς, [ὃ πρῶ- 30
2 τόν ἐστιν ἐραστῇ γλυκύ.] Καὶ γὰρ ἀπὸ τοῦ καλλί-
στου τῶν τοῦ σώματος ὀργάνων τίκτεται· στόμα γὰρ

φωνῆς ὄργανον· φωνὴ δὲ ψυχῆς σκιά. Αἱ γὰρ τῶν στομάτων συμβολαὶ κιρνάμεναι καταπέμπουσι κατὰ τῶν στέρνων τὴν ἡδονὴν καὶ ἕλκουσι τὰς ψυχὰς πρὸς τὰ φιλήματα. Οὐκ οἶδα δὲ οὕτω πρότερον ἡσθεὶς ἐκ 3
τῆς καρδίας· καὶ τότε πρῶτον ἔμαθον ὅτι μηδὲν ἐρίζει πρὸς ἡδονὴν φιλήματι ἐρωτικῷ.

Ἐπειδὴ δὲ τοῦ δείπνου καιρὸς ἦν, πάλιν ὁμοίως 9
συνεπίνομεν· ὠνοχόει δὲ ὁ Σάτυρος ἡμῖν καί τι ποιεῖ ἐρωτικόν. Διαλλάσσει τὰ ἐκπώματα καὶ τὸ μὲν ἐμὸν τῇ κόρῃ προστίθησι, τὸ δὲ ἐκείνης ἐμοὶ καὶ ἐγχέων ἀμφοτέροις καὶ ἐγκερασάμενος ὤρεγεν. Ἐγὼ δὲ ἐπιτηρήσας τὸ μέρος τοῦ ἐκπώματος, ἔνθα 2
τὸ χεῖλος ἡ κόρη πίνουσα προσέθηκεν, ἐναρμοσάμενος ἔπινον, ἐπιστολιμαῖον τοῦτο φίλημα ποιῶν, καὶ ἅμα κατεφίλουν τὸ ἔκπωμα. Ὡς δὲ εἶδεν ἡ παρθένος, 3
συνῆκεν ὅτι τοῦ χείλους αὐτῆς καταφιλῶ καὶ τὴν σκιάν. Ἀλλ' ὅγε Σάτυρος συμφρονήσας πάλιν τὰ ἐκπώματα διήλλαξεν ἡμῖν. Τότε δὴ καὶ τὴν κόρην εἶδον τὰ ἐμὰ μιμουμένην καὶ [κατὰ] ταὐτὰ πίνουσαν καὶ ἔχαιρον [ἤδη] πλέον. Καὶ τρίτον ἐγένετο τοῦτο καὶ τέταρτον καὶ τὸ λοιπὸν τῆς ἡμέρας οὕτως ἀλλήλοις προὐπίνομεν τὰ φιλήματα.

Μετὰ δὲ τὸ δεῖπνον ὁ Σάτυρός μοι προσελθὼν 10
ἔφη "νῦν μὲν ἀνδρίζεσθαι καιρός. Ἡ γὰρ μήτηρ τῆς κόρης, ὡς οἶδας, μαλακίζεται καὶ καθ' αὑτὴν ἀναπαύεται· μόνη δὲ ἡ παῖς βαδιεῖται κατὰ τὰ εἰθισμένα τῆς Κλειοῦς ἑπομένης, πρὶν ἐπὶ τὸν ὕπνον τραπῆναι. Ἐγὼ δέ σοι ταύτην ἀπάξω διαλεγόμενος." Ταῦτα 2
εἰπὼν τῇ Κλειοῖ μὲν αὐτός, ἐγὼ δὲ τῇ παιδὶ διαλαχόντες ἐφηδρεύομεν. Καὶ οὕτως ἐγένετο. Ἀπεσπάσθη καὶ ἡ Κλειώ, ἡ δὲ παρθένος ἐν τῷ περιπάτῳ

καταλέλειπτο. Ἐπιτηρήσας οὖν ὅτε τὸ πολὺ τῆς αὐγῆς ἐμαραίνετο, πρόσειμι θρασύτερος γενόμενος [πρὸς αὐτὴν] ἐκ τῆς πρώτης προσβολῆς, ὥσπερ στρατιώτης ἤδη νενικηκὼς καὶ τοῦ πολέμου καταπεφρονηκώς· πολλὰ γὰρ ἦν τὰ τότε ὁπλίζοντά με θαρρεῖν, οἶνος, ἔρως, ἐλπίς, ἐρημία· καὶ οὐδὲν εἰπών, ἀλλ' ὡς ἀπὸ συγκειμένου λόγου, ὡς εἶχον, περιχυθεὶς τὴν κόρην κατεφίλουν. Ὡς δὲ καὶ ἐπεχείρουν τι προὔργου ποιεῖν, ψόφος τις ἡμῶν κατόπιν γίνεται· καὶ ταραχθέντες ἀνεπηδήσαμεν. Καὶ ἡ μὲν ἐπέκεινα τρέπεται τὴν ἐπὶ τὸ δωμάτιον αὐτῆς, ἐγὼ δὲ ἐπὶ θάτερα, σφόδρα ἀνιώμενος, ἔργον οὕτω καλὸν ἀπολέσας, καὶ τὸν ψόφον λοιδορῶν. Ἐν τούτῳ δὲ ὁ Σάτυρος ὑπαντιάζει μοι φαιδρῷ τῷ προσώπῳ· καθορᾶν γάρ μοι ἐδόκει ὅσα ἐπράττομεν, ὑπό τινι τῶν δένδρων λοχῶν μή τις ἡμῖν ἐπέλθῃ· καὶ αὐτὸς ἦν ὁ ποιήσας τὸν ψόφον, προσιόντα θεασάμενός τινα.

11 Ὀλίγων δὲ ἡμερῶν διελθουσῶν, ὁ πατήρ μοι τοὺς γάμους συνεκρότει θᾶττον ἢ διεγνώκει. Ἐνύπνια γὰρ αὐτὸν διετάραττε πολλά. Ἔδοξεν ἄγειν ἡμῶν τοὺς γάμους, ἤδη δὲ ἅψαντος αὐτοῦ τὰς δᾷδας ἀποσβεσθῆναι τὸ πῦρ ** ᾗ καὶ μᾶλλον ἠπείγετο 2 συναγαγεῖν ἡμᾶς. Τοῦτο δὲ εἰς τὴν ὑστεραίαν παρεσκευάζετο. Ἐώνητο δὲ τῇ κόρῃ τὰ πρὸς τὸν γάμον· περιδέραιον μὲν λίθων ποικίλων, ἐσθῆτα δὲ τὸ πᾶν μὲν πορφυρᾶν, ἔνθα δὲ ταῖς ἄλλαις ἐσθῆσιν ἡ χώρα τῆς πορφύρας, ἐκεῖ χρυσὸς ἦν. Ἤριζον δὲ πρὸς ἀλ- 3 λήλους οἱ λίθοι. Τάκινθος μὲν ῥόδον ἦν ἐν λίθῳ· μέθυστος δὲ ἐπορφύρετο τοῦ χρυσοῦ πλησίον· ἐν μέσῳ δὲ τρεῖς ἦσαν λίθοι, τὴν χρόαν ἐπάλληλοι·

1 post ὅτε: τοῦ φωτός

συγκείμενοι δὲ ἦσαν οἱ τρεῖς· μέλαινα μὲν ἡ κρηπὶς τοῦ λίθου, τὸ δὲ μέσον σῶμα λευκὸν τῷ μέλανι συνεφαίνετο, ἐξῆς δὲ τῷ λευκῷ τὸ λοιπὸν ἐπυρρία κορυφούμενον· ὁ λίθος δὲ τῷ χρυσῷ στεφανούμενος, ὀφθαλμὸν ἐμιμεῖτο χρυσοῦν. Τῆς δὲ ἐσθῆτος οὐ 4
πάρεργον εἶχεν ἡ πορφύρα τὴν βαφήν, ἀλλ' οἵαν μυθολογοῦσι Τύριοι τοῦ ποιμένος εὑρεῖν τὸν κύνα, ᾗ καὶ μέχρι τούτου βάπτουσιν Ἀφροδίτης τὸν πέπλον. Ἦν γὰρ χρόνος ὅτε τῆς πορφύρας ὁ κόσμος ἀνθρώποις ἀπόρρητος ἦν· μικρὸς δὲ αὐτὴν ἐκάλυπτε κόχλος ἐγκύκλῳ μυχῷ. Ἁλιεὺς ἀγρεύει τὴν ἄγραν ταύτην· 5
καὶ ὁ μὲν ἰχθὺν προσεδόκησεν, ὡς δὲ εἶδε τοῦ κόχλου τὴν τραχύτητα, ἐλοιδόρει τὴν ἄγραν καὶ ἔρριψεν ὡς θαλάσσης σκύβαλον. Εὑρίσκει δὲ κύων τὸ ἔρμαιον
καὶ καταθραύει τοῖς ὀδοῦσι, καὶ τῷ στόματι τοῦ κυνὸς περιρρεῖ τοῦ ἄνθους τὸ αἷμα καὶ βάπτει τὸ αἷμα τὴν γένυν καὶ ὑφαίνει τοῖς χείλεσι τὴν πορφύραν. Ὁ ποιμὴν ὁρᾷ τὰ χείλη τοῦ κυνὸς ᾑμαγμένα καὶ 6
τραῦμα νομίσας τὴν βαφὴν πρόσεισι καὶ ἀπέπλυνε τῇ θαλάσσῃ, καὶ τὸ αἷμα λαμπρότερον ἐπορφύρετο· ὡς δὲ καὶ ταῖς χερσὶν ἔθιγε, τὴν πορφύραν εἶχε καὶ ἡ χείρ. Συνῆκεν οὖν τοῦ κόχλου τὴν φύσιν ὁ ποι- 7
μήν, ὅτι φάρμακον ἔχει κάλλους πεφυτευμένον· καὶ λαβὼν μαλλὸν ἐρίου καθῆκεν εἰς τὸν χηραμὸν αὐτοῦ τὸ ἔριον, ζητῶν τοῦ κόχλου τὰ μυστήρια· τὸ δὲ κατὰ τὴν γένυν τοῦ κυνὸς ᾑμάσσετο· καὶ τότε τὸν οἶκον τῆς πορφύρας ἐδιδάσκετο. Λαβὼν δή τινας λίθους 8
περιθραύει τὸ τεῖχος τοῦ φαρμάκου καὶ τὸ ἄδυτον ἀνοίγει τῆς πορφύρας, καὶ θησαυρὸν εὑρίσκει βαφῆς.

Ἔθυεν οὖν τότε ὁ πατὴρ [τὰ] προτέλεια τῶν γά- 12
μων. Ὡς δὲ ἤκουσα, ἀπωλώλειν καὶ ἐζήτουν μηχα-

νήν, δι' ἧς [ἂν] ἀναβαλέσθαι δυναίμην τὸν γάμον. Σκοποῦντος δέ μου θόρυβος ἐξαίφνης γίνεται κατὰ
2 τὸν ἀνδρῶνα· ἐγεγόνει δέ τι τοιοῦτον. Ἐπειδὴ θυσάμενος ὁ πατὴρ ἔτυχε καὶ τὰ θύματα ἐπέκειτο τοῖς βωμοῖς, ἀετὸς ἄνωθεν καταπτὰς ἁρπάζει τὸ ἱερεῖον· σοβούντων δὲ πλέον οὐδὲν ἦν, ὁ γὰρ ὄρνις ᾤχετο φέρων τὴν ἄγραν. Ἐδόκει τοίνυν οὐκ ἀγαθὸν εἶναι. Καὶ δὴ ἐπέσχον ἐκείνην τὴν ἡμέραν τοὺς γάμους· καλεσάμενος δὲ μάντεις ὁ πατὴρ καὶ τερατοσκόπους
3 τὸν οἰωνὸν διηγεῖται. Οἱ δὲ ἔφασαν δεῖν καλλιερῆσαι Ξενίῳ Διὶ νυκτὸς μεσούσης ἐπὶ θάλασσαν ἥκοντας· ὁ γὰρ ὄρνις ἔτυχεν ἱπτάμενος ἐκεῖ. Ἐγὼ δὲ ταῦτα ὡς ἐγένετο τὸν ἀετὸν ὑπερεπήνουν καὶ δικαίως ἔλεγον ἁπάντων ὀρνίθων εἶναι βασιλέα· οὐκ εἰς μακρὰν δὲ ἀπέβη τοῦ τέρατος τὸ ἔργον.

13 Νεανίσκος ἦν Βυζάντιος, ὄνομα Καλλισθένης, ὀρφανὸς καὶ πλούσιος, ἄσωτος δὲ καὶ πολυτελής. Οὗτος ἀκούων τῷ Σωστράτῳ θυγατέρα εἶναι καλήν, ἰδὼν δὲ οὐδέποτε, ἤθελεν αὐτῷ ταύτην γενέσθαι γυναῖκα. Καὶ ἦν ἐξ ἀκοῆς ἐραστής· τοσαύτη γὰρ τοῖς ἀκολάστοις ὕβρις, ὡς καὶ τοῖς ὠσὶν εἰς ἔρωτα τρυφᾶν καὶ ταὐτὰ πάσχειν ὑπὸ ῥημάτων, ἃ τῇ ψυχῇ τρω-
2 θέντες διακονοῦσιν ὀφθαλμοί. Προσελθὼν οὖν τῷ Σωστράτῳ πρὶν τὸν πόλεμον τοῖς Βυζαντίοις ἐπιπεσεῖν, ᾐτεῖτο τὴν κόρην· ὁ δὲ βδελυττόμενος αὐτοῦ τοῦ βίου τὴν ἀκολασίαν ἠρνήσατο. Θυμὸς ἴσχει τὸν Καλλισθένην καὶ ἠτιμάσθαι νομίσαντα ὑπὸ τοῦ Σωστράτου καὶ ἀδόλως ἐρῶντα· ἀναπλάττων γὰρ ἑαυτῷ τῆς

---

3 post ἀνδρῶνα: τῆς οἰκίας

12 post ἐκεῖ: τὸ δὲ ἔργον εὐθὺς ἀπέβη· τὸν γὰρ ἀετὸν ἀναπτάντα ἐπὶ τὴν θάλασσαν συνέβη φανῆναι οὐκέτι

παιδὸς τὸ κάλλος καὶ φανταζόμενος τὰ ἀόρατα ἔλαθε σφόδρα κακῶς διακείμενος. Ἐπιβουλεύει δὴ καὶ τὸν 3
Σώστρατον ἀμύνασθαι τῆς ὕβρεως καὶ αὐτῷ τὴν ἐπιθυμίαν τελέσαι· νόμου γὰρ ὄντος Βυζαντίοις, εἴ τις ἁρπάσας παρθένον φθάσειεν ποιήσας γυναῖκα, γάμον ἔχειν ζημίαν, προσεῖχε τούτῳ τῷ νόμῳ. Καὶ ὁ μὲν ἐζήτει καιρὸν πρὸς τὸ ἔργον.

Ἐν τούτῳ δὲ τοῦ πολέμου περιστάντος καὶ τῆς 14
παιδὸς εἰς ἡμᾶς ὑπεκκειμένης μεμαθήκει μὲν ἕκαστα τούτων, οὐδὲν δὲ ἧττον τῆς ἐπιβουλῆς εἴχετο· καὶ τοιοῦτό τι αὐτῷ συνήργησε. Χρησμὸν ἴσχουσιν οἱ Βυζάντιοι τοιόνδε

Νῆσός τις πόλις ἐστὶ φυτώνυμον αἷμα λαχοῦσα,
ἰσθμὸν ὁμοῦ καὶ πορθμὸν ἐπ' ἠπείροιο φέρουσα.
ἔνθ' Ἥφαιστος ἔχων χαίρει γλαυκῶπιν Ἀθήνην
κεῖθι θυηπολίην σε φέρειν κέλομαι Ἡρακλεῖ.

Ἀπορούντων δὲ αὐτῶν τί λέγει τὸ μάντευμα, Σώ- 2
στρατος (τοῦ πολέμου γάρ, ὡς ἔφην, στρατηγὸς ἦν οὗτος) "ὥρα πέμπειν ἡμᾶς θυσίαν εἰς Τύρον" εἶπεν· "Ἡρακλεῖ· τὰ γὰρ τοῦ χρησμοῦ ἐστι πάντ' ἐνταῦθα. Φυτώνυμον γὰρ ὁ θεὸς εἶπεν αὐτήν, ἐπεὶ Φοινίκων ἡ νῆσος, ὁ δὲ φοίνιξ φυτόν. Ἐρίζει δὲ περὶ ταύτης γῇ καὶ θάλασσα, [καὶ] ἕλκει [μὲν ἡ θάλασσα, ἕλκει] δὲ ἡ γῆ, ἡ δὲ εἰς ἀμφότερα αὐτὴν ἥρμοσε. Καὶ 3
γὰρ ἐν θαλάσσῃ κάθηται καὶ οὐκ ἀφῆκε τὴν γῆν· συνδεῖ γὰρ αὐτὴν πρὸς τὴν ἤπειρον στενὸς αὐχήν, καὶ ἔστιν ὥσπερ τῆς νήσου τράχηλος. Οὐκ ἐρίζωται 4
δὲ κατὰ τῆς θαλάσσης, ἀλλὰ τὸ ὕδωρ ὑπορρεῖ κάτωθεν, ὑπόκειται δὲ πορθμὸς [τῷ] ἰσθμῷ· καὶ γίνεται τὸ θέαμα καινόν, πόλις ἐν θαλάσσῃ καὶ νῆσος ἐν γῇ. Ἀθηνᾶν δὲ Ἥφαιστος ἔχει· εἰς τὴν ἐλαίαν

ἠνίξατο καὶ τὸ πῦρ, ἃ παρ' ἡμῖν ἀλλήλοις συνοικεῖ. Τὸ δὲ χωρίον ἱερὸν ἐν περιβόλῳ· ἐλαία μὲν ἀναθάλλει φαιδροῖς τοῖς κλάδοις, πεφύτευται δὲ σὺν αὐτῇ τὸ πῦρ καὶ ἀνάπτει περὶ τοὺς πτόρθους πολλὴν τὴν φλόγα· ἡ δὲ τοῦ πυρὸς αἰθάλη τὸ φυτὸν γεωργεῖ. 5
6 Αὕτη πυρὸς φιλία καὶ φυτοῦ· οὕτως οὐ φεύγει τὸν Ἥφαιστον Ἀθηνᾶ." Καὶ ὁ Χαιρεφῶν συστράτηγος ὢν τοῦ Σωστράτου μείζων, ἐπεὶ πατρόθεν ἦν Βυζάντιος, ἐκθειάζων αὐτὸν "πάντα μὲν τὸν χρησμὸν" εἶπεν "ἐξηγήσω καλῶς· μὴ μέντοι θαύμαζε τὴν τοῦ πυρὸς 10
7 μόνον, ἀλλὰ καὶ τὴν τοῦ ὕδατος φύσιν. Ἐθεασάμην γὰρ ἐγὼ τοιαῦτα μυστήρια. Τὸ γοῦν Σικελικῆς πηγῆς ὕδωρ κεκερασμένον ἔχει πῦρ· καὶ φλόγα μὲν ὄψει κάτωθεν ἀπ' αὐτῆς ἁλλομένην ἄνω· θιγόντι δέ σοι τὸ ὕδωρ ψυχρόν ἐστιν οἷόνπερ χιών, καὶ οὔτε τὸ πῦρ 15 ὑπὸ τοῦ ὕδατος κατασβέννυται οὔτε τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς φλέγεται, ἀλλ' ὕδατός εἰσιν ἐν τῇ κρήνῃ καὶ
8 πυρὸς σπονδαί. Ἐπεὶ καὶ ποταμὸς Ἰβηρικός, εἰ μὲν ἴδοις αὐτὸν εὐθύς, οὐδενὸς ἄλλου κρείττων ἐστὶ ποταμοῦ· ἢν δὲ ἀκοῦσαι θέλῃς τοῦ ὕδατος λαλοῦντος, 20 μικρὸν ἀνάμεινον ἐκπετάσας τὰ ὦτα. Ἐὰν γὰρ ὀλίγος ἄνεμος εἰς τὰς δίνας ἐμπέσῃ, τὸ μὲν ὕδωρ ὡς χορδὴ κρούεται, τὸ δὲ πνεῦμα τοῦ ὕδατος πλῆκτρον γίνεται,
9 τὸ ῥεῦμα δὲ ὡς κιθάρα λαλεῖ. Ἀλλὰ καὶ λίμνη Λιβυκὴ μιμεῖται γῆν Ἰνδικήν, καὶ ἴσασιν αὐτῆς τὸ 25 ἀπόρρητον αἱ Λιβύων παρθένοι, ὅτι τὸ ὕδωρ ἔχει πλούσιον. Ὁ δὲ πλοῦτος αὐτῇ κάτω τεταμίευται τῇ τῶν ὑδάτων ἰλύι δεδεμένος, καὶ ἔστιν ἐκεῖ χρυσοῦ πηγή. Κοντὸν οὖν εἰς τὸ ὕδωρ βαπτίζουσι πίσσῃ πεφαρμαγμένον, ἀνοίγουσί τε τοῦ ποταμοῦ τὰ κλεῖ- 30
10 θρα. Ὁ δὲ κοντὸς πρὸς τὸν χρυσὸν οἷον πρὸς ἰχθὺν ἄγκιστρον γίνεται, ἀγρεύει γὰρ αὐτόν· ἡ δὲ πίσσα

δέλεαρ γίνεται τῆς ἄγρας· ὅ τι γὰρ ἂν εἰς αὐτὴν ἐμπέσῃ τῆς τοῦ χρυσοῦ γονῆς, τὸ μὲν προσήψατο μόνον, ἡ πίσσα δὲ εἰς τὴν ἤπειρον ἥρπασε τὴν ἄγραν. Οὕτως ἐκ ποταμοῦ Λιβυκοῦ χρυσὸς ἁλιεύεται."

Ταῦτα εἰπὼν τὴν θυσίαν ἐπὶ τὴν Τύρον ἔπεμπε, καὶ τῇ πόλει συνδοκοῦν. Ὁ οὖν Καλλισθένης διαπράττεται τῶν θεωρῶν εἷς γενέσθαι· καὶ ταχὺ καταπλεύσας εἰς τὴν Τύρον καὶ ἐκμαθὼν τὴν τοῦ πατρὸς οἰκίαν ἐφήδρευε ταῖς γυναιξίν· αἱ δὲ ὀψόμεναι τὴν θυσίαν ἐξῆεσαν· καὶ γὰρ ἦν πολυτελής. Πολλὴ μὲν 2 ἡ τῶν θυμιαμάτων πομπή, πολλὴ δὲ ἡ τῶν ἀνθέων συμπλοκή. Τὰ θυμιάματα κασία καὶ λιβανωτὸς καὶ κρόκος· τὰ ἄνθη νάρκισσος καὶ ῥόδα καὶ μυρρίναι· ἡ δὲ τῶν ἀνθέων ἀναπνοὴ πρὸς τὴν τῶν θυμιαμάτων ἤριζεν ὀδμήν· τὸ δὲ πνεῦμα ἀναπεμπόμενον εἰς τὸν ἀέρα τὴν ὀδμὴν ἐκεράννυ, καὶ ἦν ἄνεμος ἡδονῆς. Τὰ 3 δὲ ἱερεῖα πολλὰ μὲν ἦν καὶ ποικίλα, διέπρεπον δὲ ἐν αὐτοῖς οἱ τοῦ Νείλου βόες. Βοῦς γὰρ Αἰγύπτιος οὐ τὸ μέγεθος μόνον ἀλλὰ καὶ τὴν χρόαν εὐτυχεῖ· τὸ μὲν γὰρ μέγεθος πάνυ μέγας, τὸν αὐχένα παχύς, τὸ νῶτον πλατύς, τὴν γαστέρα πολύς, τὸ κέρας οὐχ ὡς ὁ Σικελικὸς εὐτελὴς οὐδ' ὡς ὁ Κύπριος δυσειδής, ἀλλ' ἐκ τῶν κροτάφων ὄρθιον ἀναβαῖνον, κατὰ μικρὸν ἑκατέρωθεν κυρτούμενον τὰς κορυφὰς συνάγει τοσοῦτον, ὅσον αἱ τῶν κεράτων διεστᾶσιν ἀρχαί· καὶ τὸ θέαμα κυκλουμένης σελήνης ἐστὶν εἰκών· ἡ χρόα δὲ οἵαν Ὅμηρος [ἐν] τοῖς τοῦ Θρᾳκὸς ἵπποις ἐπαινεῖ. Βαδίζει δὲ ταῦρος ὑψαυχενῶν καὶ ὥσπερ ἐπιδεικνύ- 4 μενος ὅτι τῶν ἄλλων βοῶν ἐστι βασιλεύς. Εἰ δὲ ὁ μῦθος Εὐρώπης ἀληθής, Αἰγύπτιον βοῦν ὁ Ζεὺς ἐμιμήσατο.

Ἔτυχεν οὖν ἡ μὲν ἐμὴ μήτηρ τότε μαλακῶς ἔχου- 16

σα· σκηψαμένη δὲ καὶ ἡ Λευκίππη νοσεῖν, ἔνδον ὑπέμεινε (συνέκειτο γὰρ ἡμῖν ἐς ταὐτὸν ἐλθεῖν, ὡς ἂν τῶν πολλῶν ἐξιόντων), ὥστε συνέβη τὴν ἀδελφὴν τὴν ἐμὴν μετὰ τῆς Λευκίππης μητρὸς προελθεῖν.
2 Ὁ δὲ Καλλισθένης τὴν μὲν Λευκίππην οὐχ ἑωρακώς ποτε, τὴν δὲ Καλλιγόνην ἰδὼν τὴν ἐμὴν ἀδελφήν, νομίσας Λευκίππην εἶναι (ἐγνώρισε γὰρ τοῦ Σωστράτου τὴν γυναῖκα), πυθόμενος οὐδὲν (ἦν γὰρ ἑαλωκὼς ἐκ τῆς θέας) δείκνυσιν ἑνὶ τῶν οἰκετῶν τὴν κόρην, ὃς ἦν αὐτῷ πιστότατος, καὶ κελεύει ληστὰς ἐπ' αὐτὴν συγκροτῆσαι, καταλέξας τὸν τρόπον τῆς ἁρπαγῆς. Πανήγυρις δὲ ἐπέκειτο, καθ' ἣν ἠκηκόει πάσας τὰς παρθένους ἁπάντων ἐπὶ θάλατταν.
17 Ὁ μὲν οὖν ταῦτα εἰπὼν καὶ τὴν θεωρίαν ἀφωσιωμένος ἀπῆλθε· ναῦν δὲ εἶχεν ἰδίαν, τοῦτο προκατασκευάσας οἴκοθεν εἰ τύχοι τῆς ἐπιχειρήσεως. Οἱ μὲν δὴ ἄλλοι θεωροὶ ἀπέπλευσαν, αὐτὸς δὲ μικρὸν ἀπεσάλευε τῆς γῆς, ἅμα μὲν ὡς [ἂν] δοκοίη τοῖς πολίταις ἔπεσθαι, ἅμα δὲ ἵνα μὴ πλησίον τῆς Τύρου τοῦ σκάφους ὄντος, κατάφωρος γένοιτο μετὰ τὴν ἁρπα-
2 γήν. Ἐπεὶ δὲ ἐγένετο κατὰ Σάραπτα κώμην Τυρίων ἐπὶ θαλάττῃ κειμένην, ἐνταῦθα προσποριζεται λέμβον, δίδωσι δὲ τῷ Ζήνωνι· τοῦτο γὰρ ἦν ὄνομα τῷ
3 οἰκέτῃ ὃν ἐπὶ τὴν ἁρπαγὴν παρεσκευάκει. Ὁ δὲ (ἦν γὰρ καὶ ἄλλως εὔρωστος τὸ σῶμα καὶ φύσει πρακτικὸς) ταχὺ μὲν ἐξεῦρε ληστὰς ἁλιεῖς ἀπὸ τῆς κώμης ἐκείνης καὶ δῆτα ἀπέπλευσεν ἐπὶ τὴν Τύρον. Ἔστι δὲ μικρὸν ἐπίνειον Τυρίων, νησίδιον ἀπέχον ὀλίγον τῆς Τύρου (Ῥοδώπιδος αὐτὸ τάφον οἱ Τύριοι λέγουσιν)· ἔνθα ὁ λέμβος ἐφήδρευε.
18 Πρὸ δὲ τῆς πανηγύρεως, ἣν ὁ Καλλισθένης προσεδόκα, γίνεται δὴ τὰ τοῦ ἀετοῦ καὶ τῶν μάν-

τεων· καὶ εἰς τὴν ὑστεραίαν παρεσκευαζόμεθα νύκτωρ, ὡς θυσόμενοι τῷ θεῷ. Τούτων δὲ τὸν Ζήνωνα ἐλάνθανεν οὐδέν· ἀλλ' ἐπειδὴ καιρὸς ἦν βαθείας ἑσπέρας, ἡμεῖς μὲν προήλθομεν, ὁ δὲ εἵπετο. Ἄρτι 2
δὲ γενομένων ἡμῶν ἐπὶ τῷ χείλει τῆς θαλάσσης, ὁ μὲν τὸ συγκείμενον ἀνέτεινε σημεῖον, ὁ δὲ λέμβος ἐξαίφνης προσέπλει, καὶ ἐπεὶ πλησίον ἐγένετο, ἐφάνησαν ἐν αὐτῷ νεανίσκοι δέκα. Ὀκτὼ δὲ ἑτέ- 3
ρους ἐπὶ τῆς γῆς ἔτυχε προλοχίσας, οἳ γυναικείας μὲν εἶχον ἐσθῆτας καὶ τῶν γενείων ἐψίλωντο τὰς τρίχας, ἔφερον δὲ ἕκαστος ὑπὸ κόλπῳ ξίφος, ἐκόμιζον δὲ καὶ αὐτοὶ θυσίαν, ὡς ἂν ἥκιστα ὑποπτευθεῖεν· ἡμεῖς δὲ ὠόμεθα γυναῖκας εἶναι. Ἐπεὶ δὲ συνετίθεμεν τὴν 4
πυράν, ἐξαίφνης βοῶντες συντρέχουσι καὶ τὰς μὲν δᾷδας ἡμῶν ἀποσβεννύουσι, φευγόντων δὲ ἀτάκτως ὑπὸ τῆς ἐκπλήξεως, τὰ ξίφη γυμνώσαντες ἁρπάζουσι τὴν ἀδελφὴν τὴν ἐμὴν καὶ ἐνθέμενοι τῷ σκάφει, ἐπεμβάντες εὐθὺς ὄρνιθος δίκην ἀφίπτανται. Ἡμῶν 5
δὲ οἱ μὲν ἔφευγον οὐδὲν οὔτ' εἰδότες οὔτε ἑωρακότες, οἱ δὲ ἅμα τε εἶδον καὶ ἐβόων "λῃσταὶ Καλλιγόνην ἄγουσι·" τὸ δὲ πλοῖον ἤδη μέσην ἐπέραινε τὴν θάλασσαν. Ὡς δὲ τοῖς Σαράπτοις προσέσχον, πόρρωθεν ὁ Καλλισθένης τὸ σημεῖον ἰδὼν ὑπηντίασεν ἐπιπλεύσας καὶ δέχεται μὲν τὴν κόρην, πλεῖ δὲ εὐθὺς πελάγιος. Ἐγὼ δὲ ἀνέπνευσα μὲν οὕτω διαλυθέν- 6
των μοι τῶν γάμων παραδόξως, ἠχθόμην δ' ὅμως ὑπὲρ ἀδελφῆς περιπεσούσης τοιαύτῃ συμφορᾷ.

Ὀλίγας δὲ ἡμέρας διαλιπὼν πρὸς τὴν Λευκίπ- 19
πην διελεγόμην "μέχρι τίνος ἐπὶ τῶν φιλημάτων ἱστάμεθα, φιλτάτη; προσθῶμεν ἤδη τι καὶ ἐρωτι-

30 post φιλτάτη: καλὰ τὰ προοίμια

κώτερον. Φέρε ἀνάγκην ἀλλήλοις ἐπιθῶμεν πίστεως. Ἂν γὰρ ἡμᾶς Ἀφροδίτη μυσταγωγήσῃ, οὐ μή τις ἄλ-
2 λος κρείττων γένηται τῆς θεοῦ." Ταῦτα πολλάκις κατεπᾴδων ἐπεπείκειν τὴν κόρην ὑποδέξασθαί με νυκτὸς τῷ θαλάμῳ, τῆς Κλειοῦς συνεργούσης, ἥτις ἦν αὐτῇ θαλαμηπόλος. Εἶχε δὲ ὁ θάλαμος αὐτῆς οὕτως.
3 Χωρίον ἦν μέγα τέτταρα οἰκήματα ἔχον, δύο μὲν ἐπὶ δεξιά, δύο δ' ἐπὶ θᾶτερα· μέσος δὲ διεῖργε στενωπὸς τὰ οἰκήματα· θύρα δὲ ἐν ἀρχῇ τοῦ στενωποῦ
4 μία ἐπέκειτο. Ταύτην εἶχον τὴν καταγωγὴν αἱ γυναῖκες· καὶ τὰ μὲν ἐνδοτέρω τῶν οἰκημάτων ἥ τε παρθένος καὶ ἡ μήτηρ αὐτῆς διειλήχεσαν, ἑκάτερα τὰ ἀντικρύ, τὰ δὲ ἔξω δύο τὰ πρὸς τὴν εἴσοδον τὸ μὲν ἡ Κλειὼ τὸ κατὰ τὴν παρθένον, τὸ δὲ ταμιεῖον
5 ἦν. Κατακοιμίζουσα δὲ ἀεὶ τὴν Λευκίππην ἡ μήτηρ ἔκλειεν ἔνδοθεν τὴν ἐπὶ τοῦ στενωποῦ θύραν· ἔξωθεν δέ τις ἕτερος ἐπέκλειε καὶ τὰς κλεῖς ἔβαλλε διὰ τῆς ὀπῆς· ἡ δὲ λαβοῦσα ἐφύλαττε καὶ περὶ τὴν ἕω καλέσασα τὸν εἰς τοῦτο ἐπιτεταγμένον διέβαλλε πά-
6 λιν τὰς κλεῖς, ὅπως ἀνοίξειε. Ταύταις οὖν ἴσας μηχανησάμενος ὁ Σάτυρος γενέσθαι, τὴν ἄνοιξιν πειρᾶται καὶ ὡς εὗρε δυνατήν, τὴν Κλειὼ ἐπεπείκει τῆς κόρης συνειδυίας μηδὲν ἀντιπρᾶξαι τῇ τέχνῃ. Ταῦτα ἦν τὰ συγκείμενα.

20 Ἦν δέ τις αὐτῶν οἰκέτης πολυπράγμων καὶ λάλος καὶ λίχνος καὶ πᾶν ὅ τι ἂν εἴποι τις, ὄνομα Κώνωψ. Οὗτός μοι ἐδόκει πόρρωθεν ἐπιτηρεῖν τὰ πραττόμενα ἡμῖν· μάλιστα δ', ὅπερ ἦν, ὑποπτεύσας μή τι

---

9 post στενωπός: ὁδὸς ἐπὶ

23 post τῇ: κόρῃ

νύκτωρ ἡμῖν πραχθῇ, διενυκτέρευε μέχρι πόρρω τῆς ἑσπέρας, ἀναπετάσας τοῦ δωματίου τὰς θύρας, ὥστε ἔργον ἦν αὐτὸν λαθεῖν. Ὁ οὖν Σάτυρος βου- 2
λόμενος αὐτὸν εἰς φιλίαν ἀγαγεῖν, προσέπαιζε πολ-
λάκις καὶ κώνωπα ἑκάλει καὶ ἔσκωπτε τοὔνομα σὺν
γέλωτι. Καὶ οὗτος εἰδὼς τοῦ Σατύρου τὴν τέχνην
προσεποιεῖτο μὲν ἀντιπαίζειν καὶ αὐτός, ἐνετίθει δὲ
τῇ παιδιᾷ τῆς γνώμης τὸ ἄσπονδον. Λέγει δὴ πρὸς 3
αὐτὸν "ἐπειδὴ καταμωκᾷ μου καὶ τοὔνομα, φέρε σοι
μῦθον ἀπὸ κώνωπος εἴπω.

Ὁ λέων κατεμέμφετο τὸν Προμηθέα πολλάκις 21
ὅτι μέγαν μὲν αὐτὸν ἔπλασε καὶ καλὸν καὶ τὴν μὲν
γένυν ὤπλισε τοῖς ὀδοῦσι, τοὺς δὲ πόδας ἐκράτυνε
τοῖς ὄνυξιν, ἐποίησέ τε τῶν ἄλλων θηρίων δυνατώ-
τερον. "Ὁ δὲ τοιοῦτος' ἔφασκε 'τὸν ἀλεκτρυόνα φο-
βοῦμαι.' Καὶ ὁ Προμηθεὺς ἐπιστὰς ἔφη 'τί με 2
μάτην αἰτιᾷ; τὰ μὲν γὰρ ἐμὰ πάντα ἔχεις, ὅσα πλάτ-
τειν ἠδυνάμην, ἡ δὲ σὴ ψυχὴ πρὸς τοῦτο μόνον
μαλακίζεται.' Ἔκλαεν οὖν ἑαυτὸν ὁ λέων καὶ τῆς δει- 3
λίας κατεμέμφετο καὶ τέλος ἀποθανεῖν ἤθελεν. Οὕ-
τω δὲ γνώμης ἔχων ἐλέφαντι περιτυγχάνει καὶ προσ-
αγορεύσας εἱστήκει διαλεγόμενος. Καὶ ὁρῶν διὰ
παντὸς τὰ ὦτα κινοῦντα 'τί πάσχεις;' ἔφη, 'καὶ τί
δήποτε οὐδὲ μικρὸν ἀτρεμεῖ σου τὸ οὖς;' Καὶ ὁ ἐλέ- 4
φας κατὰ τύχην παραπτάντος αὐτὸν κώνωπος 'ὁρᾷς'
ἔφη 'τουτὶ τὸ βραχὺ τὸ βομβοῦν; ἦν εἰσδύῃ με τῇ
τῆς ἀκοῆς ὁδῷ, τέθνηκα.' Καὶ ὁ λέων 'τί οὖν' ἔφη
'ἔτι ἀποθνήσκειν με δεῖ τοσοῦτον ὄντα καὶ ἐλέφαντος
εὐτυχέστερον, ὅσον κρείττων κώνωπος ἀλεκτρυών;'
'Ὁρᾷς ὅσον ἰσχύος ὁ κώνωψ ἔχει, ὡς καὶ ἐλέφαντα
φοβεῖν."

Συνεὶς οὖν ὁ Σάτυρος τὸ ὕπουλον αὐτοῦ τῶν 5

λόγων, ἠρέμα μειδιῶν "ἄκουσον κἀμοῦ τινα λόγον" εἶπεν "ἀπὸ κώνωπος καὶ λέοντος, ὃν ἀκήκοά τινος τῶν φιλοσόφων· χαρίζομαι δέ σοι τοῦ μύθου τὸν ἐλέφαντα.

22 Λέγει τοίνυν κώνωψ ἀλαζών ποτε πρὸς τὸν λέοντα 'εἶτα κἀμοῦ βασιλεύειν νομίζεις ὡς τῶν ἄλλων θηρίων; ἀλλ' οὔτ' ἐμοῦ καλλίων οὔτε ἀλκιμώτερος ἔφυς οὔτε μείζων. Ἐπεὶ τίς σοι πρῶτόν ἐστιν
2 ἀλκή; ἀμύσσεις τοῖς ὄνυξι καὶ δάκνεις τοῖς ὀδοῦσι. Ταῦτα γὰρ οὐ ποιεῖ μαχομένη γυνή; ποῖον δὲ μέγεθος ἢ κάλλος σε κοσμεῖ; στέρνον πλατύ, ὦμοι παχεῖς καὶ πολλὴ περὶ τὸν αὐχένα κόμη. Τὴν κατόπιν οὖν αἰσχύνην οὐχ ὁρᾷς; Ἐμοὶ δὲ μέγεθος μὲν ὁ ἀὴρ ὅλος, ὅσον μου καταλαμβάνει τὸ πτερόν, κάλλος δὲ αἱ τῶν λειμώνων κόμαι· αἱ μὲν γάρ εἰσιν ὥσπερ ἐσθῆ-
3 τες, ἃς ὅταν θέλω παῦσαι τὴν πτῆσιν ἐνδύομαι. Τὴν δὲ ἀνδρείαν μου μὴ καὶ γελοῖον ᾖ καταλέγειν· ὄργανον γὰρ ὅλος εἰμὶ πολέμου. Μετὰ μὲν σάλπιγγος [καὶ βέλους] παρατάττομαι, σάλπιγξ δέ μοι καὶ βέλος τὸ στόμα, ὥστε εἰμὶ καὶ αὐλητὴς καὶ τοξότης· ἐμαυτοῦ δὲ οἰστὸς καὶ τόξον γίνομαι· τοξεύει γάρ με διαέριον τὸ πτερόν, ἐμπεσὼν δὲ ὡς ἀπὸ βέλους ποιῶ τὸ τραῦμα, ὁ δὲ παταχθεὶς ἐξαίφνης βοᾷ καὶ τὸν τετρωκότα ζητεῖ· ἐγὼ δὲ παρὼν οὐ πάρειμι, ὁμοῦ δὲ καὶ φεύγω καὶ μένω καὶ περιιππεύω τὸν ἄνθρωπον τῷ πτερῷ, γελῶ δὲ αὐτὸν βλέπων περὶ τοῖς τραύμα-
4 σιν ὀρχούμενον. Ἀλλὰ τί δεῖ λόγων; ἀρχώμεθα μάχης.' [Καὶ] ἅμα λέγων ἐμπίπτει τῷ λέοντι καὶ εἰς τοὺς ὀφθαλμοὺς ἐμπηδᾷ καὶ εἴ τι ἄλλο ἄτριχον τῶν προσώπων, περιιπτάμενος ἅμα καὶ τῷ βόμβῳ καταυλῶν. Ὁ δὲ λέων ἠγρίαινέ τε καὶ μετεστρέφετο πάντη καὶ τὸν ἀέρα περιέχασκεν, ὁ δὲ κώνωψ ταύτῃ πλέον

τὴν ὀργὴν ἐτίθετο παιδιὰν καὶ ἐπ' αὐτοῖς ἐτίτρωσκε τοῖς χείλεσιν. Καὶ ὁ μὲν ἔκλινεν εἰς τὸ λυποῦν μέρος, ἀνακάμπτων ἔνθα τοῦ τραύματος ἡ πληγή, ὁ δὲ ὥσπερ παλαιστὴς τὸ σῶμα σκευάζων εἰς τὴν συμπλοκὴν ἀπέρρει τῶν τοῦ λέοντος ὀδόντων, αὐτὴν μέσην διαπτὰς κλειομένην τὴν γένυν. Οἱ δὲ ὀδόν- 6
τες κενοὶ τῆς θήρας περὶ ἑαυτοὺς ἐκροτάλιζον. Ἤδη τοίνυν ὁ λέων ἐκεκμήκει σκιαμαχῶν πρὸς τὸν ἀέρα τοῖς ὀδοῦσι καὶ εἱστήκει παρειμένος ὀργῇ· ὁ δὲ κώνωψ περιιπτάμενος αὐτοῦ τὴν κόμην ἐπηύλει μέλος ἐπινίκιον. Μακρότερον δὲ ποιούμενος τῆς πτή- 7
σεως τὸν κύκλον ὑπὸ περιττῆς ἀπειροκαλίας ἀράχνου λανθάνει νήμασιν ἐμπλακείς, καὶ τὸν ἀράχνην οὐκ ἔλαθεν ἐμπεσών. Ὡς δ' οὐκέτι εἶχε φυγεῖν, ἀδημονῶν εἶπεν "ὦ τῆς ἀνοίας· προὐκαλούμην γὰρ ἐγὼ λέοντα, ὀλίγος δέ με ἤγρευσεν ἀράχνου χιτών."

Ταῦτα εἰπὼν "ὥρα τοίνυν" ἔφη "καὶ σοὶ τοὺς ἀράχνας φοβεῖσθαι," καὶ ἅμα ἐγέλασε.

Καὶ ὀλίγας διαλιπὼν ἡμέρας, εἰδὼς αὐτὸν γα- 23
στρὸς ἡττώμενον, φάρμακον πριάμενος ὕπνου βαθέος ἐφ' ἑστίασιν αὐτὸν ἐκάλεσεν. Ὁ δὲ ὑπώπτευε μέν τινα μηχανὴν καὶ ὤκνει τὸ πρῶτον· ὡς δὲ ἡ βελτίστη γαστὴρ κατηνάγκασε, πείθεται. Ἐπεὶ δὲ ἦκε πρὸς 2
τὸν Σάτυρον εἶτα δειπνήσας ἔμελλεν ἀπιέναι, ἐγχεῖ τοῦ φαρμάκου κατὰ τῆς τελευταίας κύλικος ὁ Σάτυρος αὐτῷ· καὶ ὁ μὲν ἔπιε καὶ μικρὸν διαλιπών, ὅσον εἰς τὸ δωμάτιον αὐτοῦ φθάσαι, καταπεσὼν ἔκειτο, τὸν ὕπνον καθεύδων τοῦ φαρμάκου. Ὁ δὲ 3
Σάτυρος εἰστρέχει πρός με καὶ λέγει "κεῖταί σοι καθεύδων ὁ Κύκλωψ· σὺ δὲ ὅπως Ὀδυσσεὺς ἀγαθὸς γένῃ." Καὶ ἅμα ἔλεγε καὶ ἤκομεν ἐπὶ τὰς θύρας τῆς ἐρωμένης, καὶ ὁ μὲν ὑπελείπετο, ἐγὼ δὲ εἰσήειν,

ὑποδεχομένης με τῆς Κλειοῦς ἀψοφητί, τρέμων τρό-
4 μον διπλοῦν, χαρᾶς ἅμα καὶ φόβου. Ὁ μὲν γὰρ τοῦ
κινδύνου φόβος ἐθορύβει τὰς τῆς ψυχῆς ἐλπίδας, ἡ
δὲ ἐλπὶς τοῦ τυχεῖν ἐπεκάλυπτεν ἡδονῇ τὸν φόβον·
οὕτω καὶ τὸ ἐλπίζον ἐφοβεῖτό μου καὶ ἔχαιρε τὸ 5
λυπούμενον. Ἄρτι δέ μου παρελθόντος εἴσω τοῦ
θαλάμου τῆς παιδός, γίνεταί τι τοιοῦτο περὶ τὴν τῆς
κόρης μητέρα· ἔτυχε γὰρ ὄνειρος αὐτὴν ταράξας.
5 Ἐδόκει τινὰ λῃστὴν μάχαιραν ἔχοντα γυμνὴν ἄγειν
ἁρπασάμενον αὐτῆς τὴν θυγατέρα καὶ καταθέμενον 10
ὑπτίαν, μέσην ἀνατέμνειν τῇ μαχαίρᾳ τὴν γαστέρα
κάτωθεν ἀρξάμενον ἀπὸ τῆς αἰδοῦς. Ταραχθεῖσα οὖν
ὑπὸ δείματος ὡς εἶχεν ἀναπηδᾷ καὶ ἐπὶ τὸν τῆς
θυγατρὸς θάλαμον τρέχει (ἐγγὺς γὰρ ἦν) ἄρτι μου
6 κατακλιθέντος. Ἐγὼ μὲν δὴ τὸν ψόφον ἀκούσας 15
ἀνοιγομένων τῶν θυρῶν εὐθὺς ἀνεπήδησα, ἡ δὲ ἐπὶ
τὴν κλίνην παρῆν. Συνεὶς οὖν τὸ κακὸν ἐξάλλομαι
καὶ διὰ τῶν θυρῶν ἴεμαι δρόμῳ, καὶ ὁ Σάτυρος ὑπο-
δέχεται τρέμοντα καὶ τεταραγμένον· εἶτα ἐφεύγο-
μεν διὰ τοῦ σκότους καὶ ἐπὶ τὸ δωμάτιον ἑαυτῶν 20
ἤλθομεν.

24 Ἡ δὲ πρῶτον μὲν ὑπὸ ἰλίγγου κατέπεσεν, εἶτα
ἀνενεγκοῦσα τὴν Κλειὼ κατὰ κόρρης ὡς εἶχε ῥα-
πίζει, καὶ ἐπιλαβομένη τῶν τριχῶν ἅμα πρὸς τὴν
θυγατέρα ἀνῴμωξεν "ἀπώλεσάς μου" λέγουσα "Λευ- 25
2 κίππη, τὰς ἐλπίδας. Οἴμοι, Σώστρατε. Σὺ μὲν
ἐν Βυζαντίῳ πολεμεῖς ὑπὲρ ἀλλοτρίων γάμων, ἐν
Τύρῳ δὲ καταπεπολέμησαι, καὶ τῆς θυγατρός σού τις
τοὺς γάμους σεσύληκεν. Οἴμοι δειλαία, τοιούτους
3 σου γάμους ὄψεσθαι οὐ προσεδόκων. Ὄφελον ἔμει- 30
νας ἐν Βυζαντίῳ, ὄφελον ἔπαθες πολέμου νόμῳ τὴν
ὕβριν, ὄφελόν σε κἂν Θρᾷξ νικήσας ὕβρισεν· οὐκ

εἶχεν ἡ συμφορὰ διὰ τὴν ἀνάγκην ὄνειδος· νῦν δέ, κακόδαιμον, ἀδοξεῖς ἐν οἷς δυστυχεῖς. Ἐπλάνα δέ 4
με καὶ τὰ τῶν ἐνυπνίων φαντάσματα, τὸν δὲ ἀληθέστερον ὄνειρον οὐκ ἐθεασάμην· νῦν [δ'] ἀθλιώτερον
5 ἀνετμήθης τὴν γαστέρα· αὕτη δυστυχεστέρα τῆς μαχαίρας τομή, οὐδὲ εἶδον τὸν ὑβρίσαντά σε, οὐδὲ οἶδά μου τῆς συμφορᾶς τὴν τύχην. Οἴμοι τῶν κακῶν. Μὴ καὶ δοῦλος ἦν;"

Ἐθάρρησεν οὖν ἡ παρθένος, ὡς ἂν ἐμοῦ διαπεφευγότος, καὶ λέγει "μὴ λοιδόρει μου, μῆτερ, τὴν παρθενίαν· οὐδὲν ἔργον μοι πέπρακται τοιούτων ῥημάτων [ἄξιον], οὐδὲ οἶδα τοῦτον ὅστις ἦν, εἴτε δαίμων εἴτε ἥρως εἴτε λῃστής. Ἐκείμην δὲ πεφοβη- 2
μένη, μηδ' ἀνακραγεῖν διὰ τὸν φόβον δυναμένη· φόβος γὰρ γλώττης ἐστὶ δεσμός. Ἐν οἶδα μόνον, οὐδείς μου τὴν παρθενίαν κατήσχυνε." Καταπεσοῦσα 3
οὖν ἡ Πάνθεια πάλιν ἔστενεν, ἡμεῖς δὲ ἐσκοποῦμεν καθ' ἑαυτοὺς γενόμενοι τί ποιητέον εἴη, καὶ ἐδόκει κράτιστον εἶναι φεύγειν, πρὶν ἕως γένηται καὶ τὸ
20 πᾶν ἡ Κλειὼ βασανιζομένη κατείπῃ.

Δόξαν οὖν οὕτως εἰχόμεθα ἔργου, σκηψάμενοι 26
πρὸς τὸν θυρωρὸν ἀπιέναι πρὸς ἐρωμένην, καὶ ἐπὶ τὴν οἰκίαν ἐρχόμεθα τὴν Κλεινίου. Ἦσαν δὲ λοιπὸν μέσαι νύκτες, ὥστε μόλις ὁ θυρωρὸς ἀνέῳξεν ἡμῖν.
25 Καὶ ὁ Κλεινίας (ἐν ὑπερῴῳ γὰρ τὸν θάλαμον εἶχε) διαλεγομένων ἡμῶν ἀκούσας κατατρέχει τεταραγμένος. Καὶ ἐν τούτῳ τὴν Κλειὼ κατόπιν ὁρῶμεν σπου- 2
δῇ θέουσαν· ἦν γὰρ δρασμὸν βεβουλευμένη. Ἅμα τε οὖν ὁ Κλεινίας ἤκουσεν ἡμῶν ἃ πεπόνθαμεν' καὶ
30 τῆς Κλειοῦς ἡμεῖς ὅπως φύγοι, καὶ πάλιν ἡμῶν ἡ Κλειὼ τί ποιεῖν μέλλομεν. Παρελθόντες οὖν εἴσω 3
τῶν θυρῶν τῷ Κλεινίᾳ διηγούμεθα τὰ γεγονότα καὶ

ὅτι φεύγειν διεγνώκαμεν. Λέγει ἡ Κλειὼ "κἀγὼ σὺν ὑμῖν· ἦν γὰρ περιμείνω τὴν ἕω, θάνατός μοι πρόκειται τῶν βασάνων γλυκύτερος."

27 Ὁ οὖν Κλεινίας τῆς χειρός μου λαβόμενος ἄγει τῆς Κλειοῦς μακρὰν καὶ λέγει "δοκῶ μοι καλλίστην γνώμην εὑρηκέναι, ταύτην μὲν ὑπεξαγαγεῖν, ἡμᾶς δὲ ὀλίγας ἡμέρας ἐπισχεῖν, κἂν οὕτω δοκῇ, συσκευα-
2 σαμένους ἀπελθεῖν. Οὔτε γὰρ νῦν οἶδε τῆς κόρης ἡ μήτηρ τίνα κατέλαβεν, ὡς ὑμεῖς φατε, ὅ τε καταμηνύσων οὐκ ἔσται τῆς Κλειοῦς ἐκ μέσου γενομένης· τάχα δὲ καὶ τὴν κόρην συμφυγεῖν πείσετε." Ἔλεγε δὲ καὶ αὐτὸς ὅτι κοινωνὸς γενήσεται τῆς ἀποδημίας.
3 Ταῦτα ἔδοξε· καὶ τὴν μὲν Κλειὼ τῶν οἰκετῶν αὐτοῦ τινι παραδίδωσι, κελεύσας ἐμβάλλεσθαι σκάφει, ἡμεῖς δὲ αὐτοῦ καταμείναντες ἐφροντίζομεν περὶ τῶν ἐσομένων, καὶ τέλος ἔδοξεν ἀποπειραθῆναι τῆς κόρης καὶ εἰ μὲν θελήσει συμφυγεῖν, οὕτω πράττειν· εἰ δὲ μή, μένειν αὐτοῦ, παραδόντας ἑαυτοὺς τῇ τύχῃ. Κοιμηθέντες οὖν [ὀλίγον] τῆς νυκτὸς ὅσον τὸ λοιπὸν περὶ τὴν ἕω πάλιν ἐπὶ τὴν οἰκίαν ἐπανήλθομεν.

28 Ἡ οὖν Πάνθεια ἀναστᾶσα περὶ τὰς βασάνους τῆς Κλειοῦς ηὐτρεπίζετο καὶ καλεῖν αὐτὴν ἐκέλευσεν. Ὡς δ' ἦν ἀφανής, πάλιν ἐπὶ τὴν θυγατέρα ἴεται καὶ "οὐκ ἐρεῖς" ἔφη "τὴν συσκευὴν τοῦ δράματος; ἰδοὺ
2 καὶ ἡ Κλειὼ πέφευγεν." Ἡ δὲ ἔτι μᾶλλον ἐθάρρησε καὶ λέγει "τί πλέον εἴπω σοι, τίνα δ' ἄλλην προσαγάγω πίστιν τῆς ἀληθείας μείζονα; Εἰ παρθενίας
3 ἐστί τις δοκιμασία, δοκίμασον." "Ἔτι καὶ τοῦτο" ἔφη ἡ Πάνθεια "λείπεται, ἵνα καὶ μετὰ μαρτύρων δυστυχῶμεν." Ταῦτα ἅμα λέγουσα, ἐπήδησεν ἔξω.

29 Ἡ δὲ Λευκίππη καθ' ἑαυτὴν γενομένη καὶ τῶν τῆς μητρὸς γεμισθεῖσα ῥημάτων παντοδαπή τις ἦν.

Ἠχθετο, ἠσχύνετο, ὠργίζετο· ἤχθετο μὲν πεφωραμένη, ἠσχύνετο δὲ ὀνειδιζομένη, ὠργίζετο δὲ ἀπιστουμένη. Αἰδὼς δὲ καὶ λύπη καὶ ὀργὴ τρία τῆς ψυχῆς κύματα. Ἡ μὲν γὰρ αἰδὼς διὰ τῶν ὀμμάτων 2
εἰσρέουσα τὴν τῶν ὀφθαλμῶν ἐλευθερίαν καθαιρεῖ· ἡ δὲ λύπη περὶ τὰ στέρνα διανεμομένη κατατήκει τῆς ψυχῆς τὸ ζωπυροῦν· ἡ δὲ ὀργὴ περιυλακτοῦσα τὴν καρδίαν ἐπικλύζει τὸν λογισμὸν τῷ τῆς μανίας ἀφρῷ. Λόγος δὲ τούτων ἁπάντων πατήρ, καὶ ἔοικεν ἐπὶ 3
σκοπῷ τόξον βάλλειν καὶ ἐπιτυγχάνειν καὶ ἐπὶ τὴν ψυχὴν πέμπειν τὰ βλήματα καὶ ποικίλα τοξεύματα. Τὸ μέν ἐστιν αὐτῷ λοιδορίας βέλος, καὶ γίνεται τὸ ἕλκος ὀργή· τὸ δέ ἐστιν ἔλεγχος ἀτυχημάτων· ἐκ τούτου τοῦ βέλους λύπη γίνεται· τὸ δὲ ὄνειδος ἁμαρτημάτων, καὶ καλοῦσιν αἰδῶ τὸ τραῦμα. Ἴδιον δὲ 4
τούτων ἁπάντων τῶν βελῶν βαθέα μὲν τὰ βλήματα, ἄναιμα δὲ τὰ τοξεύματα. Ἐν δὲ τούτων ἁπάντων φάρμακον, ἀμύνεσθαι τὸν βάλλοντα τοῖς αὐτοῖς βλήμασι· λόγος γὰρ γλώσσης βέλος ἄλλης γλώσσης βέλει θεραπεύεται· καὶ γὰρ τῆς καρδίας ἔπαυσε τὸ θυμούμενον καὶ τῆς ψυχῆς ἐμάρανε τὸ λυπούμενον. Ἂν δέ τις ἀνάγκῃ τοῦ κρείττονος σιγάσῃ τὴν ἄμυναν, 5
ἀλγεινότερα γίνεται τὰ ἕλκη τῇ σιωπῇ· αἱ γὰρ ὠδῖνες τῶν ἐκ τοῦ λόγου κυμάτων οὐκ ἀποπτύσασαι τὸν ἀφρὸν οἰδοῦσι περὶ ἑαυτὰς πεφυσημέναι.

Ἐν τούτῳ δὲ ἔτυχον πέμψας τὸν Σάτυρον πρὸς 30
τὴν κόρην ἀποπειρασόμενον τῆς φυγῆς. Ἡ δὲ πρὶν ἀκοῦσαι πρὸς τὸν Σάτυρον "δέομαι" ἔφη "πρὸς Θεῶν ξένων καὶ ἐγχωρίων, ἐξαρπάσατέ με τῶν τῆς μητρὸς

---

25 post πεφυσημέναι: τοσούτων οὖν ἡ Λευκίππη γεμισθεῖσα ῥημάτων οὐκ ἔφερε τὴν προσβολήν

2 ὀφθαλμῶν, ὅπη βούλεσθε· εἰ δέ με ἀπελθόντες κα-
ταλίποιτε, βρόχον πλεξαμένη τὴν ψυχήν μου οὕτως
ἀφήσω." Ἐγὼ δὲ ὡς ταῦτα ἤκουσα, τὸ πολὺ τῆς
φροντίδος ἀπερριψάμην. Δύο δὲ ἡμέρας διαλιπόντες,
ὅτε καὶ ἀποδημῶν ἔτυχεν ὁ πατήρ, παρεσκευαζόμεθα 5
πρὸς τὴν φυγήν.

31 Εἶχε δ' ὁ Σάτυρος τοῦ φαρμάκου λείψανον, ᾧ
τὸν Κώνωπα ἦν κατακοιμίσας· τούτου διακονούμενος
ἡμῖν ἐγχεῖ λαθὼν κατὰ τῆς κύλικος τῆς τελευταίας,
ἣν τῇ Πανθείᾳ προσέφερεν· ἡ δὲ ἀναστᾶσα ᾤχετο 10
2 εἰς τὸν θάλαμον ἑαυτῆς καὶ εὐθὺς ἐκάθευδεν. Εἶχε
δὲ ἑτέραν ἡ Λευκίππη θαλαμηπόλον, ἣν τῷ αὐτῷ
φαρμάκῳ καταβαπτίσας ὁ Σάτυρος (προσεπεποίητο
γὰρ καὶ αὐτῆς, ἐξ οὗ τῷ θαλάμῳ προσεληλύθει, ἐρᾶν)
ἐπὶ τὴν τρίτην θήραν ἔρχεται τὸν θυρωρόν· κἀκεῖ- 15
3 νον βεβλήκει τῷ αὐτῷ πώματι. Ὄχημα δὲ εὐτρεπὲς
ἡμᾶς πρὸ τῶν πυλῶν ἐξεδέχετο, ὅπερ ὁ Κλεινίας
παρεσκεύασε, καὶ ἔφθασεν ἡμᾶς ἐπ' αὐτοῦ περιμέ-
νων αὐτός. Ἐπεὶ δὲ πάντες ἐκάθευδον, περὶ πρώτας
νυκτὸς φυλακὰς προῆμεν ἀψοφητί, Λευκίππην τοῦ 20
4 Σατύρου χειραγωγοῦντος. Καὶ γὰρ ὁ Κώνωψ, ὅσπερ
ἡμῖν ἐφήδρευε, κατὰ τύχην ἐκείνην ἀπεδήμει τὴν
ἡμέραν τῇ δεσποίνῃ διακονησόμενος. Ἀνοίγει δὴ τὰς
θύρας ὁ Σάτυρος καὶ προήλθομεν· ὡς δὲ παρῆμεν
5 ἐπὶ τὰς πύλας, ἐπέβημεν τοῦ ὀχήματος. Ἦμεν δὲ οἱ 25
πάντες ἕξ, ἡμεῖς καὶ ὁ Κλεινίας καὶ δύο θεράποντες
αὐτοῦ. Ἐλαύνομεν οὖν τὴν ἐπὶ Σιδῶνος καὶ περὶ μοί-
ρας τῆς νυκτὸς δύο παρῆμεν ἐπὶ τὴν πόλιν καὶ εὐθὺς
ἐπὶ Βηρυτοῦ τὸν δρόμον ἐποιούμεθα, νομίζοντες εὐ-
6 ρήσειν ἐκεῖ ναῦν ἐφορμοῦσαν. Καὶ οὐκ ἠτυχήσαμεν· 30
ὡς γὰρ ἐπὶ τοῦ Βηρυτίων λιμένος ἤλθομεν, ἀναγό-
μενον σκάφος εὕρομεν, ἄρτι τὰ πρυμνήσια μέλλον

ἀπολύειν. Μηδὲν οὖν ἐρωτήσαντες ποῖ πλεῖ, μετεσκευαζόμεθα ἐπὶ τὴν θάλατταν ἐκ τῆς γῆς, καὶ ἦν ὁ καιρὸς μικρὸν ἄνω τῆς ἕω. Ἔπλει δὲ τὸ πλοῖον εἰς Ἀλεξάνδρειαν, τὴν μεγάλην τοῦ Νείλου πόλιν.

Ἔχαιρον τὸ πρῶτον ὁρῶν τὴν θάλατταν οὔπω 32
πελαγίζοντος τοῦ σκάφους, ἀλλ' ἔτι τοῖς λιμέσιν ἐποχουμένου. Ὡς δὲ ἔδοξεν οὔριον εἶναι πρὸς ἀναγωγὴν τὸ πνεῦμα, θόρυβος ἦν πολὺς κατὰ τὸ σκάφος, τῶν ναυτῶν διαθεόντων, τοῦ κυβερνήτου κε-
λεύοντος, ἑλκομένων τῶν κάλων· ἡ κεραία περιήγετο, 2
τὸ ἱστίον καθίετο, ἡ ναῦς ἀπεσαλεύετο, τὰς ἀγκύρας ἀνέσπων, ὁ λιμὴν κατελείπετο· τὴν γῆν ἑωρῶμεν ἀπὸ τῆς νεὼς κατὰ μικρὸν ἀναχωροῦσαν, ὡς αὐτὴν πλέ-
ουσαν· παιανισμὸς ἦν καὶ πολλή τις εὐχή, θεοὺς
σωτῆρας καλούντων [καὶ] εὐφημούντων αἴσιον τὸν πλοῦν γενέσθαι· τὸ πνεῦμα ᾔρετο σφοδρότερον, τὸ ἱστίον ἐκυρτοῦτο καὶ εἶλκε τὴν ναῦν.

Ἔτυχε δέ τις ἡμῖν νεανίσκος παρασκηνῶν, ὃς 33
ἐπεὶ καιρὸς ἦν ἀρίστου, φιλοφρονούμενος ἡμᾶς συν-
αριστᾶν ἠξίου. Καὶ ἡμῖν δ' ὁ Σάτυρος παρέφερεν· ὥστε εἰς μέσον καταθέμενοι ἃ εἴχομεν, τὸ ἄριστον ἐκοινοῦμεν, ἤδη δὲ καὶ λόγον. Λέγω δὴ πρῶτος 2
"πόθεν, ὦ νεανίσκε, καὶ τίνα σε δεῖ καλεῖν;" "Ἐγὼ Μενέλαος" εἶπεν, "τὸ δὲ γένος Αἰγύπτιος. Τὰ δὲ
ὑμέτερα τίνα;" "Ἐγὼ Κλειτοφῶν, οὗτος Κλεινίας, 3
Φοίνικες ἄμφω." "Τίς οὖν ἡ πρόφασις ὑμῖν τῆς ἀποδημίας;" "Ἦν σὺ πρῶτος ἡμῖν φράσῃς, καὶ τὰ παρ' ἡμῶν ἀκούσῃ."

Λέγει οὖν ὁ Μενέλαος "τὸ μὲν κεφάλαιον τῆς 34
ἐμῆς ἀποδημίας ἔρως βάσκανος καὶ θήρα δυστυχής. Ἦρων μειρακίου καλοῦ, τὸ δὲ μειράκιον φιλόθηρον ἦν. Ἐπεῖχον τὰ πολλά, κρατεῖν οὐκ ἠδυνάμην· ὡς

2 δ' οὐκ ἔπειθον, εἰπόμην ἐπὶ τὰς ἄγρας κἀγώ. Ἐθη-
ρῶμεν οὖν ἱππεύοντες ἄμφω καὶ τὰ πρῶτα εὐτυχοῦ-
3 μεν, τὰ λεπτὰ διώκοντες τῶν θηρίων. Ἐξαίφνης δὲ
σῦς τῆς ὕλης προπηδᾷ, καὶ τὸ μειράκιον ἐδίωκε· καὶ
ὁ σῦς ἐπιστρέφει τὴν γένυν καὶ ἀντιπρόσωπος ἐχώρει
δρόμῳ, καὶ τὸ μειράκιον οὐκ ἐξετρέπετο, βοῶντος
ἐμοῦ καὶ κεκραγότος ἕλκε τὸν ἵππον, μετένεγκε τὰς
ἡνίας, πονηρὸν τὸ θηρίον· ἄξας δὲ ὁ σῦς σπουδῇ
4 ἔτρεχεν ὡς ἐπ' αὐτό. Καὶ οἱ μὲν συνέπιπτον ἀλλή-
λοις, ἐμὲ δὲ τρόμος, ὡς εἶδον, λαμβάνει καὶ φοβού-
μενος μὴ φθάσῃ τὸ θηρίον καὶ πατάξῃ τὸν ἵππον,
ἐναγκυλησάμενος τὸ ἀκόντιον, πρὶν ἀκριβῶς κατα-
στοχάσασθαι τοῦ σκοποῦ, πέμπω τὸ βέλος, τὸ δὲ
5 μειράκιον παραθέον ἁρπάζει τὴν βολήν. Τίνα οἴει
με τότε ψυχὴν ἔχειν, εἰ καὶ ψυχὴν εἶχον ὅλως; Τὸ
δὲ οἰκτρότερον, τὰς χεῖρας ὤρεγέ μοι μικρὸν ἔτι
ἐμπνέων καὶ περιέβαλλε καὶ ἀποθνήσκων οὐκ ἐμίσει
με τὸν πονηρὸν ὁ ὑπ' ἐμοῦ πεφονευμένος, ἀλλὰ τὴν
ψυχὴν ἀφῆκε τῇ φονευσάσῃ περιπλεκόμενος δεξιᾷ.
6 Ἄγουσιν οὖν με ἐπὶ τὸ δικαστήριον οἱ τοῦ μειρακίου
γονεῖς οὐκ ἄκοντα· καὶ γὰρ παρελθὼν ἀπελογούμην
οὐδέν, θανάτου δὲ ἐτιμώμην ἐμαυτῷ. Ἐλεήσαντες
οὖν οἱ δικασταὶ προσετίμησάν μοι τριετῆ φυγήν· ἧς
νῦν τέλος ἐχούσης, αὖθις ἐπὶ τὴν ἐμαυτοῦ καταίρω."
7 Ἐπεδάκρυσεν ὁ Κλεινίας αὐτοῦ λέγοντος Πάτροκλον
πρόφασιν, ἀναμνησθεὶς Χαρικλέους· καὶ ὁ Μενέλαος
"ταμὰ δακρύεις" ἔφη "ἢ καί σέ τι τοιοῦτον ἐξήγαγε;"
Στενάξας οὖν ὁ Κλεινίας καταλέγει τὸν Χαρικλέα
καὶ τὸν ἵππον, κἀγὼ τἀμαυτοῦ.
35 Ὁρῶν οὖν ἐγὼ τὸν Μενέλαον κατηφῆ πάνυ τῶν

15 post ὅλως: ὡς ἂν ἄλλος τις ἀποθάνοι ζῶν

ἑαυτοῦ μεμνημένον, τὸν δὲ Κλεινίαν ὑποδακρύοντα μνήμῃ Χαρικλέους, βουλόμενος αὐτοὺς τῆς λύπης ἀπαγαγεῖν, ἐμβάλλω λόγον ἐρωτικῆς ἐχόμενον ψυχαγωγίας· καὶ γὰρ οὐδὲ ἡ Λευκίππη παρῆν, ἀλλ' ἐν μυχῷ ἐκάθευδε τῆς νεώς. Λέγω δὴ πρὸς αὐτοὺς ὑπομειδιῶν "ὡς παρὰ πολὺ κρατεῖ μου Κλεινίας· ἐβούλετο γὰρ λέγειν κατὰ γυναικῶν, ὥσπερ εἰώθει. Ῥᾷον δ' ἂν εἴποι νῦν ἤτοι ὡς κοινωνὸν ἔρωτος εὑρών. Οὐκ οἶδα γὰρ πῶς ἐπιχωριάζει νῦν ὁ εἰς τοὺς ἄρρενας ἔρως." "Οὐ γὰρ πολὺ ἄμεινον" ὁ Μενέλαος ἔφη "τοῦτο ἐκείνου; καὶ γὰρ ἁπλούστεροι παῖδες γυναικῶν, καὶ τὸ κάλλος αὐτοῖς δριμύτερον εἰς ἡδονήν." "Πῶς δριμύτερον" ἔφην "εἴγε παρακῦψαν μόνον οἴχεται καὶ οὐκ ἀπολαῦσαι δίδωσι τῷ φιλοῦντι, ἀλλ' ἔοικε τῷ τοῦ Ταντάλου πώματι; πολλάκις γὰρ ἐν ᾧ πίνεται πέφευγε, καὶ ἀπῆλθεν ὁ ἐραστὴς οὐχ εὑρὼν πιεῖν· τὸ δὲ ἔτι πινόμενον ἁρπάζεται πρὶν [ἂν] ὁ πίνων κορεσθῇ, καὶ οὐκ ἔστιν ἀπὸ παιδὸς ἀπελθεῖν ἐραστὴν ἄλυπον ἔχοντα τὴν ἡδονήν· καταλείπει γὰρ ἔτι διψῶντα."

Καὶ ὁ Μενέλαος "ἀγνοεῖς, ὦ Κλειτοφῶν" ἔφη "τὸ κεφάλαιον τῆς ἡδονῆς. Ποθεινὸν γὰρ ἀεὶ τὸ ἀκόρεστον. Τὸ μὲν γὰρ εἰς χρῆσιν χρονιώτερον τῷ κόρῳ μαραίνει τὸ τερπνόν, τὸ δὲ ἁρπαζόμενον καινόν ἐστιν ἀεὶ καὶ μᾶλλον ἀνθεῖ· οὐ γὰρ γεγηρακυῖαν ἔχει τὴν ἡδονήν, καὶ ὅσον ἐλαττοῦται τῷ χρόνῳ, τοσοῦτον εἰς μέγεθος ἐκτείνεται πόθῳ. Καὶ τὸ ῥόδον διὰ τοῦτο τῶν ἄλλων εὐμορφότερόν ἐστι φυτῶν, ὅτι τὸ κάλλος αὐτοῦ φεύγει ταχύ. Δύο γὰρ ἐγὼ νομίζω κατ' ἀνθρώπους κάλλη πλανᾶσθαι, τὸ μὲν

---

26 post *καί*: *τοῖς ἄλλοις*

3 οὐράνιον, τὸ δὲ πάνδημον. Ἀλλὰ τὸ μὲν οὐράνιον ἄχθεται θνητῷ σκήνει δεδεμένον καὶ ζητεῖ πρὸς οὐρανὸν ταχὺ φεύγειν· τὸ δὲ πάνδημον ἔρριπται κάτω καὶ ἐγχρονίζει περὶ τοῖς σώμασιν. Εἰ δὲ καὶ ποιητὴν δεῖ λαβεῖν μάρτυρα τῆς οὐρανίας τοῦ κάλλους ἀνόδου, ἄκουσον Ὁμήρου λέγοντος

τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

4 Οὐδεμία δὲ ἀνέβη ποτὲ εἰς οὐρανὸν διὰ κάλλος γυνή. Καὶ γὰρ γυναιξὶ κεκοινώνηκεν ὁ Ζεύς. Ἀλλ' Ἀλκμήνην μὲν ἔχει πένθος καὶ φυγή, Δανάην δὲ λάρναξ καὶ θάλασσα, Σεμέλη δὲ πυρὸς γέγονε τροφή· ἂν δὲ μειρακίου Φρυγὸς ἐρασθῇ, τὸν οὐρανὸν αὐτῷ δίδωσιν, ἵνα καὶ συνοικῇ καὶ οἰνοχόον ἔχῃ τοῦ νέκταρος· ἡ δὲ πρότερον διάκονος τῆς τιμῆς ἐξέωσται· ἦν γάρ, οἶμαι, γυνή."

37 Ὑπολαβὼν οὖν ἐγὼ "καὶ μὴν οὐράνιον" ἔφην "ἔοικε μᾶλλον εἶναι τὸ τῶν γυναικῶν κάλλος, ὅσον μὴ ταχὺ φθείρεται. Ἐγγὺς γὰρ τοῦ θείου τὸ ἄφθαρτον, τὸ δὲ κινούμενον ἐν φθορᾷ θνητὴν φύσιν μι-
2 μούμενον οὐκ οὐράνιόν ἐστιν ἀλλὰ πάνδημον. Ἡράσθη μειρακίου Φρυγός, ἀνήγαγεν εἰς οὐρανὸν τὸν Φρύγα· τὸ δὲ κάλλος τῶν γυναικῶν αὐτὸν τὸν Δία κατήγαγεν ἐξ οὐρανοῦ. Διὰ γυναῖκά ποτε Ζεὺς ἐμυκήσατο, διὰ γυναῖκά ποτε Σάτυρον ὠρχήσατο, καὶ
3 χρυσὸν πεποίηκεν ἑαυτὸν ἄλλῃ γυναικί. Οἰνοχοείτω μὲν Γανυμήδης, μετὰ δὲ τῶν θεῶν Ἥβη πινέτω, ἵνα ἔχῃ μειράκιον διάκονον γυνή. Ἐλεῶ δὲ αὐτοῦ τὴν ἁρπαγήν. Ὄρνις ἐπ' αὐτὸν κατέβη ὠμηστής, ὁ δὲ

1 post πάνδημον: ὥσπερ τοῦ κάλλους οἱ χορηγοὶ θεαί

ἀνάρπαστος γενόμενος ὑβρίζεται καὶ ἔοικεν ἐσταυ-
ρουμένῳ· καὶ τὸ θέαμά ἐστιν αἴσχιστον, μειράκιον
ἐξ ὀνύχων κρεμάμενον. Σεμέλην δὲ εἰς οὐρανὸν 4
ἀνήγαγεν οὐκ ὄρνις ὠμηστής, ἀλλὰ πῦρ· καὶ μὴ
θαυμάσῃς εἰ διὰ πυρός τις ἀναβαίνει εἰς οὐρα-
νόν· οὕτως ἀνέβη Ἡρακλῆς. Εἰ δὲ Λανάης τὴν
λάρνακα γελᾷς, πῶς τὸν Περσέα σιωπᾷς; Ἀλκμήνῃ
δὲ τοῦτο μόνον δῶρον ἀρκεῖ, ὅτι δι' αὐτὴν ἔκλε-
ψεν ὁ Ζεὺς τρεῖς ὅλους ἡλίους. Εἰ δὲ δεῖ μεθέντα 5
τὰς μυθολογίας αὐτὴν εἰπεῖν τὴν ἐν τοῖς ἔργοις ἡδο-
νήν, ἐγὼ μὲν πρωτόπειρος ὢν εἰς γυναῖκας, ὅσον
ὁμιλῆσαι ταῖς εἰς Ἀφροδίτην πωλουμέναις· ἄλλος γὰρ
ἂν ἴσως εἰπεῖν τι καὶ πλέον ἔχοι μεμυημένος· εἰρή-
σεται δέ μοι, κἂν μετρίως ἔχω πείρας. Γυναικὶ μὲν 6
οὖν ὑγρὸν μὲν τὸ σῶμα ἐν ταῖς συμπλοκαῖς, μαλθακὰ
δὲ τὰ χείλη πρὸς τὰ φιλήματα. Καὶ διὰ τοῦτο μὲν
ἔχει τὸ σῶμα ἐν τοῖς ἀγκαλίσμασιν, ἐν δὲ ταῖς σαρξὶν
ὅλως ἐνηρμοσμένον, καί πως ἐγκείμενον περιβάλλει
τὴν ἡδονήν. Ἐνστίζει δὲ τοῖς χείλεσιν ὥσπερ σφρα- 7
γῖδας τὰ φιλήματα, φιλεῖ δὲ τέχνῃ καὶ σκευάζει τὸ
φίλημα γλυκύτερον. Οὐ γὰρ μόνον ἐθέλει φιλεῖν τοῖς
χείλεσιν, ἀλλὰ καὶ τοῖς ὀδοῦσι συμβάλλεται καὶ περὶ
τὸ τοῦ φιλοῦντος στόμα βόσκεται καὶ δάκνει τὰ φιλή-
ματα. Ἐν δὲ τῇ τῆς Ἀφροδίτης ἀκμῇ οἰστρεῖ μὲν 8
ὑφ' ἡδονῆς, περικέχηνε δὲ φιλοῦσα καὶ μαίνεται·
αἱ δὲ γλῶτται τοῦτον τὸν χρόνον φοιτῶσιν ἀλλήλαις
εἰς ὁμιλίαν καὶ ὡς δύνανται βιάζονται κἀκεῖναι φι-
λεῖν· σὺ δὲ μείζονα ποιεῖς τὴν ἡδονὴν ἀνοίγων τὰ
φιλήματα. Πρὸς δὲ τὸ τέρμα τῆς Ἀφροδίτης ἡ γυνὴ 9
γινομένη πέφυκεν ἀσθμαίνειν ὑπὸ καυματώδους

24 post φιλήματα: ἔχει δέ τινα καὶ μασθὸς ἐπαφώμενος ἰδίαν ἡδονήν

ἡδονῆς, τὸ δὲ ἄσθμα σὺν πνεύματι ἐρωτικῷ μέχρι τῶν τοῦ στόματος χειλέων ἀναθορὸν συντυγχάνει πλανωμένῳ τῷ φιλήματι καὶ ζητοῦντι καταβῆναι κάτω· ἀναστρέφον δὲ σὺν τῷ ἄσθματι τὸ φίλημα καὶ μιχθὲν ἔπεται καὶ βάλλει τὴν καρδίαν· ἡ δὲ ταραχθεῖσα τῷ φιλήματι πάλλεται. Εἰ δὲ μὴ τοῖς σπλάγχνοις ἦν δεδεμένη, ἠκολούθησεν ἂν ἑλκυσθεῖσα ἄνω τοῖς φιλήμασι. Παίδων δὲ φιλήματα μὲν ἀπαίδευτα, περιπλοκαὶ δ' ἀμαθεῖς, Ἀφροδίτη δὲ ἀργή, ἡδονῆς δ' οὐδέν."

38 Καὶ ὁ Μενέλαος "ἀλλὰ σύ μοι δοκεῖς" ἔφη "μὴ πρωτόπειρος ἀλλὰ γέρων εἰς Ἀφροδίτην τυγχάνειν· τοσαύτας ἡμῶν κατέχεας γυναικῶν περιεργίας. Ἐν 2 μέρει δὲ καὶ τὰ τῶν παίδων ἀντάκουσον. Γυναικὶ μὲν γὰρ πάντα ἐπίπλαστα καὶ τὰ ῥήματα καὶ τὰ σχήματα· κἂν εἶναι δόξῃ καλή, τῶν ἀλειμμάτων ἡ πολυπράγμων μηχανή· καί ἐστιν αὐτῆς τὸ κάλλος ἢ μύρων ἢ τριχῶν βαφῆς ἢ καὶ φιλημάτων· ἂν δὲ τῶν πολλῶν τούτων γυμνώσῃς δόλων, ἔοικε κολοιῷ γε- 3 γυμνωμένῳ τῶν τοῦ μύθου πτερῶν. Τὸ δὲ κάλλος τὸ παιδικὸν οὐκ ἀρδεύεται μύρων ὄσφραις οὐδὲ δολεραῖς καὶ ἀλλοτρίαις ὀσμαῖς, πάσης δὲ γυναικῶν μυραλοιφίας ἥδιον ὄδωδεν ὁ τῶν παίδων ἱδρώς. 4 Ἔξεστι δὲ αὐτοῖς καὶ πρὸ τῆς ἐν Ἀφροδίτῃ συμπλοκῆς ἐν παλαίστρᾳ συμπεσεῖν καὶ φανερῶς περιχυθῆναι, καὶ οὐκ ἔχουσιν αἰσχύνην αἱ περιπλοκαί, καὶ οὐ μαλθάσσει τὰς ἐν Ἀφροδίτῃ περιπλοκὰς ὑγρότης σαρκῶν, ἀλλ' ἀντιτυπεῖ πρὸς ἄλληλα τὰ σώματα καὶ περὶ τῆς 5 ἡδονῆς ἀθλεῖ. Τὰ δὲ φιλήματα σοφίαν μὲν οὐκ ἔχει γυναικείαν οὐδὲ μαγγανεύει τοῖς χείλεσιν σινάμωρον ἀπάτην, ὡς δὲ οἶδε φιλεῖ, καὶ οὐκ ἔστι τέχνης ἀλλὰ [τῆς] φύσεως τὰ φιλήματα. Αὕτη δὲ παιδὸς φιλήμα-

τος εἰκών· εἰ νέκταρ ἐπήγνυτο καὶ χεῖλος ἐγίνετο, τοιαῦτα ἂν ἔσχες τὰ φιλήματα. Φιλῶν δὲ οὐκ ἂν ἔχοις κόρον, ἀλλ' ὅσον ἐμφορῇ, διψῇς ἔτι φιλεῖν, καὶ οὐκ ἂν ἀποσπάσειας τὸ στόμα, μέχρις ἂν ὑφ' ἡδονῆς ἐκφύγῃς τὰ φιλήματα."

Γ

Τρίτην δὲ ἡμέραν πλεόντων ἡμῶν, ἐξ αἰθρίας πολλῆς αἰφνίδιον ἀχλὺς περιχεῖται καὶ τῆς ἡμέρας ἀπωλώλει τὸ φῶς· ἐγείρεται δὲ κάτωθεν ἄνεμος ἐκ τῆς θαλάσσης κατὰ πρόσωπον τῆς νεώς, καὶ ὁ κυβερνήτης περιάγειν ἐκέλευσε τὴν κεραίαν. Καὶ σπουδῇ 2 περιῄγον οἱ ναῦται, πῇ μὲν τὴν ὀθόνην ἐπὶ θάτερα συνάγοντες ἄνω τοῦ κέρως βίᾳ (τὸ γὰρ πνεῦμα σφοδρότερον ἐμπεσὸν ἀνθέλκειν οὐκ ἐπέτρεπε), πῇ δὲ πρὸς θάτερον μέρος, φυλάττοντες τοῦ πρόσθεν μέτρου καθ' ὃ συνέβαινεν οὔριον εἶναι τῇ περιαγωγῇ τὸ πνεῦμα. Κλίνεται δὲ κοῖλον τοιχίσαν τὸ σκάφος καὶ 3 ἐπὶ θάτερα μετεωρίζεται καὶ πάντη πρηνὲς ἦν, καὶ ἐδόκει τοῖς πολλοῖς ἡμῶν περιτραπήσεσθαι καθάπαξ ἐμπίπτοντος τοῦ πνεύματος. Μετεσκευαζόμεθα οὖν ἅπαντες εἰς τὰ μετέωρα τῆς νεώς, ὅπως τὸ μὲν βαπτιζόμενον τῆς νεὼς ἀνακουφίσαιμεν, τὸ δὲ τῇ προσθήκῃ βιασάμενοι κατὰ μικρὸν καθέλοιμεν εἰς τὸ ἀντίρροπον. Πλέον δὲ ἠνύομεν οὐδέν· ἀνέφερε γὰρ 4 ἡμᾶς μᾶλλον κορυφούμενον τὸ ἔδαφος τῆς νεώς, ἢ πρὸς ἡμῶν κατεβιβάζετο. Καὶ χρόνον μέν τινα δια- 5 ταλαντουμένην οὕτω τὴν ναῦν τοῖς κύμασιν ἐπαλαίομεν εἰς τὸ ἀντίρροπον καθελεῖν· αἰφνίδιον δὲ

μεταβάλλεται τὸ πνεῦμα ἐπὶ θάτερα τῆς νεὼς καὶ μικροῦ βαπτίζεται τὸ σκάφος, τοῦ μὲν τέως εἰς κῦμα κλιθέντος ἀναθορόντος ὀξεῖα ῥοπῇ, θατέρου δέ, ὃ
6 ἠώρητο, καταρραγέντος εἰς τὴν θάλατταν. Κωκυτὸς οὖν αἴρεται μέγας ἐκ τῆς νεώς, καὶ μετοικία πάλιν καὶ δρόμος μετὰ βοῆς ἐπὶ τὰς ἀρχαίας ἕδρας. Καὶ τρίτον καὶ τέταρτον καὶ πολλάκις τὸ αὐτὸ πάσχοντες κοινὴν ταύτην εἴχομεν ⟦ἐν⟧ τῷ σκάφει τὴν πλάνην. Πρὶν μὲν γὰρ μετασκευάσασθαι τὸ πρῶτον, δίαυλος ἡμᾶς διαλαμβάνει δεύτερος.

2 Σκευοφοροῦντες οὖν κατὰ τὴν ναῦν διὰ πάσης ἡμέρας δόλιχόν τινα τοῦτον δρόμον μυρίον ἐπονοῦμεν, ἀεὶ τὸν θάνατον προσδοκῶντες. Καὶ ἦν, ὡς
2 εἰκός, οὐ μακράν. Περὶ γὰρ μεσημβρίαν δείλην ὁ μὲν ἥλιος τέλεον ἁρπάζεται, ἐωρῶμεν δὲ ἑαυτοὺς ὡς ἐν σελήνῃ. Πῦρ μὲν ἀπ' αὐτῆς ἵπταται, μυκᾶται δὲ βροντῶν ⟦ὁ⟧ οὐρανός, καὶ τὸν ἀέρα γεμίζει βόμβος, ἀντεβόμβει δὲ κάτωθεν τῶν κυμάτων ἡ στάσις, μεταξὺ δὲ οὐρανοῦ καὶ θαλάσσης ἀνέμων ποικίλων
3 ἐσύριζε ψόφος. Καὶ ὁ μὲν ἀὴρ εἶχε σάλπιγγος ἦχον, οἱ δὲ κάλοι περὶ τὴν ὀθόνην πίπτουσιν, ἀντιπαταγοῦντες δὲ ἐτετρίγεσαν· ἐφόβει δὲ καὶ τὰ ξύλα τῆς νεὼς ῥηγνύμενα μὴ κατὰ μικρὸν ἀνοιχθείη τὸ σκάφος τῶν γόμφων ἀποσπωμένων· γέρρα δὲ περὶ πᾶσαν τὴν
4 ναῦν ἐκεκάλυπτο. Καὶ γὰρ ὄμβρος ἐπέκλυζε πολύς, ἡμεῖς δὲ τὰ γέρρα ὑποδύντες ὥσπερ εἰς ἄντρον ἐμένομεν, παραδόντες ἑαυτοὺς τῇ τύχῃ, ῥίψαντες τὰς ἐλπί-
5 δας. Τρικυμίαι δὲ πολλαὶ καὶ πάντοθεν, αἱ μὲν κατὰ πρόσωπον, αἱ δὲ κατ' οὐρὰν τῆς νεὼς ἀλλήλαις ἀντέπιπτον. Ἡ δὲ ναῦς ἀεὶ πρὸς μὲν τὸ κυρτούμενον τῆς θαλάσσης ἠγείρετο, πρὸς δὲ τὸ παραδραμὸν ἤδη καὶ χθαμαλὸν τοῦ κύματος κατεδύετο. Ἐῴκει δὲ τῶν κυ-

μάτων τὰ μὲν ὄρεσι, τὰ δὲ χάσμασιν. Ἦν δὲ καὶ τὰ ἐγ- 6
κάρσια τῶν κυμάτων ἑκατέρωθεν φοβερώτερα. Ἀναβαίνουσα μὲν γὰρ ἐπὶ τὴν ναῦν ἡ θάλασσα διὰ τῶν γέρρων ἐκυλίετο καὶ ἐκάλυπτε πᾶν τὸ σκάφος. Τὸ γὰρ 7
κῦμα αἰρόμενον ὑψοῦ, ψαῦον αὐτῶν τῶν νεφῶν, πόρρωθεν μὲν πρὸς ἀντιπρόσωπον ἐφαίνετο τῷ σκάφει μέγεθος οἷον * * προσιὸν δὲ βλέπων καταποθήσεσθαι τὴν ναῦν προσεδόκησας. Ἦν οὖν ἀνέμων 8
μάχη καὶ κυμάτων· ἡμεῖς δὲ οὐκ ἠδυνάμεθα κατὰ χώραν μένειν ὑπὸ τοῦ τῆς νεὼς σεισμοῦ. Συμμιγὴς δὲ πάντων ἐγίνετο βοή· ἐρρόχθει τὸ κῦμα, ἐπάφλαζε τὸ πνεῦμα, ὀλολυγμὸς γυναικῶν, ἀλαλαγμὸς ἀνδρῶν, κελευσμὸς ναυτῶν, πάντα θρήνων καὶ κωκυτῶν ἀνάμεστα. Καὶ ὁ κυβερνήτης ἐκέλευε ῥί- 9
πτειν τὸν φόρτον· διάκρισις δ' οὐκ ἦν ἀργύρου καὶ χρυσοῦ πρὸς ἄλλο τι τῶν εὐτελῶν, ἀλλὰ πάνθ' ὁμοίως ἠκοντίζομεν ἔξω τῆς νεώς· πολλοὶ δὲ καὶ τῶν ἐμπόρων αὐτοὶ τῶν οἰκείων λαμβάνοντες, ἐν οἷς εἶχον τὰς ἐλπίδας, ἐώθουν ἐπειγόμενοι. Καὶ ἦν ἤδη ἡ ναῦς τῶν ἐπίπλων γυμνή· ὁ δὲ χειμὼν οὐκ ἐσπένδετο.

Τέλος ὁ κυβερνήτης ἀπειπὼν ῥίπτει μὲν τὰ πη- 3
δάλια ἐκ τῶν χειρῶν, ἀφίησι δὲ τὸ σκάφος τῇ θαλάσσῃ καὶ εὐτρεπίζει ἤδη τὴν ἐφολκίδα καὶ τοῖς ναύταις ἐμβαίνειν κελεύσας τῆς ἀποβάθρας ἦρχεν· οἱ δὲ εὐθὺς κατὰ πόδας ἐξήλλοντο. Ἔνθα δὴ καὶ τὰ 2
δεινὰ ἦν καὶ ἦν μάχη χειροποίητος. Οἱ μὲν γὰρ ἐπιβάντες ἤδη τὸν κάλων ἔκοπτον, ὃς συνέδει τὴν ἐφολκίδα τῷ σκάφει· τῶν δὲ πλωτήρων ἕκαστος ἔσπευδον μεταπηδᾶν ἔνθα καὶ τὸν κυβερνήτην ἑωράκεσαν, ἐφείλκοντό [τε] τὸν κάλων· οἱ δ' ἐκ τῆς ἐφολκίδος μεταβαίνειν οὐκ ἐπέτρεπον· εἶχον δὲ καὶ πε- 3
λέκεις καὶ μαχαίρας, καὶ πατάξειν ἠπείλουν, εἴ τις

ἐπιβήσεται· οἱ δὲ ἐκ τῆς νεὼς ὁπλισάμενοι τὸ δυνατόν, ὁ μὲν κώπης παλαιᾶς τρύφος ἀράμενος, ὁ δὲ τῶν τῆς νεὼς σελμάτων, ἠμύνοντο. Θάλασσα γὰρ εἶχε
4 νόμον τὴν βίαν καὶ ἦν ναυμαχίας καινὸς τρόπος. Οἱ μὲν γὰρ ἐκ τῆς ἐφολκίδος δέει τοῦ καταδῦναι τῷ τῶν ἐπεμβαινόντων ὄχλῳ πελέκεσι καὶ μαχαίραις τοὺς ἐξαλλομένους ἔπαιον· οἱ δὲ σκυτάλαις καὶ κώ-
5 παις ἅμα τῷ πηδήματι τὰς πληγὰς κατέφερον· οἱ δὲ καὶ ἄκρου ψαύοντες τοῦ σκάφους ἐξωλίσθανον· ἔνιοι δὲ καὶ ἐπιβαίνοντες τοῖς ἐπὶ τῆς ἐφολκίδος ἤδη διεπάλαιον· φιλίας γὰρ ἢ αἰδοῦς οὐκέτι θεσμὸς ἦν, ἀλλὰ τὸ οἰκεῖον ἕκαστος σκοπῶν ἀσφαλές, τὸ πρὸς τοὺς ἑτέρους εὔγνωμον οὐκ ἐλογίζετο. Οὕτως οἱ μεγάλοι κίνδυνοι καὶ τοὺς τῆς φιλίας λύουσι νόμους.
4 Ἔνθα δή τις ἀπὸ τῆς νεὼς νεανίσκος εὔρωστος λαμβάνεται τοῦ κάλω καὶ ἐφέλκεται τὴν ἐφολκίδα, καὶ ἦν ἐγγὺς ἤδη τοῦ σκάφους, ηὐτρεπίζετο δὲ ἕκα-
2 στος ὡς εἰ πελάσειε πηδήσων ἐς αὐτήν. Καὶ δύο μὲν ἢ τρεῖς ηὐτύχησαν οὐκ ἀναιμωτί, πολλοὶ δὲ ἀποπηδᾶν πειρώμενοι ἐξεκυλίσθησαν τῆς νεὼς κατὰ τῆς θαλάσσης. Ταχὺ γὰρ τὴν ἐφολκίδα ἀπολύσαντες οἱ ναῦται, πελέκει κόψαντες τὸν κάλων τὸν πλοῦν εἶχον ἔνθα αὐτοὺς ἦγε τὸ πνεῦμα· οἱ δὲ ἐπὶ τῆς νεὼς ἐπη-
3 ρῶντο καταδῦναι τὴν ἐφολκίδα. Τὸ δὲ σκάφος ἐκυβίστα περὶ τοῖς κύμασιν ὀρχούμενον, λανθάνει δὲ προσενεχθὲν ὑφάλῳ πέτρᾳ καὶ ῥήγνυται πᾶν· ἀπωσθείσης δὲ τῆς νεὼς ὁ ἱστὸς ἐπὶ θάτερα πεσὼν τὸ μέν
4 τι κατέκλασε, τὸ δέ τι κατέδυσεν αὐτῆς. Ὁπόσοι μὲν οὖν παραχρῆμα τῆς ἅλμης πιόντες κατεσχέθησαν, οὗτοι μετριωτέραν ὡς ἐν κακοῖς ἔσχον τὴν συμφοράν, οὐκ ἐνδιατρίψαντες τῷ τοῦ θανάτου φόβῳ. Ὁ γὰρ ἐν θαλάττῃ θάνατος βραδὺς προαναιρεῖ πρὸ

τοῦ παθεῖν· ὁ γὰρ ὀφθαλμὸς πελάγους γεμισθεὶς ἀόριστον ἐκτείνει τὸν φόβον, ὡς καὶ διὰ τούτων θάνατον δυστυχεῖν πλείονα· ὅσον γὰρ τῆς θαλάσσης τὸ μέγεθος, τοσοῦτος καὶ ὁ τοῦ θανάτου φόβος. Ἔνιοι δὲ κολυμβᾶν πειρώμενοι, προσραγέντες ὑπὸ τοῦ κύματος τῇ πέτρᾳ διεφθείροντο· πολλοὶ δὲ καὶ ξύλοις ἀπερρωγόσι συμπεσόντες ἐπείροντο δίκην ἰχθύων· οἱ δὲ καὶ ἡμιθνῆτες ἐνήχοντο.

Ἐπεὶ οὖν τὸ πλοῖον διελύθη, δαίμων τις ἀγαθὸς περιέσωσεν ἡμῖν τῆς πρῴρας μέρος, ἔνθα περικαθίσαντες ἐγώ τε καὶ ἡ Λευκίππη κατὰ ῥοῦν ἐφερόμεθα τῆς θαλάσσης· ὁ δὲ Μενέλαος καὶ ὁ Σάτυρος σὺν ἄλλοις τῶν πλωτήρων ἐπιτυχόντες τοῦ ἱστοῦ καὶ ἐπιπεσόντες ἐνήχοντο. Πλησίον δὲ καὶ τὸν Κλεινίαν ἑωρῶμεν περινηχόμενον τῇ κεραίᾳ καὶ ταύτην ἠκούσαμεν αὐτοῦ τὴν βοήν "ἔχου τοῦ ξύλου, Κλειτοφῶν·" ἅμα δὲ λέγοντα κῦμα ἐπεκάλυπτε κατόπιν· καὶ ἡμεῖς ἐκωκύσαμεν. Κατὰ ταὐτὸ καὶ ἡμῖν ἐπέφερετο [[τὸ]] κῦμα· ἀλλὰ τύχῃ τινὶ πλησίον γενόμενον ἡμῶν κάτωθεν παρατρέχει, ὥστε ὑψούμενον μετέωρον τὸ ξύλον κατὰ τὸν αὐχένα τοῦ κύματος καὶ τὸν Κλεινίαν ἰδεῖν αὖθις. Ἀνοιμώξας οὖν "ἐλέησον" ἔφην "δέσποτα Πόσειδον, καὶ σπεῖσαι πρὸς τὰ τῆς ναυαγίας σου λείψανα. Πολλοὺς ἤδη τῷ φόβῳ θανάτους ὑπεμείναμεν· εἰ δὲ ἡμᾶς ἀποκτεῖναι θέλεις, μὴ διαστήσῃς ἡμῶν τὴν τελευτήν· ἓν ἡμᾶς κῦμα καλυψάτω· εἰ δὲ καὶ θηρίων ἡμᾶς βορὰν πέπρωται γενέσθαι, εἷς ἡμᾶς ἰχθὺς ἀναλωσάτω, μία γαστὴρ χωρησάτω, ἵνα καὶ ἐν ἰχθύσι κοινῇ ταφῶμεν." Μετὰ μικρὸν δὲ τῆς εὐχῆς τὸ πολὺ τοῦ πνεύματος περιεπέπαυτο, τὸ δὲ ἄγριον ἐστόρεστο τοῦ κύματος. Μεστὴ δὲ ἦν ἡ θάλαττα νεκρῶν σωμάτων. Τοὺς μὲν

οὖν ἀμφὶ τὸν Μενέλαον θᾶττον προσάγει τῇ γῇ τὸ κῦμα· καὶ ἦν ταῦτα τῆς Αἰγύπτου τὰ παράλια· κα-
6 τεῖχον δὲ τότε λῃσταὶ πᾶσαν τὴν ἐκεῖ χώραν· ἡμεῖς δὲ περὶ δείλην ἑσπέραν τύχῃ τινὶ τῷ Πηλουσίῳ προσ-
ίσχομεν καὶ ἄσμενοι γῆς λαβόμενοι τοὺς θεοὺς ἀνευ- 5
φημοῦμεν· εἶτα ὠλοφυρόμεθα τὸν Κλεινίαν καὶ τὸν Σάτυρον, νομίζοντες αὐτοὺς ἀπολωλέναι.

6 Ἔστι δὲ ἐν τῷ Πηλουσίῳ Διὸς ἱερὸν ἄγαλμα Κασίου· τὸ δὲ ἄγαλμα νεανίσκος, Ἀπόλλωνι μᾶλλον
ἐοικώς· οὕτω γὰρ ἡλικίας εἶχε· προβέβληται δὲ τὴν 10
χεῖρα καὶ ἔχει ῥοιὰν ἐπ' αὐτῇ· τῆς δὲ ῥοιᾶς ὁ λόγος
2 μυστικός. Προσευξάμενοι δὴ τῷ θεῷ καὶ περὶ τοῦ Κλεινίου καὶ τοῦ Σατύρου σύμβολον ἐξαιτήσαντες (καὶ γὰρ ἔλεγον μαντικὸν εἶναι τὸν θεόν) περιῄειμεν
3 τὸν νεών. Κατὰ δὲ τὸν ὀπισθόδομον ὁρῶμεν εἰκόνα 15
διπλῆν, καὶ ὁ γραφεὺς ἐπεγέγραπτο· Εὐάνθης μὲν ὁ γραφεύς, ἡ δὲ εἰκὼν Ἀνδρομέδα καὶ Προμηθεύς, δεσμῶται μὲν ἄμφω (διὰ τοῦτο γὰρ αὐτούς, οἶμαι, εἰς ἓν συνήγαγεν ὁ ζωγράφος), ἀδελφαὶ δὲ καὶ τὴν ἄλ-
4 λην τύχην αἱ γραφαί. Πέτραι μὲν ἀμφοῖν τὸ δεσμω- 20
τήριον, θῆρες δὲ κατ' ἀμφοῖν οἱ δήμιοι, τῷ μὲν ἐξ ἀέρος, τῇ δὲ ἐκ θαλάττης· ἐπίκουροι δὲ αὐτοῖς Ἀργεῖοι δύο συγγενεῖς, τῷ μὲν Ἡρακλῆς, τῇ δὲ Περσεύς· ὁ μὲν τοξεύων τὸν ὄρνιν τοῦ Διός, ὁ δὲ ἐπὶ τὸ κῆτος τοῦ Ποσειδῶνος ἀθλῶν. Ἀλλ' ὁ μὲν ἵδρυται 25
τοξαζόμενος ἐν γῇ, ὁ δὲ ἐξ ἀέρος κρέμαται τῷ πτερῷ.

7 Ὀρώρυκται μὲν οὖν εἰς τὸ μέτρον τῆς κόρης ἡ πέτρα· θέλει δὲ τὸ ὄργυμα λέγειν, ὅτι μή τις αὐτὸ πεποίηκε χείρ, ἀλλ' ἔστιν αὐτόχθον· ἐτράχυνε γὰρ τοῦ λίθου τὸν κόλπον ὁ γραφεύς, ὡς ἔτεκεν αὐτὸν ἡ 30

---

29 post αὐτόχθον: ἡ γραφή

γῆ. Ἡ δὲ ἐνίδρυται τῇ σκέπῃ, καὶ ἔοικε τὸ θέαμα, 2
εἰ μὲν εἰς τὸ κάλλος ἀπίδοις, ἀγάλματι καινῷ, εἰ δὲ
εἰς τὰ δεσμὰ καὶ τὸ κῆτος, αὐτοσχεδίῳ τάφῳ. Ἐπὶ
δὲ τῶν προσώπων αὐτῆς κάλλος κεκέρασται καὶ δέος.
Ἐν μὲν γὰρ ταῖς παρειαῖς τὸ δέος κάθηται, ἐκ δὲ τῶν 3
ὀφθαλμῶν ἀνθεῖ τὸ κάλλος. Ἀλλ' οὔτε τῶν παρειῶν
τὸ ὠχρὸν τέλεον ἀφοίνικτον ἦν, ἡρέμα δὲ τῷ ἐρεύθει
βέβαπται, οὔτε τὸ τῶν ὀφθαλμῶν ἄνθος ἐστὶν ἀμέρι-
μνον, ἀλλ' ἔοικε τοῖς ἄρτι μαραινομένοις ἴοις. Οὕ-
τως αὐτὴν ἐκόσμησεν ὁ ζωγράφος εὐμόρφῳ φόβῳ.
Τὰς δὲ χεῖρας εἰς τὴν πέτραν ἐξεπέτασεν, ἄγχει δὲ 4
ἄνω δεσμὸς ἑκατέραν συνάπτων τῇ πέτρᾳ· οἱ καρποὶ
δὲ ὥσπερ ἀμπέλου βότρυες κρέμανται. Καὶ αἱ μὲν
ὠλέναι τῆς κόρης ἄκρατον ἔχουσαι τὸ λευκὸν εἰς τὸ
πελιδνὸν μετέβαλον, ἐοίκασι δὲ ἀποθνήσκειν οἱ
δάκτυλοι. Δέδεται μὲν οὖν οὕτω τὸν θάνατον ἐκ- 5
δεχομένη, ἔστηκε δὲ νυμφικῶς ἐστολισμένη, ὥσπερ
Ἀιδωνεῖ νύμφη κεκοσμημένη· ποδήρης ὁ χιτών,
λευκὸς ὁ χιτών· τὸ ὕφασμα λεπτόν, ἀραχνίων ἐοικὸς
πλοκῇ, οὐ κατὰ τὴν τῶν προβατείων τριχῶν, ἀλλὰ
κατὰ τὴν τῶν ἐρίων τῶν λεπτοΐνων, οἷον ἀπὸ δέν-
δρων ἕλκουσαι νήματα γυναῖκες ὑφαίνουσιν Ἰνδαί.
Τὸ δὲ κῆτος ἀντιπρόσωπον τῆς κόρης κάτωθεν ἀνα- 6
βαῖνον ἀνοίγει τὴν θάλατταν· καὶ τὸ μὲν πολὺ τοῦ
σώματος περιβέβληται τῷ κύματι, μόνῃ δὲ τῇ κεφα-
λῇ τὴν θάλατταν ἀποδύεται. Ὑπὸ δὲ τὴν ἅλμην τοῦ
κύματος ἡ τῶν νώτων ἐγέγραπτο φαινομένη σκιά,
τὰ τῶν φολίδων ἐπάρματα, τὰ τῶν αὐχένων κυρτώ-
ματα, ἡ λοφιὰ τῶν ἀκανθῶν, οἱ τῆς οὐρᾶς ἑλιγμοί.
Γένυς πολλὴ καὶ μακρά· ἀνέῳκτο δὲ πᾶσα μέχρι τῆς 7
τῶν ὤμων συμβολῆς, καὶ εὐθὺς ἡ γαστήρ. Μεταξὺ
δὲ τοῦ κήτους καὶ τῆς κόρης ὁ Περσεὺς ἐγέγραπτο

καταβαίνων ἐξ ἀέρος· καταβαίνει δ' ἐπὶ τὸ θηρίον γυμνὸς τὸ πᾶν· χλαμὺς ἀμφὶ τοῖς ὤμοις μόνον καὶ πέδιλον περὶ τῶ πόδε πλησίον τοῦ πτεροῦ· πῖλος δὲ αὐτοῦ τὴν κεφαλὴν καλύπτει· ὁ πῖλος δὲ ὑπηνίττετο τὴν Ἄιδος κυνέην· τῇ λαιᾷ τὴν τῆς Γοργοῦς κεφαλὴν κρατεῖ καὶ προβέβληται δίκην ἀσπίδος.

8 Ἡ δέ ἐστι φοβερὰ κἂν τοῖς χρώμασι· τοὺς ὀφθαλμοὺς ἐξεπέτασεν, ἔφριξε τὰς τρίχας τῶν κροτάφων, ἤγειρε τοὺς δράκοντας· οὕτως ἀπειλεῖ κἂν τῇ γραφῇ. Ὅπλον μὲν τοῦτο τῇ λαιᾷ τῷ Περσεῖ· ὥπλισται δὲ καὶ τὴν δεξιὰν διφυεῖ σιδήρῳ εἰς δρέπανον

9 καὶ ξίφος ἐσχισμένῳ. Ἄρχεται μὲν γὰρ ἡ κώπη κάτωθεν ἀμφοῖν ἐκ μιᾶς, καί ἐστιν ἐφ' ἡμίσει τοῦ σιδήρου ξίφος, ἐντεῦθεν δὲ ἀπορραγὲν τὸ μὲν ὀξύνεται, τὸ δὲ ἐπικάμπτεται. Καὶ τὸ μὲν ἀπωξυσμένον μένει ξίφος, ὡς ἤρξατο, τὸ δὲ καμπτόμενον δρέπανον γίνεται, ἵνα μιᾷ πληγῇ τὸ μὲν ἐρείδῃ τὴν σφαγήν, τὸ δὲ κρατῇ τὴν τομήν. Τὸ μὲν τῆς Ἀνδρομέδας δρᾶμα τοῦτο.

8 Ἑξῆς δὲ τὸ τοῦ Προμηθέως ἐγεγόνει. Δέδεται μὲν ὁ Προμηθεὺς σιδήρῳ καὶ πέτρᾳ, ὥπλισται δὲ Ἡρακλῆς τόξῳ καὶ δόρατι. Ὄρνις ἐς τὴν τοῦ Προμηθέως γαστέρα τρυφᾷ· ἔστηκε γὰρ αὐτὴν ἀνοίγων,

2 ἤδη μὲν ἀνεῳγμένην· ἀλλὰ τὸ ῥάμφος ἐς τὸ ὄρυγμα καθεῖται, καὶ ἔοικε διορύττειν τὸ τραῦμα καὶ ζητεῖν τὸ ἧπαρ· τὸ δὲ ἐκφαίνεται τοσοῦτον, ὅσον ἀνέῳξεν ὁ γραφεὺς τὸ διόρυγμα τοῦ τραύματος· ἐπερείδει δὲ τῷ μηρῷ τῷ τοῦ Προμηθέως τὰς τῶν ὀνύχων ἀκμάς.

3 Ὁ δὲ ἀλγῶν πάντη συνέσταλται καὶ τὴν πλευρὰν συνέσπασται καὶ τὸν μηρὸν ἐγείρει καθ' αὑτοῦ· εἰς γὰρ τὸ ἧπαρ συνάγει τὸν ὄρνιν· ὁ δὲ ἕτερος αὐτῷ τοῖν ποδοῖν τῷ σπασμῷ ὀρθιος ἀντιτείνεται κάτω καὶ εἰς

τοὺς δακτύλους ἀποξύνεται. Τὸ δ' ἄλλο σχῆμα 4
δείκνυσι τὸν πόνον· κεκύρτωται τὰς ὀφρῦς, συνέ-
σταλται τὸ χεῖλος, φαίνει τοὺς ὀδόντας. Ἠλέησας
ἂν ὡς ἀλγοῦσαν [καὶ] τὴν γραφήν. Ἀναφέρει δὲ λυ- 5
πούμενον Ἡρακλῆς. Ἕστηκε γὰρ τοξεύων τοῦ Προ-
μηθέως τὸν δήμιον· ἐνήρμοσται τῷ τόξῳ [τὸ] βέλος,
τῇ λαιᾷ προβέβληται τὸ κέρας ὠθῶν, ἐπὶ μαζὸν ἕλκει
τὴν δεξιάν, ἕλκων τὸ νεῦρον κεκύρτωται κατόπιν
τὸν ἀγκῶνα. Πάντα οὖν ὁμοῦ πτύσσεται, τὸ τόξον, 6
τὸ νεῦρον, ἡ δεξιά. Συνάγεται μὲν ὑπὸ τοῦ νεύρου
τὸ τόξον, διπλοῦται δὲ ὑπὸ τῆς χειρὸς τὸ νεῦρον,
κλίνεται δὲ ἐπὶ μαζὸν ἡ χείρ. Ὁ δὲ Προμηθεὺς με- 7
στός ἐστιν ἐλπίδος ἅμα καὶ φόβου· πῇ μὲν γὰρ εἰς
τὸ ἕλκος, πῇ δὲ εἰς τὸν Ἡρακλέα βλέπει, καὶ θέλει
μὲν αὐτὸν ὅλοις τοῖς ὀφθαλμοῖς ἰδεῖν, ἕλκει δὲ τὸ
ἥμισυ τοῦ βλέμματος ὁ πόνος.

Ἐνδιατρίψαντες οὖν ἡμερῶν δύο καὶ ἀναλαβόν- 9
τες ἑαυτοὺς ἐκ τῶν κακῶν, ναῦν Αἰγυπτίαν μισθω-
σάμενοι (εἴχομεν δὲ ὀλίγον χρυσίον, ὅπερ ἐτύχομεν
ἐξωσμένοι) διὰ τοῦ Νείλου τὸν πλοῦν ἐπ' Ἀλεξάν-
δρειαν ἐποιούμεθα, μάλιστα μὲν ἐκεῖ διεγνωκότες
ποιήσασθαι τὴν διατριβὴν καὶ νομίζοντες ταύτῃ
τάχα τοὺς φίλους εὑρήσειν προσενεχθέντας. Ἐπεὶ 2
δ' ἐγενόμεθα κατά τινα πόλιν, ἐξαίφνης βοῆς ἀκού-
ομεν πολλῆς. Καὶ ὁ ναύτης εἰπὼν "ὁ βουκόλος"
μεταστρέφει τὴν ναῦν, ὡς ἐπαναπλεύσων εἰς τοὐ-
πίσω, καὶ ἅμα πλήρης ἦν ἡ γῆ φοβερῶν καὶ ἀγρίων
ἀνθρώπων· μεγάλοι μὲν πάντες, μέλανες δὲ τὴν
χρόαν, οὐ κατὰ τὴν τῶν Ἰνδῶν τὴν ἄκρατον, ἀλλ'
οἷος ἂν γένοιτο νόθος Αἰθίοψ, ψιλοὶ τὰς κεφαλάς,

---

10 post νεῦρον: τὸ βέλος

λεπτοὶ τοὺς πόδας, τὸ σῶμα παχεῖς· ἐβαρβάριζον δὲ
3 πάντες. Καὶ ὁ κυβερνήτης εἰπὼν "ἀπολώλαμεν"
ἔστησε τὴν ναῦν, ὁ γὰρ ποταμὸς ταύτῃ στενώτατος·
καὶ ἐπεμβάντες τῶν ληστῶν τέσσαρες πάντα μὲν τὰ
ἐν τῇ νηὶ λαμβάνουσι, καὶ τὸ χρυσίον ἡμῶν ἀποφέ-
ρουσιν, ἡμᾶς δὲ δήσαντες καὶ κατακλείσαντες εἴς τι
δωμάτιον ἀπηλλάττοντο, φύλακας ἡμῖν καταλιπόν-
τες, ὡς εἰς τὴν ἐπιοῦσαν ἄξοντες ἡμᾶς ὡς τὸν βασι-
λέα· τούτῳ γὰρ ἐκάλουν τῷ ὀνόματι τὸν λῃστὴν τὸν
μείζονα. Καὶ ἦν ὁδὸς ἡμερῶν δύο, ὡς παρὰ τῶν
σὺν ἡμῖν ἑαλωκότων ἠκούσαμεν.

10 Ἐπεὶ οὖν νὺξ ἐγένετο καὶ ἐκείμεθα, ὡς ἦμεν,
δεδεμένοι καὶ ἐκάθευδον οἱ φρουροί, τότε, ὡς ἐξὸν
ἤδη, κλάειν ἦρχον τὴν Λευκίππην. Καὶ δὴ λογισά-
μενος ὅσων αὐτῇ γέγονα κακῶν αἴτιος, κωκύσας ἐν
τῇ ψυχῇ βύθιον, τῷ δὲ νῷ κλέψας τοῦ κωκυτοῦ τὸν
ψόφον "ὦ θεοὶ καὶ δαίμονες" ἔφην "εἴπερ ἐστέ που
καὶ ἀκούετε, τί τηλικοῦτον ἠδικήκαμεν, ὡς ἐν ὀλί-
γαις ἡμέραις τοσούτῳ πλήθει βαπτισθῆναι κακῶν;
2 Νῦν δὲ καὶ παραδεδώκατε ἡμᾶς λῃσταῖς Αἰγυπτίοις,
ἵνα μηδὲ ἐλέου τύχωμεν. Λῃστὴν γὰρ Ἕλληνα καὶ
φωνὴ κατέκλασε, καὶ δέησις ἐμάλαξεν· ὁ γὰρ λόγος
πολλάκις τὸν ἔλεον προξενεῖ· τῷ γὰρ πονοῦντι τῆς
3 ψυχῆς ἡ γλῶττα πρὸς ἱκετηρίαν διακονουμένη τῆς
τῶν ἀκουόντων ψυχῆς ἡμεροῖ τὸ θυμούμενον. Νῦν
δὲ ποίᾳ μὲν φωνῇ δεηθῶμεν; τίνας δὲ λόγους προ-
τείνωμεν; Κἂν Σειρήνων τις γένηται πιθανώτερος,
ὁ ἀνδροφόνος οὐκ ἀκούει. Μόνοις ἱκετεύειν με δεῖ
τοῖς νεύμασι καὶ τὴν δέησιν δηλοῦν ταῖς χειρονο-
μίαις. Ὦ τῶν ἀτυχημάτων· ἤδη τὸν θρῆνον ὀρχή-
4 σομαι. Τὰ μὲν οὖν ἐμά, κἂν ὑπερβολὴν ἔχῃ συμ-
φορᾶς, ἧττον ἀλγῶ, τὰ δὲ σά, Λευκίππη, ποίῳ

στόματι θρηνήσω; ποίοις ὄμμασι δακρύσω; Ὦ πιστὴ μὲν πρὸς ἀνάγκην ἔρωτος, χρηστὴ δὲ πρὸς ἐραστὴν δυστυχοῦντα. Ὡς καλά σου τῶν γάμων τὰ κοσμήματα. Θάλαμος μὲν τὸ δεσμωτήριον, εὐνὴ δὲ ἡ γῆ, ὅρμοι δὲ καὶ ψέλια κάλοι καὶ βρόχος, καί σοι νυμφαγωγὸς λῃστὴς παρακαθεύδει, ἀντὶ δὲ ὑμεναίων τίς σοι τὸν θρῆνον ᾄδει. Μάτην σοι, ὦ θάλασσα, τὴν χάριν ὡμολογήσαμεν· μέμφομαί σου τῇ φιλανθρωπίᾳ· χρηστοτέρα γέγονας πρὸς οὓς ἀπέκτεινας, ἡμᾶς δὲ σώσασα μᾶλλον ἀπέκτεινας. Ἐφθόνησας ἡμῖν ἀληστεύτοις ἀποθανεῖν."

Ταῦτα μὲν οὖν ἐθρήνουν ἡσυχῇ, κλάειν δὲ οὐκ 11
ἠδυνάμην· τοῦτο γὰρ ἴδιον τῶν ὀφθαλμῶν ἐν τοῖς μεγάλοις κακοῖς. Ἐν μὲν γὰρ ταῖς μετρίαις συμφοραῖς ἀφθόνως τὰ δάκρυα καταρρεῖ καὶ ἔστι τοῖς πάσχουσιν εἰς τοὺς κολάζοντας ἱκετηρία καὶ τοὺς ἀλγοῦντας ὥσπερ οἰδοῦντος τραύματος ἐκένωσεν· ἐν δὲ τοῖς ὑπερβάλλουσι δεινοῖς φεύγει τὰ δάκρυα καὶ προδίδωσι τοὺς ὀφθαλμούς. Ἐντυχοῦσα γὰρ αὐτοῖς 2
ἀναβαίνουσιν ἡ λύπη ἵστησί τε τὴν ἀκμὴν καὶ μετοχετεύει καταφέρουσα σὺν αὐτῇ κάτω· τὰ δὲ ἐκτρεπόμενα τῆς ἐπὶ τοὺς ὀφθαλμοὺς ὁδοῦ εἰς τὴν ψυχὴν καταρρεῖ καὶ χαλεπώτερον αὐτῆς ποιεῖ τὸ τραῦμα. Λέγω οὖν πρὸς τὴν Λευκίππην πάντα σιγῶσαν "τί σιγᾷς, φιλτάτη, καὶ οὐδέν μοι λαλεῖς;" "Ὅτι μοι" ἔφη "πρὸ τῆς ψυχῆς, Κλειτοφῶν, τέθνηκεν ἡ φωνή."

Ταῦθ' ἡμᾶς διαλεγομένους ἔλαθεν ἕως γενομένη· 12
καί τις ἵππον ἐπελαύνων ἔρχεται, κόμην ἔχων πολλὴν καὶ ἀγρίαν· ἐκόμα δὲ καὶ ὁ ἵππος. Γυμνὸς ἦν ὁ ἵππος [ἄστρωτος] καὶ οὐκ εἶχε φάλαρα· τοιοῦτοι γὰρ τοῖς λῃσταῖς εἰσιν οἱ ἵπποι. Ἀπὸ δὲ τοῦ λῃστάρχου παρῆν καὶ "εἴ τις" ἔφη "παρθένος ἐστὶν ἐν

τοῖς εἰλημμένοις, ταύτην ἀπάγειν πρὸς τὸν θεόν, ἱε-
2 ρεῖον ἐσομένην καὶ καθάρσιον τοῦ στρατοῦ." Οἱ δὲ
ἐπὶ τὴν Λευκίππην εὐθὺς τρέπονται, ἡ δὲ εἴχετό
μου καὶ ἐξεκρέματο βοῶσα. Τῶν δὲ λῃστῶν οἱ μὲν
ἀπέσπων, οἱ δὲ ἔτυπτον· ἀπέσπων μὲν τὴν Λευκίπ- 5
πην, ἔτυπτον δὲ ἐμέ. Ἀράμενοι οὖν αὐτὴν μετέω-
ρον ἀπάγουσιν, ἡμᾶς δὲ κατὰ σχολὴν ἦγον δεδε-
μένους.

13 Καὶ ἐπεὶ δύο σταδίους τῆς κώμης προήλθομεν,
ἀλαλαγμὸς ἀκούεται πολὺς καὶ σάλπιγγος ἦχος καὶ 10
ἐπιφαίνεται φάλαγξ στρατιωτική, πάντες ὁπλῖται.
Οἱ δὲ λῃσταὶ κατιδόντες, ἡμᾶς μέσους διαλαβόντες
2 ἔμενον ἐπιόντας, ὡς αὐτοὺς ἀμυνούμενοι. Καὶ μετ'
οὐ πολὺ παρῆσαν πεντήκοντα τὸν ἀριθμόν, [πάντες
ὁπλῖται], οἱ μὲν ποδήρεις ἔχοντες τὰς ἀσπίδας, οἱ δὲ 15
πέλτας· οἱ δὲ λῃσταὶ πολλῷ πλείους ὄντες, βώλους
ἀπὸ τῆς γῆς λαμβάνοντες τοὺς στρατιώτας ἔβαλλον.
3 Παντὸς δὲ βώλου χαλεπώτερος βῶλος Αἰγύπτιος,
βαρύς τε καὶ τραχὺς καὶ ἀνώμαλος· τὸ δ' ἀνώμαλόν
εἰσιν [αἱ] αἰχμαὶ τῶν λίθων· ὥστε βληθεὶς διπλοῦν 20
ποιεῖ ἐν ταὐτῷ τὸ τραῦμα, καὶ οἴδημα ὡς ἀπὸ λίθου,
4 καὶ τομὰς ὡς ἀπὸ βέλους. Ἀλλὰ ταῖς γε ἀσπίσιν ἐκ-
δεχόμενοι τοὺς λίθους ὀλίγον τῶν βαλλόντων ἐφρόν-
τιζον. Ἐπεὶ οὖν ἔκαμον οἱ λῃσταὶ βάλλοντες, ἀνοί-
γουσι μὲν οἱ στρατιῶται τὴν φάλαγγα, ἐκθέουσι δὲ 25
ἀπὸ τῶν ὅπλων ἄνδρες κούφως ἐσταλμένοι, φέρων
αἰχμὴν ἕκαστος καὶ ξίφος, καὶ ἀκοντίζουσιν ἅμα, καὶ
5 οὐδεὶς ἦν ὃς οὐκ ἐπέτυχεν. Εἶτα οἱ ὁπλῖται προσ-
έρρεον· καὶ ἦν ἡ μάχη στερρά, πληγαὶ δὲ παρ'
ἀμφοτέρων καὶ τραύματα καὶ σφαγαί. Καὶ τὸ μὲν 30
ἔμπειρον παρὰ τοῖς στρατιώταις ἀνεπλήρου τοῦ πλή-
θους τὸ ἐνδεές· ἡμεῖς δὲ ὅσοι τῶν αἰχμαλώτων

ἦμεν, ἐπιτηρήσαντες τὸ πονοῦν τῶν λῃστῶν μέρος, ἅμα συνελθόντες διακόπτομέν τε αὐτῶν τὴν φάλαγγα καὶ ἐπὶ τοὺς ἐναντίους ἐκτρέχομεν. Οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον ἐπεχείρουν ἀναιρεῖν, οὐκ εἰδότες, ὡς δὲ εἶδον γυμνοὺς καὶ δεσμὰ ἔχοντας, ὑπονοήσαντες τὴν ἀλήθειαν δέχονται τῶν ὅπλων εἴσω καὶ ἐπ' οὐρὰν παραπέμψαντες εἶων ἡσυχάζειν. Ἐν τούτῳ δὲ καὶ ἱππεῖς προσέρρεον, καὶ ἐπεὶ πλησίον ἐγένοντο, κατὰ κέρας ἑκάτερον ἐκτείναντες τὴν φάλαγγα περιίππευον αὐτοὺς κύκλῳ, κἀν τούτῳ συναγαγόντες αὐτοὺς εἰς ὀλίγον κατεφόνευον. Καὶ οἱ μὲν ἔκειντο τεθνηκότες, οἱ δὲ καὶ ἡμιθνῆτες ἐμάχοντο· τοὺς δὲ λοιποὺς ἐζώγρησαν. 6 7

Ἦν δὲ περὶ δείλην ὁ καιρός· καὶ ὁ στρατηγὸς διαλαβὼν ἡμῶν ἕκαστον ἐπυνθάνετο τίνες εἴημεν καὶ πῶς ληφθείημεν· διηγεῖτο δὲ ἄλλος ἄλλο τι, κἀγὼ τἀμὰ εἶπον. Ἐπεὶ οὖν ἅπαντα ἔμαθεν, ἐκέλευσεν ἀκολουθεῖν, αὐτὸς δὲ ὅπλα δώσειν ὑπέσχετο· διεγνώκει γὰρ ἀναμείνας στρατιὰν ἐπελθεῖν τῷ μεγάλῳ λῃστηρίῳ· ἐλέγοντο δὲ ἀμφὶ τοὺς μυρίους εἶναι. Ἐγὼ δὲ ἵππον ἤτουν, σφόδρα γὰρ ἤμην ἱππεύειν γεγυμνασμένος. Ὡς δέ τις παρῆν, περιάγων τὸν ἵππον ἐπεδεικνύμην ἐν ῥυθμῷ τὰ τῶν πολεμούντων σχήματα, ὥστε καὶ τὸν στρατηγὸν σφόδρα ἐπαινέσαι. Ποιεῖταί δή με ἐκείνην τὴν ἡμέραν ὁμοτράπεζον καὶ παρὰ τὸ δεῖπνον ἐπυνθάνετο τἀμὰ καὶ ἀκούων ἠλέει. Συμπαθὴς δέ πως [εἰς ἔλεον] ἄνθρωπος ἀκροατὴς ἀλλοτρίων κακῶν, καὶ ὁ ἔλεος πολλάκις φιλίαν προξενεῖ· ἡ γὰρ ψυχὴ μαλαχθεῖσα πρὸς τὴν ὧν ἤκουσε λύπην, συνδιατεθεῖσα κατὰ μικρὸν τῇ τοῦ πάθους ἀκροάσει τὸν οἶκτον εἰς φιλίαν καὶ τὴν λύπην εἰς ἔλεον συλλέγει. Οὕτως οὖν διέθηκα 14 2 3 4

τὸν στρατηγὸν ἐκ τῆς ἀκροάσεως, ὡς καὶ αὐτὸν εἰς δάκρυα προαγαγεῖν· πλέον δὲ ποιεῖν εἴχομεν οὐδέν, τῆς Λευκίππης ὑπὸ τῶν λῃστῶν ἐχομένης. Ἔδωκε δέ μοι καὶ θεράποντα τὸν ἐπιμελησόμενον Αἰγύπτιον.

15 Τῇ δ' ὑστεραίᾳ πρὸς τὴν διάβασιν παρεσκευάζετο καὶ ἐπεχείρει τὴν διώρυχα χῶσαι, ἥτις ἦν ἐμποδών. Καὶ γὰρ ἑωρῶμεν τοὺς λῃστὰς μετὰ πλείστης δυνάμεως ἐπὶ θάτερα τῆς διώρυχος ἑστῶτας ἐν τοῖς 2 ὅπλοις· βωμὸς δέ τις αὐτοῖς αὐτοσχέδιος ἦν πηλοῦ πεποιημένος καὶ σορὸς τοῦ βωμοῦ πλησίον. Ἄγουσι δή τινες δύο τὴν κόρην ὀπίσω τὼ χεῖρε δεδεμένην. Καὶ αὐτοὺς μὲν οἵτινες ἦσαν οὐκ εἶδον, ἦσαν γὰρ ὡπλισμένοι, τὴν δὲ κόρην Λευκίππην οὖσαν ἐγνώ- 3 ρισα. Εἶτα κατὰ τῆς κεφαλῆς σπονδὴν καταχέαντες, περιάγουσι τὸν βωμὸν κύκλῳ καὶ ἐπηύλει τις αὐτῇ, καὶ ὁ ἱερεύς, ὡς εἰκός, ᾖδεν ᾠδὴν Αἰγυπτίαν· τὸ γὰρ σχῆμα τοῦ στόματος καὶ τῶν προσώπων τὸ διειλκυ- 4 σμένον ὑπέφαινεν ᾠδήν. Εἶτα ἀπὸ συνθήματος πάντες ἀναχωροῦσι τοῦ βωμοῦ μακράν, τῶν δὲ νεανίσκων ὁ ἕτερος ἀνακλίνας αὐτὴν ὑπτίαν ἔδησεν ἐκ παττάλων ἐπὶ τῆς γῆς ἐρηρεισμένων, οἷον ποιοῦσιν οἱ κοροπλάθοι τὸν Μαρσύαν ἐκ τοῦ φυτοῦ δεδεμένον· εἶτα λαβὼν ξίφος βάπτει κατὰ τῆς καρδίας καὶ διελ- 5 κύσας τὸ ξίφος εἰς τὴν κάτω γαστέρα ῥήγνυσι· τὰ σπλάγχνα δὲ εὐθὺς ἐξεπήδησεν, ἃ ταῖς χερσὶν ἐξελκύσαντες ἐπιτιθέασι τῷ βωμῷ· καὶ ἐπεὶ ὠπτήθη, κατατεμόντες ἅπαντες εἰς μοίρας ἔφαγον. Ταῦτα δὲ ὁρῶντες οἱ στρατιῶται καὶ ὁ στρατηγὸς καθ' ἓν τῶν πραττομένων ἀνεβόων καὶ τὰς ὄψεις ἀπέστρεφον τῆς θέας, ἐγὼ δὲ ἐκ παραλόγου καθήμενος ἐθεώρουν.

6 Τὸ δὲ ἦν ἔκπληξις· μέτρον γὰρ οὐκ ἔχον τὸ κακὸν

ἐνεβρόντησέ με. Καὶ τάχα ὁ τῆς Νιόβης μῦθος οὐκ ἦν ψευδής, ἀλλὰ κἀκείνη τι τοιοῦτον παθοῦσα ἐπὶ τῇ τῶν παίδων ἀπωλείᾳ δόξαν παρέσχεν ἐκ τῆς ἀκινησίας ὡσεὶ λίθος γενομένη. Ἐπεὶ δὲ τέλος εἶχεν, 7
ὡς γε ᾤμην, τὸ ἔργον, τὸ σῶμα ἐνθέντες τῇ σορῷ καταλείπουσι, πῶμα ἐπ' αὐτῆς ἐπιθέντες, τὸν δὲ βωμὸν καταστρέψαντες φεύγουσιν ἀμεταστρεπτί. Οὕτω γὰρ αὐτοῖς ποιεῖν ἔτυχε μεμαντευμένος ὁ ἱερεύς.

Ἑσπέρας δὲ γενομένης ἡ διῶρυξ κέχωστο πᾶσα, 16
οἱ δὲ στρατιῶται διαβάντες αὐλίζονται μικρὸν ἄνω τῆς διώρυχος καὶ περὶ δεῖπνον ἦσαν· ὁ δὲ στρατηγὸς ἐπεχείρει με παρηγορεῖν ἀνιαρῶς ἔχοντα. Περὶ δὲ 2
πρώτην νυκτὸς φυλακὴν πάντας ἐπιτηρήσας καθεύδοντας πρόειμι τὸ ξίφος ἔχων, ἐπικατασφάξων ἐμαυτὸν τῇ σορῷ. Ἐπεὶ δὲ πλησίον ἐγενόμην, ἀνα- 3
τείνω τὸ ξίφος "Λευκίππῃ" λέγων "ἀθλία καὶ πάντων ἀνθρώπων δυστυχεστάτη, οὐ τὸν θάνατον ὀδύρομαί σου μόνον, οὐδ' ὅτι τέθνηκας ἐπὶ ξένης, οὐδ' ὅτι σοι γέγονεν ἐκ βίας σφαγή, ἀλλ' ὅτι ταῦτα τῶν σῶν ἀτυχημάτων παίγνια, ἀλλ' ὅτι καθάρσιον γέγονας ἀκαθάρτων σωμάτων καί σε ζῶσαν ἀνέτεμον, οἴμοι, καὶ βλέπουσαν ὅλην τὴν ἀνατομήν, ἀλλ' ὅτι σου τῆς γαστρὸς τὰ μυστήρια ἐμέρισαν καὶ τὴν ταφὴν κακοδαίμονι βωμῷ καὶ σορῷ. Καὶ τὸ μὲν σῶμα ταύτῃ 4
κατατέθειται, τὰ δὲ σπλάγχνα ποῦ; Εἰ μὲν δεδαπανήκει τὸ πῦρ, ἧττων ἡ συμφορά· νῦν δὲ ἡ τῶν σπλάγχνων σου ταφὴ λῃστῶν γέγονε τροφή. Ὢ πονηρᾶς ἐπὶ βωμοῦ δαδουχίας· ὦ τροφῶν καινὰ μυστήρια. Καὶ ἐπὶ τοιούτοις θύμασιν ἔβλεπον ἄνωθεν οἱ θεοὶ 5
καὶ οὐκ ἐσβέσθη τὸ πῦρ, ἀλλὰ μιαινόμενον ἠνείχετο καὶ ἀνέφερε τοῖς θεοῖς τὴν κνίσσαν; Λάβε οὖν, Λευκίππη, τὰς πρεπούσας σοι παρ' ἐμοῦ χοάς."

17 Ταῦτα εἰπὼν ἀνατείνω τὸ ξίφος ἄνω, ὡς καθήσων ἐμαυτῷ κατὰ τῆς σφαγῆς, καὶ ὁρῶ δύο τινὰς ἐξ ἐναντίας (σεληναία δὲ ἦν) σπουδῇ θέοντας. Ἐπέσχον οὖν λῃστὰς εἶναι δοκῶν, ὡς ἂν ὑπ' αὐτῶν ἀποθάνοι-
2 μι. Ἐν τούτῳ δὲ ἐγγὺς ἐγένοντο καὶ ἀναβοῶσιν ἄμφω· Μενέλαος δὲ ἦν καὶ ὁ Σάτυρος. Ἐγὼ δὲ ἄνδρας ἰδὼν ἐκ παραλόγου ζῶντας φίλους οὔτε περιεπτυξάμην, οὔτ' ἐξεπλάγην ὑφ' ἡδονῆς· τοσοῦτον
3 ἡ λύπη με τῆς συμφορᾶς ἐξεκώφωσε. Λαμβάνονται δή μου τῆς δεξιᾶς καὶ ἐπεχείρουν ἀφαιρεῖσθαι τὸ ξίφος· ἐγὼ δὲ "πρὸς θεῶν" ἔφην "μή μοι φθονήσητε θανάτου καλοῦ, μᾶλλον δὲ φαρμάκου τῶν κακῶν· οὐδὲ γὰρ ζῆν ἔτι δύναμαι, κἂν νῦν με βιάσησθε,
4 Λευκίππης οὕτως ἀνηρημένης. Τοῦτο μὲν γὰρ ἀφαιρήσεσθέ μου τὸ ξίφος, τὸ δὲ τῆς ἐμῆς λύπης ξίφος ἔνδον καταπέπηγε καὶ τέμνει κατ' ὀλίγον. Ἀθανάτῳ σφαγῇ ἀποθνήσκειν με βούλεσθε;" Λέγει οὖν ὁ Μενέλαος "ἀλλ' εἰ διὰ τοῦτο θέλεις ἀποθανεῖν, ὥρα σοι τὸ ξίφος ἐπισχεῖν· Λευκίππη δέ σοι νῦν ἀναβιώ-
5 σεται." Βλέψας οὖν πρὸς αὐτὸν "ἔτι μου καταγελᾷς" ἔφην "ἐπὶ τηλικούτῳ κακῷ; εὖ γε, Μενέλαε, Ξενίου μέμνησαι Διός." Ὁ δὲ κρούσας τὴν σορὸν "ἐπεὶ τοίνυν ἀπιστεῖ Κλειτοφῶν" ἔφη, "σύ μοι, Λευκίππη,
6 μαρτύρησον, εἰ ζῇς." Ἅμα δὲ εἶπε καὶ δίς που καὶ τρὶς ἐπάταξε τὴν σορόν, καὶ κάτωθεν ἀκούω φωνῆς
7 πάνυ λεπτῆς. Τρόμος οὖν εὐθὺς ἴσχει με καὶ πρὸς τὸν Μενέλαον ἀπέβλεπον, μάγον εἶναι δοκῶν. Ὁ δὲ ἀνέῳγεν ἅμα τὴν σορὸν καὶ ἡ Λευκίππη κάτωθεν ἀνέβαινε, φοβερὸν θέαμα, ὦ θεοί, καὶ φρικωδέστατον. Ἀνέῳκτο μὲν ἡ γαστὴρ αὐτῆς πᾶσα καὶ ἦν ἐντέρων κενή· ἐπιπεσοῦσα δέ μοι περιπλέκεται καὶ συνέφυμεν καὶ ἄμφω κατεπέσομεν.

Μόλις οὖν ἀναξωπυρήσας λέγω πρὸς τὸν Μενέ- 18
λαον "οὐκ ἐρεῖς μοι τί ταῦτα; οὐχὶ Λευκίππην ὁρῶ;
ταύτην οὐ κρατῶ καὶ ἀκούω λαλούσης; ἃ οὖν χθὲς
ἐθεασάμην τίνα ἦν; ἢ γὰρ ἐκεῖνά ἐστιν ἢ ταῦτα
ἐνύπνια. Ἀλλ' ἰδοὺ καὶ φίλημα ἀληθινὸν καὶ ζῶν, 2
ὡς κἀκεῖνο τὸ τῆς Λευκίππης γλυκύ." "Ἀλλὰ νῦν"
ὁ Μενέλαος ἔφη "καὶ τὰ σπλάγχνα ἀπολήψεται καὶ τὰ
στέρνα συμφύσεται καὶ ἄτρωτον ὄψει. Ἀλλ' ἐπικά-
λυψαί σου τὸ πρόσωπον· καλῶ γὰρ τὴν Ἑκάτην ἐπὶ
τὸ ἔργον." Ἐγὼ δὲ πιστεύσας ἐνεκαλυψάμην. Ὁ δὲ 3
ἄρχεται τερατεύεσθαι καὶ λόγον τινὰ καταλέγειν·
[καὶ] ἅμα λέγων περιαιρεῖ τὰ μαγγανεύματα τὰ ἐπὶ
τῇ γαστρὶ τῆς Λευκίππης καὶ ἀποκατέστησεν εἰς τὸ
ἀρχαῖον, λέγει τέ μοι "ἀποκάλυψαι." Κἀγὼ μόλις 4
μὲν καὶ φοβούμενος (ἀληθῶς γὰρ ᾤμην τὴν Ἑκάτην
παρεῖναι), ὅμως δ' οὖν ἀπέστησα τῶν ὀφθαλμῶν τὰς
χεῖρας καὶ ὁλόκληρον τὴν Λευκίππην ὁρῶ. Ἔτι μᾶλ- 5
λον οὖν ἐκπλαγεὶς ἐδεόμην τοῦ Μενελάου λέγων "ὦ
φίλτατε Μενέλαε, εἰ διάκονός τις εἶ θεῶν, δέομαί
σου, ποῦ γῆς εἰμι καὶ τίνα ποτὲ ταῦτα ὁρῶ;" Καὶ ἡ
Λευκίππη "παῦσαι" ἔφη "Μενέλαε, δεδιττόμενος
*αὐτόν, λέγε δὲ πῶς τοὺς λῃστὰς ἠπάτησας."

Ὁ οὖν Μενέλαος λέγει "οἶδας ὡς Αἰγύπτιός εἰμι 19
τὸ γένος· φθάνω γάρ σοι ταῦτα εἰπὼν ἐπὶ τῆς νεώς.
Ἦν οὖν μοι τὰ πλεῖστα τῶν κτημάτων περὶ ταύτην
τὴν κώμην καὶ οἱ ἄρχοντες αὐτῆς γνώριμοι. Ἐπεὶ 2
οὖν τῇ ναυαγίᾳ περιεπέσομεν, εἶτά με προσέρριψε
τὸ κῦμα τοῖς τῆς Αἰγύπτου παραλίοις, λαμβάνομαι
μετὰ τοῦ Σατύρου πρὸς τῶν ταύτῃ παραφυλαττόν-
των λῃστῶν. Ὡς δὲ ἄγομαι πρὸς τὸν λῃσταρχον,
ταχύ με τῶν λῃστῶν τινες γνωρίσαντες λύουσί μου
τὰ δεσμά, θαρρεῖν τε ἐκέλευον καὶ συμπονεῖν αὐ-

τοῖς, ὡς ἂν οἰκεῖον. Ἐξαιτοῦμαι δὴ καὶ τὸν Σάτυρον ὡς ἐμόν. Οἱ δὲ ἀλλ' ὅπως ἔφησαν ἐπιδείξεις ἡμῖν σεαυτὸν τολμηρὸν πρῶτον. Κἂν τούτῳ χρησμὸν ἴσχουσι κόρην καταθῦσαι καὶ καθῆραι τὸ ληστήριον καὶ τοῦ μὲν ἥπατος ἀπογεύσασθαι τυθείσης, τὸ δὲ λοιπὸν σῶμα σορῷ παραδόντας ἀναχωρῆσαι, ὡς ἂν τὸ τῶν ἐναντίων στρατόπεδον ὑπερβάλοι τῆς θυσίας τὸν τόπον. Λέγε δὴ τὰ ἐπίλοιπα, Σάτυρε, σὸς γὰρ ἐντεῦθεν ὁ λόγος."

Καὶ ὁ Σάτυρος λέγει "ἅμα δὲ βιαζόμενος ἐπὶ τὸ στρατόπεδον ἔκλαον, ὦ δέσποτα, καὶ ὠδυρόμην, τὰ περὶ τῆς Λευκίππης πυθόμενος, καὶ ἐδεόμην Μενελάου παντὶ τρόπῳ σῶσαι τὴν κόρην. Λαίμων δέ τις ἀγαθὸς ἡμῖν συνήργησεν. Ἐτύχομεν τῇ προτεραίᾳ τῆς θυσίας ἡμέρᾳ καθεζόμενοι πρὸς τῇ θαλάττῃ λυπούμενοι καὶ περὶ τούτων σκοποῦντες, τῶν δὲ λῃστῶν τινες ναῦν ἰδόντες ἀγνοίᾳ πλανηθεῖσαν ὥρμησαν ἐπ' αὐτήν. Οἱ δὲ ἐπὶ τῆς νεὼς συνέντες οἳ τυγχάνουσιν, ἐπεχείρουν ἐλαύνειν εἰς τοὐπίσω· ὡς δὲ φθάνουσιν οἱ λῃσταὶ καταλαβόντες, πρὸς ἄμυναν τρέπονται· καὶ γάρ τις ἐν αὐτοῖς ἦν τῶν τὰ Ὁμήρου [τῷ στόματι] δεικνύντων ἐν τοῖς θεάτροις. Τὴν Ὁμηρικὴν [οὖν] σκευὴν ὁπλισάμενος καὶ αὐτὸς καὶ τοὺς ἀμφ' αὐτὸν οὕτω σκευάσας, ἐπεχείρουν μάχεσθαι. Πρὸς μὲν οὖν τοὺς πρώτους ἐπελθόντας καὶ μάλα ἐρρωμένως ἀντετάξαντο· πλειόνων δὲ ἐπιπλευσάντων σκαφῶν λῃστρικῶν καταδύουσι τὴν ναῦν καὶ τοὺς ἄνδρας ἐκπεσόντας ἀνῄρουν. Λανθάνει δὴ κίστη ἐκτραπεῖσά τις καὶ τῷ ναυαγίῳ καθ' ἡμᾶς τῷ ῥοῖ κομισθεῖσα, ἣν ὁ Μενέλαος ἀναιρεῖται· καὶ ἀναχωρήσας ποι παρόντος ἅμα κἀμοῦ (προσεδόκα γάρ τι σπουδαῖον ἔνδον εἶναι) ἀνοίγει τὴν κίστην καὶ ὁρῶ-

μεν χλαμύδα καὶ ξίφος, τὴν μὲν κώπην ὅσον παλαι-
στῶν τεσσάρων, τὸν δὲ σίδηρον ἐπὶ τῇ κώπῃ βραχύ-
τατον, δακτύλων ὅσον τριῶν. Ὡς δὲ ἀνελόμενος τὸ 7
ξίφος ὁ Μενέλαος ἔλαθε μεταστρέψας κατὰ τὸ τοῦ
σιδήρου μέρος, τὸ μικρὸν ἐκεῖνο ξίφος ὥσπερ ἀπὸ
χηραμοῦ τῆς κώπης κατατρέχει τοσοῦτον, ὅσον εἶχεν
ἡ κώπη τὸ μέγεθος· ὡς δὲ ἀνέστρεψεν εἰς τοὔμπα-
λιν, αὖθις ὁ σίδηρος εἴσω καταδύεται. Τούτῳ δ'
ἄρα, ὡς εἰκός, ὁ κακοδαίμων ἐκεῖνος ἐν τοῖς θεά-
τροις ἐχρῆτο πρὸς τὰς κιβδήλους σφαγάς.

Λέγω οὖν πρὸς τὸν Μενέλαον Θεὸς ἡμῖν, ἂν 21
θέλῃς χρηστὸς γενέσθαι, συναγωνιεῖται· δυνησό-
μεθα γὰρ καὶ τὴν κόρην σῶσαι καὶ τοὺς ληστὰς λα-
θεῖν· ἄκουσον δὲ ποίῳ τρόπῳ. Δέρμα προβάτου 2
λαβόντες ὡς ὅτι ῥαδινώτατον συρράψωμεν εἰς σχῆμα
βαλαντίου, μέτρον ὅσον γαστρὸς ἀνθρωπίνης, εἶτ'
ἐμπλήσαντες θηρείων σπλάγχνων καὶ αἵματος, τὴν
πλαστὴν ταύτην γαστέρα ῥάψωμεν, ὡς [[ἂν]] μὴ ῥᾳ-
δίως τὰ σπλάγχνα διεκπίπτοι, καὶ ἐνσκευάσαντες
τὴν κόρην τοῦτον τὸν τρόπον καὶ στολὴν ἔξωθεν πε-
ριβαλόντες μίτραις τε καὶ ζώμασιν ἐνδεδεμένῃ τὴν
σκευὴν ταύτην ἐπικρύψωμεν. Πάντως δὲ καὶ ὁ 3
χρησμὸς ἡμῖν εἰς τὸ λαθεῖν χρήσιμος. Ὁλοκλήρως
γὰρ αὐτὴν ἐσταλμένην δι' αὐτῆς ἀνατμηθῆναι μέσην
τῆς ἐσθῆτος λέγει ὁ χρησμός. Ὁρᾷς τοῦτο τὸ ξίφος
ὡς ἔχει μηχανῆς. Ἂν γὰρ ἐρείσῃ τις ἐπί τινος σώμα- 4
τος, φεύγει πρὸς τὴν κώπην ὥσπερ εἰς κουλεόν· καὶ
οἱ μὲν ὁρῶντες δοκοῦσι βαπτίζεσθαι τὸν σίδηρον
κατὰ τοῦ σώματος, ὁ δὲ εἰς τὸν χηραμὸν τῆς κώπης
ἀνέδραμε, μόνην δὲ καταλείπει τὴν αἰχμήν, ὅσον
τὴν πλαστὴν γαστέρα τεμεῖν καὶ τὴν κώπην ἐν χρῷ
τοῦ σφαζομένου τυχεῖν· κἂν ἀποσπάσῃ τις τὸν σί-

δηρον ἐκ τοῦ τραύματος, καταρρεῖ πάλιν ἐκ τοῦ χηραμοῦ τὸ ξίφος, ὅσον τῆς κώπης ἀνακουφίζεται τὸ μετέωρον καὶ τὸν αὐτὸν τρόπον τοὺς ὁρῶντας ἀπατᾷ. Δοκεῖ γὰρ τοσοῦτον καταβῆναι ἐν τῇ σφαγῇ, ὅσον ἄνεισιν ἐκ τῆς μηχανῆς. Τούτων οὖν γενομένων, οὐκ ἂν εἰδεῖεν οἱ λῃσταὶ τὴν τέχνην. Τά τε γὰρ δέρματα ἀποκέκρυπται, τά τε σπλάγχνα τῇ σφαγῇ προπηδήσεται, ἅπερ ἡμεῖς ἐξελόντες ἐπὶ τῷ βωμῷ θύσομεν. Καὶ τοὐντεῦθεν οὐκέτι προσίασιν οἱ λῃσταὶ τῷ σώματι, ἀλλ' ἡμεῖς εἰς τὴν σορὸν καταθήσομεν. Ἀκήκοας τοῦ λῃστάρχου μικρῷ πρόσθεν εἰπόντος δεῖν τι τολμηρὸν ἐπιδείξασθαι πρὸς αὐτούς, ὥστε ἔστι σοι προσελθεῖν αὐτῷ καὶ ὑποσχέσθαι ταύτην τὴν ἐπίδειξιν.' Ταῦτα λέγων ἐδεόμην Διὰ Ξένιον καλῶν καὶ κοινῆς ἀναμιμνήσκων τραπέζης καὶ κοινῆς ναυαγίας.

22 Ὁ δὲ χρηστὸς οὗτος 'μέγα μὲν' ἔφη 'τὸ ἔργον, ἀλλ' ὑπὲρ φίλου, κἂν ἀποθανεῖν δεήσῃ, καλὸς ὁ κίνδυνος, γλυκὺς ὁ θάνατος.' 'Νομίζω δὲ' ἔφην 'ζῆν καὶ Κλειτοφῶντα. Ἡ γὰρ κόρη πυθομένῳ μοι κατα-
2 λιπεῖν αὐτὸν εἶπε παρὰ τοῖς ἑαλωκόσι τῶν λῃστῶν δεδεμένον, οἱ δὲ τῶν λῃστῶν πρὸς τὸν λήσταρχον ἐκφυγόντες ἔλεγον πάντας τοὺς ὑπ' αὐτῶν εἰλημμένους τὴν εἰς τὸ στρατόπεδον μάχην ἐκπεφευγέναι· ὥστε ἀποκείσεταί σοι παρ' αὐτῷ ἡ χάρις καὶ ἅμα
3 ἐλεῆσαι κόρην ἀθλίαν ἐκ τοσούτου κακοῦ.' Ταῦτα λέγων πείθω, καὶ συνέπραξεν ἡ Τύχη. Ἐγὼ μὲν οὖν περὶ τὴν τοῦ μηχανήματος ἦμην σκευήν· ἄρτι δὲ τοῦ Μενελάου μέλλοντος τοῖς λῃσταῖς περὶ τῆς θυσίας λέγειν, ὁ λήσταρχος φθάσας κατὰ δαίμονα 'νόμος ἡμῖν' ἔφη 'τοὺς πρωτομύστας τῆς ἱερουργίας

15 post τραπέζης: καὶ χρηστῆς

ἄρχεσθαι, μάλιστα ὅταν ἄνθρωπον καταθύειν δέῃ. Ὥρα τοίνυν εἰς αὔριον σοὶ παρασκευάζεσθαι πρὸς 4
τὴν θυσίαν· δεήσει δὲ καὶ τὸν σὸν οἰκέτην ἅμα σοὶ μυηθῆναι.' Καὶ μάλα' οὗτος ἔφη 'προθυμησόμεθα
5 μηδενὸς ὑμῶν χείρους γενέσθαι. Στεῖλαι δὲ ἡμᾶς 5
αὐτοὺς δεήσει τὴν κόρην ὡς ἁρμοδίως πρὸς τὴν ἀνατομήν.' ''Τμῶν' ὁ λῃσταρχος ἔφη 'τὸ ἱερεῖον.'

Στέλλομεν δὴ τὴν κόρην τὸν προειρημένον τρό- 6
πον καθ' ἑαυτούς, καὶ θαρρεῖν παρεκελευσάμεθα,
10 διεξελθόντες ἕκαστα καὶ ὡς μένειν εἴσω τῆς σοροῦ χρή, κἂν θᾶττον αὐτὴν ὁ ὕπνος ἀφῇ, τὴν ἡμέραν ἔνδον μένειν. 'Ἤν δέ τι ἡμῖν ἐμποδὼν γένηται, σῶζε σαυτὴν ἐπὶ τὸ στρατόπεδον.' Ταῦτα εἰπόντες ἐξάγομεν αὐτὴν ἐπὶ τὸν βωμόν. Καὶ τὰ λοιπὰ οἶδας."

15 Ὡς οὖν ἤκουσα, παντοδαπὸς ἐγινόμην καὶ δι- 23
πόρουν ὅ τι ποιήσω πρὸς τὸν Μενέλαον ἀντάξιον. Τὸ δ' οὖν κοινότατον, προσπεσὼν κατησπαζόμην καὶ προσεκύνουν ὡς θεὸν καί μου κατὰ τῆς ψυχῆς ἀθρόα κατεχεῖτο ἡδονή. Ὡς δὲ τὰ κατὰ Λευκίππην εἶχέ μοι 2
20 καλῶς, "ὁ δὲ Κλεινίας" εἶπον "τί γέγονεν;" ὁ δὲ Μενέλαος "οὐκ οἶδα" ἔφη· "μετὰ γὰρ τὴν ναυαγίαν εὐθὺς εἶδον μὲν αὐτὸν τῆς κεραίας λαβόμενον, ὅποι δὲ κεχώρηκεν οὐκ οἶδα." Ἀνεκώκυσα οὖν ἐν μέσῃ 3
τῇ χαρᾷ· ταχὺ γὰρ ἐφθόνησέ μοι δαίμων τις τῆς κα-
25 θαρᾶς ἡδονῆς· τὸν δι' ἐμὲ φαινόμενον οὐδαμοῦ, τὸν μετὰ Λευκίππην ἐμὸν δεσπότην, τοῦτον ἐκ πάντων κατέσχεν ἡ θάλασσα, ἵνα μὴ τὴν ψυχὴν μόνον ἀπολέσῃ, ἀλλὰ καὶ τὴν ταφήν. "Ὦ θάλαττα ἄγνωμον, 5
ἐφθόνησας ἡμῖν ὁλοκλήρου τοῦ τῆς φιλανθρωπίας
30 σου δράματος." Ἤπιμεν οὖν εἰς τὸ στρατόπεδον κοινῇ καὶ τῆς σκηνῆς εἴσω παρελθόντες τῆς ἐμῆς τὸ λοιπὸν

τῆς νυκτὸς διετρίψαμεν, καὶ τὸ πρᾶγμα οὐκ ἔλαθε τοὺς πολλούς.

24 Ἅμα δὲ τῇ ἕῳ προσάγω τὸν Μενέλαον τῷ στρατηγῷ καὶ ἅπαντα λέγω, ὁ δὲ συνήδετο καὶ τὸν Μενέλαον ποιεῖται φίλον, πυνθάνεται δὲ πόση δύναμίς ἐστι τοῖς ἐναντίοις. Ὁ δὲ ἔλεγε πᾶσαν ἐμπεπλῆσθαι τὴν ἐξῆς κώμην ἀνδρῶν ἀπονενοημένων καὶ πολὺ συνηθροῖσθαι ληστήριον, ὡς εἶναι μυρίους.

2 Λέγει οὖν ὁ στρατηγὸς "ἀλλ' ἡμῖν αὗται [αἱ] πέντε χιλιάδες ἱκαναὶ πρὸς εἴκοσι τῶν ἐκείνων· ἀφίξονται δὲ ὅσον οὐδέπω πρὸς τούτοις ἕτεροι δισχίλιοι τῶν ἀμφὶ τὸ Δέλτα καὶ τὴν Ἡλίου πόλιν τεταγμένων

3 ἐπὶ τοὺς βαρβάρους." Καὶ ἅμα λέγοντος αὐτοῦ παῖς εἰστρέχει τις λέγων ἀπὸ τοῦ Δέλτα πρόδρομον ἥκειν τοὐκεῖθεν στρατοπέδου καὶ πέντε λέγειν ἄλλων ἡμερῶν διατρίβειν τοὺς δισχιλίους· τοὺς γὰρ βαρβάρους κατατρέχοντας πεπαῦσθαι· μελλούσης δὲ ἥκειν τῆς δυνάμεως τὸν ὄρνιν αὐτοῖς ἐπιδημῆσαι τὸν ἱερὸν φέροντα τοῦ πατρὸς τὴν ταφήν· ἀνάγκην δ' εἶναι τὴν ἔξοδον ἐπισχεῖν τοσούτων ἡμερῶν.

25 "Καὶ τίς ὁ ὄρνις οὗτος, ὅστις" ἔφην "τοσαύτης τιμῆς ἠξίωται; ποίαν δὲ καὶ κομίζει ταφήν;" "Φοίνιξ μὲν ὁ ὄρνις ὄνομα, τὸ δὲ γένος Αἰθίοψ, μέγεθος κατὰ

2 ταών· τῇ χρόᾳ ταὼς ἐν κάλλει δεύτερος. Κεκέρασται μὲν τὰ πτερὰ χρυσῷ καὶ πορφύρᾳ, αὐχεῖ δὲ τὸν Ἥλιον δεσπότην· καὶ ἡ κεφαλὴ μαρτυρεῖ, ἐστεφάνωσε γὰρ αὐτὴν κύκλος εὐφεγγής· ἡλίου δέ ἐστιν ὁ

3 τοῦ κύκλου στέφανος εἰκών. Κυάνεός ἐστιν, ῥόδοις ἐμφερής, εὐειδὴς τὴν θέαν, ἀκτῖσι κομᾷ, καί εἰσιν αὗται πτερῶν ἀνατολαί· μερίζονται δὲ αὐτοῦ Αἰθίο-

4 πες μὲν τὴν ζωήν, Αἰγύπτιοι δὲ τὴν τελευτήν. Ἐπειδὰν γὰρ ἀποθάνῃ (σὺν χρόνῳ δὲ τοῦτο πάσχει μα-

κρῷ), ὁ παῖς αὐτὸν ἐπὶ τὸν Νεῖλον φέρει, σχεδιάσας αὐτῷ καὶ τὴν ταφήν. Σμύρνης γὰρ βῶλον τῆς εὐωδεστάτης, ὅσον ἱκανὸν πρὸς ὄρνιθος ταφήν, ὀρύττει τε τῷ στόματι καὶ κοιλαίνει κατὰ μέσον, καὶ τὸ ὄρυγμα θήκη γίνεται τῷ νεκρῷ. Ἐνθεὶς δὲ καὶ ἐναρμόσας τὸν ὄρνιν τῇ σορῷ καὶ κλείσας τὸ χάσμα γηίνῳ χώματι ἐπὶ τὸν Νεῖλον οὕτως ἵπταται τὸ ἔργον φέρων. Ἕπεται δὲ αὐτῷ χορὸς ἄλλων ὀρνίθων ὥσπερ δορυφόρων καὶ ἔοικεν ὁ ὄρνις ἀποδημοῦντι βασιλεῖ καὶ τὴν πόλιν οὐ πλανᾶται τὴν Ἡλίου. Ὄρνιθος αὕτη μετοικία νεκροῦ. Ἕστηκεν οὖν ἐπὶ μετεώρου σκοπῶν καὶ ἐκδέχεται τοὺς προπόλους τοῦ θεοῦ. Ἔρχεται δή τις ἱερεὺς Αἰγύπτιος, βιβλίον ἐξ ἀδύτων φέρων, καὶ δοκιμάζει τὸν ὄρνιν ἐκ τῆς γραφῆς. Ὁ δὲ οἶδεν ἀπιστούμενος καὶ τὰ ἀπόρρητα φαίνει τοῦ σώματος καὶ τὸν νεκρὸν ἐπιδείκνυται καὶ ἔστιν ἐπιτάφιος σοφιστής. Ἱερέων δὲ παῖδες Ἡλίου τὸν ὄρνιν τὸν νεκρὸν παραλαβόντες θάπτουσι. Ζῶν μὲν οὖν Αἰθίοψ ἐστὶ τῇ τροφῇ, ἀποθανὼν δὲ Αἰγύπτιος γίνεται τῇ ταφῇ."

Δ

Ἔδοξεν οὖν τῷ στρατηγῷ μαθόντι τήν τε τῶν ἐναντίων παρασκευὴν καὶ τὴν τῶν συμμάχων ἀναβολὴν εἰς τὴν κώμην ἀναστρέψαι πάλιν, ὅθενπερ ἐξωρμήσαμεν, ἔστ' ἂν οἱ σύμμαχοι παραγένωνται· ἐμοὶ δέ τις οἶκος ἀπετέτακτο ἅμα τῇ Λευκίππῃ μικρὸν ἀνωτέρω τῆς τοῦ στρατηγοῦ καταγωγῆς. Καὶ ὡς εἴσω παρῆλθον, περιπτυξάμενος αὐτὴν οἷός [τε] ἦμην

ἀνδρίζεσθαι. Ὡς δ' οὐκ ἐπέτρεπε "μέχρι πότε"
3 εἶπον "χηρεύομεν τῶν τῆς Ἀφροδίτης ὀργίων; οὐχ
ὁρᾷς οἷα ἐκ παραλόγου γίνεται, ναυαγία καὶ λῃσταὶ
καὶ θυσίαι καὶ σφαγαί; ἀλλ' ἕως ἐν γαλήνῃ τῆς
τύχης ἐσμέν, ἀποχρησώμεθα τῷ καιρῷ, πρίν τι χα- 5
λεπώτερον ἡμᾶς ἐπισχεῖν." Ἡ δὲ "ἀλλ' οὐ θέμις"
4 ἔφη "τοῦτο ἤδη γενέσθαι. Ἡ γάρ μοι θεὸς Ἄρτεμις
ἐπιστᾶσα πρῴην κατὰ τοὺς ὕπνους, ὅτε ἔκλαον μέλ-
λουσα σφαγήσεσθαι μὴ νῦν ἔφη κλᾶε· οὐ γὰρ
τεθνήξῃ· βοηθὸς γὰρ ἐγώ σοι παρέσομαι· μενεῖς δὲ 10
παρθένος, ἕστ' ἄν σε νυμφοστολήσω· ἄξεται δέ σε
5 ἄλλος οὐδεὶς ἢ Κλειτοφῶν." Ἐγὼ δὲ τὴν μὲν ἀνα-
βολὴν ἠχθόμην, ταῖς δὲ τοῦ μέλλοντος ἐλπίσιν ἡδό-
μην· ὡς δ' ἤκουσα τὸ ὄναρ, ἀναμιμνήσκομαι προσό-
6 μοιον ἰδὼν ἐνύπνιον. Ἐδόκουν γὰρ τῇ παρελθούσῃ 15
νυκτὶ νεὼν Ἀφροδίτης ἰδεῖν καὶ τὸ ἄγαλμα ἔνδον
εἶναι τῆς θεοῦ· ὡς δὲ πλησίον ἐγενόμην προσευχό-
7 μενος, κλεισθῆναι τὰς θύρας. Ἀθυμοῦντι δέ μοι
γυναῖκα ἐκφανῆναι κατὰ τὸ ἄγαλμα τὴν μορφὴν
ἔχουσαν, καὶ "νῦν" εἶπεν "οὐκ ἔξεστί σοι παρελθεῖν 20
εἴσω τοῦ νεώ· ἢν δὲ ὀλίγον ἀναμείνῃς χρόνον, οὐκ
ἀνοίξω σοι μόνον, ἀλλὰ καὶ ἱερέα σε ποιήσω τῆς
8 θεοῦ." Καταλέγω δὴ τοῦτο τῇ Λευκίππῃ τὸ ἐνύπνιον
καὶ οὐκέτι ἐπεχείρουν βιάζεσθαι. Ἀναλογιζόμενος δὲ
τὸν τῆς Λευκίππης ὄνειρον, οὐ μετρίως ἐταραττόμην. 25
2 Ἐν τούτῳ δὴ Χαρμίδης (τοῦτο γὰρ ἦν ὄνομα τῷ
στρατηγῷ) ἐπιβάλλει τῇ Λευκίππῃ τὸν ὀφθαλμόν,
ἀπὸ τοιαύτης ἀφορμῆς αὐτὴν ἰδών. Ἔτυχον ποτάμιον
θηρίον ἄνδρες τεθηρακότες θέας ἄξιον· ἵππον δὲ
2 αὐτὸν τοῦ Νείλου καλοῦσιν οἱ Αἰγύπτιοι. Καὶ ἔστι 30
μὲν ἵππος, ὡς ὁ λόγος βούλεται, τὴν γαστέρα καὶ
τοὺς πόδας, πλὴν ὅσον εἰς χηλὴν σχίζει τὴν ὁπλήν·

μέγεθος δὲ κατὰ τὸν βοῦν τὸν μέγιστον· οὐρὰ βραχεῖα καὶ ψιλὴ τριχῶν· κεφαλὴ περιφερὴς οὐ σμικρά· 3
ἐγγὺς ἵππου παρειαί· μυκτὴρ ἐπὶ μέγα κεχηνὼς καὶ
πνέων πυρώδη καπνὸν ὡς ἀπὸ πηγῆς πυρός· γένυς
εὐρεῖα, ὅση καὶ παρειά· μέχρι τῶν κροτάφων ἀνοίγει τὸ στόμα· ἔχει δὲ καὶ κυνόδοντας καμπύλους
κατὰ μὲν τὴν ἰδέαν καὶ τὴν θέσιν ὡς συός, τὸ δὲ μέγεθος εἰς τριπλάσιον.

Καλεῖ δὴ πρὸς τὴν θέαν ἡμᾶς ὁ στρατηγός· καὶ 3
ἡ Λευκίππη συμπαρῆν. Ἡμεῖς μὲν οὖν ἐπὶ τὸ θηρίον
τοὺς ὀφθαλμοὺς εἴχομεν, ἐπὶ τὴν Λευκίππην δὲ ὁ
στρατηγός· καὶ εὐθὺς ἐαλώκει. Βουλόμενος οὖν 2
ἡμᾶς παραμένειν ἐπὶ πλεῖστον, ἵν' ἔχοι τοῖς ὀφθαλμοῖς αὐτοῦ χαρίζεσθαι, περιπλοκὰς ἐξήτει λόγων,
πρῶτον μὲν τὴν φύσιν τοῦ θηρίου καταλέγων, εἶτα
καὶ τὸν τρόπον τῆς ἄγρας, ὡς ἔστι μὲν ἀδηφαγώτατον καὶ ποιεῖται τροφὴν ὅλον λήιον, ἀπάτῃ δὲ πάσχει
τὴν ἄγραν. Ἐπιτηρήσαντες γὰρ αὐτοῦ τὰς διατρι- 3
βάς, ὄρυγμα ποιησάμενοι ἐπικαλύπτουσιν ἄνωθεν
καλάμοις καὶ χώματι· ὑπὸ δὲ τὴν τῶν καλάμων
μηχανὴν ἱστάναι κάτω ξύλινον οἴκημα τὰς θύρας
ἀνεῳγμένον εἰς τὸν ὄροφον τοῦ βόθρου καὶ τὴν
πτῶσιν τοῦ θηρίου λοχᾶν· τὸν μὲν γὰρ ἐπιβάντα 4
φέρεσθαι εὐθύς, καὶ τὸ οἴκημα φωλεοῦ δίκην ὑποδέχεσθαι, καὶ τοὺς κυνηγέτας ἐκθορόντας εὐθὺς ἐπικλείειν τοῦ πώματος τὰς θύρας καὶ ἔχειν οὕτω τὴν
ἄγραν, ἐπεὶ πρός γε τὸ καρτερὸν οὐδεὶς ἂν αὐτοῦ
κρατήσειε [βίᾳ]. Τά τε γὰρ ἄλλα ἐστὶν ἀλκιμώτατος 5
καὶ τὸ δέρμα, ὡς ὁρᾶτε, φέρει παχὺ καὶ οὐκ ἐθέλει

---

2 post τριχῶν: ὅτι καὶ τὸ λοιπὸν τοῦ σώματος οὕτως ἔχει

πείθεσθαι σιδήρου τραύματι, ἀλλ' ἐστίν, ὡς εἰπεῖν, ἐλέφας Αἰγύπτιος. Καὶ γὰρ δεύτερος φαίνεται εἰς ἀλκὴν ἐλέφαντος Ἰνδοῦ."

4 Καὶ ὁ Μενέλαος "ἦ γὰρ ἐλέφαντα" ἔφη "ἤδη τεθέασαί ποτε;" "Καὶ μάλα" ὁ Χαρμίδης εἶπεν, "καὶ ἀκήκοα παρὰ τῶν ἀκριβῶς εἰδότων τῆς γενέσεως αὐ- 5
2 τοῦ τὸν τρόπον ὡς παράδοξος." "Ἀλλ' ἡμεῖς γε οὐκ εἴδομεν εἰς ταύτην" ἔφην ἐγὼ "τὴν ἡμέραν, ὅτι μὴ γραφῇ." "Λέγοιμ' ἂν ὑμῖν" εἶπε, "καὶ γὰρ ἄγομεν σχολήν. Κύει μὲν αὐτὸν ἡ μήτηρ χρονιώτατον· δέκα 10 γὰρ ἐνιαυτοῖς πλάττει τὴν σποράν, μετὰ δὲ τοσαύτην ἐτῶν περίοδον τίκτει, ὅταν ὁ τόκος γέρων γένηται.
3 Διὰ τοῦτο, οἶμαι, καὶ γίνεται μέγας τὴν μορφήν, ἄμαχος τὴν ἀλκήν, πολὺς τὴν βιοτήν, βραδὺς τὴν τελευτήν· βιοῦν γὰρ αὐτὸν λέγουσιν ὑπὲρ τὴν Ἡσιό- 15
4 δου κορώνην. Τοιαύτη δέ ἐστιν ἐλέφαντος ἡ γένυς, οἵα τοῦ βοὸς ἡ κεφαλή. Σὺ μὲν γὰρ ἂν ἰδὼν εἴποις κέρας ἔχειν αὐτοῦ τὸ στόμα διπλοῦν· ἔστι δὲ τοῦτο ἐλέφαντος καμπύλος ὀδούς. Μεταξὺ δὲ τῶν ὀδόντων ἀνίσταται αὐτῷ προβοσκίς, κατὰ σάλπιγγα μὲν καὶ 20 τὴν ὄψιν καὶ τὸ μέγεθος, εὐπειθὴς δὲ τῶν πρὸς τὸν
5 ἐλέφαντα. Προνομεύει γὰρ αὐτῷ τὰς βοσκὰς καὶ πᾶν ὅ τι ἂν ἐμποδὼν εὕρῃ σιτίον. Ἐὰν μὲν γὰρ ᾖ ὄψον ἐλέφαντος, ἔλαβέ τε εὐθὺς καὶ ἐπιπτυχθεῖσα κάτω πρὸς τὴν γένυν τῷ στόματι τὴν τροφὴν διακο- 25 νεῖ· ἂν δέ τι τῶν ἀνθρωπείων ἴδῃ, τούτῳ περιβάλλει, κύκλῳ τὴν ἄγραν περισφίγξας, καὶ τὸ πᾶν ἀνεκού-
6 φισε καὶ ὥρεξεν ἄνω δῶρον δεσπότῃ· ἐπικάθηται γάρ τις αὐτῷ ἀνὴρ Αἰθίοψ, καινὸς ἱππεὺς ὤν· καὶ κολακεύει καὶ φοβεῖται καὶ τῆς φωνῆς αἰσθάνεται καὶ 30

29 post καινός: ἐλέφαντι

μαστίζοντος ἀνέχεται· ἡ δὲ μάστιξ αὐτῷ πέλεκυς σι-
δηροῦς. Εἶδον δέ ποτε καὶ θέαμα καινόν. Ἀνὴρ Ἕλ- 7
λην ἐνέθηκε τὴν κεφαλὴν κατὰ μέσην τοῦ θηρίου τὴν
κεφαλήν· ὁ δὲ ἐλέφας ἐκεχήνει καὶ περιῄσθμαινε
τὸν ἄνθρωπον ἐγκείμενον. Ἀμφότερα οὖν ἐθαύμα-
ζον, καὶ τὸν ἄνθρωπον τῆς εὐτολμίας καὶ τὸν ἐλέ-
φαντα τῆς φιλανθρωπίας. Ὁ δὲ ἄνθρωπος ἔλεγεν 8
ὅτι καὶ μισθὸν εἴη δεδωκὼς τῷ θηρίῳ· προσπνεῖν
γὰρ αὐτῷ [καὶ] μόνον οὐκ ἀρωμάτων Ἰνδικῶν· εἶναι
δὲ κεφαλῆς νοσούσης φάρμακον. Οἶδεν οὖν τὴν θε-
ραπείαν ὁ ἐλέφας καὶ προῖκα οὐκ ἀνοίγει τὸ στόμα,
ἀλλ' ἐστὶν ἰατρὸς ἀλαζὼν καὶ τὸν μισθὸν πρῶτον
αἰτεῖ. Κἂν δῶς, πείθεται καὶ παρέχει τὴν χάριν καὶ
ἁπλοῖ τὴν γέννυν καὶ τοσοῦτον ἀνέχεται κεχηνώς,
ὅσον ὁ ἄνθρωπος βούλεται. Οἶδε γὰρ ὅτι πέπρακε
τὴν ὀδμήν."

"Καὶ πόθεν" ἔφην "οὕτως ἀμόρφῳ θηρίῳ τοσαύτη 5
τῆς εὐωδίας ἡδονή;" "Ὅτι" ἔφη Χαρμίδης "τοιαύ-
την ποιεῖται καὶ τὴν τροφήν. Ἰνδῶν γὰρ ἡ γῆ γείτων
ἡλίου· πρῶτοι γὰρ ἀνατέλλοντα τὸν θεὸν ὁρῶσιν Ἰν-
δοί, καὶ αὐτοῖς θερμότερον τὸ φῶς ἐπικάθηται, καὶ
τηρεῖ τὸ σῶμα τοῦ πυρὸς τὴν βαφήν. Γίνεται δὲ 2
παρὰ τοῖς Ἕλλησιν ἄνθος Αἰθίοπος χρόας, ἔστι δὲ
παρ' Ἰνδοῖς οὐκ ἄνθος ἀλλὰ πέταλον, οἷα παρ' ἡμῖν
τὰ πέταλα τῶν φυτῶν, ὃ [ἐκεῖ] μὲν κλέπτει τὴν
πνοὴν καὶ τὴν ὀδμὴν οὐκ ἐπιδείκνυται· ἢ γὰρ ἀλα-
ζονεύεσθαι πρὸς τοὺς εἰδότας ὀκνεῖ ἢ τῆς ἡδονῆς τοῖς
πολίταις φθονεῖ· ἂν δὲ τῆς γῆς μικρὸν ἐξοικήσῃ καὶ
ὑπερβῇ τοὺς ὅρους, ἀνοίγει τῆς κλοπῆς τὴν ἡδονὴν
καὶ ἄνθος ἀντὶ φύλλου γίνεται καὶ τὴν ὀδμὴν ἐνδύε-
ται. Μέλαν τοῦτο ῥόδον Ἰνδῶν. Ἔστι δὲ τοῖς ἐλέ- 3
φασι σιτίον, ὡς τοῖς βουσὶ παρ' ἡμῖν ἡ πόα. Ἅτε

οὖν ἐκ πρώτης γονῆς αὐτῷ τραφείς, ὅδωδέ τε πᾶς κατὰ τὴν τροφήν, καὶ τὸ πνεῦμα πέμπει κάτωθεν εὐωδέστατον ὃ τῆς πνοῆς αὐτῷ γέγονε πηγή."

6 Ἐπεὶ οὖν ἐκ τῶν λόγων ἀπηλλάγημεν τοῦ στρατηγοῦ, μικρὸν διαλιπὼν (ὅτι οὐ δύναταί τις τρωθεὶς ἀνέχεσθαι θλιβόμενος τῷ πυρὶ) τὸν Μενέλαον μεταπέμπεται καὶ τῆς χειρὸς λαβόμενος λέγει "ἀγαθὸν εἰς φιλίαν οἰδά σε ἐξ ὧν ἔπραξας εἰς Κλειτοφῶντα·
2 κἀμὲ δὲ εὑρήσεις οὐ χείρονα. Δέομαι δὲ παρὰ σοῦ χάριτος σοὶ μὲν ῥᾳδίας, ἐμοὶ δὲ ἀνασώσεις τὴν ψυχήν, ἂν παράσχῃς. Λευκίππη με ἀπολώλεκε· σῶσον δὲ σύ. Ὀφείλεταί σοι παρ' αὐτῆς ζωάγρια, μισθὸς δὲ σοὶ μὲν χρυσοῖ πεντήκοντα τῆς διακονίας, αὐτῇ δὲ
3 ὅσους ἂν θέλῃ." Λέγει οὖν ὁ Μενέλαος "τοὺς μὲν χρυσοῦς ἔχε καὶ φύλαττε τοῖς τὰς χάριτας πιπράσκουσιν· ἐγὼ δὲ φίλος ὢν πειράσομαι γενέσθαι σοι χρήσιμος." Ταῦτα εἰπὼν ἔρχεται πρός με καὶ πάντα κατηγορεύει. Ἐβουλευόμεθα οὖν τί δεῖ πράττειν. Ἔδοξε
4 δὲ αὐτὸν ἀπατῆσαι· τὸ γὰρ ἀντιλέγειν οὐκ ἀκίνδυνον ἦν, μὴ καὶ βίαν προσαγάγῃ· τὸ δὲ φεύγειν ἀδύνατον, πάντη μὲν λῃστῶν περικεχυμένων, τοσούτων δὲ στρατιωτῶν ἀμφ' αὐτὸν ὄντων.

7 Μικρὸν οὖν διαλιπὼν ὁ Μενέλαος, ἀπελθὼν πρὸς τὸν Χαρμίδην "κατείργασται τὸ ἔργον" ἔφη, "καίτοι τὸ πρῶτον ἠρνεῖτο ἰσχυρῶς ἡ γυνή· δεομένου δέ
2 μου καὶ ὑπομιμνήσκοντος τῆς εὐεργεσίας ἐπένευσεν. Ἀξιοῖ δὲ δικαίαν δέησιν ὀλίγων αὐτῇ χαρίσασθαι προθεσμίαν ἡμερῶν, 'ἕστ' ἂν εἰς τὴν Ἀλεξάνδρειαν ἀφίκωμαι· κώμη γὰρ αὖτη καὶ ἐν ὄψει τὰ γινόμενα καὶ πολλοὶ μάρτυρες.'" "Εἰς μακρὰν" ὁ Χαρμίδης
3 εἶπε "δίδωσι τὴν χάριν. Ἐν πολέμῳ δὲ τίς ἐπιθυμίαν ἀναβάλλεται; στρατιώτης δὲ ἐν χερσὶν ἔχων μάχην

οἶδεν εἰ ζήσεται; τοσαῦται τῶν θανάτων εἰσὶν ὁδοί. Αἴτησαί μοι παρὰ τῆς Τύχης τὴν ἀσφάλειαν καὶ μενῶ. Ἐπὶ πόλεμον νῦν ἐξελεύσομαι βουκόλων· ἔνδον μου τῆς ψυχῆς ἄλλος πόλεμος κάθηται· στρατιώτης με πορθεῖ τόξον ἔχων, βέλος ἔχων· νενίκημαι, πεπλήρωμαι βελῶν. Κάλεσον, ἄνθρωπε, ταχὺ τὸν ἰώμενον· ἐπείγει τὸ τραῦμα. Ἄψω πῦρ ἐπὶ τοὺς πολεμίους· ἄλλας δᾳδας ὁ ἔρως ἀνῆψε κατ' ἐμοῦ. Τοῦτο πρῶτον, Μενέλαε, σβέσον τὸ πῦρ. Καλὸν τὸ οἰώνισμα πρὸ πολέμου συμβολῆς ἐρωτικὴ συμπλοκή. Ἀφροδίτη με πρὸς Ἄρεα ἀποστειλάτω." Καὶ ὁ Μενέλαος "ἀλλ' ὁρᾷς" ἔφη "ὡς οὐκ ἔστι ῥᾴδιον λαθεῖν αὐτὴν ἐνθάδε τὸν ἄνδρα ὄντα καὶ ταῦτα ἐρῶντα." Καὶ ὁ Χαρμίδης "ἀλλὰ τοῦτό γε ῥᾴδιον" ἔφη "τὸν Κλειτοφῶντα ἀποφορτίσασθαι." Ὁρῶν οὖν ὁ Μενέλαος τοῦ Χαρμίδου τὴν σπουδὴν καὶ φοβηθεὶς περὶ ἐμοῦ, ταχύ τι σκήπτεται πιθανὸν καὶ λέγει "βούλει τὴν ἀλήθειαν ἀκοῦσαι τῆς ἀναβολῆς; ἡ γυνὴ χθὲς ἀφῆκε τὰ ἔμμηνα καὶ ἀνδρὶ συνελθεῖν οὐ θέμις." "Οὐκοῦν ἀναμενοῦμεν" ὁ Χαρμίδης εἶπεν "ἐνταῦθα τρεῖς ἡμέρας ἢ τέτταρας, αὗται γὰρ ἱκαναί. Ὃ δὲ ἔξεστιν αἰτοῦ παρ' αὐτῆς· εἰς ὀφθαλμοὺς ἡκέτω τοὺς ἐμοὺς καὶ λόγων μεταδότω· ἀκοῦσαι θέλω φωνῆς, χειρὸς θιγεῖν, ψαῦσαι σώματος· αὗται γὰρ ἐρώντων παραμυθίαι. Ἔξεστι δὲ αὐτὴν καὶ φιλῆσαι· τοῦτο γὰρ οὐ κεκώλυκεν ἡ γαστήρ."

Ὡς οὖν ταῦτα ὁ Μενέλαος ἐλθὼν ἀπαγγέλλει μοι, πρὸς τοῦτο ἀνεβόησα ὡς θᾶττον ἂν ἀποθάνοιμι ἢ περιίδω Λευκίππης φίλημα ἀλλοτριούμενον. "Οὖ τί γὰρ" ἔφην "ἐστὶ γλυκύτερον; τὸ μὲν γὰρ ἔργον τῆς Ἀφροδίτης καὶ ὅρον ἔχει καὶ κόρον καὶ οὐδὲν ἐστίν, ἐὰν ἐξέλῃς αὐτοῦ τὰ φιλήματα· φίλημα δὲ

καὶ ἀόριστόν ἐστι καὶ ἀκόρεστον καὶ καινὸν ἀεί. Τρία γὰρ τὰ κάλλιστα ἀπὸ τοῦ στόματος ἄνεισιν, ἀναπνοὴ
3 καὶ φωνὴ καὶ φίλημα. Τοῖς μὲν γὰρ χείλεσιν ἀλλήλους φιλοῦμεν, ἀπὸ δὲ τῆς ψυχῆς ἡ τῆς ἡδονῆς ἐστι πηγή. Πίστευσόν μοι λέγοντι, Μενέλαε, (ἐν γὰρ τοῖς κακοῖς ἐξορχήσομαι τὰ μυστήρια) ταῦτα μόνα παρὰ Λευκίππης ἔχω κἀγώ· ἔτι μένει παρθένος· μέχρι
4 μόνων τῶν φιλημάτων ἐστί μου γυνή. Εἰ δέ τις ἁρπάσει μου καὶ ταῦτα, οὐ φέρω τὴν φθοράν, οὐ μεμοιχεύσεταί μου τὰ φιλήματα." "Οὐκοῦν" ἔφη ὁ Μενέλαος "βουλῆς ἡμῖν ἀρίστης δεῖ καὶ ταχίστης.
5 Ἐρῶν γάρ τις, εἰς ὅσον μὲν ἔχει τὴν ἐλπίδα τοῦ τυχεῖν, φέρει, εἰς αὐτὸ τὸ τυχεῖν ἀποτεινόμενος· ἐὰν δὲ ἀπογνῷ, τὸ ἐπιθυμοῦν μεταβαλὼν ἀντιλυπῆσαι μέχρι
6 τοῦ δυνατοῦ τολμᾷ τὸ κωλῦον. Ἔστω δὲ καὶ ἰσχύς, ὥστε τι δρᾶσαι μετὰ τοῦ μὴ παθεῖν· τότε δὲ τῆς ψυχῆς τὸ μὴ φοβούμενον ἀγριαίνει μᾶλλον τὸ θυμούμενον. Καὶ γὰρ ὁ καιρὸς ἐπείγει τῶν πραγμάτων τὸ ἄπορον."

9 Σκοπούντων οὖν ἡμῶν εἰστρέχει τις τεθορυβημένος καὶ λέγει τὴν Λευκίππην ἄφνω βαδίζουσαν καταπεσεῖν καὶ τῷ ὀφθαλμῷ διαστρέφειν. Ἀναπηδήσαντες οὖν ἐθέομεν ἐπ' αὐτὴν καὶ ὁρῶμεν ἐπὶ τῆς
2 γῆς κειμένην. Προσελθὼν οὖν ἐπυθόμην ὅ τι πάθοι· ἡ δὲ ὡς εἶδέ με, ἀναπηδήσασα παίει με κατὰ τῶν προσώπων, ὕφαιμον βλέπουσα· ὡς δὲ καὶ ὁ Μενέλαος οἷός [τε] ἦν ἀντιλαμβάνεσθαι, παίει κἀκεῖνον τῷ σκέλει. Συνέντες οὖν ὅτι μανία εἴη τις τὸ κακόν, βίᾳ συλλαβόντες ἐπειρώμεθα κρατεῖν· ἡ δὲ προσεπάλαιεν ἡμῖν, οὐδὲν φροντίζουσα κρύπτειν ὅσα
3 γυνὴ μὴ ὁρᾶσθαι θέλει. Θόρυβος οὖν πολὺς περὶ τὴν σκηνὴν αἴρεται, ὥστε καὶ αὐτὸν εἰσδραμεῖν τὸν

στρατηγὸν καὶ τὰ γινόμενα ὁρᾶν. Ὁ δὲ τὰ πρῶτα σκῆψιν ὑπώπτευε τὴν ἀσθένειαν καὶ τέχνην ἐπ' αὐτόν, καὶ τὸν Μενέλαον ὑπεβλέπετο· ὡς δὲ κατὰ μικρὸν ἑώρα τὴν ἀλήθειαν, ἔπαθέ τι καὶ αὐτὸς καὶ ἠλέησε. Κομίσαντες οὖν βρόχους ἔδησαν τὴν ἀθλίαν. Ὡς δὲ 4 εἶδον αὐτῆς περὶ τὰς χεῖρας τὰ δεσμά, ἐδεόμην Μενελάου τῶν πολλῶν ἀπηλλαγμένων ἤδη "λύσατε" λέγων, "ἱκετεύω, λύσατε· οὐ φέρουσι δεσμὸν χεῖρες ἁπαλαί· ἐάσατέ με σὺν αὐτῇ· μόνος ἐγὼ περιπτυξάμενος αὐτῇ δεσμὸς ἔσομαι· μαινέσθω κατ' ἐμοῦ. Τί γάρ με καὶ ζῆν ἔτι δεῖ; οὐ γνωρίζει με Λευκίππη 5 παρόντα, κεῖται δέ μοι δεδεμένη, καὶ ὁ ἀναιδὴς ἐγὼ λῦσαι δυνάμενος οὐκ ἐθέλω. Ἐπὶ τούτῳ ἡμᾶς σέσωκεν ἡ Τύχη ἐκ τῶν λῃστῶν, ἵνα γένῃ μανίας παιδιά; ὦ δυστυχεῖς ἡμεῖς, ὅταν εὐτυχήσωμεν. Τοὺς οἴκοι 6 φόβους ἐκπεφεύγαμεν, ἵνα ναυαγίαν δυστυχήσωμεν· ἐκ τῆς θαλάσσης περιγεγόναμεν * * · ἐκ τῶν λῃστῶν ἀνασεσώσμεθα· μανίᾳ γὰρ ἐτηρούμεθα. Ἐγὼ μέν, 7 ἂν σωφρονήσῃς, φιλτάτη, φοβοῦμαι πάλιν τὸν δαίμονα μή τί σοι κακὸν ἐργάσηται. Τίς οὖν ἡμῶν κακοδαιμονέστερος, οἳ φοβούμεθα καὶ τὰ εὐτυχήματα; ἀλλ' εἰ μόνον μοι σωφρονήσειας καὶ σεαυτὴν ἀπολάβοις, παιζέτω πάλιν ἡ Τύχη."

Ταῦτά με λέγοντα παρηγόρουν οἱ ἀμφὶ τὸν Με- 10
νέλαον, φάσκοντες μὴ ἔμμονα εἶναι τὰ τοιαῦτα νοσήματα, πολλάκις δὲ ἡλικίας ζεούσης ὑπάρχειν. "Τὸ γὰρ αἷμα πάντη νεάζον καὶ ὑπὸ πολλῆς ἀκμῆς ἀναζέον ὑπερβλύζει πολλάκις τὰς φλέβας, καὶ τὴν κεφαλὴν ἔνδον περικλύζον βαπτίζει τοῦ λογισμοῦ τὴν ἀναπνοήν. Δεῖ οὖν ἰατροὺς μεταπέμπειν καὶ θερα- 2
πείαν προσφέρειν." Πρόσεισιν οὖν τῷ στρατηγῷ ὁ Μενέλαος καὶ δεῖται τὸν τοῦ στρατοπέδου ἰατρὸν

μετακαλέσασθαι, κἀκεῖνος ἄσμενος ἐπείσθη· χαίρουσι γὰρ οἱ ἐρῶντες εἰς τὰ ἐρωτικὰ προστάγματα.
3 Καὶ ὁ ἰατρὸς παρῆν καὶ λέγει "νῦν μὲν ὕπνον αὐτῇ παρασκευάσομεν, ὅπως τὸ ἄγριον τῆς ἀκμῆς ἡμερώσωμεν· ὕπνος γὰρ πάντων νοσημάτων φάρμακον· ἔπειτα δὲ καὶ τὴν λοιπὴν θεραπείαν προσοίσομεν."
4 Δίδωσιν οὖν ἡμῖν φάρμακόν τι μικρόν, ὅσον ὀρόβου μέγεθος, καὶ κελεύει λύσαντας εἰς ἔλαιον ἐπαλεῖψαι τὴν κεφαλὴν μέσην· σκευάσειν δὲ ἔφη καὶ ἕτερον εἰς
5 γαστρὸς αὐτῇ κάθαρσιν. Ἡμεῖς μὲν οὖν ἃ ἐκέλευσεν ἐποιοῦμεν, ἡ δὲ ἐπαλειφθεῖσα μετὰ μικρὸν ἐκάθευδε τὸ ἐπίλοιπον τῆς νυκτὸς μέχρι τῆς ἕω. Ἐγὼ δὲ δι' ὅλης τῆς νυκτὸς ἀγρυπνῶν ἔκλαον παρακαθήμενος καὶ βλέπων τὰ δεσμὰ ἔλεγον "οἴμοι, φιλτάτη, δέδεσαι καὶ καθεύδουσα· οὐδὲ τὸν ὕπνον ἐλεύθερον
6 ἔχεις. Τίνα ἄρα σου τὰ φαντάσματα; ἆρα κἂν κατὰ τοὺς ὕπνους σωφρονεῖς, ἢ μαίνεταί σου καὶ τὰ ὀνείρατα;"

Ἐπεὶ δ' ἀνέστη, πάλιν ἄσημα ἐβόα· καὶ ὁ ἰατρὸς παρῆν καὶ τὴν ἄλλην θεραπείαν ἐθεράπευεν.

11 Ἐν τούτῳ δὴ ἔρχεταί τις παρὰ τοῦ τῆς Αἰγύπτου σατράπου, κομίζων ἐπιστολὴν τῷ στρατηγῷ. Ἐπέσπευδε δὲ αὐτόν, ὡς εἰκός, ἐπὶ τὸν πόλεμον τὰ γράμματα· ἐκέλευσε γὰρ εὐθὺς πάντας ἐν τοῖς ὅπλοις
2 γενέσθαι ὡς ἐπὶ τοὺς βουκόλους. Αὐτίκα δὴ μάλα ἐξορμήσαντες, εὐθὺς ἕκαστος, ὡς εἶχε τάχους, ἐπὶ τὰ ὅπλα ἐχώρουν καὶ παρῆσαν ἅμα τοῖς λοχαγοῖς. Τότε μὲν οὖν αὐτοῖς δοὺς τὸ σύνθημα καὶ κελεύσας αὐτοῖς στρατοπεδεύεσθαι καθ' αὑτὸν ἦν· τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ τὸ στράτευμα ἐξῆγεν ἐπὶ τοὺς πο-

λεμίους. Εἶχε δὲ αὐτοῖς οὕτω τῆς κώμης ἡ θέσις. 3
Ὁ Νεῖλος ῥεῖ μὲν ἄνωθεν ἐκ Θηβῶν τῶν Αἰγυπτίων εἰς ὧν ἄχρι Μέμφεως καὶ ἔστι μικρὸν κάτω ** (Κερκάσωρος ὄνομα τῇ κώμῃ) πρὸς τῷ τέλει τοῦ μεγάλου ῥεύματος. Ἐντεῦθεν δὲ περιῤῥήγνυνται τῇ γῇ, καὶ 4 ἐξ ἑνὸς ποταμοῦ γίνονται τρεῖς, δύο μὲν ἑκατέρωθεν λελυμένοι, ὁ δὲ εἰς ὥσπερ ἦν ῥέων πρὶν λυθῆναι. Ἀλλ' οὐδὲ τούτων ἕκαστος τῶν ποταμῶν ἀνέχεται 5 μέχρι θαλάσσης ῥέων, ἀλλὰ περισχίζεται ἄλλος ἄλλῃ κατὰ πόλεις, καί εἰσιν αἱ σχίσεις μείζονες τῶν παρ' Ἕλλησι ποταμῶν· τὸ δὲ ὕδωρ πανταχοῦ μεμερισμένον οὐκ ἐξασθενεῖ, ἀλλὰ καὶ πλεῖται καὶ πίνεται καὶ γεωργεῖται.

Νεῖλος ὁ πολὺς πάντα αὐτοῖς γίνεται, καὶ ποτα- 12
μὸς καὶ γῆ καὶ θάλασσα καὶ λίμνη· καὶ ἔστι τὸ θέαμα καινόν, ναῦς ὁμοῦ καὶ δίκελλα, κώπη καὶ ἄροτρον, πηδάλιον καὶ τρόπαιον, ναυτῶν ὁμοῦ καὶ γεωργῶν καταγωγή, ἰχθύων ὁμοῦ καὶ βοῶν· ὃ πέπλευκας, φυτεύεις, καὶ ὃ φυτεύεις, τοῦτο πέλαγος γεωργούμενον. Ἔχει γὰρ ὁ ποταμὸς ἐπιδημίας· κάθ- 2
ηται δὲ αὐτὸν Αἰγύπτιος ἀναμένων καὶ ἀριθμῶν αὐτοῦ τὰς ἡμέρας. Καὶ ὁ Νεῖλος οὐ ψεύδεται, ἀλλ' ἔστι ποταμὸς μετὰ προθεσμίας τὸν χρόνον τηρῶν καὶ τὸ ὕδωρ μετρῶν, ποταμὸς ἁλῶναι μὴ θέλων ὑπερήμερος. Ἔστι δ' ἰδεῖν ποταμοῦ καὶ γῆς φιλονεικίαν. 3
Ἐρίζετον ἀλλήλοις ἑκάτερον· τὸ μὲν ὕδωρ, τοσαύτην γῆν πελαγίσαι· ἡ δὲ γῆ, τοσαύτην χωρῆσαι γλυκεῖαν θάλασσαν· καὶ νικῶσι μὲν τὴν ἴσην νίκην οἱ δύο,

---

2 post *Αἰγυπτίων*: καὶ ἔστιν

7 post *εἰς*: καὶ τὴν γῆν εἰς τὸ σχῆμα τοῦ Δέλτα ποιῶν

4 οὐδαμοῦ δὲ φαίνεται τὸ νικώμενον. Τὸ γὰρ ὕδωρ
τῇ γῇ συνεκτείνεται· περὶ δὲ τὰς τῶν βουκόλων
ταύτας νομὰς ἀεὶ πολὺ ἐγκάθηται. Ὅταν γὰρ τὴν
πᾶσαν γῆν πελαγίσῃ, λίμνας ἐνταῦθα ποιεῖ· αἱ δὲ
λίμναι, κἂν ὁ Νεῖλος ἀπέλθῃ, μένουσιν οὐδὲν ἧττον,
5 τὸ ὕδωρ ἔχουσαι τόν τε πηλὸν τοῦ ὕδατος. Ἐπὶ ταύ-
τας αὐτοὶ καὶ βαδίζουσι καὶ πλέουσιν, οὐδὲ ναῦς
ἑτέρα δύναται πλεῖν, ἀλλ' ὅσον ἄνθρωπον ἐπιβῆναι·
ἀλλὰ πᾶν τὸ ξένον τοῦ τόπου ὁ πηλὸς ἐμπίπτων κρα-
τεῖ. Τοῖς δὲ μικρὰ μὲν καὶ κοῦφα πλοῖα, καὶ ὀλίγον
ὕδωρ αὐτοῖς ἀρκεῖ· εἰ δὲ τέλεον ἄνυδρον εἴη, ἀρά-
μενοι τοῖς νώτοις οἱ πλωτῆρες τὸ πλοῖον φέρουσιν,
6 ἄχρις ἂν ἐπιτύχωσιν ὕδατος. Ἐν ταύταις δὴ ταῖς
λίμναις μέσαι νῆσοί τινές εἰσι σποράδην πεποιημέ-
ναι· αἱ μὲν οἰκοδομημάτων ἔρημοι, παπύροις πεφυ-
τευμέναι· τῶν δὲ παπύρων διεστᾶσιν αἱ φάλαγγες
πεπυκνωμέναι τοσοῦτον ὅσον παρ' ἑκάστην ἄνδρα
στῆναι μόνον, τὸ μεταξὺ δὲ τοῦτο τῆς πυκνώσεως
αὐτῶν ἄνωθεν ἀναπληροῦσιν αἱ τῶν παπύρων κόμαι.
7 Ὑποτρέχοντες οὖν ἐκεῖ καὶ βουλεύονται καὶ λοχῶσι
καὶ λανθάνουσι, τείχεσι ταῖς παπύροις χρώμενοι.
Εἰσὶ δὲ τῶν νήσων τινὲς καλύβας ἔχουσαι, καὶ αὐ-
τοσχέδιον μεμίμηνται πόλιν ταῖς λίμναις τετειχισμέ-
8 ναι. Βουκόλων αὗται καταγωγαί. Τῶν πλησίον οὖν
μία μεγέθει καὶ καλύβαις πλείοσι διαφέρουσα (ἐκά-
λουν δὲ αὐτήν, οἶμαι, Νίκωχιν), ἐνταῦθα πάντες συν-
ελθόντες ὡς εἰς τόπον ὀχυρώτατον ἐθάρρουν καὶ
πλήθει καὶ τόπῳ. Εἷς γὰρ αὐτὴν διεῖργε στενωπὸς
τὸ μὴ πᾶσαν νῆσον γενέσθαι· ἦν δὲ σταδίου μὲν τὸ
μέγεθος, τὸ δὲ πλάτος ὀργυιῶν δώδεκα· λίμναι δὲ
τῇδε κἀκεῖσε τὴν πόλιν περιέρρεον.
13 Ἐπεὶ τοίνυν ἑώρων τὸν στρατηγὸν προσπελά-

ξοντα, τεχνάζονταί τι τοιοῦτον. Συναγαγόντες πάντας τοὺς γέροντας καὶ ἐπιθέντες αὐτοῖς ἱκετηρίας ῥάβδους φοινικίνας, ὄπισθεν ἐπιτάττουσι τῶν νέων τοὺς ἀκμαιοτάτους ἀσπίσι καὶ λόγχαις ὡπλισμένους.
5 Ἔμελλον δὲ οἱ μὲν γέροντες ἀνίσχοντες τὰς ἱκετηρίας 2
πετάλων κόμαις καλύψειν τοὺς ὄπισθεν, οἱ δὲ ἑπόμενοι τὰς λόγχας ἐπισυρεῖν ὑπτίας, ὡς ἂν ἥκιστα ὀφθεῖεν. Κἂν μὲν ὁ στρατηγὸς πεισθῇ ταῖς τῶν γερόντων λιταῖς, μηδέν τι νεωτερίζειν τοὺς λογχοφό-
10 ρους εἰς μάχην· εἰ δὲ μή, καλεῖν αὐτὸν ἐπὶ τὴν πόλιν, 3
ὡς σφᾶς αὐτοὺς διδόντων εἰς θάνατον. Ὅταν δὲ ἐν μέσῳ γένωνται τῷ στενωπῷ, τοὺς μὲν γέροντας ἀπὸ συνθήματος διαδιδράσκειν καὶ ῥίπτειν τὰς ἱκετηρίας, τοὺς δὲ ὡπλισμένους προδραμόντας ὅ τι καὶ δύναιντο
15 ποιεῖν. Παρῆσαν οὖν ἐσκευασμένοι τοῦτον τὸν τρό- 4
πον καὶ ἐδέοντο τοῦ στρατηγοῦ αἰδεσθῆναι μὲν αὐτῶν τὸ γῆρας, αἰδεσθῆναι δὲ τὰς ἱκετηρίας, ἐλεῆσαι δὲ τὴν πόλιν· ἐδίδοσαν δὲ αὐτῷ ἰδίᾳ μὲν ἀργυρίου τάλαντα ἑκατόν, πρὸς δὲ τὸν σατράπην ἄγειν ἄνδρας
20 ἑκατὸν θέλοντας αὐτοὺς ὑπὲρ τῆς πόλεως διδόναι, 5
ὡς ἂν ἔχοι καὶ πρὸς ἐκεῖνον λάφυρον φέρειν. Καὶ ὁ λόγος αὐτοῖς οὐκ ἐψεύδετο, ἀλλ' ἔδωκαν ἄν, εἰ λαβεῖν ἠθέλησεν. Ὡς δὲ οὐ προσίετο τοὺς λόγους, "οὐκοῦν" ἔφασαν οἱ γέροντες "εἰ ταῦτά σοι δέδοκται,
25 οἴσομεν τὴν εἱμαρμένην. Ἐν κακοῖς σὺ πάρασχε τὴν 6
χάριν· μὴ ἔξω φονεύσῃς πυλῶν μηδὲ τῆς πόλεως μακράν, ἀλλ' ἐπὶ τὴν πατρῴαν γῆν, ἐπὶ τὴν τῆς γενέσεως ἑστίαν ἄγε· τάφον ἡμῖν ποίησον τὴν πόλιν. Ἰδού σοι πρὸς τὸν θάνατον ἡγούμεθα." Ταῦτα ἀκού-
30 σας ὁ στρατηγὸς τὴν μὲν παρασκευὴν τῆς μάχης ἀφίησι, κελεύει δὲ ἔρχεσθαι καθ' ἡσυχίαν τῷ στρατῷ.

14 Ἦσαν δὲ τῶν πραττομένων σκοποὶ πόρρωθεν,
οὓς οἱ βουκόλοι προκαθίσαντες ἐκέλευον, εἰ διαβαί-
νοντας ἴδοιεν τοὺς πολεμίους, τὸ χῶμα τοῦ ποταμοῦ
κόψαντας ἐπαφεῖναι τὸ ὕδωρ πᾶν τοῖς ἐναντίοις.
2 Ἔχει γὰρ οὕτω τὰ τοῦ Νείλου ῥεύματα. Καθ' ἑκά- 5
στην διώρυχα χῶμα ἔχουσιν Αἰγύπτιοι, ὡς ἂν μὴ
πρὸ καιροῦ τῆς χρείας ὑπερέχων ὁ Νεῖλος τὴν γῆν
ἐπικλύσῃ. Ὅταν δὲ δεηθῶσιν ἀρδεῦσαι τὸ πεδίον,
ἀνέῳξαν ὀλίγον τοῦ χώματος. Ἦν οὖν τῆς κώμης
ὄπισθεν διῶρυξ τοῦ ποταμοῦ μεγάλη καὶ πλατεῖα. 10
3 Ταύτῃ οἱ τεταγμένοι τὸ ἔργον ὡς εἶδον εἰσιόντας
τοὺς πολεμίους, διακόπτουσι ταχὺ τὸ χῶμα. Πάντα
οὖν ὁμοῦ γίνεται· οἱ μὲν γέροντες οἱ κατὰ πρόσ-
ωπον ἄφνω διίστανται, οἱ δὲ τὰς λόγχας ἐγείραντες
ἐκτρέχουσι· τὸ δὲ ὕδωρ ἤδη παρῆν, καὶ ὠγκοῦντο 15
μὲν αἱ λίμναι πάντοθεν οἰδοῦσαι, ὁ δὲ ἰσθμὸς ἐπε-
4 κλύζετο, πάντα δὲ ἦν ὥσπερ θάλασσα. Ἐμπεσόντες
οὖν οἱ βουκόλοι τοὺς μὲν κατὰ πρόσωπον καὶ τὸν
στρατηγὸν αὐτὸν διαπείρουσι ταῖς λόγχαις, ἀπαρα-
σκεύους τε ὄντας καὶ πρὸς τὸ ἀδόκητον τεταραγμέ- 20
5 νους· τῶν δ' ἄλλων ἀδιήγητος [ὁ] θάνατος ἦν. Οἱ μὲν
γὰρ εὐθὺς ἐκ πρώτης προσβολῆς μηδὲ κινήσαντες τὰς
αἰχμὰς ἀπώλλυντο, οἱ δὲ οὐ λαβόντες σχολὴν ἀμύνα-
σθαι· ἅμα γὰρ ἐμάνθανον καὶ ἔπασχον· ἐνίους δὲ ἔ-
φθανε τὸ παθεῖν πρὸ τοῦ μαθεῖν· οἱ δὲ ὑπ' ἐκπλήξεως 25
[τοῦ] παραλόγου τὸν θάνατον εἱστήκεσαν περιμένον-
τες· οἱ δὲ καὶ κινηθέντες μόνον κατωλίσθανον ὑπο-
σκελίζοντος αὐτοὺς τοῦ ποταμοῦ· οἱ δὲ καὶ φεύγειν ὁρ-
μήσαντες εἰς τὸ βαθὺ τῆς λίμνης ἐγκυλισθέντες ὑπε-
6 σύρησαν. Τῶν μὲν γὰρ ἐπὶ τῆς γῆς ἑστώτων τὸ ὕδωρ 30

---

12 post χῶμα: τοῦ ποταμοῦ

ἦν ἄχρις ὀμφαλοῦ, ὥστε καὶ ἀνέκρουεν αὐτῶν τὰς ἀσπίδας καὶ ἐγύμνου πρὸς τὰ τραύματα τὰς γαστέρας· τὸ δὲ κατὰ τὴν λίμνην ὕδωρ πάντη ὑπὲρ κεφαλὴν ἀνδρὸς ἦν. Διακρῖναι δ' οὐκ ἦν τί λίμνη καὶ τί πεδίον, ἀλλὰ καὶ ὁ διὰ τῆς γῆς τρέχων δέει τοῦ μὴ διαμαρτεῖν βραδύτερος ἦν πρὸς τὴν φυγήν, ὥστε ταχέως ἡλίσκετο, καὶ ὁ κατὰ τῆς λίμνης πλανηθείς, δόξας γῆν εἶναι, κατεδύετο. Καὶ ἦν καινὰ ἀτυχήματα, ναυάγια τοσαῦτα, καὶ ναῦς οὐδαμοῦ· ἀμφότερα δὲ καινὰ καὶ παράλογα, ἐν ὕδατι πεζομαχία, καὶ ἐν τῇ γῇ ναυαγία. Οἱ μὲν δὴ τοῖς πεπραγμένοις ἐπαρθέντες μέγα ἐφρόνουν, ἀνδρείᾳ νομίζοντες κεκρατηκέναι καὶ οὐκ ἀπάτης κλοπῇ. Ἀνὴρ γὰρ Αἰγύπτιος καὶ τὸ δειλὸν ὅπου φοβεῖται δεδούλωται, καὶ τὸ μάχιμον ἐν οἷς θαρρεῖ παρώξυνται· ἀμφότερα δὲ οὐ κατὰ μέτρον, ἀλλὰ τὸ μὲν ἀσθενέστερον δυστυχεῖ, τὸ δὲ προπετέστερον κρατεῖ.

Δέκα δὲ τῇ Λευκίππῃ διεληλύθεσαν ἡμέραι τῆς μανίας, ἡ δὲ νόσος οὐκ ἐκουφίζετο. Ἅπαξ οὖν ποτε καθεύδουσα, ταύτην ἀφίησιν ὀνειροπολουμένη τὴν φωνὴν "διὰ σὲ μαίνομαι, Γοργία." Ἐπεὶ οὖν ἕως ἐγένετο, λέγω τῷ Μενελάῳ τὸ λεχθὲν καὶ ἐσκόπουν εἴ τις εἴη που κατὰ τὴν κώμην Γοργίας. Προελθοῦσι δ' ἡμῖν νεανίσκος προσέρχεταί τις καὶ προσαγορεύσας με "σωτὴρ ἥκω σὸς" ἔφη "καὶ τῆς σῆς γυναικός." Ἐκπλαγεὶς οὖν καὶ θεόπεμπτον εἶναι νομίσας τὸν ἄνθρωπον "μὴ Γοργίας" εἶπον "τυγχάνεις;" "Οὐ μὲν οὖν" εἶπεν "ἀλλὰ Χαιρέας· Γοργίας γάρ σε ἀπολώλεκεν." Ἔτι μᾶλλον ἔφριξα καὶ λέγω "τίνα ταύτην ἀπώλειαν, καὶ τίς ἐστιν ὁ Γοργίας; δαίμων γάρ μοί τις αὐτὸν ἐμήνυσε νύκτωρ· σὺ δὲ ἐξηγητὴς γενοῦ τῶν θείων μηνυμάτων." "Γοργίας ἦν μὲν" ἔφη

"Αἰγύπτιος στρατιώτης· νῦν δὲ οὐκέτ' ἔστιν, ἀλλ' ἔργον γέγονε τῶν βουκόλων· ἥρα δὲ τῆς σῆς γυναι-
4 κός. Ὧν δὲ φύσει φαρμακεὺς σκευάζει τι φάρμακον ἔρωτος καὶ πείθει τὸν διακονούμενον ὑμῖν Αἰγύπτιον λαβεῖν τὸ φάρμακον καὶ ἐγκαταμίξαι τῷ τῆς 5
Λευκίππης ποτῷ. Λανθάνει δὲ ἀκράτῳ χρησάμενος τῷ φαρμάκῳ, καὶ τὸ φίλτρον εἰς μανίαν αἴρεται.
5 Ταῦτα γάρ μοι χθὲς ὁ τοῦ Γοργίου Θεράπων διηγήσατο, ὃς ἔτυχεν αὐτῷ συστρατευσάμενος ἐπὶ τοὺς βουκόλους· ἔσωσε δὲ αὐτόν, ὡς εἰκός, ὑπὲρ ὑμῶν 10
ἡ Τύχη. Αἰτεῖ δὲ χρυσοῦς τέτταρας ὑπὲρ τῆς ἰάσεως· ἔχει γάρ, φησίν, ἑτέρου φαρμάκου σκευήν, δι' οὗ
6 λύσει τὸ πρότερον." "Ἀλλὰ σοὶ μὲν" ἔφην "ἀγαθὰ γένοιτο τῆς διακονίας· τὸν δ' ἄνθρωπον, ὃν λέγεις, ἄγε πρὸς ἡμᾶς." Καὶ ὁ μὲν ἀπῆλθεν, ἐγὼ δὲ πρὸς 15
τὸν Αἰγύπτιον εἰσελθὼν τύπτω αὐτὸν πυξ κατὰ τῶν προσώπων καὶ δευτέραν καὶ τρίτην, θορυβῶν δὲ ἅμα λέγω "εἰπόν, τί δέδωκας Λευκίππῃ, καὶ πόθεν μαίνεται;" ὁ δὲ φοβηθεὶς καταλέγει πάντα, ὅσα ἡμῖν ὁ Χαιρέας διηγήσατο. Τὸν μὲν οὖν εἴχομεν 20
ἐν φυλακῇ καθείρξαντες.

16 Κἀν τούτῳ παρῆν ὁ Χαιρέας, ἄγων τὸν ἄνθρωπον. Λέγω οὖν πρὸς ἀμφοτέρους "τοὺς μὲν τέτταρας χρυσοῦς ἤδη λάβετε μισθὸν ἀγαθῆς μηνύσεως· ἀκούσατε δὲ ὡς ἔχω περὶ τοῦ φαρμάκου. Ὁρᾶτε ὡς 25
καὶ τῶν παρόντων τῇ γυναικὶ κακῶν αἴτιον γέγονε
2 φάρμακον. Οὐκ ἀκίνδυνον δὲ ἐπιφαρμάσσειν τὰ σπλάγχνα ἤδη πεφαρμαγμένα. Φέρε εἰπατε ὅ τι καὶ ἔχει τὸ φάρμακον τοῦτο, καὶ παρόντων ἡμῶν σκευά-
σατε· χρυσοῖ δὲ ὑμῖν ἄλλοι τέτταρες μισθός, ἂν οὕτω 30
3 ποιῆτε." Καὶ ὁ ἄνθρωπος "δίκαια" ἔφη "φοβῇ· τὰ δὲ ἐμβαλλόμενα κοινὰ καὶ πάντα ἐδώδιμα· αὐτὸς δὲ

τούτων ἀπογεύσομαι τοσοῦτον, ὅσον κἀκείνη λάβῃ." Καὶ ἅμα κελεύει τινὰ πριάμενον κομίζειν, ἕκαστον εἰπών. Ὡς δὲ ταχὺ μὲν ἐκομίσθη, παρόντων δ' ἡμῶν συνέτριψε πάντα ὁμοῦ, δίχα διελὼν "τὸ μὲν αὐτὸς" ἔφη "πίομαι πρῶτος, τὸ δὲ δώσω τῇ γυναικί. Κοιμήσεται δὲ πάντως δι' ὅλης τῆς νυκτὸς λαβοῦσα· περὶ δὲ τὴν ἕω καὶ τὸν ὕπνον καὶ τὴν νόσδν ἀπώσεται." Λαμβάνει δὴ τοῦ φαρμάκου πρῶτος αὐτός, τὸ δὲ λοιπὸν κελεύει περὶ τὴν ἑσπέραν δοῦναι πιεῖν. "Ἐγὼ δὲ ἄπειμι" ἔφη "κοιμησόμενος· τὸ γὰρ φάρμακον οὕτω βούλεται." Ταῦτα εἰπὼν ἀπῆλθε, τοὺς τέτταρας χρυσοῦς παρ' ἐμοῦ λαβών. "Τοὺς δὲ λοιποὺς" ἔφην "δώσω, εἰ ῥαΐσει ἐκ τῆς νόσου."

Ἐπεὶ οὖν καιρὸς ἦν αὐτῇ πιεῖν τὸ φάρμακον, ἐγχέας προσηυχόμην αὐτῷ "ὦ γῆς τέκνον, φάρμακον, ὦ δῶρον Ἀσκληπιοῦ, ἀλήθευσόν σου τὰ ἐπαγγέλματα· εὐτυχέστερον ἐμοῦ γενοῦ καὶ σῶζέ μοι τὴν φιλτάτην. Νίκησον τὸ φάρμακον ἐκεῖνο τὸ βάρβαρον καὶ ἄγριον." Ταῦτα δοὺς τῷ φαρμάκῳ τὰ συνθήματα καὶ καταφιλήσας τὸ ἔκπωμα δίδωμι τῇ Λευκίππῃ πιεῖν· ἡ δέ, ὡς ὁ ἄνθρωπος εἶπε, μετὰ μικρὸν ἔκειτο καθεύδουσα. Κἀγὼ παρακαθήμενος ἔλεγον πρὸς αὐτὴν ὡς ἀκούουσαν "ἆρά μοι σωφρονήσεις ἀληθῶς; ἆρά μέ ποτε γνωριεῖς; ἆρά σου τὴν φωνὴν ἐκείνην ἀπολήψομαι; μάντευσαί τι καὶ νῦν καθεύδουσα· καὶ γὰρ χθὲς τοῦ Γοργίου κατεμαντεύσω δικαίως. Εὐτυχεῖς ἄρα μᾶλλον κοιμωμένη· γρηγοροῦσα μὲν γὰρ μανίαν δυστυχεῖς, τὰ δὲ ἐνύπνιά σου σωφρονεῖ." Ταῦτά μου διαλεγομένου ὡς πρὸς ἀκούουσαν Λευκίππην, μόλις ἡ πολύευκτος ἕως ἀναφαίνεται, καὶ ἡ Λευκίππη φθέγγεται, καὶ ἦν ἡ φωνὴ "Κλειτοφῶν." Ἀναπηδήσας οὖν πρόσειμί τε

αὐτῇ καὶ πυνθάνομαι πῶς ἔχει· ἡ δὲ ἐώκει μὲν μηδὲν ὧν ἔπραξεν ἐγνωκέναι, τὰ δεσμὰ δὲ ἰδοῦσα ἐθαύμαζε καὶ ἐπυνθάνετο τίς ὁ δήσας εἴη. Ἐγὼ δὲ ἰδὼν σωφρονοῦσαν ὑπὸ πολλῆς χαρᾶς ἔλυον μὲν μετὰ θορύβου τὰ δεσμά, μετὰ ταῦτα δὲ ἤδη τὸ πᾶν αὐτῇ διηγοῦμαι· ἡ δὲ ᾐσχύνετο ἀκροωμένη καὶ ἠρυθρία καὶ ἐνόμιζε τότε αὐτὰ ποιεῖν. Τὴν μὲν οὖν ἀνελάμβανον παραμυθούμενος, τοῦ δὲ φαρμάκου τὸν μισθὸν ἀποδίδωμι μάλα ἄσμενος. Ἦν δὲ τὸ πᾶν ἡμῖν ἐφόδιον σῶον· ὁ γὰρ Σάτυρος ἔτυχεν ἐξωσμένος ὅτε ἐναυαγήσαμεν, οὐκ ἀφῄρητο δὲ ὑπὸ τῶν λῃστῶν οὔτε αὐτὸς οὔτε ὁ Μενέλαος οὐδὲν ὧν εἶχεν.

18 Ἐν τούτῳ δὲ καὶ τοὺς λῃστὰς ἐπελθοῦσα δύναμις μείζων ἀπὸ τῆς μητροπόλεως παρεστήσατο καὶ πᾶσαν αὐτῶν εἰς ἔδαφος κατέστρεψε τὴν πόλιν. Ἐλευθερωθέντος δὲ τοῦ ποταμοῦ τῆς τῶν βουκόλων ὕβρεως, παρεσκευαζόμεθα τὸν ἐπὶ τὴν Ἀλεξάνδρειαν πλοῦν. Συνέπλει δὲ ἡμῖν καὶ ὁ Χαιρέας, φίλος ἤδη
2 γενόμενος ἐκ τῆς τοῦ φαρμάκου μηνύσεως. Ἦν δὲ τὸ μὲν γένος ἐκ τῆς νήσου τῆς Φάρου, τὴν δὲ τέχνην ἁλιεύς, ἐστρατεύετο δὲ μισθοῦ κατὰ τῶν βουκόλων τὴν ἐν ταῖς ναυσὶ στρατείαν, ὥστε μετὰ τὸν πόλεμον
3 τῆς στρατείας ἀπήλλακτο. Ἦν οὖν ἐξ ἁπλοίας μακρᾶς πλεόντων πάντα μεστὰ καὶ πολλή τις ὄψεως ἡδονή, ναυτῶν ᾠδή, πλωτήρων κρότος, χορεία νεῶν, καὶ ἦν ἅπας ὁ ποταμὸς ἑορτή· ἐώκει δὲ ὁ πλοῦς κωμάζοντι ποταμῷ. Ἔπινον δὲ καὶ τοῦ Νείλου τότε πρῶτον ἄνευ τῆς πρὸς οἶνον ὁμιλίας, κρῖναι θέλων τοῦ πώματος τὴν ἡδονήν· οἶνος γὰρ φύσεως ὕδατος κλο-
4 πή. Ἀρυσάμενος οὖν ὑάλου τῆς διαφανοῦς κύλικα, τὸ ὕδωρ ἑώρων ὑπὸ λευκότητος πρὸς τὸ ἔκπωμα ἀμιλλώμενον καὶ τὸ ἔκπωμα νικώμενον· γλυκὺ δὲ

πινόμενον ἦν καὶ ψυχρὸν ἐν μέτρῳ τῆς ἡδονῆς· οἶδα γὰρ ἐνίους τῶν παρ' Ἕλλησι ποταμῶν καὶ τιτρώσκοντας τούτῳ· συνέκρινον αὐτοὺς τῷ ποταμῷ. Διὰ τοῦτο αὐτὸν ἄκρατον ὁ Αἰγύπτιος πίνων οὐ φοβεῖται, Διονύσου μὴ δεόμενος. Ἐθαύμασα δὲ αὐτῶν καὶ τὸν τρόπον τοῦ ποτοῦ. Οὔτε γὰρ ἀρύσαντες πίνειν ἐθέλουσιν οὔτε ἐκπωμάτων ἀνέχονται, ἔκπωμα αὐτουργὸν ἔχοντες· ἔκπωμα γὰρ αὐτοῖς ἐστιν ἡ χείρ. Εἰ γάρ τις αὐτῶν διψήσειε πλέων, προκύψας ἐκ τῆς νεὼς τὸ μὲν πρόσωπον ἐς τὸν ποταμὸν προβέβληκε, τὴν δὲ χεῖρα εἰς τὸ ὕδωρ καθῆκε καὶ κοίλην βαπτίσας καὶ πλησάμενος ὕδατος ἀκοντίζει κατὰ τοῦ στόματος τὸ πῶμα καὶ τυγχάνει τοῦ σκοποῦ· τὸ δὲ κεχηνὸς περιμένει τὴν βολὴν καὶ δέχεται καὶ κλείεται καὶ οὐκ ἐᾷ τὸ ὕδωρ αὖθις ἔξω πεσεῖν.

Εἶδον δὲ καὶ ἄλλο θηρίον τοῦ Νείλου ὑπὲρ τὸν ἵππον τὸν ποτάμιον εἰς ἀλκὴν ἐπαινούμενον, κροκόδειλος δὲ ὄνομα ἦν αὐτῷ· παρήλλακτο δὲ τὴν μορφὴν εἰς ἰχθὺν ὁμοῦ καὶ θηρίον. Μέγας μὲν γὰρ ἐκ κεφαλῆς ἐς οὐράν, τὸ δὲ εὖρος τοῦ μεγέθους οὐ κατὰ λόγον. Δορὰ μὲν φολίσι ῥυσή, τεφραία δὲ τῶν νώτων ἡ χρόα [καὶ μέλαινα]· ἡ γαστὴρ δὲ λευκή· πόδες τέτταρες εἰς τὸ πλάγιον ἠρέμα κυρτούμενοι, καθάπερ χερσαίας χελώνης· οὐρὰ μακρὰ καὶ παχεῖα καὶ ἐοικυῖα στερεῷ σώματι. Οὐ γὰρ ὡς τοῖς ἄλλοις ἐπίκειται θηρίοις, ἀλλ' ἔστι τῆς ῥάχεως ἓν ὀστοῦν τελευτὴ καὶ μέρος αὐτοῦ τῶν ὅλων. Ἐντέτμηται δὲ ἄνωθεν εἰς ἀκάνθας ἀναιδεῖς, οἷαι τῶν πριόνων εἰσὶν αἱ αἰχμαί. Αὕτη δὲ αὐτῷ καὶ μάστιξ ἐπὶ τῆς ἄγρας γίνεται· τύπτει γὰρ αὐτῇ πρὸς οὓς ἂν διαπαλαίῃ καὶ πολλὰ ποιεῖ τραύματα πληγῇ μιᾷ. Κεφαλὴ δὲ αὐτῷ τοῖς νώτοις συννυφαίνεται καὶ εἰς μίαν στάθμην ἰθύνεται

(ἔκλεψε γὰρ αὐτοῦ τὴν δέρην ἡ φύσις), ἔστι δὲ τοῦ λοιποῦ βλοσυρωτέρα σώματος καὶ ἐπὶ πλεῖστον ἐπὶ
5 τὰς γένυς ἐκτείνεται καὶ ἀνοίγεται πᾶσα. Τὸν μὲν γὰρ ἄλλον χρόνον, παρ' ὅσον οὐ κέχηνε τὸ θηρίον, ἔστι κεφαλή· ὅταν δὲ χάνῃ πρὸς τὰς ἄγρας, ὅλον 5
στόμα γίνεται. Ἀνοίγει δὲ τὴν γένυν τὴν ἄνω, τὴν δὲ κάτω στερεὰν ἔχει· καὶ ἀπόστασίς ἐστι πολλή, καὶ μέχρι τῶν ὤμων τὸ χάσμα, καὶ εὐθὺς ἡ γαστήρ.
6 Ὀδόντες δὲ πολλοὶ καὶ ἐπὶ πλεῖστον τεταγμένοι. Φασὶ δὲ ὅτι τὸν ἀριθμὸν τυγχάνουσιν ὅσας ὁ θεὸς 10
εἰς ὅλον ἔτος ἀναλάμπει τὰς ἡμέρας· τοσοῦτον σπόρον φέρει [τὸ] τῶν γενύων πεδίον. Ἂν δ' ἐκπεράσῃ πρὸς τὴν γῆν, ὅσον ἔχει δυνάμεως [οὐκ] ἀπιστήσεις, ἰδὼν τὴν τοῦ σώματος ὁλκήν.

E

Τριῶν δὲ πλεύσαντες ἡμερῶν εἰς Ἀλεξάνδρειαν 15
ἤλθομεν. Ἀνιόντι δέ μοι κατὰ τὰς Ἡλίου καλουμένας πύλας, συνηντᾶτο εὐθὺς τῆς πόλεως ἀστράπτον τὸ κάλλος, καί μου τοὺς ὀφθαλμοὺς ἐγέμισεν ἡδονῆς.
2 Στάθμη μὲν κιόνων ὄρθιος ἑκατέρωθεν ἐκ τῶν Ἡλίου πυλῶν εἰς τὰς Σελήνης πύλας· οὗτοι γὰρ τῆς 20
πόλεως οἱ πυλωροί· ἐν μέσῳ δὲ τῶν κιόνων τῆς πό-
3 λεως τὸ πεδίον. Ὁδὸς δὲ διὰ τοῦ πεδίου πολλὴ καὶ ἔνδημος ἀποδημία. Ὀλίγους δὲ τῆς πόλεως σταδίους προελθὼν ἦλθον εἰς τὸν ἐπώνυμον Ἀλεξάνδρου τόπον. Εἶδον δὲ ἐντεῦθεν ἄλλην πόλιν καὶ σχιζόμενον 25
4 ταύτῃ τὸ κάλλος. Ὅσος γὰρ κιόνων ὄρχατος εἰς τὴν εὐθυωρίαν, τοσοῦτος ἕτερος εἰς τὰ ἐγκάρσια. Ἐγὼ

δὲ μερίζων τοὺς ὀφθαλμοὺς εἰς πάσας τὰς ἀγυιὰς θεατὴς ἀκόρεστος ἦμην καὶ τὸ κάλλος ὅλως οὐκ ἐξήρκουν ἰδεῖν. Τὰ μὲν ἔβλεπον, τὰ δὲ ἔμελλον, τὰ δὲ ἠπειγόμην ἰδεῖν, τὰ δὲ οὐκ ἤθελον παρελθεῖν· ἐκράτει τὴν θέαν τὰ ὁρώμενα, εἶλκε τὰ προσδοκώμενα. Περιάγων οὖν ἐμαυτὸν εἰς πάσας τὰς ἀγυιὰς καὶ πρὸς τὴν ὄψιν δυσερωτιῶν εἶπον καμὼν "ὀφθαλμοί, νενικήμεθα." Εἶδον δὲ δύο καινὰ καὶ παράλογα, μεγέθους πρὸς κάλλος ἅμιλλαν καὶ δήμου πρὸς πόλιν φιλονεικίαν, καὶ ἀμφότερα νικῶντα. Ἡ μὲν γὰρ ἠπείρου μείζων ἦν, ὁ δὲ πλείων ἔθνους· καὶ εἰ μὲν εἰς τὴν πόλιν ἀπεῖδον, ἠπίστουν εἰ πληρώσει τις δῆμος αὐτὴν ἀνδρῶν, εἰ δὲ [εἰς] τὸν δῆμον ἐθεασάμην, ἐθαύμαζον εἰ χωρήσει τις αὐτὸν πόλις. Τοιαύτη τις ἦν ἰσότητος τρυτάνη. 5 6

Ἦν δέ πως κατὰ δαίμονα ἱερομηνία τοῦ μεγάλου θεοῦ, ὃν Δία μὲν Ἕλληνες, Σέραπιν δὲ καλοῦσιν Αἰγύπτιοι. Ἦν δὲ καὶ πυρὸς δαδουχία· καὶ τοῦτο μέγιστον ἐθεασάμην. Ἑσπέρα μὲν γὰρ ἦν καὶ ὁ ἥλιος κατεδύετο καὶ νὺξ ἦν οὐδαμοῦ, ἀλλὰ ἄλλος ἀνέτελλεν ἥλιος κατακερματίζων. Τότε γὰρ εἶδον πόλιν ἐρίζουσαν περὶ κάλλους οὐρανῷ. Ἐθεασάμην δὲ καὶ τὸν Μειλίχιον Δία καὶ τὸν Διὸς Οὐρανίου νεών. Προσευξάμενοι δὴ τῷ μεγάλῳ θεῷ καὶ ἱκετεύσαντες στῆσαι ἡμῖν ποτε τὰ δεινά, εἰς τὴν καταγωγὴν ἤλθομεν, ἣν ἔτυχεν ὁ Μενέλαος ἡμῖν μεμισθωμένος. Οὐκ ἐῴκει δὲ ἄρα ὁ θεὸς ἐπινεύειν ταῖς ἡμετέραις εὐχαῖς, ἀλλ' ἔμενεν ἡμᾶς καὶ ἄλλο τῆς Τύχης γυμνάσιον. 2 2 3

Ὁ γὰρ Χαιρέας πρὸ πολλοῦ τῆς Λευκίππης ἐλάθανεν ἐρῶν καὶ διὰ τοῦτο μεμηνύκει τὸ φάρμακον, ἅμα μὲν ἀφορμὴν οἰκειότητος ἑαυτῷ θηρώμενος, ἅμα δὲ καὶ ἑαυτῷ σώζων τὴν κόρην. Εἰδὼς οὖν ἀμήχανον 3 2

τὸ τυχεῖν, συντίθησιν ἐπιβουλήν, λῃστῶν ὁμοτέχνων
[χεῖρα] συγκροτήσας, ἅτε θαλάσσιος ὢν ἄνθρωπος·
καὶ συνθέμενος αὐτοῖς ἃ δεῖ ποιεῖν, ἐπὶ ξένια ἡμᾶς
εἰς τὴν Φάρον καλεῖ, σκηψάμενος γενεθλίων ἄγειν
3 ἡμέραν. Ὡς οὖν προήλθομεν τῶν θυρῶν, οἰωνὸς
ἡμῖν γίνεται πονηρός· χελιδόνα κίρκος διώκων τὴν
Λευκίππην πατάσσει τῷ πτερῷ εἰς τὴν κεφαλήν.
Ταραχθεὶς οὖν ἐπὶ τούτῳ καὶ ἀνανεύσας εἰς οὐρανὸν
"ὦ Ζεῦ, τί τοῦτο" ἔφην "φαίνεις ἡμῖν τέρας; ἀλλ'
εἰ τῷ ὄντι σὸς ὄρνις οὗτος, ἄλλον ἡμῖν σαφέστερον
4 δεῖξον οἰωνόν." Μεταστραφεὶς οὖν (ἔτυχον γὰρ παρ-
εστὼς ἐργαστηρίῳ ζωγράφου) γραφὴν ὁρῶ κειμέ-
νην, ἥτις ὑπηνίττετο προσόμοιον. Φιλομήλας γὰρ
εἶχε φθορὰν καὶ τὴν βίαν Τηρέως καὶ τῆς γλώττης
τὴν τομήν. Ἦν δὲ ὁλόκληρον τὸ διήγημα τοῦ δράμα-
5 τος, ὁ πέπλος, ὁ Τηρεύς, ἡ τράπεζα. Τὸν πέπλον
ἡπλωμένον εἱστήκει κρατοῦσα θεράπαινα· Φιλομήλα
παρειστήκει καὶ ἐπετίθει τῷ πέπλῳ τὸν δάκτυλον
καὶ ἐδείκνυ τῶν ὑφασμάτων τὰς γραφάς· ἡ Πρόκνη
πρὸς τὴν δεῖξιν ἐνενεύκει καὶ δριμὺ ἔβλεπε καὶ ὠρ-
γίζετο· Θρᾷξ ὁ Τηρεὺς ἐνύφαντο Φιλομήλᾳ παλαίων
6 πάλην ἀφροδίσιον. Ἐσπάρακτο τὰς κόμας ἡ γυνή, τὸ
ζῶμα ἐλέλυτο, τὸν χιτῶνα κατέρρηκτο, ἡμίγυμνος τὸ
στέρνον ἦν, τὴν δεξιὰν ἐπὶ τοὺς ὀφθαλμοὺς ἤρειδε
τοῦ Τηρέως, τῇ λαιᾷ τὰ διερρωγότα τοῦ χιτῶνος ἐπὶ
τοὺς μαστοὺς εἶλκεν. [Ἐν] ἀγκάλαις εἶχε τὴν Φιλο-
μήλαν ὁ Τηρεύς, ἕλκων πρὸς ἑαυτὸν ὡς ἐνῆν τὸ σῶμα
7 καὶ σφίγγων ἐν χρῷ τὴν συμπλοκήν. Ὧδε μὲν τὴν
τοῦ πέπλου γραφὴν ὕφηνεν ὁ ζωγράφος· τὸ δὲ λοι-

---

15 post ὁλόκληρον: τῇ γραφῇ
21 post ὠργίζετο: τῇ γραφῇ

πὸν τῆς εἰκόνος· αἱ γυναῖκες ἐν κανῷ τὰ λείψανα τοῦ δείπνου τῷ Τηρεῖ δεικνύουσι, κεφαλὴν παιδίου καὶ χεῖρας, γελῶσι δὲ ἅμα καὶ φοβοῦνται. Ἀναπηδῶν ἐκ τῆς κλίνης ὁ Τηρεὺς ἐγέγραπτο καὶ ἕλκων τὸ ξίφος ἐπὶ τὰς γυναῖκας· τὸ σκέλος ἤρειδεν ἐπὶ τὴν τράπεζαν· ἡ δὲ οὔτε ἕστηκεν οὔτε πέπτωκεν, ἀλλ' ἐδείκνυ ῥοπὴν μέλλοντος πτώματος. 8

Λέγει οὖν ὁ Μενέλαος "ἐμοὶ δοκεῖ τὴν εἰς Φάρον ὁδὸν ἐπισχεῖν· ὁρᾷς γὰρ οὐκ ἀγαθὰ δύο σύμβολα, τό τε τοῦ ὄρνιθος καθ' ἡμῶν πτερὸν καὶ τῆς εἰκόνος τὴν ἀπειλήν. Λέγουσι δὲ οἱ τῶν συμβόλων ἐξηγηταὶ σκοπεῖν τοὺς μύθους τῶν εἰκόνων, ἂν ἐξιοῦσιν ἡμῖν ἐπὶ πρᾶξιν συντύχωσι, καὶ ἐξομοιοῦν τὸ ἀποβησόμενον τῷ τῆς ἱστορίας λόγῳ. Ὁρᾷς οὖν ὅσων γέμει κακῶν ἡ γραφή· ἔρωτος παρανόμου, μοιχείας ἀναισχύντου, γυναικείων ἀτυχημάτων· ὅθεν ἐπισχεῖν κελεύω τὴν ἔξοδον." Ἐδόκει μοι λέγειν εἰκότα, καὶ παραιτοῦμαι τὸν Χαιρέαν ἐκείνην τὴν ἡμέραν. Ὁ μὲν οὖν σφόδρα ἀνιώμενος ἀπηλλάττετο, φήσας αὔριον ἐφ' ἡμᾶς ἀφίξεσθαι. 4

Ἡ δὲ Λευκίππη λέγει πρός με (φιλόμυθον γάρ πως τὸ τῶν γυναικῶν γένος) "τί βούλεται τῆς εἰκόνος ὁ μῦθος καὶ τίνες αἱ ὄρνιθες αὗται καὶ τίνες αἱ γυναῖκες καὶ τίς ὁ ἀναιδὴς ἐκεῖνος ἀνήρ;" Κἀγὼ καταλέγειν ἄρχομαι "ἀηδὼν καὶ χελιδὼν καὶ ἔποψ· πάντες ἄνθρωποι καὶ πάντες ὄρνιθες. Ἔποψ ὁ ἀνήρ, αἱ δύο γυναῖκες Φιλομήλα χελιδὼν καὶ Πρόκνη ἀηδών. Πόλις αὐταῖς Ἀθῆναι. Τηρεὺς ὁ ἀνήρ· Πρόκνη Τηρέως γυνή. Βαρβάροις δέ, ὡς ἔοικεν, οὐχ ἱκανὴ πρὸς Ἀφροδίτην μία γυνή, μάλισθ' ὅταν αὐτοῖς καιρὸς διδῷ πρὸς ὕβριν τρυφᾶν. Καιρὸς οὖν γίνεται τῷ Θρᾳκὶ τούτῳ χρήσασθαι τῇ φύσει Πρόκνης ἡ φιλο- 5 2 3

στοργία· πέμπει γὰρ ἐπὶ τὴν ἀδελφὴν τὸν ἄνδρα τὸν Τηρέα. Ὁ δὲ ἀπῄει μὲν ἔτι Πρόκνης ἀνήρ, ἀναστρέφει δὲ Φιλομήλας ἐραστής, καὶ κατὰ τὴν ὁδὸν ἄλλην
4 αὐτῷ ποιεῖται τὴν Φιλομήλαν Πρόκνην. Τὴν γλῶτταν τῆς Φιλομήλας φοβεῖται, καὶ ἕδνα τῶν γάμων
5 αὐτῇ δίδωσι μηκέτι λαλεῖν καὶ κείρει τῆς φωνῆς τὸ ἄνθος. Ἀλλὰ πλέον ἤνυσεν οὐδέν· ἡ γὰρ Φιλομήλας τέχνη σιωπῶσαν εὗρηκε φωνήν. Ὑφαίνει γὰρ πέπλον ἄγγελον καὶ τὸ δρᾶμα πλέκει ταῖς κρόκαις, καὶ μιμεῖται τὴν γλῶτταν ἡ χεὶρ καὶ Πρόκνης τοῖς ὀφθαλμοῖς τὰ τῶν ὥτων μηνύει καὶ πρὸς αὐτὴν ἃ πέπονθε
6 τῇ κερκίδι λαλεῖ. Ἡ Πρόκνη τὴν βίαν ἀκούει παρὰ τοῦ πέπλου καὶ ἀμύνασθαι καθ' ὑπερβολὴν ζητεῖ τὸν ἄνδρα. Ὀργαὶ δὲ δύο καὶ δύο γυναῖκες εἰς ἓν πνέουσαι καὶ ὕβρει κεράσασαι τὴν ζηλοτυπίαν δεῖπνον ἐπι-
7 νοοῦσι τῶν γάμων ἀτυχέστερον. Τὸ δὲ δεῖπνον ἦν ὁ παῖς Τηρέως, οὗ μήτηρ μὲν ἦν πρὸ τῆς ὀργῆς ἡ Πρόκνη, τότε δὲ τῶν ᾠδίνων ἐπιλέληστο. Οὕτως αἱ τῆς ζηλοτυπίας ᾠδῖνες νικῶσι καὶ τὴν γαστέρα. Μόνον γὰρ ἐρῶσαι [αἱ] γυναῖκες ἀνιᾶσαι τὸν τὴν εὐνὴν λελυπηκότα, κἂν πάσχωσιν ἐν οἷς ποιοῦσιν οὐχ ἧττον κακόν, τὴν τοῦ πάσχειν λογίζονται συμφορὰν τῇ τοῦ
8 ποιεῖν ἡδονῇ. Ἐδείπνησεν ὁ Τηρεὺς δεῖπνον Ἐρινύων, αἱ δὲ ἐν κανῷ τὰ λείψανα τοῦ παιδίου παρέφερον, γελῶσαι φόβῳ. Ὁ Τηρεὺς ὁρᾷ τὰ λείψανα τοῦ παιδίου καὶ πενθεῖ τὴν τροφὴν καὶ ἐγνώρισεν ὧν τοῦ δείπνου πατήρ· γνωρίσας μαίνεται καὶ σπᾶται τὸ ξίφος καὶ ἐπὶ τὰς γυναῖκας τρέχει, ἃς δέχεται ὁ ἀήρ. Καὶ ὁ Τηρεὺς αὐταῖς συναναβαίνει καὶ ὄρνις γίνεται· καὶ τηροῦσιν ἔτι τοῦ πάθους τὴν εἰκόνα.
9 Φεύγει μὲν ἀηδών, διώκει δὲ ὁ Τηρεύς. Οὕτως ἐφύλαξε τὸ μῖσος καὶ μέχρι τῶν πτερῶν."

Τότε μὲν οὖν οὕτως ἐξεφύγομεν τὴν ἐπιβουλήν· 6
ἐκερδήσαμεν δὲ οὐδὲν ἢ μίαν ἡμέραν. Τῇ γὰρ ὑστεραίᾳ παρῆν ἔωθεν ὁ Χαιρέας, καὶ ἡμεῖς αἰδεσθέντες ἀντιλέγειν οὐκ εἴχομεν. Ἐπιβάντες οὖν σκάφους, ἤλθομεν εἰς τὴν Φάρον, ὁ δὲ Μενέλαος ἔμεινεν αὐτοῦ, φήσας οὐχ ὑγιῶς ἔχειν. Πρῶτον μὲν οὖν ἡμᾶς ὁ Χαι- 2
ρέας ἐπὶ τὸν πύργον ἄγει καὶ δείκνυσι τὴν κατασκευὴν θαυμασίαν τινὰ καὶ παράλογον. Ὄρος ἦν ἐν 3
μέσῃ τῇ θαλάσσῃ κείμενον, ψαῦον αὐτῶν τῶν νεφῶν, ὑπέρρει δὲ ὕδωρ κάτωθεν τοῦ ποιήματος· τὸ δὲ ἐπὶ θαλάσσης εἱστήκει κρεμάμενον· ἐς δὲ τὴν τοῦ ὄρους ἀκρόπολιν ὁ τῶν νεῶν κυβερνήτης ἀνέτελλεν ἥλιος. Μετὰ δὲ ταῦτα ἠγεῖτο ἡμῖν ἐπὶ τὴν οἰκίαν· ἦν δὲ ἐπ' ἐσχάτων τῆς νήσου κειμένη ἐπ' αὐτῇ τῇ θαλάσσῃ.

Ἑσπέρας οὖν γενομένης ὑπεξέρχεται μὲν ὁ Χαι- 7
ρέας, πρόφασιν ποιησάμενος τὴν γαστέρα. Μετὰ μικρὸν δὲ βοή τις ἐξαίφνης περὶ τὰς θύρας ἦν, καὶ εὐθὺς εἰστρέχουσιν ἄνθρωποι μεγάλοι καὶ πολλοί, μαχαίρας ἐσπασμένοι, καὶ ἐπὶ τὴν κόρην πάντες ὥρμησαν. Ἐγὼ δὲ ὡς εἶδον φερομένην μοι τὴν φιλτάτην, 2
οὐκ ἐνεγκὼν ἔμαι διὰ τῶν ξιφῶν· καί με παίει τις κατὰ τοῦ μηροῦ μαχαίρᾳ καὶ ὤκλασα. Ἐγὼ μὲν δὴ καταπεσὼν ἐρρεόμην αἵματι, οἱ δὲ ἐνθέμενοι τῷ σκάφει τὴν κόρην ἔφευγον. Θορύβου δὲ καὶ βοῆς οἷα ἐπὶ 3
λῃσταῖς γενομένης ὁ στρατηγὸς τῆς νήσου παρῆν· ἦν δέ μοι γνώριμος ἐκ τοῦ στρατοπέδου γενόμενος. Δείκνυω δὴ τὸ τραῦμα καὶ δέομαι διῶξαι τοὺς λῃστάς· ὥρμει δὲ πολλὰ πλοῖα ἐν τῇ πόλει. Τούτων ἑνὸς ἐπιβὰς ὁ στρατηγὸς ἐδίωκεν ἅμα τῇ παρούσῃ

---

8 post κατασκευήν: κάτωθεν
10 post κάτωθεν: αὐτοῦ

φρουρᾷ· κἀγὼ δὲ συνανέβην φοράδην κομισθείς.
4 Ὡς δὲ εἶδον οἱ λῃσταὶ προσιοῦσαν ἤδη τὴν ναῦν εἰς
ναυμαχίαν, ἱστᾶσιν ἐπὶ τοῦ καταστρώματος ὀπίσω τὼ
χεῖρε δεδεμένην τὴν κόρην, καί τις αὐτῶν μεγάλῃ τῇ
φωνῇ "ἰδοὺ τὸ ἆθλον ὑμῶν" εἰπὼν ἀποτέμνει αὐ- 5
τῆς τὴν κεφαλὴν καὶ τὸ λοιπὸν σῶμα ὠθεῖ κατὰ τῆς
5 θαλάσσης. Ἐγὼ δὲ ὡς εἶδον, ἀνέκραγον οἰμώξας καὶ
ὥρμησα ἐμαυτὸν ἐπαφεῖναι· ὡς δὲ οἱ παρόντες κατ-
έσχον, ἐδεόμην ἐπισχεῖν τε τὴν ναῦν καί τινα ἁλέ-
σθαι κατὰ τῆς θαλάττης, εἴ πως κἂν πρὸς ταφὴν λά- 10
6 βοιμι τῆς κόρης τὸ σῶμα. Καὶ ὁ στρατηγὸς πείθεται
καὶ ἵστησι τὴν ναῦν· καὶ δύο τῶν ναυτῶν ἀκοντίζου-
σιν ἑαυτοὺς ἔξω τῆς νεὼς καὶ ἁρπάσαντες τὸ σῶμα
ἀναφέρουσιν. Ἐν τούτῳ δὲ οἱ λῃσταὶ μᾶλλον ἐρρω-
μενέστερον ἤλαυνον· ὡς δὲ ἦμεν πάλιν πλησίον, 15
ὁρῶσιν οἱ λῃσταὶ ναῦν ἑτέραν καὶ γνωρίσαντες ἐκά-
λουν πρὸς βοήθειαν· πορφυρεῖς δὲ ἦσαν πειρατικοί.
7 Ἰδὼν δὲ ὁ στρατηγὸς δύο ναῦς ἤδη γενομένας ἐφο-
βήθη καὶ πρύμναν ἐκρούετο· καὶ γὰρ οἱ πειραταὶ τοῦ
φυγεῖν ἀποτραπόμενοι προὐκαλοῦντο εἰς μάχην. 20
8 Ἐπεὶ δὲ ἀνεστρέψαμεν εἰς γῆν, ἀποβὰς τοῦ σκάφους
καὶ τῷ σώματι περιχυθεὶς ἔκλαον. "Νῦν μοι Λευ-
κίππη τέθνηκας ἀληθῶς θάνατον διπλοῦν, γῇ καὶ
θαλάττῃ διαιρούμενον· τὸ μὲν γὰρ λείψανον ἔχω
9 σου τοῦ σώματος, ἀπολώλεκα δὲ σέ. Οὐκ ἴση τῆς 25
θαλάττης πρὸς τὴν γῆν ἡ νομή· μικρόν μοί σου μέ-
ρος καταλέλειπται ἐν ὄψει τοῦ μείζονος· αὕτη δὲ ἐν
ὀλίγῳ τὸ πᾶν σου κρατεῖ. Ἀλλ' ἐπεί μοι τῶν ἐν τῷ
προσώπῳ φιλημάτων ἐφθόνησεν ἡ Τύχη, φέρε σου
καταφιλήσω τὴν σφαγήν." 30
8 Ταῦτα καταθρηνήσας καὶ θάψας τὸ σῶμα πάλιν
εἰς τὴν Ἀλεξάνδρειαν ἔρχομαι, καὶ θεραπευθεὶς ἄκων

τὸ τραῦμα, τοῦ Μενελάου με παρηγοροῦντος διεκαρτέρησα ζῶν. Καὶ ἤδη μοι γεγόνεσαν μῆνες ἕξ, καὶ τὸ 2
πολὺ τοῦ πένθους ἤρχετο μαραίνεσθαι (χρόνος γὰρ
λύπης φάρμακον καὶ πεπαίνει τῆς ψυχῆς τὰ ἕλκη·
μεστὸς γὰρ ἦλιος ἡδονῆς, καὶ τὸ λυπῆσαν πρὸς ὀλίγον, κἂν ᾖ καθ' ὑπερβολήν, ἀναζεῖ μὲν ἐφ' ὅσον ἡ
ψυχὴ κάεται, τῇ δὲ τῆς ἡμέρας ψυχαγωγίᾳ νικώμενον
καταψύχεται), καί μου τις κατόπιν βαδίζοντος ἐν ἀγορᾷ
τῆς χειρὸς ἄφνω λαβόμενος ἐπιστρέφει καὶ οὐδὲν εἰ-
πὼν περιπτυξάμενός με πολλὰ κατεφίλει. Ἐγὼ δὲ 3
τὸ μὲν πρῶτον οὐκ ἤδειν ὅστις ἦν, ἀλλ' εἱστήκειν
ἐκπεπληγμένος καὶ δεχόμενος τὰς προσβολὰς τῶν
ἀσπασμάτων, ὡς φιλημάτων σκοπός· ἐπεὶ δὲ μικρὸν
διέσχε, καὶ τὸ πρόσωπον εἶδον (Κλεινίας δὲ ἦν), ἀνα-
κραγὼν ὑπὸ χαρᾶς ἀντιπεριβάλλω τε αὐτὸν καὶ τὰς
αὐτὰς ἀπεδίδουν περιπλοκάς, καὶ μετὰ ταῦτα εἰς τὴν
καταγωγὴν ἀνήλθομεν τὴν ἐμήν. Καὶ ὁ μὲν τὰ αὑτοῦ
μοι διηγεῖτο, ὅπως ἐκ τῆς ναυαγίας περιεγένετο, ἐγὼ
δὲ τὰ περὶ τῆς Λευκίππης ἅπαντα.

"Εὐθὺς μὲν γὰρ" ἔφη "ῥαγείσης τῆς νεὼς ἐπὶ 9
τὸ κέρας ἦξα, καὶ ἄκρου λαβόμενος μόλις, ἀνδρῶν
ἤδη πεπληρωμένου, περιβαλὼν τὰς χεῖρας ἐπεχείρουν ἔχεσθαι παρακρεμάμενος. Ὀλίγον δὲ ἡμῶν ἐμπελαγισάντων, κῦμα μέγιστον ἆραν τὸ ξύλον προσρήγνυσιν ὄρθιον ὑφάλῳ πέτρᾳ κατὰ θάτερον, οὗ ἐγὼ
ἔτυχον κρεμάμενος. Τὸ δὲ προσαραχθὲν βίᾳ πάλιν 2
εἰς τοὐπίσω δίκην μηχανῆς ἀπεκρούετο καί με ὥσπερ
ἀπὸ σφενδόνης ἐξερρίπτησε. Τοὐντεῦθεν δὲ ἐνηχόμην τὸ ἐπίλοιπον τῆς ἡμέρας, οὐκέτι ἔχων ἐλπίδα
σωτηρίας. Ἤδη δὲ καμὼν καὶ ἀφεὶς ἐμαυτὸν τῇ τύχῃ 3
ναῦν ὁρῶ κατὰ πρόσωπον φερομένην, καὶ τὰς χεῖρας
ἀνασχών, ὃν ἠδυνάμην τρόπον, ἱκετηρίαν ἐθέμην

τοῖς νεύμασιν. Οἱ δὲ εἴτε ἐλεήσαντες, εἴτε καὶ τὸ πνεῦμα αὐτοὺς κατήγαγεν, ἔρχονται κατ' ἐμέ, καί τις τῶν ναυτῶν πέμπει μοι κάλων ἅμα τῆς νεὼς παραθεούσης· κἀγὼ μὲν ἐλαβόμην, οἱ δὲ ἐφείλκυσάν με ἐξ αὐτῶν τῶν τοῦ θανάτου πυλῶν. Ἔπλει δὲ τὸ πλοῖον εἰς Σιδῶνα· καί μέ τινες γνωρίσαντες ἐθεράπευσαν.

10 Δύο δὲ πλεύσαντες ἡμέρας ἐπὶ τὴν πόλιν ἥκομεν, καὶ δέομαι τῶν ἐν τῷ πλοίῳ Σιδωνίων (Ξενοδάμας δὲ ὁ ἔμπορος ἦν καὶ Θεόφιλος ὁ τούτου πενθερὸς) μηδενὶ Τυρίων, εἰ περιτύχοιεν, κατειπεῖν ὡς ἐκ ναυαγίας περιγενοίμην, ὡς ἂν μὴ μάθοιεν συν-
2 αποδεδημηκότα. Ἤλπιζον γὰρ λήσειν, εἰ τὰ ἀπὸ τούτων ἐν ἡσυχίᾳ γένοιτο, πέντε μόνον ἡμερῶν μοι μεταξὺ γενομένων, αἷς οὐκ ἔτυχον ὀφθείς· τοῖς δὲ κατὰ τὴν οἰκίαν τὴν ἐμήν, ὡς οἶδας, προηγορεύκειν [λέγειν] τοῖς πυνθανομένοις, εἰς κώμην ἀποδεδημη-
3 κέναι μέχρι δέκα ὅλων ἡμερῶν. Καὶ τοῦτόν γε τὸν λόγον εὗρον περὶ ἐμοῦ κατεσχηκότα. Οὕπω δὲ ὁ σὸς πατὴρ ἐκ τῆς Παλαιστίνης ἔτυχεν ἥκων, ἀλλὰ δύο ἄλλων ὕστερον ἡμερῶν, καὶ καταλαμβάνει πεμφθέντα παρὰ τοῦ τῆς Λευκίππης πατρὸς γράμματα, ἅπερ ἔτυχε μετὰ μίαν ἡμέραν τῆς ἡμετέρας ἀποδημίας κεκομισμένα, δι' ὧν ὁ Σώστρατος ἐγγυᾷ σοι τὴν θυγα-
4 τέρα. Ἐν ποικίλαις οὖν ἦν συμφοραῖς ἀναγνοὺς τὰ γράμματα καὶ τὴν ὑμετέραν ἀκούσας φυγήν, τὸ μὲν ὡς τὸ τῆς ἐπιστολῆς ἀπολέσας ἄθλον, τὸ δὲ ὅτι παρὰ μικρὸν οὕτως ἡ Τύχη τὰ πράγματα ἔθηκε· καὶ γὰρ οὐδὲν ἂν τούτων ἐγεγόνει, εἰ θᾶττον ἐκομίσθη τὰ
5 γράμματα. Καὶ τῶν μὲν πεπραγμένων οὐδὲν πρὸς τὸν ἀδελφὸν ἠγήσατό πω δεῖν γράφειν, ἀλλὰ καὶ τῆς μητρὸς τῆς κόρης ἐδεήθη τὸ παρὸν ἐπισχεῖν. Τάχα

γὰρ αὐτοὺς ἐξευρήσομεν, καὶ οὐ δεῖ τὸ συμβὰν ἀτύχημα μανθάνειν Σώστρατον. Ἄσμενοι δὲ ὅπου ποτ' ἂν ὦσιν ὄντες μάθωσι τὴν ἐγγύην καὶ ἀφίξονται, εἴγε αὐτοῖς ἐξέσται φανερῶς ἔχειν ὑπὲρ οὗ πεφεύγασιν.' Ἐπολυπραγμόνει δὲ παντὶ σθένει ποῖ κεχωρήκατε. Καὶ ὀλίγον πρὸ τούτων τῶν ἡμερῶν ἔρχεται Διόφαντος ὁ Τύριος ἐξ Αἰγύπτου πεπλευκώς, καὶ λέγει πρὸς αὐτὸν ὅτι σε ἐνθάδε ἐθεάσατο· **κἀγὼ μαθών, ὡς εἶχον, εὐθὺς ἐπιβὰς νεὼς ὀγδόην ταύτην ἡμέραν πᾶσάν σε περιῆλθον ζητῶν τὴν πόλιν. Πρὸς ταῦτα οὖν σοι βουλευτέον ἐστίν, ὡς τάχα καὶ τοῦ πατρὸς ἥξοντος ἐνταῦθα τοῦ σοῦ." 7

Ταῦτα ἀκούσας ἀνῴμωξα ἐπὶ τῇ τῆς Τύχης παιδιᾷ "ὦ δαῖμον" λέγων, "νῦν μὲν Σώστρατός μοι Λευκίππην ἐκδίδωσι καί μοι γάμους ἐκ μέσου πολέμου πέμπει, μετρήσας ἀκριβῶς τὰς ἡμέρας, ἵνα μὴ φθάσῃ τὴν φυγήν. Ὦ τῶν ἐξώρων εὐτυχημάτων, ὦ μακάριος ἐγὼ παρὰ μίαν ἡμέραν. Μετὰ θάνατον γάμοι, μετὰ θρῆνον ὑμέναιοι. Τίνα μοι δίδωσι νύμφην ἡ Τύχη; ἣν οὐδὲ ὁλόκληρόν μοι δέδωκε νεκράν." 11

"Οὐ θρήνων νῦν καιρὸς" ὁ Κλεινίας εἶπεν, "ἀλλὰ σκεψώμεθα, πότερον εἰς τὴν πατρίδα σοι νῦν ἀνακομιστέον ἢ τὸν πατέρα ἐνταῦθα ἀναμενετέον." "Οὐδέτερον" εἶπον· "ποίῳ γὰρ [ἂν] ἴδοιμι προσώπῳ τὸν πατέρα, μάλιστα μὲν οὕτως αἰσχρῶς φυγών, εἶτα καὶ τὴν παρακαταθήκην αὐτῷ τἀδελφοῦ διαφθείρας; φεύγειν οὖν ἐντεῦθεν ὑπολείπεται πρὶν ἥκειν αὐτόν." Ἐν τούτῳ δὴ ὁ Μενέλαος εἰσέρχεται καὶ ὁ Σάτυρος μετ' αὐτοῦ, καὶ τόν τε Κλεινίαν περιπτύσσονται καὶ μανθάνουσι παρ' ἡμῶν τὰ πεπραγμένα. Καὶ ὁ Σάτυρος "ἀλλ' ἔστι σοι" ἔφη "τὰ παρόντα θέσθαι καλῶς καὶ ἐλεῆσαι ψυχὴν ἐπὶ σοὶ φλεγομένην· 2 3 4

ἀκουσάτω δὲ καὶ ὁ Κλεινίας. Ἡ γὰρ Ἀφροδίτη μέγα τούτῳ παρέσχεν ἀγαθόν, ὁ δ' οὐκ ἐθέλει λαβεῖν· γυναῖκα γὰρ ἐξέμηνεν ἐπ' αὐτὸν πάνυ καλήν, ὥστε ἂν ἰδὼν αὐτὴν εἴποις ἄγαλμα, Ἐφεσίαν τὸ γένος, ὄνομα Μελίτην· πλοῦτος πολὺς καὶ ἡλικία νέα. Τέθνηκε δ' αὐτῆς προσφάτως ὁ ἀνὴρ κατὰ θάλατταν, βούλεται δὲ τοῦτον ἔχειν δεσπότην (οὐ γὰρ ἄνδρα ἐρῶ) καὶ δίδωσιν ἑαυτὴν καὶ πᾶσαν ἑαυτῆς τὴν οὐσίαν· δι' αὐτὸν γὰρ τέτταρας μῆνας νῦν ἐνθάδε διέτριψεν, ἀκολουθῆσαι δεομένη. Ὁ δὲ οὐκ οἶδα τί παθὼν ὑπερηφανεῖ, νομίζων αὐτῷ Λευκίππην ἀναβιώσεσθαι."

Καὶ ὁ Κλεινίας "οὐκ ἀπὸ τρόπου δοκεῖ μοι" φησὶν "ὁ Σάτυρος λέγειν· κάλλος γὰρ καὶ πλοῦτος καὶ ἔρως εἰ συνῆλθον ἐπὶ σέ, οὐχ ἕδρας [ἔργον] οὐδ' ἀναβολῆς. Τὸ μὲν γὰρ κάλλος ἡδονήν, ὁ δὲ πλοῦτος τρυφήν, ὁ δὲ ἔρως αἰδῶ** · μισεῖ δὲ ὁ θεὸς τοὺς ἀλαζόνας. Φέρε πείσθητι τῷ Σατύρῳ καὶ χάρισαι τῷ θεῷ." Κἀγὼ στενάξας "ἄγε με" εἶπον "ὅποι θέλεις, εἰ καὶ Κλεινίᾳ τοῦτο δοκεῖ· μόνον ὅπως τὸ γύναιόν μοι μὴ παράσχῃ πράγματα ἐπείγουσα πρὸς τὸ ἔργον, ἔστ' ἂν εἰς τὴν Ἔφεσον ἀφικώμεθα. Φθάνω γὰρ ἑπομοσάμενος ἐνταῦθα μὴ συνελθεῖν, ἔνθα Λευκίππην ἀπολώλεκα." Ταῦτα ἀκούσας ὁ Σάτυρος προστρέχει πρὸς τὴν Μελίτην εὐαγγέλια φέρων· καὶ μικρὸν διαλιπὼν αὖθις ἐπανέρχεται, λέγων ἀκούσασαν τὴν γυναῖκα ὑφ' ἡδονῆς παρὰ μικρὸν τὴν ψυχὴν ἀφεῖναι, δεῖσθαι δὲ ἥκειν ὡς αὐτὴν δειπνήσοντα τὴν ἡμέραν γάμων προοίμιον.

Ἐπείσθην καὶ ᾠχόμην· ἡ δὲ ὡς εἶδέ με, ἀναθοροῦσα περιβάλλει καὶ πᾶν μου τὸ πρόσωπον ἐμπίπλησι φιλημάτων. Ἦν δὲ τῷ ὄντι καλὴ καὶ γάλακτι

μὲν ἂν εἶπες αὐτῆς τὸ πρόσωπον κεχρῖσθαι, ῥόδον δὲ ἐμπεφυτεῦσθαι ταῖς παρειαῖς. Ἐμάρμαιρεν αὐτῆς τὸ 2
βλέμμα μαρμαρυγὴν ἀφροδίσιον· κόμη πολλὴ καὶ
βαθεῖα καὶ κατάχρυσος τῇ χρόᾳ, ὥστε ἔδοξα οὐκ ἀη-
δῶς ἰδεῖν τὴν γυναῖκα. Τὸ μὲν οὖν δεῖπνον ἦν πο- 3
λυτελές· ἡ δὲ ἐφαπτομένη τῶν παρακειμένων, ὡς
δοκεῖν ἐσθίειν, οὐκ ἠδύνατο τυχεῖν ὁλοκλήρου τρο-
φῆς, πάντα δὲ ἔβλεπεν ἐμέ· οὐδὲν γὰρ ἡδὺ τοῖς ἐρῶσι
πλὴν τὸ ἐρώμενον· τὴν γὰρ ψυχὴν πᾶσαν ὁ ἔρως κα-
ταλαβὼν οὐδὲ αὐτῇ χώραν δίδωσι τῇ τροφῇ. Ἡ δὲ 4
τῆς θέας ἡδονὴ διὰ τῶν ὀμμάτων εἰσρέουσα τοῖς
στέρνοις ἐγκάθηται· ἕλκουσα δὲ τοῦ ἐρωμένου τὸ
εἴδωλον ἀεὶ ἐναπομάττει τῷ τῆς ψυχῆς κατόπτρῳ καὶ
ἀναπλάττει τὴν μορφήν· ἡ δὲ τοῦ κάλλους ἀπορροὴ
δι' ἀφανῶν ἀκτίνων ἐπὶ τὴν ἐρωτικὴν ἑλκομένη καρ-
δίαν ἐναποσφραγίζει κάτω τὴν σκιάν. Λέγω δὴ πρὸς 5
αὐτὴν συνεὶς "ἀλλὰ σύ γε οὐδενὸς μετέχεις τῶν σῶν
αὐτῆς, ἀλλ' ἔοικας τοῖς ἐν γραφαῖς ἐσθίουσιν·" ἡ δὲ
"ποῖον γὰρ ὄψον" ἔφη "μοι πολυτελέστερον ἢ ποῖος
οἶνος τιμιώτερος τῆς σῆς ὄψεως;" καὶ ἅμα λέγουσα
κατεφίλησέ με, προσιέμενον οὐκ ἀηδῶς τὰ φιλήματα·
εἶτα διασχοῦσα εἶπεν "αὕτη μοι τροφή."

Τότε μὲν οὖν ἐν τούτοις ἦμεν· ἑσπέρας δὲ γενο- 14
μένης ἡ μὲν ἐπεχείρει με κρατεῖν ἐκεῖ κοιμησόμε-
νον, ἐγὼ δὲ παρῃτούμην, εἰπὼν ἃ καὶ πρὸς τὸν Σά-
τυρον ἔτυχον προαγορεύσας. Μόλις οὖν ἀφίησιν
ἀνιωμένη. Τῇ δὲ ὑστεραίᾳ συνέκειτο ἡμῖν εἰς τὸ τῆς 2
Ἴσιδος ἱερὸν ἀπαντῆσαι διαλεξομένοις τε ἀλλήλοις
καὶ πιστωσομένοις ἐπὶ μάρτυρι τῇ θεῷ· συμπαρῆσαν
δὲ ἡμῖν ὅ τε Μενέλαος καὶ ὁ Κλεινίας· καὶ ὠμνύο-
μεν ἐγὼ μὲν ἀγαπήσειν ἀδόλως, ἡ δὲ ἄνδρα ποιή-
σεσθαι καὶ πάντων ἀποφανεῖν δεσπότην. "Ἄρξει 3

δὲ" εἶπον ἐγὼ "τῶν συνθηκῶν ἡ εἰς Ἔφεσον ἡμῶν ἄφιξις· ἐνταῦθα γάρ, ὡς ἔφην, Λευκίππῃ παραχωρήσεις." Λεῖπνον οὖν ἡμῖν ηὐτρεπίζετο πολυτελές, καὶ ὄνομα μὲν ἦν τῷ δείπνῳ γάμοι, τὸ δὲ ἔργον συν-
4 έκειτο ταμιεύεσθαι. Καί τι μέμνημαι καὶ γελοῖον 5
παρὰ τὴν ἑστίασιν τῆς Μελίτης. Ὡς γὰρ ἐπευφήμουν τοῖς γάμοις οἱ παρόντες, νεύσασα πρός με ἡσυχῇ "καινὸν" εἶπεν "ἐγὼ μόνη πέπονθα. Κενοτάφιον μὲν γὰρ εἶδον, κενογάμιον δ' οὔ." Ταῦτα μὲν οὖν ἔπαιζε σπουδῇ. 10

15 Τῇ δὲ ἐπιούσῃ στελλόμεθα πρὸς ἀποδημίαν· κατὰ τύχην δὲ καὶ τὸ πνεῦμα ἐκάλει ἡμᾶς. Καὶ ὁ Μενέλαος μέχρι τοῦ λιμένος ἐλθὼν καὶ ἀσπασάμενος, εὐτυχεστέρας εἰπὼν νῦν ἡμᾶς τυχεῖν τῆς θαλάσσης ἀπετράπετο αὖθις, νεανίσκος πάνυ χρηστὸς καὶ θεῶν 15
ἄξιος καὶ ἅμα δακρύων ἐμπεπλησμένος· καὶ ἡμῖν δὲ
2 πᾶσι κατεφέρετο δάκρυα. Τῷ δὲ Κλεινίᾳ ἐδόκει μή με καταλιπεῖν, ἀλλὰ μέχρις Ἐφέσου συμπλεύσαντα καί τινα ἐνδιατρίψαντα τῇ πόλει χρόνον ἐπανελθεῖν,
3 εἰ τἀμὰ ἐν καλῷ κείμενα καταμάθοι. Γίνεται δὴ κατ' 20
οὐρὰν ἡμῶν ὁ ἄνεμος, ἐσπέρα τε ἦν καὶ δειπνήσαντες ἐκείμεθα κοιμησόμενοι· ἰδία δὲ ἐμοί τε καὶ τῇ Μελίτῃ καλύβη τις ἦν ἐπὶ τοῦ σκάφους περιπεφραγμένη.
4 Περιβαλοῦσα οὖν με κατεφίλει καὶ ἀπῄτει τὸν γάμον "νῦν μὲν" λέγουσα "Λευκίππης τοὺς ὅρους ἐξήλθο- 25
μεν καὶ τῶν συνθηκῶν τοὺς ὅρους ἀπειλήφαμεν· ἐντεῦθεν ἡ προθεσμία. Τί με δεῖ νῦν εἰς Ἔφεσον περιμένειν; ἄδηλοι τῆς θαλάσσης αἱ τύχαι, ἄπιστοι τῶν
5 ἀνέμων αἱ μεταβολαί. Πίστευσόν μοι, Κλειτοφῶν,

---

8 post πέπονθα: καὶ οἷον ἐπὶ τοῖς ἀφανέσι ποιοῦσι νεκροῖς

κάυμαι· ὄφελον ἠδυνάμην δεῖξαι τὸ πῦρ, ὄφελον εἶχε τὴν αὐτὴν φύσιν τῷ κοινῷ πυρί, ἵνα σοι περιχυθεῖσα κατέφλεξα· νῦν δὲ πρὸς τοῖς ἄλλοις τοῦτο μόνον τὸ πῦρ ἰδίαν ὕλην ἔχει καὶ ἐν ταῖς πρὸς τοὺς ἐραστὰς συμπλοκαῖς ἀνακαόμενον λάβρον τῶν συμπλεκομένων φείδεται. Ὦ πυρὸς μυστικοῦ, πυρὸς ἐν ἀπορρήτῳ δαδουχουμένου, πυρὸς τοὺς ὅρους αὐτοῦ φυγεῖν μὴ θέλοντος. Μυηθῶμεν οὖν, ὦ φίλτατε, τὰ τῆς Ἀφροδίτης μυστήρια."

Κἀγὼ εἶπον "μή με βιάσῃ λῦσαι θεσμὸν ὁσίας νεκρῶν· οὔπω τῆς ἀθλίας ἐκείνης τοὺς ὅρους παρήλθομεν, ἕως ἂν γῆς ἐπιβῶμεν ἑτέρας. Οὐκ ἤκουσας, ὡς ἐν θαλάσσῃ τέθνηκεν; ἔτι πλέω Λευκίππης τὸν τάφον· τάχα που περὶ τὴν ναῦν αὐτῆς εἰλεῖται τὸ εἴδωλον. Λέγουσι δὲ τὰς ἐν ὕδατι ψυχὰς ἀνηρημένας μηδὲ εἰς Ἅδου καταβαίνειν ὅλως, ἀλλ' αὐτοῦ περὶ τὸ ὕδωρ ἔχειν τὴν πλάνην, καὶ ἐπιστήσεται τάχα ἡμῖν συμπλεκομένοις. Ἐπιτήδειον δέ σοι δοκεῖ τὸ χωρίον εἶναι πρὸς γάμον; γάμος ἐπὶ κύματος, γάμος ὑπὸ θαλάσσης φερόμενος; θάλαμον ἡμῖν θέλεις γενέσθαι μὴ μένοντα;"

"Σὺ μὲν" ἔφη "σοφίζῃ, φίλτατε· πᾶς δὲ τόπος τοῖς ἐρῶσι θάλαμος· οὐδὲν γὰρ ἄβατον τῷ θεῷ. Θάλασσα δὲ μὴ καὶ οἰκειοτάτη ἐστὶν Ἔρωτι καὶ Ἀφροδισίοις μυστηρίοις; θυγάτηρ Ἀφροδίτη Θαλάσσης. Χαρισώμεθα τῇ γαμηλίῳ θεῷ, τιμήσωμεν αὐτῆς γάμῳ τὴν μητέρα· ἐμοὶ μὲν γὰρ δοκεῖ τὰ παρόντα γάμων εἶναι σύμβολα. Ζυγὸς μὲν οὗτος ὑπὲρ κεφαλῆς κρεμάμενος, δεσμοὶ δὲ περὶ τὴν κεραίαν τεταμένοι· καλά γε, ὦ δέσποτα, τὰ μαντεύματα· ὑπὸ ζυγὸν ὁ

---

2 post κοινῷ: τοῦ ἔρωτος

θάλαμος καὶ κάλω δεδεμένοι· ἀλλὰ καὶ πηδάλιον τοῦ θαλάμου πλησίον. Ἰδοὺ τοὺς γάμους ἡμῶν ἡ Τύχη κυβερνᾷ, νυμφοστολήσουσι δὲ ἡμᾶς Ποσειδῶν καὶ Νηρεΐδων χορός· ἐνταῦθα γὰρ καὶ αὐτὸς Ἀμφιτρίτην γαμεῖ. Λιγυρὸν δὲ συρίζει περὶ τοὺς κάλως καὶ τὸ πνεῦμα· ἐμοὶ μὲν ὑμέναιον ᾄδειν δοκεῖ τὰ 6 τῶν ἀνέμων αὐλήματα. Ὁρᾷς δὲ καὶ τὴν ὀθόνην κεκυρτωμένην, ὥσπερ ἐγκύμονα γαστέρα· δεξιόν μοι καὶ τοῦτο τῶν οἰωνισμάτων· ἔσῃ μοι ταχὺ καὶ πατήρ."

7 Ἰδὼν οὖν αὐτὴν σφόδρα ἐγκειμένην "φιλοσοφήσωμεν" εἶπον "ὦ γύναι, μέχρις [ἂν] λαβώμεθα γῆς· ὄμνυμι γάρ σοι τὴν θάλατταν αὐτὴν καὶ τὴν τοῦ πλοῦ τύχην, ὡς ἐσπούδακα καὶ αὐτός. Ἀλλ' εἰσὶ καὶ 8 θαλάσσης νόμοι. Πολλάκις ἤκουσα παρὰ τῶν ναυτικωτέρων, καθαρὰ δεῖν ἀφροδισίων εἶναι τὰ σκάφη, τάχα μὲν ὡς ἱερά, τάχα δὲ ἵνα μή τις ἐν τηλικούτῳ κινδύνῳ τρυφᾷ. Μὴ ἐνυβρίσωμεν, ὦ φιλτάτη, τῇ θαλάσσῃ· μὴ συμμίξωμεν γάμον ὁμοῦ καὶ φόβον· τηρήσωμεν ἑαυτοῖς καθαρὰν τὴν ἡδονήν." Ταῦτα λέγων καὶ μειλισσόμενος τοῖς φιλήμασιν ἔπειθον, καὶ τὸ λοιπὸν οὕτως ἐκαθεύδομεν.

17 Πέντε δὲ τῶν ἑξῆς ἡμερῶν διανύσαντες τὸν πλοῦν ἤκομεν εἰς τὴν Ἔφεσον. Οἰκία μεγάλη καὶ πρώτη τῶν ἐκεῖ, θεραπεία πολλὴ καὶ ἡ ἄλλη παρα- 2 σκευὴ πολυτελής. Κελεύει δὴ δεῖπνον ὡς ὅτι ἐκπρεπέστατον ἑτοιμάζειν· "ἡμεῖς δὲ τέως" ἔφη "χωρήσωμεν εἰς τοὺς ἀγρούς." Ἀπεῖχον δὲ τῆς πόλεως σταδίους τέτταρας. Ἐπικαθίσαντες οὖν ὀχήματι ἐξήλθομεν.

3 Καὶ ἐπεὶ τάχιστα παρεγενόμεθα, διεβαδίζομεν τοὺς ὀρχάτους τῶν φυτῶν, καὶ ἐξαίφνης προσπίπτει

τοῖς γόνασιν ἡμῶν γυνή, χοίνιξι παχείαις δεδεμένη, δίκελλαν κρατοῦσα, τὴν κεφαλὴν κεκαρμένη, ἐρρυπωμένη τὸ σῶμα, χιτῶνα ἀνεξωσμένη ἄθλιον πάνυ, καὶ "ἐλέησόν με" ἔφη "δέσποινα, γυνὴ γυναῖκα, ἐλευθέραν μέν, ὡς ἔφυν, δούλην δὲ νῦν, ὡς δοκεῖ τῇ Τύχῃ," καὶ ἅμα ἐσιώπησε. Λέγει οὖν ἡ Μελίτη "ἀνάστηθι, ὦ γύναι· λέγε τίς εἶ καὶ πόθεν, καὶ τίς σοι τοῦτον περιέθηκε τὸν σίδηρον· κέκραγε γάρ σου καὶ ἐν κακοῖς ἡ μορφὴ τὴν εὐγένειαν." "Ὁ σὸς" εἶπεν "οἰκέτης, ὅτι αὐτῷ μὴ πρὸς εὐνὴν ἐδούλευον. Ὄνομά [μοι] Λάκαινα, Θετταλὴ τὸ γένος, καί σοι προσφέρω μου ταύτην τὴν τύχην ἱκετηρίαν. Ἀπόλυσόν με τῆς καθεστώσης συμφορᾶς· πάρασχε δέ μοι τὴν ἀσφάλειαν, ἕστ' ἂν ἀποτίσω τὰς δισχιλίας· τοσούτου γάρ με ὁ Σωσθένης ἀπὸ τῶν ληστῶν ἐωνήσατο. Πορισῦμεν δέ, εὖ ἴσθι, τὴν ταχίστην· εἰ δὲ μή, σοὶ δουλεύσομεν. Ὁρᾷς δὲ καὶ πληγαῖς ὡς κατέξηνέ με πολλαῖς." Καὶ ἅμα διανοίξασα τὸν χιτῶνα δείκνυσι τὰ νῶτα διαγεγραμμένα ἔτι οἰκτρότερον.

Ὡς οὖν ταῦτα ἠκούσαμεν, ἐγὼ μὲν συνεχύθην· καὶ γάρ τι ἐδόκει Λευκίππης ἔχειν· ἡ δὲ Μελίτη ἔφη "θάρρει, γύναι· τούτων γάρ σε λύσομεν εἴς τε τὴν οἰκείαν προῖκα ἀποπέμψομεν. Τὸν Σωσθένην καλεσάτω τις ἡμῖν." Ἡ μὲν οὖν εὐθὺς τῶν δεσμῶν ἠλευθεροῦτο, ὁ δὲ παρῆν τεταραγμένος. Λέγει οὖν ἡ Μελίτη "ὦ κακὴ κεφαλή, τίνα ποτὲ κἂν τῶν ἀχρειοτάτων οἰκετῶν τεθέασαι παρ' ἡμῖν οὕτως ἠκισμένον; τίς αὕτη; λέγε μηδὲν ψευσάμενος." "Οὐκ οἶδα" εἶπεν "ὦ δέσποινα, πλὴν ἔμπορός τις, ὄνομα Καλλισθένης, ταύτην μοι πέπρακε, φάσκων ἐωνῆσθαι μὲν αὐτὴν ἀπὸ ληστῶν, εἶναι δὲ ἐλευθέραν·

10 ὄνομα δὲ αὐτὴν ὁ ἔμπορος ἐκάλει Λάκαιναν." Ἡ δὲ
τὸν μὲν τῆς διοικήσεως, ἧς εἶχεν, ἀπέπαυσε, τὴν
δὲ παραδίδωσι θεραπαίναις, κελεύσασα λοῦσαι καὶ
ἐσθῆτα ἀμφιέσαι καθαρὰν καὶ εἰς ἄστυ ἀγαγεῖν·
διοικήσασα δέ τινα τῶν κατὰ τοὺς ἀγρούς, ὧν ἕνεκεν 5
παρῆν, ἐπιβᾶσα τοῦ ὀχήματος ἅμα ἐμοί, ἐπανῆειμεν
εἰς τὴν πόλιν καὶ περὶ τὸ δεῖπνον ἦμεν.

18 Ἑστιωμένῳ δέ μοι μεταξὺ σημαίνει νεύσας ὁ Σά-
τυρος προανίστασθαι, καὶ ἦν τὸ πρόσωπον ἐσπου-
δακώς. Σκηψάμενος οὖν ὑπό τινος τῶν κατὰ τὴν 10
γαστέρα ἐπείγεσθαι ἐξανίσταμαι· καὶ ἐπεὶ προῆλθον,
2 λέγει μὲν οὐδέν, ἐπιστολὴν δὲ ὀρέγει. Λαβὼν δέ,
πρὶν ἀναγνῶναί [με,] κατεπλάγην εὐθύς· ἐγνώρισα
γὰρ Λευκίππης τὰ γράμματα. Ἐγέγραπτο δὲ τάδε·

ΛΕΥΚΙΠΠΗ ΚΛΕΙΤΟΦΩΝΤΙ ΤΩι 15
ΔΕΣΠΟΤΗι ΜΟΥ.

3 Τοῦτο γάρ σε δεῖ καλεῖν, ἐπεὶ καὶ τῆς δεσποίνης ἀνὴρ
εἶ τῆς ἐμῆς. Ὅσα μὲν διὰ σὲ πέπονθα, οἶδας· ἀνάγκη δὲ νῦν
4 ὑπομνῆσαί σε. Διὰ σὲ τὴν μητέρα κατέλιπον καὶ πλάνην εἵ-
λόμην, διὰ σὲ πέπονθα ναυαγίαν καὶ λῃστῶν ἠνεσχόμην· διὰ 20
σὲ ἱερεῖον γέγονα καὶ καθαρμὸς καὶ τέθνηκα ἤδη δεύτερον,
διὰ σὲ πέπραμαι καὶ ἐδέδην σιδήρῳ καὶ δίκελλαν ἐβάστασα καὶ
ἔσκαψα γῆν καὶ ἐμαστιγώθην, ἵνα σὺ ὃ γέγονας ἄλλῃ γυναικὶ
5 κἀγὼ ἑτέρῳ ἀνδρὶ γένωμαι; Μὴ γένοιτο. Ἀλλ' ἐγὼ μὲν ἐπὶ
τοσαύταις ἀνάγκαις διεκαρτέρησα, σὺ δὲ ἄπρατος, ἀμαστίγω- 25
τος γαμεῖς. Εἴ τις οὖν τῶν πεπονημένων διὰ σὲ κεῖται χάρις,
δεήθητί σου τῆς γυναικὸς ἀποπέμψαι, ὡς ἐπηγγείλατο· τὰς
δὲ δισχιλίας, ἃς ὁ Σωσθένης ὑπὲρ ἐμοῦ κατεβάλετο, πίστευσον
ἡμῖν καὶ ἐγγύησαι πρὸς τὴν Μελίτην ὅτι πέμψομεν· ἐγγὺς
6 γὰρ τὸ Βυζάντιον. Ἐὰν δὲ καὶ ἀποτίσῃς, νόμιζε μισθόν μοι 30
δεδωκέναι τῶν ὑπὲρ σοῦ πόνων. Ἔρρωσο καὶ ὄναιο τῶν καιν-
ῶν γάμων. Ἐγὼ δὲ ἔτι σοι ταῦτα γράφω παρθένος.

19 Τούτοις ἐντυχὼν πάντα ἐγινόμην ὁμοῦ· ἀνεφλε-
γόμην, ὠχριῶν, ἐθαύμαζον, ἠπίστουν, ἔχαιρον,

ἠχθόμην. Λέγω οὖν πρὸς τὸν Σάτυρον "πότερον ἐξ 2
Ἅιδου ἥκεις φέρων τὴν ἐπιστολήν, ἢ τί ταῦτα θέλει;
Λευκίππη πάλιν ἀνεβίω;" "Μάλιστα" ἔφη, "καὶ
ἔστιν ἣν εἶδες ἐν τοῖς ἀγροῖς. Τότε μὲν οὖν οὐδ' ἂν
ἄλλος αὐτὴν ἰδὼν ἐγνώρισεν, ἔφηβον οὕτω γενομέ-
νην· τοῦτο γὰρ ἡ τῶν τριχῶν αὐτῆς κουρὰ [μόνον]
ἐνήλλαξεν." "Εἶτα ἔστηκας" ἔφην "ἐπὶ τηλικούτοις 3
ἀγαθοῖς καὶ μέχρι τῶν ὤτων μόνον εὐφραίνεις, ἀλλ'
οὐ δεικνύεις καὶ τοῖς ὄμμασι τἀγαθά;" "Μὴ σύ γε"
εἶπεν ὁ Σάτυρος· "ἀλλ' ἐνεὸς κάτασχε (μὴ πάντα
ἀπολέσῃς), ἕως [ἂν] περὶ τούτων ἀσφαλέστερον βου-
λευσώμεθα. Γυναῖκα ὁρᾷς [τὴν] πρώτην Ἐφεσίων 4
μαινομένην ἐπὶ σοί, ἡμᾶς δὲ ἐρήμους ἐν μέσαις ἄρ-
κυσιν." "Ἀλλ' οὐ δύναμαι" ἔφην· "ἐπέρχεται γὰρ
διὰ πασῶν τῶν τοῦ σώματος ὁδῶν ἡ χαρά. Ἀλλ' 5
ἰδού μοι διὰ τῶν γραμμάτων ἐγκαλεῖ." Καὶ ἅμα αὖ-
θις ἐντυγχάνων τοῖς γράμμασιν, ὡς ἐκείνην δι' αὐ-
τῶν βλέπων, καὶ ἀναγινώσκων καθ' ἓν ἔλεγον "δί-
καια ἐγκαλεῖς, φιλτάτη. Πάντα δι' ἐμὲ ἔπαθες·
πολλῶν σοι γέγονα κακῶν αἴτιος." Ὡς δὲ εἰς τὰς μά- 6
στιγας καὶ εἰς τὰς βασάνους ἐγενόμην, ἃς ὁ Σωσθέ-
νης αὐτῇ παρετρίψατο, ἔκλαον ὥσπερ αὐτὰς τὰς
βασάνους βλέπων αὐτῆς· ὁ γὰρ λογισμὸς πέμπων τῆς
ψυχῆς τὰ ὄμματα πρὸς τὴν ἀπαγγελίαν τῶν γραμμά-
των, ἐδείκνυ τὰ ὁρώμενα ὡς δρώμενα· πάνυ δὲ
ἠρυθρίων ἐφ' οἷς μοι τὸν γάμον ὠνείδιζεν, ὥσπερ
ἐπ' αὐτοφώρῳ μοιχὸς κατειλημμένος. Οὕτως ἠσχυ-
νόμην καὶ τὰ γράμματα.

"Οἴμοι, πῶς ἀπολογήσομαι, Σάτυρε;" ἔφην· 20
"ἐαλώκαμεν· Λευκίππη κατέγνωκεν ἡμῶν· τάχα δὲ
καὶ μεμισήμεθα. Ἀλλὰ πῶς ἐσώθη φράσον σὺ καὶ
τίνος σῶμα ἐθάψαμεν;" "Αὐτή σοι κατὰ καιρὸν

φράσει· τὸ δὲ νῦν" ὁ Σάτυρος ἔφη "ἀντιγράψαι σε
2 δεῖ καὶ ἱλάσασθαι τὴν κόρην. Κἀγὼ γὰρ αὐτῇ διω-
μοσάμην, ὡς ἄκων ἔγημας." "Εἶπας γὰρ" ἔφην "ὅτι
καὶ ἔγημα; ἀπολώλεκάς με." "Τῆς εὐηθείας· ὅλη
γὰρ ἡ πόλις οὐκ οἶδε τὸν γάμον;" "Ἀλλ' οὐκ ἔγημα,
μὰ τὸν Ἡρακλέα, Σάτυρε, καὶ τὴν παροῦσαν τύχην."
3 "Παίζεις, ὠγαθέ· συγκαθεύδεις." "Οἶδα μὲν ἄπιστα
λέγων, ἀλλ' οὔπω πέπρακται· καθαρὸς εἰς ταύτην
4 τὴν ἡμέραν Μελίτης Κλειτοφῶν. Ἀλλὰ τί γράψω,
λέγε· σφόδρα γάρ με ἐξέπληξε τὸ συμβάν, ὥστε ἀπό-
ρως ἔχω." "Οὐκ εἰμί σου σοφώτερος" ὁ Σάτυρος
εἶπεν· "ἀλλὰ αὐτός σοι ὁ ἔρως ὑπαγορεύσει. Μό-
νον διὰ ταχέων."

21 Ἄρχομαι δὴ γράφειν

Χαῖρέ μοι, ὦ δέσποινα Λευκίππη. Δυστυχῶ μὲν ἐν οἷς
εὐτυχῶ, ὅτι σὲ παρὼν παροῦσαν ὡς ἀποδημοῦσαν ὁρῶ διὰ
γραμμάτων. Εἰ μὲν οὖν τὴν ἀλήθειαν περιμένεις, μηδὲν προ-
καταγινώσκουσά μου, μαθήσῃ τὴν σὴν με παρθενίαν μεμιμη-
μένον, εἴ τις ἐστὶ καὶ ἐν ἀνδράσι παρθενία· εἰ δέ με χωρὶς
ἀπολογίας ἤδη μεμίσηκας, ὄμνυμί σοι τοὺς σώσαντάς σε θεοὺς
ὡς ἐν βραχεῖ σοι τὸ ἔργον ἀπολογήσομαι. Ἔρρωσό μοι, φιλ-
τάτη, καὶ ἵλεως γένοιο

δίδωμι δὲ τῷ Σατύρῳ τὴν ἐπιστολὴν καὶ δέομαι τὰ
εἰκότα εἰπεῖν πρὸς αὐτὴν περὶ ἐμοῦ· ἐγὼ δὲ αὖθις
ἐπὶ τὸ συμπόσιον ἀπῄειν, ἡδονῆς ἅμα καὶ λύπης γε-
γεμισμένος· ἤδειν γὰρ τὴν Μελίτην οὐκ ἀνήσουσάν
με τῆς νυκτὸς τὸ μὴ οὐ γενέσθαι τοὺς γάμους ἡμῖν·
ἐμοὶ δ' ἀδύνατον ἦν Λευκίππην ἀπολαβόντι γυναῖκα
2 ἑτέραν κἂν ἰδεῖν. Τὸ μὲν οὖν πρόσωπον ἐβιαζόμην
μηδὲν ἀλλοῖον παρέχειν ἢ πρὶν ἦν· οὐ πάντη δὲ
κρατεῖν ἠδυνάμην. Ὡς δὲ ἐνικώμην, σκήπτομαι

3 post ἄκων: αὐτήν

φρίκην μοι ἐπιδραμεῖν· ἡ δὲ συνῆκε μὲν ὅτι κατὰ τῆς ὑποσχέσεως προφασίζομαι· ἐλέγχειν δὲ οὐκ ἠδύνατο τὴν πρόφασιν. Ἐγὼ μὲν δὴ ἄδειπνος ἀνίσταμαι κοι- 3
μησόμενος, ἡ δὲ κατὰ πόδας ὡς εἶχεν ἐφ' ἡμιτελεῖ τῷ δείπνῳ συνανίσταται. Ὡς δὲ εἰς τὸν θάλαμον παρήλθομεν, ἐγὼ μὲν ἔτι μᾶλλον ἐπέτεινον τῆς νόσου τὴν ὑπόκρισιν, ἡ δ' ἐλιπάρει καὶ ἔλεγε "τί ταῦτα ποιεῖς; μέχρι τίνος με ἀπολλύεις; Ἰδοὺ καὶ τὴν θάλατταν διεπλεύσαμεν, ἰδοὺ καὶ Ἔφεσος ἡ προθεσμία τῶν γάμων. Ποίαν ἔτι περιμένομεν ἡμέραν; μέχρι 4
τίνος ὡς ἐν ἱερῷ συγκαθεύδομεν; Ποταμὸν παρατιθεὶς πολὺν κωλύεις πίνειν· τοσοῦτον χρόνον ὕδωρ ἔχουσα διψῶ ἐν αὐτῇ καθεύδουσα τῇ πηγῇ· τοιαύτην ἔχω τὴν εὐνήν, οἵαν ὁ Τάνταλος τὴν τροφήν." Ταῦτα 5
ἔλεγε καὶ ἔκλαεν ἐπιθεῖσά μου τοῖς στέρνοις τὴν κεφαλὴν οὕτως ἐλεεινῶς, ὥστε παθεῖν μέ τι τὴν ψυχήν. Οὐκ εἶχον δὲ ὅστις γένωμαι· καὶ γὰρ ἐδόκει μοι δίκαια ἐγκαλεῖν. Λέγω οὖν πρὸς αὐτὴν "ὄμνυμί σοι, 6
φιλτάτη, τοὺς πατρῴους θεούς· ἦ μὴν σφόδρα καὶ αὐτὸς ἐπείγομαί σου τὴν σπουδὴν ἀμείψασθαι. Ἀλλ' οὐκ οἶδα" ἔφην "τί πέπονθα· νόσος γάρ μοι ἐξαίφνης ἐνέπεσεν. Οἶδας δὲ ὅτι ὑγιείας χωρὶς οὐδέν ἐστιν Ἀφρο- 7
δίτη." Καὶ ἅμα λέγων ἀπέψων αὐτῆς τὰ δάκρυα καὶ ὅρκοις ἑτέροις ἐπιστούμην ὡς οὐκ εἰς μακρὰν ὧν θέλει τεύξεται.

Τότε μὲν οὖν καὶ μάλα μόλις ἠνέσχετο· τῇ δὲ 22
ὑστεραίᾳ καλέσασα τὰς θεραπαινίδας, αἷς τὴν ἐπιμέλειαν τῆς Λευκίππης ἐνεχείρισεν, ἐπηρώτα μὲν τὸ πρῶτον, εἰ ἀξίως αὐτῇ κέχρηνται· φασκουσῶν δὲ μηδὲν τῶν δεόντων ἐπιλιπεῖν αὐτῇ, ἄγειν ἐκέλευσε τὴν ἄνθρωπον πρὸς αὐτήν. Ὡς δὲ ἦλθε "τὰ μὲν ἐμὰ 2
ὅπως ἔσχεν" ἔφη "πρὸς σὲ φιλανθρωπίας, περισσὸν

εἰδυίᾳ σοι λέγειν· ἀλλ' ἐν οἷς ἂν δύνῃ, τὴν ἴσην
ἀπότισαί μοι χάριν. Ἀκούω τὰς Θετταλὰς ὑμᾶς ὧν
ἂν ἐρασθῆτε μαγεύειν οὕτως, ὥστε μὴ πρὸς ἑτέραν ἔτι
τὸν ἄνθρωπον ἀποκλίνειν γυναῖκα, πρός τε τὴν μα-
γεύουσαν οὕτως ἔχειν, ὡς πάντα νομίζειν ἐκείνην αὖ- 5
3 τῷ. Ἐμοὶ τοῦτο, φιλτάτη, φλεγομένῃ πάρασχε φάρ-
μακον. Τὸν νεανίσκον εἶδες, τὸν ἅμα ἐμοὶ χθὲς βαδί-
ζοντα;" "Τὸν ἄνδρα" ἔφη "λέγεις τὸν σόν;" ὑπολα-
βοῦσα πάνυ κακοήθως ἡ Λευκίππη· "τοῦτο γὰρ ἀκήκοα
παρὰ τῶν κατὰ τὴν οἰκίαν." "Ποῖον ἄνδρα;" [ἦ] Με- 10
λίτη εἶπεν· "οὐδὲν κοινόν ἐστιν [ἐμοὶ] καὶ τοῖς λίθοις.
4 Ἀλλά με παρευδοκιμεῖ τις νεκρά· οὔτε γὰρ ἐσθίων
οὔτε κοιμώμενος ἐπιλαθέσθαι δύναται τοῦ Λευκίππης
ὀνόματος· τοῦτο γὰρ αὐτὴν καλεῖ. Ἐγὼ δέ, φίλη, μη-
νῶν τεσσάρων ἐν Ἀλεξανδρείᾳ δι' αὐτὸν διέτριψα 15
δεομένη, λιπαροῦσα, ὑπισχνουμένη, τί γὰρ οὐ λέγου-
5 σα, τί δὲ οὐ ποιοῦσα τῶν ἀρέσαι δυναμένων. Ὁ δὲ
σιδηροῦς τις ἢ ξύλινος ἦν ἄρα πρὸς τὰς δεήσεις τὰς
ἐμάς, μόλις δὲ τῷ χρόνῳ πείθεται· ἐπείσθη δὲ μέχρι
τῶν ὀμμάτων. Ὄμνυμι γάρ σοι τὴν Ἀφροδίτην αὐ- 20
τὴν ὡς ἤδη πέμπτην ἡμέραν αὐτῷ συγκαθεύδουσα
οὕτως ἀνέστην ὡς ἀπ' εὐνούχου· ἔοικα δὲ εἰκόνος
ἐρᾶν· μέχρι γὰρ τῶν ὀμμάτων ἔχω τὸν ἐρώμενον.
6 Δέομαι δέ σου γυναικὸς γυνὴ τὴν αὐτὴν δέησιν, ἣν
καὶ σύ μου χθὲς ἐδεήθης· δός μοί τι ἐπὶ τοῦτον τὸν 25
ὑπερήφανον· σώσεις γάρ μου τὴν ψυχὴν διαρρεύ-
7 σασαν ἤδη." Ὡς οὖν ἤκουσεν ἡ Λευκίππη, ἠσθῆναι
μὲν ἐδόκει τῷ μηδὲν πρὸς τὴν ἄνθρωπόν μοι πε-
πρᾶχθαι, φήσασα δὲ ἀνερευνήσειν, εἰ συγχωρήσειεν
αὐτῇ, βοτάνας γενομένη κατὰ τοὺς ἀγρούς, ἀπιοῦσα 30

18 post ξύλινος: ἢ τι τῶν ἀναισθήτων

ᾤχετο· ἀρνουμένη γὰρ οὐκ ᾤετο πίστιν ἕξειν· ὅθεν οἶμαι καὶ ἐπηγγείλατο. Ἡ μὲν δὴ Μελίτη ῥᾴων ἐγε- 8
γόνει καὶ μόνον ἐλπίσασα· τὰ γὰρ ἡδέα τῶν πραγμάτων κἂν μήπω παρῇ τέρπει ταῖς ἐλπίσιν.

Ἐγὼ δὲ τούτων ἐπιστάμενος οὐδὲν ἠθύμουν μὲν 23
σκοπῶν πῶς ἂν διακρουσαίμην καὶ τὴν ἐπιοῦσαν νύκτα τὴν γυναῖκα καὶ πῶς ἂν συντυχεῖν Λευκίππῃ δυναίμην. Ἐδόκει δέ μοι * * κἀκείνη τὴν ἴσην σπου- 2
δὴν ποιεῖσθαι τοῦ ἀπελθεῖν δι' αὐτὴν εἰς τοὺς ἀγρούς, καὶ περὶ τὴν ἑσπέραν αὖθις ἥκειν. Ἔμελλε τῇ Λευκίππῃ παρέξειν ὄχημα καὶ * * Ἡμεῖς δὲ ἐπὶ τὸν πότον ᾖμεν. Ἄρτι δὲ κατακλιθέντων ἡμῶν θόρυβος πολὺς 3
κατὰ τὸν ἀνδρῶνα ἀκούεται καὶ συνδρομή, καὶ εἰστρέχει τις τῶν θεραπόντων, ἀσθμαίνων ἅμα καὶ λέγων "Θέρσανδρος ζῇ καὶ πάρεστιν." Ἦν δὲ ὁ Θέρ- 4
σανδρος οὗτος ὁ τῆς Μελίτης ἀνήρ, ὃν ἐνόμιζε τεθνηκέναι κατὰ θάλασσαν. Τῶν γὰρ συνόντων αὐτῷ τινες οἰκετῶν, ὡς περιετράπη τὸ σκάφος, σωθέντες καὶ νομίσαντες ἀπολωλέναι, τοῦτο ἀπαγγείλαντες ἔτυχον. Ἅμα οὖν ὁ οἰκέτης εἶπε καὶ ὁ Θέρσανδρος κατὰ πόδας εἰστρέχει· πάντα γὰρ τὰ περὶ ἐμοῦ πυθόμενος κατὰ τὴν ὁδόν, ἔσπευδε φθάσας καταλαβεῖν με. Ἡ μὲν δὴ Μελίτη ἀνέθορεν ὑπ' ἐκπλήξεως τοῦ 5
παραλόγου καὶ περιβάλλειν ἐπεχείρει τὸν ἄνδρα· ὁ δὲ τὴν μὲν ὡς εἶχεν ὠθεῖ μάλα ἐρρωμένως, ἐμὲ δὲ ἰδὼν καὶ εἰπὼν "ὁ μοιχὸς οὗτος" ἐμπηδᾷ καὶ ῥαπίζει με κατὰ κόρρης πληγὴν θυμοῦ γέμουσαν, ἑλκύσας δὲ τῶν τριχῶν ῥάσσει πρὸς τοὔδαφος καὶ προσπίπτων κατακόπτει με πληγαῖς. Ἐγὼ δὲ ὥσπερ ἐν μυστηρίῳ 6
μηδὲν [[ᾤδειν]], μήθ' ὅστις ὁ ἄνθρωπος ἦν μήθ' οὗ χάριν ἔτυπτεν, ὑποπτεύσας δὲ μανικὸν εἶναι ἐδεδοίκειν ἀμύνασθαι, καίτοι δυνάμενος. Ἐπεὶ δὲ ἐκάμο- 7

μεν ὁ μὲν τύπτων, ἐγὼ δὲ φιλοσοφῶν, λέγω πρὸς αὐτὸν ἀναστὰς "τίς ποτε εἶ, ὦ ἄνθρωπε, καὶ τί με οὕτως ἠκίσω;" Ὁ δὲ ἔτι μᾶλλον ὀργισθεὶς ὅτι καὶ φωνὴν ἀφῆκα, ῥαπίζει πάλιν καὶ καλεῖ δεσμὰ καὶ πέδας. Δεσμεύουσιν οὖν με καὶ ἄγουσιν εἴς τι δωμάτιον.

24 Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, λανθάνει με διαρρυεῖσα ἡ τῆς Λευκίππης ἐπιστολή· ἔτυχον γὰρ αὐτὴν εἴσω τοῦ χιτωνίσκου προσδεδεμένην ἐκ τῶν τῆς ὀθόνης θυσάνων ἔχων· καὶ ἡ Μελίτη ἀναιρεῖται λαθοῦσα· ἐδεδίει γὰρ μή τινα τῶν πρός με αὐτῆς γραμ-
2 μάτων ἦν. Ὡς δὲ ἀνέγνω καθ' ἑαυτὴν γενομένη καὶ τὸ τῆς Λευκίππης εὗρεν ὄνομα, βάλλεται μὲν εὐθέως τὴν καρδίαν γνωρίσασα τοὔνομα, οὐ μὴν αὐτὴν ἐνόμιζεν εἶναι τῷ πολλάκις αὐτὴν ἀκοῦσαι τετελευτη-
3 κέναι. Ὡς δὲ προϊοῦσα καὶ τοῖς λοιποῖς τῶν γεγραμμένων ἐνέτυχε, πᾶσαν μαθοῦσα τὴν ἀληθειαν ἐμεμέριστο πολλοῖς ἅμα τὴν ψυχήν, αἰδοῖ καὶ ὀργῇ καὶ ἔρωτι καὶ ζηλοτυπίᾳ· ἠσχύνετο τὸν ἄνδρα, ὠργίζετο τοῖς γράμμασιν, ὁ ἔρως ἐμάραινε τὴν ὀργήν, ἐξῆπτε τὸν ἔρωτα ἡ ζηλοτυπία, καὶ τέλος ἐκράτησεν ὁ ἔρως.

25 Ἦν δὲ πρὸς ἑσπέραν, καὶ ἔτυχεν Θέρσανδρος ἐκ τῆς πρώτης ὀργῆς πρὸς ἑταῖρόν τινα τῶν ἐγχωρίων ἐκθορών. Ἡ δὲ διαλεχθεῖσα τῷ τὴν φυλακὴν τὴν ἐμὴν πεπιστευμένῳ εἰσέρχεται πρός με λαθοῦσα τοὺς
2 ἄλλους, θεράποντας δύο τοῦ δωματίου προκαθίσασα, καὶ καταλαμβάνει χαμαὶ καταβεβλημένον. Παρασταῦσα οὖν πάντα ἤθελεν εἰπεῖν ὁμοῦ, [καὶ] τὸ σχῆμα τοῦ προσώπου τοσαῦτα εἶχεν, ὅσα εἰπεῖν ἤθελεν. "Ὦ δυστυχὴς ἐγὼ καὶ ἐπὶ τῷ ἐμαυτῆς κακῷ τεθεαμένη σε, τὸ μὲν πρῶτον ἀτέλεστα ἐρασθεῖσα καὶ μετὰ πάσης ἀνοίας, ἣ καὶ μισουμένη τὸν μισοῦντα φιλῶ

καὶ ὀδυνωμένη τὸν ὀδυνῶντα ἐλεῶ, καὶ οὐδὲ ὕβρις
τὸν ἔρωτα παύει. Ὦ ζεῦγος κατ' ἐμοῦ γοήτων, ἀν- 3
δρὸς καὶ γυναικός. Ὁ μὲν τοσοῦτόν μου χρόνον κατ-
εγέλα, ἡ δὲ ἀπῆλθε κομιοῦσά μοι φίλτρον· ἐγὼ δὲ
ἡ κακοδαίμων ἠγνόουν αἰτοῦσα παρὰ τῶν ἐχθίστων
κατ' ἐμαυτῆς φάρμακον." Καὶ ἅμα τὴν ἐπιστολὴν 4
τῆς Λευκίππης μοι προσέρριψεν. Ἰδὼν οὖν καὶ γνω-
ρίσας ἔφριξα καὶ ἔβλεπον εἰς γῆν ὡς ἐληλεγμένος·
ἡ δὲ ἐτραγῴδει πάλιν "οἴμοι δειλαία τῶν κακῶν· καὶ
γὰρ τὸν ἄνδρα ἀπώλεσα διὰ σέ, οὐδὲ ἂν ἔχοιμι σὲ
τοῦ λοιποῦ χρόνου κἂν μέχρι τῶν ὀμμάτων τῶν κε-
νῶν, ἐπεὶ μὴ δεδύνησαι τούτων πλέον. Οἶδα ὅτι ὁ 5
ἀνήρ με μισεῖ καὶ μοιχείαν κατέγνωκεν ἐπὶ σοί, μοι-
χείαν ἄκαρπον, μοιχείαν ἀναφρόδιτον, ἧς μόνον τὴν
λοιδορίαν κεκέρδακα. Αἱ μὲν γὰρ ἄλλαι γυναῖκες
μισθὸν τῆς αἰσχύνης ἔχουσι τὴν τῆς ἐπιθυμίας ἡδο-
νήν, ἐγὼ δὲ ἡ δυστυχὴς τὴν μὲν αἰσχύνην ἐκαρπω-
σάμην, τὸ δὲ τῆς ἡδονῆς οὐδαμοῦ. Ἄπιστε καὶ βάρ- 6
βαρε· ἐτόλμησας οὕτως ἐρῶσαν γυναῖκα κατατῆξαι,
καὶ ταῦτα Ἔρωτος καὶ σὺ δοῦλος ὤν; Οὐκ ἐφοβήθης
αὐτοῦ τὰ μηνίματα; οὐκ ᾐδέσθης αὐτοῦ τὸ πῦρ;
οὐκ ἐτίμησας αὐτοῦ τὰ μυστήρια; οὐ κατέκλασέ σε
ταῦτα τὰ ὄμματα δακρύοντα; Ὦ καὶ λῃστῶν ἀγριώ- 7
τερε· δάκρυα γὰρ καὶ λῃστὴς αἰσχύνεται. Οὐδέν
σε ἠρέθισεν εἰς ἀφροδίτην κἂν μίαν, οὐ δέησις, οὐ
χρόνος, οὐχ ἡ τῶν σωμάτων συμπλοκή, ἀλλά, τὸ
πάντων ὑβριστικώτατον, προσαπτόμενος, καταφιλῶν
οὕτως ἀνέστης ὡς ἄλλη γυνή. Τίς αὕτη τῶν γάμων 8
ἡ σκιά; Οὐ μὲν δὴ γεγηρακυῖα συνεκάθευδες οὐδ'
ἀποστρεφομένη σου τὰς περιπλοκάς, ἀλλὰ καὶ νέᾳ
καὶ φιλούσῃ, εἴποι δ' ἂν ἄλλος ὅτι καὶ καλῇ. Εὐ-

νοῦχε καὶ ἀνδρόγυνε καὶ κάλλους βάσκανε, ἐπαρῶμαί σοι δικαιοτάτην ἀράν· οὕτω σε ἀμύναιτο ὁ Ἔρως εἰς τὰ σά."

26 Ταῦτα ἔλεγε καὶ ἅμα ἔκλαεν· ὡς δὲ ἐσιώπων ἐγὼ κάτω νενευκώς, μικρὸν διαλιποῦσα λέγει μεταβαλοῦσα "ἃ μὲν εἶπον, ὦ φίλτατε, θυμὸς ἔλεγε καὶ λύπη· ἃ δὲ νῦν μέλλω λέγειν, ἔρως λέγει. Κἂν ὀρ-2 γίζωμαι, κάομαι· κἂν ὑβρίζωμαι, φιλῶ. Σπεῖσαι κἂν νῦν, ἐλέησον· οὐκέτι δέομαι πολλῶν ἡμερῶν καὶ γάμου μακροῦ, ὃν ἡ δυστυχὴς ὠνειροπόλουν ἐπὶ σοί· ἀρκεῖ μοι κἂν μία συμπλοκή· μικροῦ δέομαι φαρμάκου πρὸς τηλικαύτην νόσον. Σβέσον μοι ὀλίγον τοῦ πυρός· εἰ δέ τί σοι προπετῶς ἐθρασυνάμην, σύγγνωθι, 3 φίλτατε· ἔρως ἀτυχῶν καὶ μαίνεται. Ἀσχημονοῦσα οἶδα, ἀλλ' οὐκ αἰσχύνομαι τὰ τοῦ Ἔρωτος ἐξαγορεύουσα μυστήρια. Πρὸς ἄνδρα λαλῶ μεμυημένον· οἶδας τί πάσχω· τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀθέατα τὰ βέλη τοῦ θεοῦ, καὶ οὐκ ἄν τις ἐπιδεῖξαι δύναιτο τὰ τοξεύματα, μόνοι δὲ οἴδασιν οἱ ἐρῶντες τὰ τῶν 4 ὁμοίων τραύματα. Ἔτι μόνον ἔχω ταύτην τὴν ἡμέραν· τὴν ὑπόσχεσιν ἀπαιτῶ. Ἀναμνήσθητι τῆς Ἴσιδος, αἰδέσθητι τοὺς ὅρκους τοὺς ἐκεῖ. Εἰ μὲν γὰρ καὶ συνοικεῖν ἤθελες, ὥσπερ ὤμοσας, οὐκ ἂν ἐφρόντισα Θερσάνδρων μυρίων· ἐπεὶ δὲ Λευκίππην εὑρόντι σοι γάμος ἀδύνατος ἄλλης γυναικός, ἑκοῦσά σοι τοῦτο παραχωρῶ· οἶδα νικωμένη· οὐκ αἰτῶ πλέον ἢ δύναμαι τυχεῖν· κατ' ἐμοῦ γὰρ πάντα καινά· ἀνα-5 βιοῦσι καὶ νεκροί. Ὦ θάλασσα, πλέουσαν μέν με διέσωσας, σώσασα δὲ μᾶλλον ἀπολώλεκας, δύο ἀποστείλασα κατ' ἐμοῦ νεκρούς· ἤρκει γὰρ Λευκίππη

1 post κάλλους: καλοῦ

μόνη ξήσασα, ἵνα μηκέτι λυπῆται Κλειτοφῶν· νῦν δὲ καὶ ὁ ἄγριος Θέρσανδρος ἡμῖν πάρεστι. Τετύπτησαι βλεπούσης μου, καὶ βοηθεῖν ἡ δυστυχὴς οὐκ ἠδυνάμην· ἐπὶ τοῦτο τὸ πρόσωπον πληγαὶ κατηνέχθησαν, ὦ θεοί. Δοκῶ, τυφλὸς Θέρσανδρος ἦν. Ἀλλὰ δέομαι, Κλειτοφῶν δέσποτα (δεσπότης γὰρ εἶ ψυχῆς τῆς ἐμῆς), ἀπόδος σεαυτὸν τήμερον πρῶτα καὶ ὕστατα· ἐμοὶ δὲ ἡμέραι τὸ βραχὺ τοῦτο πολλαί. Οὕτω μηκέτι Λευκίππην ἀπολέσειας, οὕτω μηκέτι μηδὲ ψευδῶς ἀποθάνοι. Μὴ ἀτιμάσῃς τὸν ἔρωτα τὸν ἐμόν, δι' ὃν τὰ μέγιστα εὐτυχεῖς. Οὗτός σοι Λευκίππην ἀποδέδωκεν. Εἰ γάρ σου μὴ ἠράσθην ἐγώ, εἰ γάρ σε μὴ ἐνταῦθα ἤγαγον, ἦν ἂν ἔτι σοι Λευκίππη νεκρά. Εἰσίν, ὦ Κλειτοφῶν, καὶ Τύχης δωρεαί. Ἤδη τις θησαυρῷ περιτυχὼν τὸν τόπον τῆς εὑρέσεως ἐτίμησε, βωμὸν ἤγειρε, θυσίαν προσήνεγκεν, ἐστεφάνωσε τὴν γῆν· σὺ δὲ παρ' ἐμοὶ θησαυρὸν Ἔρωτος εὑρὼν ἀτιμάζεις τὴν εὐεργετήσασαν. Νόμιζέ σοι τὸν Ἔρωτα δι' ἐμοῦ λέγειν· ἐμοὶ χάρισαι τοῦτο, Κλειτοφῶν, τῷ σῷ μυσταγωγῷ· μὴ ἀμύητον τὴν Μελίτην ἀπέλθῃς καταλιπών· καὶ τὸ ταύτης ἐμόν ἐστι πῦρ. Ἄκουσον δὲ ὡς καὶ τἄλλα μοι μέλει περὶ σοῦ. Λυθήσῃ μὲν γὰρ ἄρτι τῶν δεσμῶν, κἂν Θερσάνδρῳ μὴ δοκῇ· καταγωγῆς δὲ τεύξῃ τοσούτων ἡμερῶν, ὅσων ἂν θέλῃς, πρὸς ἐμὸν σύντροφον· ἔωθεν δὲ καὶ τὴν Λευκίππην παρέσεσθαι προσδόκα. Διανυκτερεύσειν γὰρ ἔλεγεν εἰς τὸν ἀγρὸν βοτανῶν ἕνεκεν χάριν, ὡς ἐν ὄψει τῆς σελήνης αὐτὰς ἀναλάβοι. Οὕτως γάρ μου κατεγέλα· ἤτησα γὰρ φάρμακον παρ' αὐτῆς ὡς Θεττα-
λῆς κατὰ σοῦ. Τί γὰρ ἠδυνάμην ἔτι ποιεῖν ἀποτυγχάνουσα ἢ βοτάνας ζητεῖν καὶ φάρμακα; αὕτη γὰρ τῶν ἐν ἔρωτι δυστυχούντων ἡ καταφυγή. Ὁ Θέρ-

6 11 12 13

σανδρος δέ, ὡς καὶ περὶ τούτου θαρρήσης, ἐξεπήδησε πρὸς ἑταῖρον αὐτοῦ, ἐξιστάμενος ἐμοὶ τῆς οἰκίας ὑπὸ ὀργῆς· δοκεῖ δ' ἔμοιγε θεός τις αὐτὸν ἐντεῦθεν ἐξεληλακέναι, ἵνα σου τὰ τελευταῖα ταῦτα δυνηθῶ τυχεῖν. Ἀλλά μοι σαυτὸν ἀπόδος."

27 Ταῦτα φιλοσοφήσασα (διδάσκει γὰρ ὁ Ἔρως καὶ λόγους) ἔλυε τὰ δεσμὰ καὶ τὰς χεῖρας κατεφίλει καὶ τοῖς ὀφθαλμοῖς καὶ τῇ καρδίᾳ προσέφερε καὶ εἶπεν "ὁρᾷς πῶς πηδᾷ καὶ πάλλει πυκνὸν παλμὸν ἀγωνίας γέμοντα καὶ ἐλπίδος (γένοιτο δὲ καὶ ἡδονῆς) καὶ
2 ἔοικεν ἱκετεύειν σε τῷ πηδήματι." Ὡς οὖν με ἔλυσε καὶ περιέβαλε κλάουσα, ἔπαθόν τι ἀνθρώπινον, καὶ ἀληθῶς ἐφοβήθην τὸν Ἔρωτα μή μοι γένηται μήνιμα ἐκ τοῦ θεοῦ καὶ ἄλλως ὅτι Λευκίππην ἀπειλήφειν, καὶ ὅτι μετὰ ταῦτα τῆς Μελίτης ἀπαλλάττεσθαι ἔμελλον, καὶ ὅτι οὐδὲ γάμος ἔτι τὸ πραττόμενον ἦν,
3 ἀλλὰ φάρμακον ὥσπερ ψυχῆς νοσούσης. Περιβαλούσης οὖν ἠνειχόμην καὶ περιπλεκομένης πρὸς τὰς περιπλοκὰς οὐκ ἀντέλεγον· καὶ ἐγένετο ὅσα ὁ Ἔρως ἤθελεν οὔτε στρωμνῆς ἡμῶν δεηθέντων οὔτε ἄλλου
4 τινὸς τῶν εἰς παρασκευὴν ἀφροδισίων. Αὐτουργὸς γὰρ ὁ Ἔρως καὶ αὐτοσχέδιος σοφιστὴς καὶ πάντα τόπον αὐτῷ τιθέμενος μυστήριον. Τὸ δ' ἀπερίεργον εἰς Ἀφροδίτην ἥδιον μᾶλλον τοῦ πολυπράγμονος· αὐτοφυῆ γὰρ ἔχει τὴν ἡδονήν.

ζ

Ἐπεὶ οὖν τὴν Μελίτην ἰασάμην, λέγω πρὸς αὐτὴν "ἀλλ' ὅπως μοι τῆς φυγῆς παράσχῃς τὴν ἀσφά-

λειαν καὶ τἆλλα ὅσα ὑπέσχου περὶ Λευκίππης." "Μὴ φροντίσῃς" εἶπε "τοῦ γε κατ' ἐκείνην μέρους, ἀλλ' ἤδη νόμιζε Λευκίππην ἔχειν· σὺ δὲ ἔνδυθι τὴν ἐσθῆτα τὴν ἐμὴν καὶ κλέπτε τὸ πρόσωπον τῷ πέπλῳ. 5 Ἡγήσεται δέ σοι τῆς ἐπὶ τὰς θύρας ὁδοῦ Μελανθώ, 2 περιμένει δέ σε καὶ νεανίσκος ἐπ' αὐταῖς ταῖς θύραις, ᾧ προστεταγμένον ἐστὶν ἐξ ἐμοῦ κομίσαι σε εἰς τὴν οἰκίαν, οὗ καὶ Κλεινίαν καὶ Σάτυρον εὑρήσεις καὶ Λευκίππη σοι παρέσται." Ταῦτα ἅμα λέγουσα ἐσκεύ- 3 10 ασέ με ὡς ἑαυτὴν καὶ καταφιλοῦσα "ὡς εὐμορφότερος" ἔφη "παρὰ πολὺ γέγονας τῇ στολῇ. Τοιοῦτον Ἀχιλλέα ποτε ἐθεασάμην ἐν γραφῇ. Ἀλλά μοι, φίλτατε, σώζοιο, καὶ τὴν ἐσθῆτα ταύτην φύλαττε μνήμην· ἐμοὶ δὲ τὴν σὴν κατάλιπε, ὡς ἂν ἔχοιμι ἐνδυο- 15 μένη σοι περικεχύσθαι." Δίδωσι δέ μοι καὶ χρυσοῦς 4 ἑκατὸν καὶ καλεῖ τὴν Μελανθώ· θεράπαινα δὲ ἦν αὕτη τῶν πιστῶν καὶ ἐφήδρευε ταῖς θύραις. Ὡς δὲ εἰσῆλθε, λέγει περὶ ἐμοῦ τὰ συγκείμενα καὶ κελεύει πάλιν ἀναστρέφειν πρὸς αὐτήν, ἐπειδὰν ἔξω γένωμαι 20 τῶν θυρῶν.

Ἐγὼ μὲν δὴ τοῦτον τὸν τρόπον ὑπεκδύομαι, καὶ 2 ὁ φύλαξ τοῦ οἰκήματος ἀνεχώρησε νομίσας τὴν δέσποιναν εἶναι, νευσάσης αὐτῷ τῆς Μελανθοῦς· καὶ διὰ τῶν ἐρήμων τῆς οἰκίας ἐπί τινα θύραν οὐκ ἐν 25 ὁδῷ κειμένην ἔρχομαι, καί με ὁ πρὸς τῆς Μελίτης ταύτῃ προστεταγμένος ἀπολαμβάνει. Ἀπελεύθερος 2 δὲ οὗτος τῶν συμπεπλευκότων ἦν ἡμῖν καὶ ἄλλως ἐμοὶ κεχαρισμένος. Ὡς δὲ ἀνέστρεψεν ἡ Μελανθώ, καταλαμβάνει τὸν φρουρὸν ἄρτι ἐπικλείσαντα τὸ 30 αἴκημα, καὶ ἀνοίγειν ἐκέλευσεν αὖθις. Ὡς δὲ ἀνέῳξε, 3 καὶ παρελθοῦσα ἐμήνυσε τῇ Μελίτῃ τὴν ἔξοδον τὴν ἐμήν, καλεῖ τὸν φύλακα· κἀκεῖνος, ὡς τὸ εἰκός,

θέαμα ἰδὼν παραδοξότατον ἐξεπλάγη καὶ ἔστη σιω-
4 πῇ. Λέγει οὖν πρὸς αὐτὸν "οὐκ ἀπιστοῦσά σοι μὴ
οὐκ ἐθελήσῃς ἀφεῖναι Κλειτοφῶντα, ταύτης ἐδεήθην
τῆς κλοπῆς, ἀλλ' ἵνα σοι πρὸς Θέρσανδρον ἡ τῆς
5 αἰτίας ἀπόλυσις ᾖ ὡς οὐ συνεγνωκότι. Χρυσοῖ δέ 5
σοι οὗτοι δῶρον δέκα, δῶρον μέν, ἂν ἐνταῦθα μεί-
νῃς, παρὰ Κλειτοφῶντος· ἐὰν δὲ νομίσῃς φυγεῖν
βέλτιον, ἐφόδιον." Καὶ ὁ Πασίων (τοῦτο γὰρ ἦν
ὄνομα τῷ φύλακι) "πάνυ" ἔφη "δέσποινα, τὸ σοὶ δο-
6 κοῦν κἀμοὶ δοκεῖ καλῶς ἔχειν." Ἔδοξεν οὖν τῇ Με- 10
λίτῃ τὸ νῦν ἀναχωρεῖν· ὅταν δ' ἐν καλῷ θῆται τὰ
πρὸς τὸν ἄνδρα καὶ γένηται τὰ τῆς ὀργῆς ἐν γαλήνῃ,
τότε μετιέναι.

3 Καὶ ὁ μὲν οὕτως ἔπραξεν· ἐμοὶ δὲ ἡ συνήθης τύχη
πάλιν ἐπιτίθεται καὶ συντίθεται κατ' ἐμοῦ δρᾶμα καιν- 15
όν· ἐπάγει γάρ μοι τὸν Θέρσανδρον αὖθις ἐπανελ-
θόντα. Μεταπεισθεὶς γὰρ ὑπὸ τοῦ φίλου, πρὸς ὃν
ᾤχετο, μὴ ἀπόκοιτος γενέσθαι, δειπνήσας πάλιν
2 ἀνέστρεφεν ἐπὶ τὴν οἰκίαν. Ἦν δὲ τῆς Ἀρτέμιδος
ἱερομηνία, καὶ μεθυόντων πάντα μεστά, ὥστε καὶ 20
δι' ὅλης [[τῆς]] νυκτὸς τὴν ἀγορὰν ἅπασαν κατεῖχε
πλῆθος ἀνθρώπων. Κἀγὼ μὲν ἐδόκουν τοῦτο μόνον
εἶναι δεινόν· ἐλελήθει δὲ καὶ ἄλλο τεχθέν μοι χαλε-
3 πώτερον. Ὁ γὰρ Σωσθένης ὁ τὴν Λευκίππην ὠνη-
σάμενος, ὃν ἡ Μελίτη τῆς τῶν ἀγρῶν ἐκέλευσεν ἀπο- 25
στῆναι διοικήσεως, μαθὼν παρεῖναι τὸν δεσπότην
τούς τε ἀγροὺς οὐκέτι ἀφῆκε τήν τε Μελίτην ἤθε-
4 λεν ἀμύνασθαι. Καὶ πρῶτον μὲν φθάσας καταμηνύει
μου πρὸς τὸν Θέρσανδρον· ὁ γὰρ διαβαλὼν αὐτὸς

---

1 post παραδοξότατον: τῆς κατὰ τὴν ἔλαφον ἀντὶ παρ-
θένου παροιμίας

ἦν· ἔπειτα καὶ περὶ Λευκίππης λέγει τι πάνυ πιθανῶς πλασάμενος. Ἐπεὶ γὰρ αὐτὸς αὐτῆς ἀπεγνώκει τυχεῖν, μαστροπεύει πρὸς τὸν δεσπότην, ὡς ἂν αὐτὸν τῆς Μελίτης ἀπαγάγοι, "κόρην ἐωνησάμην, ὦ δέσποτα, χρῆμά τι κάλλους ἄπιστον. Οὕτως αὐτὴν πιστεύσειας ἀκούων, ὡς ἰδών. Ταύτην ἐφύλαττόν σοι· καὶ γὰρ ἠκηκόειν ζῶντά σε, καὶ ἐπίστευον, διόπερ ἤθελον· ἀλλ' οὐκ ἐξέφαινον, ἵνα τὴν δέσποιναν ἐπ' αὐτοφώρῳ καταλάβοις, καὶ μή σου καταγελῴη μοιχὸς ἄτιμος καὶ ξένος. Ἀφῄρηται δὲ ταύτην χθὲς ἡ δέσποινα καὶ ἔμελλεν ἀποπέμψειν· ἡ τύχη δὲ ἐτήρησέ σοι, ὥστε τοσοῦτον κάλλος λαβεῖν. Ἔστι δὲ νῦν ἐν τοῖς ἀγροῖς, οὐκ οἶδ' ὅπως πρὸς αὐτῆς ἀπεσταλμένη. Πρὶν οὖν αὖθις ἐπανελθεῖν, εἰ θέλεις, κατακλείσας αὐτὴν φυλάξω σοι, ὡς ὑπὸ σοὶ γένοιτο."

Ἐπῄνεσεν ὁ Θέρσανδρος καὶ ἐκέλευσε τοῦτο ποιεῖν. Ἔρχεται δὴ σπουδῇ μάλα ὁ Σωσθένης εἰς τοὺς ἀγρούς, καὶ τὴν καλύβην ἑωρακώς, ἔνθα ἡ Λευκίππη διαυνκτερεύειν ἔμελλε, δύο τῶν ἐργατῶν παραλαβών, τοὺς μὲν κελεύει τὰς θεραπαινίδας, αἵπερ ἦσαν ἅμα τῇ Λευκίππῃ παροῦσαι, περιελθεῖν δόλῳ καὶ καλεσαμένους ὅτι πορρωτάτω διατρίβειν ἔχοντας ἐφ' ὁμιλίᾳ· δύο δὲ ἄλλους ἐπαγαγών, ὡς εἶδε τὴν Λευκίππην μόνην, εἰσπηδήσας καὶ τὸ στόμα ἐπισχὼν συναρπάζει καὶ κατὰ θάτερα τῆς τῶν θεραπαινίδων ἐκτροπῆς χωρεῖ, φέρων εἴς τι δωμάτιον ἀπόρρητον, καὶ καταθέμενος λέγει πρὸς αὐτήν "ἥκω σοι φέρων σωρὸν ἀγαθῶν, ἀλλ' ὅπως εὐτυχήσασα μὴ ἐπιλήσῃ μου. Μὴ γὰρ φοβηθῇς ταύτην τὴν ἁρπαγήν, μηδὲ

5 post δέσποτα: καλήν, ἀλλά

ἐπὶ κακῷ τῷ σῷ γεγονέναι δόξῃς· αὕτη γὰρ τὸν δεσπότην τὸν ἐμὸν ἐραστήν σοι προξενεῖ."

Ἡ μὲν δὴ τῷ παραλόγῳ τῆς συμφορᾶς ἐκπλαγεῖσα ἐσιώπησεν, ὁ δὲ ἐπὶ τὸν Θέρσανδρον ἔρχεται καὶ λέγει τὰ πεπραγμένα· ἔτυχε δὲ ὁ Θέρσανδρος
4 ἐπανιὼν εἰς τὴν οἰκίαν. Τοῦ δὲ Σωσθένους αὐτῷ μηνύσαντος τὰ περὶ τῆς Λευκίππης καὶ κατατραγῳδοῦντος αὐτῆς τὸ κάλλος, μεστὸς γενόμενος ἐκ τῶν εἰρημένων ὡσεὶ κάλλους φαντάσματος, φύσει καλοῦ, πανυχίδος οὔσης καὶ ὄντων μεταξὺ τεττάρων σταδίων ἐπὶ τοὺς ἀγρούς, ἡγεῖσθαι κελεύσας ἐπ' αὐτὴν χωρεῖν ἔμελλεν.

5 Ἐν τούτῳ δὲ ἐγὼ τὴν ἐσθῆτα τῆς Μελίτης εἶχον ἠμφιεσμένος καὶ ἀπερισκέπτως ἐμπίπτω κατὰ πρόσωπον αὐτοῖς, καί με ὁ Σωσθένης πρῶτος γνωρίσας "ἀλλ' ἰδοὺ" φησὶν "οὗτος ὁ μοιχὸς βακχεύων ἡμῖν
2 ἔπεισι καὶ τῆς σῆς γυναικὸς ἔχων λάφυρα." Ὁ μὲν οὖν νεανίσκος ἔτυχε προηγούμενος καὶ προϊδὼν ἀποφεύγει, μὴ λαβὼν καιρὸν ὑπὸ δέους κἀμοὶ προμηνῦσαι· ἐμὲ δὲ ἰδόντες συλλαμβάνουσι, καὶ ὁ Θέρσανδρος βοᾷ, καὶ πλῆθος τῶν πανυχιζόντων
3 συνέρρει. Ἔτι μᾶλλον οὖν ὁ Θέρσανδρος ἐδεινοπάθει, ῥητὰ μὲν καὶ ἄρρητα βοῶν, τὸν μοιχόν, τὸν λωποδύτην· ἄγει δέ με εἰς τὸ δεσμωτήριον καὶ παρα-
4 δίδωσιν ἔγκλημα μοιχείας ἐπιφέρων. Ἐμὲ δὲ ἐλύπει τούτων μὲν οὐδέν, οὔθ' ἡ τῶν δεσμῶν ὕβρις οὔθ' ἡ τῶν λόγων αἰκία· καὶ γὰρ ἐθάρρουν τῷ λόγῳ περιέσεσθαι μὴ μοιχὸς εἶναι, γῆμαι δὲ ἐμφανῶς· δέος δέ με περὶ τῆς Λευκίππης εἶχεν οὔπω σαφῶς
5 αὐτὴν ἀπολαβόντα. Ψυχαὶ δὲ πεφύκασι μάντεις τῶν κακῶν, ἐπεὶ τῶν γε ἀγαθῶν ἥκιστα ἐκ μαντείας εὐστοχοῦμεν. Οὐδὲν οὖν ὑγιὲς ἐνενόουν

περὶ τῆς Λευκίππης, ἀλλ' ἦν ὑποπτά μοι πάντα καὶ μεστὰ δείματος.

Ἐγὼ μὲν οὖν οὕτως εἶχον τὴν ψυχὴν κακῶς· ὁ 6
δὲ Θέρσανδρος ἐμβαλών με εἰς τὸ δεσμωτήριον, ὡς
εἶχεν ὁρμῆς ἐπὶ τὴν Λευκίππην ἴεται. Ὡς δὲ παρῆ-
σαν ἐπὶ τὸ δωμάτιον, καταλαμβάνουσιν αὐτὴν χα-
μαὶ κειμένην, ἐν νῷ καθεστηκυῖαν ὧν ἔτυχεν ὁ Σω-
σθένης εἰπών, ἐμφαίνουσαν τοῖς προσώποις λύπην
ὁμοῦ καὶ δέος. Ὁ γὰρ νοῦς οὔ μοι δοκεῖ λελέχθαι 2
καλῶς ἀόρατος εἶναι τὸ παράπαν· φαίνεται γὰρ ἀκρι-
βῶς ὡς ἐν κατόπτρῳ τῷ προσώπῳ· ἡσθείς τε γὰρ
ἐξέλαμψε τοῖς ὀφθαλμοῖς εἰκόνα χαρᾶς, καὶ ἀνιαθεὶς
συνέστειλε τὸ πρόσωπον εἰς τὴν ὄψιν τῆς συμφορᾶς.
Ὡς οὖν ἤκουσεν ἡ Λευκίππη ἀνοιγομένων τῶν θυρῶν 3
(ἦν δ' ἔνδον λύχνος), ἀνανεύσασα μικρὸν αὖθις τοὺς
ὀφθαλμοὺς κατέβαλεν. Ἰδὼν δὲ ὁ Θέρσανδρος τὸ
κάλλος ἐκ παραδρομῆς, ὡς ἁρπαζομένης ἀστραπῆς
(μάλιστα γὰρ ἐν τοῖς ὀφθαλμοῖς κάθηται τὸ κάλλος),
ἀφῆκε τὴν ψυχὴν ἐπ' αὐτὴν καὶ εἱστήκει τῇ θέᾳ δε-
δεμένος, ἐπιτηρῶν πότε αὖθις ἀναβλέψει πρὸς αὐτόν.
Ὡς δὲ ἔνευσεν εἰς τὴν γῆν, λέγει "τί κάτω βλέπεις, 4
γύναι; τί δέ σου τὸ κάλλος τῶν ὀφθαλμῶν εἰς τὴν
γῆν καταρρεῖ; ἐπὶ τοὺς ὀφθαλμοὺς μᾶλλον ῥεέτω
τοὺς ἐμούς."

Ἡ δὲ ὡς ἤκουσεν, ἐνεπλήσθη δακρύων, καὶ 7
εἶχεν αὐτῆς ἴδιον κάλλος καὶ τὰ δάκρυα. Δάκρυον
γὰρ ὀφθαλμὸν ἀνίστησι καὶ ποιεῖ προπετέστερον·
κἂν μὲν ἄμορφος ᾖ καὶ ἄγροικος, προστίθησιν εἰς
δυσμορφίαν· ἐὰν δὲ ἡδὺς καὶ τοῦ μέλανος ἔχων τὴν
βαφὴν ἠρέμα τῷ λευκῷ στεφανούμενος, ὅταν τοῖς
δάκρυσιν ὑγρανθῇ, ἔοικε πηγῆς ἐγκύμονι μα-
ζῷ. Χεομένης δὲ τῆς τῶν δακρύων ἅλμης περὶ τὸν 2

κύκλον, τὸ μὲν [λευκὸν] πιαίνεται, τὸ δὲ μέλαν πορφύρεται, καὶ ἔστιν ὅμοιον τὸ μὲν ἴῳ, τὸ δὲ νάρκίσσῳ· τὰ δὲ δάκρυα τῶν ὀφθαλμῶν ἔνδον εἱλούμενα
3 γελᾷ. Τοιαῦτα Λευκίππης ἦν τὰ δάκρυα, αὐτὴν τὴν λύπην εἰς κάλλος νενικηκότα· εἰ δὲ ἠδύνατο παγῆναι πεσόντα, καινὸν ἂν εἶχεν ἤλεκτρον ἡ γῆ. Ὁ δὲ Θέρσανδρος ἰδὼν πρὸς μὲν τὸ κάλλος ἐκεχήνει, πρὸς δὲ τὴν λύπην ἐξεμεμήνει καὶ τοὺς ὀφθαλμοὺς δα-
4 κρύων ἐγκύους εἶχεν. Ἔστι μὲν γὰρ φύσει δάκρυον ἐπαγωγότατον ἐλέου τοῖς ὁρῶσι, τὸ δὲ τῶν γυναικῶν μᾶλλον· ὅσῳ [γὰρ] θαλερώτερον, τοσούτῳ καὶ γοητότερον. Ἐὰν δὲ ἡ δακρύουσα ᾖ καὶ καλὴ καὶ ὁ θεατὴς ἐραστής, οὐδ' ὀφθαλμὸς ἀτρεμεῖ, ἀλλὰ τὸ δα-
5 κρύον ἐμιμήσατο. Ἐπειδὴ γὰρ εἰς τὰ ὄμματα τῶν καλῶν τὸ κάλλος κάθηται, ῥέον ἐκεῖθεν ἐπὶ τοὺς ὀφθαλμοὺς τῶν ὁρώντων ἵσταται καὶ τῶν δακρύων τὴν πηγὴν συνεφέλκεται. Ὁ δὲ ἐραστὴς δεξάμενος ἄμφω τὸ μὲν κάλλος εἰς τὴν ψυχὴν ἥρπασε, τὸ δὲ δάκρυον εἰς τοὺς ὀφθαλμοὺς ἐτήρησεν, ὁραθῆναι δὲ εὔχεται, καὶ ἀποψήσασθαι δυνάμενος οὐκ ἐθέλει, ἀλλὰ τὸ δάκρυον, ὡς δύναται, κατέχει καὶ φοβεῖται
6 μὴ πρὸ καιροῦ φύγῃ. Ὁ δὲ καὶ τῶν ὀφθαλμῶν τὴν κίνησιν ἐπέχει, μὴ πρὶν τὸν ἐρώμενον ἰδεῖν ταχὺ θελήσῃ πεσεῖν· μαρτυρίαν γὰρ ταύτην νενόμικεν ὅτι
7 καὶ φιλεῖ. Τοιοῦτό τι τῷ Θερσάνδρῳ συμβεβήκει· ἐδάκρυε γὰρ πρὸς ἐπίδειξιν, παθὼν μέν τι, κατὰ τὸ εἰκός, ἀνθρώπινον, καλλωπιζόμενος δὲ πρὸς τὴν Λευκίππην, ὡς διὰ τοῦτο δεδακρυμένος, ὅτι κἀκείνη
8 δακρύει. Λέγει οὖν πρὸς τὸν Σωσθένην προσκύψας "νῦν μὲν αὐτὴν θεράπευσον, ὁρᾷς γὰρ ὡς ἔχει λύπης· ὥστε ὑπεκστήσομαι καὶ μάλα ἄκων, ὡς [ἂν] μὴ ὀχληρὸς εἶην· ὅταν δ' ἡμερώτερον διατεθῇ, τότε

αὐτῇ διαλεχθήσομαι. Σὺ δέ, ὦ γύναι, θάρρει· ταχὺ 9
γάρ σου ταῦτα τὰ δάκρυα ἰάσομαι." Εἶτα πρὸς τὸν
Σωσθένην πάλιν ἐξιὼν "ὅπως εἶπῃς τὰ εἰκότα περὶ
ἐμοῦ· ἔωθεν δὲ ἧκε πρός με κατορθώσας" ἔφη. Ἐπὶ
τούτοις ἀπηλλάττετο.

Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, ἔτυχεν ἐπὶ τὴν Λευ- 8
κίππην μετὰ τὴν πρός με ὁμιλίαν εὐθὺς εἰς τοὺς
ἀγροὺς ἡ Μελίτη νεανίσκον ἀποστείλασα, ἐπείγειν
αὐτὴν εἰς τὴν ἐπάνοδον, μηδὲν ἔτι δεομένη φαρμά-
κων. Ὡς οὖν ἧκεν οὗτος εἰς τοὺς ἀγρούς, καταλαμ- 2
βάνει τὰς Θεραπαινίδας ζητούσας τὴν Λευκίππην καὶ
πάνυ τεταραγμένας· ὡς δὲ ἦν οὐδαμοῦ, δρόμῳ φθά-
σας ἀπήγγειλε τὸ συμβάν. Ἡ δὲ ὡς ἤκουσε τὰ περὶ 3
ἐμοῦ, ὡς εἴην εἰς τὸ δεσμωτήριον ἐμβληθείς, εἶτα
περὶ τῆς Λευκίππης, ὡς ἀφανὴς ἐγένετο, νέφος αὐτῆς
κατεχύθη λύπης. Καὶ τὸ μὲν ἀληθὲς οὐκ εἶχεν εὑρεῖν, 4
ὑπενόει δὲ τὸν Σωσθένην· βουλομένη δὲ φανερὰν
αὐτῆς τὴν ζήτησιν ποιήσασθαι διὰ τοῦ Θερσάνδρου,
τέχνην λόγων ἐπενόησεν, ἥτις μεμιγμένην εἶχε τῷ
σοφίσματι τὴν ἀλήθειαν.

Ἐπεὶ γὰρ ὁ Θέρσανδρος εἰσελθὼν εἰς τὴν οἰκίαν 9
ἐβόα πάλιν [["σὺ]] τὸν μοιχὸν ἐξέκλεψας· σὺ τῶν
δεσμῶν ἐξέλυσας καὶ τῆς οἰκίας ἐξαπέστειλας· σὸν τὸ
ἔργον· τί οὖν οὐκ ἠκολούθεις αὐτῷ; τί δὲ ἐνταῦθα
μένεις, ἀλλ' οὐκ ἄπει πρὸς τὸν ἐρώμενον, ἵνα αὐτὸν
ἴδῃς στερροτέροις δεσμοῖς δεδεμένον;" ἡ Μελίτη
"ποῖον μοιχόν;" ἔφη· "τί πάσχεις; εἰ γὰρ θέλεις
τὴν μανίαν ἀφεὶς ἀκοῦσαι τὸ πᾶν, μαθήσῃ ῥᾳδίως
τὴν ἀλήθειαν. Ἔν οὖν σου δέομαι, γενοῦ μοι δικα- 2
στὴς ἴσος, καὶ καθήρας μέν σου τὰ ὦτα τῆς διαβολῆς,
ἐκβαλὼν δὲ τῆς καρδίας τὴν ὀργήν, τὸν δὲ λογισμὸν
ἐπιστήσας κριτὴν ἀκέραιον ἄκουσον. Ὁ νεανίσκος

οὗτος οὔτε μοιχὸς ἦν ἐμὸς οὔτ' ἀνήρ, ἀλλὰ τὸ μὲν γένος ἀπὸ Φοινίκης, Τυρίων οὐδενὸς δεύτερος· ἔπλευσε δὲ καὶ αὐτὸς οὐκ εὐτυχῶς, ἀλλὰ πᾶς ὁ φόρτος αὐτοῦ γέγονε τῆς θαλάσσης. Ἀκούσασα τὴν τύχην ἠλέησα καὶ ἀνεμνήσθην σου, καὶ παρέσχον ἑστίαν ‹τάχα› λέγουσα ‹καὶ Θέρσανδρος οὕτω που πλανᾶται· τάχα› λέγουσα ‹τὶς κἀκεῖνον ἐλεήσει γυνή. Εἰ δὲ τῷ ὄντι τέθνηκε κατὰ τὴν θάλασσαν, ὡς ἡ φήμη λέγει, φέρε πάντα τιμήσωμεν τὰ ναυάγια.' Πόσους καὶ ἄλλους ἔθρεψα νεναυαγηκότας; πόσους ἔθαψα τῆς θαλάσσης νεκρούς; Εἰ ξύλον ἐκ ναυαγίας τῇ γῇ προσπεσὸν ἐλάμβανον, ‹τάχα› ἔλεγον ‹ἐπὶ ταύτης τῆς νεὼς Θέρσανδρος ἔπλει.' Εἶς δὴ καὶ οὗτος ἦν τῶν ἐκ τῆς θαλάσσης σωζομένων· ἐχαριζόμην σοὶ τιμῶσα τοῦτον. Ἔπλευσεν ὥσπερ σύ· ἐτίμων φίλτατε, τῆς ⟦σῆς⟧ συμφορᾶς τὴν εἰκόνα. Πῶς οὖν ἐνταῦθα συνεπηγόμην; ὁ λόγος ἀληθής. Ἔτυχε μὲν πενθῶν γυναῖκα, ἡ δ' ἄρα ἐλάνθανεν οὐκ ἀποθανοῦσα· τοῦτό τις αὐτῷ καταγορεύει καὶ ὡς ἐνταῦθα εἴη παρά τινι τῶν ἡμετέρων ἐπιτρόπων· Σωσθένην δὲ ἔλεγε. Καὶ οὔτως εἶχε· τὴν γὰρ ἄνθρωπον ἥκοντες εὕρομεν. Διὰ τοῦτο ἠκολούθησέ μοι. Ἔχεις τὸν Σωσθένην, πάρεστιν ἡ γυνὴ κατὰ τοὺς ἀγρούς. Ἐξέτασον τῶν λεχθέντων ἕκαστον. Εἴ τι ἐψευσάμην, μεμοίχευμαι."

Ταῦτα δὲ ἔλεγε προσποιησαμένη τὸν ἀφανισμὸν τῆς Λευκίππης μὴ ἐγνωκέναι· ταμιευσαμένη αὖθις, εἰ ζητήσει ὁ Θέρσανδρος εὑρεῖν τὴν ἀλήθειαν, τὰς θεραπαινίδας ἀγαγεῖν, αἷς συναπελθοῦσα ἔτυχεν, ἂν ⟦μὴ⟧ παραγένηται περὶ τὴν ἕω, λεγούσας, ὅπερ

---

9 post τιμήσωμεν: αὐτοῦ

14 post σωζομένων: ἔσχατος

ἦν, οὐδαμοῦ φαίνεσθαι τὴν κόρην. Οὕτω γὰρ αὐ- 2
τὴν ἐγκεῖσθαι πρὸς τὴν ζήτησιν φανερῶς, ὡς καὶ
τὸν Θέρσανδρον ἐπαναγκάσαι. Ταῦτα οὖν ὑποκριναμένη πιθανῶς κἀκεῖνα προσετίθει "πίστευσον, ἄνερ·
οὐδέν μου, φίλτατε, παρὰ τὸν τῆς συμβιώσεως κατέγνωκας χρόνον· μηδὲ νῦν τοιοῦτον ὑπολάβῃς. Ἡ δὲ 3
φήμη διαπεφοίτηκεν ἐκ τῆς εἰς τὸν νεανίσκον τιμῆς,
οὐκ εἰδότων τῶν πολλῶν τὴν αἰτίαν τῆς κοινωνίας.
Καὶ γὰρ σὺ φήμῃ τέθνηκας. Φήμη δὲ καὶ Διαβολὴ 4
δύο συγγενῆ κακά· θυγάτηρ ἡ Φήμη τῆς Διαβολῆς.
Καὶ ἔστι μὲν ἡ Διαβολὴ μαχαίρας ὀξυτέρα, πυρὸς
σφοδροτέρα, Σειρήνων πιθανωτέρα· ἡ δὲ Φήμη ὕδατος ὑγροτέρα, πνεύματος δρομικωτέρα, πτερῶν ταχυτέρα. Ὅταν οὖν ἡ Διαβολὴ τοξεύσῃ τὸν λόγον, ὁ 5
μὲν δίκην βέλους ἐξίπταται καὶ τιτρώσκει μὴ παρόντα καθ' οὗ πέμπεται, ὁ δὲ ἀκούων ταχὺ πείθεται
καὶ ὀργῆς αὐτῷ πῦρ ἐξάπτεται καὶ ἐπὶ τὸν βληθέντα
μαίνεται· τεχθεῖσα δὲ ἡ Φήμη τῷ τοξεύματι ῥεῖ
μὲν εὐθὺς πολλὴ καὶ ἐπικλύζει τὰ ὦτα τῶν ἐντυχόντων, διάττει δὲ ἐπὶ πλεῖστον καταιγίζουσα τῷ τοῦ
λόγου πνεύματι καὶ ἐξίπταται κουφιζομένη τῷ τῆς
γλώττης πτερῷ. Ταῦτά με τὰ δύο πολεμεῖ· ταῦτά 6
σου τὴν ψυχὴν κατέλαβε καὶ ἀπέκλεισέ μου τοῖς λόγοις τῶν ὤτων σου τὰς θύρας."

[[Καὶ]] ἅμα λέγουσα χειρός τε ἔθιγε καὶ καταφι- 11
λεῖν ἤθελεν. Ἐγεγόνει δὲ ἡμερώτερος, καὶ αὐτὸν
ἔσαινε τῶν λεγομένων τὸ πιθανόν, καὶ τὸ τῆς Λευκίππης σύμφωνον τῷ λόγῳ τοῦ Σωσθένους μέρος
τῆς ὑπονοίας μετέφερεν· οὐ μέντοι τέλεον ἐπίστευσε· ζηλοτυπία γὰρ ἅπαξ ἐμπεσοῦσα ψυχῇ δυσέκνιπτόν ἐστιν. Ἐθορυβήθη οὖν ὅτι τὴν κόρην ἤκουσεν 2
εἶναί μου γυναῖκα, ὥστε ἐμίσει με μᾶλλον. Τότε μὲν

οὖν εἰπὼν ἐξετάσειν περὶ τῶν εἰρημένων, κοιμησόμενος ᾤχετο καθ' αὑτόν· ἡ δὲ Μελίτη κακῶς εἶχε τὴν ψυχήν, ὡς ἐκπεσοῦσα πρός με τῆς ὑποσχέσεως.

3 Ὁ δὲ Σωσθένης προπέμψας μέχρι τινὸς τὸν Θέρσανδρον καὶ καθυποσχόμενος περὶ τῆς Λευκίππης αὖθις ἀναστρέφει πρὸς αὐτὴν καὶ σχηματίσας τὸ πρόσωπον εἰς ἡδονὴν "κατωρθώσαμεν" εἶπεν "ὦ Λάκαινα· Θέρσανδρος ἐρᾷ σου καὶ μαίνεται, ὥστε τάχα καὶ γυναῖκα ποιήσεταί σε· τὸ δὲ κατόρθωμα

4 τοῦτο ἐμόν. Ἐγὼ γάρ σου πρὸς αὐτὸν περὶ τοῦ κάλλους πολλὰ ἐτερατευσάμην καὶ τὴν ψυχὴν αὐτοῦ φαντασίας ἐγέμισα. Τί κλάεις; ἀνάστηθι καὶ θῦε ἐπὶ τοῖς εὐτυχήμασιν Ἀφροδίτῃ· μνημόνευε δὲ κἀμοῦ."

12 Καὶ ἡ Λευκίππη "τοιαῦτα σοὶ" ἔφη "γένοιτο εὐτυχήματα, οἷα ἐμοὶ κομίζων πάρει." Ὁ δὲ Σωσθένης τὴν εἰρωνείαν οὐ συνείς, ἀλλὰ νομίζων αὐτὴν τὰ ὄντα λέγειν, φιλοφρονούμενος προσετίθει "βούλομαι δέ σοι καὶ τὸν Θέρσανδρον ὅστις ἐστὶν εἰπεῖν, ὡς ἂν

2 μᾶλλον ἡσθείης. Μελίτης μὲν ἀνήρ, ἣν εἶδες ἐν τοῖς ἀγροῖς, γένει δὲ πρῶτος ἁπάντων τῶν Ἰώνων· πλοῦτος μείζων τοῦ γένους, ὑπὲρ τὸν πλοῦτον ἡ χρηστότης· τὴν δὲ ἡλικίαν οἷός ἐστιν εἶδες, ὅτι νέος καὶ

3 καλός, ὃ μάλιστα τέρπει γυναῖκα." Πρὸς τοῦτο οὐχ ὑπήνεγκεν ἡ Λευκίππη ληροῦντα τὸν Σωσθένην, ἀλλ' "ὦ κακὸν σὺ θηρίον" ⟦ἔφη⟧ "μέχρι τίνος ⟦μοι⟧

4 μαίνεις τὰ ὦτα; Τί ἐμοὶ καὶ Θερσάνδρῳ κοινόν; Καλὸς ἔστω Μελίτῃ καὶ πλούσιος τῇ πόλει, χρηστός τε καὶ μεγαλόψυχος τοῖς δεομένοις· ἐμοὶ δὲ οὐδὲν μέλει τούτων, εἴτε ἐστὶ καὶ Κόδρου εὐγενέστερος εἴτε

5 Κροίσου πλουσιώτερος. Τί μοι καταλέγεις σωρὸν ἀλλοτρίων ἐγκωμίων; Τότε ἐπαινέσω Θέρσανδρον ὡς

ἄνδρα ἀγαθόν, ὅταν εἰς τὰς ἀλλοτρίας μὴ ἐνυβρίζῃ γυναῖκας."

Καὶ ὁ Σωσθένης σπουδάσας εἶπε "παίζεις." "Πῶς 13
παίζω;" ἔφη. ""Ἐα με, ἄνθρωπε, ὑπὸ τῆς ἐμαυτῆς
συντρίβεσθαι τύχης καὶ τοῦ κατέχοντός με δαίμονος·
οἶδα γὰρ οὖσα ἐν πειρατηρίῳ." "Δοκεῖς μοι" ἔφη
"μαίνεσθαι μανίαν ἀνήκεστον. Πειρατήριον ταῦτα 2
εἶναί σοι δοκεῖ, πλοῦτος καὶ γάμος καὶ τρυφή, ἄνδρα
τοιοῦτον λαβούσῃ παρὰ τῆς Τύχης, ὃν οὕτω φιλοῦσιν
οἱ θεοί, ὡς αὐτὸν καὶ ἐκ μέσων τῶν τοῦ θανάτου
πυλῶν ἀναγαγεῖν;" Εἶτα κατέλεγε τὴν ναυαγίαν,
ἐκθειάζων ὡς ἐσώθη, καὶ τερατευόμενος ὑπὲρ τὸν
δελφῖνα τὸν Ἀρίονος. Ὡς δ' οὐδὲν ἡ Λευκίππη οὐκ- 3
έτι μυθολογοῦντα πρὸς αὐτὸν εἶπε, "σκέψαι" ἔφη
"κατὰ σὲ τί ἄμεινον, καὶ ὅπως μηδὲν τούτων πρὸς
Θέρσανδρον ἐρεῖς, μὴ παροξύνῃς χρηστὸν ἄνδρα·
ὀργισθεὶς γὰρ ἀφόρητός ἐστι. Χρηστότης γὰρ τυγ- 4
χάνουσα μὲν χάριτος ἐπὶ μᾶλλον αὔξεται, προπη-
λακισθεῖσα δὲ εἰς ὀργὴν ἐρεθίζεται. Τὸ γὰρ πε-
ριττὸν εἰς φιλανθρωπίαν ἴσον ἔχει τὸν θυμὸν εἰς
τιμωρίαν."

Τὰ μὲν δὴ κατὰ Λευκίππην εἶχεν οὕτως· Κλει- 14
νίας δὲ καὶ ὁ Σάτυρος πυθόμενοί με ἐν τῷ δεσμω-
τηρίῳ καθεῖρχθαι (διηγγέλκει γὰρ αὐτοῖς ἡ Μελίτη)
τῆς νυκτὸς εὐθὺς ἐπὶ τὸ οἴκημα σπουδῇ παρῆσαν.
Καὶ ἤθελον μὲν αὐτοῦ καταμεῖναι σὺν ἐμοί, ὁ δὲ ἐπὶ
τῶν δεσμῶν οὐκ ἐπέτρεπεν, ἀλλ' ἐκέλευεν ἀπαλλάτ-
τεσθαι αὐτοὺς τὴν ταχίστην. Ὁ μὲν δὴ τούτους ἀπή- 2
λασεν ἄκοντας, ἐγὼ δὲ ἐντειλάμενος αὐτοῖς περὶ τῆς
Λευκίππης, εἰ παραγένοιτο, περὶ τὴν ἕω σπουδῇ
πρός με ἥκειν, καὶ τὰς τῆς Μελίτης διηγησάμενος
ὑποσχέσεις, τὴν ψυχὴν εἶχον ἐπὶ τρυτάνης ἐλπίδος

καὶ φόβου, καὶ ἐφοβεῖτό μου τὸ ἐλπίζον καὶ ἤλπιζε τὸ φοβούμενον.

15 Ἡμέρας δὲ γενομένης ὁ μὲν Σωσθένης ἐπὶ τὸν Θέρσανδρον ἔσπευδεν, οἱ δὲ ἀμφὶ τὸν Σάτυρον ἐπ' ἐμέ. Ὡς δὲ εἶδεν ὁ Θέρσανδρος τὸν Σωσθένην, ἐπυνθάνετο πῶς ἔχει τὰ κατὰ τὴν κόρην εἰς πειθὼ 2 πρὸς αὐτόν. Ὁ δὲ τὸν μὲν ὄντα λόγον οὐ λέγει, σοφίζεται δέ τι μάλα πιθανῶς. "Ἀρνεῖται μὲν γὰρ" εἶπεν, "οὐ μὴν ἡγοῦμαι τὴν ἄρνησιν αὐτῆς οὕτως ἔχειν ἁπλῶς, ἀλλ' ὑπονοεῖν μοι δοκεῖ σε χρησάμενον 3 ἅπαξ ἀφήσειν, καὶ ὀκνεῖ τὴν ὕβριν." "Ἀλλὰ τούτου γε ἕνεκεν" εἶπεν ὁ Θέρσανδρος "θαρρείτω· τὸ γὰρ ἐμὸν οὕτως ἔχει πρὸς αὐτήν, ὡς ἀθάνατον εἶναι. Ἓν δὲ μόνον φοβοῦμαι καὶ ἐπείγομαι μαθεῖν περὶ τῆς κόρης, εἰ τῷ ὄντι γυνὴ τυγχάνει τοῦ νεανίσκου γενομένη, ὡς ἡ Μελίτη μοι διηγήσατο."

4 Ταῦτα διαλεγόμενοι παρῆσαν ἐπὶ τὸ τῆς Λευκίππης δωμάτιον. Ἐπεὶ δὲ πλησίον ἐγένοντο τῶν θυρῶν, ἀκούουσιν αὐτῆς ποτνιωμένης. Ἔστησαν οὖν ἀψοφητὶ κατόπιν τῶν θυρῶν.

16 "Οἴμοι Κλειτοφῶν" (τοῦτο γὰρ ἔλεγε πολλάκις) "οὐκ οἶδας ποῦ γέγονα καὶ ποῦ καθεῖργμαι· οὐδὲ γὰρ ἐγὼ τίς σὲ κατέχει τύχη, ἀλλὰ τὴν αὐτὴν ἄγνοιαν 2 δυστυχοῦμεν. Ἆρα μή σε κατέλαβε Θέρσανδρος ἐπὶ τῆς οἰκίας; ἆρα μὴ καὶ σύ τι πέπονθας ὑβριστικόν; Πολλάκις ἠθέλησα πυθέσθαι παρὰ τοῦ Σωσθένους, ἀλλ' οὐκ εἶχον ὅπως πύθωμαι. Εἰ μὲν ὡς περὶ ἀνδρὸς ἐμαυτῆς, ἐφοβούμην μή τί σοι κινήσω κακόν, παροξύνασα Θέρσανδρον ἐπὶ σέ· εἰ δὲ ὡς περὶ ξένου 3 τινός, ὑπόνοια καὶ τοῦτο ἦν. Τί γὰρ μέλει γυναικὶ περὶ τῶν οὐχ ἑαυτῆς; Ποσάκις ἐμαυτὴν ἐβιασάμην, ἀλλ' οὐκ ἔπειθον τὴν γλῶσσαν εἰπεῖν, ἀλλὰ ταῦτα

μόνον ἔλεγον ‘ἄνερ Κλειτοφῶν, Λευκίππης μόνης ἄνερ, [[ἄνερ]] πιστὲ καὶ βέβαιε, ὃν οὐδὲ συγκαθεύδουσα πέπεικεν ἄλλη γυνή, κἂν [[εἰ]] ἡ ἄστοργος ἐγὼ πεπίστευκα, μετὰ τοσοῦτον ἰδοῦσά σε χρόνον ἐν τοῖς ἀγροῖς οὐ κατεφίλησα. Νῦν οὖν ἂν Θέρσανδρος ἔλθῃ πυνθανόμενος, τί πρὸς αὐτὸν εἶπω; Ἆρα ἀποκαλύψασα τοῦ δράματος τὴν ὑπόκρισιν διηγήσομαι τὴν ἀλήθειαν; Μή με νομίσῃς ἀνδράποδον εἶναι, Θέρσανδρε. Στρατηγοῦ θυγάτηρ εἰμὶ Βυζαντίων, πρώτου Τυρίων γυνή· οὐκ εἰμὶ Θετταλή· οὐ καλοῦμαι Λάκαινα· ὕβρις αὕτη ἐστὶ πειρατική· λελήστευμαι καὶ τοὔνομα. Ἀνήρ μοι Κλειτοφῶν, πατρὶς Βυζάντιον, Σώστρατος πατήρ, μήτηρ Πάνθεια. Ἀλλ’ οὐδὲ πιστεύσεις ἐμοὶ λεγούσῃ. Φοβοῦμαι δὲ καὶ ἐὰν πιστεύσῃς περὶ Κλειτοφῶντος, μὴ τὸ ἄκαιρόν μου τῆς ἐλευθερίας τὸν φίλτατον ἀπολέσῃ. Φέρε πάλιν ἐνδύσωμαί μου τὸ δρᾶμα· φέρε πάλιν περίθωμαι τὴν Λάκαιναν.”

Ταῦτα ἀκούσας ὁ Θέρσανδρος μικρον ἀναχωρήσας λέγει πρὸς τὸν Σωσθένην “ἤκουσας ἀπίστων ῥημάτων γεμόντων ἔρωτος, ὅσα εἶπεν, ὅσα ὠδύρατο, οἷα ἑαυτὴν κατεμέμψατο; ὁ μοιχός μου κρατεῖ πανταχοῦ· δοκῶ, ὁ λῃστὴς καὶ φαρμακεύς ἐστι. Μελίτη φιλεῖ, Λευκίππη φιλεῖ. Ὄφελον, ὦ Ζεῦ, γενέσθαι Κλειτοφῶν.” “Ἀλλ’ οὐ μαλακιστέον” ὁ Σωσθένης ἔφη “δέσποτα, πρὸς τὸ ἔργον, ἀλλ’ ἐπὶ τὴν κόρην ἰτέον αὐτήν. Καὶ γὰρ ἂν νῦν ἐρᾷ τοῦ καταράτου τούτου μοιχοῦ, μέχρι μὲν αὐτὸν οἶδε μόνον καὶ οὐ κεκοινώνηκεν ἑτέρῳ, πάσχει τὴν ψυχὴν ὑπ’ αὐτοῦ· ἂν δ’ ἅπαξ εἰς ταὐτὸν ἔλθῃς (πολλῷ [[δὲ]] διαφέρεις ἐκείνου εἰς εὐμορφίαν), ἐπιλήσεται τέλεον αὐτοῦ. Παλαιὸν γὰρ ἔρωτα μαραίνει νέος ἔρως· γυνὴ δὲ καὶ

μάλιστα τὸ παρὸν φιλεῖ, τοῦ δ' ἀπόντος, ἕως καινὸν οὐχ εὗρε, μνημονεύει· προσλαβοῦσα δὲ ἕτερον, τὸν πρότερον τῆς ψυχῆς ἀπήλειψε."

Ταῦτα ἀκούσας ὁ Θέρσανδρος ἠγέρθη· λόγος γὰρ ἐλπίδος εἰς τὸ τυχεῖν ἔρωτος ἐς πειθὼ ῥᾴδιος· τὸ γὰρ ἐπιθυμοῦν σύμμαχον ὃ θέλει λαβὸν ἐγείρει τὴν ἐλπίδα.

18 Διαλιπὼν οὖν ὀλίγον ἐφ' οἷς πρὸς ἑαυτὴν ἐλάλησεν ἡ Λευκίππη, ὡς [ἂν] μὴ δοκοίη τι κατακοῦσαι τῶν ὑπ' αὐτῆς εἰρημένων, εἰσέρχεται σχηματίσας ἑαυτὸν εἰς τὸ ἐπαγωγότερον πρὸς θέαν, ὡς ᾤετο. Ἐπεὶ δὲ εἶδε τὴν Λευκίππην, ἀνεφλέγη τὴν ψυχήν,
2 καὶ ἔδοξεν αὐτῷ τότε καλλίων γεγονέναι. Θρέψας γὰρ ὅλης τῆς νυκτὸς τὸ πῦρ, ὅσον χρόνον ἀπελείφθη τῆς κόρης, ἀνεζωπύρησεν ἐξαίφνης ὕλην λαβὼν εἰς τὴν φλόγα τὴν θέαν, καὶ μικροῦ μὲν προσπεσὼν περιεχύθη τῇ κόρῃ. Καρτερήσας δ' οὖν καὶ παρακαθίσας διελέγετο ἄλλοτε ἄλλα ῥήματα συνάπτων οὐκ
3 ἔχοντα νοῦν. Τοιοῦτοι γὰρ οἱ ἐρῶντες, ὅταν πρὸς τὰς ἐρωμένας ζητήσωσι λαλεῖν. Οὐ γὰρ ἐπιστήσαντες τὸν λογισμὸν τοῖς λόγοις, ἀλλὰ τὴν ψυχὴν εἰς τὸ ἐρώμενον ἔχοντες τῇ γλώττῃ μόνον χωρὶς ἡνιόχου
4 τοῦ λογισμοῦ λαλοῦσιν. Ἅμα οὖν συνδιαλεγόμενος καὶ ἐπιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ περιέβαλεν, ὡς μέλλων φιλήσειν· ἡ δὲ προϊδοῦσα τῆς χειρὸς τὴν
5 ὁδὸν νεύει κάτω καὶ εἰς τὸν κόλπον κατεδύετο. Ὁ δὲ οὐδὲν ἧττον περιβαλὼν ἀνέλκειν τὸ πρόσωπον ἐβιάζετο· ἡ δὲ ἀντικατεδύετο καὶ ἀπεκρούετο τὰ φιλήματα. Ὡς δὲ χρόνος ἐγίνετο τῇ τῆς χειρὸς πάλῃ, φιλονεικία λαμβάνει τὸν Θέρσανδρον ἐρωτική, καὶ τὴν μὲν λαιὰν ὑποβαλὼν τῷ προσώπῳ κάτω, τῇ δὲ δεξιᾷ τῆς κόμης λαβόμενος τῇ μὲν εἵλκεν εἰς τοὐπίσω, τῇ

δὲ τὸν ἀνθερεῶνα ὑπερείδων ἀνεώθει. Ὡς δέ ποτε 6
ἐπαύσατο τῆς βίας ἢ τυχὼν ἢ μὴ τυχὼν ἢ καμών, λέ-
γει πρὸς αὐτὸν ἡ Λευκίππη "οὔτε ὡς ἐλεύθερος
ποιεῖς οὔτε ὡς εὐγενής· καὶ σὺ μιμῇ Σωσθένην·
ἄξιος ὁ δοῦλος τοῦ δεσπότου. Ἀλλὰ ἀπέχου τοῦ
λοιποῦ, μηδὲ ἐλπίσῃς τυχεῖν, πλὴν εἰ μὴ γένῃ Κλει-
τοφῶν."

Ταῦτα ἀκούσας ὁ Θέρσανδρος οὐκ εἶχεν ὅστις 19
γένηται· καὶ γὰρ ἦρα καὶ ὠργίζετο. Θυμὸς δὲ καὶ
ἔρως δύο λαμπάδες. Ἔχει γὰρ καὶ ὁ θυμὸς ἄλλο πῦρ,
καὶ ἔστι τὴν μὲν φύσιν ἐναντιώτατον, τὴν δὲ βίαν
ὅμοιον. Ὁ μὲν γὰρ παροξύνει μισεῖν, ὁ δὲ ἀναγκά- 2
ξει φιλεῖν· καὶ ἀλλήλων πάροικος ἡ τοῦ πυρός ἐστι
πηγή. Ὁ μὲν γὰρ εἰς τὸ ἦπαρ κάθηται, ὁ δὲ τῇ καρ-
δίᾳ περιμαίνεται. Ὅταν οὖν ἄμφω τὸν ἄνθρωπον 3
καταλάβωσι, γίνεται μὲν αὐτοῖς ἡ ψυχὴ τρυτάνη, τὸ
δὲ πῦρ ἑκατέρου ταλαντεύεται. Μάχονται δὲ ἄμφω
περὶ τῆς ῥοπῆς· καὶ τὰ πολλὰ μὲν ὁ ἔρως εἴωθε νι-
κᾶν, ὅταν εἰς τὴν ἐπιθυμίαν εὐτυχῇ· ἢν δὲ αὐτὸν
ἀτιμάσῃ τὸ ἐρώμενον, αὐτὸς τὸν θυμὸν εἰς συμμα-
χίαν καλεῖ. Κἀκεῖνος ὡς γείτων πείθεται, καὶ ἀνά- 4
πτουσιν ἄμφω τὸ πῦρ. Ἂν δὲ ἅπαξ ὁ θυμὸς τὸν ἔρωτα
παρ' αὐτῷ λάβῃ καὶ τῆς οἰκείας ἕδρας ἐκπεσόντα
κατάσχῃ, φύσει [τε] ὢν ἄσπονδος οὐχ ὡς φίλῳ πρὸς
τὴν ἐπιθυμίαν συμμαχεῖ, ἀλλ' ὡς δοῦλον τῆς ἐπι-
θυμίας πεδήσας κρατεῖ, οὐκ ἐπιτρέπει δὲ αὐτῷ
σπείσασθαι πρὸς τὸ ἐρώμενον, κἂν θέλῃ. Ὁ δὲ τῷ 5
θυμῷ βεβαπτισμένος καταδύεται, καὶ εἰς τὴν ἰδίαν
ἀρχὴν ἐκπηδῆσαι θέλων οὐκέτι ἐστὶν ἐλεύθερος, ἀλλὰ
μισεῖν ἀναγκάζεται τὸ φιλούμενον. Ὅταν δὲ ὁ θυμὸς
καχλάζων γεμισθῇ, καὶ τῆς ἐξουσίας ἐμφορηθεὶς ὑπερ-
βλύσῃ, κάμνει μὲν ἐκ τοῦ κόρου, καμὼν δὲ παρίε-

ται, καὶ ὁ ἔρως ἀμύνεται καὶ ὁπλίζει τὴν ἐπιθυμίαν
6 καὶ τὸν θυμὸν ἤδη καθεύδοντα νικᾷ. Ὁρῶν δὲ τὰς
ὕβρεις, ἃς κατὰ τῶν φιλτάτων ἐπαρῴνησεν, ἀλγεῖ
καὶ πρὸς τὸ ἐρώμενον ἀπολογεῖται, καὶ εἰς ὁμιλίαν
παρακαλεῖ, καὶ τὸν θυμὸν ἐπαγγέλλεται καταμαλάτ-
7 τειν ἡδονῇ. Τυχὼν μὲν οὖν ὧν ἠθέλησεν, ἵλεως γί-
νεται· ἀτιμούμενος δὲ πάλιν εἰς τὸν θυμὸν καταδύε-
ται. Ὁ δὲ καθεύδων ἐξεγείρεται καὶ τὰ ἀρχαῖα ποιεῖ·
ἀτιμίᾳ γὰρ ἔρωτος σύμμαχός ἐστι θυμός.

20 Ὁ Θέρσανδρος οὖν τὸ μὲν πρῶτον ἐλπίζων εἰς
τὸν ἔρωτα εὐτυχήσειν ὅλος Λευκίππης δοῦλος ἦν· ἀτυ-
χήσας δὲ ὧν ἤλπισεν ἀφῆκε τῷ θυμῷ τὰς ἡνίας. Ῥα-
πίζει δὴ κατὰ κόρρης αὐτὴν "ὦ κακόδαιμον ἀνδράπο-
δον" λέγων "καὶ ἀληθῶς ἐρωτιῶν· πάντων γάρ σου
2 κατήκουσα. Οὐκ ἀγαπᾷς ὅτι σοι λαλῶ, καὶ μεγά-
λην εὐτυχίαν δοκεῖς τὸν σὸν καταφιλῆσαι δεσπό-
την, ἀλλὰ ἀκκίζῃ καὶ σχηματίζῃ πρὸς ἀπόνοιαν;
Ἐγὼ μέν σε καὶ πεπορνεῦσθαι δοκῶ· καὶ γὰρ μοιχὸν
3 φιλεῖς. Ἀλλ' ἐπειδὴ μὴ θέλεις ἐραστοῦ μου πεῖραν
λαβεῖν, πειράσῃ δεσπότου." Καὶ ἡ Λευκίππη "κἂν
τυραννεῖν ἐθέλῃς κἀγὼ τυραννεῖσθαι, πλὴν οὐ βιά-
σῃ·" καὶ πρὸς τὸν Σωσθένην ἰδοῦσα "μαρτύρησον"
εἶπεν αὐτῷ "πῶς πρὸς τὰς αἰκίας ἔχω· σὺ γάρ με καὶ
4 μᾶλλον ἠδίκησας." Καὶ ὁ Σωσθένης αἰσχυνθεὶς ὡς
ἐληλεγμένος "ταύτην" εἶπεν "ὦ δέσποτα, ξανθῆναι
μάστιξι δεῖ καὶ μυρίαις βασάνοις περιπεσεῖν, ὡς ἂν
μάθῃ δεσπότου μὴ καταφρονεῖν."

21 "Πείσθητι τῷ Σωσθένει" φησὶν ἡ Λευκίππη·
"συμβουλεύει γὰρ καλῶς· τὰς βασάνους παράστησον.
Φερέτω τροχόν· ἰδοὺ χεῖρες, τεινέτω. Φερέτω καὶ
μάστιγας· ἰδοὺ νῶτον, τυπτέτω. Κομιζέτω πῦρ·
2 ἰδοὺ σῶμα, καέτω. Φερέτω καὶ σίδηρον· ἰδοὺ δέρη,

σφαξέτω. Ἀγῶνα θεάσασθε καινόν· πρὸς πάσας τὰς 2
βασάνους ἀγωνίζεται μία γυνὴ καὶ πάντα νικᾷ. Εἶτα
Κλειτοφῶντα μοιχὸν καλεῖς, αὐτὸς μοιχὸς ὤν; οὐδὲ
τὴν Ἄρτεμιν, εἰπέ μοι, τὴν σὴν φοβῇ, ἀλλὰ βιάζῃ
παρθένον ἐν πόλει παρθένου; Δέσποινα, ποῦ σοι τὰ
τόξα;" "Παρθένος [σύ];" εἶπεν ὁ Θέρσανδρος· "ὦ 3
τόλμης καὶ γέλωτος. Παρθένος τοσούτοις συννυκτε-
ρεύσασα πειραταῖς; εὐνοῦχοί σοι γεγόνασιν οἱ λῃ-
σταί; φιλοσόφων ἦν τὸ πειρατήριον; οὐδεὶς ἐν αὐ-
τοῖς εἶχεν ὀφθαλμούς;"

Καὶ ἡ Λευκίππη εἶπεν "εἰ παρθένος καὶ μετὰ 22
Σωσθένην ἐγὼ πυθοῦ Σωσθένους· οὗτος γὰρ ὄντως
γέγονέ μοι λῃστής· ἐκεῖνοι γὰρ ἦσαν ὑμῶν μετριώ-
τεροι, καὶ οὐδεὶς αὐτῶν ἦν οὕτως ὑβριστής· εἰ δὲ 2
ὑμεῖς τοιαῦτα ποιεῖτε, ἀληθινὸν τοῦτο πειρατήριον.
Εἶτα οὐκ αἰσχύνεσθε ποιοῦντες ἃ μὴ τετολμήκασιν οἱ
λῃσταί; λανθάνεις δὲ ἐγκώμιόν μοι διδοὺς πλεῖον
διὰ ταύτης σου τῆς ἀναισχυντίας· καί τις ἐρεῖ, ἂν
νῦν μαινόμενος φονεύσῃς, Λευκίππη παρθένος [καὶ]
μετὰ βουκόλους, παρθένος καὶ μετὰ Χαιρέαν, παρ-
θένος καὶ μετὰ Σωσθένην. Ἀλλὰ μέτρια ταῦτα· τὸ 3
δὲ μεῖζον ἐγκώμιον, καὶ μετὰ Θέρσανδρον παρθένος,
τὸν καὶ λῃστῶν ἀσελγέστερον· ἂν ὑβρίσαι μὴ δυνη-
θῇ, φονεύει. Ὁπλίζου τοίνυν, ἤδη λάμβανε κατ' 4
ἐμοῦ τὰς μάστιγας, τὸν τροχόν, τὸ πῦρ, τὸν σίδηρον,
συστρατευέσθω δέ σοι καὶ ὁ σύμβουλος Σωσθένης·
ἐγὼ δὲ καὶ γυμνὴ καὶ μόνη καὶ γυνὴ ἓν ὅπλον ἔχω
τὴν ἐλευθερίαν, ἣ μήτε πληγαῖς κατακόπτεται μήτε
σιδήρῳ κατατέμνεται μήτε πυρὶ κατακάεται. Οὐκ
ἀφήσω ποτὲ ταύτην ἐγώ· κἂν καταφλέγῃς, οὐχ οὕτως
θερμὸν εὑρήσεις τὸ πῦρ."

Z

Ταῦτ' ἀκούσας ὁ Θέρσανδρος, παντοδαπὸς ἦν· ἤχθετο, ὠργίζετο, ἐβουλεύετο· ὠργίζετο μὲν ὡς ὑβρισμένος, ἤχθετο δὲ ὡς ἀποτυχών, ἐβουλεύετο δὲ ὡς ἐρῶν. Τὴν οὖν ψυχὴν διασπώμενος, οὐδὲν εἰ-
2 πὼν πρὸς τὴν Λευκίππην ἐξεπήδησεν. Ὀργῇ μὲν δῆθεν ἐκδραμών, δοὺς δὲ τῇ ψυχῇ σχολὴν εἰς τὴν διάκρισιν τῆς τρικυμίας, βουλευόμενος ἅμα τῷ Σωσθένει, πρόσεισι τῷ τῶν δεσμῶν ἄρχοντι, δεόμενος
3 διαφθαρῆναί με φαρμάκῳ. Ὡς δ' οὐκ ἔπειθεν (ἐδεδίει γὰρ τὴν πόλιν· καὶ γὰρ ἄλλον ἄρχοντα πρὸ αὐτοῦ ληφθέντα τοιαύτην ἐργασάμενον φαρμακείαν ἀποθανεῖν) δευτέραν αὐτῷ προσφέρει δέησιν, ἐμβαλεῖν τινα εἰς τὸ οἴκημα, ἔνθα ἔτυχον δεδεμένος, ὡς δὴ καὶ αὐτὸν ἕνα τῶν δεσμωτῶν, προσποιησάμενος
4 βούλεσθαι τἀμὰ δι' ἐκείνου μαθεῖν. Ἐπείσθη καὶ ἐδέξατο τὸν ἄνθρωπον. Ἔμελλε δ' ἐκεῖνος ὑπὸ τοῦ Θερσάνδρου δεδιδαγμένος τεχνικῶς πάνυ περὶ τῆς Λευκίππης λόγον ἐμβαλεῖν, ὡς εἴη πεφονευμένη
5 τῆς Μελίτης συσκευασαμένης τὸν φόνον. Τὸ δὲ τέχνασμα ἦν τῷ Θερσάνδρῳ εὑρεθέν, ὡς ἂν ἀπογνοὺς ἐγὼ μηκέτι ζῶσαν τὴν ἐρωμένην κἂν τὴν δίκην φύ-
6 γωμι, μὴ πρὸς ζήτησιν αὐτῆς ἔτι τραποίμην. Προσέκειτο δὲ ἡ Μελίτη τῷ φόνῳ, ἵνα μὴ τετελευτηκέναι τὴν Λευκίππην δοκῶν, τὴν Μελίτην γήμας ὡς ἂν ἐρῶσαν αὐτοῦ μένοιμι κἀκ τούτου παρέχοιμί τινα φόβον αὐτῷ τοῦ μὴ μετὰ ἀδείας Λευκίππην ἔχειν, ἀλλὰ μισήσας ὡς τὸ εἰκὸς τὴν Μελίτην ὡς ἂν ἀποκτείνασάν μου τὴν ἐρωμένην ἀπαλλαγείην ἐκ τῆς πόλεως τὸ παράπαν.

2 Ὡς οὖν ὁ ἄνθρωπος ἐγένετό μου πλησίον, τοῦ

δράματος ἤρχετο. Ἀνοιμώξας γὰρ πάνυ κακούργως "τίνα βίον" ἔφη "βιωσόμεθ' ἔτι καὶ τί φυλαξόμεθα πρὸς ἀκίνδυνον ζωήν; οὐ γὰρ αὐτάρκης ἡμῖν ὁ δίκαιος τρόπος· ἐμπίπτουσαι δὲ αἱ τύχαι βαπτίζουσιν ἡμᾶς. Ἔδει γάρ με μαντεύσασθαι τίς ἦν ὁ συμβαδίζων μοι καὶ τί πεπραχὼς εἴη." Καθ' ἑαυτὸν δὲ ταῦτα ἔλεγε καὶ τὰ τοιαῦτα, ζητῶν ἀρχὴν τῆς ἐπ' ἐμὲ τοῦ λόγου τέχνης, ὡς ἂν πυθοίμην τί εἴη παθών. Ἀλλ' ἐγὼ μὲν ἐφρόντιζον ὧν ὅδ' ὤμωξεν ὀλίγον· ἄλλος δέ τις τῶν συνδεδεμένων (περίεργον γὰρ ἄνθρωπος ἀτυχῶν εἰς ἀλλοτρίων κακῶν ἀκρόασιν, ἐπεὶ φάρμακον αὐτῷ τῆς ὧν ἔπαθε λύπης ἡ πρὸς ἄλλον εἰς τὸ παθεῖν κοινωνία) "τί δέ σοι συμβέβηκεν" εἶπεν "ἀπὸ τῆς Τύχης; εἰκὸς γάρ σε μηδὲν ἀδικήσαντα πονηρῷ περιπεσεῖν δαίμονι. Τεκμαίρομαι δὲ ἐκ τῶν ἐμαυτοῦ." Καὶ ἅμα τὰ οἰκεῖα κατέλεγεν, ἐφ' οἷς ἦν δεδεμένος. Ἐγὼ δὲ οὐδενὶ τούτων προσεῖχον.

Ὡς δ' ἐπαύσατο, τὴν ἀντίδοσιν ἤτει τοῦ λόγου τῶν ἀτυχημάτων "λέγοις ἄν" εἰπὼν "καὶ σὺ τὰ σαυτοῦ." Ὁ δὲ "βαδίζων ἔτυχον" εἶπε "τὴν ἐξ ἄστεος χθές· ἐπορευόμην δὲ τὴν ἐπὶ Σμύρνης ὁδόν. Προελθόντι δέ μοι σταδίους τέτταρας νεανίσκος ἐκ τῶν ἀγρῶν προσελθὼν καὶ προσειπὼν καὶ πρὸς μικρὸν συμβαδίσας 'ποῖ' ἔφη 'ἔχεις τὴν ὁδόν;' 'Ἐπὶ Σμύρνης' εἶπον. 'Κἀγώ' ἔφη 'τὴν αὐτὴν ἀγαθῇ τύχῃ.' Τοὐντεῦθεν ἐπορευόμεθα κοινῇ καὶ διελεγόμεθα, οἷα εἰκὸς ἐν ὁδῷ. Ὡς δὲ εἴς τι πανδοκεῖον ἤλθομεν, ἠριστῶμεν ἅμα· κατὰ ταὐτὸ δὲ παρακαθίζουσιν ἡμῖν τινες τέτταρες καὶ προσεποιοῦντο μὲν ἀριστᾶν κἀκεῖνοι, ἐνεώρων δ' ἡμῖν πυκνὰ καὶ ἀλλήλοις ἐπένευον. Ἐγὼ μὲν οὖν ὑπώπτευον τοὺς ἀνθρώπους διανοεῖσθαι εἰς ἡμᾶς, οὐ μὴν ἠδυνάμην συνιέ-

ναι τί αὐτοῖς ἐθέλοι τὰ νεύματα· ὁ δὲ ὠχρὸς ἐγίνετο κατὰ μικρὸν καὶ ὀκνηρότερον ἤσθιεν, ἤδη δὲ καὶ τρόμος εἶχεν αὐτόν. Ὡς δὲ ταῦτα εἶδον, ἀναπηδήσαντες συλλαμβάνουσιν ἡμᾶς καὶ ἱμᾶσιν εὐθὺς δεσμεύουσι, παίει δὲ κἀτὰ κόρρης τις ἐκεῖνον· καὶ παταχθείς, ὥσπερ βασάνους παθὼν μυρίας, καταλέγει μηδενὸς ἐρωτῶντος αὐτὸν ἐγὼ τὴν κόρην ἀπέκτεινα, καὶ ἔλαβον χρυσοῦς ἑκατὸν παρὰ Μελίτης τῆς Θερσάνδρου γυναικός· αὕτη γάρ με ἐπὶ τὸν φόνον ἐμισθώσατο. Ἀλλ' ἰδοὺ τοὺς χρυσοῦς ὑμῖν τοὺς ἑκατὸν φέρω, ὥστε τί με ἀπόλλυτε καὶ ἑαυτοῖς φθονεῖτε κέρδους;"

Ἐγὼ δὲ ὡς ἤκουσα Θερσάνδρου καὶ Μελίτης τοὔνομα, τὸν ἄλλον οὐ προσέχων χρόνον, τῷ δὲ λόγῳ τὴν ψυχὴν ὥσπερ ὑπὸ μύωπος παταχθεὶς ἐγείρω καὶ πρὸς αὐτὸν μεταστραφεὶς λέγω "τίς ἡ Μελίτη;" Ὁ δὲ "Μελίτη ἐστὶν" ἔφη "τῶν ἐνταῦθα πρώτη γυναικῶν. Αὕτη νεανίσκου τινὸς ἠράσθη· Τύριον, οἶμαι, φασὶν αὐτόν· κἀκεῖνος ἔτυχεν ἐρωμένην ἔχων, ἣν εὗρεν ἐν τῇ τῆς Μελίτης οἰκίᾳ πεπραμένην. Ἡ δὲ ὑπὸ ζηλοτυπίας πεφλεγμένη τὴν γυναῖκα ταύτην ἀπατήσασα συλλαμβάνει καὶ παραδίδωσι τῷ νῦν δὴ κακῇ τύχῃ μοι συνωδευκότι φονεῦσαι κελεύσασα. Ὁ μὲν οὖν τὸ ἀνόσιον ἔργον τοῦτο δρᾷ· ἐγὼ δὲ ὁ ἄθλιος οὔτε ἰδὼν αὐτὸν οὔτε ἔργου τινὸς κοινωνήσας ἢ λόγου συναπηγόμην αὐτῷ δεδεμένος, ὡς τοῦ ἔργου κοινωνός. Τὸ δὲ χαλεπώτερον, μικρὸν τοῦ πανδοκείου προελθόντες, τοὺς ἑκατὸν χρυσοῦς λαβόντες παρ' αὐτοῦ τὸν μὲν ἀφῆκαν φυγεῖν, ἐμὲ δὲ ἄγουσι πρὸς τὸν στρατηγόν."

4 Ὡς δ' ἤκουσά μου τὸν μῦθον τῶν κακῶν, οὔτε ἀνώμωξα οὔτε ἔκλαυσα· οὔτε γὰρ φωνὴν εἶχον οὔτε

δάκρυα· ἀλλὰ τρόμος μὲν εὐθὺς περιεχύθη μου τῷ σώματι καὶ ἡ καρδία μου ἐλέλυτο, ὀλίγον δέ τί μοι τῆς ψυχῆς ὑπολέλειπτο. Μικρὸν δὲ νήψας ἐκ τῆς 2
μέθης τοῦ λόγου "τίνα τρόπον τὴν κόρην" ἔφην "ἀπέκτεινεν ὁ μισθωτός, καὶ τί πεποίηκε τὸ σῶμα;" Ὁ δὲ ὡς ἅπαξ ἐνέβαλέ μοι τὸν μύωπα καὶ ἔργον εἰργάσατο οὕτω κατ' ἐμοῦ, δι' ὃ παρῆν, ἐσιώπα καὶ ἔλεγεν οὐδέν. Πάλιν δέ μου πυθομένου "δοκεῖς" 3
ἔφη "κἀμὲ κεκοινωνηκέναι τοῦ φόνου; Τοῦτο ἤκουσα μόνον τοῦ πεφονευκότος, ὡς κτείνας εἴη τὴν κόρην· ποῦ δὲ καὶ τίνα τρόπον, οὐκ εἶπεν."

Ἐπῆλθε δέ μοι τότε δάκρυα καὶ τοῖς ὀφθαλμοῖς τὴν λύπην ἀπεδίδουν. Ὥσπερ γὰρ ἐν ταῖς τοῦ σώ- 4
ματος πληγαῖς οὐκ εὐθὺς ἡ σωδιξ ὑπανίσταται, ἀλλὰ παραχρῆμα μὲν οὐκ ἔχει τὸ ἄνθος ἡ πληγή, μετὰ μικρὸν δὲ ἀνέθορε, καὶ ὀδόντι συός τις παταχθεὶς εὐθὺς μὲν ζητεῖ τὸ τραῦμα καὶ οὐκ οἶδεν εὑρεῖν, τὸ δὲ ἔτι δέδυκε καὶ κέκρυπται κατειργασμένον σχολῇ τῆς πληγῆς τὴν τομήν, μετὰ ταῦτα δὲ ἐξαίφνης λευκή τις ἀνέτειλε γραμμή, πρόδρομος τοῦ αἵματος, σχολὴν δ' ὀλίγην λαβὸν ἔρχεται καὶ ἀθρόον ἐπιρρεῖ, οὕτω καὶ 5
ψυχὴ παταχθεῖσα τῷ τῆς λύπης βέλει, λόγου τοξεύσαντος τέτρωται μὲν ἤδη καὶ ἔχει τὴν τομήν, ἀλλὰ τὸ τάχος τοῦ βλήματος οὐκ ἀνέῳξεν οὔπω τὸ τραῦμα, τὰ δὲ δάκρυα ἐδίωξε τῶν ὀφθαλμῶν μακράν· δάκρυον γὰρ αἷμα τραύματος ψυχῆς· ὅταν [δὲ] ὁ τῆς λύπης ὁδοὺς κατὰ μικρὸν τὴν καρδίαν ἐκφάγῃ, κατέρρηκται μὲν τῆς ψυχῆς τὸ τραῦμα, ἀνέῳκται δὲ τοῖς ὀφθαλμοῖς ἡ τῶν δακρύων θύρα, τὰ δὲ μετὰ μικρὸν τῆς ἀνοίξεως ἐξεπήδησεν. Οὕτω κἀμὲ τὰ μὲν πρῶτα 6
τῆς ἀκροάσεως τῇ ψυχῇ προσπεσόντα καθάπερ τοξεύματα κατεσίγασε καὶ τῶν δακρύων ἀπέφραξε τὴν

πηγήν, μετὰ ταῦτα δὲ ἔρρει, σχολασάσης τῆς ψυχῆς τοῖς κακοῖς.

5 Ἔλεγον οὖν "τίς με δαίμων ἐξηπάτησεν ὀλίγῃ χαρᾷ; τίς μοι Λευκίππην ἔδειξεν εἰς καινὴν ὑπόθεσιν συμφορῶν; Ἀλλ' οὐδὲ ἐκόρεσά μου τοὺς ὀφθαλ- 5
2 μούς, οἷς μόνοις ηὐτύχησα, οὐδὲ ἐνεπλήσθην κἂν βλέπων. Ἀληθής μοι γέγονεν ὀνείρων ἡδονή. Οἴμοι, Λευκίππη, ποσάκις μοι τέθνηκας. Μὴ γὰρ θρηνῶν ἀνεπαυσάμην; Ἀεί σε πενθῶ, τῶν θανάτων διωκόντων ἀλλήλους; Ἀλλ' ἐκείνους μὲν πάντας ἡ 10
3 Τύχη ἔπαιξε κατ' ἐμοῦ, οὗτος δὲ οὐκ ἔστι τῆς Τύχης ἔτι παιδιά· πᾶσα γάρ μοι, Λευκίππη, τέθνηκας. Ἐν μὲν γὰρ τοῖς ψευδέσι θανάτοις ἐκείνοις παρηγορίαν εἶχον ὀλίγην τὸ μὲν πρῶτον ὅλον σου τὸ σῶμα, τὸ δὲ δεύτερον κἂν τὴν κεφαλὴν δοκῶν μὴ ἔχειν εἰς τὴν 15
4 ταφήν· νῦν δὲ τέθνηκας θάνατον διπλοῦν, ψυχῆς καὶ σώματος. Δύο ἐξέφυγες λῃστήρια, τὸ δὲ τῆς Μελίτης πεφόνευκέ σε πειρατήριον. Ὁ δὲ ἀνόσιος καὶ ἀσεβὴς ἐγὼ τὴν ἀνδροφόνον σου κατεφίλησα πολλάκις καὶ συνεπλάκην μεμιασμένας συμπλοκὰς καὶ τὴν 20 Ἀφροδίτης χάριν αὐτῇ παρέσχον πρὸ σοῦ."

6 Μεταξὺ δέ μου θρηνοῦντος Κλεινίας εἰσέρχεται, καὶ καταλέγω τὸ πᾶν αὐτῷ καὶ ὅτι μοι δέδοκται πάντως ἀποθανεῖν· ὁ δὲ παρεμυθεῖτο. "Τίς γὰρ οἶδεν
2 εἰ ζῇ πάλιν; Μὴ γὰρ οὐ πολλάκις τέθνηκε; μὴ γὰρ 25 οὐ πολλάκις ἀνεβίω; Τί δὲ προπετῶς ἀποθνήσκεις, ὃ καὶ κατὰ σχολὴν ἔξεστιν, ὅταν μάθῃς σαφῶς τὸν θάνατον αὐτῆς;" "Ληρεῖς· τούτου γὰρ ἀσφαλέστε-
3 ρον πῶς ἂν μάθοις; Δοκῶ δὲ εὑρηκέναι τοῦ θανάτου καλλίστην ὁδόν, δι' ἧς οὐδὲ ἡ θεοῖς ἐχθρὰ Μελίτη 30 παντάπασιν ἀθῷος ἀπαλλάξεται· ἄκουσον δὲ τὸν τρόπον. Παρεσκευασάμην, ὡς οἶσθα, πρὸς τὴν ἀπο-

λογίαν τῆς μοιχείας, εἰ κληρωθείη τὸ δικαστήριον· νῦν δέ μοι δέδοκται πᾶν τοὐναντίον, καὶ τὴν μοιχείαν ὁμολογεῖν καὶ ὡς ἀλλήλων ἐρῶντες ἐγώ τε καὶ Μελίτη κοινῇ τὴν Λευκίππην ἀνηρήκαμεν. Οὕτω γὰρ 4
κἀκείνη δίκην δώσει κἀγὼ τὸν ἐπάρατον βίον καταλίποιμ' [ἄν]." "Εὐφήμησον" ὁ Κλεινίας ἔφη· "καὶ τολμήσεις οὕτως ἐπὶ τοῖς αἰσχίστοις ἀποθανεῖν, νομιζόμενος φονεύς, καὶ ταῦτα Λευκίππης;" "Οὐδὲν" εἶπον "αἰσχρόν, ὃ λυπεῖ τὸν ἐχθρόν."

Καὶ ἡμεῖς [μὲν] ἐν τούτοις ἦμεν, τὸν δὲ ἄνθρω- 5
που ἐκεῖνον τὸν μηνυτὴν τοῦ ψευδοῦς φόνου μετὰ μικρὸν ἀπολύει [ὁ ἐπὶ] τῶν δεσμῶν, φάσκων τὸν ἄρχοντα κελεῦσαι κομίζειν αὐτὸν δώσοντα λόγον ὧν αἰτίαν ἔσχεν. Ἐμὲ δὲ παρηγόρει Κλεινίας καὶ ὁ Σά- 6
τυρος, εἴ πως δύναιντο πεῖσαι, μηδὲν ὧν διενοήθην εἰς τὴν δίκην εἰπεῖν· ἀλλ' ἐπέραινον οὐδέν. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καταγωγήν τινα μισθωσάμενοι μετῳκίσαντο, ὡς ἂν μηκέτι παρὰ τῷ τῆς Μελίτης εἶεν συντρόφῳ.

Τῇ δ' ὑστεραίᾳ ἀπηγόμην ἐπὶ τὸ δικαστήριον. 7
Παρασκευὴ δὲ πολλὴ ἦν τοῦ Θερσάνδρου κατ' ἐμοῦ, καὶ πλῆθος ῥητόρων οὐχ ἧττον δέκα· καὶ ἡ Μελίτη σπουδῇ πρὸς τὴν ἀπολογίαν παρεσκεύαστο. Ἐπεὶ 2
δὲ ἐπαύσαντο λέγοντες, αἰτήσας κἀγὼ λόγον "ἀλλ' οὗτοι μὲν" ἔφην "ληροῦσι πάντες, καὶ οἱ Θερσάνδρῳ καὶ οἱ Μελίτῃ συνεισπόντες· ἐγὼ δὲ πᾶσαν ὑμῖν ἐρῶ τὴν ἀλήθειαν. Ἦν ἐρωμένη μοι πάλαι Βυ- 3
ζαντία μὲν γένος, Λευκίππη δὲ τοὔνομα. Ταύτην τεθνάναι δοκῶν (ἥρπαστο γὰρ ὑπὸ λῃστῶν ἐν Αἰγύπτῳ) Μελίτῃ περιτυγχάνω, κἀκεῖθεν ἀλλήλοις συνόντες ἥκομεν ἐνταῦθα κοινῇ καὶ τὴν Λευκίππην εὑρίσκομεν Σωσθένει δουλεύουσαν διοικητῇ τινι

4 τῶν Θερσάνδρου χωρίων. Ὅπως δὲ τὴν ἐλευθέραν
ὁ Σωσθένης εἶχε δούλην ἢ τίς ἡ κοινωνία τοῖς λη-
σταῖς πρὸς αὐτόν, ὑμῖν καταλείπω σκοπεῖν. Ἐπεὶ
τοίνυν ἔμαθεν ἡ Μελίτη τὴν προτέραν εὑρόντα με
γυναῖκα, φοβηθεῖσα μὴ πρὸς αὐτὴν ἀποκλίναιμι τὸν
5 νοῦν, συμβουλεύεται τὴν ἄνθρωπον ἀνελεῖν. Κἀμοὶ
συνεδόκει (τί γὰρ οὐ δεῖ ταλη θῆ λέγειν;) ἐπεὶ τῶν
αὐτῆς με κύριον ἀποφανεῖν ὑπισχνεῖτο. Μισθοῦμαι
ἕνα δή τινα πρὸς τὸν φόνον, ἑκατὸν δ' ὁ μισθὸς ἦν
τοῦ φόνου χρυσοῦ. Καὶ ὁ μὲν δὴ τὸ ἔργον δράσας
οἴχεται, κἀκ τότε γέγονεν ἀφανής, ἐμὲ δὲ ὁ ἔρως
6 εὐθὺς ἠμύνατο. Ὡς γὰρ ἔμαθον ἀνῃρημένην, μετε-
νόουν καὶ ἔκλαον καὶ ἤρων καὶ νῦν ἐρῶ. Διὰ τοῦτο
ἐμαυτοῦ κατεῖπον, ἵνα με πέμψητε πρὸς τὴν ἐρωμέ-
νην· οὐ γὰρ φέρω νῦν ζῆν, καὶ μιαιφόνος γενόμενος
καὶ φιλῶν ἣν ἀπέκτεινα."

8 Ταῦτα εἰπόντος ἐμοῦ πάντας ἔκπληξις κατέσχε
ἐπὶ τῷ παραλόγῳ τοῦ πράγματος, μάλιστα δὲ τὴν
Μελίτην. Καὶ οἱ μὲν τοῦ Θερσάνδρου ῥήτορες μεθ'
ἡδυνῆς ἀνεβόησαν ἐπινίκιον, οἱ δὲ τῆς Μελίτης ἀνε-
2 πύθοντο τίνα ταῦτα εἴη τὰ λεχθέντα. Ἡ δὲ τὰ μὲν
ἐτεθορύβητο, τὰ δὲ ἠρνεῖτο, τὰ δὲ διηγεῖτο σπουδῇ
μάλα καὶ σαφῶς, τὴν μὲν Λευκίππην εἰδέναι λέ-
γουσα καὶ ὅσα εἶπον, ἀλλὰ τόν γε φόνον οὔ· ὥστε
κἀκείνους διὰ τὸ τὰ πλείω μοι συνᾴδειν ὑπόνοιαν
ἔχειν κατὰ τῆς Μελίτης καὶ ἀπορεῖν ὅτῳ χρήσαιντο
λόγῳ πρὸς τὴν ἀπολογίαν.

9 Ἐν τούτῳ δὲ ὁ Κλεινίας θορύβου πολλοῦ κατὰ
τὸ δικαστήριον ὄντος ἀνελθὼν "κἀμοί τινα λόγον"
εἶπε "συγχωρήσατε· περὶ γὰρ ψυχῆς ἀνδρὸς ὁ ἀγών."
2 Ὡς δὲ ἔλαβε, δακρύων γεμισθεὶς "ἄνδρες" εἶπεν
"Ἐφέσιοι, μὴ προπετῶς καταγνῶτε θάνατον ἀνδρὸς

ἐπιθυμοῦντος ἀποθανεῖν, ὅπερ φύσει τῶν ἀτυχούντων ἐστὶ φάρμακον· κατέψευσται γὰρ ἑαυτοῦ τὴν τῶν ἀδικούντων αἰτίαν, ἵνα πάθῃ τὴν τῶν δυστυχούντων τιμωρίαν. Ἃ δὲ ἠτύχησε διὰ βραχέων ἐρῶ. Ἐρω- 3
μένην εἶχεν, ὡς εἶπεν· τοῦτο γὰρ οὐκ ἐψεύσατο· καὶ ὅτι λῃσταὶ ταύτην ἥρπασαν καὶ τὰ περὶ Σωσθένους καὶ πάνθ' ὅσα πρὸ τοῦ φόνου διηγήσατο, πέπρακται τὸν τρόπον τοῦτον. Αὕτη γέγονεν ἐξαίφνης ἀφανής, 4
οὐκ οἶδ' ὅπως, οὔτ' εἴ τις ἀπέκτεινεν αὐτήν, οὔτ' εἰ ζῇ κλαπεῖσα· πλὴν ἓν τοῦτο οἶδα μόνον, τὸν Σωσθένην αὐτῆς ἐρῶντα καὶ αἰκισάμενον βασάνοις πολλαῖς ἐφ' οἷς οὐκ ἐτύγχανε, καὶ φίλους ἔχοντα λῃστάς. Οὗτος οὖν ἀνῃρῆσθαι δοκῶν τὴν γυναῖκα ζῆν οὐκέτι θέλει καὶ διὰ τοῦτο ἑαυτοῦ φόνον κατεψεύσατο. Ὅτι 5
μὲν γὰρ ἐπιθυμεῖ θανάτου, καὶ αὐτὸς ὡμολόγησε, καὶ ὅτι διὰ λύπην τὴν ἐπὶ [τῇ] γυναικί. Σκοπεῖτε δὲ εἴ τις ἀποκτείνας τινὰ ἀληθῶς ἐπαποθανεῖν αὐτῷ θέλει καὶ ζῆν δι' ὀδύνην οὐ φέρει. Τίς οὕτω φιλόστορ- 6
γος φονεύς; ἢ ποῖον μῖσός ἐστιν οὕτω φιλούμενον; Μή, πρὸς θεῶν, μὴ πιστεύσητε, μηδὲ ἀποκτείνητε ἄνθρωπον ἐλέου μᾶλλον ἢ τιμωρίας δεόμενον. Εἰ δὲ αὐτὸς ἐπεβούλευσεν, ὡς λέγει, τὸν φόνον, εἰπάτω τίς ἐστιν ὁ μεμισθωμένος, δειξάτω τὴν ἀνῃρημένην. Εἰ δὲ μήθ' ὁ ἀποκτείνας ἐστὶ μήθ' ἡ ἀνῃρημένη, τίς 7
ἤκουσε πώποτε τοιοῦτον φόνον; Ἥρων' φησὶ Μελίτης· διὰ τοῦτο Λευκίππην ἀπέκτεινα. Πῶς οὖν Μελίτης φόνον κατηγορεῖ, ἧς ἥρα, διὰ Λευκίππην δὲ νῦν ἀποθανεῖν ἐθέλει, ἣν ἀπέκτεινεν; οὕτω γὰρ 8
ἄν τις καὶ μισοῖ τὸ φιλούμενον καὶ φιλοῖ τὸ μισούμενον; Ἆρ' οὖν οὐ πολὺ μᾶλλον ἂν καὶ ἐλεγχόμενος ἠρνήσατο τὸν φόνον, ἵνα καὶ σώσῃ τὴν ἐρωμένην καὶ ὑπὲρ τῆς ἀνῃρημένης μὴ μάτην ἀποθάνῃ;

9 Διὰ τί οὖν Μελίτης κατηγόρησεν, εἰ μηδὲν αὐτῇ τοιοῦτο πέπρακται; Ἐγὼ καὶ τοῦτο πρὸς ὑμᾶς ἐρῶ, καὶ πρὸς τῶν θεῶν μή με νομίσητε διαβάλλειν θέλοντα τὴν γυναῖκα ποιήσασθαι τὸν λόγον, ἀλλ' ὡς
10 τὸ πᾶν ἐγένετο. Μελίτη μὲν ἐπεπόνθει [τι] πρὸς 5
τοῦτον ἐρωτικὸν καὶ περὶ τοῦ γάμου διείλεκτο, πρὶν ὁ Θαλάττιος οὗτος ἀνεβίω νεκρός: ὁ δὲ οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ ἐρρωμένως τὸν γάμον ἀπεκρούετο, κἀν τούτῳ τὴν ἐρωμένην εὑρών, ὡς ἔφη, παρὰ τῷ Σωσθένει ζῶσαν, ἣν ᾤετο νεκράν, πολὺ 10
11 μᾶλλον πρὸς τὴν Μελίτην εἶχεν ἀλλοτριώτερον. Ἡ δὲ πρὶν μαθεῖν ἐρωμένην οὖσαν αὐτῷ τὴν παρὰ τῷ Σωσθένει, ταύτην ἠλέησέ τε καὶ ἔλυσε τῶν δεσμῶν, οἷς ἦν ὑπὸ τοῦ Σωσθένους δεδεμένη, καὶ εἰς τὴν οἰκίαν τε εἰσεδέξατο καὶ τἆλλα ὡς πρὸς ἐλευθέραν 15
δυστυχήσασαν ἐφιλοτιμήσατο· ἐπειδὴ δὲ ἔμαθεν, ἔπεμψεν εἰς τοὺς ἀγροὺς διακονησομένην αὐτῇ· καὶ
12 μετὰ ταῦτά φασιν ἀφανῆ γεγονέναι. Καὶ ὅτι ταῦτα οὐ ψεύδομαι, ἡ Μελίτη συνομολογήσει καὶ θεράπαιναι δύο, μεθ' ὧν αὐτὴν ἐπὶ τοὺς ἀγροὺς ἐξέπεμψεν. 20
Ἓν μὲν δὴ τοῦτο πρὸς ὑπόνοιαν ἦγαγε τοῦτον μὴ ἄρα φονεύσασα εἴη τὴν Λευκίππην διὰ ζηλοτυπίαν αὕτη· ἕτερον δέ τι αὐτῷ πρὸς τὴν τῆς ὑπονοίας βεβαίωσιν ἐν τῷ δεσμωτηρίῳ συμβὰν καὶ καθ' αὑτοῦ
13 καὶ κατὰ τῆς Μελίτης ἐξηγρίανε. Τῶν δεσμωτῶν τις 25
ὀδυρόμενος ἑαυτοῦ τὴν συμφοράν, ἔλεγεν [ἐν] ὁδῷ τινι κεκοινωνηκέναι κατ' ἄγνοιαν ἀνδρὶ φονεῖ, δεδρακέναι δ' ἐκεῖνον γυναικὸς φόνον ἐπὶ μισθῷ. Καὶ τοὔνομα ἔλεγε· Μελίτην μὲν εἶναι τὴν μισθωσαμέ-
14 νην, Λευκίππην δὲ τὴν ἀνηρημένην. Εἰ δὲ ταῦτα 30
γέγονεν οὕτως, ἐγὼ μὲν οὐκ οἶδα, μαθεῖν δ' ὑμῖν ἐξέσται: Ἔχετε τὸν δεδεμένον· εἰσὶν αἱ θεράπαιναι·

ἔστιν ὁ Σωσθένης. Ὁ μὲν ἐρεῖ πόθεν ἔσχε τὴν Λευκίππην δούλην, αἱ δὲ πῶς γέγονεν ἀφανής, ὁ δὲ περὶ τοῦ μισθωτοῦ καταγορεύσει. Πρὶν δὲ μάθητε τούτων ἕκαστον, οὔτε ὅσιον οὔτε εὐσεβὲς νεανίσκον ἄθλιον ἀνελεῖν, πιστεύσαντας μανίας λόγοις· μαίνεται γὰρ ὑπὸ λύπης."

Ταῦτα εἰπόντος τοῦ Κλεινίου, τοῖς μὲν πολλοῖς ἐδόκει πιθανὸς ὁ λόγος, οἱ δὲ τοῦ Θερσάνδρου ῥήτορες καὶ ὅσοι τῶν φίλων συμπαρῆσαν, ἐπεβόων ἀνελεῖν τὸν ἀνδροφόνον τὸν αὐτοῦ κατειπόντα θεοῦ προνοίᾳ. Μελίτη [δὲ] τὰς θεραπαινίδας ἐδίδου καὶ Θέρσανδρον ἠξίου διδόναι Σωσθένην· τάχα γὰρ αὐτὸν εἶναι τὸν Λευκίππην ἀνῃρηκότα· καὶ οἱ συναγορεύοντες αὐτῇ ταύτην μάλιστα προεφέροντο πρόκλησιν. Ὁ δὲ Θέρσανδρος φοβηθεὶς λάθρα τινὰ τῶν παραστατῶν εἰς τὸν ἀγρὸν ἀποστέλλει πρὸς τὸν Σωσθένην, κελεύσας τὴν ταχίστην ἀφανῆ γενέσθαι, πρὶν τοὺς ἐπ' αὐτὸν πεμφθέντας ἥκειν· ὃς δὴ ἐπιβὰς ἵππου σπουδῇ μάλα πρὸς αὐτὸν ἔρχεται καὶ τὸν κίνδυνον λέγει καὶ ὡς, εἰ ληφθείη, εἰς βασάνους ἀπαχθήσεται. Ὁ δὲ ἔτυχε μὲν ἐν τῷ τῆς Λευκίππης δωματίῳ παρών, κατεπᾴδων αὐτῆς· κληθεὶς δὲ ὑπὸ τοῦ παρόντος σὺν βοῇ καὶ ταραχῇ πολλῇ προέρχεται, καὶ ἀκούσας τὰ ὄντα, μεστὸς γενόμενος δέους καὶ ἤδη νομίζων τοὺς δημίους ἐπ' αὐτὸν παρεῖναι, ἐπιβὰς ἵππου σπουδῇ μάλα ἐλαύνει [τὴν] ἐπὶ Σμύρνης· ὁ δὲ ἄγγελος πρὸς τὸν Θέρσανδρον ἀναστρέφει. Ἀληθὴς δέ ἐστιν, ὡς ἔοικεν, ὁ λόγος, ὅτι μνήμην ἐκπλήσσειν πέφυκε φόβος. Ὁ γοῦν Σωσθένης περὶ ἑαυτοῦ φοβηθείς, ἁπαξαπάντων ἐξελάθετο τῶν ἐν

---

20 post ληφθείη: παρών

ποσὶν ὑπ' ἐκπλήξεως, ὡς μηδὲ τοῦ τῆς Λευκίππης δωματίου κλεῖσαι τὰς θύρας. Μάλιστα γὰρ τὸ τῶν δούλων γένος ἐν οἷς ἂν φοβηθῇ σφόδρα δειλόν ἐστιν.

11 Ἐν τούτῳ δὲ ὁ Θέρσανδρος πρὸ τῆς προκλήσεως ἀπὸ τῆς Μελίτης οὕτω γενομένης παρελθὼν "ἱκανῶς μὲν" εἶπεν "οὗτος, ὅστις ποτέ ἐστι, κατελήρησε μυθολογῶν· ἐγὼ δὲ ὑμῶν τεθαύμακα τῆς ἀναλγησίας εἰ φονέα ἐπ' αὐτοφώρῳ λαβόντες (μεῖζον δὲ τῆς φωράσεως τὸ αὐτὸν ἑαυτοῦ κατειπεῖν) οὐ δὴ κελεύετε τῷ δημίῳ, καθέζεσθε δὲ γόητος ἀκούοντες πιθανῶς μὲν ὑποκρινομένου, πιθανῶς δὲ δακρύοντος, ὃν νομίζω καὶ αὐτὸν κοινωνὸν γενόμενον τοῦ φόνου περὶ ἑαυτοῦ φοβεῖσθαι, ὥστ' οὐκ οἶδα τί δεῖ βασάνων ἔτι περὶ πράγματος οὕτω σαφῶς ἐληλεγμέ-
2 νου. Δοκοῦσι δὲ καὶ ἄλλον τινὰ ἐργάσασθαι φόνον. Ὁ γὰρ Σωσθένης οὗτος, ὃν αἰτοῦσι παρ' ἐμοῦ, τρίτην ταύτην ἡμέραν γέγονεν ἀφανής, καὶ ἔστιν οὐ πόρρω τινὸς ὑπονοίας μὴ ἄρα τῆς τούτων ἐπιβουλῆς γέγονεν ἔργον· αὐτὸς γὰρ ἐτύγχανεν ὁ τὴν μοιχείαν μοι κατειπών· ὥστε εἰκότως ἀποκτεῖναί μοι δοκοῦσιν αὐτόν· καὶ τοῦτ' εἰδότες ὡς οὐκ ἂν ἔχοιμι παρασχεῖν τὸν ἄνθρωπον, πρόκλησιν περὶ αὐτοῦ πεποίηνται
3 πάνυ κακούργως. Εἴη μὲν οὖν κἀκεῖνον φανῆναι καὶ μὴ τεθνάναι· τί δὲ καί, εἰ παρῆν, ἔδει παρ' αὐτοῦ μαθεῖν; Εἴ τινα κόρην ἐωνήσατο; τοιγαροῦν ἐωνημένος ἔστω· καὶ εἰ ταύτην ἔσχε Μελίτη; λέγει καὶ τοῦτο δι' ἐμοῦ. Ἀπήλλακται μὲν δὴ Σωσθένης ταῦτα εἰπών· τοὐντεῦθεν δὲ ὁ λόγος μοι πρὸς Μελίτην καὶ
4 Κλειτοφῶντα. Τί μου τὴν δούλην λαβόντες πεποιήκατε; δούλη γὰρ ἦν ἐμὴ Σωσθένους αὐτὴν ἐωνημέ-
5 νου, καὶ εἰ περιῆν καὶ μὴ πρὸς αὐτῶν ἐπεφόνευτο, πάντως ἂν ἐδούλευεν ἐμοί." Τοῦτον δὲ τὸν λόγον ὁ

Θέρσανδρος πάνυ κακοήθως παρενέβαλεν, ἵνα κἂν ὕστερον ἡ Λευκίππη φωραθῇ ζῶσα, πρὸς δουλείαν αὐτὴν ἀγάγῃ. Εἶτα προσετίθει "Κλειτοφῶν μὲν οὖν ὡμολόγησεν ἀνῃρηκέναι καὶ ἔχει τὴν δίκην, Μελίτη δὲ ἀρνεῖται. Πρὸς ταύτην αἱ τῶν θεραπαινίδων εἰσὶ βάσανοι. Ἂν γὰρ φανῶσι παρὰ ταύτης λαβοῦσαι τὴν κόρην, εἶτα οὐκέτι πάλιν ἀγαγοῦσαι, τί γέγονε; τί δὲ ὅλως ἐξεπέμπετο καὶ πρὸς τίνα; Ἆρ' οὐκ εὔδηλον τὸ πρᾶγμα, ὡς συσκευασάμενοι ἦσάν τινας ὡς κτενοῦντας; Αἱ δὲ θεράπαιναι τούτους μέν, ὡς εἰκός, οὐκ ἤδεσαν, ἵνα μὴ μετὰ πλειόνων μαρτύρων γενόμενον τὸ ἔργον κίνδυνον ἔχῃ μείζονα· κατέλιπον δὲ αὐτὴν ἔνθα ἦν ὁ τῶν λῃστῶν λόχος λανθάνων, ὥστε ἐνεχώρει μηδὲ ἐκείνας τὸ γενόμενον ἑωρακέναι. Ἐλήρησε δὲ καὶ περὶ δεσμώτου τινός, ὡς εἰπόντος περὶ τοῦ φόνου. Καὶ τίς ὁ δεσμώτης οὗτος, ὃς τῷ στρατηγῷ μὲν οὐδὲν εἶπε, τούτῳ δὲ μόνῳ τὰ ἀπόρρητα διελέγετο τοῦ φόνου, πλὴν εἰ μὴ κοινωνοῦντα ἐγνώρισεν; Οὐ παύσεσθε φληνάφων ἀνεχόμενοι κενῶν καὶ τηλικοῦτον ἔργον τιθέμενοι παιδιάν; Οἴεσθε χωρὶς θεοῦ τοῦτον ἑαυτοῦ κατειπεῖν;"

Ταῦτα λέγοντος τοῦ Θερσάνδρου καὶ διομνυμένου περὶ τοῦ Σωσθένους οὐκ εἰδέναι τί γέγονεν, ἔδοξε τῷ προέδρῳ τῶν δικαστῶν (ἦν δὲ τοῦ βασιλικοῦ γένους καὶ τὰς μὲν φονικὰς ἐδίκαζε δίκας, κατὰ δὲ τὸν νόμον συμβούλους ἐκ τῶν γεραιτέρων εἶχεν, οὓς ἐπιγνώμονας ἐλάμβανε τῆς γνώσεως) ἔδοξεν οὖν αὐτῷ διασκοπήσαντι σὺν τοῖς παρέδροις αὐτοῦ θάνατον μὲν ἐμοῦ καταγνῶναι κατὰ τὸν νόμον, ὃς ἐκέλευσε τὸν αὐτοῦ κατειπόντα φόνον τεθνάναι, περὶ δὲ Μελίτης κρίσιν γενέσθαι δευτέραν ἐν ταῖς βασάνοις τῶν θεραπαινίδων, Θέρσανδρον δὲ ἐπομόσαι περὶ

τοῦ Σωσθένους ἐν γράμμασιν, ἢ μὴν οὐκ εἰδέναι τί γέγονε, κἀμὲ δέ, ὡς ἤδη κατάδικον, βασανισθῆναι
2 περὶ τοῦ Μελίτην τῷ φόνῳ συνεγνωκέναι. Ἄρτι δέ μου δεθέντος καὶ τῆς ἐσθῆτος τοῦ σώματος γεγυμνωμένου μετεώρου τε ἐκ τῶν βρόχων κρεμαμένου, καὶ τῶν μὲν μάστιγας κομιζόντων τῶν δὲ πῦρ καὶ τροχόν, ἀνοιμώξαντος δὲ τοῦ Κλεινίου καὶ ἐπικαλοῦντος τοὺς θεούς, ὁ τῆς Ἀρτέμιδος ἱερεὺς δάφνην ἐστεμμένος
3 προσιὼν ὁρᾶται. Σημεῖον δὲ τοῦτο ἐστὶν ἡκούσης θεωρίας τῇ θεῷ· τοῦτο δὲ ὅταν γένηται, πάσης εἶναι δεῖ τιμωρίας ἐκεχειρίαν ἡμερῶν τοσούτων, ὅσων οὐκ ἐπετέλεσαν τὴν θυσίαν οἱ θεωροί. Οὕτω μὲν δὴ τότε τῶν δεσμῶν ἐλύθην. Ἦν δὲ ὁ τὴν θεωρίαν
4 ἄγων Σώστρατος, ὁ τῆς Λευκίππης πατήρ. Οἱ γὰρ Βυζάντιοι, τῆς Ἀρτέμιδος ἐπιφανείσης ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Θρᾷκας, νικήσαντες ἐλογίσαντο δεῖν αὐτῇ θυσίαν ἀποστέλλειν τῆς συμμαχίας ἐπινίκιον· ἦν δὲ καὶ ἰδίᾳ τῷ Σωστράτῳ νύκτωρ ἡ θεὸς ἐπιστᾶσα. Τὸ δὲ ὄναρ ἐσήμαινε τὴν θυγατέρα εὑρήσειν ἐν Ἐφέσῳ καὶ τἀδελφοῦ τὸν υἱόν.

13 Παρὰ δὲ τὸν αὐτὸν χρόνον καὶ ἡ Λευκίππη τὰς μὲν τοῦ δωματίου θύρας ἀνεῳγμένας ὁρῶσα, τὸν δὲ Σωσθένην μὴ παρόντα περιεσκόπει μὴ πρὸ θυρῶν εἴη. Ὡς δ' ἦν οὐδαμοῦ, θάρσος αὐτὴν καὶ ἐλπὶς ἡ συνήθης εἰσέρχεται· μνήμη γὰρ αὐτῇ τοῦ πολλάκις
2 παρὰ δόξαν σεσῶσθαι πρὸς τὸ παρὸν τῶν κινδύνων [τὴν ἐλπίδα] προὐξένει ἀποχρῆσθαι τῇ Τύχῃ. Καὶ (ἦν γὰρ τῶν ἀγρῶν πλησίον τὸ τῆς Ἀρτέμιδος ἱερὸν) ἐκτρέχει τε ἐπ' αὐτὸ καὶ ἔχεται τοῦ νεώ. Τὸ δὲ παλαιὸν ἄβατος ἦν γυναιξὶν ἐλευθέραις οὗτος ὁ νεώς,
3 ἀνδράσι δὲ ἐπετέτραπτο καὶ παρθένοις. Εἰ δέ τις εἴσω παρῆλθε γυνή, θάνατος ἦν ἡ δίκη, πλὴν εἰ μὴ

δούλη τις ἦν ἐγκαλοῦσα τῷ δεσπότῃ. Ταύτῃ δὲ ἐξῆν ἱκετεύειν τὴν θεόν, οἱ δὲ ἄρχοντες ἐδίκαζον αὐτῇ τε καὶ τῷ δεσπότῃ· καὶ εἰ μὲν ὁ δεσπότης οὐδὲν ἔτυχεν ἀδικῶν, αὖθις τὴν θεράπαιναν ἐλάμβανεν, ὁμόσας μὴ μνησικακήσειν τῆς καταφυγῆς· εἰ δὲ ἔδοξεν [ἡ] θεράπαινα δίκαια λέγειν, ἔμενεν αὐτοῦ δούλη τῇ θεῷ. Ἄρτι δὲ τοῦ Σωστράτου τὸν ἱερέα παραλαβόντος καὶ ἐπὶ τὰ δικαστήρια παρελθόντος, ὡς ἂν ἐπισχοίη τὰς δίκας, εἰς τὸ ἱερὸν ἡ Λευκίππη παρῆν, ὥστε μικροῦ τινος ἀπελείφθη τοῦ μὴ τῷ πατρὶ συντυχεῖν. 4

Ὡς δ' ἀπηλλάγην ἐγὼ τῶν βασάνων, διελέλυτο μὲν τὸ δικαστήριον, ὄχλος δ' ἦν περὶ ἐμὲ καὶ θόρυβος τῶν μὲν ἐλεούντων, τῶν δὲ ἐκθειαζόντων, τῶν δὲ ἀναπυνθανομένων. Ἔνθα καὶ ὁ Σώστρατος ἐπιστὰς ὁρᾷ με καὶ γνωρίζει. Καὶ γάρ, ὡς ἔφην ἐν ἀρχῇ τῶν λόγων, ἐν Τύρῳ ποτε ἐγεγόνει περὶ τὴν τῶν Ἡρακλείων ἑορτὴν καὶ χρόνου πολλοῦ διατρίψας ἔτυχεν ἐν Τύρῳ, πρὸ πολλοῦ τῆς ἡμετέρας φυγῆς· ὥστε ταχύ μου τὴν μορφὴν συνεβάλετο, καὶ διὰ τὸ ἐνύπνιον φύσει προσδοκῶν εὑρήσειν ἡμᾶς. Προσελθὼν οὖν μοι "Κλειτοφῶν οὗτος, Λευκίππη δὲ ποῦ;" Ἐγὼ μὲν οὖν γνωρίσας αὐτὸν εἰς γῆν ἔνευσα, οἱ δὲ παρόντες αὐτῷ διηγοῦντο ὅσα εἶπον κατ' ἐμαυτοῦ· καὶ ὃς ἀνοιμώξας καὶ κοψάμενος τὴν κεφαλὴν ἐμπηδᾷ μου τοῖς ὀφθαλμοῖς καὶ μικροῦ δεῖν ἐξώρυξεν αὐτούς· οὐδὲ γὰρ ἐπεχείρουν κωλύειν ἐγώ, παρεῖχον δὲ τὸ πρόσωπον εἰς τὴν ὕβριν. Ὁ δὲ Κλεινίας προσελθὼν εἶργε παρηγορῶν αὐτὸν ἅμα καὶ λέγων "τί ποιεῖς, ἄνθρωπε; τί μάτην ἐξηγρίωσαι κατ' ἀνδρός, ὃς μᾶλλον σοῦ Λευκίππην φιλεῖ; Θάνατον γοῦν ὑπέστη παθεῖν, ὅτι τεθνάναι αὐτὴν ἔδοξεν·" ἄλλα τε 14

πολλὰ ἔλεγε παραμυθούμενος αὐτόν. Ὁ δὲ ὠδύρετο καλῶν τὴν Ἄρτεμιν "ἐπὶ τοῦτό με, δέσποινα, ἤγαγες ἐνταῦθα; τοιαῦτά σου τῶν ἐννυπνίων τὰ μαντεύματα; Κἀγὼ μὲν ἐπίστευόν σου τοῖς ὀνείροις καὶ εὑρήσειν παρὰ σοὶ προσεδόκων τὴν θυγατέρα· καλὸν δέ μοι δῶρον δέδωκας· εὗρον τὸν ἀνδροφόνον αὐτῆς παρὰ σοί." Καὶ ὁ Κλεινίας ἀκούσας τοῦ τῆς Ἀρτέμιδος ἐννυπνίου περιχαρὴς ἐγένετο καὶ λέγει "θάρρει, πάτερ, ἡ Ἄρτεμις οὐ ψεύδεται· ζῇ σοι Λευκίππη· πίστευσόν μου τοῖς μαντεύμασιν. Οὐχ ὁρᾷς καὶ τοῦτον ὡς ἐκ τῶν βασάνων νῦν κρεμάμενον ἐξήρπασεν;"

Ἐν τούτῳ δὲ ἔρχεταί τις τῶν τοῦ νεὼ προπόλων ἐπὶ τὸν ἱερέα σπουδῇ μάλα θέων καὶ λέγει πάντων ἀκουόντων "κόρη τις ἐπὶ τὴν Ἄρτεμιν ξένη κατέφυγεν." Ἐγὼ μὲν δὴ τοῦτο ἀκούσας ἀναπτεροῦμαι καὶ τὰ ὄμματα ἀνεγείρω καὶ ἀναβιοῦν ἠρχόμην· ὁ δὲ Κλεινίας πρὸς τὸν Σώστρατον "ἀληθῆ μου, πάτερ" εἶπε "τὰ μαντεύματα," καὶ ἅμα πρὸς τὸν ἄγγελον εἶπε "μὴ καλή;" "Οὐκ ἄλλην τοιαύτην" ἔφη "μετὰ τὴν Ἄρτεμιν εἶδον." Πρὸς τοῦτο ἐγὼ πηδῶ καὶ βοῶ "Λευκίππην λέγεις." "Καὶ μάλα" ἔφη· "καλεῖσθαι γὰρ τοῦτο ἔλεγεν αὐτή, καὶ πατρίδα Βυζάντιον καὶ πατέρα Σώστρατον ἔχειν." Ὁ μὲν δὴ Κλεινίας ἀνεκρότησε παιανίσας, ὁ δὲ Σώστρατος ὑπὸ χαρᾶς κατέπεσεν, ἐγὼ δὲ ἐξάλλομαι μετὰ τῶν δεσμῶν εἰς ἄέρα, καὶ ἐπὶ τὸ ἱερὸν ὡς ἀπὸ μηχανῆς βληθεὶς ἐπετόμην· οἱ δὲ φυλάσσοντες ἐδίωκον, νομίζοντες ἀποδιδράσκειν, καὶ ἐβόων τοῖς ἐντυγχάνουσι λαβέσθαι. Ἀλλ' εἶχον οἱ πόδες μου τότε πτερά. Μόλις οὖν τινες μαινομένου μου πρὸς τὸν δρόμον λαμβάνονται, καὶ οἱ φύλακες ἅμα παρῆσαν καὶ ἐπεχεί-

ρουν με τύπτειν· ἐγὼ δὲ ἤδη θαρρῶν ἠμυνόμην, οἱ δὲ εἰλκόν με εἰς τὸ δεσμωτήριον.

Κἀν τούτῳ παρῆν ὁ Κλεινίας καὶ ὁ Σώστρα- 16
τος. Καὶ ὁ μὲν Κλεινίας ἐβόα "ποῦ ἄγετε τὸν ἄνθρω-
πον; οὐκ ἔστι φονεὺς ἐφ' ᾧ καταδεδίκασται." Καὶ ὁ Σώστρατος ἐν μέρει ταῦτα ἔλεγε καὶ ὡς εἴη αὐτὸς τῆς ἀνηρῆσθαι δοκούσης πατήρ· οἱ δὲ παρόντες μαθόντες τὸ πᾶν εὐφήμουν τε τὴν Ἄρτεμιν καὶ περιίσταντό με καὶ ἄγειν εἰς τὸ δεσμωτήριον οὐκ
ἐπέτρεπον. Οἱ δὲ φύλακες οὐκ εἶναι κύριοι τοῦ 2
μεθεῖναι καταδικασθέντα πρὸς θάνατον ἄνθρωπον ἔλεγον, ἕως ὁ ἱερεύς, τοῦ Σωστράτου δεηθέντος, ἐνεγυήσατο αὐτὸν ἔχειν καὶ παράξειν εἰς τὸν δῆμον, ὅταν δέῃ. Οὕτω μὲν δὴ τῶν δεσμῶν ἀπολύομαι καὶ
ἐπὶ τὸ ἱερὸν ταχὺ μάλα ἠπειγόμην, καὶ ὁ Σώστρατος κατὰ πόδας, οὐκ οἶδα εἰ τὰ ὅμοια ἐμοὶ χαίρων. Οὐκ 3
ἔστι δὲ οὕτως ἄνθρωπος δρομικώτατος, ὃν οὐ τῆς φήμης φθάνει τὸ πτερόν, ἣ καὶ τότε ἡμᾶς ἐπὶ Λευκίππην προὔλαβεν, ἀπαγγέλλουσα πάντα καὶ τὰ τοῦ
Σωστράτου καὶ τἀμά. Ἰδοῦσα δὲ ἡμᾶς ἐξεπήδησε τοῦ νεὼ καὶ τὸν μὲν πατέρα περιεπτύξατο, τοὺς δ' ὀφθαλμοὺς εἶχεν ἐπ' ἐμέ. Ἐγὼ δὲ εἱστήκειν καὶ πάντα 4
ἔβλεπον εἰς τὸ ἐκείνης πρόσωπον, αἰδοῖ τῇ πρὸς τὸν Σώστρατον κατέχων ἐμαυτὸν ἐπ' αὐτὴν ἐκθορεῖν.
Οὕτως ἀλλήλους ἠσπαζόμεθα τοῖς ὄμμασιν.

Η

Ἄρτι δὲ ἡμῶν μελλόντων καθέζεσθαι καὶ περὶ τούτων διαλέγεσθαι Θέρσανδρος σπουδῇ μάλα μάρ-

τυρας ἄγων τινὰς ἔρχεται πρὸς τὸν νεὼν καὶ μεγάλῃ τῇ φωνῇ πρὸς τὸ ἱερέα "μαρτύρομαι" ἔφη "τῶνδε ἐναντίον ὅτι μὴ δεόντως ἐξαιρῇ δεσμῶν καὶ θανάτου κατεγνωσμένον ἄνθρωπον ἐκ τῶν νόμων ἀποθανεῖν.
2 Ἔχεις δὲ καὶ δούλην ἐμήν, γυναῖκα μάχλον καὶ πρὸς ἄνδρας ἐπιμανῆ· ταύτην ὅπως μοι φυλάξῃς." Ἐγὼ δὲ πρὸς τὸ δούλην καὶ γυναῖκα μάχλον' ὑπεραλγήσας τὴν ψυχὴν οὐκ ἤνεγκα τῶν ῥημάτων τὰ τραύματα, ἀλλ' ἔτι λαλοῦντος αὐτοῦ "σὺ μὲν οὖν" ἔφην "καὶ τρίδουλος καὶ ἐπιμανὴς καὶ μάχλος· αὕτη δὲ καὶ
3 ἐλευθέρα καὶ παρθένος καὶ ἀξία τῆς θεοῦ." Ὡς δὲ ταῦτα ἤκουσε "καὶ λοιδορεῖς" φήσας "δεσμῶτα καὶ κατάδικε;" παίει με κατὰ τῶν προσώπων μάλα βιαίως καὶ ἐπάγει δευτέραν, ἐκ δὲ τῶν ῥινῶν αἵματος ἔρρεον κρουνοί· ὅλον γὰρ αὐτοῦ τὸν θυμὸν εἶχεν ἡ
4 πληγή. Ὡς δὲ καὶ τρίτην ἀπροφυλάκτως ἔπαισε, λανθάνει μου τῷ στόματι περὶ τοὺς ὀδόντας προσπταίσας τὴν χεῖρα, καὶ τρωθεὶς τοὺς δακτύλους, μόλις τὴν χεῖρα συνέστειλεν ἀνακραγών· καὶ οἱ ὀδόντες ἀμύνουσι τὴν τῶν ῥινῶν ὕβριν· τιτρώσκουσι γὰρ αὐτοὶ τοὺς παίοντας δακτύλους, καὶ ἃ πεποίηκεν ἔπαθεν ἡ χείρ.

5 Καὶ ὁ μὲν ἐπὶ τῇ πληγῇ μάλ' ἄκων ἀνακραγὼν συνέστειλε τὴν χεῖρα καὶ οὕτως ἐπαύσατο, ἐγὼ δὲ ἰδὼν οἷον ἔχει κακόν, τοῦτο μὲν οὐ προσεποιησάμην, ἐφ' οἷς δὲ ἐτυραννήθην τραγῳδῶν ἐνέπλησα βοῆς τὸ ἱερόν.

2 "Ποῖ φύγωμεν ἔτι τοὺς βιαίους; ποῖ καταδράμωμεν; ἐπὶ τίνα θεῶν μετὰ τὴν Ἄρτεμιν; Ἐν αὐτοῖς τυπτόμεθα τοῖς ἱεροῖς, ἐν τοῖς τῆς αὐλαίας παιόμεθα χωρίοις. Ταῦτα ἐν ἐρημίαις μόναις γίνεται, ὅπου μηδεὶς μάρτυς μηδ' ἄνθρωπός ἐστι· σὺ δὲ αὐτῶν ἐν

ὄψει τυραννεῖς τῶν θεῶν. Καὶ τοῖς μὲν πονηροῖς αἱ 2
τῶν ἱερῶν ἀσφάλειαι διδόασι καταφυγήν, ἐγὼ δὲ
μηδένα ἀδικήσας, ἱκέτης δὲ τῆς Ἀρτέμιδος γενόμενος
τύπτομαι παρ' αὐτῷ τῷ βωμῷ, βλεπούσης, οἴμοι,
τῆς θεοῦ. Ἐπὶ τὴν Ἄρτεμιν αἱ πληγαί. Καὶ οὐ μέ- 3
χρι πληγῶν ἡ παροινία, ἀλλὰ καὶ ἐπὶ τῶν προσώπων
τις λαμβάνει τραύματα, ὡς ἐν πολέμῳ καὶ μάχῃ, καὶ
μεμίανται τὸ ἔδαφος ἀνθρωπίνῳ αἵματι. Τοιαῦτα
σπένδει τις θεῷ; Οὐ βάρβαροι ταῦτα καὶ Ταῦροι,
καὶ [ἡ] Ἄρτεμις ἡ Σκυθῶν; Οὐ παρ' ἐκείνοις μόνοις
νεὼς οὕτως αἱμάσσεται· τὴν Ἰωνίαν Σκυθίαν πε-
ποίηκας, καὶ ἐν Ἐφέσῳ ῥεῖ τὰ ἐν Ταύροις αἵματα.
Λαβὲ καὶ ξίφος κατ' ἐμοῦ. Καίτοι τί δέῃ σιδήρου; 4
τὰ τοῦ ξίφους πεποίηκεν ἡ χείρ. [Ἡ] ἀνδροφόνος
αὕτη καὶ μιαιφόνος δεξιὰ τοιαῦτα δέδρακεν οἷα ἐκ
φασγάνου γίνεται."

Ταῦτά μου βοῶντος ὁ ὄχλος συνερρύη τῶν ἐν τῷ 3
ἱερῷ παρόντων· καὶ οὗτοι ἐκάκιζον αὐτὸν καὶ ὁ ἱερεὺς
αὐτὸς [ὅτι] οὐκ αἰσχύνεται τοιαῦτα ποιῶν οὕτω φα-
νερῶς καὶ ἐν τῷ ἱερῷ· ἐγὼ δὲ τεθαρρηκὼς "τοιαῦτα"
ἔφην "ὦ ἄνδρες, πέπονθα, ἐλεύθερός τε ὢν καὶ πό-
λεως οὐκ ἀσήμου, ἐπιβουλευθεὶς μὲν εἰς τὴν ψυχὴν
ὑπὸ τούτου, σωθεὶς δὲ ὑπὸ τῆς Ἀρτέμιδος, ἣ τοῦτον
ἀπέφηνε συκοφάντην. Καὶ νῦν προελθεῖν με δεῖ καὶ 2
ἀπονίψασθαι τὸ πρόσωπον ἔξω· μὴ γὰρ ἐνταῦθα
τοῦτο ποιήσαιμι ἔγωγε, μὴ καὶ τὸ ἱερὸν ὕδωρ τῷ τῆς
ὕβρεως αἵματι μιανθῇ."

Τότε μὲν δὴ μόλις ἀφελκύσαντες αὐτὸν ἐξάγουσι 3
τοῦ ἱεροῦ. Τοσοῦτον δὲ εἶπεν ἀπιὼν "ἀλλὰ τὸ μὲν
σὸν ἤδη κέκριται, καὶ ὅσον οὐδέπω πείσῃ δίκην· τὸ
δὲ τῆς ψευδοπαρθένου ταύτης ἑταίρας ἡ σύριγξ τι-
μωρήσεται."

4 Ὡς δὲ ἀπηλλάγη ποτέ, κἀγὼ ἐξελθὼν ἐκάθηρα τὸ πρόσωπον. Τοῦ δὲ δείπνου καιρὸς ἦν, καὶ ὑπεδέξατο ἡμᾶς ὁ ἱερεὺς μάλα φιλοφρόνως. Ἐγὼ δὲ εἰς τὸν Σώστρατον ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἰδεῖν οὐκ ἠδυνάμην, συνειδὼς οἷα αὐτὸν διατεθείκειν· καὶ ὁ Σώ- 5
στρατος δὲ τὰς τῶν ὀφθαλμῶν ὀρῶν ἀμύξεις τῶν ἐμῶν, ἃς ἔτυχον ὑπ' αὐτοῦ παθών, ἀντῃσχύνετό με βλέπειν· καὶ ἡ Λευκίππη δὲ τὰ πολλὰ εἰς γῆν ἔβλεπε,
2 καὶ ἦν ὅλον τὸ συμπόσιον αἰδώς. Προϊόντος δὲ τοῦ 10
πότου καὶ τοῦ Διονύσου κατὰ μικρὸν ἐξιλασκομένου τὴν αἰδῶ (ἐλευθερίας γὰρ οὗτος πατὴρ) ἄρχει λόγου πρῶτος ὁ ἱερεὺς πρὸς τὸν Σώστρατον "τί οὐ λέγεις, ὦ ξένε, τὸν περὶ ὑμᾶς μῦθον ὅστις ἐστί; δοκεῖ γάρ μοι περιπλοκάς τινας ἔχειν οὐκ ἀηδεῖς· οἴνῳ δὲ μά-
3 λιστα πρέπουσιν οἱ τοιοῦτοι λόγοι." Καὶ ὁ Σώστρα- 15
τος προφάσεως λαβόμενος ἄσμενος "τὸ μὲν κατ' ἐμὲ τοῦ λόγου μέρος ἁπλοῦν" εἶπεν "ὅτι Σώστρατος ὄνομα, Βυζάντιος τὸ γένος, τούτου θεῖος, πατὴρ ταύτης· τὸν δὲ λοιπόν, ὅστις ἐστί, μῦθον [σὺ] λέγε,
4 τέκνον Κλειτοφῶν, μηδὲν αἰδούμενος. Καὶ γὰρ εἴ 20
τί μοι συμβέβηκε λυπηρόν, μάλιστα μὲν οὐ σόν ἐστιν, ἀλλὰ τοῦ δαίμονος· ἔπειτα τῶν ἔργων [τῶν] παρελθόντων ἡ διήγησις τὸν οὐκέτι πάσχοντα ψυχαγωγεῖ μᾶλλον ἢ λυπεῖ."
5 Κἀγὼ πάντα τὰ κατὰ τὴν ἀποδημίαν τὴν ἀπὸ 25
Τύρου διηγοῦμαι, τὸν πλοῦν, τὴν ναυαγίαν, τὴν Αἴγυπτον, τοὺς βουκόλους, τῆς Λευκίππης τὴν ἀπαγωγήν, τὴν παρὰ τῷ βωμῷ πλαστὴν γαστέρα, τὴν Μενελάου τέχνην, τὸν ἔρωτα τοῦ στρατηγοῦ, τὸ Χαιρέου φάρμακον, τὴν τῶν λῃστῶν ἁρπαγήν, τὸ 30
2 τοῦ μηροῦ τραῦμα, καὶ ἔδειξα τὴν οὐλήν. Ἐπεὶ δὲ κατὰ τὴν Μελίτην ἐγενόμην, ἐξῆρον τὸ δρᾶμα ἐμαυ-

τοῦ πρὸς σωφροσύνην μεταποιῶν καὶ οὐδὲν ἐψευδόμην· τὸν Μελίτης ἔρωτα καὶ τὴν σωφροσύνην τὴν ἐμήν, ὅσον ἐλιπάρησε χρόνον, ὅσον ἀπέτυχεν, ὅσα ἐπηγγείλατο, ὅσα ὠδύρατο· τὴν ναῦν διηγησάμην, τὸν εἰς Ἔφεσον πλοῦν, καὶ ὡς ἄμφω συνεκαθεύδομεν, καί, μὰ ταύτην τὴν Ἄρτεμιν, ὡς ἀπὸ γυναικὸς ἀνέστη γυνή. Ἓν μόνον παρῆκα τῶν ἐμαυτοῦ δρα- 3
μάτων, τὴν μετὰ ταῦτα πρὸς Μελίτην αἰδῶ. Ἐπεὶ καὶ τὸ δεῖπνον εἶπον καὶ ὡς ἐμαυτοῦ κατεψευσάμην, καὶ μέχρι τῆς θεωρίας τὸν λόγον συνεπέρανα καὶ "τὰ μὲν ἐμὰ ταῦτα" ἔφην, "τὰ δὲ Λευκίππης τῶν ἐμῶν μείζονα. Πέπραται, δεδούλευκε, γῆν ἔσκαψε, σε- 4
σύληται τῆς κεφαλῆς τὸ κάλλος. Τὴν κουρὰν ὁρᾷς." Καὶ καθ' ἕκαστον ὡς ἐγένετο διεξῄειν. Κἀν τῷδε κα- 5
τὰ τὸν Σωσθένην καὶ Θέρσανδρον γενόμενος, ἐξῆρον τὰ αὐτῆς ἔτι μᾶλλον ἢ τἀμά, ἐρωτικῶς αὐτῇ χαριούμενος ἀκούοντος τοῦ πατρός· ὡς πᾶσαν αἰκίαν ἤνεγκεν εἰς τὸ σῶμα καὶ ὕβριν πλὴν μιᾶς, ὑπὲρ δὲ ταύτης τὰς ἄλλας πάσας ὑπέστη· "καὶ ἔμεινε, πάτερ, τοιαύτη μέχρι τῆς παρούσης ἡμέρας, οἵαν αὐτὴν ἐξέπεμψας ἀπὸ Βυζαντίου. Καὶ οὐκ ἐμὸν τοῦτο ἐγκώ- 6
μιον, ὅτι φυγὴν ἑλόμενος οὐδὲν ἔδρασα ὑπὲρ ὧν ἔφυγον, ἀλλ' αὐτῆς, ὅτι καὶ ἐν μέσοις λῃσταῖς ἔμεινε παρθένος καὶ τὸν μέγαν ἐνίκησε λῃστήν, Θέρσανδρον λέγω, τὸν ἀναίσχυντον, τὸν βίαιον. Ἐφιλοσο- 7
φήσαμεν, πάτερ, τὴν ἀποδημίαν· ἐδίωξε γὰρ ἡμᾶς ἔρως, καὶ ἦν ἐραστοῦ καὶ ἐρωμένης φυγή· ἀποδημήσαντες γεγόναμεν ἀλλήλων ἀδελφοί. Εἴ τις ἄρα ἐστὶν ἀνδρὸς παρθενία, ταύτην κἀγὼ μέχρι τοῦ παρόντος πρὸς Λευκίππην ἔχω· ἡ μὲν γὰρ ἦρα ἐκ πολλοῦ τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ. Δέσποινα Ἀφρο- 8
δίτη, μὴ νεμεσήσῃς ἡμῖν ὡς ὑβρισμένη· οὐκ ἠθέλομεν

ἀπάτορα γενέσθαι τὸν γάμον. Πάρεστιν οὖν ὁ πατήρ· ἦκε καὶ σύ· εὐμενὴς ἡμῖν ἤδη γενοῦ."

9 Ταῦτα ἀκούοντες ὁ μὲν ἱερεὺς ἐκεχήνει θαυμάζων ἕκαστον τῶν λεγομένων, ὁ δὲ Σώστρατος καὶ ἐπεδάκρυεν, ὁπότε κατὰ Λευκίππην ἐγεγόνειν. Καὶ ἐπεί ποτε ἐπαυσάμην "τὰ μὲν ἡμέτερα" εἶπον "ἠκούσατε· ἓν δὲ αἰτῶ μαθεῖν κἀγὼ παρὰ σοῦ, ἱερεῦ, μόνον· τί ποτέ ἐστιν ὃ τελευταῖον ἀπιὼν ὁ Θέρσανδρος κατὰ Λευκίππης προσέθηκε, σύριγγα εἰπών;" "Ἀλλὰ σύ γε" ἔφη "καλῶς ἀνήρου· καὶ γὰρ εἰδότας ἡμᾶς τὰ περὶ τὴν σύριγγα τοῖς παροῦσιν ὅμως ἁρμόσασθαι προσήκει· κἀγὼ τὸν σὸν ἀμείψομαι μῦθον.

6 Ὁρᾷς τουτὶ τὸ ἄλσος τὸ κατόπιν τοῦ νεώ. Ἐνθάδε ἐστὶ σπήλαιον ἀπόρρητον γυναιξί, καθαραῖς δὲ εἰσελθούσαις οὐκ ἀπόρρητον παρθένοις· ἀνάκειται δὲ 2 σύριγξ ὀλίγον ἔνδον τῶν τοῦ σπηλαίου θυρῶν. Εἰ μὲν οὖν τὸ ὄργανον καὶ παρ' ὑμῖν ἐπιχωριάζει τοῖς Βυζαντίοις, ἴστε ὃ λέγω· εἰ δέ τις ὑμῶν ἧττον ὡμίλησε ταύτῃ τῇ μουσικῇ, φέρε καὶ οἷόν ἐστιν εἴπω καὶ τὸν 3 τοῦ Πανὸς πάντα μῦθον. Ἡ σύριγξ αὐλοὶ μέν εἰσι πολλοί, κάλαμος δὲ τῶν αὐλῶν ἕκαστος· αὐλοῦσι δὲ οἱ κάλαμοι πάντες ὥσπερ αὐλὸς εἷς· σύγκεινται δὲ 4 στοιχηδὸν ἄλλος ἐπ' ἄλλον ἠνωμένος. Τὸ πρόσωπον ἰσοστάσιον καὶ τὸ νῶτον, καὶ ὅσοι εἰσὶ τῶν καλάμων βραχὺ μικρῷ λειπόμενοι, τούτων μείζων ὁ μετὰ τοῦτον, καὶ ἐπὶ τῷ δευτέρῳ τοσοῦτον, ὅσον τοῦ δευτέρου μείζων ὁ μετὰ τοῦτον τρίτος, καὶ κατὰ λόγον οὕτως ὁ λοιπὸς τῶν καλάμων χορὸς ἕκαστον τοῦ πρό-

---

5 post ὁπότε: τό | post ἐγεγόνειν: δρᾶμα
12 post μῦθον: εἰπών
19 post τόν: ταύτῃ

σθεν ἴσον ἔχων, τὸ δὲ ἔσω μέσον ἐστὶ τῷ περιττῷ. Αἴτιον δὲ τῆς τοιαύτης τάξεως ἡ τῆς ἁρμονίας διανομή. Τὸ μὲν γὰρ ὀξύτατον ἄνω, καὶ ὅσον εἰς τὸ κάτω πρῶτον βαρύ, κατὰ κέρας ἑκάτερον ὁ ἄκρος ἔλαχεν αὐλός· τὰ δὲ μεταξὺ τῶν ἄκρων τοῦ ῥυθμοῦ διαστήματα, πάντες οἱ μεταξὺ κάλαμοι, ἕκαστος ἐπὶ τὸν πέλας τὸ ὀξὺ καταφέρων ἐς τὸν τῷ τελευταίῳ συνάπτει βάρει. Ὅσα δὲ ὁ τῆς Ἀθηνᾶς αὐλὸς ἐν τοῖς [δακτύλοις] λαλεῖ, τοσαῦτα ὁ τοῦ Πανὸς ἐν τοῖς στόμασιν αὐλεῖ. Ἀλλ' ἐκεῖ μὲν οἱ δάκτυλοι κυβερνῶσι τὰ αὐλήματα, ἐνταῦθα δὲ τοῦ τεχνίτου τὸ στόμα μιμεῖται τοὺς δακτύλους· κἀκεῖ μὲν κλείσας ὁ αὐλητὴς τὰς ἄλλας ὀπὰς μίαν ἀνοίγει μόνην, δι' ἧς τὸ πνεῦμα καταρρεῖ, ἐνταῦθα δὲ τοὺς μὲν ἄλλους ἐλευθέρους ἀφῆκε καλάμους, μόνῳ δὲ τὸ χεῖλος ἐπιτίθησιν, ὃν ἂν ἐθέλῃ μὴ σιωπᾶν, μεταπηδᾷ τε ἄλλοτε ἐπ' ἄλλον, ὅποι ποτ' ἂν ἡ τοῦ κρούματος ἁρμονία καλῇ. Οὕτως αὐτῷ περὶ τοὺς αὐλοὺς χορεύει τὸ στόμα. Ἦν δὲ ἡ σύριγξ οὔτε αὐλὸς ἀπ' ἀρχῆς οὔτε κάλαμος, ἀλλὰ παρθένος εὐειδής. Ὁ Πὰν οὖν ἐδίωκεν αὐτὴν δρόμον ἐρωτικόν, τὴν δὲ ὕλη τις δέχεται δασεῖα φεύγουσαν· ὁ δὲ Πὰν κατὰ πόδας εἰσθορὼν ὥρεγε τὴν χεῖρα ὡς ἐπ' αὐτήν. Καὶ ὁ μὲν ᾤετο τεθηρακέναι καὶ ἔχεσθαι τῶν τριχῶν, καλάμων δὲ κόμην εἶχεν ἡ χείρ. Τὴν μὲν γὰρ εἰς γῆν καταδῦναι λέγουσι, καλάμους δὲ τὴν γῆν ἀντ' αὐτῆς τεκεῖν. Τέμνει δὴ τοὺς καλάμους ὑπ' ὀργῆς ὁ Πὰν ὡς κλέπτοντας αὐτοῦ τὴν ἐρωμένην· ἐπεὶ δὲ μετὰ ταῦτα οὐκ εἶχεν εὑρεῖν, εἰς τοὺς καλάμους δοκῶν λελύσθαι τὴν κόρην, ἔκλαε τὴν τομήν, νομίζων τετμηκέναι τὴν ἐρωμένην. Συμφορήσας οὖν τὰ τετμημένα

---

20 post εὐειδής: οἷαν εἶχεν κρίνειν

τῶν καλάμων ὡς μέλη τοῦ σώματος καὶ συνθεὶς εἰς
ἓν σῶμα εἶχε διὰ χειρῶν τὰς τομὰς τῶν καλάμων κα-
ταφιλῶν ὡς τῆς κόρης τραύματα· ἔστενε δὲ ἐρωτικὸν
ἐπιθεὶς τὸ στόμα, καὶ ἐνέπνει ἄνωθεν εἰς τοὺς αὐλοὺς
ἅμα φιλῶν· τὸ δὲ πνεῦμα διὰ τῶν ἐν τοῖς καλάμοις
στενωπῶν καταρρέον αὐλήματα ἐποίει, καὶ ἡ σύριγξ
11 *εἶχε φωνήν. Ταύτην οὖν τὴν σύριγγά φασιν ἀναθεῖ-*
ναι μὲν ἐνθάδε τὸν Πᾶνα, περιορίσαι δὲ εἰς σπήλαιον
αὐτήν, θαμίζειν τε αὐτοῦ καὶ τῇ σύριγγι συνήθως αὐ-
λεῖν. Χρόνῳ δὲ ὕστερον χαρίζεται τὸ χωρίον τῇ Ἀρ-
τέμιδι, συνθήκας ποιησάμενος πρὸς αὐτήν, μηδεμίαν
12 *ἐκεῖ καταβαίνειν γυναῖκα. Ὅταν οὖν αἰτίαν ἔχῃ τις*
οὐκ εἶναι παρθένος, προπέμπει μὲν αὐτὴν ὁ δῆμος
μέχρι τῶν τοῦ σπηλαίου θυρῶν, δικάζει δὲ ἡ σύριγξ
τὴν δίκην. Ἡ μὲν γὰρ παῖς εἰσέρχεται κεκοσμημένη
στολῇ τῇ νενομισμένῃ, ἄλλος δὲ ἐπικλείει τὰς τοῦ
13 *σπηλαίου θύρας. Κἂν μὲν ᾖ παρθένος, λιγυρόν τι*
μέλος ἀκούεται καὶ ἔνθεον, ἤτοι τοῦ τόπου πνεῦμα
ἔχοντος μουσικὸν εἰς τὴν σύριγγα τεταμιευμένον, ἢ
τάχα καὶ ὁ Πὰν αὐτὸς αὐλεῖ. Μετὰ δὲ μικρὸν αὐτό-
μαται μὲν αἱ θύραι ἀνεῴχθησαν τοῦ σπηλαίου, ἐκφαί-
νεται δὲ ἡ παρθένος ἐστεφανωμένη τὴν κεφαλὴν πί-
14 *τυος κόμαις. Ἐὰν δὲ ᾖ τὴν παρθενίαν ἐψευσμένη,*
σιωπᾷ μὲν ἡ σύριγξ, οἰμωγὴ δέ τις ἀντὶ μουσικῆς ἐκ
τοῦ σπηλαίου πέμπεται, καὶ εὐθὺς ὁ δῆμος ἀπαλλάτ-
τεται καὶ ἀφίησιν ἐν τῷ σπηλαίῳ τὴν γυναῖκα· τρίτῃ
δὲ ἡμέρᾳ παρθένος ἱέρεια τοῦ τόπου παρελθοῦσα τὴν
μὲν σύριγγα εὑρίσκει χαμαί, τὴν δὲ γυναῖκα οὐδα-
15 *μοῦ. Πρὸς ταῦτα παρασκευάσασθε πῶς ἂν αὐτοὶ*
σχῆτε τύχης, καὶ σύνετε. Εἰ μὲν γάρ ἐστι παρθένος,
ὡς ἔγωγε βουλοίμην, ἅπιτε χαίροντες τῆς σύριγγος
τυχόντες εὐμενοῦς· οὐ γὰρ ἄν ποτε ψεύσαιτο τὴν κρί-

σιν· εἰ δὲ μή· αὐτοὶ γὰρ ἴστε οἷα εἰκὸς ἐν τοσαύταις αὐτὴν ἐπιβουλαῖς γενομένην ἄκουσαν—"

Καὶ εὐθὺς ἡ Λευκίππη πρὶν τὸν ἱερέα εἰπεῖν τὸν ἑξῆς λόγον "ὡς γέ μοι δοκεῖ, μηδὲ εἴπῃς· ἐγὼ γὰρ ἑτοίμη εἰς τὸ τῆς σύριγγος σπήλαιον εἰσελθεῖν καὶ χωρὶς προκλήσεως κατακεκλεῖσθαι." "Ἀγαθὰ λέγεις" ὁ ἱερεὺς εἶπε "καί σοι συνήδομαι ὑπὲρ σωφροσύνης καὶ τύχης." Τότε μὲν οὖν ἑσπέρας γενομένης ἕκαστος ἡμῶν ἀπῄει κοιμησόμενος ἔνθα ὁ ἱερεὺς παρεσκεύασεν, ὁ Κλεινίας δὲ οὐκ ἦν ἡμῖν συνδειπνῶν, ὡς ἂν μὴ φορτικοὶ δοκοίημεν εἶναι τῷ ξενοδόκῳ· ἀλλ' ἔνθα καὶ τὴν πρόσθεν ἡμέραν, καὶ τὴν τότε. Τὸν μέντοι Σώστρατον ἑώρων ὑποθορυβηθέντα τῷ τῆς σύριγγος διηγήματι, μὴ ἄρα τὰ περὶ τῆς παρθενίας δι' αἰδῶ τὴν πρὸς αὐτὸν ψευδώμεθα. Διανεύω δὴ τῇ Λευκίππῃ νεύματι ἀφανεῖ τὸν φόβον τοῦ πατρὸς ἐξελεῖν ἐπισταμένῃ οἵῳ δὴ τρόπῳ μάλιστα οἴεται πείσειν. Κἀκείνη δὲ ἐδόκει μοι ταὐτὸν ὑποπτεύειν, ὥστε ταχύ μου συνῆκε. Διενοεῖτο δὲ καὶ πρὸ τοῦ παρ' ἐμοῦ νεύματος πῶς ἂν κοσμιώτατα προσενεχθείη τῷ πιστώματι. Μέλλουσα οὖν πρὸς ὕπνον ἀναχωρεῖν, ἀσπαζομένη τὸν πατέρα ἠρέμα πρὸς αὐτὸν "Θάρρει πάτερ" ἔφη "περὶ ἐμοῦ καὶ πίστευε τοῖς εἰρημένοις. Μὰ τὴν γὰρ Ἄρτεμιν, οὐδέτερος ἡμῶν οὐδὲν ἐψεύσατο."

Τῇ δὲ ὑστεραίᾳ περὶ τὴν θεωρίαν ἦσαν ὅ τε Σώστρατος καὶ ὁ ἱερεύς, καὶ ηὐτρεπισμέναι ἦσαν αἱ θυσίαι, παρῆν δὲ καὶ ἡ βουλὴ μεθέξουσα τῶν ἱερείων· εὐφημίαι δὲ ἦσαν εἰς τὴν θεὸν πολλαί, καὶ ὁ Θέρσανδρος (ἔτυχε γὰρ καὶ αὐτὸς παρὼν) προσελθὼν τῷ πρόεδρῳ "πρόγραψον εἰς αὔριον" ἔφη "τὰς περὶ ἡμῶν δίκας, ἐπεὶ καὶ τὸν καταγνωσθέντα σοι χθὲς ἤδη τινὲς ἔλυσαν, καὶ ὁ Σωσθένης ἐστὶν οὐδαμοῦ." Προ-

γέγραπτο μὲν οὖν εἰς τὴν ὑστεραίαν ἡ δίκη, παρεσκευαζόμεθα δὲ ἡμεῖς μάλα εὐπρεπῶς ἔχοντες.

8 Ἠκούσης δὲ τῆς κυρίας ὁ Θέρσανδρος εἶπεν ὧδε "Οὐκ οἶδα τίνος ἄρξωμαι λόγου καὶ πόθεν, οὐδὲ τίνων κατηγορήσω πρῶτον καὶ τίνων δεύτερον. Τά τε γὰρ τετολμημένα πολλὰ ὑπὸ πολλῶν καὶ οὐδὲν οὐδενὸς τῷ μεγέθει δεύτερον· πάντα δὲ ἀλλήλων γυ-
2 μνὰ καὶ μεθ' ὧν οὐδ' ἂν ἄψωμαι κατηγορῶν. Τὰ γὰρ τῆς ψυχῆς κρατούσης φοβοῦμαι μὴ ἀτελής μοι ὁ λόγος γένηται, τῆς τῶν ἄλλων μνήμης τὴν γλῶτταν ἐφ' ἕκαστον ἑλκούσης. Ἡ γὰρ εἰς τὸ μήπω λεχθὲν ἔπειξις τοῦ λόγου τὸ ὁλόκληρον τῶν ἤδη λεχθέντων παραι-
3 ρεῖται. Ὅταν μὲν γὰρ φονεύσωσι τοὺς ἀλλοτρίους οἰκέτας οἱ μοιχοί, μοιχεύσωσι δὲ τὰς ἀλλοτρίας γυναῖκας οἱ φονεῖς, λύσωσι δ' ἡμῖν τὰς θεωρίας οἱ πορνοβοσκοί, τὰ δὲ σεμνότατα τῶν ἱερῶν μιαίνωσιν αἱ πόρναι, τὰς ἡμέρας δὲ λογιζόμενος, ἢ ταῖς δούλαις καὶ τοῖς δεσπόταις, τί δράσειέ τις ἔτι, ἀνομίας ὁμοῦ καὶ μοιχείας καὶ ἀσεβείας καὶ μιαιφονίας κεκερασμένης;
4 Κατεγνώκατέ τινος θάνατον ἐφ' αἷς δή ποτ' οὖν αἰτίαις (οὐδὲν γὰρ διαφέρει) καὶ δεδεμένον εἰς τὸ δεσμωτήριον ἀπεστείλατε φυλαχθησόμενον τῇ καταδίκῃ· οὗτος δὲ παρέστηκεν ὑμῖν, ἀντὶ τῶν δεσμῶν λευκὴν ἡμφιεσμένος στολήν, καὶ ἐν τῇ τάξει τῶν ἐλευθέρων ἕστηκεν ὁ δεσμώτης. Τάχα δὲ καὶ τολμήσει φωνὴν
5 ἀφεῖναι καὶ ἐπιρρητορεῦσαί τι κατ' ἐμοῦ, μᾶλλον δὲ καθ' ὑμῶν καὶ τῆς ὑμετέρας ψήφου. Λέγε δὲ τῶν προέδρων καὶ τῶν συμβούλων τὸ δόγμα. Ἀκούετε καθάπερ ἐψηφίσασθε καὶ τὴν περὶ τούτου μοι γραφήν. Ἔδοξεν ἀποθνήσκειν Κλειτοφῶντα. Ποῦ τοίνυν ὁ δήμιος; ἀπαγέτω τοῦτον λαβών. Δὸς ἤδη τὸ κώνειον.
6 Ἤδη τέθνηκε τοῖς νόμοις· κατάδικός ἐστιν ὑπερήμε-

ρος. Τί λέγεις, ὦ σεμνότατε καὶ κοσμιώτατε ἱερεῦ; Ἐν ποίοις ἱεροῖς γέγραπται νόμοις τοὺς ὑπὸ τῆς βουλῆς καὶ τῶν πρυτάνεων κατεγνωσμένους καὶ θανάτοις καὶ δεσμοῖς παραδοθέντας ἐξαρπάζειν τῆς κατα- 5 δίκης καὶ τῶν δεσμῶν ἀπολύειν καὶ κυριώτερον σαυτὸν ποιεῖν τῶν προέδρων καὶ τῶν δικαστηρίων; Ἀνά- 7 στηθι τοῦ θώκου, πρόεδρε, παραχώρησον τῆς ἀρχῆς αὐτῷ καὶ τοῦ δικαστηρίου· οὐκέτι οὐδενὸς εἶ κύριος· οὐδὲν ἔξεστί σοι κατὰ τῶν πονηρῶν ψηφίσασθαι, καὶ 10 σήμερον ὅ τι δόξει λύεται. Τί ἕστηκας, ἱερεῦ, σὺν ἡμῖν ὡς τῶν πολλῶν εἷς; Ἀνάβηθι καὶ κάθισον ἐν 8 τῷ τοῦ προέδρου θρόνῳ καὶ σὺ δίκαζε λοιπὸν ἡμῖν, μᾶλλον δὲ κέλευε τυραννικῶς, μηδὲ ἀναγινωσκέσθω σοί τις νόμος μηδὲ γνῶσις δικαστηρίου, μηδ' ὅλως 15 ἄνθρωπον σεαυτὸν ἡγοῦ· μετὰ τῆς Ἀρτέμιδος προσκυνοῦ· καὶ γὰρ τὴν ἐκείνης τιμὴν ἐξήρπασας. Αὐτῇ 9 μόνῃ τοὺς ἐπ' αὐτὴν καταφεύγοντας ἔξεστι σώζειν, καὶ ταῦτα πρὸ δικαστηρίου γνώσεως. Δεδεμένον δὲ οὐδένα λέλυκεν ἡ θεός, οὐδὲ θανάτῳ παραδοθέντα 20 ἠλευθέρωσε τῆς τιμωρίας. Τῶν δυστυχούντων εἰσίν, οὐ τῶν ἀδικούντων οἱ βωμοί. Σὺ δὲ καὶ τοὺς δεθέν- 10 τας ἐλευθεροῖς καὶ τοὺς καταδίκους ἀπολύεις. Οὕτως παρευδοκίμησας καὶ τὴν Ἄρτεμιν. Τίς ᾤκησεν ἀντὶ δεσμωτηρίου τὸ ἱερόν; Φονεὺς καὶ μοιχὸς παρὰ τῇ 25 καθαρᾷ θεῷ· οἰμοι μοιχὸς παρὰ τῇ παρθένῳ. Συνῆν δὲ αὐτῷ καὶ γυνή τις ἀκόλαστος, ἀποδρᾶσα τὸν δεσπότην. Καὶ γὰρ ταύτην, ὡς εἴδομεν, ὑπεδέχου, καὶ 11 μία γέγονεν αὐτοῖς ἑστία παρὰ σοὶ καὶ συμπόσιον, τάχα δὲ καὶ συνεκάθευδες, ἱερεῦ, οἴκημα τὸ ἱερὸν 30 ποιήσας. Ἡ τῆς Ἀρτέμιδος οἰκία μοιχῶν γέγονε καὶ πόρνης θάλαμος. Ταῦτα μόλις ἐν χαμαιτυπείῳ γίνε- 12 ται. Εἷς μὲν δή μοι λόγος οὗτος κατ' ἀμφοῖν. Τὸν

μέντοι ἀξιῶ τῆς αὐθαδείας δοῦναι τιμωρίαν, τὸν δὲ ἀποδοθῆναι κελεῦσαι τῇ καταδίκῃ. Δεύτερος δέ ἐστί μοι πρὸς Μελίτην μοιχείας ἀγών, πρὸς ἣν οὐδὲν δέομαι λόγων· ἐν γὰρ τῇ τῶν θεραπαινῶν βασάνῳ τὴν
13 ἐξέτασιν γενέσθαι δέδοκται. Ταύτας οὖν αἰτῶ, αἳ ἂν βασανιζόμεναι φήσωσιν οὐκ εἰδέναι τοῦτον τὸν κατάδικον χρόνῳ πολλῷ συνόντα αὐτῇ καὶ ἐν ἀνδρὸς χώρᾳ [[ἐν]] τῇ οἰκίᾳ τῇ ἐμῇ, οὐκ ἐν μοιχοῦ μόνον καθεστηκότα, πάσης αἰτίας αὐτὴν ἀφίημι. Ἂν τοίνυν τοὐναντίον, τὴν μὲν κατὰ τὸν νόμον ἀφεῖσθαι τῆς προικὸς φημὶ δεῖν ἐμοί, τὸν δὲ ὑποσχεῖν τὴν ὀφειλομένην τοῖς μοιχοῖς τιμωρίαν· θάνατος δέ ἐστιν αὕτη· ὥστε ὁποτέρως ἂν οὗτος ἀποθάνῃ, ὡς μοιχὸς ἢ ὡς φονεύς, ἀμφοτέροις ἔνοχος ὤν, δίκην δεδωκὼς οὐ δέδωκεν.
14 Ἀποθανὼν γὰρ ὀφείλει θάνατον ἄλλον. Ὁ δέ μοι τρίτος τῶν λόγων πρὸς τὴν δούλην ἐστὶ τὴν ἐμὴν καὶ τὸν σεμνὸν τοῦτον πατρὸς ὑποκριτήν, ὃν εἰς ὕστερον, ὅταν τούτων καταψηφίσησθε, ταμιεύομαι."

9 Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἐπαύσατο· παρελθὼν δὲ ὁ ἱερεὺς (ἦν δὲ εἰπεῖν οὐκ ἀδύνατος, μάλιστα δὲ τὴν Ἀριστοφάνους ἐζηλωκὼς κωμῳδίαν) ἤρξατο αὐτὸς λέγειν, πάνυ ἀστείως καὶ κωμῳδικῶς εἰς πορνείαν αὐτοῦ καθαπτόμενος "παρὰ τὴν Θεὸν" λέγων "λοιδορεῖσθαι μὲν οὕτως ἀκόσμως τοῖς εὖ βεβιωκόσι στόματος
2 ἐστὶν οὐ καθαροῦ. Οὗτος δὲ οὐκ ἐνταῦθα μόνον ἀλλὰ καὶ πανταχοῦ τὴν γλῶτταν μεστὴν ὕβρεως ἔχει. Καίτοιγε νέος ὢν συνεγίνετο πολλοῖς αἰδοίοις ἀνδράσι καὶ τὴν ὥραν ἅπασαν εἰς τοῦτο δεδαπάνηκε. Σεμνότητα δεδόρκει καὶ σωφροσύνην ὑπεκρίνετο, παιδείας προσποιούμενος ἐρᾶν καὶ τοῖς εἰς ταύτην αὐτῷ χρωμένοις πάντα ὑποκύπτων καὶ ὑποκατακλινόμενος
3 ἀεί. Καταλιπὼν γὰρ τὴν πατρῴαν οἰκίαν, ὀλίγον

ἑαυτῷ μισθωσάμενος στενωπεῖον, εἶχεν ἐνταῦθα τὸ οἴκημα, ὁμηρίζων μὲν τὰ πολλά, πάντας δὲ τοὺς χρησίμους πρὸς ἅπερ ἤθελε προσεταιριζόμενος. Καὶ οὕτω μὲν ἀσκεῖν τὴν ψυχὴν ἐνομίζετο· ἦν δ' ἄρα τοῦτο κακουργίας ὑπόκρισις. Ἔπειτα κἀν τοῖς γυμνασίοις 4 ἑωρῶμεν πῶς τὸ σῶμα ὑπηλείφετο καὶ πῶς πλέκτρον περιέβαινε καὶ τοὺς μὲν νεανίσκους, οἷς προσεπάλαιε, πρὸς τοὺς ἀνδρειοτέρους μάλιστα συμπλεκόμενος· οὕτως αὐτοῦ κέχρηται [καὶ] τῷ σώματι. Ταῦτα μὲν οὖν ὡραῖος ὤν· ἐπεὶ δὲ εἰς ἄνδρας ἦκε, 5 πάντα ἀπεκάλυψεν, ἃ τότε ἀπέκρυπτε. Καὶ τοῦ μὲν ἄλλου σώματος ἔξωρος γενόμενος ἠμέλησε, μόνην δὲ τὴν γλῶτταν εἰς ἀσέλγειαν ἀκονᾷ καὶ τῷ στόματι χρῆται πρὸς ἀναισχυντίαν, ὑβρίζων πάντας, ἐπὶ τῶν προσώπων φέρων τὴν ἀναίδειαν, ὃς οὐκ ἠδέσθη τὸν ὑφ' ὑμῶν ἱερωσύνῃ τετιμημένον οὕτως ἀπαιδεύτως βλασφημῶν ὑμῶν ἐναντίον. Ἀλλ' εἰ μέν ἄλλῃ που 6 βεβιωκὼς ἔτυχον καὶ μὴ παρ' ὑμῖν, ἔδει μοι λόγων περὶ ἐμαυτοῦ καὶ τῶν ἐμοὶ βεβιωμένων· ἐπεὶ δὲ σύνιστέ μοι πόρρω τῶν τούτου βλασφημιῶν τὸν βίον ἔχοντι, φέρε εἴπω πρὸς ὑμᾶς περὶ ὧν ἐγκέκλημαι. Ἔλυσας φησὶ τὸν θανάτου κατεγνωσμένον καὶ ἐπὶ 7 τούτῳ πάνυ δεινῶς ἐσχετλίασε, τύραννον ἀποκαλῶν με καὶ ὅσα δὴ κατετραγῴδησέ μου. Ἔστι δὲ οὐχ ὁ σώζων τοὺς συκοφαντηθέντας τύραννος, ἀλλ' ὁ τοὺς μηδὲν ἀδικοῦντας ** μήτε βουλῆς μήτε δήμου κατεγνωκότος. Ἢ κατὰ ποίους νόμους, εἰπέ, τοῦτον τὸν 8 ξένον νεανίσκον κατέκλεισας πρῶτον εἰς τὸ δεσμωτήριον; Τίς προέδρων κατέγνω; Ποῖον δικαστήριον ἐκέλευσε δεθῆναι τὸν ἄνθρωπον; Ἔστω γὰρ πάντα ἀδικήσας, ὅσα ἂν εἴπῃς, ἀλλὰ κριθήτω πρῶτον, ἐλεγχθήτω λόγου μεταλαβών. Ὁ νόμος αὐτόν, ὃ καὶ

9 σοῦ καὶ πάντων κύριος, θησάτω. Οὐδενὸς γὰρ οὐδείς
ἐστιν ἄνευ κρίσεως δυνατώτερος. Κλεῖσον οὖν τὰ δι-
καστήρια, κάθελε τὰ βουλευτήρια, ἔκβαλε τοὺς στρα-
τηγούς. Πάντα γὰρ ὅσα σὺ πρὸς τὸν πρόεδρον εἴρη-
κας ἔοικα δικαιότερον ἐρεῖν κατὰ σοῦ ἀληθῶς. Ὑπ- 5
ανάστηθι Θερσάνδρῳ, πρόεδρε. Μέχρι μόνων ὀνομά-
10 των πρόεδρος εἶ. Οὗτος τὰ σὰ ποιεῖ, μᾶλλον δὲ ὅσα
οὐδὲ σύ. Σὺ μὲν γὰρ συμβούλους ἔχεις, καὶ οὐδὲν
ἄνευ τούτων ἔξεστί σοι· ἀλλ' οὔτε τι τῆς ἐξουσίας
δράσειας [ἂν] πρὶν ἐλθεῖν ἐπὶ τοῦτον τὸν θρόνον, 10
οὔτε ἐπὶ τῆς σῆς οἰκίας ποτὲ δεσμὸν ἀνθρώπου κατέ-
γνως. Ὁ δὲ γενναῖος οὗτος πάντα ἑαυτῷ γίνεται,
11 δῆμος, βουλή, πρόεδρος, στρατηγός. Οἴκοι κολάζει
καὶ δικάζει καὶ δεθῆναι κελεύει, καὶ ὁ τῆς δίκης και-
ρὸς ἑσπέρα ἐστί. Καλός γε καὶ ὁ νυκτερινὸς δικα- 15
στής. Καὶ νῦν πολλάκις βοᾷ 'κατάδικον ἔλυσας θα-
νάτῳ παραδοθέντα.' Ποίῳ θανάτῳ; ποῖον κατάδι-
12 κον; Εἰπέ μοι τοῦ θανάτου τὴν αἰτίαν. 'Ἐπὶ φόνῳ
κατέγνωσται' φησί. Πεφόνευκεν οὖν; Εἰπέ μοι, τίς
ἐστιν, ἣν ἀπέκτεινε; Ἦν [γὰρ] ἔλεγες ἁνῃρῆσθαι, ζῶ- 20
σαν βλέπεις, καὶ οὐκ ἂν ἔτι τολμήσειας τὸν αὐτὸν αἰ-
τιᾶσθαι φόνου. Οὐ γὰρ δὴ τοῦτο τῆς κόρης ἐστὶν εἴ-
δωλον· οὐκ ἀνέπεμψεν ὁ Ἅιδωνεὺς κατὰ σοῦ τὴν
13 ἀνῃρημένην. Δυσὶ μὲν οὖν φόνοις ἔνοχος εἶ. Τὴν
μὲν γὰρ ἀπέκτεινας τῷ λόγῳ, τὸν δὲ τοῖς ἔργοις ἠθέ- 25
λησας, μᾶλλον δὲ καὶ ταύτην ἔμελλες· τὸ γὰρ δρᾶμά
σου τὸ ἐπὶ τῶν ἀγρῶν ἠκούσαμεν. Ἡ δὲ Ἄρτεμις ἡ
μεγάλη Θεὸς ἀμφοτέρους ἔσωσε, τὴν μὲν ἐκ τῶν τοῦ
14 Σωσθένους χειρῶν ἐξαρπάσασα, τὸν δὲ τῶν σῶν. Καὶ
τὸν μὲν Σωσθένην ἐξήρπασας, ἵνα μὴ κατάφωρος γέ- 30
νῃ· οὐκ αἰσχύνῃ δὲ ὅτι κατηγορῶν τοὺς ξένους ἄμφω
συκοφαντῶν ἐλήλεγξαι; Τὰ μὲν ἐμὰ ἐπὶ τοσοῦτον

εἰρήσθω πρὸς τὰς τούτου βλασφημίας, τὸν δὲ ὑπὲρ τῶν ξένων λόγον αὐτοῖς τούτοις παραδίδωμι."

Μέλλοντος δὲ ὑπὲρ ἐμοῦ καὶ τῆς Μελίτης ἀνδρὸς οὐκ ἀδόξου μὲν ῥήτορος, ὄντος δὲ [[τῆς]] βουλῆς, λέγειν, φθάσας ῥήτωρ ἕτερος, ὄνομα Σώπατρος, Θερσάνδρου συνήγορος, "ἀλλ' ἐμὸς" εἶπεν "ἐντεῦθεν ὁ λόγος κατὰ τούτων τῶν μοιχῶν, ὦ βέλτιστε Νικόστρατε (τοῦτο γὰρ ἦν ὄνομα τῷμῷ ῥήτορι), εἶτα σός· ὁ γὰρ Θέρσανδρος ἃ εἶπε, πρὸς τὸν ἱερέα μόνον ἀπετείνατο, ὀλίγον ἀψάμενος ὅσον ἐπιψαῦσαι καὶ τοῦ κατὰ τὸν δεσμώτην μέρους. Ὅταν οὖν ἀποδείξω δυσὶ θανάτοις ἔνοχον ὄντα, τότε ἂν εἴη καὶ σοὶ καιρὸς ἀπολύσασθαι τὰς αἰτίας."

Ταῦτα εἰπὼν καὶ τερατευσάμενος καὶ τρίψας τὸ πρόσωπον "τῆς μὲν τοῦ ἱερέως κωμῳδίας" ἔφη "ἠκούσαμεν, πάντα ἀσελγῶς καὶ ἀναισχύντως ὑποκριναμένου τὰ εἰς τὸν Θέρσανδρον προσκρούσματα. Καὶ τοῦ λόγου τὸ προοίμιον μέμψεις εἰς Θέρσανδρον ἐφ' οἷς [[εἰς]] αὐτὸν εἶπεν. Ἀλλὰ Θέρσανδρος μὲν οὐδὲν ὧν εἶπεν εἰς τοῦτον ἐψεύσατο· καὶ γὰρ δεσμώτην ἔλυσε καὶ πόρνην ὑπεδέξατο καὶ συνέγνω μοιχῷ· ἃ δὲ αὐτὸς μᾶλλον ἀναιδῶς ἐσυκοφάντησε διασύρων τὸν Θερσάνδρου βίον, οὐδεμιᾶς ἀπήλλακται συκοφαντίας. Ἱερεῖ δὲ ἔπρεπεν, εἴπερ ἄλλο, καὶ τοῦτο, καθαρὰν ἔχειν τὴν γλῶτταν ὕβρεως (χρήσομαι γὰρ τοῖς αὐτοῦ πρὸς αὐτόν)· ἃ δὲ μετὰ τὴν κωμῳδίαν ἐτραγῴδησεν ἤδη οὕτω φανερῶς καὶ οὐκέτι δι' αἰνιγμάτων, σχετλιάζων εἰ μοιχόν τινα λαβόντες ἐδήσαμεν, ὑπερτεθαύμακα τί τοσοῦτον ἴσχυσε πρίασθαι πρὸς τὴν τοσαύτην σπουδήν. Ὑπονοεῖν γὰρ τἀληθὲς ἔστιν. Εἶδε γὰρ τῶν ἀκολάστων τούτων τὰ πρόσωπα, τοῦ τε μοιχοῦ καὶ τῆς ἑταίρας. Ὡραία μὲν γὰρ αὕτη

10 5 2 15 3 20 4 25 5 30

καὶ νέα, ὡραῖον δὲ καὶ τοῦτο τὸ μειράκιον καὶ οὐδέπω τὴν ὄψιν ἀργαλέον, ἀλλ' ἔτι χρήσιμον πρὸς τὰς
6 τοῦ ἱερέως ἡδονάς. Ὁποτέρα σε τούτων ἐωνήσατο; κοινῇ γὰρ πάντες ἐκαθεύδετε καὶ ἐμεθύετε κοινῇ, καὶ τῆς νυκτὸς ὑμῶν οὐδεὶς γέγονε θεατής. Φοβοῦ- 5
μαι μὴ τὸ τῆς Ἀρτέμιδος ἱερὸν Ἀφροδίτης πεποιήκατε, καὶ περὶ ἱερωσύνης κρινοῦμεν, εἰ δεῖ σε τὴν
7 τιμὴν ταύτην ἔχειν. Τὸν δὲ Θερσάνδρου βίον ἴσασι πάντες καὶ ἐκ πρώτης ἡλικίας μετὰ σωφροσύνης κόσμιον, καὶ ὡς εἰς ἄνδρας ἐλθὼν ἔγημε κατὰ τοὺς 10
νόμους, σφαλεὶς μὲν εἰς τὴν περὶ τῆς γυναικὸς κρίσιν (οὐ γὰρ εὗρεν ἣν ἤλπισε), τῷ δὲ ταύτης γένει καὶ τῇ
8 οὐσίᾳ πεπιστευκώς. Εἰκὸς γὰρ αὐτὴν καὶ πρὸς ἄλλους τινὰς ἡμαρτηκέναι τὸν πρόσθεν χρόνον, λανθάνειν δὲ ἐπ' ἐκείνοις χρηστὸν ἄνδρα. Τὸ δὲ τελευ- 15
ταῖον τοῦ δράματος πᾶσαν ἀπεκάλυψε τὴν αἰδῶ,
9 πεπλήρωται δὲ ἀναισχυντίας. Τοῦ γὰρ ἀνδρὸς στειλαμένου τινὰ μακρὰν ἀποδημίαν, καιρὸν τοῦτον νενόμικεν εὔκαιρον μοιχείας, καὶ νεανίσκον εὑροῦσα-
πόρνον (τοῦτο γὰρ τὸ μεῖζον ἀτύχημα, ὅτι τοιοῦτον 20
εὗρε τὸν ἐρώμενον, ὃς πρὸς μὲν γυναῖκας ἄνδρας ἀπομιμεῖται, γυνὴ δὲ γίνεται πρὸς ἄνδρας) οὕτως μετὰ ἀδείας οὐκ ἤρκεσεν ἐπὶ τῆς ξένης αὐτῷ συνοῦσα φανερῶς, ἀλλὰ καὶ ἐνταῦθα ἤγαγε διὰ τοσούτου πελάγους συγκαθεύδουσα κἂν τῷ σκάφει φανε- 25
10 ρῶς ἀσελγαίνουσα πάντων ὁρώντων. Ὦ μοιχείας γῆ καὶ θαλάττη μεμερισμένης· ὦ μοιχείας ἀπὸ Αἰγύπτου μέχρις Ἰωνίας ἐκτεταμένης. Μοιχεύεταί τις, ἀλλὰ πρὸς μίαν ἡμέραν· ἂν δὲ καὶ δεύτερον γένηται τὸ ἀδίκημα, κλέπτει τὸ ἔργον καὶ πάντας ἀποκρύπτε- 30
ται· αὕτη δὲ οὐχ ὑπὸ σάλπιγγι μόνον ἀλλὰ καὶ
11 κήρυκι μοιχεύεται. Ἔφεσος ὅλη τὸν μοιχὸν ἔγνωκεν·

ἡ δὲ οὐκ ἠσχύνετο τοῦτο ἀπὸ τῆς ξένης ἐνεγκοῦσα τὸ ἀγώγιμον κάλλος, μοιχὸν ἐμπεπορευμένη. "Ἀλλ' ὤμην" φησὶ "τὸν ἄνδρα τετελευτηκέναι." Οὐκοῦν εἰ μὲν τέθνηκεν, ἀπήλλαξαι τῆς αἰτίας· οὐδὲ γὰρ ἔστιν ὁ τὴν μοιχείαν παθών, οὐδὲ ὑβρίζεται γάμος οὐκ ἔχων ἄνδρα· εἰ δὲ ὁ γάμος τῷ τὸν γήμαντα ζῆν οὐκ ἀνῄρηται, τὴν γαμηθεῖσαν διαφθείραντος ἄλλου λῃστεύεται. Ὥσπερ γὰρ μὴ μένοντος ὁ μοιχὸς οὐκ ἦν, μένοντος δὴ μοιχός ἐστιν." 12

Ἔτι τοῦ Σωπάτρου λέγοντος ὑποτεμὼν αὐτοῦ τὸν λόγον ὁ Θέρσανδρος "ἀλλ' οὐκ" ἔφη "[[δεῖ]] λόγων. Δύο γὰρ προκαλοῦμαι προκλήσεις Μελίτην τε ταύτην καὶ τὴν δοκοῦσάν εἶναι τοῦ Θεοπρόπου θυγατέρα, τῷ δὲ ὄντι δούλην ἐμήν·" καὶ ἀνεγίνωσκε 11 2
"προκαλεῖται Θέρσανδρος Μελίτην καὶ Λευκίππην, τοῦτο γὰρ ἤκουσα τὴν πόρνην καλεῖσθαι· Μελίτην μέν, εἰ μὴ κεκοινώνηκεν εἰς Ἀφροδίτην τῷδε τῷ ξένῳ παρ' ὃν ἀπεδήμουν χρόνον, εἰς τὸ τῆς ἱερᾶς Στυγὸς ὕδωρ εἰσβᾶσαν καὶ ἐπομοσαμένην ἀπηλλάχθαι τῶν ἐγκλημάτων· τὴν δὲ ἑτέραν, εἰ μὲν τυγχάνει γυνή, δουλεύειν τῷ δεσπότῃ· δούλαις γὰρ μόναις γυναιξὶν ἔξεστιν εἰς τὸν τῆς Ἀρτέμιδος νεὼν παριέναι· εἰ δέ φησιν εἶναι παρθένος, ἐν τῷ τῆς σύριγγος ἄντρῳ κλεισθῆναι." Ἡμεῖς μὲν οὖν εὐθὺς ἐδεξάμεθα τὴν 3
πρόκλησιν· καὶ γὰρ ᾔδειμεν αὐτὴν ἐσομένην· ἡ δὲ Μελίτη θαρρήσασα τῷ παρ' ὃν ἀπεδήμει χρόνον ὁ Θέρσανδρος μηδέν μοι κοινὸν πρὸς αὐτὴν γεγονέναι

---

2 post ἀγώγιμον: ὡς φορτίον | post κάλλος: ἐωνημένη ἦλθε

14 post θυγατέρα: οὐκέτι βασανίσων, ὡς μικρῷ πρόσθεν ἔλεγον

πλὴν λόγων "ἀλλὰ καὶ ἔγωγε" ἔφη "ταύτην δέχομαι τὴν πρόκλησιν, καὶ ἔτι πλέον αὐτὴ προστίθημι· τὸ δὲ μέγιστον, οὐδὲ εἶδον τὸ παράπαν οὔτε ξένον οὔτε πολίτην ἥκειν εἰς ὁμιλίαν παρ' ὃν λέγεις καιρόν
4 * * σε δεῖ παθεῖν, ἂν συκοφάντης ἁλῷς;" "Ὅ τι ἄν" ἔφη "δόξῃ προστιμῆσαι τοῖς δικασταῖς." Ἐπὶ τούτοις διελύθη τὸ δικαστήριον, καὶ εἰς τὴν ὑστεραίαν διώρισto τὰ τῆς προκλήσεως ἡμῖν γενέσθαι.

12 Τὸ δὲ τῆς Στυγὸς ὕδωρ εἶχεν οὕτως. Παρθένος ἦν εὐειδής, ὄνομα Ῥοδῶπις, κυνηγίων ἐρῶσα καὶ θήρας· πόδες ταχεῖς, εὔστοχοι χεῖρες, ζώνη καὶ μίτρα καὶ ἀνεζωσμένος εἰς γόνυ χιτὼν καὶ κατὰ ἄνδρας κουρὰ τριχῶν. Ὁρᾷ ταύτην Ἄρτεμις, καὶ ἐπῄνει καὶ ἐκάλει καὶ σύνθηρον ἐποιήσατο, καὶ τὰ πλεῖστα κοινὰ
2 ἦν αὐταῖς θηράματα. Ἀλλὰ καὶ ὤμοσεν ἀεὶ παραμενεῖν καὶ τὴν πρὸς ἄνδρας ὁμιλίαν φυγεῖν καὶ τὴν ἐξ Ἀφροδίτης ὕβριν μὴ παθεῖν. Ὤμοσεν ἡ Ῥοδῶπις, καὶ ἤκουσεν ἡ Ἀφροδίτη καὶ ὀργίζεται καὶ ἀμύνα-
3 σθαι θέλει τὴν κόρην τῆς ὑπεροψίας. Νεανίσκος ἦν Ἐφέσιος καλὸς ἐν μειρακίοις ὅσον Ῥοδῶπις ἐν παρθένοις· Εὐθύνικον αὐτὸν ἐκάλουν· ἐθήρα δὲ καὶ αὐτὸς ὡς Ῥοδῶπις, καὶ τὴν Ἀφροδίτην ὁμοίως οὐκ
4 ἤθελεν εἰδέναι. Ἐπ' ἀμφοτέρους οὖν ἡ θεὸς ἔρχεται καὶ τὰς θήρας αὐτῶν εἰς ἓν συνάγει· τέως γὰρ ἦσαν κεχωρισμένοι· ἡ δὲ Ἄρτεμις τηνικαῦτα οὐ παρῆν. Παραστησαμένη δὲ τὸν υἱὸν τὸν τοξότην ἡ Ἀφροδίτη εἶπε "τέκνον, ζεῦγος τοῦτο ὁρᾷς ἀναφρόδιτον καὶ ἐχθρὸν ἡμῶν καὶ τῶν ἡμετέρων μυστηρίων· ἡ δὲ παρθένος καὶ θρασύτερον ὤμοσε κατ' ἐμοῦ· ὁρᾷς
5 αὐτοὺς ἐπὶ τὴν ἔλαφον συντρέχοντας. Ἄρξαι καὶ σὺ τῆς θήρας ἀπὸ πρώτης τῆς τολμηρᾶς κόρης· καὶ πάντως γε τὸ σὸν βέλος εὐστοχώτερόν ἐστιν." Ἐντείνουσιν

ἀμφότεροι τὰ τόξα, ἡ μὲν ἐπὶ τὴν ἔλαφον, ὁ δὲ Ἔρως ἐπὶ τὴν παρθένον· καὶ ἀμφότεροι τυγχάνουσι, καὶ ἡ κυνηγέτις μετὰ τὴν θήραν ἣν τεθηραμένη· καὶ εἶχεν 6
ἡ μὲν ἔλαφος εἰς τὰ νῶτα τὸ βέλος, ἡ δὲ παρθένος εἰς τὴν καρδίαν· τὸ δὲ βέλος, Εὐθύνικον φιλεῖν. Δεύτερον δὲ καὶ ἐπὶ τοῦτον οἰστὸν ἀφίησι. Καὶ εἶδον 7
ἀλλήλους [ὁ] Εὐθύνικος καὶ ἡ Ῥοδῶπις, καὶ ἔστησαν μὲν τὸ πρῶτον τοὺς ὀφθαλμοὺς ἑκάτεροι, μηδέτερος ἐκκλῖναι θέλων ἐπὶ θάτερα· κατὰ μικρὸν δὲ τὰ τραύματα ἀμφοῖν ἐξάπτεται, καὶ αὐτοὺς ὁ Ἔρως ἐλαύνει κατὰ τουτὶ τὸ ἄντρον, οὗ νῦν ἐστιν ἡ πηγή, καὶ ἐνταῦθα τὸν ὅρκον ψεύδονται. Ἡ Ἄρτεμις ὁρᾷ τὴν 8
Ἀφροδίτην γελῶσαν καὶ τὸ πραχθὲν συνίησι καὶ εἰς ὕδωρ λύει τὴν κόρην ἔνθα τὴν παρθενίαν ἔλυσε. Καὶ διὰ τοῦτο, ὅταν τις αἰτίαν ἔχῃ ἀφροδισίων, εἰς τὴν πηγὴν εἰσβᾶσα ἀπολούεται· ἡ δέ ἐστιν ὀλίγη καὶ μέχρι κνήμης μέσης. Ἡ δὲ κρίσις· ἐγγράψασα 9
τὸν ὅρκον γραμματείῳ μηρίνθῳ δεδεμένον περιεθήκατο τῇ δέρῃ· κἂν μὲν ἀψευδῇ τὸν ὅρκον, μένει κατὰ χώραν ἡ πηγή· ἂν δὲ ψεύδηται, τὸ ὕδωρ ὀργᾷ καὶ ἀναβαίνει μέχρι τῆς δέρης καὶ τὸ γραμματεῖον ἐκάλυψε.

Ταῦτα εἰπόντες, καὶ τοῦ καιροῦ προελθόντος εἰς ἑσπέραν, ἀπήειμεν κοιμησόμενοι, χωρὶς ἕκαστος. Τῇ 13
δὲ ὑστεραίᾳ ὁ δῆμος μὲν ἅπας παρῆν, ἡγεῖτο δὲ Θέρσανδρος φαιδρῷ τῷ προσώπῳ καὶ εἰς ἡμᾶς ἅμα βλέπων σὺν γέλωτι, ἐστόλιστο δὲ ἡ Λευκίππη [τῇ] ἱερᾷ στολῇ. Ποδήρης [ὁ] χιτών, ὀθόνης ὁ χιτών, ζώνη κατὰ μέσον τὸν χιτῶνα, ταινία περὶ τὴν κεφαλὴν φοινικοβαφής, ἀσάνδαλος ὁ ποῦς. Καὶ ἡ μὲν εἰσῆλθε 2
πάνυ κοσμίως· ἐγὼ δὲ ὡς εἶδον, εἱστήκειν τρέμων καὶ ταῦτα πρὸς ἐμαυτὸν ἔλεγον "ὅτι μὲν παρθένος ἡ

Λευκίππη πεπίστευκα, ἀλλὰ τὸν Πᾶνα, ὦ φιλτάτη,
3 φοβοῦμαι. Θεός ἐστι φιλοπάρθενος, καὶ δέδοικα μὴ
δευτέρα καὶ σὺ σύριγξ γένῃ. Ἀλλ' ἐκείνη μὲν ἔφυγε
διώκοντα αὐτὸν ἐν πεδίῳ καὶ ἐδιώκετο ἐν πλάτει· σὲ
δὲ καὶ εἴσω θυρῶν ἀπεκλείσαμεν ὡς ἐν πολιορκίᾳ, 5
4 ἵνα, ἂν διώκῃ, μὴ δύνῃ φυγεῖν. Ἀλλ', ὦ δέσποτα
Πάν, εὐγνωμονήσειας καὶ μὴ παραβαίης τὸν νόμον
τοῦ τόπου· ἡμεῖς γὰρ αὐτὸν τετηρήκαμεν. Ἐξίτω
πάλιν ἡμῖν ἡ Λευκίππη παρθένος· ταύτας πρὸς τὴν
Ἄρτεμιν συνθήκας ἔχεις· μὴ ψεύσῃ τὴν παρθένον." 10

14 Ταῦτά μου πρὸς ἐμαυτὸν λαλοῦντος μέλος ἐξη-
κούετο μουσικόν, καὶ ἐλέγετο μηδεπώποτε λιγυρώ-
τερον οὕτως ἀκουσθῆναι, καὶ εὐθὺς ἀνεῳγμένας
2 εἴδομεν τὰς θύρας. Ὡς δὲ ἐξέθορεν ἡ Λευκίππη,
πᾶς μὲν ὁ δῆμος ἐξεβόησεν ὑφ' ἡδονῆς καὶ τὸν Θέρ- 15
σανδρον ἐλοιδόρουν, ἐγὼ δὲ ὅστις ἐγεγόνειν οὐκ ἂν
εἴποιμι λόγῳ. Μίαν μὲν δὴ ταύτην νίκην καλλί-
στην νενικηκότες ἀπήειμεν, ἐπὶ δὲ τὴν δευτέραν
3 κρίσιν ἐχωροῦμεν, τὴν Στύγα. Καὶ ὁ δῆμος οὕτω
μετεσκευάζετο καὶ πρὸς ταύτην τὴν θέαν· καὶ πάντα 20
συνεπεραίνετο κἀκεῖ. Ἡ Μελίτη τὸ γραμματεῖον πε-
ριέκειτο· ἡ πηγὴ διαυγὴς καὶ ὀλίγη· ἡ δὲ ἐνέβη εἰς
4 αὐτὴν καὶ ἔστη φαιδρῷ τῷ προσώπῳ. Τὸ δὲ
ὕδωρ οἷον ἦν κατὰ χώραν ἔμενε, μηδὲ τὸ βραχύτατον
ἀναθορὸν τοῦ συνήθους μέτρου. Ἐπεὶ δὲ ὁ χρόνος, 25
ὃν ἐνδιατρίβειν ἐν τῇ πηγῇ διώριστο, παρεληλύθει,
τὴν μὲν ὁ πρόεδρος δεξιωσάμενος ἐκ τοῦ ὕδατος ἐξά-
γει, δύο παλαίσματα τοῦ Θερσάνδρου νενικημένου·
μέλλων δὲ καὶ τὸ τρίτον ἥττᾶσθαι, ὑπεκδὺς εἰς τὴν
οἰκίαν ἐκδιδράσκει, φοβηθεὶς μὴ καὶ καταλεύσειεν 30
5 αὐτὸν ὁ δῆμος. Τὸν γὰρ Σωσθένην εἶλκον ἄγοντες
νεανίσκοι τέτταρες, δύο μὲν τῆς Μελίτης συγγενεῖς,

δύο δὲ οἰκέται· τούτους γὰρ ἐπεπόμφει ζητήσοντας αὐτὸν ἡ Μελίτη. Συνεὶς δὲ ὁ Θέρσανδρος πόρρωθεν καὶ καταμηνύσοντα τὸ πρᾶγμα εἰδώς, ἂν ἐν βασάνοις γένηται, φθάσας ἀποδιδράσκει καὶ νυκτὸς ἐπελθούσης τῆς πόλεως ὑπεξέρχεται. Τὸν δὲ Σωσθένην εἰς τὴν εἱρκτὴν ἐκέλευσαν οἱ ἄρχοντες ἐμβληθῆναι, τοῦ Θερσάνδρου φυγόντος. Τότε μὲν οὖν ἀπηλλαττόμεθα, κατὰ κράτος ἤδη περιγενόμενοι καὶ ὑπὸ πάντων εὐφημούμενοι.

Τῇ δὲ ὑστεραίᾳ τὸν Σωσθένην ἦγον ἐπὶ τοὺς ἄρχοντας οἱ ταύτην ἔχοντες τὴν πίστιν. Ὁ δὲ ἐπὶ βασάνους ἑαυτὸν ἀγόμενον ἰδὼν πάντα σαφῶς λέγει, ὅσα τε ἐτόλμησεν ὁ Θέρσανδρος καὶ ὅσα αὐτὸς ὑπηρέτησεν· οὐ παρέλιπε δὲ οὐδὲ ὅσα ἰδίᾳ πρὸ τῶν τῆς Λευκίππης θυρῶν διελέχθησαν πρὸς ἀλλήλους περὶ αὐτῆς. Καὶ ὁ μὲν αὖθις εἰς τὴν εἱρκτὴν ἐβέβλητο, δώσων δίκην, τοῦ δὲ Θερσάνδρου φυγὴν ἀπόντος κατέγνωσαν· ἡμᾶς δὲ ὁ ἱερεὺς ὑπεδέχετο πάλιν τὸν εἰθισμένον τρόπον. Καὶ μεταξὺ δειπνοῦντες ἐμυθολογοῦμεν ἅ τε τὴν προτεραίαν ἐτύχομεν εἰπόντες καὶ εἴ τι ἐπιδεέστερον ἦν ὧν ἐπάθομεν. Ἡ Λευκίππη δὲ ἅτε δὴ τὸν πατέρα μηκέτι αἰδουμένη, ὡς ἂν σαφῶς παρθένος εὑρεθεῖσα, τὰ συμβάντα μεθ' ἡδονῆς διηγεῖτο. Ἐπεὶ δὲ κατὰ τὴν Φάρον ἐγεγόνει καὶ τοὺς λῃστάς, λέγω πρὸς αὐτὴν "οὐκ ἐρεῖς ἡμῖν τὸν μῦθον τῶν τῆς Φάρου λῃστῶν καὶ τῆς ἀποτμηθείσης ἐκεῖ τὸ αἰνιγμα κεφαλῆς, ἵνα σου καὶ ὁ πατὴρ ἀκούσῃ; τοῦτο γὰρ μόνον ἐνδεῖ πρὸς ἀκρόασιν τοῦ παντὸς δράματος."

"Γυναῖκα" ἔφη "κακοδαίμονα ἐξαπατήσαντες οἱ

22 post δή: μᾶλλον ·

λησταὶ τῶν ἐπὶ μισθῷ πωλουσῶν τὰ Ἀφροδίτης, ὡς δὴ ναυκλήρῳ τινὶ συνεσομένην ἐπὶ τοῦ σκάφους, ταύτην εἶχον ἐπὶ τῆς νεώς, ἀγνοοῦσαν τὴν ἀλήθειαν ἐφ' ὃ παρῆν, ὑποπίνουσαν δὲ ἡσυχῇ σύν τινι τῶν πειρα-
2 *τῶν· λόγῳ δ' ἦν ἐραστὴς ὁ λῃστής. Ἐπεὶ δὲ ἁρπάσαντές με, ὡς εἶδες, ἐνέθεσαν τῷ σκάφει καὶ πτερώσαντες αὐτὸ ταῖς κώπαις ἔφυγον, ὁρῶντες τὴν διώκουσαν ναῦν φθάνουσαν, περιελόντες τόν τε κόσμον καὶ τὴν ἐσθῆτα τῆς ταλαιπώρου γυναικὸς ἐμοὶ περιτιθέασι, τοὺς δὲ ἐμοὺς χιτωνίσκους ἐκείνῃ· καὶ στή-*
σαντες αὐτὴν ἐπὶ τῆς πρύμνης, ὅθεν διώκοντες ὄψοισθε, τὴν κεφαλὴν ἀποτέμνουσιν αὐτῆς, καὶ τὸ μὲν σῶμα ἔρριψαν, ὡς εἶδες, κατὰ τῆς θαλάσσης, τὴν δὲ
3 *κεφαλήν, ὡς ἔπεσεν, εἶχον ἐπὶ τῆς νεὼς τότε. Μικρὸν γὰρ ὕστερον καὶ ταύτην ἀποσκευάσαντες ἔρριψαν ὁμοίως, ὅτε μηκέτι τοὺς διώκοντας εἶδον. Οὐκ οἶδα δὲ πότερον τούτου χάριν προπαρασκευάσαντες ἔτυχον τὴν γυναῖκα ἢ διεγνωκότες ἀνδραποδίσαντες πωλῆσαι, ὥσπερ ὕστερον πεπράκασι κἀμέ· τῷ δὲ διώκεσθαι πρὸς ἀπάτην τῶν διωκόντων ἀντ' ἐμοῦ*
4 *σφάττουσι, νομίζοντες πλέον ἐμπολήσειν ἐκ τῆς ἐμῆς πράσεως ἢ τῆς ἐκείνης. Διὰ τοῦτο γὰρ καὶ τὸν Χαιρέαν τὴν ἀξίαν δόντα δίκην ἐπεῖδον· αὐτὸς γὰρ ἦν ὁ συμβουλεύσας ἀντ' ἐμοῦ τὴν ἄνθρωπον ἀποκτείναν-*
5 *τας ῥῖψαι. Ὁ δὲ λοιπὸς τῶν λῃστῶν ὄχλος οὐκ ἔφασάν με αὐτῷ ἀφήσειν μόνῳ· φθάνειν γὰρ ἤδη λαβόντα σῶμα ἕτερον, ὃ πραθὲν ἂν παρέσχεν αὐτοῖς ἀφορμὴν κέρδους· δεῖν δὲ ἀντὶ τῆς θανούσης ἐμὲ πραθεῖσαν κοινὴν ἅπασιν αὐτοῖς γενέσθαι μᾶλλον ἢ*
6 *ἐκείνῳ μόνῳ. Ὡς δὲ ἀντέλεγε, δικαιολογούμενος*

2 post *τινί*: *γυναῖκα*

δῆθεν καὶ τὰς συνθήκας προφέρων, ὡς οὐκ εἰς πρᾶσιν ἁρπάσειεν αὐτοῖς ἀλλ' ἐρωμένην αὐτῷ, καί τι θρασύτερον εἶπε, εἷς τῶν λῃστῶν, καλῶς ποιῶν, ὄπισθεν ἑστὼς ἀποκόπτει τὴν κεφαλὴν αὐτοῦ. Ὁ μὲν 7
οὖν δίκην οὐ μεμπτὴν δοὺς τῆς ἁρπαγῆς ἔρριπτο καὶ αὐτὸς κατὰ τῆς θαλάσσης, οἱ δὲ λῃσταὶ δύο πλεύσαντες ἡμερῶν ἄγουσί με οὐκ οἶδ' ὅποι γε καὶ πιπράσκουσιν ἐμπόρῳ συνήθει, κἀκεῖνος Σωσθένει."

Λέγει δὴ καὶ ὁ Σώστρατος "ἐπεὶ τοίνυν τοὺς 17
ὑμετέρους μύθους, ὦ παιδία, κατελέξατε, φέρε ἀκούσατε" ἔφη "καὶ παρ' ἐμοῦ τὰ οἴκοι πραχθέντα περὶ Καλλιγόνην τὴν σήν, ὦ Κλειτοφῶν, ἀδελφήν, ἵνα μὴ ἀσύμβολος ὦ μυθολογίας παντάπασι." Κἀγὼ 2
ἀκούσας τὸ τῆς ἀδελφῆς ὄνομα πάνυ τὴν γνώμην ἐπεστράφην καὶ "ἄγε, πάτερ" εἶπον "λέγε· μόνον περὶ ζώσης λέγοις." Ἄρχεται δὴ λέγειν ἃ φθάνω προειρηκὼς ἅπαντα, τὸν Καλλισθένην, τὸν χρησμόν, τὴν θεωρίαν, τὸν λέμβον, τὴν ἁρπαγήν. Εἶτα προσ- 3
έθηκεν ὅτι "μαθὼν κατὰ τὸν πλοῦν ὡς οὐκ ἦν θυγάτηρ ἐμή, διημαρτήθη δὲ τὸ πᾶν ἔργον αὐτῷ, ἦρα δ' ὅμως καὶ σφόδρα τῆς Καλλιγόνης, προσπεσὼν αὐτῆς τοῖς γόνασι 'δέσποινα' εἶπε 'μή με νομίσῃς λῃστὴν εἶναί τινα καὶ κακοῦργον, ἀλλὰ γάρ εἰμι τῶν εὖ γεγονότων, γένει Βυζάντιος, δεύτερος οὐδενός· ἔρως δέ με λῃστείας ὑποκριτὴν πεποίηκε καὶ ταύτας ἐπὶ σοὶ πλέξαι τὰς τέχνας. Δοῦλον οὖν με σεαυτῆς ἀπὸ ταύτης τῆς ἡμέρας νόμιζε· καί σοι προῖκα ἐπιδίδωμι τὸ μὲν πρῶτον ἐμαυτόν, ἔπειτα ὅσην οὐκ ἂν ὁ πατὴρ ἐπέδωκέ σοι· τηρήσω δέ σε παρθένον μέχριπερ ἂν σοὶ δοκῇ.' Καὶ ταῦτα εἰπὼν καὶ ἔτι τούτων πλεί- 4
ονα εὐαγωγοτέραν τὴν κόρην αὐτῷ γενέσθαι παρεσκεύασεν. Ἦν δὲ καὶ ὀφθῆναι καλὸς καὶ στωμύλος

καὶ πιθανώτατος, καὶ ἐπειδὴ ἦκεν εἰς τὸ Βυζάντιον, συμβόλαιον ποιησάμενος προικὸς μεγίστης καὶ τἆλλα πολυτελῶς παρασκευάσας, ἐσθῆτά τε καὶ χρυσὸν καὶ ὅσα εἰς κόσμον γυναικῶν εὐδαιμόνων, περιεῖπεν εὖ καὶ καλῶς, ἄχραντον τηρῶν, ὡς ἐπηγγείλατο, ὥστε καὶ αὐτὴν ἠρήκει τὴν κόρην ἤδη. Ὁ δὲ καὶ τἆλλα πάντα παρεῖχεν ἑαυτὸν κοσμιώτατον καὶ ἐπιεικῆ καὶ σώφρονα, καὶ ἦν τις ἐξαίφνης περὶ τὸν νεανίσκον θαυμαστὴ μεταβολή. Ἕδρας τε γὰρ ἐξανίστατο τοῖς πρεσβυτέροις καὶ ἐπεμελεῖτο φθάνειν προσαγορεύων τοὺς ἐντυγχάνοντας, καὶ τὸ τέως ἄκριτον πολυτελὲς ἐκ τῆς πρὶν ἀσωτίας εἰς τὸ εὔβουλον μεταπῖπτον τὸ μεγαλόφρον ἐφύλαττε πρὸς τοὺς ἐν χρείᾳ τοῦ λαβεῖν διὰ πενίαν ὄντας, ὥστε θαυμάζειν ἅπαντας τὸ αἰφνίδιον οὕτως ἐκ τοῦ χείρονος εἰς τὸ πάνυ χρηστὸν μετελθόν. Ἐμὲ δ' οὖν ἠρήκει πάντων μᾶλλον, καὶ ὑπερηγάπων αὐτὸν καὶ τὴν πρὶν ἀσωτίαν φύσεως ἐνόμιζον εἶναι θαυμαστὴν μεγαλουργίαν, ἀλλ' οὐκ ἀκρασίαν. Κἀμὲ οὖν ὑπεισῄει τὸ τοῦ Θεμιστοκλέους, ὅτι κἀκεῖνος τὴν πρώτην ἡλικίαν σφόδρα δόξας ἀκόλαστος εἶναι πάντας ὑπερέβαλεν Ἀθηναίους ὕστερον σοφίᾳ τε καὶ ἀνδραγαθίᾳ· καὶ δὴ μετενόουν ἀποσκορακίσας αὐτόν, ὅτε μοι περὶ τοῦ τῆς θυγατρὸς διελέχθη γάμου. Καὶ γάρ με σφόδρα ἐθεράπευε καὶ ἐκάλει πατέρα καὶ κατὰ τὴν ἀγορὰν ἐδορυφόρει καὶ τῶν εἰς πόλεμον γυμνασίων οὐκ ἠμέλει, ἀλλὰ καὶ πάνυ ἐρρωμένως ἐν ταῖς ἱππασίαις διέπρεπεν. Ἦν μὲν οὖν καὶ παρὰ τὸν τῆς ἀσωτίας χρόνον τούτοις χαίρων καὶ χρώμενος, ἀλλ' ὡς ἐν τρυφῇ καὶ παιδιᾷ· τὸ δὲ ἀνδρεῖον ὅμως αὐτῷ καὶ τὸ ἔμπειρον λεληθότως ἐτρέφετο· τέλεον δὲ ἦν αὐτῷ τὸ ἔργον πρὸς τὸ καρτερῶς καὶ ποικίλως διαπρέπειν ἐν τοῖς πολεμικοῖς.

Ἐπεδίδου δὲ καὶ χρήματα ἱκανὰ τῇ πόλει. Κἀκεῖνον ἅμα ἐμοὶ στρατηγὸν προεβάλοντο· ὅθεν ἔτι μᾶλλον ὑπερησπάζετό με, ὑπήκοόν μοι κατὰ πάντα παρέχων ἑαυτόν.

Ἐπεὶ δ' ἐνικήσαμεν τὸν πόλεμον ἐπιφανείᾳ τῶν θεῶν [καὶ] ὑποστρέψαντες εἰς τὸ Βυζάντιον, εὐφημοῦντες τὸν Ἡρακλέα καὶ τὴν Ἄρτεμιν ἐχειροτονήθημεν ἐγὼ μὲν ἐνταῦθα τῇ Ἀρτέμιδι, ὁ δὲ εἰς Τύρον Ἡρακλεῖ, λαβόμενός μου τῆς δεξιᾶς ὁ Καλλισθένης διηγεῖται πρῶτον τὰ πεπραγμένα αὐτῷ περὶ τὴν Καλλιγόνην. Ἀλλὰ ἅπερ ἐποιήσαμεν, πάτερ' εἶπε τὰ μὲν νεότητος φύσει πέπρακται βίᾳ, τὰ δὲ μετὰ ταῦτα προαιρέσει. Παρθένον γὰρ τὴν κόρην μέχρι τούτου τετήρηκα, καὶ ταῦτα πολέμοις ὁμιλῶν, ἐν οἷς οὐδεὶς ἀναβάλλεται τὰς ἡδονάς. Νῦν οὖν εἰς τὴν Τύρον αὐτὴν ἀπαγαγεῖν ἔγνωκα πρὸς τὸν πατέρα καὶ νόμῳ παρ' ἐκείνου λαβεῖν τὸν γάμον. Ἂν μὲν οὖν ἐθελήσῃ μοι δοῦναι τὴν κόρην, ἀγαθῇ τύχῃ δέξομαι· ἂν δὲ σκαιὸς γένηται καὶ δύσκολος, παρθένον αὐτὴν ἀπολήψεται. Ἐγὼ γὰρ προῖκα ἐπιδοὺς οὐκ εὐκατα- φρόνητον ἀγαπητῶς ἂν λάβοιμι τὸν γάμον. Ἀναγνώσομαι δέ σοι καὶ τὸ συμβόλαιον, ὃ φθάνω πρὸ τοῦ πολέμου γράψας, δεόμενος συνοικίσαι τῷ Καλλισθένει τὴν κόρην, τό τε γένος αὐτοῦ καταλέγων καὶ τὸ ἀξίωμα καὶ τὰς ἐν τοῖς πολέμοις ἀριστείας. Τοῦτο γάρ ἐστιν ἡμῖν τὸ συγκείμενον. Ἐγὼ δέ, ἣν τὴν ἔφεσιν ἀγωνισώμεθα, διέγνωκα πρῶτον μὲν εἰς τὸ Βυζάντιον διαπλεῦσαι, μετὰ ταῦτα δὲ εἰς τὴν Τύρον."

Καὶ ταῦτα διαμυθολογήσαντες ἐκοιμήθημεν τὸν αὐτὸν τρόπον· τῇ δὲ ὑστεραίᾳ παραγενόμενος ὁ Κλεινίας ἔφη Θέρσανδρον διὰ τῆς νυκτὸς ἀποδεδρα-

κέναι· τὴν γαρ ἔφεσιν οὐχ ὡς ἀγωνιούμενον πεποιῆσθαι, βουλόμενον δὲ μετὰ προφάσεως ἐπισχεθῆναι
2 τὸν ἔλεγχον ὧν ἐτόλμησε. Μείναντες οὖν τῶν ἑξῆς τριῶν ἡμερῶν, ὅσων ἦν ἡ προθεσμία, προσελθόντες τῷ προέδρῳ καὶ τοὺς νόμους ἀναγνόντες, καθ' οὓς οὐδεὶς ἔτι τῷ Θερσάνδρῳ λόγος πρὸς ἡμᾶς ἦν, νεὼς ἐπιβάντες καὶ οὐρίῳ χρησάμενοι πνεύματι κατήραμεν εἰς τὸ Βυζάντιον, κἀκεῖ τοὺς πολυεύκτους ἐπιτελέσαντες γάμους ἀπεδημήσαμεν εἰς τὴν Τύρον.
3 Δύο δὲ ὕστερον ἡμερῶν τοῦ Καλλισθένους ἐλθόντες εὕρομεν τὸν πατέρα μέλλοντα θύειν τοὺς γάμους τῆς ἀδελφῆς εἰς τὴν ὑστεραίαν. Παρῆμεν οὖν ὡς καὶ συνθύσοντες αὐτῷ καὶ εὐξόμενοι τοῖς θεοῖς τούς τε ἐμοὺς καὶ τοὺς ἐκείνου γάμους σὺν ἀγαθαῖς φυλαχθῆναι τύχαις. Καὶ διεγνώκαμεν ἐν τῇ Τύρῳ παραχειμάσαντες διελθεῖν εἰς τὸ Βυζάντιον."

ΙΑΜΒΛΙΧΟΥ ΔΡΑΜΑΤΙΚΟΝ

1 Ὄντας ὡραίους καὶ καλοὺς τοὺς παῖδας ὁ πατὴρ ὑπεξέπεμψεν εἰς τοὺς ποιμένας, φοβούμενος τύραννον ὑβριστήν. Suid. v. Ὑπεξέπεμψεν. Vide infra p. 221, 29.

2 Ἐπειδὴ διακωδωνίζων ἕκαστον τῶν ποιμένων οὐχ οἷός τε ἦν ἀκοῦσαι καὶ μαθεῖν οἵτινες ἦσαν οἱ παῖδες. Suid. v. Διακωδωνίσω. Cf. p. 221, 29.

3 Ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο, κακὸν φώνημα Γάρμῳ· καὶ ἔδοξε τράγος εἶναι, μὴ ταῦρος ἐκεῖνο τὸ φάσμα. Suid. vv. Φάσμα. Γάρμος. Cf. p. 221, 32.

4 Ὁ δὲ διῆγεν αὐτοὺς ἐπί τι ὄρυγμα, ὃ διαμπερὲς μὲν ἦν ὀρωρυγμένον ἐπὶ σταδίους λ', εἶχε δὲ ἔξοδον ἐπὶ θάτερα τοῦ ὀρύγματος. Suid. v. Διαμπερές. Cf. p. 222, 5.

5 Τῶν δὲ περιπόλων τις περιθέων ἀποβάλλει χαλκῆν ἀσπίδα ὕπερθεν τοῦ ὀρύγματος. Ἡ δὲ οὖσα μὲν πλατεῖα ἀλλὰ κυρτὴ οὐ στερεὸν ἐκτύπησεν, ἀλλὰ κοῖλον καὶ διάκενον. Suid. v. Περιπόλων. Cf. p. 222, 11.

6 Αἱ δὲ μέλιτται ἐμπεφωλεύκεισαν ὥσπερ ἐν κυψέλῃ τῷ φωλεῷ· τὸ μέλι δὲ ἐλείβετο κατὰ τῶν κεφαλῶν. Suid. v. Κυψέλη. Cf. p. 222, 17.

7 Τὸ δὲ μέλι, ἅτε οὐκ ἀκέραιον οὐδὲ ἀπὸ ἀνθέων ἀλλ' ἀπὸ ἑρπετῶν συμπεπορισμένον, ἀνέστρεφε τὰ σπλάγχνα. Suid. v. Ἀκέραιος. Cf. p. 222, 21.

8 Ἀπεκείρατο τὴν κόμην· ἦν δὲ πολλὴ καὶ ξανθὴ καὶ βαθεῖα. Suid. v. Βαθεῖα κόμη. Θυρανλεῖν. Cf. p. 222, 26.

Οἱ δὲ στρατιῶται ἐλθόντες σκοταῖοι εἶδον τὰ σώ- 9
ματα, καὶ νόμῳ τῶν Βαβυλωνίων ἐπέρριψαν αὐτοῖς
ὁ μὲν κάνδυν, ὁ δὲ χλαμύδα, ὁ δὲ ψωμούς, ὁ δὲ
ἀκρόδρυα· καὶ μέγα κεφάλαιον ἠθροίσθη μικρῶν
κερματίων. Suid. vv. *Σκοταῖος ἐλθών. Κεφάλαιον. Κερματίζει.* Cf. p. 222, 31.

Οἱ δὲ κόρακες περιιπτάμενοι ἄνω καὶ κάτω, 10
θορυβούμενοι καὶ κεκραγότες μετὰ πολλῆς ἀσελγείας,
οἷον οἱ κόρακες λαρυγγίζουσιν. Suid. v. *Λαρυγγίζειν.*
Cf. p. 222, 34.

Ἀνὴρ ἐπιστάμενος ἥκιστα ψεύδεσθαι, φίλος δὲ 11
εἴπερ τις ἄλλος ἀληθείας . . . . . ἥκιστα δ' ἄν τις αὐ-
τὸν ἐθεάσατο παρεκβαίνοντα τὸ ἀληθὲς ἔργῳ ἢ λόγῳ
ποτὲ ἤτοι πρὸς τὸ εἰρωνικώτερον ἢ ἀλαζονέστερον.
Suid. vv. *Ἥκιστα. Εἴρων.* Cf. p. 224, 18.

Ἡ δὲ κάμηλος ὑφῆκε τὰ κῶλα καὶ ἑαυτὴν ἐκάθι- 12
σεν εἰς τὰ στέρνα. Suid. v. *Κῶλα.* Cf. p. 225, 28.

Οὐδὲ γὰρ πρόσοιτο ἀναβάτην ἡ κάμηλος οὐδένα 13
ὑπ' αὐθαδείας καὶ ἀσυνηθείας. Suid. v. *Πρόσοιτο.*

Εἶδε φορτίον χλωρῶν ἀκανθῶν, ἃ καμήλοις ἐστὶ 14
φαγήματα· ἡ δὲ τὴν κεφαλὴν καθῆκε. Id. v. *Φαγήματα.*

Ἡ μὲν κάμηλος ἐγεύετο τοῦ χιλοῦ· ὁ δὲ ἔπινε 15
ποτὸν τοῦ ποτοῦ ἀκούσιον, καὶ ἅτε κάτωθεν τοῦ
πνεύματος ὠθουμένου, ἄνωθεν δὲ τοῦ ὕδατος ἐπι-
φερομένου, ἡ φάρυγξ ἐκελάρυζε καὶ πολὺς ἐν τῷ
στόματι ἦν βορβορυγμός. Id. vv. *Κελαρύζει. Βορβορυγμός.*

Ὁ δὲ ἱερεὺς σκευὴν ἐσκευάζετο τὴν τοῦ δημίου, 16
μεταλαβὼν ἀντὶ τῶν σεμνοτάτων τὰ οἰκτιστα. Id. v. *Σκευή.* Cf. p. 225, 39.

Τὴν δὲ ἄλυσιν (οὐ γάρ ἐστιν ἡμῖν ἀναγκαία) 17
προσέπεμψά σοι. Suid. v. *Ἀναγκαία τράπεζα.* Cf. p. 226, 14.

18 Ἐπεὶ δὲ τοῦτο χαλεπὸν ἦν καὶ σπάνιόν τι τὸ τῆς οἰκουροῦ φυλαττούσης καὶ ἅβρας τινὸς ἄλλης συμπαρούσης, ἀναπείθει τὴν κόρην λαθοῦσαν τοὺς γονεῖς ἀποδρᾶναι. Suid. v. Ἅβρα. Cf. p. 226, 21.

19 Ἀποσφαγεῖσαν γὰρ αὐτὴν ὑπὸ ἐράστου δυσέρωτος. Suid. v. Δύσερως. Cf. p. 226, 23.

20 Ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν καὶ περιάγων περιαιρεῖται τὸ ξίφος. Id. v. Ἄγχων. Cf. p. 228, 29.

---

21 Ὁ δὲ ἐγέλα νῦν μὲν ἰταμόν τε καὶ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη. Id. vv. Ἀκόλαστος. Ἰταμός.

22 Ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχου ἡ Σινωνὶς ἐφίσταται. Suid. vv. Ἀπηρκότος. Σίνωνος καὶ Σινωνίς. Σόραιχος.

23 Εἶτα ἐάσατε οὕτως ἀπραγμόνως ἀποθανεῖν; Id. v. Ἀπραγμόνως.

24 Ἡ δὲ μεστὴ μὲν ἦν καὶ τῆς ἔμπροσθεν ζηλοτυπίας, προσειλήφει δὲ καὶ τὴν ἀπὸ τῆς πράξεως εὐτολμίαν. Ὡς οὖν ἐλάβετο τῆς ὁδοῦ, "ὁ μὲν πρῶτος ἀγὼν" ἔφη "διηγώνισται, ἐχώμεθα δὲ καὶ τοῦ δευτέρου· καὶ γὰρ ἐν καιρῷ γεγυμνάσμεθα." Id. v. Ζηλοτυπία.

25 Ἤδη γὰρ ἐλεῶ σε ὅτι τὰ αὐτά σοι δυστυχῶ. Id. v. Ἤδη.

26 Ὄμνυμι τοὺς βασιλείους θεούς, ἦ μὴν ἐγὼ ὑμᾶς σώσω. Id. v. Ἦ μήν.

27 Οἱ δὲ Βαβυλώνιοι ἐντιθέντες εἰς σφενδονὰς ὠὰ καὶ περιδινοῦντες ἐν κύκλῳ, ἅτε οὐκ ἄπειροι τῶν αὐτοσχεδίων καὶ κυνηγετικῶν διαιτημάτων,

ἀλλὰ μεμελετηκότες τὰ ἐν ἐρημίᾳ μηχανήματα, ἐφθὸν 28
[καὶ ὠμὸν] τῇ ῥύμῃ τὸ ὠὸν κατεσκεύαζον. Id. v. *Περιδινοῦντες.*

Πῦρ δὲ αὐτοῖς ὑπέφαινεν ἡ Σινωνὶς καὶ περιη- 29
γεῖτο. Id. v. *Περιηγεῖτο.*

Ἀλλὰ καὶ τῶν Σινωνίδος γάμων προθυσάσθω, 30
καὶ προτέλεια τοῦ μοιχοῦ ὁ ἀνὴρ γενέσθω. Id. v. *Προτέλειον.*

Βιαζομένους δὲ τοὺς κολυμβητὰς συμψήσας ὁ 31
ποταμὸς ἔφερε κάτω, καὶ οὐκέτι ἀπενόστησαν. Id. v. *Συμψήσας.*

Καὶ ἅμα τῇ κόρῃ παρεσκεύασε πομπὴν ἐπιφανῆ, 32
ἁρμάμαξάν τε λαμπρὰν καὶ ἐσθῆτα σοβαρὰν καὶ θεραπείαν συχνὴν εὐνούχων τε καὶ θεραπαινίδων.
Id. vv. *Συχναῖς. Πομπήν.*

Περιβαλὼν δὲ περὶ τὰς χεῖρας αὐτοῦ τοὺς τελα- 33
μῶνας προσέθησε τῇ κλίνῃ. Id. v. *Τελαμών.*

Ἔδωκε τὸν ὅρμον ὁ τελώνης τῷ ἐμπόρῳ. οὐκ 34
ἤδη καὶ λύκοι θήσουσιν ἄρνας ἐκ τῶν στομάτων, καὶ λέοντες ἀπὸ τῶν ὀδόντων ἀπολύσουσι νεβροὺς ταῖς μητράσιν, ὁπότε καὶ τελώνης ἀφῆκεν ἄγραν τηλικαύτην; Id. v. *Τελώνης.*

Phot. Bibl. Cod. 94. p. 73b Bekk.

Ἀνεγνώσθη Ἰαμβλίχου δραματικόν, ἔρωτας ὑποκρινόμενον· ἔστι δὲ τῇ αἰσχρολογίᾳ τοῦ μὲν Ἀχιλλέως τοῦ Τατίου ἧττον ἐκπομπεύων, ἀναιδέστερον δὲ μᾶλλον ἢ ὁ Φοίνιξ Ἡλιόδωρος προσφερόμενος· οἱ γὰρ τρεῖς οὗτοι σχεδόν τι τὸν αὐτὸν σκοπὸν προθέμενοι ἐρωτικῶν δραμάτων ὑποθέσεις ὑπεκρίθησαν, ἀλλ' ὁ μὲν Ἡλιόδωρος σεμνότερόν τε καὶ εὐφημότερον, ἧττον δὲ αὐτοῦ ὁ Ἰάμβλιχος, αἰσχρῶς δὲ καὶ ἀναιδῶς ὁ Ἀχιλλεὺς ἀποχρώμενος· καὶ ἢ γε λέξις αὐτῷ ῥέουσα καὶ μαλακή· καὶ ὅσον αὐτῆς ἐπίκροτον, οὐ πρὸς τόνον τινὰ ἀλλ' ἐπὶ τὸ γαργαλίζον, ὡς ἄν τις εἴποι, καὶ βλακώδες παρα-
74a κεκίνηται. Ὁ μέντοι Ἰάμβλιχος, ὅσα γε εἰς λέξεως ἀρετὴν καὶ συνθήκης καὶ τῆς ἐν τοῖς διηγήμασι τάξεως, καὶ τοῖς σπουδαιοτάτοις τῶν πραγμάτων ἀλλ' οὐχὶ παιγνίοις καὶ πλάσμασιν ἄξιος τὴν τῶν λόγων τέχνην καὶ ἰσχὺν ἐπιδείκνυσθαι.

2 Εἰσὶ δὲ αὐτῷ πεποιημένα τοῦ δράματος πρόσωπα Σινωνὶς καὶ Ῥοδάνης, καλὴ καὶ καλὸς τὴν ὄψιν, νόμῳ γάμου ἐρῶντες ἀλλήλων καὶ δὴ καὶ ζευγνύμενοι, καὶ Γάρμος βασιλεὺς Βαβυλῶνος, τῆς αὐτοῦ γυναικὸς θανούσης εἰς ἔρωτα ἀναπτόμενος Σινωνίδος καὶ πρὸς γάμον ἄγειν ἐπειγόμενος. Ἀνάνευσις Σινωνίδος καὶ δεσμά, χρυσῷ τῆς ἀλύσεως διαπεπλεγμένης, καὶ Ῥοδάνης διὰ τοῦτο, Δάμα καὶ Σάκα τῶν βασιλικῶν εὐνούχων τὴν πρᾶξιν ἐπιτραπέντων, ἐπὶ σταυροῦ ἀναρτώμενος. Ἀλλ' ἐκεῖθεν καθαιρεῖται σπουδῇ Σινωνίδος, καὶ φεύγουσιν ἄμφω, ὁ μὲν τὸν σταυρόν, ἡ δὲ τὸν γάμον. Καὶ περιτέμνεται διὰ τοῦτο Σάκας καὶ Δάμας τὰ ὦτα καὶ τὰς ῥῖνας, καὶ ἐπὶ τὴν τούτων ἀποστέλλονται ζήτησιν, καὶ δίχα μερισθέντες ἐπὶ τὴν ἔρευναν τρέπονται.

3 Καταλαμβάνονται σχεδόν τι παρά τινα λειμῶνα οἱ περὶ Ῥοδάνην ὑπὸ τοῦ διώκοντος Δάμα· ἁλιεὺς δ' ἦν, ὃς τοὺς ποιμένας ἐμήνυσεν, οἳ στρεβλούμενοι τὸν λειμῶνα μόλις δεικνύουσιν. Ἐν ᾧ καὶ χρυσὸν Ῥοδάνης εὗρισκε, τῆς στήλης τοῦ λέοντος ὑποδηλούμενον τῷ ἐπιγράμματι. Καὶ τράγου τι φάσμα ἐρᾷ

Σινωνίδος· ἐξ ἧς αἰτίας καὶ οἱ περὶ Ῥοδάνην τοῦ λειμῶνος ἀπαίρουσι. Δάμας δὲ τὸν ἀπὸ τοῦ λειμῶνος τῆς Σινωνίδος στέφανον εὑρὼν πέμπει Γάρμῳ παραμύθιον. Φεύγοντες δὲ οἱ περὶ Ῥοδάνην ἐντυγχάνουσιν ἐπὶ καλύβης γραΐ τινι γυναικί, καὶ κρύπτονται ὑπ' ἄντρῳ, ὃ διαμπερὲς ἦν ὀρωρυγμένον ἐπὶ σταδίους τριάκοντα· λόχμῃ δὲ τὸ στόμα ἐβέβυστο. Καὶ οἱ περὶ τὸν Δάμαν ἐφίστανται, καὶ ἀνακρίνεται ἡ γραῦς καὶ ξίφος γυμνὸν ἰδοῦσα ἐξέψυξεν. Οἱ δὲ τοῦ Ῥοδάνους ἵπποι καὶ τῆς Σινωνίδος, οἷς ἐπωχοῦντο, συλλαμβάνονται. Καὶ περικαθίσταται στρατὸς τὸ χωρίον, ἐν ᾧ Σινωνὶς καὶ Ῥοδάνης ἀπεκρύπτετο, καὶ καταρρήγνυταί τινος τῶν περιπόλων ἀσπὶς ἐκ χαλκοῦ τοῦ ὀρύγματος ὑπερθεν, καὶ τῷ διακένῳ τοῦ ἤχου τῶν κεκρυμμένων μήνυσις γίνεται, καὶ περιορύσσεται τὸ ὄρυγμα, καὶ πάντα Δάμας βοᾷ. Καὶ γίνεται τοῖς ἔνδον συναίσθησις, καὶ φεύγουσιν ὑπὸ τοῖς τοῦ ἄντρου μυχοῖς, καὶ διεκπίπτουσι πρὸς τὴν ἑτέραν αὐτοῦ ὀπήν· καὶ μελιττῶν ἀγρίων σμήνη ἐκεῖθεν ἐπὶ τοὺς ὀρύσσοντας τρέπεται, καταρρεῖ δὲ τοῦ μέλιτος καὶ ἐπὶ τοὺς φεύγοντας· αἱ δὲ μέλισσαι καὶ τὸ μέλι ἐξ ἑρπετῶν πεφαρμακευμέναι τροφῆς, αἱ μὲν κρούσασαι τοὺς ἐπὶ τὸ ὄρυγμα ἡκρωτηρίαζον, οὓς δὲ καὶ ἀπέκτειναν. Τῷ δὲ λιμῷ κρατούμενοι οἱ περὶ Ῥοδάνην διαλιχμησάμενοι καὶ τὰς γαστέρας καταρρυέντες, πίπτουσι παρὰ τὴν ὁδὸν ὡσεὶ νεκροί. 74b

Φεύγουσιν ὁ στρατὸς τῷ τῶν μελισσῶν πολέμῳ πονούμενοι, καὶ τοὺς περὶ Ῥοδάνην ὅμως διώκουσι, καὶ οὓς ἐδίωκον ὁρῶντες ἐρριμμένους παρέτρεχον, νεκρούς τινας ὡς ἀληθῶς ὑπολαμβάνοντες. Ἐν τούτῳ τῷ ἄντρῳ κείρεται τοὺς πλοκάμους ἡ Σινωνίς, δι' οὗ ὕδωρ αὐτοῖς ἀνιμήσονται· καὶ τοῦτο εὑρὼν ἐκεῖσε Δάμας πέμπει τῷ Γάρμῳ, σύμβολον τοῦ ἐγγὺς εἶναι κἀκείνους συλλαβεῖν. Ἐρριμμένων δὲ παρὰ τὴν ὁδὸν τοῦ τε Ῥοδάνους καὶ τῆς Σινωνίδος, ὁ στρατὸς παρερχόμενος ὡς ἐπὶ νεκροῖς κατὰ τὸ πάτριον ἔθος οἱ μὲν χιτωνίσκους ῥίπτοντες ἐκάλυπτον, ἄλλοι δὲ ἄλλο τι τῶν προσόντων καὶ κρεῶν δὲ μέρη καὶ ἄρτου ἐπέρριπτον· καὶ οὕτω παρῆλθεν ὁ στρατός. Οἱ δὲ τῷ μέλιτι καρωθέντες μόλις ἀνίστανται, κοράκων μὲν τῶν περὶ τὰ κρέα διεριζόντων Ῥοδάνην, ἐκείνου δὲ Σινωνίδα ἐξαναστήσαντος. Ἀναστάντες οὖν πορεύονται τὴν ἐναντίαν τραπόμενοι τῷ στρατῷ, ἵνα μᾶλλον λάθοιεν μὴ ὄντες οἱ διωκόμενοι· καὶ εὑρόντες ὄνους δύο ἐπέβησάν τε καὶ τὰ φορτία ἐπέθεντο, ἃ συνεκεκόμιστο αὐτοῖς ἀφ' ὧν ὡσεὶ νεκροῖς ἐπέρριψεν ὁ στρατός. 4

5 Εἶτα καταίρουσιν εἰς πανδοχεῖον, καὶ φεύγουσιν ἐκεῖθεν, καὶ περὶ πλήθουσαν ἀγορὰν εἰς ἄλλον σταθμὸν καταλύουσι. Καὶ γίνεται τὸ πάθος τῶν ἀδελφῶν, καὶ κατηγορεῖνται φόνου, καὶ ἀφίενται τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν, ὃς ἀνῃρήκει φαρμάκῳ τὸν ὕστερον, κατηγορήσαντος μέν, τῇ δὲ οἰκείᾳ ἀναιρέσει ἀθωώσαντος· καὶ λανθάνει Ῥοδάνης ἀνελόμενος τὸ φάρμακον. Καταίρουσιν εἰς οἴκημα λῃστοῦ τοὺς παροδίτας λῃστεύοντος καὶ τούτους ἑαυτῷ ποιουμένου τράπεζαν. Καὶ στρατιωτῶν ὑπὸ τοῦ Δάμα σταλέντων, ἐπεὶ ὁ λῃστὴς συνείληπτο, πῦρ ἐμβάλλεται εἰς τὴν οἰκίαν, καὶ περιλαμβάνονται τῷ πυρί, καὶ διαφεύγουσι μόλις τὸν ὄλεθρον τῶν ὄνων σφαγέντων καὶ τῷ πυρὶ εἰς δίοδον ἐπιτεθέντων. Καθορῶνται νύκτωρ ὑπὸ τῶν τὸ πῦρ ἐμβαλόντων καὶ ἐπερωτηθέντες τίνες εἶεν, εἴδωλα τῶν ὑπὸ τοῦ λῃστοῦ ἀναιρεθέντων ἀποκρίνονται, καὶ τῇ ὠχρότητι καὶ λεπτότητι τῆς ὄψεως καὶ τῇ ἀτονίᾳ τῆς φωνῆς ἔπεισάν τε τοὺς στρατιώτας καὶ ἐδειμάτωσαν.

6 Καὶ φεύγουσι πάλιν ἐκεῖθεν καὶ καταλαμβάνουσι κόρην
75a ἐπὶ ταφὴν ἀγομένην καὶ συρρέουσιν ἐπὶ τὴν θέαν· καὶ Χαλδαῖος γέρων ἐπιστὰς κωλύει τὴν ταφήν, ἔμπνουν εἶναι τὴν κόρην ἔτι λέγων· καὶ ἐδείχθη οὕτως. Χρησμῳδεῖ δὲ καὶ τῷ Ῥοδάνει, ὡς βασιλεύσοι. Καταλιμπάνεται κενὸς ὁ τῆς κόρης τάφος, καὶ πολλὰ τῶν πέπλων, ἃ ἔμελλεν ἐπικαίεσθαι τῷ τάφῳ, ἔτι τε σιτία καὶ ποτά· καὶ οἱ περὶ Ῥοδάνην τούτοις εὐωχοῦνται καὶ λαμβάνουσί τινα καὶ τῶν ἀμφίων καὶ καθεύδουσιν ἐν τῷ τῆς κόρης τάφῳ. Οἱ δὲ τὸ πῦρ τῇ τοῦ λῃστοῦ οἰκίᾳ ἐμβαλόντες, ἡμέρας ἐπιλαβούσης ἠπατημένους ἑαυτοὺς ἐγνωκότες ἐδίωκον κατ' ἴχνη Ῥοδάνους καὶ Σινωνίδος, συνεργοὺς αὐτοὺς εἰκάζοντες εἶναι τοῦ λῃστοῦ· ἰχνηλατήσαντες δὲ μέχρι τοῦ τάφου, καὶ ἐνιδόντες αὐτοὺς ἐγκειμένους μὲν τῷ τάφῳ, ἀκινητίζοντας δὲ ἅτε ὕπνῳ καὶ οἴνῳ πεπεδημένους, ἔδοξαν νεκροὺς ὁρᾶν καὶ κατέλιπον, ἀπορούμενοι ὅτι ἐκεῖ τὰ ἴχνη ἔφερεν.

7 Ἀπαίρουσιν ἐκεῖθεν οἱ περὶ Ῥοδάνην καὶ περῶσι τὸν ποταμόν, γλυκύν τε ὄντα καὶ διαυγῆ καὶ βασιλεῖ Βαβυλωνίων εἰς πόσιν ἀνακείμενον. Καὶ πιπράσκει Σινωνὶς τὰ ἱμάτια καὶ συλλαμβάνεται ὡς τάφον συλήσασα καὶ ἀναφέρεται εἰς Σόραιχον, ὃς ἦν Σοραίχου τοῦ τελώνου υἱός, ἐπίκλην δὲ αὐτῷ δίκαιος. Καὶ βουλεύεται πέμπειν αὐτὴν ἐπὶ βασιλέα Γάρμον διὰ τὸ κάλλος καὶ κιρνᾶται διὰ τοῦτο τὸ τῶν ἀδελφῶν φάρμακον Ῥοδάνει καὶ Σινωνίδι· αἱρετώτερον γὰρ αὐτοῖς ὁ θάνατος ἦ

Γάρμον ἰδεῖν. Μηνύεται Σοραίχῳ διὰ τῆς Θεραπαινίδος ἅπερ εἰς ἔργον ἔμελλε χωρεῖν Ῥοδάνει καὶ Σινωνίδι· καὶ λαθὼν ὁ Σόραιχος τὸ τοῦ θανάτου μὲν φάρμακον κενοῖ, πληροῖ δὲ τὴν κύλικα ὑπνωτικοῦ φαρμάκου· καὶ πιόντας καὶ ὑπνοῦντας λαβὼν ἐφ' ἁρμαμάξης ἦλαυνε πρὸς βασιλέα. Πλησιαζόντων δὲ Ῥοδάνης ἐνυπνίῳ δειματοῦται καὶ βοᾷ καὶ ἐξανιστᾷ Σινωνίδα· ἡ δὲ ξίφει αὐτῆς τὸ στέρνον πλήττει. Καὶ ἀναπυνθάνεται τὰ κατ' αὐτοὺς ἅπαντα Σόραιχος, καὶ λαβόντες πίστεις ἀπαγγέλλουσι, καὶ λύει αὐτοὺς καὶ ὑποδείκνυσι τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν τῇ νησίδι, ἐν ᾧ ἔμελλε καὶ τὸ τραῦμα ἡ Σινωνὶς θεραπευθήσεσθαι.

Ὡς ἐν παρεκβολῇ δὲ διηγεῖται καὶ τὰ περὶ τοῦ ἱεροῦ καὶ τῆς νησῖδος καὶ ὅτι ὁ Εὐφράτης καὶ ὁ Τίγρις περιρρέοντες αὐτὴν ποιοῦσι νησῖδα καὶ ὅτι ἡ τῆς ἐνταῦθα Ἀφροδίτης ἱέρεια τρεῖς ἔσχε παῖδας, Εὐφράτην καὶ Τίγριν καὶ Μεσοποταμίαν, αἰσχρὰν τὴν ὄψιν ἀπὸ γενέσεως, ὑπὸ δὲ τῆς Ἀφροδίτης εἰς κάλλος μετασκευασθεῖσαν. Δι' ἣν καὶ ἔρις τριῶν ἐραστῶν γίνεται καὶ κρίσις ἐπ' αὐτούς. Βόχορος ὁ κρίνων ἦν, κριτῶν κατ' ἐκείνους καιροὺς ἄριστος· ἐκρίνοντο δὲ καὶ ἤριζον οἱ τρεῖς ὅτι τῷ μὲν ἡ Μεσοποταμία τὴν φιάλην ἐξ ἧς ἔπινεν ἔδωκε, τῷ δὲ τὸν ἀπὸ τῆς κεφαλῆς ἐξ ἀνθέων ἀφελομένη στέφανον περιέθηκε, τὸν δὲ ἐφίλησε. Καὶ τοῦ φιληθέντος κρίσει νικήσαντος οὐδὲν ἔλαττον αὐτοῖς ἡ ἔρις ἤκμαζεν, ἕως ἀλλήλους ἀνεῖλον ἐρίζοντες. 8

Λέγει οὖν ὡς ἐν παρενθήκῃ περὶ τοῦ τῆς Ἀφροδίτης ἱερροῦ, καὶ ὡς ἀνάγκη τὰς γυναῖκας ἐκεῖσε φοιτώσας ἀπαγγέλλειν δημοσίᾳ τὰ ἐν τῷ ναῷ αὐταῖς ὁρώμενα ὄνειρα. Ἐν ᾧ καὶ τὰ περὶ Φαρνούχου καὶ Φαρσίριδος καὶ Τανάιδος, ἀφ' οὗ καὶ Τάναϊς ὁ ποταμός, λεπτομερῶς διεξέρχεται, καὶ ὅτι τὰ περὶ τὸν τόπον καὶ τὴν χώραν τοῦ Τανάιδος τοῖς κατοικοῦσιν Ἀφροδίτης μυστήρια Τανάιδος καὶ Φαρσίριδός εἰσιν. Ἐν δὲ τῇ προειρημένῃ νησίδι ῥόδων ἐντραγὼν ὁ Τίγρις τελευτᾷ· καν- 9
θαρὶς γὰρ τοῖς τοῦ ῥόδου φύλλοις ἔτι συνεπτυγμένοις οὖσιν ὑπεκάθητο. Καὶ ἡ τοῦ παιδὸς μήτηρ ἥρωα πείθεται γενέσθαι τὸν υἱὸν ἐκμαγεύσασα.

Καὶ διεξέρχεται ὁ Ἰάμβλιχος μαγικῆς εἴδη, μάγον ἀκρί- 10
δων καὶ μάγον λεόντων καὶ μάγον μυῶν· ἐξ οὗ καλεῖσθαι καὶ τὰ μυστήρια ἀπὸ τῶν μυῶν· πρώτην γὰρ εἶναι τὴν τῶν μυῶν μαγικήν. Καὶ μάγον δὲ λέγει χαλάζης καὶ μάγον ὄφεων καὶ νεκυομαντείας καὶ ἐγγαστρίμυθον, ὃν καί φησιν ὡς Ἕλληνες

μὲν Εὐρυκλέα λέγουσι, Βαβυλώνιοι δὲ Σακχούραν ἀποκαλοῦσι. Λέγει δὲ καὶ ἑαυτὸν Βαβυλώνιον εἶναι ὁ συγγραφεὺς καὶ μαθεῖν τὴν μαγικήν, μαθεῖν δὲ καὶ τὴν Ἑλληνικὴν παιδείαν καὶ ἀκμάζειν ἐπὶ Σοαίμου τοῦ Ἀχαιμενίδου τοῦ Ἀρσακίδου, ὃς βασιλεὺς ἦν ἐκ πατέρων βασιλέων, γέγονε δὲ ὅμως καὶ τῆς συγκλήτου βουλῆς τῆς ἐν Ῥώμῃ καὶ ὕπατος δέ, εἶτα καὶ βασιλεὺς πάλιν τῆς μεγάλης Ἀρμενίας. Ἐπὶ τούτου γοῦν ἀκμάσαι φησὶν ἑαυτόν. Ῥωμαίων δὲ διαλαμβάνει βασιλεύειν Ἀντωνῖνον. Καὶ ὅτε Ἀντωνῖνος, φησίν, Θῆρον τὸν αὐτοκράτορα καὶ ἀδελφὸν καὶ κηδεστὴν ἔπεμψε Βολογαίσῳ τῷ Παρθυαίῳ πολεμήσοντα, ὡς αὐτός τε προείποι καὶ τὸν πόλεμον ὅτι γενήσεται καὶ ὅποι τελευτήσοι. Καὶ ὅτι Βολόγαισος μὲν ὑπὲρ τὸν Εὐφράτην καὶ Τίγριν ἔφυγεν, ἡ δὲ Παρθυαίων γῆ Ῥωμαίοις ὑπήκοος κατέστη.

11 Ἀλλ' ὅ γε Τίγρις καὶ Εὐφράτης οἱ παῖδες ἐμφερεῖς ἀλλή-
76a λοις ἦσαν, καὶ Ῥοδάνης ἀμφοτέροις. Τοῦ δὲ παιδός, ὥσπερ ἔφημεν, τῷ ῥόδῳ τελειωθέντος Ῥοδάνης πρὸς τὴν νησίδα ἅμα Σινωνίδι περαιοῦται, καὶ βοᾷ ἡ μήτηρ τὸν τεθνηκότα αὐτῆς υἱὸν ἀναβιῶναι, εἰς τὸν Ῥοδάνην ὁρῶσα, καὶ Κόρην αὐτῷ ἐκεῖθεν ἔπεσθαι· συννυποκρίνεται Ῥοδάνης ταῦτα, τῆς τῶν νησιωτῶν κατεντρυφῶν εὐηθείας. Μηνύεται Δάμας τὰ περὶ Ῥοδάνην καὶ ὅσα Σόραιχος περὶ αὐτοὺς ἔπραξε· μηνυτὴς δ' ἦν αὐτὸς ὁ ἰατρός, ὃν ὁ Σόραιχος κρύφα πέμψας τὸ τῆς Σινωνίδος ἐθεράπευσε τραῦμα. Συλλαμβάνεται διὰ τοῦτο Σόραιχος καὶ ἄγεται ἐπὶ Γάρμον· ἀποστέλλεται καὶ αὐτὸς ὁ μηνυτὴς γράμμα Δάμα ἐπιφερόμενος πρὸς τὸν τῆς Ἀφροδίτης ἱερέα, ἐφ' ᾧ συλλαβεῖν τοὺς περὶ Σινωνίδα. Διαβαίνει τὸν ποταμὸν ὁ ἰατρὸς τῆς ἱερᾶς ἑαυτὸν ὡς ἔθος ἐξαρτήσας καμήλου, τὸ δὲ γράμμα τῷ δεξιῷ παρενθεὶς τῶν ὤτων· καὶ τέλος ὁ μηνυτὴς ἐναποπνίγεται τῷ ποταμῷ, διαβαίνει δὲ πρὸς τὴν νησίδα ἡ κάμηλος, καὶ πάντα μανθάνουσιν οἱ περὶ Ῥοδάνην, τὸ τοῦ Δάμα γράμμα τῶν ὤτων ἀνελόμενοι τῆς καμήλου.

12 Φεύγουσιν ἐκεῖθεν διὰ τοῦτο καὶ συναντῶσιν ἀγόμενον Σόραιχον ἐπὶ Γάρμον καὶ καταλύουσιν ἅμα ἐν πανδοχείῳ. Καὶ τῇ τοῦ χρυσίου ἐπιθυμίᾳ νύκτωρ ἀναπείθει Ῥοδάνης, καὶ ἀναιροῦνται οἱ Σοραίχου φύλακες, καὶ φεύγει σὺν αὐτοῖς Σόραιχος, ἀμοιβὴν εὑρὼν τῆς προϋπαρξάσης εὐεργεσίας. Συλλαμβάνει Δάμας τὸν τῆς Ἀφροδίτης ἱερέα, καὶ ἀνακρίνεται περὶ Σινωνίδος καὶ τέλος κατακρίνεται δήμιος γενέσθαι ἀντὶ ἱερέως ὁ

πρεσβύτης· καὶ τὰ περὶ τὸν δήμιον ἔθη καὶ νόμιμα. Συλλαμβάνεται Εὐφράτης, ὅτι ὁ πατὴρ καὶ ἱερεύς, ὡς Ῥοδάνην αὐτὸν ὑπολαβών, οὕτως ἐπεκάλει· καὶ φεύγει Μεσοποταμία ἡ ἀδελφή. Καὶ πρὸς τὸν Σάκαν ἀπάγεται Εὐφράτης, καὶ ἀνακρίνεται περὶ Σινωνίδος· ὡς γὰρ Ῥοδάνης ἠτάζετο. Καὶ ἀποστέλλει Σάκας πρὸς Γάρμον ὅτι Ῥοδάνης συνείληπται καὶ Σινωνὶς συλληφθήσεται. Ὁ γὰρ Εὐφράτης ὡς Ῥοδάνης κρινόμενος ἔφη τὴν Σινωνίδα συλλαμβανομένου αὐτοῦ πεφευγέναι, Σινωνίδα καλεῖν κἀκεῖνος ἐκβιαζόμενος τὴν ἀδελφὴν Μεσοποταμίαν.

Ὅτι οἱ περὶ Ῥοδάνην καὶ Σινωνίδα φεύγοντες ἅμα Σοραίχῳ καταίρουσιν εἰς γεωργοῦ· τῷ δ' ἦν κόρη θυγάτηρ καλὴ τὴν ὄψιν, ἄρτι χηρωθεῖσα καὶ τῇ πρὸς τὸν ἄνδρα εὐνοίᾳ τὰς τρίχας περικειραμένη. Πέμπεται αὕτη τῆς ἀλύσεως τῆς χρυσῆς ἀπεμπολήσαι, ἣν οἱ περὶ Ῥοδάνην ἐκ τῶν δεσμῶν ἐπεφέροντο· καὶ ἄπεισι πρὸς τὸν χρυσοχόον ἡ τοῦ γεωργοῦ θυγάτηρ. Καὶ ἰδὼν ἐκεῖνος τήν τε ὄψιν τῆς κόρης καλὴν καὶ τῆς ἁλύσεως τὸ μέρος, ἧς αὐτὸς ἐργάτης ἐτύγχανε, καὶ τὴν κύμην περιῳρημένην, ὑπονοεῖ Σινωνίδα εἶναι καὶ πέμψας πρὸς Δάμαν καὶ λαβὼν φύλακας ἀπερχομένην ἐφύλαττε κρύφα. Ἡ δὲ ὑπονοήσασα τὸ πραττόμενον φεύγει εἰς ἔρημον κατάλυμα· ἐν ᾧ καὶ τὰ περὶ τῆς κόρης τῆς ἐπικαλουμένης Τροφίμης καὶ τοῦ δούλου τοῦ ἐραστοῦ καὶ φονέως καὶ τοῦ κόσμου τοῦ χρυσοῦ, καὶ αἱ ἔνθεσμοι τοῦ δούλου πράξεις, καὶ τὸ ἑαυτὸν ἐπισφάξαι, καὶ τὸ αἱματωθῆναι τὴν τοῦ γεωργοῦ θυγατέρα τοῖς τοῦ ἑαυτὸν διαχρησαμένου αἵμασι, καὶ ὁ τῆς κόρης διὰ ταῦτα φόβος καὶ ἡ φυγή, καὶ ἡ ἔκστασις τῶν φυλάκων καὶ φυγή, καὶ ἡ πρὸς τὸν πατέρα τῆς κόρης ἄφιξις καὶ διήγησις τῶν συγκυρησάντων, καὶ φυγὴ ἐκεῖθεν τῶν περὶ Ῥοδάνην, καὶ πρὸ τούτων γράμμα πρὸς Γάρμον τοῦ χρυσοχόου ὅτι Σινωνὶς εὕρηται· καὶ ἦν πίστις ἡ ἐξωνηθεῖσα ἅλυσις πεμπομένη καὶ τὰ ἄλλα, ἃ περὶ τὴν τοῦ γεωργοῦ θυγατέρα ὑπωπτεύετο. 13 76b

Ῥοδάνης ἀπιὼν ἐφ' ᾧ φεύγειν φιλεῖ τὴν κόρην τοῦ γεωργοῦ, καὶ ἀνάπτεται εἰς ὀργὴν Σινωνὶς διὰ τοῦτο, εἰς ὑπόνοιαν μὲν πρῶτον ἀφιγμένη τοῦ φιλήματος, ἔπειτα καὶ ἀπὸ τῶν τοῦ Ῥοδάνους χειλέων ἀφελομένη τὸ αἷμα, ὃ φιλήσας αὐτὴν περιεκέχριστο, εἰς ἰσχυρὰν πίστιν κατάστασι. Ζητεῖ διὰ τοῦτο Σινωνὶς τὴν κόρην ἀνελεῖν, καὶ ὑποστρέφειν πρὸς αὐτὴν ἠπείγετο καθάπερ τις ἐμμανής· καὶ συνέπεται Σόραιχος, 14

15 ἐπεὶ μὴ κατασχεῖν τῆς μανιώδους ὁρμῆς ἴσχυε. Καὶ καταίρουσιν εἰς πλουσίου τινός, τὸ ἦθος δὲ ἀκολάστου, Σήταπος αὐτῷ ὄνομα, ὃς ἐρᾷ τῆς Σινωνίδος καὶ πειρᾷ· ἡ δὲ ἀντερᾶν ὑποκρίνεται καὶ μεθυσθέντα τὸν Σήταπον κατ' αὐτὴν τὴν νύκτα καὶ τὴν ἀρχὴν τοῦ ἔρωτος ἀναιρεῖ ξίφει. Καὶ ἀνοῖξαι κελεύσασα τὴν αὔλειον καὶ τὸν Σόραιχον ἀγνοοῦντα τὸ πραχθὲν καταλιποῦσα ἐπὶ τὴν τοῦ γεωργοῦ κόρην ἠλαύνετο. Σόραιχος δὲ τὴν ἔξοδον αὐτῆς μαθὼν ἐδίωκεν ὀπίσω καὶ καταλαμβάνει ἔχων μεθ' ἑαυτοῦ καὶ τῶν Σητάπου δούλων, οὓς ἦν μισθωσάμενος, ἵνα κωλύσῃ τὴν σφαγὴν τῆς τοῦ γεωργοῦ κόρης· καταλαβὼν δὲ ἀναλαμβάνει εἰς τὴν ἁρμάμαξαν (παρεσκεύαστο γὰρ
77a καὶ τοῦτο) καὶ ἀπελαύνει ὀπίσω. Ὑποστρεφόντων δὲ αὐτῶν οἱ τοῦ Σητάπου θεράποντες, ἐπεὶ τὸν δεσπότην ἀνῃρημένον ἐθεάσαντο, ἀπήντησαν ὠργισμένοι, καὶ συλλαβόντες Σινωνίδα καὶ δήσαντες ἦγον ἐπὶ Γάρμον ὡς ἀνδροφόνον κολασθησομένην. Καὶ Σόραιχος ἦν ἄγγελος Ῥοδάνει τῶν κακῶν, κόνιν τε κατὰ τῆς κεφαλῆς πασάμενος καὶ τὸν κάνδυν περιερρηγμένος. Καὶ Ῥοδάνης ἀναιρεῖν ἑαυτὸν ὁρμᾷ, ἀλλ' ἐκώλυε Σόραιχος.

16 Ὁ δὲ Γάρμος Σάκα δεξάμενος γράμμα ὅτιπερ Ῥοδάνης συνείληπται, καὶ παρὰ τοῦ χρυσοχόου ὅτι Σινωνὶς ἔχεται, ἔχαιρέ τε καὶ ἔθυε καὶ τοὺς γάμους ἡτοίμαζε, καὶ κήρυγμα ἤπλωτο πανταχοῦ πάντας δεσμώτας λύεσθαι καὶ ἀφίεσθαι. Καὶ Σινωνὶς ὑπὸ τῶν Σητάπου θεραπόντων δέσμιος ἀγομένη τῷ κοινῷ τοῦ κηρύγματος λύεται καὶ ἀφίεται. Δάμαν δὲ κελεύει Γάρμος παραδοθῆναι θανάτῳ, καὶ παραδίδοται δημίῳ, ὃν αὐτὸς ἀπὸ ἱερέως εἰς τὸν δήμιον μετέστησεν· ἐθυσχέραινε δὲ τῷ Δάμᾳ ὁ Γάρμος, ὅτι παρ' ἄλλοις Ῥοδάνης, ὡς ἐνόμιζε, καὶ Σινωνὶς συνεσχέθησαν. Διάδοχος δὲ Δάμα ὁ ἀδελφὸς καθίσταται Μόνασος.

17 Διάληψις περὶ Βερενίκης, ἥτις ἦν θυγάτηρ τοῦ βασιλέως Αἰγυπτίων, καὶ τῶν ἀγρίων αὐτῆς καὶ ἐνθέσμων ἐρώτων. Καὶ ὅπως Μεσοποταμίᾳ συνεγένετο, καὶ ὡς ὕστερον ὑπὸ Σάκα συνελήφθη Μεσοποταμία καὶ πρὸς Γάρμον ἅμα τῷ ἀδελφῷ Εὐφράτῃ ἀπάγεται. Γράμμα δεξάμενος Γάρμος παρὰ τοῦ χρυσοχόου ὡς Σινωνὶς διαπέφευγε, προστάσσει ἐκεῖνόν τε ἀναιρεθῆναι καὶ τοὺς ἐπὶ φυλακῇ ταύτης καὶ ἀγωγῇ σταλέντας αὐταῖς γυναιξὶ καὶ τέκνοις ζῶντας κατορυχθῆναι.

18 Τρκανὸς κύων ὁ τοῦ Ῥοδάνους, εὑρὼν ἐν ἐκείνῳ τῷ ἀποτροπαίῳ καταγωγίῳ τὰ σώματα τῆς τε δυστυχοῦς κόρης καὶ

τοῦ παλαμναίου καὶ δυσέρωτος δούλου, κατέφαγε πρῶτον τὸ τοῦ δούλου, ἔπειτα κατὰ μικρὸν καὶ τῆς κόρης· καὶ ἐφίσταται τῷ τόπῳ ὁ τῆς Σινωνίδος πατήρ, καὶ τὸν κύνα ὡς εἶη Ῥοδάνους εἰδὼς καὶ τὴν κόρην ἡμίβρωτον ἰδὼν σφάζει μὲν ὡς ἐπὶ Σινωνίδι τὸν κύνα, ἀναρτᾷ δὲ καὶ ἑαυτὸν βρόχῳ, καταχώσας τὸ ὑπόλοιπον τῆς κόρης σῶμα καὶ ἐπιγράψας αἵματι τοῦ κυνὸς "ἐνθάδε κατάκειται Σινωνὶς ἡ καλή." Παραγίνονται τῷ τόπῳ Σόραιχος καὶ Ῥοδάνης, καὶ τόν τε κύνα ἐσφαγμένον τῷ τάφῳ ἰδόντες τόν τε πατέρα τῆς Σινωνίδος ἀνηρτημένον τό τε τοῦ τάφου ἐπίγραμμα, ὁ μὲν Ῥοδάνης πρώτην πληγὴν ἑαυτῷ ἐπενεγκὼν προσέγραφε τῷ ἰδίῳ αἵματι ἐπὶ τῷ τῆς Σινωνίδος 77b ἐπιγράμματι "καὶ Ῥοδάνης ὁ καλός," ὁ δὲ Σόραιχος βρόχῳ ἑαυτὸν ἐξῆπτεν. Ἐν ᾧ δὲ καὶ τὴν τελευταίαν πληγὴν ὁ Ῥοδάνης ἐπάγειν ἤρχετο, ἡ τοῦ γεωργοῦ θυγάτηρ ἐπιστᾶσα μέγα ἐβόα "οὐκ ἔστι Σινωνίς, ὦ Ῥοδάνη, ἡ κειμένη," καὶ δραμοῦσα κόπτει τε τὸν βρόχον Σοραίχου καὶ τὸ ξίφος ἀφαιρεῖται Ῥοδάνους, καὶ πείθει μόλις, διηγησαμένη τά τε περὶ τὴν δυστυχῆ κόρην καὶ περὶ τοῦ χρυσίου τοῦ κατορωρυγμένου, καὶ ὡς ἐπὶ τῷ ἀναλαβεῖν τοῦτο ἥκοι.

Ἡ δὲ Σινωνὶς ἀπολυθεῖσα τῶν δεσμῶν ἐπὶ τὴν οἰκίαν 19
ἔφθη τοῦ γεωργοῦ, ἔτι κατὰ τῆς κόρης ἐπιμαινομένη. Μὴ εὑροῦσα δὲ αὐτὴν ἐπηρώτα τὸν πατέρα· ὁ δὲ τὴν ὁδὸν ἔφραζε, καὶ αὐτὴ ἐδίωκεν ὀπίσω. γυμνώσασα τὸ ξίφος. Ὡς δὲ κατέλαβεν ἐρριμμένον μὲν τὸν Ῥοδάνην, ἐκείνην δὲ μόνην παρακαθημένην καὶ τὸ τραῦμα τοῦ στήθους παραψήχουσαν (ὁ Σόραιχος γὰρ ἐπὶ ζήτησιν ἰατροῦ ἐξῄει), ὀργῆς τε καὶ ζηλοτυπίας μᾶλλον ἐμπίπλαται καὶ ὁρμᾷ κατὰ τῆς κόρης. Ὁ δὲ Ῥοδάνης ὑπὸ τῆς βίας κρείττων τοῦ τραύματος γεγονὼς ὑπήντα καὶ ἐκώλυε τὴν Σινωνίδα, τὸ ξίφος ἁρπάσας ἀπ' αὐτῆς. Ἡ δὲ ὑπ' ὀργῆς ἐκπηδήσασα τοῦ καταγωγίου καὶ δρόμῳ χρωμένη μανιώδει τοῦτο πρὸς Ῥοδάνην εἰποῦσα ἀπέρριψε μόνον "καλῶ σε σήμερον εἰς τοὺς Γάρμου γάμους." Σόραιχος δὲ παραγενόμενος καὶ μαθὼν ἅπαντα παρηγορεῖ μὲν Ῥοδάνην, καὶ ἰατρεύσαντες τὸ τραῦμα ἀπολύουσι μετὰ τῶν χρημάτων τὴν κόρην πρὸς τὸν πατέρα.

Ἄγεται πρὸς Γάρμον Εὐφράτης ὡς Ῥοδάνης καὶ ὡς Σι- 20
νωνὶς Μεσοποταμία· ἄγεται καὶ Σόραιχος καὶ ὁ ἀληθὴς Ῥοδάνης. Καὶ διαγνοὺς ὁ Γάρμος μὴ εἶναι Σινωνίδα τὴν Μεσοποταμίαν δίδωσι Ζοβάρᾳ παρὰ ποταμὸν Εὐφράτην καρατομῆ-

σαι, ἵνα μή, φησί, καὶ ἑτέρα τις τοῦ τῆς Σινωνίδος ἐπιβατεύσῃ ὀνόματος. Ὁ δὲ Ζοβάρας ἀπὸ πηγῆς ἐρωτικῆς πιὼν καὶ τῷ Μεσοποταμίας ἔρωτι σχεθεὶς σώζει τε ταύτην καὶ πρὸς Βερενίκην Αἰγυπτίων ἦθη, ἅτε τοῦ πατρὸς τελευτήσαντος, βασιλεύουσαν, ἐξ ἧς ἦν καὶ ἀφελόμενος, ἄγει· καὶ γάμους Μεσοποταμίας ἡ Βερενίκη ποιεῖται, καὶ πόλεμος δι' αὐτὴν Γάρμῳ καὶ Βερενίκῃ διαπειλεῖται. Εὐφράτης δὲ παραδίδοται τῷ πατρὶ ὡς δημίῳ, καὶ ἀναγνωσθεὶς σώζεται καὶ πληροῖ μὲν αὐτὸς τὰ τοῦ πατρὸς ἔργα, ὁ δὲ πατὴρ οὐ μιαίνεται τοῖς ἀνθρώποις αἵμασιν· ὕστερον δὲ ὡς τοῦ δημίου κόρη ἐξέρχεται τοῦ οἰκήμα-
78[a] τος καὶ διασώζεται. Ἐν ᾧ καὶ περὶ τῆς συγκαθευδούσης τῷ δημίῳ, τά τε περὶ αὐτὴν ἔθιμά τε καὶ νόμιμα, καὶ περὶ τῆς τοῦ γεωργοῦ Θυγατρός, ὅπως ἀνάσπαστος γίνεται, ἐπεὶ Σινωνὶς τῷ Συρίας βασιλεῖ γαμηθεῖσα ἔσχεν ἰσχὺν τὴν ὀργὴν ἐπ' αὐτῇ πληρῶσαι· καὶ ὡς δημίῳ ταύτην συγκαθεύδειν καταδικάζει· καὶ ὅτι συνεκαθεύδησεν ἐν τῷ τῶν δημίων περιβόλῳ εἰσελθοῦσα τῷ Εὐφράτῃ, ὃς καὶ ἀντ' αὐτῆς εἰς τὸ ἐκείνης πρόσωπον ὑποκριθεὶς ἐξῆλθε τοῦ περιβόλου, καὶ ἐκείνη ἀντὶ τοῦ Εὐφράτου τὸ ἔργον ἔπραττε τοῦ δημίου.

21 Καὶ ταῦτα μὲν ὧδε προύβαινε, παραδίδοται δὲ καὶ Σόραιχος ἐπὶ τῷ ἀνασταυρωθῆναι· ὁ δὲ τόπος ὥριστο, ἔνθα Ῥοδάνης καὶ Σινωνὶς τὰ πρῶτα ηὐλίσαντο, ἐν τῷ λειμῶνι καὶ ἐν τῇ πηγῇ, ἐν οἷς καὶ τῷ Ῥοδάνει τὸ κεκρυμμένον ἐπεφώρατο χρυσίον, ὃ καὶ ἀπαγομένῳ ἐπὶ τὸν σταυρὸν Σοραίχῳ μηνύει. Καὶ Ἀλανῶν στρατὸς ἀπόμισθος Γάρμῳ γεγονὼς καὶ ἀπεχθανόμενοι περὶ τὸν χῶρον, ἐν ᾧ Σόραιχος ἔμελλεν ἀνασταυροῦσθαι, διατρίβουσιν· οἳ καὶ ἀπελάσαντες τοὺς Σόραιχον ἄγοντας ἔλυσαν. Ὁ δὲ τὸ μηνυθὲν χρυσίον εὑρὼν καὶ τέχνῃ τινὶ καὶ σοφίᾳ ἐκ τοῦ ὀρύγματος ἀνιμώμενος, τοὺς Ἀλανοὺς ἔπειθεν, ὡς ὑπὸ θεῶν ταῦτά τε καὶ τὰ ἄλλα ἐκδιδάσκοιτο. Καὶ κατὰ μικρὸν ἑλκύσας εἴθισεν ὥστε σφῶν ἡγεῖσθαι βασιλέα, καὶ πολεμεῖ στρατῷ Γάρμου καὶ νικᾷ. Ἀλλ' ὕστερον ταῦτα· ὅτε δὲ Σόραιχος ἐπὶ τὸν σταυρὸν ἐπέμπετο, τότε καὶ Ῥοδάνης ὑπ' αὐτοῦ Γάρμου ἐστεφανωμένου καὶ χορεύοντος ἐπὶ τὸν πρότερον σταυρὸν πάλιν ἤγετο καὶ ἀνεσταυροῦτο, καὶ Γάρμος μεθύων ἅμα καὶ χορεύων περὶ τὸν σταυρὸν σὺν ταῖς αὐλητρίσιν ἔχαιρέ τε καὶ εὐφραίνετο.

22 Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, Σάκας πρὸς Γάρμον γράμμα πέμπει ὡς Σινωνὶς τῷ Σύρων βασιλεῖ μειρακίῳ ὄντι γαμεῖται·

καὶ Ῥοδάνης ἄνωθεν ἔχαιρε, Γάρμος δὲ ἑαυτὸν ἀνελεῖν ὥρμησεν. Ἐπισχὼν δὲ κατάγει Ῥοδάνην ἄκοντα τοῦ σταυροῦ (θανεῖν γὰρ μᾶλλον ἠρεῖτο) καὶ κοσμεῖ στρατηγικῶς καὶ πέμπει τοῦ πολέμου, ὃν πρὸς τὸν τῶν Σύρων ἀνεκίνει βασιλέα, στρατηγὸν ὡς ἐραστὴν κατὰ τοῦ ἀντεραστοῦ, καὶ φιλοφρονεῖται ὑπούλως καὶ γράμμα κρύφιον γράφει τοῖς ὑποστρατήγοις, εἰ νίκη γένηται καὶ συλληφθῇ Σινωνίς, ἀναιρεθῆναι Ῥοδάνην. Ῥοδάνης δὲ καὶ νικᾷ καὶ τὴν Σινωνίδα ἀπολαμβάνει καὶ βασιλεύει Βαβυλωνίων. Καὶ τοῦτο χελιδὼν προμηνύει· ταύτην γάρ, ὅτε παρῆν Γάρμος καὶ συνεξέπεμπε Ῥοδάνην, ἀετὸς ἐδίωκε 78b καὶ ἰκτῖνος· ἀλλὰ τὸν μὲν ἀετὸν ἐξέφυγεν, ὁ δὲ ἰκτῖνος ταύτην ἥρπασεν. Ἐν οἷς ὁ ις' λόγος.

ΑΝΤΩΝΙΟΥ ΔΙΟΓΕΝΟΥΣ

ΤΩΝ ΥΠΕΡ ΘΟΥΛΗΝ ΑΠΙΣΤΩΝ

ΛΟΓΟΙ ΚΔ

1 Phot. Bibl. Cod. 166. p. 109a Bekk. Ἀνεγνώσθησαν Ἀντωνίου Διογένους τῶν ὑπὲρ Θούλην ἀπίστων λόγοι εἴκοσι τέσσαρες. Δραματικὸν οἱ λόγοι, σαφὴς ἡ φράσις καὶ οὕτω καθαρά, ὡς ἐπ' ἔλαττον εὐκρινείας δεῖσθαι, καὶ τότε κατὰ τὰς ἐκτροπὰς τῶν διηγημάτων· ταῖς δὲ διανοίαις πλεῖστον ἔχει τοῦ ἡδέος, ἅτε μύθων ἐγγὺς καὶ ἀπίστων ἐν πιθανωτάτῃ πλάσει καὶ διασκευῇ ὕλην ἑαυτῇ διηγημάτων ποιουμένη.

2 Εἰσάγεται τοίνυν ὄνομα Δεινίας κατὰ ζήτησιν ἱστορίας ἅμα τῷ παιδὶ Δημοχάρῃ ἀποπλανηθεὶς τῆς πατρίδος, καὶ διὰ τοῦ Πόντου καὶ ἀπὸ τῆς κατὰ Κασπίαν καὶ Τρκανίαν θαλάσσης πρὸς τὰ Ῥιπαῖα καλούμενα ὄρη καὶ τοῦ Τανάϊδος ποταμοῦ τὰς ἐκβολὰς ἀφιγμένοι, εἶτα διὰ τὸ πολὺ τοῦ ψύχους ἐπὶ τὸν Σκυθικὸν ἐπιστραφέντες Ὠκεανόν, καὶ δὴ καὶ εἰς τὸν ἑῷον ἐμβαλόντες καὶ πρὸς ταῖς τοῦ ἡλίου ἀνατολαῖς γεγονότες, ἐντεῦθέν τε κύκλῳ τὴν ἐκτὸς περιελθόντες θάλασσαν ἐν χρόνοις μακροῖς καὶ ποικίλαις πλάναις· οἷς συνεφάπτονται τῆς πλάνης Καρμάνης καὶ Μηνίσκος καὶ Ἄζουλις. Γίνονται δὲ καὶ ἐν Θούλῃ τῇ νήσῳ, ἐνταῦθα τέως καὶ σταθμὼν ὥσπερ τῆς πλάνης τινὰ ποιούμενοι.

3 Ἐν ταύτῃ τῇ Θούλῃ Δεινίας κατ' ἔρωτος νόμον ὁμιλεῖ Δερκυλλίδι τινὶ καλουμένῃ, ἥτις γένει μὲν ὑπῆρχε Τυρία τῶν κατὰ τὴν πόλιν εὐπατριδῶν, ἀδελφῷ δὲ συνῆν ὄνομα Μαντινίᾳ. Ταύτῃ Δεινίας ὁμιλῶν ἀναμανθάνει τήν τε τῶν ἀδελφῶν πλάνην καὶ ὅσα Παάπις τις ἱερεὺς Αἰγύπτιος, τῆς πατρίδος αὐτοῦ λεηλατηθείσης καὶ παροικήσας Τύρον καὶ φιλοξενηθεὶς ὑπὸ τῶν τεκόντων τοὺς ἀδελφοὺς Δερκυλλίδα καὶ Μαντινίαν, καὶ δόξας τὰ πρῶτα εὔνους εἶναι τοῖς εὐεργέταις καὶ ὅλῳ τῷ οἴκῳ, μετὰ ταῦτα ὅσα κακὰ τόν τε οἶκον καὶ αὐτοὺς καὶ αὐτῶν γονέας εἰργάσατο· ὅπως εἰς Ῥόδον ἀπὸ τῆς κατὰ τὸν οἶκον συμφορᾶς σὺν τῷ ἀδελφῷ ἀπήχθη, κἀκεῖθεν εἰς Κρήτην ἐπλανήθη, εἶτα εἰς Τυρρηνούς, κἀντεῦθεν εἰς Κιμμερίους οὕτω καλουμένους· καὶ ὡς τὰ ἐν Ἅιδου παρ' αὐτοῖς ἴδοι καὶ πολλὰ τῶν ἐκεῖσε μάθοι, διδασκάλῳ χρωμένῃ Μυρτοῖ θεραπαινίδι οἰ-
109b κείᾳ, πάλαι τὸν βίον ἀπολιπούσῃ καὶ ἐκ τῶν νεκρῶν τὴν δέσποιναν ἀναδιδασκούσῃ.

Ταῦτα τοίνυν ἀπάρχεται Δεινίας διηγεῖσθαι Κύμβα τινὶ 4
ὀνόματι ἐξ Ἀρκαδίας πατρίδος, ὃν στείλειε τὸ κοινὸν τῶν Ἀρκάδων ἐς Τύρον, αἰτούμενοι Δεινίαν πρὸς αὐτούς τε καὶ πατρίδα ἐπαναζεῦξαι. Ἐπεὶ δὲ αὐτὸν τὸ βάρος τοῦ γήρως ἐκώλυεν, εἰσάγεται διηγούμενος ἅπερ τε αὐτὸς κατὰ τὴν πλάνην θεάσαιτο ἢ καὶ ἄλλων θεασαμένων ἀκήκοε, καὶ ἃ Δερκυλλίδος ἐν Θούλῃ διηγουμένης ἀνέμαθε, λέγω δὴ τήν τε προειρημένην πλάνην αὐτῆς καὶ ὅπως μετὰ τὴν ἐξ Ἅιδου αὐτῆς ἀναχώρησιν σὺν Κηρύλλῳ καὶ Ἀστραίῳ, ἤδη τοῦ ἀδελφοῦ διασπασθεῖσα, ἐπὶ τὸν Σειρήνης ἀφίκοντο τάφον· καὶ ὅσα πάλιν αὐτὴ ἐξ Ἀστραίου λέγοντος ἤκουσε, περί τε Πυθαγόρου φημὶ καὶ Μνησάρχου· οἷά τε Φιλώτιδος αὐτὸς Ἀστραῖος ἤκουσε καὶ τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ μυθῶδες θέαμα· καὶ ὅσα αὖθις Δερκυλλὶς ἐπὶ τὴν οἰκείαν ἐπανιοῦσα πλάνην ἀπήγγελλεν, ὡς περιπέσοι ἀνθρώπων πόλει κατὰ τὴν Ἰβηρίαν, οἳ ἑώρων μὲν ἐν νυκτί, τυφλοὶ δὲ ὑπὸ ἡμέρᾳ ἑκάστῃ ἐτύγχανον· καὶ ὅσα ἐκεῖ Ἀστραῖος αὐλῶν τοῖς πολεμίοις ἐκείνων εἰργάσατο. Καὶ ὡς ἀφεθέντες εὐμενῶς ἐκεῖθεν περιπεπτώκασι τοῖς Κελτοῖς, ἔθνει ὠμῷ καὶ ἠλιθίῳ, ἵπποις τε αὐτοὺς ἐξέφυγον, καὶ ὅσα αὐτοῖς περὶ τῆς κατὰ τὴν χρόαν τῶν ἵππων ἐναλλαγῆς ἐγεγόνει. Ὅπως τε κατὰ τοὺς Ἀκυτανοὺς ἐγένοντο, καὶ οἷας ἐκεῖ τιμῆς ἀπήλαυσαν Δερκυλλίς τε καὶ Κήρυλλος καὶ ἔτι μᾶλλον Ἀστραῖος τῇ περὶ τοὺς οἰκείους ὀφθαλμοὺς αὐξομειώσει τὰς σεληνιακὰς σημαίνων αὐξομειώσεις, καὶ λύων ἔριδος περὶ τῆς ἀρχῆς τοὺς ἐκεῖσε βασιλεῖς, οἳ δύο ὄντες κατὰ τὰ τοιαῦτα τῆς σελήνης πάθη ἀλλήλων ἀντικαθίσταντο διάδοχοι· δι' ἃ καὶ ὁ ἐκεῖσε δῆμος τοῖς περὶ Ἀστραῖον ἔχαιρον.

Ἐντεῦθεν ἐπιμνηθεύεται ὅπως τά τε ἄλλα Δερκυλλὶς εἶδέ 5
τε καὶ ὑπήνεγκε, καὶ ὡς ἐν Ἀρτάβροις ἤχθη, οὗ γυναῖκες μὲν πολεμοῦσιν, ἄνδρες δὲ οἰκουροῦσι καὶ τὰ γυναικῶν ἐπιμελοῦνται. Ἐπὶ τούτοις οἷα κατὰ τοὺς Ἀστύρους τὸ ἔθνος αὐτῇ τε καὶ Κηρύλλῳ συνεκύρησε, καὶ ἔτι ὅσα ἰδίως Ἀστραίῳ συνηνέχθη, καὶ ὡς παρ' ἐλπίδας πάσας τοὺς ἐν Ἀστύροις συχνοὺς κινδύνους ἐκπεφευγότες, Κήρυλλος σὺν Δερκυλλίδι τὴν δίκην ὅμως, 110[a]
ἣν ἀδικήματος παλαιοῦ ὠφληκὼς ἐτύγχανεν, οὐκ ἀπέφυγεν, ἀλλὰ παρὰ δόξαν πᾶσαν ὡς ἐσώθη τῶν κινδύνων, οὕτω καὶ ἐκρεουργήθη. Μετὰ ταῦτα οἷα κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν πλανωμένη ἐθεάσατο, καὶ ὡς ἐν Ἔρυκι γενομένῃ πόλει Σικελίας συλλαμβάνεται καὶ πρὸς Αἰνησίδημον (ἐτυράννει δὲ τότε

Λεοντίνων οὗτος) ἀπάγεται. Ἐν ᾧ πάλιν Παάπιδι τῷ τρισαλιτηρίῳ περιπίπτει τῷ τυραννοῦντι συνόντι, καὶ τῆς ἀπροσδοκήτου συμφορᾶς ἀνέλπιστον εὑρίσκει παραμυθίαν τὸν ἀδελφὸν Μαντινίαν, ὃς πολλὰ πλανηθεὶς καὶ πολλῶν ἀπιστοτάτων θεαμάτων περί τε ἀνθρώπους καὶ ἕτερα ζῶα περί τε αὐτὸν ἥλιον καὶ σελήνην καὶ φυτὰ καὶ νήσους μάλιστα ἐξηγητὴς αὐτῇ καταστάς, ὕλην ἄφθονον παρέσχε μυθοποιίας ἀπαγγέλλειν ὕστερον τῷ Δεινίᾳ· ἅπερ αὐτὸς συνείρων εἰσάγεται, διηγούμενος τῷ Ἀρκάδι Κύμβᾳ.

6 Ἔπειτα ὡς λαβόντες Μαντινίας καὶ Δερκυλλὶς ἐκ Λεοντίνων τὸ Παάπιδος πηρίδιον μετὰ τῶν ἐν αὐτῷ βιβλίων καὶ τῶν βοτανῶν τὸ κιβώτιον, ἀπαίρουσιν εἰς Ῥήγιον κἀκεῖθεν εἰς Μεταπόντιον, ἐν ᾧ αὐτοὺς Ἀστραῖος ἐπικαταλαβὼν μηνύει κατὰ πύδας διώκειν Παάπιν. Καὶ ὡς συναπαίρουσιν αὐτῷ ἐπὶ Θρᾷκας καὶ Μασσαγέτας πρὸς Ζάμολξιν τὸν ἑταῖρον αὐτοῦ ἀπιόντι, ὅσα τε κατὰ ταύτην τὴν ὁδοιπορίαν ἴδοιεν, καὶ ὅπως ἐντύχοι Ἀστραῖος Ζαμόλξιδι παρὰ Γέταις ἤδη θεῷ νομιζομένῳ· καὶ ὅσα εἰπεῖν αὐτῷ καὶ δεηθῆναι Δερκυλλίς τε καὶ Μαντινίας Ἀστραῖον ὑπὲρ αὐτῶν ἠξίωσαν· καὶ ὡς χρησμὸς αὐτοῖς ἐκεῖθεν ἐξέπεσεν ἐπὶ Θούλην εἶναι πεπρωμένον ἐλθεῖν, καὶ ὡς ἐς ὕστερον καὶ πατρίδα ὄψονται, πρότερον ἄλλα τε ἐκταλαιπωροῦντες καὶ δίκην τῆς ἐς τοὺς τοκέας ἀνοσιότητος (εἰ καὶ ἄκοντες ἥμαρτον) τινύντες τῷ τὸν βίον αὐτοῖς εἰς ζωὴν καὶ θάνατον διαμερισθῆναι, καὶ ζῆν μὲν ἐν νυκτί, νεκροὺς δὲ ἐν ἑκάστῃ εἶναι ἡμέρᾳ· εἶτα ὡς τοιούτους χρησμοὺς λαβόντες ἀπαίρουσιν ἐκεῖθεν, τὸν Ἀστραῖον σὺν Ζαμόλξι λείποντες ὑπὸ Γετῶν δοξαζόμενον· καὶ ὅσα περὶ βορρᾶν αὐτοῖς τεράστια ἰδεῖν καὶ ἀκοῦσαι συνηνέχθη.

7 Ταῦτα πάντα Δεινίας κατὰ Θούλην ἀκούσας διηγουμένης Δερκυλλίδος εἰσάγεται νῦν ἀπαγγέλλων τῷ Ἀρκάδι Κύμβᾳ. Ἐπὶ τούτοις καὶ ὡς Παάπις διώκων μετ' ἴχνια τοὺς περὶ Δερκυλ-
110b λίδα ἐπέστη αὐτοῖς ἐν τῇ νήσῳ, καὶ τὸ πάθος ἐκεῖνος τέχνῃ μαγικῇ ἐπέθηκε, θνήσκειν μὲν ἡμέρας, ἀναβιώσκειν δὲ νυκτὸς ἐπιγινομένης. Καὶ τὸ πάθος αὐτοῖς ἐνέθηκεν ἐμπτύσας αὐτῶν κατὰ τὸ ἐμφανὲς τοῖν προσώποιν. Καὶ ὡς Θρουσκανός τις Θουλίτης, ἐραστὴς διάπυρος Δερκυλλίδος, ἰδὼν πεσοῦσαν τῷ ἐκ Παάπιδος πάθει τὴν ἐρωμένην καὶ ὑπεραλγήσας ἀθρόον τε ἐπιστὰς παίει ξίφει ἐκ τοῦ αἰφνιδίου τὸν Παάπιν καὶ ἀναιρεῖ, τοῦτο μόλις τῶν μυρίων κακῶν τέλος εὑράμενον. Καὶ ὡς Θρουσκανός, ἐπεὶ Δερκυλλὶς ἔκειτο δοκοῦσα νεκρά, ἑαυτὸν ἐπικα-

τασφάττει. Ταῦτα πάντα καὶ τούτων ἕτερα πολλὰ παραπλήσια, τήν τε ταφὴν αὐτῶν καὶ τὴν ἐκεῖθεν ὑπαναχώρησιν καὶ τοὺς ἔρωτας Μαντινίου, καὶ ὅσα διὰ τοῦτο συνέβη, καὶ ἕτερα ὅμοια κατὰ Θούλην τὴν νῆσον Δεινίας μαθὼν μυθολογούσης Δερκυλλίδος εἰσάγεται νῦν συνυφαίνων τῷ Ἀρκάδι Κύμβᾳ. Καὶ συμπληροῦται Ἀντωνίῳ Διογένει ὁ εἰκοστὸς τρίτος λόγος τῶν ὑπὲρ Θούλην ἐπιγραφομένων ἀπίστων, καίτοι μηδὲν ἢ βραχέα κατ' ἀρχὰς περὶ Θούλης τῆς συγγραφῆς ὑποθηλωσάσης.

Ὁ δὲ εἰκοστὸς τέταρτος λόγος εἰσάγει Ἄζουλιν διηγούμενον, κἀκεῖθεν Δεινίαν τοῖς ἔμπροσθεν αὐτῷ μυθολογηθεῖσι πρὸς Κύμβαν συνείροντα τὰ Ἀζούλιδος, ὡς κατανοήσειε τῆς γοητείας τὸν τρόπον, καθ' ὃν Παάπις ἐγοήτευσε Δερκυλλίδα καὶ Μαντινίαν νυκτὶ μὲν ζῶντας ἐν ἡμέρᾳ δὲ νεκροὺς εἶναι, καὶ ὡς ἀπήλλαξεν αὐτοὺς τοῦ πάθους, τόν τε τρόπον τῆς τιμωρίας ταύτης καὶ δὴ καὶ τῆς λάσεως ἐκ τοῦ πηριδίου ἀνευρὼν τοῦ Παάπιδος, ὃ συνεπεφέροντο Μαντινίας καὶ Δερκυλλίς. Οὐ μόνον δὲ ἀλλ' εὗρε καὶ ὅπως Δερκυλλὶς καὶ Μαντινίας ἀπαλλάξειαν μεγάλου κακοῦ τοὺς τοκέας κειμένους, οὓς ὑποθήκαις Παάπιδος, ὡς ἂν ἐπὶ τῷ ἐκείνων συμφέροντι, αὐτοὶ ἐλυμήναντο, ἴσα κεῖσθαι νεκροῖς μακρὸν χρόνον κατεργασάμενοι· εἶτα ὡς ἐκεῖθεν Δερκυλλὶς ἅμα Μαντινίᾳ ἐπὶ τὴν πατρίδα ἔσπευδον ἐπὶ τῇ τῶν τεκόντων ἀναβιώσει καὶ σωτηρίᾳ. 8

Δεινίας δὲ ἅμα Καρμάνῃ καὶ Μηνίσκῳ, ἀποχωρισθέντος αὐτοῖς Ἀζούλιδος, πρὸς τὰ ὑπὲρ τὴν Θούλην τὴν πλάνην ἐξέτεινον· καθ' ἣν πλάνην τὰ ὑπὲρ τὴν Θούλην ἄπιστα θεάσασθαι νῦν ἀπαγγέλλων εἰσάγεται Κύμβᾳ, ἐκεῖνα λέγων ἰδεῖν, ἃ καὶ οἱ τῆς ἀστροθεάμονος τέχνης σπουδασταὶ ὑποτίθενται, οἷον ὡς ἐστὶν ἐνίοις δυνατὸν κατὰ κορυφὴν τὴν ἄρκτον εἶναι, καὶ τὴν νύκτα μηνιαίαν, καὶ ἔλαττον δὲ καὶ πλέον, καὶ ἑξαμηνιαίαν δέ, καὶ τὸ ἔσχατον ἐνιαυσιαίαν· οὐ μόνον δὲ τὴν νύκτα ἐπὶ τοσοῦτον παρατείνεσθαι, ἀλλὰ καὶ τὴν ἡμέραν ταύταις συμβαίνειν ἀνάλογον· καὶ ἕτερα δὲ ἀπαγγέλλει ἰδεῖν ὅμοια. Καὶ ἀνθρώπους δὲ ἰδεῖν καὶ ἕτερά τινα τερατεύεται, ἃ μηδεὶς μήτε ἰδεῖν ἔφη μήτε ἀκοῦσαι, ἀλλὰ μηδὲ φαντασίαις ἀνετυπώσατο. Καὶ τὸ πάντων ἀπιστότατον, ὅτι πορευόμενοι πρὸς βορρᾶν ἐπὶ σελήνην, ὡς ἐπί τινα γῆν καθαρωτάτην, πλησίον ἐγένοντο, ἐκεῖ τε γενόμενοι ἴδοιεν ἃ εἰκὸς ἦν ἰδεῖν τὸν τοιαύτην ὑπερβολὴν πλασμάτων προαναπλάσαντα. Εἶτα καὶ ὡς ἡ Σιβύλλα τὴν μαντικὴν ἀπὸ Καρμάνου ἀνέλαβε. Μετὰ δὲ ταῦτα ὅτι εὐ- 9 111a

χὰς ἰδίας ἕκαστος ηὔξατο, καὶ τοῖς μὲν ἄλλοις ἑκάστῳ συνέπεσεν ὥσπερ ηὔξατο, αὐτὸν δέ φησιν ἐκεῖθεν ἀφυπνώσαντα εἰς Τύρον εἰς τὸν τοῦ Ἡρακλέος νεὼν εὑρεθῆναι, ἐκεῖθέν τε ἀναστάντα τήν τε Δερκυλλίδα καὶ τὸν Μαντινίαν ἀνευρεῖν εὖ πεπραγότας, καὶ τούς τε γονεῖς τοῦ μακροῦ ἀπαλλάξαντας ὕπνου, μᾶλλον δὲ ὀλέθρου, καὶ τἆλλα εὐδαιμονοῦντας.

10 Ταῦτα Κύμβᾳ Δεινίας διεμυθολόγησε, καὶ κυπαριττίνας δέλτους προενεγκὼν ἐγγράψαι ταύτας τὸν Ἀθηναῖον Ἐρασινίδην συνεπόμενον τῷ Κύμβᾳ (ἦν γὰρ τεχνίτης λόγων) παρεκελεύσατο. Ὑπέδειξε δὲ αὐτοῖς καὶ τὴν Δερκυλλίδα· αὕτη γὰρ καὶ τὰς κυπαριττίνας δέλτους ἤνεγκε. Προσέταξέ τε τῷ Κύμβᾳ δίχα ταῦτα τὰ διαμυθολογηθέντα ἀναγράψασθαι, καὶ θατέραν μὲν τῶν δέλτων αὐτὸν ἔχειν, τὴν ἑτέραν δέ, καθ' ὃν ἀποβιῴη καιρόν, τὴν Δερκυλλίδα πλησίον τοῦ τάφου κιβωτίῳ ἐμβαλοῦσαν καταθεῖναι.

11 Ὁ γοῦν Διογένης, ὁ καὶ Ἀντώνιος, ταῦτα πάντα Δεινίαν εἰσαγαγὼν πρὸς Κύμβαν τερατευσάμενον, ὅμως γράφει Φαυστίνῳ ὅτι τε συντάττει περὶ τῶν ὑπὲρ Θούλην ἀπίστων, καὶ ὅτι τῇ ἀδελφῇ Ἰσιδώρᾳ φιλομαθῶς ἐχούσῃ τὰ δράματα προσφωνεῖ. Λέγει δὲ ἑαυτὸν ὅτι ποιητής ἐστι κωμῳδίας παλαιᾶς, καὶ ὅτι εἰ καὶ ἄπιστα καὶ ψευδῆ πλάττοι, ἀλλ' οὖν ἔχει περὶ τῶν πλείστων [[τῶν]] αὐτῷ μυθολογηθέντων ἀρχαιοτέρων μαρτυρίας, ἐξ ὧν σὺν καμάτῳ ταῦτα συναθροίσειε· προτάττει δὲ καὶ ἑκάστου βιβλίου τοὺς ἄνδρας οἳ τὰ τοιαῦτα προαπεφήναντο, ὡς μὴ δοκεῖν μαρτυρίας χηρεύειν τὰ ἄπιστα.

12 Ἐπιστολὴν μὲν οὖν κατ' ἀρχὰς τοῦ βιβλίου γράφει πρὸς
111b τὴν ἀδελφὴν Ἰσιδώραν, δι' ἧς εἰ καὶ τὴν προσφώνησιν αὐτῇ τῶν συγγραμμάτων δείκνυται πεποιημένος, ἀλλ' οὖν εἰσάγει Βάλαγρον πρὸς τὴν οἰκείαν γυναῖκα, Φίλαν τοὔνομα, γράφοντα (θυγάτηρ δὲ ἦν Ἀντιπάτρου αὕτη) ὅτι τῆς Τύρου ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως Μακεδόνων εἰς ἅλωσιν ἐλθούσης καὶ πυρὶ τὰ πλεῖστα δαπανηθείσης, στρατιώτης ἦκε πρὸς Ἀλέξανδρον, ξένον τι καὶ παράδοξον λέγων μηνύειν, εἶναι δὲ τὸ θέαμα τῆς πόλεως ἔξω. Ὁ δὲ βασιλεὺς Ἡφαιστίωνα καὶ Παρμενίωνα συμπαραλαβὼν εἶποντο τῷ στρατιώτῃ, καὶ καταλαμβάνουσιν ὑπογείους λιθίνας σορούς, ὧν ἡ μὲν ἐπεγέγραπτο "Λυσίλλα ἐβίω ἔτη πέντε καὶ τριήκοντα", ἡ δὲ "Μνάσων Μαντινίου ἐβίω ἔτη ἓξ καὶ ἑξήκοντα ἀπὸ ἑνὸς καὶ ἑβδομήκοντα", ἡ δὲ "Ἀριστίων Φιλοκλέους ἐβίω ἔτη ἑπτὰ καὶ τεσσαράκοντα ἀπὸ δυοῖν καὶ

πεντήκοντα", ἄλλη δὲ "Μαντινίας Μνάσωνος ἔτη ἐβίω δύο καὶ τεσσαράκοντα καὶ νύκτας ἑξήκοντα καὶ ἑπτακοσίας", ἑτέρα δὲ "Δερκυλλὶς Μνάσωνος ἐβίω ἔτη ἐννέα καὶ τριήκοντα καὶ νύκτας ἑξήκοντα καὶ ἑπτακοσίας", ἡ δὲ ἕκτη σορὸς "Δεινίας Ἀρκὰς ἐβίω ἔτη πέντε καὶ εἴκοσι καὶ ἑκατόν." Τούτοις διαποροῦντες πλὴν τῆς πρώτης σοροῦ (σαφὲς γὰρ τὸ ἐκείνης ἐπίγραμμα) ἐντυγχάνουσι παρὰ τοῖχον κιβωτίῳ μικρῷ κυπαριττου πεποιημένῳ, ᾧ ἐνεγέγραπτο "ὦ ξένε, ὅστις εἶ, ἄνοιξον, ἵνα μάθῃς ἃ θαυμάζεις." Ἀνοίξαντες οὖν οἱ περὶ Ἀλέξανδρον τὸ κιβώτιον εὑρίσκουσι τὰς κυπαριττίνας δέλτους, ἃς, ὡς ἔοικε, κατέθηκε Δερκυλλὶς κατὰ τὰς ἐντολὰς Δεινίου. Ταῦτα Βάλαγρον εἰσάγει τῇ γυναικὶ γράφοντα, καὶ ὅτι τὰς κυπαριττίνας δέλτους μεταγραψάμενος διαπέμψειε τῇ γυναικί. Καὶ λοιπὸν εἰσβάλλει ἐντεῦθεν ὁ λόγος εἰς τὴν τῶν κυπαριττίνων δέλτων ἀνάγνωσιν καὶ γραφήν, καὶ πάρεστι Δεινίας Κύμβᾳ διηγούμενος ἅπερ προείρηται. Οὕτω μὲν οὖν καὶ ἐπὶ τούτοις ἡ τῶν δραμάτων πλάσις τῷ Ἀντωνίῳ Διογένει ἐσχημάτισται.

Ἔστι δ', ὡς ἔοικεν, οὗτος χρόνῳ πρεσβύτερος τῶν τὰ τοιαῦτα ἐσπουδακότων διαπλάσαι, οἷον Λουκιανοῦ, Λουκίου, Ἰαμβλίχου, Ἀχιλλέως Τατίου, Ἡλιοδώρου τε καὶ Δαμασκίου· καὶ γὰρ τοῦ περὶ ἀληθῶν διηγημάτων Λουκιανοῦ καὶ τοῦ περὶ μεταμορφώσεων Λουκίου πηγὴ καὶ ῥίζα ἔοικεν εἶναι τοῦτο. Οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν περὶ Σινωνίδα καὶ Ῥοδάνην, Λευκίππην τε καὶ Κλειτοφῶντα, καὶ Χαρίκλειαν καὶ Θεαγένην, τῶν τε περὶ αὐτοὺς πλασμάτων καὶ τῆς πλάνης ἐρώτων τε καὶ ἁρπαγῆς καὶ κινδύνων ἡ Δερκυλλὶς καὶ Κήρυλλος καὶ Θρουσκανὸς καὶ Δεινίας ἐοίκασι παράδειγμα γεγονέναι. 13

Τὸν χρόνον δέ, καθ' ὃν ἤκμασεν ὁ τῶν τηλικούτων πλασμάτων πατὴρ Διογένης ὁ Ἀντώνιος, οὕπω τι σαφὲς ἔχομεν λέγειν, πλὴν ἔστιν ὑπολογίσασθαι ὡς οὐ λίαν πόρρω τῶν χρόνων τοῦ βασιλέως Ἀλεξάνδρου. Μνημονεύει δ' οὗτος ἀρχαιοτέρου τινὸς Ἀντιφάνους, ὃν φησι περὶ τοιαῦτά τινα τερατολογήματα κατεσχολακέναι. Ἔστι δὲ ἐν αὐτοῖς καὶ μάλιστα, ὡς ἐν τηλικούτοις πλάσμασί τε καὶ μυθεύμασι, δύο τινὰ θηρᾶσαι χρησιμώτατα· ἓν μὲν ὅτι τὸν ἀδικήσαντά τι, κἂν μυριάκις ἐκφυγεῖν δόξῃ, εἰσάγει πάντως δίκην δεδωκέναι, καὶ δεύτερον ὅτι πολλοὺς ἀναιτίους, ἐγγὺς μεγάλου γεγονότας κινδύνου, παρ' ἐλπίδας δείκνυσι πολλάκις διασωθέντας. 14 112a

ΛΟΓΓΟΥ ΣΟΦΙΣΤΟΥ

ΤΩΝ ΚΑΤΑ ΔΑΦΝΙΝ ΚΑΙ ΧΛΟΗΝ

ΛΟΓΟΙ Δ

ΠΡΟΟΙΜΙΟΝ

Ἐν Λέσβῳ θηρῶν ἐν ἄλσει Νυμφῶν θέαμα εἶδον κάλλιστον ὧν εἶδον· εἰκόνα, γραφήν, ἱστορίαν ἔρωτος. Καλὸν μὲν καὶ τὸ ἄλσος, πολύδενδρον, ἀνθηρόν, κατάρρυτον· μία πηγὴ πάντα ἔτρεφε, καὶ τὰ ἄνθη καὶ τὰ δένδρα· ἀλλ' ἡ γραφὴ τερπνοτέρα καὶ τέχνην ἔχουσα περιττὴν καὶ τύχην ἐρωτικήν· ὥστε πολλοὶ καὶ τῶν ξένων κατὰ φήμην ἦεσαν, τῶν μὲν Νυμφῶν ἱκέται, τῆς δὲ εἰκόνος θεαταί. Γυναῖκες ἐπ' αὐτῆς τίκτουσαι καὶ ἄλλαι σπαργάνοις κοσμοῦσαι· παιδία ἐκκείμενα, ποίμνια τρέφοντα· ποιμένες ἀναιρούμενοι, νέοι συντιθέμενοι· λῃστῶν καταδρομή, πολεμίων ἐμβολή. Πολλὰ ἄλλα καὶ πάντα ἐρωτικὰ ἰδόντα με καὶ θαυμάσαντα πόθος ἔσχεν ἀντιγράψαι τῇ γραφῇ· καὶ ἀναζητησάμενος ἐξηγητὴν τῆς εἰκόνος τέτταρας βίβλους ἐξεπονησάμην, ἀνάθημα μὲν Ἔρωτι καὶ Νύμφαις καὶ Πανί, κτῆμα δὲ τερπνὸν πᾶσιν ἀνθρώποις, ὃ καὶ νοσοῦντα ἰάσεται, καὶ λυπούμενον παραμυθήσεται, τὸν ἐρασθέντα ἀναμνήσει, τὸν οὐκ ἐρασθέντα προπαιδεύσει. Πάντως γὰρ οὐδεὶς ἔρωτα ἔφυγεν ἢ φεύξεται, μέχρι ἂν κάλλος ᾖ καὶ ὀφθαλμοὶ βλέπωσιν. Ἡμῖν δ' ὁ θεὸς παράσχοι σωφρονοῦσι τὰ τῶν ἄλλων γράφειν.

Α

Πόλις ἐστὶ τῆς Λέσβου Μυτιλήνη, μεγάλη καὶ 1
καλή· διείληπται γὰρ εὐρίποις ὑπεισρεούσης τῆς
θαλάττης, καὶ κεκόσμηται γεφύραις ξεστοῦ καὶ λευ-
κοῦ λίθου. Νομίσειας [ἂν] οὐ πόλιν ὁρᾶν ἀλλὰ
νῆσον. Ταύτης τῆς πόλεως ὅσον ἀπὸ σταδίων δια- 2
κοσίων ἀγρὸς ἦν ἀνδρὸς εὐδαίμονος, κτῆμα κάλλι-
στον· ὄρη θηροτρόφα, πεδία πυροφόρα· γήλοφοι
κλημάτων, νομαὶ ποιμνίων· καὶ ἡ θάλαττα προσ-
έκλυζεν ἠόνι ἐκτεταμένῃ, ψάμμῳ μαλθακῇ.

Ἐν τῷδε τῷ ἀγρῷ νέμων αἰπόλος, Λάμων τοὔ- 2
νομα, παιδίον εὗρεν ὑπὸ μιᾶς τῶν αἰγῶν τρεφόμενον.
Δρυμὸς ἦν καὶ λόχμη βάτων καὶ κιττὸς ἐπιπλανώμενος
καὶ πόα μαλθακή, καθ' ἧς ἔκειτο τὸ παιδίον. Ἐνταῦθα
ἡ αἴξ θέουσα συνεχὲς ἀφανὴς ἐγίνετο πολλάκις καὶ
τὸν ἔριφον ἀπολιποῦσα τῷ βρέφει παρέμενε. Φυλάτ- 2
τει τὰς διαδρομὰς ὁ Λάμων οἰκτείρας ἀμελούμενον
τὸν ἔριφον, καὶ μεσημβρίας ἀκμαζούσης κατ' ἴχνος
ἐλθὼν ὁρᾷ τὴν μὲν αἶγα πεφυλαγμένως περιβεβη-
κυῖαν [τὸ βρέφος], μὴ ταῖς χηλαῖς βλάπτοι πατοῦσα,
τὸ δὲ ὥσπερ ἐκ μητρῴας θηλῆς τὴν ἐπιρροὴν ἕλκον
τοῦ γάλακτος. Θαυμάσας, ὥσπερ εἰκὸς ἦν, πρόσει- 3
σιν ἐγγὺς καὶ εὑρίσκει παιδίον ἄρρεν, μέγα καὶ
καλὸν καὶ τῆς κατὰ τὴν ἔκθεσιν τύχης ἐν σπαργάνοις
κρείττοσι· χλαμύδιόν τε γὰρ ἦν ἁλουργὲς καὶ πόρπη
χρυσῆ καὶ ξιφίδιον ἐλεφαντόκωπον.

Τὸ μὲν οὖν πρῶτον ἐβουλεύσατο μόνα τὰ γνω- 3
ρίσματα βαστάσας ἀμελῆσαι τοῦ βρέφους· ἔπειτα
αἰδεσθεὶς εἰ μηδὲ αἰγὸς φιλανθρωπίαν μιμήσεται,

---

5 post νῆσον: ἀλλὰ ἦν | post πόλεως: τῆς Μυτιλήνης

νύκτα φυλάξας κομίζει πάντα πρὸς τὴν γυναῖκα Μυρτάλην, καὶ τὰ γνωρίσματα καὶ τὸ παιδίον καὶ
2 τὴν αἶγα αὐτήν. Τῆς δὲ ἐκπλαγείσης εἰ παιδία τίκτουσιν αἶγες, ὁ δὲ πάντα αὐτῇ διηγεῖται, πῶς εὗρεν ἐκκείμενον, πῶς εἶδε τρεφόμενον, πῶς ᾐδέσθη καταλιπεῖν ἀποθανούμενον. Δόξαν δὴ κἀκείνῃ, τὰ μὲν συνεκτεθέντα κρύπτουσι, τὸ δὲ παιδίον αὐτῶν νομίζουσι, τῇ δὲ αἰγὶ τὴν τροφὴν ἐπιτρέπουσιν. Ὡς δ' ἂν καὶ τοὔνομα τοῦ παιδίου ποιμενικὸν δοκοίη, Δάφνιν αὐτὸν ἔγνωσαν καλεῖν.

4 Ἤδη δὲ διετοῦς χρόνου διικνουμένου, ποιμὴν ἐξ ἀγρῶν ὁμόρων νέμων, Δρύας τοὔνομα, καὶ αὐτὸς ὁμοίοις ἐπιτυγχάνει καὶ εὑρήμασι καὶ θέαμασι. Νυμφῶν ἄντρον ἦν, πέτρα μεγάλη, τὰ ἔνδοθεν κοίλη,
2 τὰ ἔξωθεν περιφερής. Τὰ ἀγάλματα τῶν Νυμφῶν αὐτῶν λίθοις ἐπεποίητο· πόδες ἀνυπόδητοι, χεῖρες εἰς ὤμους γυμναί, κόμαι μέχρι τῶν αὐχένων λελυμέναι, ζῶμα περὶ τὴν ἰξύν, μειδίαμα περὶ τὴν ὀφρύν· τὸ πᾶν σχῆμα χορεία ἦν ὀρχουμένων. Ἡ ὤα τοῦ
3 ἄντρου τῆς μεγάλης πέτρας ἦν τὸ μεσαίτατον. Ἐκ πηγῆς ἀναβλύζον ὕδωρ ῥεῖθρον ἐποίει χεόμενον, ὥστε καὶ λειμὼν πάνυ γλαφυρὸς ἐξετέτατο πρὸ τοῦ ἄντρου, πολλῆς καὶ μαλθακῆς πόας ὑπὸ τῆς νοτίδος τρεφομένης. Ἀνέκειντο δὲ καὶ γαυλοὶ καὶ αὐλοὶ πλάγιοι καὶ σύριγγες καὶ κάλαμοι, πρεσβυτέρων ποιμένων ἀναθήματα.

5 Εἰς τοῦτο τὸ νυμφαῖον οἷς ἀρτιτόκος συχνὰ φοιτῶσα δόξαν πολλάκις ἀπωλείας παρεῖχε. Κολάσαι δὴ βουλόμενος αὐτὴν καὶ εἰς τὴν πρότερον εὐνομίαν καταστῆσαι, δεσμὸν ῥάβδου χλωρᾶς λυγίσας ὅμοιον βρόχῳ τῇ πέτρᾳ προσῆλθεν, ὡς ἐκεῖ συλληψόμενος
2 αὐτήν. Ἐπιστὰς δὲ οὐδὲν εἶδεν ὧν ἤλπισεν, ἀλλὰ

τὴν μὲν διδοῦσαν πάνυ ἀνθρωπίνως τὴν θηλὴν εἰς ἄφθονον τοῦ γάλακτος ὁλκήν, τὸ δὲ παιδίον ἀκλαυτὶ λάβρως εἰς ἀμφοτέρας τὰς θηλὰς μεταφέρον τὸ στόμα καθαρὸν καὶ φαιδρόν, οἷα τῆς οἰὸς τῇ γλώττῃ τὸ πρόσωπον ἀπολιχμωμένης μετὰ τὸν κόρον τῆς τροφῆς. Θῆλυ ἦν τοῦτο τὸ παιδίον, καὶ παρέκειτο καὶ 3
τούτῳ γνωρίσματα· μίτρα διάχρυσος, ὑποδήματα ἐπίχρυσα, περισκελίδες χρυσαῖ.

Θεῖον δή τι νομίσας τὸ εὕρημα καὶ διδασκόμενος 6
παρὰ τῆς οἰὸς ἐλεεῖν τε τὸ παιδίον καὶ φιλεῖν ἀναιρεῖται μὲν τὸ βρέφος ἐπ' ἀγκῶνος, ἀποτίθεται δὲ τὰ γνωρίσματα κατὰ τῆς πήρας, εὔχεται δὲ ταῖς Νύμφαις ἐπὶ χρηστῇ τύχῃ θρέψαι τὴν ἱκέτιν αὐτῶν. Καὶ 2
ἐπεὶ καιρὸς ἦν ἀπελαύνειν τὴν ποίμνην, ἐλθὼν εἰς τὴν ἔπαυλιν τῇ γυναικὶ διηγεῖται τὰ ὀφθέντα, δείκνυσι τὰ εὑρεθέντα, παρακελεύεται θυγάτριον νομίζειν καὶ λανθάνουσαν ὡς ἴδιον τρέφειν. Ἡ μὲν 3
δὴ Νάπη (τοῦτο γὰρ ἐκαλεῖτο) μήτηρ εὐθὺς ἦν καὶ ἐφίλει τὸ παιδίον, ὥσπερ ὑπὸ τῆς οἰὸς παρευδοκιμηθῆναι δεδοικυῖα, καὶ τίθεται καὶ αὐτὴ ποιμενικὸν ὄνομα πρὸς πίστιν αὐτῷ, Χλόην.

Ταῦτα τὰ παιδία ταχὺ μάλα ηὔξησε, καὶ κάλλος 7
αὐτοῖς ἐνεφαίνετο κρεῖττον ἀγροικίας. Ἤδη τε ἦν ὁ μὲν πέντε καὶ δέκα ἐτῶν ἀπὸ γενεᾶς, ἡ δὲ τοσούτων, δυοῖν ἀποδεόντων, καὶ ὁ Δρύας καὶ ὁ Λάμων ἐπὶ μιᾶς νυκτὸς ὁρῶσιν ὄναρ τοιόνδε τι. Τὰς Νύμφας 2
ἐδόκουν ἐκείνας, τὰς ἐν τῷ ἄντρῳ, ἐν ᾧ ἡ πηγή, ἐν ᾧ τὸ παιδίον εὗρεν ὁ Δρύας, τὸν Δάφνιν καὶ τὴν Χλόην παραδιδόναι παιδίῳ μάλα σοβαρῷ καὶ καλῷ, πτερὰ ἐκ τῶν ὤμων ἔχοντι, βέλη σμικρὰ ἅμα τοξαρίῳ

7 post τούτῳ: σπάργανα

φέροντι· τὸ δὲ ἐφαψάμενον ἀμφοτέρων ἑνὶ βέλει κελεῦσαι λοιπὸν ποιμαίνειν τὸν μὲν τὸ αἰπόλιον, τὴν δὲ τὸ ποίμνιον.

8 Τοῦτο τὸ ὄναρ ἰδόντες ἤχθοντο μὲν εἰ ποιμένες ἔσονται οἱ τύχην ἐκ σπαργάνων ἐπαγγελλόμενοι κρείττονα (διὸ αὐτοὺς καὶ τροφαῖς ἔτρεφον ἀβροτέραις καὶ γράμματα ἐπαίδευον καὶ πάντα ὅσα καλὰ ἦν ἐπ᾽ ἀγροικίας), ἐδόκει δὲ πείθεσθαι θεοῖς περὶ τῶν 2 σωθέντων προνοίᾳ θεῶν. Καὶ κοινώσαντες ἀλλήλοις τὸ ὄναρ καὶ θύσαντες τῷ τὰ πτερὰ ἔχοντι παιδίῳ παρὰ ταῖς Νύμφαις (τὸ γὰρ ὄνομα λέγειν οὐκ εἶχον) ὡς ποιμένας ἐκπέμπουσιν αὐτοὺς ἅμα ταῖς ἀγέλαις, ἐκδιδάξαντες ἕκαστα· πῶς δεῖ νέμειν πρὸ μεσημβρίας, 3 πῶς κοπάσαντος τοῦ καύματος· πότε ἐξάγειν ἐπὶ πότον, πότε ἀπάγειν ἐπὶ κοῖτον· ἐπὶ τίσι καλαύροπι χρηστέον, ἐπὶ τίσι φωνῇ μόνῃ. Οἱ δὲ μάλα χαίροντες ὡς ἀρχὴν μεγάλην παρελάμβανον καὶ ἐφίλουν τὰς αἶγας καὶ τὰ πρόβατα μᾶλλον ἢ ποιμέσιν ἔθος, ἡ μὲν ἐς ποίμνιον ἀνάγουσα τῆς σωτηρίας τὴν αἰτίαν, ὁ δὲ μεμνημένος ὡς ἐκκείμενον αὐτὸν αἴξ ἀνέθρεψεν.

9 Ἥρος ἦν ἀρχὴ καὶ πάντα ἤκμαζεν ἄνθη, τὰ ἐν δρυμοῖς, τὰ ἐν λειμῶσι καὶ ὅσα ὄρεια· βόμβος ἦν ἤδη μελιττῶν, ἦχος ὀρνίθων μουσικῶν, σκιρτήματα ποιμνίων ἀρτιγεννήτων· ἄρνες ἐσκίρτων ἐν τοῖς ὄρεσιν, ἐβόμβουν ἐν τοῖς λειμῶσι μέλιτται, ἐν ταῖς 2 λόχμαις κατῇδον ὄρνιθες. Τοσαύτης δὴ πάντα κατεχούσης εὐωρίας οἱ ἁπαλοὶ καὶ νέοι μιμηταὶ τῶν ἀκουομένων ἐγίνοντο καὶ βλεπομένων· ἀκούοντες μὲν τῶν ὀρνίθων ᾀδόντων ᾖδον, βλέποντες δὲ σκιρτῶντας

14 ante κοπάσαντος: ποιμαίνειν

τοὺς ἄρνας ἤλλοντο κοῦφα, τὰς μελίττας δὲ μιμούμενοι ἄνθη συνέλεγον· καὶ τὰ μὲν εἰς τοὺς κόλπους ἔβαλλον, τὰ δὲ στεφανίσκους πλέκοντες ταῖς Νύμφαις ἐπέφερον.

Ἔπραττον δὲ κοινῇ πάντα, πλησίον ἀλλήλων νέμοντες. Καὶ πολλάκις μὲν ὁ Λάφνις τῶν προβάτων τὰ ἀποπλανώμενα συνέστελλε, πολλάκις δὲ ἡ Χλόη τὰς θρασυτέρας τῶν αἰγῶν ἀπὸ τῶν κρημνῶν κατήλαυνεν, ἤδη δέ τις καὶ τὰς ἀγέλας ἀμφοτέρας ἐφρούρησε θατέρου προσλιπαρήσαντος ἀθύρματι. Ἄθύρματα δὲ ἦν αὐτοῖς ποιμενικὰ καὶ παιδικά. Ἡ μὲν ἀνθερίκους ἀνελομένη ποθὲν ἐξ ἕλους ἀκριδοθήραν ἔπλεκε καὶ περὶ τοῦτο πονουμένη τῶν ποιμνίων ἠμέλησεν· ὁ δὲ καλάμους ἐκτεμὼν λεπτοὺς καὶ τρήσας τὰς τῶν γονάτων διαφυὰς ἐπαλλήλους τε κηρῷ μαλθακῷ συναρτήσας μέχρι νυκτὸς συρίττειν ἐμελέτα· ποτὲ δὲ ἐκοινώνουν γάλακτος καὶ οἴνου, καὶ τροφάς, ἃς οἴκοθεν ἔφερον, εἰς κοινὸν ἔφερον. Θᾶττον ἄν τις εἶδε τὰ ποίμνια καὶ τὰς αἶγας ἀπ' ἀλλήλων μεμερισμένας ἢ Χλόην καὶ Λάφνιν.

Τοιαῦτα δὲ αὐτῶν παιζόντων τοιάνδε σπουδὴν Ἔρως ἀνέπλασε. Λύκαινα τρέφουσα σκύμνους νέους ἐκ τῶν πλησίον ἀγρῶν ἐξ ἄλλων ποιμνίων πολλάκις ἥρπαζε, πολλῆς τροφῆς ἐς ἀνατροφὴν τῶν σκύμνων δεομένη. Συνελθόντες οὖν οἱ κωμῆται νύκτωρ σιροὺς ὀρύττουσι τὸ εὖρος ὀργυιᾶς, τὸ βάθος τεττάρων. Τὸ μὲν δὴ χῶμα τὸ πολὺ σπείρουσι κομίσαντες μακράν, ξύλα δὲ ξηρὰ μακρὰ τείναντες ὑπὲρ τοῦ χάσματος τὸ περιττὸν τοῦ χώματος κατέπασαν τῆς πρότερον γῆς εἰκόνα, ὥστε κἂν λαγὼς ἐπιδράμῃ, κατακλᾷ τὰ ξύλα κάρφων ἀσθενέστερα ὄντα, καὶ τότε παρέχει μαθεῖν ὅτι γῆ οὐκ ἦν, ἀλλὰ ἐμεμίμητο γῆν.

Τοιαῦτα πολλὰ ὀρύγματα κἀν τοῖς ὄρεσι κἀν τοῖς πεδίοις ὀρύξαντες τὴν μὲν λύκαιναν οὐκ εὐτύχησαν λαβεῖν· αἰσθάνεται γὰρ γῆς σεσοφισμένης· πολλὰς δὲ αἶγας καὶ ποίμνια διέφθειραν, καὶ Δάφνιν παρ' ὀλίγον ὤδε.

12 Τράγοι παροξυνθέντες ἐς μάχην συνέπεσον. Τῷ οὖν ἑτέρῳ τὸ ἕτερον κέρας βιαιοτέρας γενομένης συμβολῆς θραύεται, καὶ ἀλγήσας φριμαξάμενος ἐς φυγὴν ἐτράπετο· ὁ δὲ νικῶν κατ' ἴχνος ἑπόμενος ἄπαυστον ἐποίει τὴν φυγήν. Ἤλγει Δάφνις περὶ τῷ κέρατι καὶ τῇ θρασύτητι ἀχθεσθεὶς τὴν καλαύροπα
2 λαβὼν ἐδίωκε τὸν διώκοντα. Οἷα δὲ τοῦ μὲν ὑπεκφεύγοντος, τοῦ δὲ ὀργῇ διώκοντος οὐκ ἀκριβὴς ἦν τῶν ἐν ποσὶν ἡ πρόσοψις, ἀλλὰ κατὰ [τοῦ] χάσματος ἄμφω πίπτουσιν, ὁ τράγος πρότερος, ὁ Δάφνις δεύτερος. Τοῦτο καὶ ἔσωσε Δάφνιν, χρήσασθαι τῆς κα-
3 ταφορᾶς ὀχήματι τῷ τράγῳ. Ὁ μὲν δὴ τὸν ἀνιμησόμενον, εἴ τις ἄρα γένοιτο, δακρύων ἀνέμενεν· ἡ δὲ Χλόη θεασαμένη τὸ συμβὰν δρόμῳ παραγίνεται πρὸς τὸν σιρόν, καὶ μαθοῦσα ὅτι ξῇ, καλεῖ τινὰ βουκόλον
4 ἐκ τῶν ἀγρῶν τῶν πλησίον πρὸς ἐπικουρίαν. Ὁ δὲ ἐλθὼν σχοῖνον ἐζήτει μακράν, ἧς ἐχόμενος ἀνιμώμενος ἐκβήσεται. Καὶ σχοῖνος μὲν οὐκ ἦν, ἡ δὲ Χλόη λυσαμένη ταινίαν δίδωσι καθεῖναι τῷ βουκόλῳ· καὶ οὕτως οἱ μὲν ἐπὶ τοῦ χείλους ἑστῶτες εἵλκον, ὁ δὲ
5 ἀνέβη ταῖς τῆς ταινίας ὁλκαῖς ταῖς χερσὶν ἀκολουθῶν. Ἀνιμήσαντο δὲ καὶ τὸν ἆθλιον τράγον συντεθραυσμένον ἄμφω τὰ κέρατα· τοσοῦτον ἄρα ἡ δίκη μετῆλθε τοῦ νικηθέντος τράγου. Τοῦτον μὲν δὴ τυθησόμενον χαρίζονται σῶστρα τῷ βουκόλῳ, καὶ ἔμελλον ψεύδεσθαι πρὸς τοὺς οἴκοι λύκων ἐπιδρομήν, εἴ τις

10 post ἀχθεσθείς: ξύλῳ vel ξύλον καί

αὐτὸν ἐπόθησεν· αὐτοὶ δὲ ἐπανελθόντες ἐπεσκόπουν τὴν ποίμνην καὶ τὸ αἰπόλιον· καὶ ἐπεὶ κατέμαθον ἐν κόσμῳ νομῆς καὶ τὰς αἶγας καὶ τὰ πρόβατα, καθίσαντες ὑπὸ στελέχει δρυὸς ἐσκόπουν μή τι μέρος τοῦ σώματος ὁ Δάφνις ἤμαξε καταπεσών. Ἐτέτρωτο μὲν 6 οὖν οὐδὲν οὐδὲ ἤμακτο οὐδέν, χώματος δὲ καὶ πηλοῦ ἐπέπαστο καὶ τὰς κόμας καὶ τὸ ἄλλο σῶμα. Ἐδόκει δὴ λούσασθαι, πρὶν αἴσθησιν γενέσθαι τοῦ συμβάντος Λάμωνι καὶ Μυρτάλῃ.

Καὶ ἐλθὼν ἅμα τῇ Χλόῃ πρὸς τὸ νυμφαῖον τῇ 13 μὲν ἔδωκε καὶ τὸν χιτωνίσκον καὶ τὴν πήραν φυλάττειν, αὐτὸς δὲ τῇ πηγῇ παραστὰς τήν τε κόμην καὶ τὸ σῶμα πᾶν ἀπελούετο. Ἦν δὲ ἡ μὲν κόμη μέλαινα 2 καὶ πολλή, τὸ δὲ σῶμα ἐπίκαυτον ἡλίῳ· εἴκασεν ἄν τις αὐτὸ χρώζεσθαι τῇ σκιᾷ τῆς κόμης. Ἐδόκει δὲ τῇ Χλόῃ θεωμένῃ καλὸς ὁ Δάφνις, [καὶ] ὅτι [τότε] πρῶτον αὐτῇ καλὸς ἐδόκει, τὸ λουτρὸν ἐνόμιζε τοῦ κάλλους αἴτιον. Τὰ νῶτα δὲ ἀπολουούσης ἡ σὰρξ ὑπέπιπτε μαλθακή, ὥστε λαθοῦσα ἑαυτῆς ἥψατο πολλάκις, εἰ τρυφερωτέρα εἴη πειρωμένη. Καὶ (τότε 3 γὰρ ἐπὶ δυσμαῖς ἦν ὁ ἥλιος) ἀπήλασαν τὰς ἀγέλας οἴκαδε, καὶ ἐπεπόνθει Χλόη περιττὸν οὐδέν, ὅτι μὴ Δάφνιν ἐπεθύμει λουόμενον ἰδέσθαι πάλιν. Τῆς δὲ 4 ἐπιούσης ὡς ἦκον εἰς τὴν νομήν, ὁ μὲν Δάφνις ὑπὸ τῇ δρυῒ τῇ συνήθει καθεζόμενος ἐσύριττε καὶ ἅμα τὰς αἶγας ἐπεσκόπει κατακειμένας καὶ ὥσπερ τῶν μελῶν ἀκροωμένας, ἡ δὲ Χλόη πλησίον καθημένη τὴν ἀγέλην μὲν τῶν προβάτων ἐπέβλεπε, τὸ δὲ πλέον εἰς Δάφνιν ἑώρα· καὶ ἐδόκει καλὸς αὐτῇ συρίττων πάλιν, καὶ αὖθις αἰτίαν ἐνόμιζε τὴν μουσικὴν τοῦ κάλλους, ὥστε μετ' ἐκεῖνον καὶ αὐτὴ τὴν σύριγγα ἔλαβεν, εἴ πως γένοιτο καὶ αὐτὴ καλή. Ἔπεισε δὲ 5

αὐτὸν καὶ λούσασθαι πάλιν καὶ λουόμενον εἶδε καὶ ἰδοῦσα ἥψατο καὶ ἀπῆλθε πάλιν ἐπαινέσασα, καὶ ὁ ἔπαινος ἦν ἔρωτος ἀρχή. Ὅ τι μὲν οὖν ἔπασχεν οὐκ ἤδει νέα κόρη καὶ ἐν ἀγροικίᾳ τεθραμμένη καὶ οὐδὲ ἄλλου λέγοντος ἀκούσασα τὸ τοῦ ἔρωτος ὄνομα· ἄσηι δὲ αὐτῆς εἶχε τὴν ψυχήν, καὶ τῶν ὀφθαλμῶν οὐκ ἐκράτει καὶ πολλὰ ἐλάλει Δάφνιν· τροφῆς ἠμέλει, νύκτωρ ἠγρύπνει, τῆς ἀγέλης κατεφρόνει· νῦν ἐγέλα, νῦν ἔκλαεν· εἶτα ἐκάθευδεν, εἶτα ἀνεπήδα· ὠχρία τὸ πρόσωπον, ἐρυθήματι αὖθις ἐφλέγετο. Οὐδὲ βοὸς οἴστρῳ πληγείσης τοιαῦτα ἔργα. Ἐπῆλθόν ποτε αὐτῇ καὶ τοιοίδε λόγοι μόνῃ γενομένῃ.

"Νῦν ἐγὼ νοσῶ μέν, τί δὲ ἡ νόσος ἀγνοῶ· ἀλγῶ, καὶ ἕλκος οὐκ ἔστι μοι· λυποῦμαι, καὶ οὐδὲν τῶν προβάτων ἀπόλωλέ μοι· κάομαι, καὶ ἐν σκιᾷ τοσαύτῃ κάθημαι. Πόσοι βάτοι με ἤμυξαν, καὶ οὐκ ἔκλαυσα· πόσαι μέλιτται κέντρον ἐνῆκαν, ἀλλὰ ἔφαγον· τουτὶ δὲ τὸ νύττον μου τὴν καρδίαν πάντων ἐκείνων πικρότερον. Καλὸς ὁ Δάφνις, καὶ γὰρ τὰ ἄνθη· καλὸν ἡ σύριγξ αὐτοῦ φθέγγεται, καὶ γὰρ αἱ ἀηδόνες. Ἀλλ' ἐκείνων οὐδείς μοι λόγος. Εἴθε αὐτοῦ σύριγξ ἐγενόμην, ἵν' ἐμπνέῃ μοι· εἴθε αἴξ, ἵν' ὑπ' ἐκείνου νέμωμαι. Ὦ πονηρὸν ὕδωρ, μόνον Δάφνιν καλὸν ἐποίησας, ἐγὼ δὲ μάτην ἀπελουσάμην. Οἴχομαι, Νύμφαι φίλαι· οὐδὲ ὑμεῖς σώζετε τὴν παρθένον τὴν ἐν ὑμῖν τραφεῖσαν; Τίς ὑμᾶς στεφανώσει μετ' ἐμέ; τίς τοὺς ἀθλίους ἄρνας ἀναθρέψει; τίς τὴν λάλον ἀκρίδα θεραπεύσει, ἣν πολλὰ καμοῦσα ἐθήρασα, ἵνα με κατακοιμίζῃ φθεγγομένη πρὸ τοῦ

---

16 post με: πολλάκις

ἄντρου; νῦν δὲ ἐγὼ μὲν ἀγρυπνῶ διὰ Δάφνιν, ἡ δὲ μάτην λαλεῖ."

Τοιαῦτα ἔπασχε, τοιαῦτα ἔλεγεν, ἐπιζητοῦσα τὸ 15
ἔρωτος ὄνομα. Δόρκων δὲ ὁ βουκόλος, ὁ τὸν Δάφνιν
ἐκ τοῦ σιροῦ ἀνιμησάμενος, ἀρτιγένειος μειρακίσκος
καὶ εἰδὼς ἔρωτος καὶ τὰ ἔργα καὶ τοὔνομα, εὐθὺς
μὲν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐρωτικῶς τῆς Χλόης διε-
τέθη, πλειόνων δὲ διαγενομένων μᾶλλον τὴν ψυχὴν
ἐξεπυρσεύθη καὶ τοῦ Δάφνιδος ὡς παιδὸς κατα-
φρονήσας ἔγνω κατεργάσασθαι δώροις ἢ βίᾳ. Τὰ 2
μὲν δὴ πρῶτα δῶρα αὐτοῖς ἐκόμισε τῷ μὲν σύριγγα
βουκολικὴν καλάμων ἐννέα χαλκῷ δεδεμένων ἀντὶ
κηροῦ, τῇ δὲ νεβρίδα βακχικήν· καὶ αὐτῇ τὸ χρῶμα
ἦν ὥσπερ γεγραμμένον χρώμασιν. Ἐντεῦθεν δὲ φί- 3
λος νομιζόμενος τοῦ μὲν Δάφνιδος ἠμέλει κατ' ὀλί-
γον, τῇ Χλόῃ δὲ ἀνὰ πᾶσαν ἡμέραν ἐπέφερεν ἢ τυ-
ρὸν ἁπαλὸν ἢ στέφανον ἀνθηρὸν ἢ μῆλον ὡραῖον·
ἐκόμισε δέ ποτε αὐτῇ καὶ μόσχον ἀρτιγέννητον καὶ
κισσύβιον διάχρυσον καὶ ὀρνίθων ὀρείων νεοττούς.
Ἡ δὲ ἄπειρος οὖσα τέχνης ἐραστοῦ, λαμβάνουσα τὰ
δῶρα ἔχαιρεν, ὅτι Δάφνιδι εἶχεν αὐτὰ χαρίζεσθαι.

Καὶ (ἔδει γὰρ ἤδη καὶ Δάφνιν γνῶναι τὰ ἔρω- 4
τος ἔργα) γίνεταί ποτε τῷ Δόρκωνι πρὸς αὐτὸν ὑπὲρ
κάλλους ἔρις, καὶ ἐδίκαζε μὲν Χλόη, ἔκειτο δὲ
ἆθλον τῷ νικήσαντι φιλῆσαι Χλόην. Δόρκων δὲ
πρότερος ὧδε ἔλεγεν.

"Ἐγώ, παρθένε, μείζων εἰμὶ Δάφνιδος, κἀγὼ 16
μὲν βουκόλος, ὁ δ' αἰπόλος· τοσοῦτον * * κρειττων
ὅσον αἰγῶν βόες· καὶ λευκός εἰμι ὡς γάλα, καὶ πυρ-
ρὸς ὡς θέρος μέλλον ἁμᾶσθαι, καὶ ἔθρεψε μήτηρ,

---

5 post σιροῦ: καὶ τὸν τράγον

2 οὐ θηρίον. Οὗτος δέ ἐστι σμικρὸς καὶ ἀγένειος ὡς γυνή, καὶ μέλας ὡς λύκος· νέμει δὲ τράγους, ὀδωδὼς ἀπ' αὐτῶν δεινόν, καὶ ἔστι πένης ὡς μηδὲ κύνα τρέφειν. Εἰ δ', ὡς λέγουσι, καὶ αἶξ αὐτῷ γάλα δέδωκεν, οὐδὲν ἐρίφου διαφέρει."

3 Ταῦτα καὶ τοιαῦτα ὁ Δόρκων· καὶ μετὰ ταῦτα ὁ Δάφνις

"Ἐμὲ αἶξ ἀνέθρεψεν ὥσπερ τὸν Δία· νέμω δὲ τράγους τῶν τούτου βοῶν μείζονας· ὄζω δὲ οὐδὲν ἀπ' αὐτῶν, ὅτι μηδὲ ὁ Πάν, καίτοιγε ὢν τὸ πλέον
4 τράγος. Ἀρκεῖ δέ μοι τυρὸς καὶ ἄρτος ὀβελίας καὶ οἶνος λευκός, ὅσα ἀγροίκων πλουσίων κτήματα. Ἀγένειός εἰμι, καὶ γὰρ ὁ Διόνυσος· μέλας, καὶ γὰρ ὁ ὑάκινθος· ἀλλὰ κρείττων καὶ ὁ Διόνυσος Σατύρων
5 [καὶ] ὁ ὑάκινθος κρίνων. Οὗτος δὲ καὶ πυρρὸς ὡς ἀλώπηξ καὶ προγένειος ὡς τράγος καὶ λευκὸς ὡς ἐξ ἄστεος γυνή· κἂν δέῃ σε φιλεῖν, ἐμοῦ μὲν φιλήσεις τὸ στόμα, τούτου δὲ τὰς ἐπὶ τοῦ γενείου τρίχας. Μέμνησο δέ, ὦ παρθένε, ὅτι [καὶ] σὲ ποίμνιον ἔθρεψεν, ἀλλὰ καὶ [ὡς] εἶ καλή."

17 Οὐκέθ' ἡ Χλόη περιέμεινεν, ἀλλὰ τὰ μὲν ἡσθεῖσα τῷ ἐγκωμίῳ, τὰ δὲ πάλαι ποθοῦσα φιλῆσαι Δάφνιν, ἀναπηδήσασα αὐτὸν ἐφίλησεν, ἀδίδακτον μὲν καὶ ἄτεχνον, πάνυ δὲ ψυχὴν θερμᾶναι δυνάμε-
2 νον. Δόρκων μὲν οὖν ἀλγήσας ἀπέδραμε ζητῶν ἄλλην ὁδὸν ἔρωτος· Δάφνις δέ, ὥσπερ οὐ φιληθείς, ἀλλὰ δηχθείς, σκυθρωπός τις εὐθὺς ἦν καὶ πολλάκις ἐψύχετο καὶ τὴν καρδίαν παλλομένην εἶχε, καὶ βλέπειν μὲν ἤθελε τὴν Χλόην, βλέπων δ' ἐρυθήμα-
3 τος ἐνεπίμπλατο. Τότε πρῶτον καὶ τὴν κόμην αὐτῆς ἐθαύμασεν ὅτι ξανθή, καὶ τοὺς ὀφθαλμοὺς ὅτι μεγάλοι καθάπερ βοός, καὶ τὸ πρόσωπον ὅτι λευ-

κότερον ἀληθῶς καὶ τοῦ τῶν αἰγῶν γάλακτος, ὥσπερ τότε πρῶτον ὀφθαλμοὺς κτησάμενος, τὸν δὲ πρότερον χρόνον πεπηρωμένος. Οὔτε οὖν τροφὴν προσε- 4
φέρετο πλὴν ὅσον ἀπογεύσασθαι· καὶ πότον, εἴ ποτε ἐβιάσθη, μέχρι τοῦ διαβρέξαι τὸ στόμα προσεφέρετο. Σιωπηλὸς ἦν ὁ πρότερον τῶν ἀκρίδων λαλίστερος, ἀργὸς ὁ περιττότερα τῶν αἰγῶν κινούμενος. Ἠμέλητο ἡ ἀγέλη· ἔρριπτο ἡ σύριγξ· χλωρότερον τὸ πρόσωπον ἦν πόας θερινῆς. Πρὸς μόνην Χλόην ἐγίνετο λάλος· καὶ εἴ ποτε ἀπ' αὐτῆς ἐγένετο, τοιαῦτα πρὸς αὐτὸν ἀπελήρει

"Τί ποτέ με Χλόης ἐργάζεται φίλημα; Χείλη μὲν 18
ῥόδων ἁπαλώτερα καὶ στόμα κηρίων γλυκύτερον· τὸ δὲ φίλημα κέντρου μελίττης πικρότερον. Πολλάκις ἐφίλησα ἐρίφους, πολλάκις ἐφίλησα σκύλακας ἀρτιγεννήτους καὶ τὸν μόσχον, ὃν ὁ Δόρκων ἐδωρήσατο· ἀλλὰ τοῦτο φίλημα καινόν· ἐκπηδᾷ μου τὸ πνεῦμα, ἐξάλλεται ἡ καρδία, τήκεται ἡ ψυχή, καὶ ὅμως πάλιν φιλῆσαι θέλω. Ὦ νίκης κακῆς· ὦ νόσου καινῆς, ἧς 2
οὐδὲ εἰπεῖν οἶδα τοὔνομα. Ἆρα φαρμάκων ἐγεύσατο ἡ Χλόη μέλλουσά με φιλεῖν; Πῶς οὖν οὐκ ἀπέθανεν; Οἷον ἅδουσιν αἱ ἀηδόνες, ἡ δὲ ἐμὴ σύριγξ σιωπᾷ· οἷον σκιρτῶσιν οἱ ἔριφοι, κἀγὼ κάθημαι· οἷον ἀκμάζει τὰ ἄνθη, κἀγὼ στεφάνους οὐ πλέκω, ἀλλὰ τὰ μὲν ἴα καὶ ὁ ὑάκινθος ἀνθεῖ, Δάφνις δὲ μαραίνεται. Ἆρά 3
μου καὶ Δόρκων εὐμορφότερος ὀφθήσεται;"

Τοιαῦτα ὁ βέλτιστος Δάφνις ἔπασχε καὶ ἔλεγεν, οἷα πρῶτον γευόμενος τῶν ἔρωτος ἔργων καὶ λόγων.

Ὁ δὲ Δόρκων ὁ βουκόλος ὁ τῆς Χλόης ἐραστὴς 19
φυλάξας τὸν Δρύαντα φυτὸν κατορύττοντα κλήματος

10 post ποτε: μόνος
30 post κατορύττοντα: πλησίον

πρόσεισιν αὐτῷ μετὰ τυρίσκων τινῶν γεννικῶν, καὶ τοὺς μὲν δῶρον εἶναι δίδωσι, πάλαι φίλος ὤν, ἡνίκα αὐτὸς ἔνεμεν· ἐντεῦθεν δὲ ἀρξάμενος ἐνέβαλε λόγον
2 περὶ τοῦ τῆς Χλόης γάμου· καὶ εἰ λαμβάνοι γυναῖκα, δῶρα πολλὰ καὶ μεγάλα, ὡς βουκόλος, ἐπηγγέλλετο· ζεῦγος βοῶν ἀροτήρων, σμήνη τέτταρα μελιττῶν, φυτὰ μηλεῶν πεντήκοντα, δέρμα ταύρου τεμεῖν ὑποδήματα, μόσχον ἀνὰ πᾶν ἔτος, μηκέτι γάλακτος δεόμενον· ὥστε σμικροῦ δεῖν ὁ Δρύας θελχθεὶς τοῖς δώροις ἐπένευσε τὸν γάμον. Ἐννοήσας δὲ ὡς κρείττονος ἡ παρθένος ἀξία νυμφίου, καὶ δείσας μήποτε κακοῖς ἀνηκέστοις περιπέσῃ, τόν τε γάμον ἀνένευσε καὶ συγγνώμην ἔχειν ἠτήσατο καὶ τὰ ὀνομασθέντα δῶρα παρῃτήσατο.

Δευτέρας δὴ διαμαρτὼν ὁ Δόρκων ἐλπίδος καὶ μάτην τυροὺς ἀγαθοὺς ἀπολέσας ἔγνω διὰ χειρῶν ἐπιθέσθαι τῇ Χλόῃ μόνῃ γενομένῃ· καὶ παραφυλάξας ὅτι παρ' ἡμέραν ἐπὶ πότον ἄγουσι τὰς ἀγέλας ποτὲ μὲν ὁ Δάφνις ποτὲ δὲ ἡ παῖς, ἐπιτεχνᾶται τέχνην ποιμένι πρέπουσαν.

2 *Λύκου* μεγάλου δέρμα λαβών, ὃν ταῦρός ποτε πρὸ τῶν βοῶν μαχόμενος τοῖς κέρασι διέφθειρε, περιέτεινε τῷ σώματι, ποδῆρες κατανωτισάμενος, ὡς τούς τ' ἐμπροσθίους πόδας ἐφηπλῶσθαι ταῖς χερσὶ καὶ τοὺς κατόπιν τοῖς σκέλεσιν ἄχρι πτέρνης καὶ τοῦ στόματος τὸ χάσμα σκέπειν τὴν κεφαλήν, ὥσπερ ἀν-
3 δρὸς ὁπλίτου κράνος· ἐκθηριώσας δὲ αὐτὸν ὡς ἔνι μάλιστα, παραγίνεται πρὸς τὴν πηγήν, ἧς ἔπινον αἱ αἶγες καὶ τὰ πρόβατα μετὰ τὴν νομήν. Ἐν κοίλῃ δὲ πάνυ γῇ ἦν ἡ πηγή, καὶ περὶ αὐτὴν πᾶς ὁ τόπος ἀ-

---

11 post δείσας: καὶ φοραθείς

κάνθαις καὶ βάτοις καὶ ἀρκεύθῳ ταπεινῇ καὶ σκολύμοις ἠγρίωτο· ῥᾳδίως ἂν ἐκεῖ καὶ λύκος ἀληθινὸς 4
ἔλαθε λοχῶν. Ἐνταῦθα κρύψας ἑαυτὸν ἐπετήρει τοῦ πότου τὴν ὥραν ὁ Δόρκων, καὶ πολλὴν εἶχεν ἐλπίδα
τῷ σχήματι φοβήσας λαβεῖν ταῖς χερσὶ τὴν Χλόην.

Χρόνος ὀλίγος διαγίνεται καὶ Χλόη κατήλαυνε 21
τὰς ἀγέλας εἰς τὴν πηγήν, καταλιποῦσα τὸν Δάφνιν φυλλάδα χλωρὰν κόπτοντα τοῖς ἐρίφοις τροφὴν μετὰ τὴν νομήν. Καὶ οἱ κύνες οἱ τῶν προβάτων ἐπὶ φυ- 2
λακῇ καὶ τῶν αἰγῶν ἑπόμενοι, οἷα δὴ κυνῶν ἐν ῥινηλασίαις περιεργία, κινούμενον τὸν Δόρκωνα πρὸς τὴν ἐπίθεσιν τῆς κόρης φωράσαντες, πικρὸν μάλα ὑλακτήσαντες ὥρμησαν ὡς ἐπὶ λύκον· καὶ περισχόντες, πρὶν ὅλως ἀναστῆναι δι' ἔκπληξιν, ἔδακνον κατὰ τοῦ
δέρματος. Τέως μὲν οὖν τὸν ἔλεγχον αἰδούμενος καὶ 3
ὑπὸ τοῦ δέρματος [[τοῦ]] ἐπισκέποντος φρουρούμενος ἔκειτο σιωπῶν ἐν τῇ λόχμῃ· ἐπεὶ δὲ ἥ τε Χλόη πρὸς τὴν πρώτην θέαν διαταραχθεῖσα τὸν Δάφνιν ἐκάλει βοηθόν, οἵ τε κύνες περισπῶντες τὸ δέρμα τοῦ σώματος ἥπτοντο αὐτοῦ, μέγα οἰμώξας ἱκέτευε βοηθεῖν τὴν κόρην καὶ τὸν Δάφνιν ἤδη παρόντα. Τοὺς μὲν δὴ 4
κύνας ἀνακλήσει συνήθει ταχέως ἠμέρωσαν, τὸν δὲ Δόρκωνα κατά τε μηρῶν καὶ ὤμων δεδηγμένον ἀγαγόντες ἐπὶ τὴν πηγὴν ἀπένιψαν τὰ δήγματα καὶ διαμασησάμενοι φλοιὸν χλωρὸν πτελέας ἐπέπασαν· ὑπό 5
τε ἀπειρίας ἐρωτικῶν τολμημάτων ποιμενικὴν παιδιὰν νομίζοντες τὴν ἐπιβολὴν τοῦ δέρματος, οὐδὲν ὀργισθέντες, ἀλλὰ καὶ παραμυθησάμενοι καὶ μέχρι τινὸς χειραγωγήσαντες ἀπέπεμψαν.

Καὶ ὁ μὲν κινδύνου παρὰ τοσοῦτον ἐλθὼν καὶ σω- 22

---

24 post δήγματα: ἵν' ἦσαν τῶν ὀδόντων αἱ ἐμβολαί

θεὶς ἐκ κυνός, οὐ λύκου στόματος, ἐθεράπευε τὸ σῶμα· ὁ δὲ Δάφνις καὶ ἡ Χλόη κάματον πολὺν ἔσχον μέχρι νυκτὸς τὰς αἶγας καὶ τὰς οἷς συλλέγοντες·
2 ὑπὸ γὰρ τοῦ δέρματος πτοηθεῖσαι καὶ ὑπὸ τῶν κυνῶν ὑλακτησάντων ταραχθεῖσαι αἱ μὲν εἰς πέτρας ἀνέδραμον, αἱ δὲ μέχρι τῆς θαλάττης αὐτῆς κατέδραμον. Καίτοιγε ἐπεπαίδευντο καὶ φωνῇ πείθεσθαι καὶ σύριγγι θέλγεσθαι καὶ χειρὸς πλαταγῇ συλλέγεσθαι·
3 ἀλλὰ τότε πάντων αὐταῖς ὁ φόβος λήθην ἐνέβαλε. Καὶ μόλις ὥσπερ λαγὼς ἐκ τῶν ἰχνῶν εὑρίσκοντες εἰς τὰς ἐπαύλεις ἤγαγον. Ἐκείνης μόνης τῆς νυκτὸς ἐκοιμήθησαν βαθὺν ὕπνον καὶ τῆς ἐρωτικῆς λύπης φάρμα-
4 κον τὸν κάματον ἔσχον. Λύθις δὲ ἡμέρας ἐπελθούσης, πάλιν ἔπασχον παραπλήσια. Ἔχαιρον ἰδόντες, ἀπαλλαγέντες ἤλγουν· ἤθελόν τι, ἠγνόουν ὅ τι θέλουσι. Τοῦτο μόνον ἤδεσαν ὅτι τὸν μὲν φίλημα, τὴν δὲ λουτρὸν ἀπώλεσεν.

23 Ἐξέκαε δ' αὐτοὺς καὶ ἡ ὥρα τοῦ ἔτους. Ἦρος ἦν ἤδη τέλος καὶ θέρους ἀρχή, καὶ πάντα ἐν ἀκμῇ· δένδρα ἐν καρποῖς, πεδία ἐν ληίοις. Ἡδεῖα μὲν τεττίγων ἠχή, γλυκεῖα δὲ ὀπώρας ὀδμή, τερπνὴ δὲ ποιμνίων
2 βληχή. Εἴκασεν ἄν τις καὶ τοὺς ποταμοὺς ᾄδειν ἠρέμα ῥέοντας καὶ τοὺς ἀνέμους συρίττειν ταῖς πίτυσιν ἐμπνέοντας καὶ τὰ μῆλα ἐρῶντα πίπτειν χαμαὶ καὶ τὸν ἥλιον φιλόκαλον ὄντα πάντας ἀποδύειν. Ὁ μὲν οὖν Δάφνις θαλπόμενος τούτοις ἅπασιν εἰς τοὺς ποταμοὺς ἐνέβαινε, καὶ ποτὲ μὲν ἐλούετο, ποτὲ δὲ τῶν ἰχθύων τοὺς ἐνδινεύοντας ἐθήρα· πολλάκις δὲ καὶ
3 ἔπινεν, ὡς τὸ ἔνδοθεν καῦμα σβέσων. Ἡ δὲ Χλόη μετὰ τὸ ἀμέλξαι τὰς οἷς καὶ τῶν αἰγῶν τὰς πολλὰς ἐπὶ

1 post κυνός: φασίν
14 post ἰδόντες: ἐλυποῦντο

πολὺν μὲν χρόνον [πράγματα] εἶχε πηγνῦσα τὸ γάλα· δειναὶ γὰρ αἱ μυῖαι λυπῆσαι καὶ δακεῖν, εἰ διώκοιντο· τὸ δὲ ἐντεῦθεν ἀπολουσαμένη τὸ πρόσωπον πίτυος ἐστεφανοῦτο κλάδοις καὶ τῇ νεβρίδι ἐζώννυτο καὶ τὸν γαυλὸν ἀναπλήσασα οἴνου καὶ γάλακτος κοινὸν μετὰ τοῦ Δάφνιδος πότον εἶχε.

Τῆς δὲ μεσημβρίας ἐπελθούσης ἐγίνετο ἤδη τῶν 24 ὀφθαλμῶν ἅλωσις αὐτοῖς· ἡ μὲν γὰρ γυμνὸν ὁρῶσα τὸν Δάφνιν ἐς ἄθρουν ἐνέπιπτε τὸ κάλλος, καὶ ἐτήκετο μηδὲν αὐτοῦ μέρος μέμψασθαι δυναμένη· ὁ δὲ ἰδὼν ἐν νεβρίδι καὶ στεφάνῳ πίτυος ὀρέγουσαν τὸν γαυλὸν μίαν ᾤετο τῶν ἐκ τοῦ ἄντρου Νυμφῶν ὁρᾶν. Ὁ μὲν οὖν τὴν πίτυν ἀπὸ τῆς κεφαλῆς ἁρπάζων αὐ- 2 τὸς ἐστεφανοῦτο, πρότερον φιλήσας τὸν στέφανον· ἡ δὲ τὴν ἐσθῆτα αὐτοῦ λουομένου καὶ γυμνωθέντος ἐνεδύετο, πρότερον καὶ αὐτὴ φιλήσασα. Ἤδη ποτὲ 3 καὶ μήλοις ἀλλήλους ἔβαλον καὶ τὰς κεφαλὰς ἀλλήλων ἐκόσμησαν διακρίνοντες τὰς κόμας· καὶ ἡ μὲν εἴκασεν αὐτοῦ τὴν κόμην, ὅτι μέλαινα, μύρτοις, ὁ δὲ μήλῳ τὸ πρόσωπον αὐτῆς, ὅτι λευκὸν καὶ ἐνερευθὲς ἦν. Ἐδίδασκεν αὐτὴν καὶ συρίττειν· καὶ ἀρξαμένης ἐμ- 4 πνεῖν ἁρπάξων τὴν σύριγγα τοῖς χείλεσιν αὐτὸς τοὺς καλάμους ἐπέτρεχε· καὶ ἐδόκει μὲν διδάσκειν ἁμαρτάνουσαν, εὐπρεπῶς δὲ διὰ τῆς σύριγγος Χλόην κατεφίλει.

Συρίττοντος δὲ αὐτοῦ τὸ μεσημβρινὸν καὶ τῶν 25 ποιμνίων σκιαζομένων ἔλαθεν ἡ Χλόη κατανυστάξασα. Φωράσας τοῦτο ὁ Δάφνις καὶ καταθέμενος τὴν σύριγγα πᾶσαν αὐτὴν ἔβλεπεν ἀπλήστως, οἷα μηδὲν αἰδούμενος, καὶ ἅμα ἠρέμα ὑπεφθέγγετο "οἷον καθεύδου-

26 post αὐτοῦ: κατά
30 post ἅμα: κρύφα

2 σιν ὀφθαλμοί, οἷον δὲ ἀποπνεῖ τὸ στόμα. Οὐδὲ τὰ μῆλα τοιοῦτον, οὐδὲ αἱ ὄγχναι. Ἀλλὰ φιλῆσαι μὲν δέδοικα· δάκνει τὸ φίλημα τὴν καρδίαν, καὶ ὥσπερ τὸ νέον μέλι μαίνεσθαι ποιεῖ· ὀκνῶ δὲ καὶ μὴ φιλήσας
3 αὐτὴν ἀφυπνίσω. Ὦ λάλων τεττίγων, οὐκ ἐάσουσιν αὐτὴν καθεύδειν μέγα ἠχοῦντες. Ἀλλὰ καὶ οἱ τράγοι τοῖς κέρασι παταγοῦσι μαχόμενοι. Ὦ λύκων ἀλωπέκων δειλοτέρων, οἳ τούτους οὐχ ἥρπασαν."

26 Ἐν τοιούτοις ὄντος αὐτοῦ λόγοις τέττιξ φεύγων χελιδόνα θηρᾶσαι θέλουσαν κατέπεσεν εἰς τὸν κόλπον τῆς Χλόης· καὶ ἡ χελιδὼν ἑπομένη τὸν μὲν οὐκ ἠδυνήθη λαβεῖν, ταῖς δὲ πτέρυξιν ἐγγὺς διὰ τὴν δίωξιν
2 γενομένη τῶν παρειῶν αὐτῆς ἥψατο. Ἡ δὲ οὐκ εἰδυῖα τὸ πραχθὲν μέγα βοήσασα τῶν ὕπνων ἐξέθορεν. Ἰδοῦσα δὲ καὶ τὴν χελιδόνα ἔτι πλησίον πετομένην καὶ τὸν Δάφνιν ἐπὶ τῷ δέει γελῶντα τοῦ φόβου μὲν ἐπαύσατο, τοὺς δὲ ὀφθαλμοὺς ἀπέματτεν ἔτι καθεύδειν
3 θέλοντας. Καὶ ὁ τέττιξ ἐκ τῶν κόλπων ἐπήχησεν ὅμοιον ἱκέτῃ χάριν ὁμολογοῦντι τῆς σωτηρίας. Πάλιν οὖν ἡ Χλόη μέγα ἐβόησεν, ὁ δὲ Δάφνις ἐγέλασε· καὶ προφάσεως λαβόμενος καθῆκεν αὐτῆς εἰς τὰ στέρνα τὰς χεῖρας καὶ ἐξάγει τὸν βέλτιστον τέττιγα, μηδὲ ἐν τῇ δεξιᾷ σιωπῶντα. Ἡ δὲ ἥδετο ἰδοῦσα καὶ ἐφίλησε λαβοῦσα καὶ αὖθις ἐνέβαλε τῷ κόλπῳ λαλοῦντα.

27 Ἔτερψεν αὐτοὺς τότε φάττα βουκολικὸν ἐκ τῆς ὕλης φθεγξαμένη. Καὶ τῆς Χλόης ζητούσης μαθεῖν ὅ τι λέγει, διδάσκει αὐτὴν ὁ Δάφνις μυθολογῶν τὰ θρυλούμενα.

2 „Ἦν οὕτω, παρθένε, παρθένος καλὴ καὶ ἔνεμε βοῦς πολλὰς ἐν ὕλῃ· ἦν δὲ ἄρα καὶ ᾠδικὴ καὶ ἑτέρ-

30 post πολλάς: οὕτως

ποντο αἱ βόες αὐτῆς τῇ μουσικῇ, καὶ ἔνεμεν οὔτε καλαύροπος πληγῇ οὔτε κέντρου προσβολῇ, ἀλλὰ καθίσασα ὑπὸ πίτυν καὶ στεφανωσαμένη πίτυϊ ᾖδε Πᾶνα καὶ τὴν Πίτυν, καὶ αἱ βόες τῇ φωνῇ παρέμενον. Παῖς 3 οὐ μακρὰν νέμων βοῦς, καὶ αὐτὸς καλὸς καὶ ᾠδικὸς ὡς ἡ παρθένος, φιλονεικήσας πρὸς τὴν μελῳδίαν, μείζονα ὡς ἀνήρ, ἡδίονα ὡς παῖς φωνὴν ἀντεπεδείξατο, καὶ τῶν βοῶν ὀκτὼ τὰς ἀρίστας ἐς τὴν ἰδίαν ἀγέλην θέλξας ἀπεβουκόλησεν. Ἄχθεται ἡ παρθένος τῇ 4 βλάβῃ τῆς ἀγέλης, τῇ ἥττῃ τῆς ᾠδῆς, καὶ εὔχεται τοῖς θεοῖς ὄρνις γενέσθαι πρὶν οἴκαδε ἀφικέσθαι. Πείθονται οἱ θεοὶ καὶ ποιοῦσι τήνδε τὴν ὄρνιν, ὄρειον ὡς παρθένον, μουσικὴν ὡς ἐκείνην. Καὶ ἔτι νῦν ᾄδουσα μηνύει τὴν συμφοράν, ὅτι βοῦς ζητεῖ πεπλανημένας."

Τοιάσδε τέρψεις αὐτοῖς τὸ θέρος παρεῖχε. Μετο- 28 πώρου δὲ ἀκμάζοντος καὶ τοῦ βότρυος ** Τύριοι λῃσταὶ Καρικὴν ἔχοντες ἡμιολίαν, ὡς ἂν μὴ δοκοῖεν βάρβαροι, προσέσχον τοῖς ἀγροῖς, καὶ ἐκβάντες σὺν μαχαίραις καὶ ἡμιθωρακίοις κατέσυρον πάντα τὰ εἰς χεῖρας ἐλθόντα, οἶνον ἀνθοσμίαν, πυρὸν ἄφθονον, μέλι ἐν κηρίοις· ἤλασάν τινας καὶ βοῦς ἐκ τῆς Δόρκωνος ἀγέλης. Λαμβάνουσι καὶ τὸν Δάφνιν ἀλύοντα 2 παρὰ τὴν θάλατταν· ἡ γὰρ Χλόη βραδύτερον ὡς κόρη τὰ πρόβατα ἐξῆγε τοῦ Δρύαντος, φόβῳ τῶν ἀγερώχων ποιμένων. Ἰδόντες δὲ μειράκιον μέγα καὶ καλὸν καὶ κρεῖττον τῆς ἐξ ἀγρῶν ἁρπαγῆς, μηκέτι μηδὲν μήτε ἐς τὰς αἶγας μήτε ἐς τοὺς ἄλλους ἀγροὺς περιεργασάμενοι κατῆγον αὐτὸν ἐπὶ τὴν ναῦν κλάοντα καὶ ἠπορημένον καὶ μέγα Χλόην καλοῦντα. Καὶ οἱ 3 μὲν τὸ πεῖσμα ἄρτι ἀπολύσαντες καὶ τὰς κώπας ταῖς χερσὶν ἐμβαλόντες ἀνέπλεον εἰς τὸ πέλαγος· Χλόη δὲ

κατήλαυνε τὸ ποίμνιον, σύριγγα καινὴν τῷ Δάφνιδι δῶρον κομίζουσα. Ἰδοῦσα δὲ τὰς αἶγας τεταραγμένας καὶ ἀκούσασα τοῦ Δάφνιδος ἀεὶ μεῖζον αὐτὴν βοῶντος, προβάτων μὲν ἀμελεῖ καὶ τὴν σύριγγα ῥίπτει, δρόμῳ δὲ πρὸς τὸν Δόρκωνα παραγίνεται δεησομένη βοηθεῖν.

29 Ὁ δὲ ἔκειτο πληγαῖς νεανικαῖς συγκεκομμένος ὑπὸ τῶν λῃστῶν καὶ ὀλίγον ἐμπνέων, αἵματος πολλοῦ χεομένου. Ἰδὼν δὲ τὴν Χλόην καὶ ὀλίγον ἐκ τοῦ πρότερον ἔρωτος ἐμπύρευμα λαβὼν "ἐγὼ μὲν" εἶπε, "Χλόη, τεθνήξομαι μετ' ὀλίγον· οἱ γάρ με ἀσεβεῖς λῃσταὶ πρὸ τῶν βοῶν μαχόμενον κατέκοψαν ὡς βοῦν.

2 Σὺ δὲ καὶ Δάφνιν σῶσον κἀμοὶ τιμώρησον κἀκείνους ἀπόλεσον. Ἐπαίδευσα τὰς βοῦς ἤχῳ σύριγγος ἀκολουθεῖν καὶ διώκειν τὸ μέλος αὐτῆς, κἂν νέμωνταί που μακράν. Ἴθι δή, λαβοῦσα τὴν σύριγγα ταύτην ἔμπνευσον αὐτῇ μέλος ἐκεῖνο, ὃ Δάφνιν μὲν ἐγώ ποτε ἐδιδαξάμην, Δάφνις δὲ σέ· τὸ δὲ ἐντεῦθεν τῇ σύ-

3 ριγγι μελήσει καὶ τῶν βοῶν ταῖς ἐκεῖ. Χαρίζομαι δέ σοι καὶ τὴν σύριγγα αὐτήν, ᾗ πολλοὺς ἐρίζων καὶ βουκόλους ἐνίκησα καὶ αἰπόλους. Σὺ δὲ ἀντὶ τῶνδε καὶ ζῶντα ἔτι φίλησον καὶ ἀποθανόντα κλαῦσον· κἂν ἴδῃς ἄλλον νέμοντα τὰς βοῦς, ἐμοῦ μνημόνευσον."

30 Δόρκων μὲν [[δὴ]] τοσαῦτα εἰπὼν καὶ φίλημα φιλήσας ὕστατον ἀφῆκεν ἅμα τῷ φιλήματι τὴν ψυχήν· ἡ δὲ Χλόη λαβοῦσα τὴν σύριγγα καὶ ἐνθεῖσα τοῖς χείλεσιν ἐσύριττεν ὡς ἐδύνατο μέγιστον· καὶ αἱ βόες ἀκούουσι καὶ τὸ μέλος γνωρίζουσι καὶ ὁρμῇ μιᾷ μυ-

2 κησάμεναι πηδῶσιν εἰς τὴν θάλατταν. Βιαίου δὲ πηδήματος εἰς ἕνα τοῖχον τῆς νεὼς γενομένου κἀκ της

25 post φιλήματι: καὶ τῇ φωνῇ

ἐμπτώσεως τῶν βοῶν κοίλης τῆς θαλάττης διαστάσης στρέφεται μὲν ἡ ναῦς καὶ τοῦ κλύδωνος συνιόντος ἀπόλλυται, οἱ δὲ ἐκπίπτουσιν οὐχ ὁμοίαν ἔχοντες ἐλπίδα σωτηρίας. Οἱ μὲν γὰρ ληισταὶ τὰς μαχαίρας παρ- 3
ήρτηντο καὶ τὰ ἡμιθωράκια [τὰ] λεπιδωτὰ ἐνεδέδυντο καὶ κνημῖδας εἰς μέσην κνήμην ὑπεδέδεντο· ὁ δὲ Λάφνις ἀνυπόδητος, ὡς ἐν πεδίῳ νέμων, καὶ ἡμίγυμνος, ὡς ἔτι τῆς ὥρας οὔσης καυματώδους. Ἐκεί- 4
νους μὲν οὖν ἐπ' ὀλίγον νηξαμένους τὰ ὅπλα κατήνεγκεν εἰς βυθόν· ὁ δὲ Λάφνις τὴν μὲν ἐσθῆτα ῥαδίως ἀπεδύσατο, περὶ δὲ τὴν νῆξιν ἔκαμνεν, οἷα πρότερον νηχόμενος ἐν ποταμοῖς μόνοις· ὕστερον δὲ παρὰ 5
τῆς ἀνάγκης τὸ πρακτέον διδαχθεὶς εἰς μέσας ὥρμησε τὰς βοῦς, καὶ βοῶν δύο κεράτων ταῖς δύο χερσὶ λαβόμενος ἐκομίζετο μέσος ἀλύπως καὶ ἀπόνως, ὥσπερ ἐλαύνων ἅμαξαν. Νήχεται δὲ ἄρα βοῦς ὅσον οὐδὲ 6
ἄνθρωπος· μόνων λείπεται τῶν ἐνύδρων ὀρνίθων καὶ αὐτῶν ἰχθύων· οὐδ' ἂν ἀπόλοιτο βοῦς νηχόμενος, εἰ μὴ τῶν χηλῶν οἱ ὄνυχες περιπέσοιεν διάβροχοι γενόμενοι. Μαρτυροῦσι τῷ λόγῳ μέχρι νῦν πολλοὶ τόποι τῆς θαλάττης, βοὸς πόροι λεγόμενοι.

Σώζεται μὲν δὴ τοῦτον τὸν τρόπον ὁ Λάφνις, 31
δύο κινδύνους παρ' ἐλπίδα πᾶσαν διαφυγών, ληστηρίου καὶ ναυαγίας· ἐξελθὼν δὲ καὶ τὴν Χλόην ἐπὶ τῆς γῆς γελῶσαν ἅμα καὶ δακρύουσαν εὑρὼν ἐμπίπτει τε αὐτῆς τοῖς κόλποις καὶ ἐπυνθάνετο τί βουλομένη συρίσειεν· ἡ δὲ αὐτῷ διηγεῖται πάντα· τὸν δρόμον 2
τὸν ἐπὶ τὸν Δόρκωνα, τὸ παίδευμα τῶν βοῶν, πῶς κελευσθείη συρίσαι, καὶ ὅτι τέθνηκε Δόρκων· μόνον αἰδεσθεῖσα τὸ φίλημα οὐκ εἶπεν. Ἔδοξε δὴ τιμῆσαι τὸν εὐεργέτην, καὶ ἐλθόντες μετὰ τῶν προσηκόντων Δόρκωνα θάπτουσι τὸν ἄθλιον. Γῆν μὲν οὖν πολλὴν 3

ἐπένησαν, φυτὰ δὲ ἥμερα πολλὰ ἐφύτευσαν καὶ ἐξήρτησαν αὐτῶν τῶν ἔργων ἀπαρχάς· ἀλλὰ καὶ γάλα κατέσπεισαν καὶ βότρυς κατέθλιψαν καὶ σύριγγας
4 πολλὰς κατέκλασαν. Ἠκούσθη καὶ τῶν βοῶν ἐλεεινὰ μυκήματα καὶ δρόμοι τινὲς ὥφθησαν ἅμα τοῖς μυκή- 5
μασιν ἄτακτοι· καὶ ὡς ἐν ποιμέσιν εἰκάζετο καὶ αἰπόλοις, ταῦτα θρῆνος ἦν τῶν βοῶν ἐπὶ βουκόλῳ τετελευτηκότι.

32 Μετὰ δὲ τὸν τοῦ Δόρκωνος τάφον λούει τὸν Δάφνιν ἡ Χλόη πρὸς τὰς Νύμφας ἀγαγοῦσα. Καὶ αὐτὴ 10
τότε πρῶτον Δάφνιδος ὁρῶντος ἐλούσατο τὸ σῶμα λευκὸν καὶ καθαρὸν ὑπὸ κάλλους καὶ οὐδὲν λουτρῶν
2 ἐς κάλλος δεόμενον· καὶ ἄνθη συλλέξαντες, ὅσα τῆς ὥρας ἐκείνης, ἐστεφάνωσαν τὰ ἀγάλματα καὶ τὴν τοῦ Δόρκωνος σύριγγα τῆς πέτρας ἐξήρτησαν ἀνάθημα. 15
Καὶ μετὰ τοῦτο ἐλθόντες ἐπεσκόπουν τὰς αἶγας καὶ
3 τὰ πρόβατα. Τὰ δὲ πάντα κατέκειτο μήτε νεμόμενα μήτε βληχώμενα, ἀλλ', οἶμαι, τὸν Δάφνιν καὶ τὴν Χλόην ἀφανεῖς ὄντας ποθοῦντα. Ἐπειδὴ οὖν ὀφθέντες καὶ ἐβόησαν τὸ σύνηθες καὶ ἐσύρισαν, τὰ μὲν 20
[ποίμνια] ἀναστάντα ἐνέμετο, αἱ δὲ αἶγες ἐσκίρτων φριματτόμεναι, καθάπερ ἡδόμεναι σωτηρίᾳ συνή-
4 θους αἰπόλου. Οὐ μὴν ὁ Δάφνις χαίρειν ἔπειθε τὴν ψυχήν, ἰδὼν τὴν Χλόην γυμνὴν καὶ τὸ πρότερον λαν- 25
θάνον κάλλος ἐκκεκαλυμμένον. Ἤλγει τὴν καρδίαν ὡς ἐσθιομένην ὑπὸ φαρμάκων, καὶ αὐτῷ τὸ πνεῦμα ποτὲ μὲν λάβρον ἐξέπνει, καθάπερ τινὸς διώκοντος αὐτόν, ποτὲ δὲ ἐξέλειπε, καθάπερ ἐκδαπανη-
5 θὲν ἐν ταῖς πρότερον ἐπιδρομαῖς. Ἐδόκει τὸ λουτρὸν

---

10 post ἀγαγοῦσα: εἰς τὸ ἄντρον εἰσαγαγοῦσα
13 post ὅσα: ἄνθη

εἶναι τῆς θαλάττης φοβερώτερον· ἐνόμιζε τὴν ψυχὴν ἔτι παρὰ τοῖς ληισταῖς μένειν, οἷα νέος καὶ ἄγροικος καὶ ἔτι ἀγνοῶν τὸ ἔρωτος ληστήριον.

B

Ἤδη δὲ τῆς ὀπώρας ἀκμαζούσης καὶ ἐπείγοντος 1
τοῦ τρυγητοῦ πᾶς ἦν κατὰ τοὺς ἀγροὺς ἐν ἔργῳ· ὁ μὲν
ληνοὺς ἐπεσκεύαζεν, ὁ δὲ πίθους ἐξεκάθαιρεν, ὁ δὲ
ἀρρίχους ἔπλεκεν· ἔμελέ τινι δρεπάνης μικρᾶς ἐς βό- 2
τρυος τομὴν καὶ ἑτέρῳ λίθου θλῖψαι τὰ ἔνοινα τῶν
βοτρύων δυναμένου καὶ ἄλλῳ λύγου ξηρᾶς πληγαῖς
κατεξασμένης, ὡς ἂν ὑπὸ φωτὶ νύκτωρ τὸ γλεῦκος
φέροιτο. Ἀμελήσαντες οὖν καὶ ὁ Δάφνις καὶ ἡ Χλόη 3
τῶν αἰγῶν καὶ τῶν προβάτων, χειρὸς ὠφέλειαν ἄλ-
λοις μετεδίδοσαν. Ὁ μὲν ἐβάσταζεν ἐν ἀρρίχοις βό-
τρυς καὶ ἐπάτει ταῖς ληνοῖς ἐμβαλὼν καὶ εἰς τοὺς πί-
θους ἔφερε τὸν οἶνον· ἡ δὲ τροφὴν παρεσκεύαζε τοῖς
τρυγῶσι καὶ ἐνέχει ποτὸν αὐτοῖς πρεσβύτερον οἶνον
καὶ τῶν ἀμπέλων δὲ τὰς ταπεινοτέρας ἀπετρύγα. Πᾶσα 4
γὰρ [ἡ] κατὰ τὴν Λέσβον ἄμπελος ταπεινή, οὐ μετέω-
ρος οὐδὲ ἀναδενδράς, ἀλλὰ κάτω τὰ κλήματα ἀποτεί-
νουσα καὶ ὥσπερ κιττὸς νεμομένη· καὶ παῖς ἂν ἐφί-
κοιτο βότρυος ἄρτι τὰς χεῖρας ἐκ σπαργάνων λελυμέ-
νος.

Οἷον οὖν εἰκὸς ἐν ἑορτῇ Διονύσου καὶ οἴνου γε- 2
νέσεως αἱ μὲν γυναῖκες ἐκ τῶν πλησίον ἀγρῶν εἰς
ἐπικουρίαν κεκλημέναι τῷ Δάφνιδι τοὺς ὀφθαλμοὺς
ἐπέβαλλον καὶ ἐπῄνουν ὡς ὅμοιον τῷ Διονύσῳ τὸ
κάλλος, καί τις τῶν θρασυτέρων καὶ ἐφίλησε καὶ τὸν

2 Δάφνιν παρώξυνε, τὴν δὲ Χλόην ἐλύπησεν· οἱ δὲ ἐν
ταῖς ληνοῖς ποικίλας φωνὰς ἔρριπτον ἐπὶ τὴν Χλόην
καὶ ὥσπερ ἐπί τινα Βάκχην Σάτυροι μανικώτερον
ἐπήδων καὶ εὔχοντο γενέσθαι ποίμνια καὶ ὑπ' ἐκεί-
νης νέμεσθαι· ὥστε αὖ πάλιν ἡ μὲν ἤδετο, Δάφνις
3 δὲ ἐλυπεῖτο. Εὔχοντο [δὲ] δὴ ταχέως παύσασθαι
τὸν τρυγητὸν καὶ λαβέσθαι τῶν συνήθων χωρίων καὶ
ἀντὶ τῆς ἀμούσου βοῆς ἀκούειν σύριγγος ἢ τῶν ποι-
4 μνίων αὐτῶν βληχωμένων. Καὶ ἐπεὶ διαγενομένων
ὀλίγων ἡμερῶν αἱ μὲν ἄμπελοι ἐτετρύγηντο, πίθοι δὲ
τὸ γλεῦκος εἶχον, ἔδει δὲ οὐκέτ' οὐδὲν πολυχειρίας,
κατήλαυνον τὰς ἀγέλας ἐς τὸ πεδίον καὶ μάλα χαίρον-
τες τὰς Νύμφας προσεκύνουν, βότρυς αὐταῖς κομί-
5 ζοντες ἐπὶ κλημάτων, ἀπαρχὰς τοῦ τρυγητοῦ. Οὐδὲ
τὸν πρότερον χρόνον ἀμελῶς ποτε παρῆλθον, ἀλλ' ἀεὶ
ἀρχόμενοι νομῆς προσήδρευον καὶ ἐκ νομῆς ἀνιόντες
προσεκύνουν· καὶ πάντως τι ἐπέφερον, ἢ ἄνθος ἢ
ὀπώραν ἢ φυλλάδα χλωρὰν ἢ γάλακτος σπονδήν. Καὶ
τούτων μὲν ὕστερον ἀμοιβὰς ἐκομίσαντο παρὰ τῶν
6 θεῶν· τότε δὲ κύνες, φασίν, ἐκ δεσμῶν λυθέντες
ἐσκίρτων, ἐσύριττον, ᾖδον, τοῖς τράγοις καὶ τοῖς
προβάτοις συνεπάλαιον.

3 Τερπομένοις δὲ αὐτοῖς ἐφίσταται πρεσβύτης σι-
σύραν ἐνδεδυμένος, καρβατίνας ὑποδεδεμένος, πήρα-
ν ἐξηρτημένος, καὶ τὴν πήραν παλαιάν. Οὗτος
πλησίον καθίσας αὐτῶν ὧδε εἶπε

2 "Φιλητᾶς, ὦ παῖδες, ὁ πρεσβύτης ἐγώ, ὃς πολλα
μὲν ταῖσδε ταῖς Νύμφαις ᾔσα, πολλὰ δὲ τῷ Πανὶ
ἐκείνῳ ἐσύρισα, βοῶν δὲ πολλῆς ἀγέλης ἡγησάμην
μόνῃ μουσικῇ. Ἥκω δὲ ὑμῖν ὅσα εἶδον μηνύσων, ὅσα
3 ἤκουσα ἀπαγγελῶν. Κῆπός ἐστί μοι τῶν ἐμῶν χει-
ρῶν, ὃν ἐξ οὗ νέμων διὰ γῆρας ἐπαυσάμην, ἐξεπονη-

σάμην· ὅσα ὧραι φέρουσι, πάντα ἔχων ἐν αὐτῷ καθ' ὥραν ἑκάστην. Ἦρος ῥόδα [καὶ] κρίνα καὶ ὑάκινθος καὶ ἴα ἀμφότερα, θέρους μήκωνες καὶ ἀχράδες καὶ μῆλα πάντα, νῦν ἄμπελοι καὶ συκαῖ καὶ ῥοιαὶ καὶ μύρτα χλωρά. Εἰς τοῦτον τὸν κῆπον ὀρνίθων ἀγέλαι συνέρχονται τὸ ἑωθινόν, τῶν μὲν ἐς τροφήν, τῶν δὲ ἐς ᾠδήν· συνηρεφὴς γὰρ καὶ κατάσκιος καὶ πηγαῖς τρισὶ κατάρρυτος· ἂν περιέλῃ τις τὴν αἱμασιάν, ἄλσος ὁρᾶν οἰήσεται.

Εἰσελθόντι δέ μοι τήμερον ἀμφὶ μέσην ἡμέραν ὑπὸ ταῖς ῥοιαῖς καὶ ταῖς μυρρίναις βλέπεται παῖς, μύρτα καὶ ῥοιὰς ἔχων, λευκὸς ὡς γάλα, ξανθὸς ὡς πῦρ, στιλπνὸς ὡς ἄρτι λελουμένος· γυμνὸς ἦν, μόνος ἦν· ἔπαιζεν ὡς ἴδιον κῆπον τρυγῶν. Ἐγὼ μὲν οὖν ὥρμησα ἐπ' αὐτὸν ὡς συλληψόμενος, δείσας μὴ ὑπ' ἀγερωχίας τὰς μυρρίνας καὶ τὰς ῥοιὰς κατακλάσῃ· ὁ δέ με κούφως καὶ ῥᾳδίως ὑπέφευγε, ποτὲ μὲν ταῖς ῥοδωνιαῖς ὑποτρέχων, ποτὲ δὲ ταῖς μήκωσιν ὑποκρυπτόμενος, ὥσπερ πέρδικος νεοττός. Καίτοι πολλάκις μὲν πράγματα ἔσχον ἐρίφους γαλαθηνοὺς διώκων, πολλάκις δὲ ἔκαμον μεταθέων μόσχους ἀρτιγεννήτους· ἀλλὰ τοῦτο ποικίλον τι χρῆμα ἦν καὶ ἀθήρατον. Καμὼν οὖν ὡς γέρων καὶ ἐπερεισάμενος τῇ βακτηρίᾳ καὶ ἅμα φυλάττων μὴ φύγοι, ἐπυνθανόμην τίνος ἐστὶ τῶν γειτόνων, καὶ τί βουλόμενος ἀλλότριον κῆπον τρυγᾷ. Ὁ δὲ ἀπεκρίνατο μὲν οὐδέν, στὰς δὲ πλησίον ἐγέλα πάνυ ἁπαλὸν καὶ ἔβαλλέ με τοῖς μύρτοις καὶ οὐκ οἶδ' ὅπως ἔθελγε μηκέτι θυμοῦσθαι. Ἐδεόμην οὖν εἰς χεῖρας ἐλθεῖν μηδὲν φοβούμενον ἔτι, καὶ ὤμνυον κατὰ τῶν μύρτων ἀφήσειν, ἐπιδοὺς μήλων καὶ ῥοιῶν, παρέξειν τε ἀεὶ τρυγᾶν τὰ φυτὰ καὶ δρέπειν τὰ ἄνθη, τυχὼν παρ' αὐτοῦ φιλήματος ἑνός.

5 Ἐνταῦθα πάνυ καπυρὸν γελάσας ἀφίησι φωνήν, οἵαν οὔτε χελιδὼν οὔτε ἀηδὼν οὔτε κύκνος, ὁμοίως ἐμοὶ γέρων γενόμενος. Ἔμοιγε, ὦ Φιλητᾶ, φιλῆσαί σε φθόνος οὐδείς· βούλομαι γὰρ φιλεῖσθαι μᾶλλον ἢ σὺ γενέσθαι νέος· ὅρα δὲ εἴ σοι καθ' ἡλικίαν
2 τὸ δῶρον· οὐδὲν γάρ σε ὠφελήσει τὸ γῆρας πρὸς τὸ μὴ διώκειν ἐμὲ μετὰ τὸ ἓν φίλημα. Δυσθήρατος ἐγὼ καὶ ἱέρακι καὶ ἀετῷ καὶ εἴ τις ἄλλος τούτων ὠκύτερος ὄρνις. Οὔ τοι παῖς ἐγὼ καὶ εἰ δοκῶ παῖς, ἀλλὰ καὶ
3 τοῦ Κρόνου πρεσβύτερος καὶ αὐτοῦ τοῦ παντός. Καί σε οἶδα νέμοντα πρωθήβην ἐν ἐκείνῳ τῷ ὄρει τὸ πλατὺ βουκόλιον καὶ παρήμην σοι συρίττοντι πρὸς ταῖς φηγοῖς ἐκείναις, ἡνίκα ἥρας Ἀμαρυλλίδος· ἀλλά με οὐχ ἑώρας καίτοι πλησίον μάλα τῇ κόρῃ παρεστῶτα. Σοὶ μὲν οὖν ἐκείνην ἔδωκα· καὶ ἤδη σοι παῖδες, ἀγα-
4 θοὶ βουκόλοι καὶ γεωργοί· νῦν δὲ Δάφνιν ποιμαίνω καὶ Χλόην· καὶ ἡνίκα ἂν αὐτοὺς εἰς ἓν συναγάγω τὸ ἑωθινόν, εἰς τὸν σὸν ἔρχομαι κῆπον καὶ τέρπομαι τοῖς ἄνθεσι καὶ τοῖς φυτοῖς κἂν ταῖς πηγαῖς ταύταις λούομαι. Διὰ τοῦτο καλὰ καὶ τὰ ἄνθη καὶ τὰ φυτά, τοῖς
5 ἐμοῖς λουτροῖς ἀρδόμενα. Ὅρα δὲ μή τί σοι τῶν φυτῶν κατακέκλασται, μή τις ὀπώρα τετρύγηται, μή τις ἄνθους ῥίζα πεπάτηται, μή τις πηγὴ τετάρακται, καὶ χαῖρε μόνος ἀνθρώπων ἐν γήρᾳ θεασάμενος τοῦτο τὸ παιδίον.'

6 Ταῦτ' εἰπὼν ἀνήλατο καθάπερ ἀηδόνος νεοττὸς ἐπὶ τὰς μυρρίνας, καὶ κλάδον ἀμείβων ἐκ κλάδου διὰ τῶν φύλλων ἀνεῖρπεν εἰς ἄκρον. Εἶδον αὐτοῦ καὶ πτέρυγας ἐκ τῶν ὤμων καὶ τοξάρια μεταξὺ τῶν πτε-
2 ρύγων, καὶ οὐκέτι εἶδον οὔτε ταῦτα οὔτε αὐτόν. Εἰ

10 post παντός: χρόνου
30 post πτερύγων: καὶ τῶν ὤμων

δὲ μὴ μάτην ταύτας τὰς πολιὰς ἔφυσα μηδὲ γηράσας ματαιοτέρας τὰς φρένας ἐκτησάμην, Ἔρωτι, ὦ παῖδες, κατέσπεισθε καὶ Ἔρωτι ὑμῶν μέλει."

Πάνυ ἐτέρφθησαν ὥσπερ μῦθον οὐ λόγον ἀκούον- 7
τες καὶ ἐπυνθάνοντο τί ἐστί ποτε ὁ Ἔρως, πότερα παῖς ἢ ὄρνις, καὶ τί δύναται. Πάλιν οὖν ὁ Φιλητᾶς ἔφη "θεός ἐστιν, ὦ παῖδες, ὁ Ἔρως, νέος καὶ καλὸς καὶ πετόμενος· διὰ τοῦτο καὶ νεότητι χαίρει καὶ κάλλος διώκει καὶ τὰς ψυχὰς ἀναπτεροῖ. Δύναται δὲ το- 2
σοῦτον ὅσον οὐδὲ ὁ Ζεύς. Κρατεῖ μὲν στοιχείων, κρατεῖ δὲ ἄστρων, κρατεῖ δὲ τῶν ὁμοίων θεῶν· οὐδὲ ὑμεῖς τοσοῦτον τῶν αἰγῶν καὶ τῶν προβάτων. Τὰ 3
ἄνθη πάντα Ἔρωτος ἔργα· τὰ φυτὰ πάντα τούτου ποιήματα· διὰ τοῦτον καὶ ποταμοὶ ῥέουσι καὶ ἄνεμοι πνέουσιν. Ἔγνων δὲ ἐγὼ καὶ ταῦρον ἐρασθέντα, καὶ 4
ὡς οἴστρῳ πληγεὶς ἐμυκᾶτο· καὶ τράγον φιλήσαντα αἶγα, καὶ ἠκολούθει πανταχοῦ. Αὐτὸς μὲν γὰρ ἤμην νέος καὶ ἠράσθην Ἀμαρυλλίδος· καὶ οὔτε τροφῆς ἐμεμνήμην οὔτε ποτὸν προσεφερόμην οὔτε ὕπνον ἠ- 5
ρούμην. Ἤλγουν τὴν ψυχήν, τὴν καρδίαν ἐπαλλόμην, τὸ σῶμα ἐψυχόμην· ἐβόων ὡς παιόμενος, ἐσιώπων ὡς νεκρούμενος, εἰς ποταμοὺς ἐνέβαινον ὡς καόμενος. Ἐκάλουν τὸν Πᾶνα βοηθόν, ὡς καὶ αὐτὸν τῆς 6
Πίτυος ἐρασθέντα· ἐπήνουν τὴν Ἠχὼ τὸ Ἀμαρυλλίδος ὄνομα μετ' ἐμὲ καλοῦσαν· κατέκλων τὰς σύριγγας, ὅτι μοι τὰς μὲν βοῦς ἤθελον, Ἀμαρυλλίδα δὲ οὐκ ἤγον. Ἔρωτος γὰρ οὐδὲν φάρμακον, οὐ πινόμε- 7
νον, οὐκ ἐσθιόμενον, οὐκ ἐν ᾠδαῖς λαλούμενον, ὅτι μὴ φίλημα καὶ περιβολὴ καὶ συγκατακλινῆναι γυμνοῖς σώμασι."

Φιλητᾶς μὲν τοσαῦτα παιδεύσας αὐτοὺς ἀπαλλάτ- 8
τεται, τυρούς τινας παρ' αὐτῶν καὶ ἔριφον ἤδη κε-

ράστην λαβών· οἱ δὲ μόνοι καταλειφθέντες, [καὶ] τότε πρῶτον ἀκούσαντες τὸ Ἔρωτος ὄνομα τάς τε ψυχὰς συνεστάλησαν ὑπὸ λύπης, καὶ ἐπανελθόντες νύκτωρ εἰς τὰς ἐπαύλεις παρέβαλλον οἷς ἤκουσαν τὰ
2 αὐτῶν. "Ἀλγοῦσιν οἱ ἐρῶντες· καὶ ἡμεῖς [ἀλγοῦμεν. Τροφῆς] ἀμελοῦσιν· ἠμελήκαμεν ὁμοίως. Καθεύδειν οὐ δύνανται· τοῦτο νῦν πάσχομεν καὶ ἡμεῖς. Κάεσθαι δοκοῦσι· καὶ παρ' ἡμῖν τὸ πῦρ. Ἐπιθυμοῦσιν ἀλλήλους ὁρᾶν· διὰ τοῦτο θᾶττον εὐχόμεθα γενέσθαι
3 τὴν ἡμέραν. Σχεδὸν τοῦτ' ἔστιν ὁ ἔρως, καὶ ἐρῶμεν ἀλλήλων οὐκ εἰδότες. Εἰ [γὰρ] τοῦτο μή ἐστιν ὁ ἔρως** ἐγὼ δὲ ὁ ἐρώμενος, τί οὖν ταῦτ' ἀλγοῦμεν, τί δὲ ἀλλήλους ζητοῦμεν; ἀληθῆ πάντα εἶπεν ὁ Φι-
4 λητᾶς. Τὸ ἐκ τοῦ κήπου παιδίον ὤφθη καὶ τοῖς πατράσιν ἡμῶν ὄναρ [ἐκεῖνο] καὶ νέμειν ἡμᾶς τὰς ἀγέλας ἐκέλευσε. Πῶς ἄν τις αὐτὸ λάβοι; σμικρόν ἐστι καὶ φεύξεται. [Καὶ] πῶς ἄν τις αὐτὸ φύγοι; πτερὰ
5 ἔχει καὶ καταλήψεται. Ἐπὶ τὰς Νύμφας δεῖ βοηθοὺς καταφεύγειν. Ἀλλ' οὐδὲ Φιλητᾶν ὁ Πὰν ὠφέλησεν Ἀμαρυλλίδος ἐρῶντα. Ὅσα εἶπεν ἄρα φάρμακα, ταῦτα ζητητέον, φίλημα καὶ περιβολὴν καὶ κεῖσθαι γυμνοὺς χαμαί. Κρύος μέν, ἀλλὰ καρτερήσομεν δεύτεροι μετὰ Φιλητᾶν."

9 Τοῦτο αὐτοῖς γίνεται νυκτερινὸν παιδευτήριον. Καὶ ἀγαγόντες τῆς ἐπιούσης ἡμέρας τὰς ἀγέλας ἐς νομήν, ἐφίλησαν ἀλλήλους ἰδόντες καὶ (ὃ μήπω πρότερον ἐποίησαν) περιέβαλον τὰς χεῖρας ἐπαλλάξαντες·
2 τὸ δὲ τρίτον ὤκνουν φάρμακον [ἀποδυθέντες κατακλιθῆναι·] θρασύτερον γὰρ οὐ μόνον παρθένῳ ἀλλὰ καὶ νέῳ αἰπόλῳ. Πάλιν οὖν νὺξ ἀγρυπνίαν ἔχουσα καὶ ἔννοιαν τῶν γεγενημένων καὶ κατάμεμψιν τῶν παραλελειμμένων. "Ἐφιλήσαμεν, καὶ οὐδὲν ὄφελος·

περιεβάλομεν, καὶ οὐδὲν πλέον ἔσχομεν· τὸ οὖν συγκατακλινῆναι μόνον φάρμακον ἔρωτος. Πειρατέον καὶ τούτου· πάντως ἐν αὐτῷ τι κρεῖττόν ἐστι φιλήματος."

Ἐπὶ τούτοις τοῖς λογισμοῖς οἷον εἰκὸς καὶ ὀνείρατα 10
ἑώρων ἐρωτικά, τὰ φιλήματα, τὰς περιβολάς· καὶ ὅσα
μεθ' ἡμέραν οὐκ ἔπραξαν, ταῦτα ὄναρ ἔπραξαν· γυ-
μνοὶ μετ' ἀλλήλων ἔκειντο. Ἐνθεώτεροι δὴ κατὰ τὴν 2
ἐπιοῦσαν ἡμέραν ἀνέστησαν καὶ ῥοίζῳ τὰς ἀγέλας κατ-
ήλαυνον ἐπειγόμενοι πρὸς τὰ φιλήματα· καὶ ἰδόντες ἀλλήλους ἅμα μειδιάματι προσέδραμον. Τὰ μὲν 3
οὖν φιλήματα ἐγένετο καὶ ἡ περιβολὴ τῶν χειρῶν ἠκολούθησε, τὸ δὲ τρίτον φάρμακον ἐβράδυνε, μήτε τοῦ Δάφνιδος τολμῶντος εἰπεῖν, μήτε τῆς Χλόης βουλομένης κατάρχεσθαι, ἔστε τύχῃ καὶ τοῦτο ἔπραξαν.

Καθεζόμενοι ὑπὸ στελέχει δρυὸς πλησίον ἀλλή- 11
λων καὶ γευσάμενοι τῆς ἐν φιλήματι τέρψεως ἀπλήστως ἐνεφοροῦντο τῆς ἡδονῆς. Ἦσαν δὲ καὶ χειρῶν περιβολαὶ θλῖψιν τοῖς σώμασι παρέχουσαι. Κατὰ [[δὲ]] 2
τὴν τῶν χειρῶν περιβολὴν βιαιότερόν τι τοῦ Δάφνιδος ἐπισπασαμένου κλίνεταί πως ἐπὶ πλευρὰν ἡ Χλόη· κἀκεῖνος δὲ συγκατακλίνεται τῷ φιλήματι ἀκολουθῶν. Καὶ γνωρίσαντες τῶν ὀνείρων τὴν εἰκόνα κατ- 3
έκειντο πολὺν χρόνον ὥσπερ συνδεδεμένοι. Εἰδότες δὲ τῶν ἐντεῦθεν οὐδὲν καὶ νομίσαντες τοῦτο εἶναι πέρας ἐρωτικῆς ἀπολαύσεως, μάτην τὸ πλεῖστον τῆς ἡμέρας δαπανήσαντες διελύθησαν καὶ τὰς ἀγέλας ἀπήλαυνον, τὴν νύκτα μισοῦντες. Ἴσως δὲ ἄν τι καὶ τῶν ἀληθῶν ἔπραξαν, εἰ μὴ θόρυβος τοιόσδε πᾶσαν τὴν ἀγροικίαν ἐκείνην κατέλαβε.

Νέοι Μηθυμναῖοι πλούσιοι διαθέσθαι τὸν τρυ- 12
γητὸν ἐν ξενικῇ τέρψει θελήσαντες, ναῦν σμικρὰν

καθελκύσαντες καὶ οἰκέτας προσκώπους καθίσαντες,
τοὺς Μυτιληναίων ἀγροὺς παρέπλεον, ὅσοι θαλάττης
2 πλησίον. Εὐλίμενός τε γὰρ ἡ παραλία καὶ οἰκήσεσιν
ἠσκημένη πολυτελῶς, καὶ λουτρὰ συνεχῆ, παράδεισοί
τε καὶ ἄλση· τὰ μὲν φύσεως ἔργα, τὰ δ' ἀνθρώπων
3 τέχνη· πάντα ἐνηβῆσαι καλά. Παραπλέοντες δὲ καὶ
ἐνορμιζόμενοι κακὸν μὲν ἐποίουν οὐδέν, τέρψεις δὲ
ποικίλας ἐτέρποντο, ποτὲ μὲν ἀγκίστροις καλάμων
ἀπηρτημένοις ἐκ λίνου λεπτοῦ πετραίους ἰχθῦς ἁλιεύ-
οντες ἐκ πέτρας ἁλιτενοῦς, ποτὲ δὲ κυσὶ καὶ δικτύοις
λαγὼς φεύγοντας τὸν ἐν ταῖς ἀμπέλοις θόρυβον λαμ-
4 βάνοντες· ἤδη δὲ καὶ ὀρνίθων ἄγρας ἐμέλησεν αὐτοῖς,
καὶ ἔλαβον βρόχοις χῆνας ἀγρίους καὶ νήττας καὶ ὠτί-
δας, ὥστε ἡ τέρψις αὐτοῖς καὶ τραπέζης ὠφέλειαν παρ-
εῖχεν. Εἰ δέ τινος προσέδει, παρὰ τῶν ἐν τοῖς ἀγροῖς
ἐλάμβανον, περιττοτέρους τῆς ἀξίας ὀβολοὺς κατα-
5 βάλλοντες. Ἔδει δὲ μόνον ἄρτου καὶ οἴνου καὶ στέ-
γης· οὐ γὰρ ἀσφαλὲς ἐδόκει μετοπωρινῆς ὥρας ἐνε-
στώσης ἐνθαλαττεύειν· ὥστε καὶ τὴν ναῦν ἀνεῖλκον
ἐπὶ τὴν γῆν νύκτα χειμέριον δεδοικότες.

13 Τῶν δή τις ἀγροίκων ἐς ἀνολκὴν λίθου θλίβον-
τος τὰ πατηθέντα βοτρύδια χρῆζων σχοίνου, τῆς
πρότερον ῥαγείσης, κρύφα ἐπὶ τὴν θάλατταν ἐλθών,
ἀφρουρήτῳ τῇ νηὶ προσελθών, τὸ πεῖσμα ἐκλύσας,
2 οἴκαδε κομίσας ἐς ὅ τι ἔχρηζεν ἐχρήσατο. Ἕωθεν οὖν
οἱ Μηθυμναῖοι νεανίσκοι ζήτησιν ἐποιοῦντο τοῦ πεί-
σματος καὶ (ὡμολόγει γὰρ οὐδεὶς τὴν κλοπὴν) ὀλίγα
μεμψάμενοι τοὺς ξενοδόκους παρέπλεον· καὶ στα-
δίους τριάκοντα παρελάσαντες προσορμίζονται τοῖς
ἀγροῖς, ἐν οἷς ᾤκουν ὁ Δάφνις καὶ ἡ Χλόη· ἐδόκει
γὰρ αὐτοῖς καλὸν εἶναι τὸ πεδίον ἐς θήραν λαγῶν.
3 Σχοῖνον μὲν οὖν οὐκ εἶχον ὥστε ἐκδήσασθαι πεῖσμα·

λύγον δὲ χλωρὰν μακρὰν στρέψαντες ὡς σχοῖνον, ταύτῃ τὴν ναῦν ἐκ τῆς πρύμνης ἄκρας εἰς τὴν γῆν ἔδησαν. Ἔπειτα τοὺς κύνας ἀφέντες ῥινηλατεῖν ἐν ταῖς εὐκαίροις φαινομέναις τῶν ὁδῶν ἐλινοστάτουν. Οἱ μὲν δὴ κύνες ἅμα ὑλακῇ διαθέοντες ἐφόβησαν τὰς 4
αἶγας, αἱ δὲ τὰ ὀρεινὰ καταλιποῦσαι μᾶλλόν τι πρὸς τὴν θάλατταν ὥρμησαν· ἔχουσαι δὲ οὐδὲν ἐν ψάμμῳ τρώξιμον, ἐλθοῦσαι πρὸς τὴν ναῦν αἱ θρασύτεραι αὐτῶν, τὴν λύγον τὴν χλωράν, ᾗ ἐδέδετο ἡ ναῦς, ἀπέφαγον.
Ἦν δέ τι καὶ κλυδώνιον ἐν τῇ θαλάττῃ, κινηθέν- 14
τος ἀπὸ τῶν ὀρῶν πνεύματος. Ταχὺ δὴ μάλα λυθεῖσαν αὐτὴν ὑπήνεγκεν ἡ παλίρροια τοῦ κύματος καὶ ἐς τὸ πέλαγος μετέωρον ἔφερεν. Αἰσθήσεως δὲ τοῖς Μηθυμναίοις γενομένης οἱ μὲν 2
ἐπὶ τὴν θάλατταν ἔθεον, οἱ δὲ τοὺς κύνας συνέλεγον· ἐβόων δὲ πάντες, ὡς πάντας τοὺς ἐκ τῶν πλησίον ἀγρῶν ἀκούσαντας συνελθεῖν. Ἀλλ' ἦν οὐδὲν ὄφελος· τοῦ γὰρ πνεύματος ἀκμάζοντος ἀσχέτῳ τάχει κατὰ ῥοῦν ἡ ναῦς ἐφέρετο. Οἱ οὖν Μηθυμναῖοι οὐκ 3
ὀλίγων κτημάτων στερόμενοι ἐζήτουν τὸν νέμοντα τὰς αἶγας· καὶ εὑρόντες τὸν Δάφνιν ἔπαιον, ἀπέδυον· εἷς δέ τις καὶ κυνόδεσμον ἀράμενος περιῆγε τὰς χεῖρας ὡς δήσων. Ὁ δὲ ἐβόα τε παιόμενος καὶ ἱκέτευε 4
τοὺς ἀγροίκους καὶ πρώτους τὸν Λάμωνα καὶ τὸν Δρύαντα βοηθοὺς ἐπεκαλεῖτο. Οἱ δὲ ἀντείχοντο σκληροὶ γέροντες καὶ χεῖρας ἐκ γεωργικῶν ἔργων ἰσχυρὰς ἔχοντες, καὶ ἠξίουν δικαιολογήσασθαι περὶ τῶν γεγενημένων.
Ταὐτὰ δὲ καὶ τῶν ἄλλων ἀξιούντων δικαστὴν καθ- 15
ίζουσι Φιλητᾶν τὸν βουκόλον· πρεσβύτατός τε γὰρ ἦν τῶν παρόντων καὶ κλέος εἶχεν ἐν τοῖς κωμήταις δικαιοσύνης περιττῆς. Πρῶτοι δὲ κατηγόρουν οἱ Μη-

θυμναῖοι σαφῆ καὶ σύντομα, [ἅτε] βουκόλον ἔχοντες δικαστήν.

2 "Ἤλθομεν εἰς τούτους τοὺς ἀγροὺς θηρᾶσαι θέλοντες. Τὴν μὲν οὖν ναῦν λύγῳ χλωρᾷ δήσαντες ἐπὶ τῆς ἀκτῆς κατελίπομεν, αὐτοὶ δὲ διὰ τῶν κυνῶν ζήτησιν ἐποιούμεθα θηρίων. Ἐν τούτῳ πρὸς τὴν θάλατταν αἱ αἶγες τούτου κατελθοῦσαι τήν τε λύγον κατ-
3 εσθίουσι καὶ τὴν ναῦν ἀπολύουσιν. Εἶδες αὐτὴν ἐν τῇ θαλάττῃ φερομένην, πόσων οἴει μεστὴν ἀγαθῶν; Οἷα μὲν ἐσθὴς ἀπόλωλεν, οἷος δὲ κόσμος σκευῶν, ὅσον δὲ ἀργύριον. Τοὺς ἀγροὺς ἄν τις τούτους ἐκεῖνα ἔχων ὠνήσαιτο. Ἀνθ' ὧν ἀξιοῦμεν ἄγειν τοῦτον, πονηρὸν ὄντα αἰπόλον, ὃς ἐπὶ τῆς θαλάττης νέμει τὰς αἶγας ὡς ναύτης."

16 Τοσαῦτα οἱ Μηθυμναῖοι κατηγόρησαν· ὁ δὲ Δάφνις διέκειτο μὲν κακῶς ὑπὸ τῶν πληγῶν, Χλόην δὲ ὁρῶν παροῦσαν πάντων κατεφρόνει καὶ ὧδε εἶπεν

„Ἐγὼ νέμω τὰς αἶγας καλῶς. Οὐδέποτε ἠτιάσατο κωμήτης οὐδὲ εἷς ὡς ἢ κῆπόν τινος αἴξ ἐμὴ κατεβο-
2 σκήσατο ἢ ἄμπελον βλαστάνουσαν κατέκλασεν. Οὗτοι δέ εἰσι κυνηγέται πονηροὶ καὶ κύνας ἔχουσι κακῶς πεπαιδευμένους, οἵτινες τρέχοντες πολλὰ καὶ ὑλακτοῦντες σκληρὰ κατεδίωξαν αὐτὰς ἐκ τῶν ὀρῶν καὶ τῶν
3 πεδίων ἐπὶ τὴν θάλατταν, ὥσπερ λύκοι. Ἀλλὰ ἀπέφαγον τὴν λύγον· οὐ γὰρ εἶχον ἐν ψάμμῳ πόαν ἢ κόμαρον ἢ θύμον. Ἀλλὰ ἀπώλετο ἡ ναῦς ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάττης· ταῦτα χειμῶνος, οὐκ αἰγῶν ἐστὶν ἔργα. Ἀλλὰ ἐσθὴς ἐνέκειτο καὶ ἄργυρος· καὶ τίς πιστεύσει νοῦν ἔχων ὅτι τοσαῦτα φέρουσα ναῦς πεῖσμα εἶχε λύγον;"

17 Τούτοις ἐπεδάκρυσεν ὁ Δάφνις καὶ εἰς οἶκτον ὑπηγάγετο τοὺς ἀγροίκους πολύν, ὥστε ὁ Φιλητᾶς, ὁ

δικαστής, ὤμνυε Πᾶνα καὶ Νύμφας μηδὲν ἀδικεῖν Δάφνιν, ἀλλὰ μηδὲ τὰς αἶγας, τὴν δὲ θάλατταν καὶ τὸν ἄνεμον, ὧν ἄλλους εἶναι δικαστάς. Ταῦτα λέγων 2
οὐκ ἔπειθε Φιλητᾶς [τοὺς] Μηθυμναίους, ἀλλ' ὑπ'
ὀργῆς ὁρμήσαντες ἦγον πάλιν τὸν Δάφνιν καὶ συν- 3
δεῖν ἤθελον. Ἐνταῦθα οἱ κωμῆται ταραχθέντες ἐπι-
πηδῶσιν αὐτοῖς ὡσεὶ ψᾶρες ἢ κολοιοί· καὶ ταχὺ μὲν
ἀφαιροῦνται τὸν Δάφνιν ἤδη καὶ αὐτὸν μαχόμενον,
ταχὺ δὲ ξύλοις παίοντες ἐκείνους εἰς φυγὴν ἐτρέψαν-
το· ἀπέστησαν δὲ οὐ πρότερον ἔστε τῶν ὅρων αὐτοὺς
ἐξήλασαν ἐς ἄλλους ἀγρούς.

Διωκόντων δὴ τοὺς Μηθυμναίους ἐκείνων ἡ 18
Χλόη κατὰ πολλὴν ἡσυχίαν ἄγει πρὸς τὰς Νύμφας
τὸν Δάφνιν καὶ ἀπονίπτει τε τὸ πρόσωπον ἡμαγμέ-
νον ἐκ τῶν ῥινῶν ῥαγεισῶν ὑπὸ πληγῆς τινος, κἀκ
τῆς πήρας προκομίσασα ζυμίτου μέρος καὶ τυροῦ τμῆ-
μά τι, δίδωσι φαγεῖν· τό τε μάλιστα ἀνακτησόμενον
αὐτόν, φίλημα ἐφίλησε μελιτῶδες ἁπαλοῖς τοῖς χείλεσι.

Τότε μὲν δὴ παρὰ τοσοῦτον Δάφνις ἦλθε κακοῦ. 19
Τὸ δὲ πρᾶγμα οὐ ταύτῃ ἐπέπαυτο, ἀλλ' ἐλθόντες οἱ
Μηθυμναῖοι μόλις εἰς τὴν ἑαυτῶν, ὁδοιπόροι μὲν
ἀντὶ ναυτῶν τραυματίαι δὲ ἀντὶ τρυφώντων, ἐκκλη-
σίαν τε συνήγαγον τῶν πολιτῶν καὶ ἱκετηρίας θέντες
ἱκέτευον τιμωρίας ἀξιωθῆναι· τῶν μὲν ἀληθῶν λέ- 2
γοντες οὐδὲ ἕν, μὴ καὶ πρὸς καταγέλαστοι γένοιντο
τοιαῦτα καὶ τοσαῦτα παθόντες ὑπὸ ποιμένων, κατη-
γοροῦντες δὲ Μυτιληναίων, ὡς τὴν ναῦν ἀφελομέ-
νων καὶ τὰ χρήματα διαρπασάντων πολέμου νόμῳ.
Οἱ δὲ πιστεύοντες διὰ τὰ τραύματα καὶ νεανίσκοις 3
τῶν πρώτων παρ' αὐτοῖς οἰκιῶν τιμωρῆσαι δίκαιον
νομίζοντες Μυτιληναίοις μὲν πόλεμον ἀκήρυκτον ἐψη-
φίσαντο· τὸν δὲ στρατηγὸν ἐκέλευσαν δέκα ναῦς καθ-

ελκύσαντα κακουργεῖν αὐτῶν τὴν παραλίαν· πλησίον γὰρ χειμῶνος ὄντος οὐκ ἦν ἀσφαλὲς μείζονα στόλον πιστεύειν τῇ θαλάττῃ.

20 Ὁ δὲ εὐθὺς τῆς ἐπιούσης ἀναγόμενος αὐτερέταις στρατιώταις ἐπέπλει τοῖς παραθαλαττίοις τῶν Μυτιληναίων ἀγροῖς. Καὶ πολλὰ μὲν ἥρπαζε ποίμνια, πολὺν δὲ σῖτον καὶ οἶνον, ἄρτι πεπαυμένου τοῦ τρυγητοῦ, καὶ ἀνθρώπους δὲ οὐκ ὀλίγους, ὅσοι τούτων ἐρ-
2 γάται. Ἐπέπλευσε καὶ τοῖς τῆς Χλόης ἀγροῖς καὶ τοῦ Δάφνιδος, καὶ ἀπόβασιν ὀξεῖαν θέμενος λείαν ἤλαυνε τὰ ἐν ποσίν. Ὁ μὲν [οὖν] Δάφνις οὐκ ἔνεμε τὰς αἶγας ἀλλὰ ἐς τὴν ὕλην ἀνελθὼν φυλλάδα χλωρὰν ἔκοπτεν, ὡς ἔχοι τοῦ χειμῶνος παρέχειν τοῖς ἐρίφοις τροφήν· ὥστε ἄνωθεν θεασάμενος τὴν καταδρομὴν ἐνέκρυψεν
3 ἑαυτὸν στελέχει κοίλῳ ξηρᾶς ὀξύης· ἡ δὲ Χλόη παρ- ἦν ταῖς ἀγέλαις καὶ διωκομένη καταφεύγει πρὸς τὰς Νύμφας ἱκέτις καὶ ἐδεῖτο φείσασθαι καὶ ὧν ἔνεμε καὶ αὐτῆς διὰ τὰς θεάς. Ἀλλ' ἦν οὐδὲν ὄφελος· οἱ γὰρ Μηθυμναῖοι πολλὰ τῶν ἀγαλμάτων κατακερτομήσαντες καὶ τὰς ἀγέλας ἤλασαν κἀκείνην ἤγαγον ὥσπερ αἶγα ἢ πρόβατον παίοντες λύγοις.

21 Ἔχοντες δὲ ἤδη τὰς ναῦς παντοδαπῆς ἁρπαγῆς μεστάς, οὐκέτ' ἐγίνωσκον περαιτέρω πλεῖν, ἀλλὰ τὸν οἴκαδε πλοῦν ἐποιοῦντο καὶ τὸν χειμῶνα καὶ τοὺς πολεμίους δεδιότες. Οἱ μὲν οὖν ἀπέπλεον εἰρεσίᾳ προσ-
2 ταλαιπωροῦντες· ἄνεμος γὰρ οὐκ ἦν· ὁ δὲ Δάφνις ἡσυχίας γενομένης ἐλθὼν εἰς τὸ πεδίον ἔνθα ἔνεμον, καὶ μήτε τὰς αἶγας ἰδὼν μήτε τὰ πρόβατα καταλαβὼν μήτε Χλόην εὑρὼν ἀλλ' ἐρημίαν πολλὴν καὶ τὴν σύ-
3 ριγγα ἐρριμμένην, ᾗ συνήθως ἐτέρπετο ἡ Χλόη, μέγα βοῶν καὶ ἐλεεινὸν κωκύων ποτὲ μὲν πρὸς τὴν φηγὸν ἔτρεχεν ἔνθα ἐκαθέζοντο, ποτὲ δὲ ἐπὶ τὴν θάλατταν

ὡς ὀψόμενος αὐτήν, ποτὲ δὲ ἐπὶ τὰς Νύμφας, ἐφ' ἃς ἑλκομένη κατέφυγεν. Ἐνταῦθα καὶ ἔρριψεν ἑαυτὸν χαμαὶ καὶ ταῖς Νύμφαις ὡς προδούσαις κατεμέμφετο.

" Ἀφ' ὑμῶν ἡρπάσθη Χλόη, καὶ τοῦτο ὑμεῖς ἰδεῖν 22
ὑπεμείνατε; ἡ τοὺς στεφάνους ὑμῖν πλέκουσα, ἡ σπένδουσα τοῦ πρώτου γάλακτος, ἧς καὶ ἡ σύριγξ ἥδε ἀνάθημα; Αἶγα μὲν οὐδὲ μίαν μοι λύκος ἥρπασε, 2
πολέμιοι δὲ τὴν ἀγέλην καὶ τὴν συννέμουσαν. Καὶ τὰς μὲν αἶγας ἀποδεροῦσι καὶ τὰ πρόβατα καταθύσουσι, Χλόη δὲ λοιπὸν πόλιν οἰκήσει. Ποίοις ποσὶν 3
ἄπειμι παρὰ τὸν πατέρα καὶ τὴν μητέρα ἄνευ τῶν αἰγῶν, ἄνευ Χλόης, λιπερνήτης γενόμενος; ἔχω γὰρ
νέμειν ἔτι οὐδέν. Ἐνταῦθα περιμενῶ κείμενος ἢ θά- 4
νατον ἢ πόλεμον δεύτερον. Ἆρα καὶ σύ, Χλόη, τοιαῦτα πάσχεις; ἆρα μέμνησαι τοῦ πεδίου τοῦδε καὶ τῶν Νυμφῶν τῶνδε κἀμοῦ; ἢ παραμυθοῦνταί σε τὰ πρόβατα καὶ αἱ αἶγες αἰχμάλωτοι μετὰ σοῦ γενόμεναι;"

Τοιαῦτα λέγοντα αὐτὸν ἐκ τῶν δακρύων καὶ τῆς 23
λύπης ὕπνος βαθὺς καταλαμβάνει. Καὶ αὐτῷ αἱ τρεῖς ἐφίστανται Νύμφαι, μεγάλαι γυναῖκες καὶ καλαί, ἡμίγυμνοι καὶ ἀνυπόδητοι, τὰς κόμας λελυμέναι καὶ τοῖς ἀγάλμασιν ὅμοιαι. Καὶ τὸ μὲν πρῶτον ἐώκεσαν 2
ἐλεοῦσαι τὸν Δάφνιν· ἔπειτα ἡ πρεσβυτάτη λέγει ἐπιρρωννύουσα

" Μηδὲν ἡμᾶς μέμφου, Δάφνι· Χλόης γὰρ ἡμῖν μᾶλλον μέλει ἢ σοί. Ἡμεῖς τοι καὶ παιδίον οὖσαν αὐτὴν ἠλεήσαμεν καὶ ἐν τῷδε τῷ ἄντρῳ κειμένην αὐτὴν ἀνεθρέψαμεν. Ἐκείνῃ [καὶ] παιδίοις κοινὸν οὐδέν. 3
Καὶ νῦν δὲ ἡμῖν πεφρόντισται τὸ κατ' ἐκείνην, ὡς μήτε εἰς τὴν Μήθυμναν κομισθεῖσα δουλεύοι μήτε

28 post οὐδέν: καὶ τοῖς προβατίοις τοῦ Λάμωνος

μέρος γένοιτο λείας πολεμικῆς. Τὸν Πᾶνα ἐκεῖνον τὸν ὑπὸ τῇ πίτυι ἱδρυμένον, ὃν ὑμεῖς οὐδέποτε οὐδὲ ἄνθεσιν ἐτιμήσατε, τούτου ἐδεήθημεν ἐπίκουρον γενέσθαι Χλόης· συνήθης γὰρ στρατοπέδοις μᾶλλον ἡμῶν καὶ πολλοὺς ἤδη πολέμους ἐπολέμησε τὴν ἀγροικίαν καταλιπών· καὶ ἔπεισι τοῖς Μηθυμναίοις οὐκ ἀγαθὸς πολέμιος. Κάμνε δὲ μηδέν, ἀλλ' ἀναστὰς ὄφθητι Λάμωνι καὶ Μυρτάλῃ, οἳ καὶ αὐτοὶ κεῖνται χαμαί, νομίζοντες καὶ σὲ μέρος γεγονέναι τῆς ἁρπαγῆς· Χλόη γάρ σοι τῆς ἐπιούσης ἀφίξεται μετὰ τῶν αἰγῶν, μετὰ τῶν προβάτων, καὶ νεμήσετε κοινῇ καὶ συρίσετε κοινῇ· τὰ δὲ ἄλλα μελήσει περὶ ὑμῶν Ἔρωτι."

24 Τοιαῦτα ἰδὼν καὶ ἀκούσας Λάφνις ἀναπηδήσας τῶν ὕπνων καὶ ὑφ' ἡδονῆς καὶ λύπης μεστὸς δακρύων τὰ ἀγάλματα τῶν Νυμφῶν προσεκύνει καὶ ἐπηγγέλλετο σωθείσης Χλόης θύσειν τῶν αἰγῶν τὴν 2 ἀρίστην. Δραμὼν δὲ καὶ ἐπὶ τὴν πίτυν, ἔνθα τὸ τοῦ Πανὸς ἄγαλμα ἵδρυτο κερασφόρον, τραγοσκελές, τῇ μὲν σύριγγα τῇ δὲ τράγον πηδῶντα κατέχον, κἀκεῖνον προσεκύνει καὶ εὔχετο ὑπὲρ τῆς Χλόης καὶ τρά- 3 γον θύσειν ἐπηγγέλλετο. Καὶ μόλις ποτὲ περὶ ἡλίου καταφορὰς παυσάμενος δακρύων καὶ εὐχῶν, ἀράμενος τὰς φυλλάδας, ἃς ἔκοψεν, ἐπανῆλθεν εἰς τὴν ἔπαυλιν, καὶ τοὺς ἀμφὶ τὸν Λάμωνα πένθους ἀπαλ- 4 λάξας, εὐφροσύνης ἐμπλήσας, τροφῆς τε ἐγεύσατο καὶ ἐς ὕπνον ὥρμησεν οὐδὲ τοῦτον ἄδακρυν, ἀλλ' εὐχόμενος μὲν αὖθις τὰς Νύμφας ὄναρ ἰδεῖν, εὐχόμενος δὲ τὴν ἡμέραν γενέσθαι ταχέως, ἐν ᾗ Χλόην ἐπηγγείλαντο αὐτῷ. Νυκτῶν πασῶν ἐκείνη ἔδοξε μακροτάτη γεγονέναι· ἐπράχθη δὲ ἐπ' αὐτῆς τάδε.

25 Ὁ στρατηγὸς ὁ τῶν Μηθυμναίων ὅσον δέκα σταδίους ἀπελάσας ἠθέλησε τοὺς στρατιώτας τῇ κατα-

δρομῇ κεκμηκότας ἀναλαβεῖν. Ἄκρας οὖν ἐπεμβαι-
νούσης τῷ πελάγει λαβόμενος ἐπεκτεινομένης μηνοει- 2
δῶς, ἧς ἐντὸς θάλαττα γαληνότερον τῶν λιμένων ὅρ-
μον εἰργάζετο, ἐνταῦθα τὰς ναῦς ἐπ' ἀγκυρῶν με-
τεώρους διορμίσας, ὡς μηδὲ μίαν ἐκ τῆς γῆς τῶν
ἀγροίκων τινὰ λυπῆσαι, ἀνῆκε τοὺς Μηθυμναίους
εἰς τέρψιν εἰρηνικήν. Οἱ δὲ ἔχοντες πάντων ἀφθο- 3
νίαν ἐκ τῆς ἁρπαγῆς ἔπινον, ἔπαιζον, ἐπινίκιον ἑορ-
τὴν ἐμιμοῦντο. Ἄρτι δὲ παυομένης ἡμέρας καὶ τῆς
τέρψεως ἐς νύκτα ληγούσης αἰφνίδιον μὲν ἡ γῆ πᾶσα
ἐδόκει λάμπεσθαι πυρί, κτύπος δὲ ἠκούετο ῥόθιος
κωπῶν, ὡς ἐπιπλέοντος μεγάλου στόλου. Ἐβόα τις 4
ὁπλίζεσθαι τὸν στρατηγόν, ἄλλος ἄλλον ἐκάλει, καὶ
τετρῶσθαί τις ἐδόκει, καὶ σχῆμά τις ἔκειτο νεκροῦ
μιμούμενος. Εἴκασεν ἄν τις ὁρᾶν νυκτομαχίαν οὐ παρ-
όντων πολεμίων.

Τῆς δὲ νυκτὸς αὐτοῖς τοιαύτης γενομένης ἐπῆλ- 26
θεν ἡ ἡμέρα πολὺ τῆς νυκτὸς φοβερωτέρα. Οἱ τράγοι
μὲν οἱ τοῦ Δάφνιδος καὶ αἱ αἶγες κιττὸν ἐν τοῖς κέ-
ρασι κορυμβοφόρον εἶχον, οἱ δὲ κριοὶ καὶ αἱ οἷς τῆς
Χλόης λύκων ὠρυγμὸν ὠρύοντο. Ὤφθη δὲ καὶ αὐτὴ 2
πίτυος ἐστεφανωμένη. Ἐγίνετο καὶ περὶ τὴν θάλατ-
ταν αὐτὴν πολλὰ παράδοξα. Αἵ τε γὰρ ἄγκυραι πει-
ρωμένων ἀναφέρειν κατὰ βυθοῦ ἔμενον, αἵ τε κῶπαι
καθιέντων εἰς εἰρεσίαν ἐθραύοντο· καὶ δελφῖνες πη-
δῶντες ἐξ ἁλὸς ταῖς οὐραῖς παίοντες τὰς ναῦς ἔλυον
τὰ γομφώματα. Ἠκούετό τις καὶ ἀπὸ τῆς ὀρθίου πέ- 3
τρας τῆς ὑπὲρ τὴν ἄκραν σύριγγος ἦχος· ἀλλὰ οὐκ
ἔτερπεν ὡς σύριγξ, ἐφόβει δὲ τοὺς ἀκούοντας ὡς σάλ-
πιγξ. Ἐταράττοντο οὖν καὶ ἐπὶ τὰ ὅπλα ἔθεον καὶ 4
πολεμίους ἐκάλουν τοὺς οὐ βλεπομένους, ὥστε πάλιν
εὔχοντο νύκτα ἐπελθεῖν, ὡς τευξόμενοι σπονδῶν ἐν

αὐτῇ. Συνετὰ μὲν οὖν πᾶσιν ἦν τὰ γινόμενα τοῖς φρονοῦσιν ὀρθῶς ὅτι ἐκ Πανὸς ἦν τὰ φαντάσματα καὶ ἀκούσματα μηνίοντός τι τοῖς ναύταις· οὐκ εἶχον δὲ τὴν αἰτίαν συμβαλεῖν (οὐδὲν γὰρ ἱερὸν ἐσεσύλητο Πανός), ἔστε ἀμφὶ μέσην ἡμέραν ἐς ὕπνον οὐκ ἀθεεὶ τοῦ στρατηγοῦ καταπεσόντος αὐτὸς ὁ Πὰν ὤφθη τοιάδε λέγων

27 "Ὦ πάντων ἀνοσιώτατοι καὶ ἀσεβέστατοι, τί ταῦτα μαινομέναις φρεσὶν ἐτολμήσατε; Πολέμου μὲν τὴν ἀγροικίαν ἐνεπλήσατε τὴν ἐμοὶ φίλην, ἀγέλας δὲ βοῶν καὶ αἰγῶν καὶ ποιμνίων ἀπηλάσατε τὰς ἐμοὶ
2 μελομένας· ἀπεσπάσατε δὲ βωμῶν παρθένον, ἐξ ἧς Ἔρως μῦθον ποιῆσαι θέλει· καὶ οὔτε τὰς Νύμφας ᾐδέσθητε βλεπούσας οὔτε τὸν Πᾶνα ἐμέ. Οὔτ' οὖν Μήθυμναν ὄψεσθε μετὰ τοιούτων λαφύρων πλέον-
3 τες, οὔτε τήνδε φεύξεσθε τὴν σύριγγα τὴν ὑμᾶς τα-ράξασαν· ἀλλὰ ὑμᾶς βορὰν ἰχθύων θήσω καταδύσας, εἰ μὴ τὴν ταχίστην καὶ Χλόην ταῖς Νύμφαις ἀποδώ-σεις καὶ τὰς ἀγέλας Χλόης. Ἀνάστα δὴ καὶ ἐκβίβαζε τὴν κόρην μεθ' ὧν εἶπον. Ἡγήσομαι δὲ ἐγὼ καὶ σοὶ τοῦ πλοῦ κἀκείνῃ τῆς ὁδοῦ."

28 Πάνυ οὖν τεθορυβημένος ὁ Βρύαξις (τοῦτο γὰρ ἐκαλεῖτο ὁ στρατηγὸς) ἀναπηδᾷ καὶ τῶν νεῶν καλέ-σας τοὺς ἡγεμόνας ἐκέλευσε τὴν ταχίστην ἐν τοῖς
2 αἰχμαλώτοις ἀναζητεῖσθαι Χλόην. Οἱ δὲ ταχέως καὶ ἀνεῦρον καὶ εἰς ὀφθαλμοὺς ἐκόμισαν· ἐκαθέζετο γὰρ τῆς πίτυος ἐστεφανωμένη. Σύμβολον δὴ καὶ τοῦτο τῆς ἐν τοῖς ὀνείροις ὄψεως ποιούμενος ἐπ' αὐτῇ τῇ
3 ναυαρχίδος εἰς τὴν γῆν αὐτὴν κομίζει. Κἀκείνη ἄρτι ἀπεβεβήκει καὶ σύριγγος ἦχος ἀκούεται πάλιν ἐκ τῆς

19 post Χλόης: καὶ τὰς αἶγας καὶ τὰ πρόβατα

πέτρας, οὐκέτι πολεμικὸς καὶ φοβερός, ἀλλὰ ποιμενικὸς καὶ οἷος εἰς νομὴν ἡγεῖται ποιμνίων. Καὶ τά τε πρόβατα κατὰ τῆς ἀποβάθρας ἐξέτρεχεν ἐξολισθάνοντα τοῖς κέρασι τῶν χηλῶν, καὶ αἱ αἶγες πολὺ θρασύτερον, οἷα καὶ κρημνοβατεῖν εἰθισμέναι.

Καὶ ταῦτα μὲν περιίσταται κύκλῳ τὴν Χλόην 29
ὥσπερ χορός, σκιρτῶντα καὶ βληχώμενα καὶ ὅμοια χαίρουσιν· αἱ δὲ τῶν ἄλλων αἰπόλων αἶγες καὶ τὰ πρόβατα καὶ τὰ βουκόλια κατὰ χώραν ἔμενεν ἐν κοίλῃ νηί, καθάπερ αὐτὰ τοῦ μέλους μὴ καλοῦντος. Θαύ- 2
ματι δὲ πάντων ἐχομένων καὶ τὸν Πᾶνα εὐφημούντων ὤφθη τούτων ἐν τοῖς στοιχείοις ἀμφοτέροις θαυμασιώτερα. Τῶν μὲν Μηθυμναίων, πρὶν ἀνασπάσαι 3
τὰς ἀγκύρας, ἔπλεον αἱ νῆες καὶ τῆς ναυαρχίδος ἡγεῖτο δελφὶν πηδῶν ἐξ ἁλός· τῶν δὲ αἰγῶν καὶ τῶν προβάτων ἡγεῖτο σύριγγος ἦχος ἥδιστος, καὶ τὸν συρίττοντα ἔβλεπεν οὐδείς, ὥστε τὰ ποίμνια καὶ αἱ αἶγες προῄεσαν ἅμα καὶ ἐνέμοντο τερπόμεναι τῷ μέλει.

Δευτέρας που νομῆς καιρὸς ἦν, καὶ ὁ Δάφνις 30
ἀπὸ σκοπῆς τινος μετεώρου θεασάμενος τὰς ἀγέλας καὶ τὴν Χλόην, μέγα βοήσας „ὦ Νύμφαι καὶ Πὰν“ κατέδραμεν εἰς τὸ πεδίον καὶ περιπλακεὶς τῇ Χλόῃ λιποθυμήσας κατέπεσε. Μόλις δὲ ἔμβιος ὑπὸ τῆς 2
Χλόης φιλούσης καὶ ταῖς περιβολαῖς θαλπούσης γενόμενος ἐπὶ τὴν συνήθη φηγὸν ἔρχεται· καὶ ὑπὸ τῷ στελέχει καθίσας ἐπυνθάνετο πῶς ἀπέδρα τοσούτους πολεμίους. Ἡ δὲ αὐτῷ κατέλεξε πάντα, τὸν τῶν αἰ- 3
γῶν κιττόν, τὸν τῶν προβάτων ὠρυγμόν, τὴν ἐπανθήσασαν τῇ κεφαλῇ πίτυν, τὸ ἐν τῇ γῇ πῦρ, τὸν ἐν τῇ θαλάττῃ κτύπον, τὰ συρίγματα ἀμφότερα, τὸ πολεμικὸν καὶ τὸ εἰρηνικόν, τὴν νύκτα τὴν φοβεράν, [καὶ] ὅπως αὐτῇ τὴν ὁδὸν ἀγνοούσῃ καθηγήσατο τῆς

4 ὁδοῦ μουσική. Γνωρίσας οὖν ὁ Δάφνις τὰ τῶν Νυμ-
φῶν ὀνείρατα καὶ τὰ τοῦ Πανὸς ἔργα διηγεῖται καὶ
αὐτὸς ὅσα εἶδεν, ὅσα ἤκουσεν· ὅτι μέλλων ἀποθνή-
5 σκειν διὰ τὰς Νύμφας ἔζησε. Καὶ τὴν μὲν ἀποπέμπει
κομιοῦσαν τοὺς ἀμφὶ τὸν Δρύαντα καὶ Λάμωνα καὶ 5
ὅσα πρέπει θυσίᾳ· αὐτὸς δὲ ἐν τούτῳ τῶν αἰγῶν τὴν
ἀρίστην συλλαβὼν καὶ κιττῷ στεφανώσας, ὥσπερ
ὤφθησαν τοῖς πολεμίοις, καὶ γάλα τῶν κεράτων κα-
τασπείσας, ἔθυσέ τε ταῖς Νύμφαις καὶ κρεμάσας ἀπέ-
δειρε καὶ τὸ δέρμα ἀνέθηκεν. 10

31 Ἤδη δὲ παρόντων τῶν ἀμφὶ τὴν Χλόην, πῦρ
ἀνακαύσας καὶ τὰ μὲν ἑψήσας τῶν κρεῶν τὰ δὲ ὀπτή-
σας ἀπήρξατό τε ταῖς Νύμφαις καὶ κρατῆρα μεστὸν
γλεύκους ἐπέσπεισε· καὶ ἐκ φυλλάδος στιβάδας ὑπο-
στορέσας ἐντεῦθεν ἐν τροφῇ ἦν καὶ πότῳ καὶ παιδιᾷ· 15
καὶ ἅμα τὰς ἀγέλας ἐπεσκόπει, μὴ λύκος ἐμπεσὼν
2 ἔργα ποιήσῃ πολεμίων. Ἦσάν τινας καὶ ᾠδὰς εἰς τὰς
Νύμφας, παλαιῶν ποιμένων ποιήματα. Νυκτὸς δὲ
ἐπελθούσης αὐτοῦ κοιμηθέντες ἐν τῷ ἀγρῷ, τῆς
ἐπιούσης τοῦ Πανὸς ἐμνημόνευσαν, καὶ τῶν τράγων 20
τὸν ἀγελάρχην στεφανώσαντες πίτυος προσήγαγον
τῇ πίτυι, καὶ ἀποσπείσαντες οἴνου καὶ εὐφημοῦντες
3 τὸν θεὸν ἔθυσαν, ἐκρέμασαν, ἀπέδειραν· καὶ τὰ μὲν
κρέα ὀπτήσαντες καὶ ἑψήσαντες πλησίον ἔθηκαν ἐν
τῷ λειμῶνι, ἐν τοῖς φύλλοις· τὸ δὲ δέρμα κέρασιν 25
αὐτοῖς ἐνέπηξαν τῇ πίτυι πρὸς τῷ ἀγάλματι, ποιμε-
νικὸν ἀνάθημα ποιμενικῷ θεῷ. Ἀπήρξαντο καὶ τῶν
κρεῶν, ἀπέσπεισαν καὶ κρατῆρος μείζονος· ἦσεν ἡ
Χλόη, [ὁ] Δάφνις ἐσύρισεν.

32 Ἐπὶ τούτοις κατακλινέντες ἤσθιον· καὶ αὐτοῖς 30
ἐφίσταται Φιλητᾶς ὁ βουκόλος κατὰ τύχην στεφανί-
σκους τινὰς τῷ Πανὶ κομίζων καὶ βότρυς ἔτι ἐν φύλ-

λοις καὶ κλήμασι· καὶ αὐτῷ τῶν παίδων ὁ νεώτατος εἵπετο Τίτυρος, πυρρὸν παιδίον καὶ γλαυκόν, λευκὸν παιδίον καὶ ἀγέρωχον· καὶ ἤλλετο κοῦφα, βαδίζων ὥσπερ ἔριφος. Ἀναπηδήσαντες οὖν συνεστεφάνουν τὸν Πᾶνα καὶ τὰ κλήματα τῆς κόμης τῆς πίτυος ἐξήρτων, καὶ κατακλίναντες πλησίον αὐτῶν συμπότην ἐποιοῦντο. Καὶ οἷα δὴ γέροντες ὑποβεβρεγμένοι πρὸς ἀλλήλους πολλὰ ἔλεγον· ὡς ἔνεμον ἡνίκα ἦσαν νέοι, ὡς πολλὰς ληστῶν καταδρομὰς διέφυγον· ἐσεμνύνετό τις ὡς λύκον ἀποκτείνας, ἄλλος ὡς μόνου τοῦ Πανὸς δεύτερα συρίσας· τοῦτο τοῦ Φιλητᾶ τὸ σεμνολόγημα ἦν. 2 3

Ὁ οὖν Δάφνις καὶ ἡ Χλόη πάσας δεήσεις προσέφερον μεταδοῦναι καὶ αὐτοῖς τῆς τέχνης, συρίσαι τε ἐν ἑορτῇ θεοῦ σύριγγι χαίροντος. Ἐπαγγέλλεται Φιλητᾶς, καίτοι τὸ γῆρας ὡς ἄπνουν μεμψάμενος, καὶ ἔλαβε σύριγγα τὴν τοῦ Δάφνιδος. Ἡ δὲ ἦν μικρὰ πρὸς μεγάλην τέχνην, οἷα ἐν στόματι παιδὸς ἐμπνεομένη. Πέμπει οὖν Τίτυρον ἐπὶ τὴν ἑαυτοῦ σύριγγα, τῆς ἐπαύλεως ἀπεχούσης σταδίους δέκα. Ὁ μὲν [[οὖν]] ῥίψας τὸ ἐγκόμβωμα γυμνὸς ὥρμησε τρέχειν, ὥσπερ νεβρός· ὁ δὲ Λάμων ἐπηγγείλατο αὐτοῖς τὸν περὶ τῆς σύριγγος ἀφηγήσεσθαι μῦθον, ὃν αὐτῷ Σικελὸς αἰπόλος ἦσεν ἐπὶ μισθῷ τράγῳ καὶ σύριγγι. 33 2 3

Αὕτη ἡ σύριγξ τὸ ὄργανον οὐκ ἦν ὄργανον ἀλλὰ παρθένος καλὴ καὶ τὴν φωνὴν μουσική. Αἶγας ἔνεμεν, Νύμφαις συνέπαιζεν, ἤδεν οἷον νῦν. Πὰν ταύτης νεμούσης παιζούσης ᾄδούσης προσελθὼν ἔπειθεν ἐς ὅ τι ἔχρηζε, καὶ ἐπηγγέλλετο τὰς αἶγας πάσας θήσειν διδυματόκους. Ἡ δὲ ἐγέλα τὸν ἔρωτα αὐτοῦ, οὐδὲ ἐραστὴν ἔφη δέξεσθαι [[τὸν]] μήτε τράγον [[ὄντα]] μήτε ἄνθρωπον ὁλόκληρον. Ὁρμᾷ διώκειν ὁ Πὰν 34 2

πρὸς βίαν· ἡ Σύριγξ ἔφευγε καὶ τὸν Πᾶνα καὶ τὴν βίαν· φεύγουσα κάμνουσα ἐς δόνακας κρύπτεται, εἰς
3 ἕλος ἀφανίζεται. Πὰν τοὺς δόνακας ὀργῇ τεμών, τὴν κόρην οὐχ εὑρών, τὸ πάθος μαθὼν τὸ ὄργανον νοεῖ, τοὺς καλάμους κηρῷ συνδήσας ἀνίσους, καθ' ὅ τι καὶ 5
ὁ ἔρως ἄνισος αὐτοῖς· καὶ ἡ τότε παρθένος καλὴ νῦν ἐστι σύριγξ μουσική."

35 "Αρτι ἐπέπαυτο τοῦ μυθολογήματος ὁ Λάμων, καὶ ἐπῄνει Φιλητᾶς αὐτὸν ὡς εἰπόντα μῦθον ᾠδῆς γλυκύτερον, καὶ ὁ Τίτυρος ἐφίσταται τὴν σύριγγα τῷ 10
πατρὶ κομίζων, μέγα ὄργανον καὶ αὐλῶν μεγάλων,
2 καὶ ἵνα κεκήρωτο, χαλκῷ πεποίκιλτο. Εἴκασεν ἄν τις εἶναι ταύτην ἐκείνην, ἣν ὁ Πὰν πρώτην ἐπήξατο. Διεγερθεὶς οὖν ὁ Φιλητᾶς καὶ καθίσας ἐν καθέδρᾳ ὀρθὸς
3 πρῶτον μὲν ἀπεπειράθη τῶν καλάμων εἰ εὔπνοι· ἔπει- 15
τα μαθὼν ὡς ἀκώλυτον διατρέχει τὸ πνεῦμα, ἐνέπνει τὸ ἐντεῦθεν πολὺ καὶ νεανικόν. Αὐλῶν τις ἂν ᾠήθη συναυλούντων ἀκούειν· τοσοῦτον ἦχει τὸ σύριγμα. Κατ' ὀλίγον δὲ τῆς βίας ἀφαιρῶν εἰς τὸ τερπνότερον
4 μετέβαλλε τὸ μέλος. Καὶ πᾶσαν τέχνην ἐπιδεικνύμε- 20
νος εὐνομίας μουσικῆς ἐσύριττεν οἷον βοῶν ἀγέλῃ πρέπον, οἷον αἰπολίῳ πρόσφορον, οἷον ποίμναις φίλον. Τερπνὸν ἦν τὸ ποιμνίων, μέγα τὸ βοῶν, ὀξὺ τὸ αἰγῶν· ὅλως πάσας σύριγγας μία σύριγξ ἐμιμήσατο.

36 Οἱ μὲν οὖν ἄλλοι σιωπῇ κατέκειντο τερπόμενοι· 25
Δρύας δὲ ἀναστὰς καὶ κελεύσας συρίττειν Διονυσιακὸν μέλος, ἐπιλήνιον αὐτοῖς ὄρχησιν ὠρχήσατο· καὶ
2 ἐῴκει ποτὲ μὲν τρυγῶντι, ποτὲ δὲ φέροντι ἀρρίχους, εἶτα πατοῦντι τοὺς βότρυς, εἶτα πληροῦντι τοὺς πίθους, εἶτα πίνοντι τοῦ γλεύκους. Ταῦτα πάντα οὕ- 30
τως εὐσχημόνως ὠρχήσατο Δρύας καὶ ἐναργῶς, ὥστε

ἐδόκουν βλέπειν καὶ τὰς ἀμπέλους καὶ τὴν ληνὸν καὶ τοὺς πίθους καὶ ἀληθῶς Δρύαντα πίνοντα.

Τρίτος δὴ γέρων οὗτος εὐδοκιμήσας ἐπ' ὀρχήσει 37
φιλεῖ Χλόην καὶ Δάφνιν· οἱ δὲ μάλα ταχέως ἀναστάν-
τες ὠρχήσαντο τὸν μῦθον τοῦ Λάμωνος. Ὁ Δάφνις
Πᾶνα ἐμιμεῖτο, τὴν Σύριγγα Χλόη· ὁ μὲν ἱκέτευε 2
πείθων, ἡ δὲ ἀμελοῦσα ἐμειδία· ὁ μὲν ἐδίωκε καὶ
ἐπ' ἄκρων τῶν ὀνύχων ἔτρεχε τὰς χηλὰς μιμούμενος,
ἡ δὲ ἐνέφαινε τὴν κάμνουσαν ἐν τῇ φυγῇ. Ἔπειτα
Χλόη μὲν εἰς τὴν ὕλην ὡς εἰς ἕλος κρύπτεται, Δάφνις
δὲ λαβὼν τὴν Φιλητᾶ σύριγγα τὴν μεγάλην ἐσύρισε 3
γοερὸν ὡς ἐρῶν, ἐρωτικὸν ὡς πείθων, ἀνακλητικὸν
ὡς ἐπιζητῶν, ὥστε ὁ Φιλητᾶς θαυμάσας φιλεῖ τε ἀνα-
πηδήσας καὶ τὴν σύριγγα χαρίζεται φιλήσας καὶ εὔ-
χεται καὶ Δάφνιν καταλιπεῖν αὐτὴν ὁμοίῳ διαδόχῳ.

Ὁ δὲ τὴν ἰδίαν ἀναθεὶς τῷ Πανὶ τὴν σμικρὰν 38
καὶ φιλήσας ὡς ἐκ φυγῆς ἀληθινῆς εὑρεθεῖσαν τὴν
Χλόην ἀπήλαυνε τὴν ἀγέλην συρίττων νυκτὸς ἤδη
ἐπιγινομένης· ἀπήλαυνε [δὲ] καὶ ἡ Χλόη τὴν ποί-
μνην τῷ μέλει τῆς σύριγγος συνᾴδουσα· καὶ αἵ τε 2
αἶγες πλησίον τῶν προβάτων ἤεσαν, ὅ τε Δάφνις
ἐβάδιζεν ἐγγὺς τῆς Χλόης, ὥστε ἐνέπλησαν ἕως
νυκτὸς ἀλλήλους καὶ συνέθεντο θᾶττον τὰς ἀγέλας
τῆς ἐπιούσης κατελάσαι· καὶ οὕτως ἐποίησαν. Ἄρτι 3
γοῦν ἀρχομένης ἡμέρας ἦλθον εἰς τὴν νομήν· καὶ
τὰς Νύμφας προτέρας, εἶτα τὸν Πᾶνα προσαγορεύ-
σαντες, τὸ ἐντεῦθεν ὑπὸ τῇ δρυὶ καθεσθέντες ἐσύ-
ριττον· εἶτα ἀλλήλους ἐφίλουν, περιέβαλλον, κατε-
κλίνοντο, καὶ οὐδὲν δράσαντες πλέον ἀνίσταντο.
Ἐμέλησεν αὐτοῖς καὶ τροφῆς, καὶ ἔπιον οἶνον μίξαν-
τες γάλα.

Καὶ τούτοις ἅπασι θερμότεροι γενόμενοι καὶ θρα- 39

σύτεροι, πρὸς ἀλλήλους ἤριζον ἔριν ἐρωτικήν, καὶ μετ' ὀλίγον εἰς ὅρκων πίστιν προῆλθον. Ὁ μὲν δὴ Δάφνις τὸν Πᾶνα ὤμοσεν ἐλθὼν ἐπὶ τὴν πίτυν μὴ ζήσεσθαι μόνος ἄνευ Χλόης μηδὲ μιᾶς χρόνον ἡμέρας· 2 ἡ δὲ Χλόη τὰς Νύμφας εἰσελθοῦσα εἰς τὸ ἄντρον τὸν αὐτὸν Δάφνιδι ἕξειν καὶ θάνατον καὶ βίον. Τοσοῦτον δὲ ἄρα τῇ Χλόῃ τὸ ἀφελὲς προσῆν ὡς κόρῃ, ὥστε ἐξιοῦσα τοῦ ἄντρου καὶ δεύτερον ἠξίου λαβεῖν ὅρκον παρ' αὐτοῦ "ὦ Δάφνι" λέγουσα "θεὸς ὁ Πὰν ἐρωτι- 3 κός ἐστι καὶ ἄπιστος· ἠράσθη μὲν Πίτυος, ἠράσθη δὲ Σύριγγος· παύεται δὲ οὐδέποτε Δρυάσιν ἐνοχλῶν καὶ Ἐπιμηλίσι Νύμφαις παρέχων πράγματα. Οὗτος μὲν οὖν ἀμεληθεὶς ἐν τοῖς ὅρκοις ἀμελήσει σε κολάσαι, κἂν ἐπὶ πλείονας ἔλθῃς γυναῖκας τῶν ἐν τῇ 4 σύριγγι καλάμων· σὺ δέ μοι τὸ αἰπόλιον τοῦτο ὄμοσον καὶ τὴν αἶγα ἐκείνην, ἣ σε ἀνέθρεψε, μὴ καταλιπεῖν Χλόην, ἕστ' ἂν πιστή σοι μένῃ· ἄδικον δὲ εἰς σὲ καὶ τὰς Νύμφας γενομένην καὶ φεῦγε καὶ μίσει καὶ ἀπόκτεινον ὥσπερ λύκον."

5 Ἥδετο ὁ Δάφνις ἀπιστούμενος καὶ στὰς εἰς μέσον τὸ αἰπόλιον καὶ τῇ μὲν τῶν χειρῶν αἰγὸς τῇ δὲ τράγου λαβόμενος ὤμνυε Χλόην φιλήσειν φιλοῦσαν· κἂν ἕτερον προκρίνῃ Δάφνιδος, ἀντ' ἐκείνης αὐτὸν 6 ἀποκτενεῖν. Ἡ δὲ ἔχαιρε καὶ ἐπίστευεν ὡς κόρη καὶ νομίζουσα τὰς αἶγας καὶ τὰ πρόβατα ποιμένων καὶ αἰπόλων ἰδίους θεούς.

---

24 post κόρη: καὶ νέμουσα

Γ

Μυτιληναῖοι δὲ ὡς ᾔσθοντο τὸν ἐπίπλουν τῶν 1
δέκα νεῶν καί τινες ἐμήνυσαν αὐτοῖς τὴν ἁρπαγὴν
ἐλθόντες ἐκ τῶν ἀγρῶν, οὐκ ἀνασχετὸν νομίσαντες
ταῦτα ἐκ Μηθυμναίων παθεῖν, ἔγνωσαν καὶ αὐτοὶ
τὴν ταχίστην ἐπ' αὐτοὺς ὅπλα κινεῖν· καὶ καταλέξαν- 2
τες ἀσπίδα τρισχιλίαν καὶ ἵππον πεντακοσίαν ἐξέ-
πέμψαν κατὰ γῆν τὸν στρατηγὸν Ἵππασον, ὀκνοῦντες
ἐν ὥρᾳ χειμῶνος τὴν θάλατταν.

Ὁ δὲ ἐξορμηθεὶς ἀγροὺς μὲν οὐκ ἐλεηλάτει τῶν 2
Μηθυμναίων οὐδὲ ἀγέλας καὶ κτήματα ἥρπαζε γεωρ-
γῶν καὶ ποιμένων, λῃστοῦ νομίζων ταῦτα ἔργα μᾶλ-
λον ἢ στρατηγοῦ· ταχὺ δὲ ἐπὶ τὴν πόλιν αὐτὴν [[ἦγεν]]
ὡς ἐπιπεσούμενος ἀφρουρήτοις ταῖς πύλαις. Καὶ αὐ- 2
τῷ σταδίους ὅσον ἑκατὸν ἀπέχοντι κῆρυξ ἀπαντᾷ
σπονδὰς κομίζων. Οἱ γὰρ Μηθυμναῖοι μαθόντες 3
παρὰ τῶν ἁλωκότων ὡς οὐδὲν ἴσασι Μυτιληναῖοι τῶν
γεγενημένων, ἀλλὰ γεωργοὶ καὶ ποιμένες ὑβρίζοντας
τοὺς νεανίσκους ταῦτα ἔδρασαν, μετεγίνωσκον μὲν
ὀξύτερα τολμήσαντες εἰς γείτονα πόλιν ἢ σωφρονέστε-
ρα, σπουδὴν δὲ εἶχον ἀποδόντες πᾶσαν τὴν ἁρπαγὴν
ἀδεῶς ἐπιμίγνυσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.
Τὸν μὲν οὖν κήρυκα τοῖς Μυτιληναίοις ὁ Ἵππασος 4
ἀποστέλλει, καίτοιγε αὐτοκράτωρ στρατηγὸς κεχειρο-
τονημένος· αὐτὸς δὲ τῆς Μηθύμνης ὅσον ἀπὸ δέκα
σταδίων στρατόπεδον βαλόμενος τὰς ἐκ τῆς πόλεως
ἐντολὰς ἀνέμενε. Καὶ δύο διαγενομένων ἡμερῶν 5
ἐλθὼν ὁ ἄγγελος τήν τε ἁρπαγὴν ἐκέλευσε κομίσασθαι
καὶ ἀδικήσαντα μηδὲν ἀναχωρεῖν οἴκαδε· πολέμου
γὰρ καὶ εἰρήνης ἐν αἱρέσει γενόμενοι, τὴν εἰρήνην
εὕρισκον κερδαλεωτέραν.

3 Ὁ μὲν δὴ Μηθυμναίων καὶ Μυτιληναίων πόλε-
μος ἀδόκητον λαβὼν ἀρχὴν καὶ τέλος οὕτω διελύθη.
Γίνεται δὲ χειμὼν Δάφνιδι καὶ Χλόῃ τοῦ πολέμου
πικρότερος· ἐξαίφνης γὰρ περιπεσοῦσα χιὼν πολλὴ
πάσας μὲν ἀπέκλεισε τὰς ὁδούς, πάντας δὲ κατέ- 5
2 κλεισε τοὺς γεωργούς. Λάβροι μὲν οἱ χείμαρροι κατ-
έρρεον, ἐπεπήγει δὲ κρύσταλλος· τὰ δένδρα ἐῴκει
κατεσκελετευμένοις· ἡ γῆ πᾶσα ἀφανὴς ἦν ὅτι μὴ
3 περὶ πηγάς που καὶ ῥεύματα. Οὔτ' οὖν ἀγέλην τις ἐς
νομὴν ἦγεν οὔτε αὐτὸς προῄει τῶν θυρῶν, ἀλλὰ πῦρ 10
καύσαντες μέγα περὶ ᾠδὰς ἀλεκτρυόνων οἱ μὲν λί-
νον ἔστρεφον, οἱ δὲ αἰγῶν τρίχας ἔπλεκον, οἱ δὲ
4 πάγας ὀρνίθων ἐσοφίζοντο. Τότε βοῶν ἐπὶ φάτναις
φροντὶς ἦν ἄχυρον ἐσθιόντων, αἰγῶν καὶ προβάτων
ἐν τοῖς σηκοῖς φυλλάδας, ὑῶν ἐν τοῖς συφεοῖς ἄκυ- 15
λον καὶ βαλάνους.

4 Ἀναγκαίας οὖν οἰκουρίας ἐπεχούσης ἅπαντας οἱ
μὲν ἄλλοι γεωργοὶ καὶ νομεῖς ἔχαιρον πόνων τε ἀπηλ-
λαγμένοι πρὸς ὀλίγον καὶ τροφὰς ἑωθινὰς ἐσθίοντες
καὶ καθεύδοντες μακρὸν ὕπνον, ὥστε αὐτοῖς τὸν 20
χειμῶνα δοκεῖν καὶ θέρους καὶ μετοπώρου καὶ ἦρος
2 αὐτοῦ γλυκύτερον. Χλόη δὲ καὶ Δάφνις ἐν μνήμῃ
γενόμενοι τῶν καταλειφθέντων τερπνῶν, ὡς ἐφίλουν,
ὡς περιέβαλλον, ὡς ἅμα τὴν τροφὴν προσεφέροντο, νύ-
κτας τε ἀγρύπνους διῆγον καὶ λυπηρὰς καὶ τὴν ἠρινὴν 25
3 ὥραν ἀνέμενον ἐκ θανάτου παλιγγενεσίαν. Ἐλύπει
δὲ αὐτοὺς ἡ πήρα τις ἐλθοῦσα εἰς χεῖρας, ἐξ ἧς συν-
ήσθιον, ἡ γαυλὸς ὀφθείς, ἐξ οὗ συνέπιον, ἡ σύριγξ
4 ἀμελῶς ἐρριμμένη, δῶρον ἐρωτικὸν γεγενημένη. Εὔ-
χοντο δὴ ταῖς Νύμφαις καὶ τῷ Πανὶ καὶ τούτων αὐ- 30
τοὺς ἐκλύσασθαι τῶν κακῶν καὶ δεῖξαί ποτε αὐτοῖς
καὶ ταῖς ἀγέλαις ἥλιον· ἅμα τε εὐχόμενοι τέχνην ἐξή-

τουν, δι' ἧς ἀλλήλους θεάσονται. Ἡ μὲν δὴ Χλόη δεινῶς ἄπορος ἦν καὶ ἀμήχανος· ἀεὶ γὰρ αὐτῇ συνῆν ἡ δοκοῦσα μήτηρ ἔριά τε ξαίνειν διδάσκουσα καὶ ἀτράκτους στρέφειν καὶ γάμου μνημονεύουσα· ὁ δὲ Λάφνις, οἷα σχολὴν ἄγων καὶ συνετώτερος κόρης, τοιόνδε σόφισμα εὗρεν ἐς θέαν τῆς Χλόης. 5

Πρὸ τῆς αὐλῆς τοῦ Δρύαντος, ὑπ' αὐτῇ τῇ αὐλῇ, μυρρίναι μεγάλαι δύο καὶ κιττὸς ἐπεφύκει· αἱ μυρρίναι πλησίον ἀλλήλων, ὁ κιττὸς ἀμφοτέρων μέσος, ὥστε ἐφ' ἑκατέραν διαθεὶς τοὺς ἀκρεμόνας ὡς ἄμπελος ἄντρου σχῆμα διὰ τῶν φύλλων ἐπαλλαττόντων ἐποίει· καὶ ὁ κόρυμβος πολὺς καὶ μέγας ὅσος βότρυς κλημάτων ἐξεκρέματο. Ἦν οὖν πολὺ πλῆθος περὶ αὐτὸν τῶν χειμερινῶν ὀρνίθων ἀπορίᾳ τῆς ἔξω τροφῆς· πολὺς μὲν κόψιχος, πολλὴ δὲ κίχλη, καὶ φάττται καὶ ψᾶρες καὶ ὅσον ἄλλο κιττοφάγον πτερόν. Τούτων τῶν ὀρνίθων ἐπὶ προφάσει θήρας ἐξώρμησεν ὁ Λάφνις, ἐμπλήσας μὲν τὴν πήραν ὀψημάτων μεμελιτωμένων, κομίζων δὲ ἐς πίστιν ἰξὸν καὶ βρόχους. Τὸ μὲν οὖν μεταξὺ σταδίων ἦν οὐ πλέον δέκα· οὔπω δὲ ἡ χιὼν λελυμένη πολὺν αὐτῷ κάματον παρέσχεν· ἔρωτι δὲ ἄρα πάντα βάσιμα καὶ πῦρ καὶ ὕδωρ καὶ Σκυθικὴ χιών.

Δρόμῳ οὖν πρὸς τὴν αὐλὴν ἔρχεται καὶ ἀποσείσάμενος τῶν σκελῶν τὴν χιόνα τούς τε βρόχους ἔστησε καὶ τὸν ἰξὸν ῥάβδοις μακραῖς ἐπήλειψε· καὶ ἐκαθέζετο τὸ ἐντεῦθεν ὄρνιθας καὶ τὴν Χλόην μεριμνῶν. Ἀλλ' ὄρνιθες μὲν καὶ ἦκον πολλοὶ καὶ ἐλήφθησαν ἱκανοί, ὥστε πράγματα μυρία ἔσχε συλλέγων αὐτοὺς καὶ ἀποκτιννὺς καὶ ἀποδύων τὰ πτερά· τῆς δὲ αὐλῆς προῆλθεν οὐδείς, οὐκ ἀνήρ, οὐ γύναιον, οὐ κατοικίδιος ὄρνις, ἀλλὰ πάντες τῷ πυρὶ παραμένοντες ἔνδον

κατεκέκλειντο, ὥστε πάνυ ἠπορεῖτο ὁ Δάφνις ὡς οὐκ [[ἐπ']] αἰσίοις ὄρνισιν ἐλθών· καὶ ἐτόλμα πρόφασιν σκηψάμενος ὥσασθαι διὰ θυρῶν καὶ ἐζήτει πρὸς αὐ-
3 τὸν ὅ τι λεχθῆναι πιθανώτατον. "Πῦρ ἐναυσόμενος ἦλθον." 'Μὴ γὰρ οὐκ ἦσαν ἀπὸ σταδίου γείτονες;' "Ἄρτους αἰτησόμενος ἦκον." 'Ἀλλ' ἡ πήρα μεστὴ τροφῆς.' 'Οἴνου δέομαι.' 'Καὶ μὴν χθὲς καὶ πρώην ἐτρύγησας.' 'Λύκος με ἐδίωκε.' 'Καὶ ποῦ τὰ ἴχνη τοῦ λύκου;' 'Θηράσων ἀφικόμην τοὺς ὄρνιθας.' 'Τί οὖν
4 θηράσας οὐκ ἄπει;' 'Χλόην θεάσασθαι βούλομαι." Πατρὶ δὲ τίς καὶ μητρὶ παρθένου τοῦτο ὁμολογεῖ; Πταίων δὴ πανταχοῦ "ἀλλ' οὐδὲν" [[ἔφη]] "τούτων ἀπάντων ἀνύποπτον. Ἄμεινον ἄρα σιγᾶν· Χλόην δὲ
5 ἦρος ὄψομαι, ἐπεὶ μὴ εἵμαρτο, ὡς ἔοικε, χειμῶνός με ταύτην ἰδεῖν." Τοιαῦτα δή τινα διανοηθεὶς καὶ σιωπῇ τὰ θηραθέντα συλλαβὼν ὥρμητο ἀπιέναι· καὶ ὥσπερ αὐτὸν οἰκτείραντος τοῦ Ἔρωτος τάδε γίνεται.

7 Περὶ τράπεζαν εἶχον οἱ ἀμφὶ τὸν Δρύαντα· κρέα διηρεῖτο, ἄρτοι παρετίθεντο, κρατὴρ ἐκίρνατο. Εἷς δὴ κύων τῶν προβατευτικῶν ἀμέλειαν φυλάξας,
2 κρέας ἁρπάσας ἔφυγε διὰ θυρῶν. Ἀλγήσας ὁ Δρύας (καὶ γὰρ ἦν ἐκείνου μοῖρα) ξύλον ἀράμενος ἐδίωκε κατ' ἴχνος ὥσπερ κύων· διώκων δὲ κατὰ τὸν κιττὸν γενόμενος ὁρᾷ τὸν Δάφνιν ἀνατεθειμένον ἐπὶ τοὺς
3 ὤμους τὴν ἄγραν καὶ ἀποσοβεῖν ἐγνωκότα. Κρέως μὲν οὖν καὶ κυνὸς αὐτίκα ἐπελάθετο, μέγα δὲ βοήσας "χαῖρε, ὦ παῖ" περιεπλέκετο καὶ κατεφίλει καὶ ἦγεν ἔσω λαβόμενος. Μικροῦ μὲν οὖν ἰδόντες ἀλλήλους εἰς τὴν γῆν κατερρύησαν· μεῖναι δὲ καρτερήσαντες ὀρθοὶ προσηγόρευσάν τε καὶ κατεφίλησαν· καὶ τοῦτο οἱονεὶ ἔρεισμα αὐτοῖς τοῦ μὴ πεσεῖν ἐγένετο.

8 Τυχὼν οὖν ὁ Δάφνις παρ' ἐλπίδας καὶ φιλήματος

καὶ Χλόης τοῦ τε πυρὸς ἐκαθέσθη πλησίον καὶ ἐπὶ τὴν τράπεζαν ἀπὸ τῶν ὤμων τὰς φάττας ἀπεφορτίσατο καὶ τοὺς κοψίχους, καὶ διηγεῖτο πῶς ἀσχάλλων πρὸς τὴν οἰκουρίαν ὥρμησε πρὸς ἄγραν, καὶ ὅπως τὰ μὲν αὐτῶν βρόχοις τὰ δὲ ἰξῷ λάβοι τῶν μύρτων καὶ τοῦ κιττοῦ γλιχόμενα. Οἱ δὲ ἐπήνουν τὸ ἐνεργὸν καὶ 2
ἐκέλευον ἐσθίειν ὧν ὁ κύων κατέλιπεν, ἐκέλευον δὲ καὶ τῇ Χλόῃ πιεῖν ἐγχέαι. Καὶ ἡ χαίρουσα τοῖς τε ἄλλοις ὤρεξε καὶ Δάφνιδι μετὰ τοὺς ἄλλους· ἐσκήπτετο γὰρ ὀργίζεσθαι, διότι ἐλθὼν ἔμελλεν ἀποτρέχειν οὐκ ἰδών· ὅμως μέντοι πρὶν προσενεγκεῖν ἀπέπιεν, εἶθ' οὕτως ἔδωκεν. Ὁ δέ, καίτοι διψῶν, βραδέως ἔπινε, παρέχων ἑαυτῷ διὰ τῆς βραδυτῆτος μακροτέραν ἡδονήν.

Ἡ μὲν δὴ τράπεζα ταχέως ἐγένετο κενὴ ἄρτων καὶ 9
κρεῶν· καθήμενοι δὲ περὶ τῆς Μυρτάλης καὶ τοῦ Λάμωνος ἐπυνθάνοντο καὶ εὐδαιμόνιζον αὐτοὺς τοιούτου γηροτρόφου εὐτυχήσαντας. Καὶ τοῖς ἐπαίνοις μὲν 2
ἥδετο Χλόης ἀκροωμένης· ὅτε δὲ κατεῖχον αὐτόν, ὡς θύσοντες Διονύσῳ τῆς ἐπιούσης ἡμέρας, μικροῦ δεῖν ὑφ' ἡδονῆς ἐκείνους ἀντὶ τοῦ Διονύσου προσεκύνησεν. Αὐτίκα οὖν ἐκ τῆς πήρας προυκόμιζε μελιτώματα 3
πολλὰ καὶ τοὺς θηραθέντας δὲ τῶν ὀρνίθων· καὶ τούτους ἐς τράπεζαν νυκτερινὴν ηὐτρέπιζον. Δεύτερος κρατὴρ ἵστατο καὶ δεύτερον πῦρ ἀνεκάετο. Καὶ ταχὺ 4
μάλα νυκτὸς γενομένης, δευτέρας τραπέζης ἐνεφοροῦντο, μεθ' ἣν τὰ μὲν μυθολογήσαντες τὰ δὲ ᾄσαντες εἰς ὕπνον ἐχώρουν, Χλόη μετὰ τῆς μητρός, Δρύας ἅμα Δάφνιδι. Χλόη μὲν οὖν οὐδὲν χρηστὸν ἦν ὅτι μὴ 5
τῆς ἐπιούσης ἡμέρας ὀφθησόμενος ὁ Δάφνις· Δάφνις δὲ κενὴν τέρψιν ἐτέρπετο· τερπνὸν γὰρ ἐνόμιζε καὶ πατρὶ συγκοιμηθῆναι Χλόης· ὥστε καὶ περιέβαλλεν

αὐτὸν καὶ κατεφίλει πολλάκις, ταῦτα πάντα ποιεῖν Χλόην ὀνειροπολούμενος.

10 Ὡς δὲ ἐγένετο ἡμέρα, κρύος μὲν ἦν ἐξαίσιον καὶ αὖρα·βόρειος ἀπέκαε πάντα. Οἱ δὲ ἀναστάντες θύουσι τῷ Διονύσῳ κριὸν ἐνιαύσιον καὶ πῦρ ἀνακαύσαντες 5
2 μέγα παρεσκευάζοντο τροφήν. Τῆς οὖν Νάπης ἀρτοποιούσης καὶ τοῦ Δρύαντος τὸν κριὸν ἕψοντος, σχολῆς ὁ Δάφνις καὶ ἡ Χλόη λαβόμενοι προῆλθον τῆς αὐλῆς ἵνα ὁ κιττός· καὶ πάλιν βρόχους στήσαντες καὶ ἰξὸν ἐπαλείψαντες ἐθήρων πλῆθος οὐκ ὀλίγον ὀρνί- 10
3 θων. Ἦν δ' αὐτοῖς καὶ φιλημάτων ἀπόλαυσις συνεχὴς καὶ λόγων ὁμιλία τερπνή. "Διὰ σὲ ἦλθον, Χλόη." "Οἶδα, Δάφνι." "Διὰ σὲ ἀπολλύω τοὺς ἀθλίους κοψίχους." "Τί οὖν σοι γένωμαι;" "Μέμνησό μου." "Μνημονεύω, νὴ τὰς Νύμφας, ἃς ὤμοσά ποτε εἰς ἐκεῖνο 15
τὸ ἄντρον **, εἰς ὃ ἤξομεν εὐθύς, ἂν ἡ χιὼν τακῇ."
4 "Ἀλλὰ πολλή ἐστι, Χλόη, καὶ δέδοικα μὴ ἐγὼ πρὸ ταύτης τακῶ." "Θάρρει, Δάφνι, θερμός ἐστιν ὁ ἥλιος." "Εἰ γὰρ οὕτως γένοιτο, Χλόη, θερμός, ὡς τὸ κᾶον πῦρ τὴν καρδίαν τὴν ἐμήν." "Παίζεις ἀπα- 20
τῶν με." "Οὐ μὰ τὰς αἶγας, ἃς σύ με ἐκέλευες ὀμνύειν."

11 Τοιαῦτα ἀντιφωνήσασα πρὸς τὸν Δάφνιν ἡ Χλόη καθάπερ ἠχώ, καλούντων αὐτοὺς τῶν περὶ τὴν Νάπην εἰσέδραμον, πολὺ περιττοτέραν τῆς χθιζῆς θήραν κομίζοντες· καὶ ἀπαρξάμενοι τῷ Διονύσῳ κρατῆρος 25
2 ἥσθιον κιττῷ τὰς κεφαλὰς ἐστεφανωμένοι. Καὶ ἐπεὶ καιρὸς ἦν, ἰακχάσαντες καὶ εὐάσαντες προύπεμπον τὸν Δάφνιν, πλήσαντες αὐτοῦ τὴν πήραν κρεῶν καὶ ἄρτων. Ἔδωκαν δὲ καὶ τὰς φάττας καὶ τὰς κίχλας Λάμωνι καὶ Μυρτάλῃ κομίζειν, ὡς αὐτοὶ θηράσοντες 30
ἄλλας, ἔστ' ἂν ὁ χειμὼν μένῃ καὶ ὁ κιττὸς μὴ λείπῃ.
3 Ὁ δὲ ἀπῄει, φιλήσας αὐτοὺς προτέρους Χλόης, ἵνα

τὸ ἐκείνης φίλημα καθαρὸν μείνῃ. Καὶ ἄλλας δὲ πολλὰς ἦλθεν ὁδοὺς ἐπ' ἄλλαις τέχναις, ὥστε μὴ παντάπασιν αὐτοῖς γενέσθαι τὸν χειμῶνα ἀνέραστον.

Ἤδη δὲ ἦρος ἀρχομένου καὶ τῆς μὲν χιόνος λυο- 12
μένης, τῆς δὲ γῆς γυμνουμένης καὶ τῆς πόας ὑπανθούσης οἵ τε ἄλλοι νομεῖς ἦγον τὰς ἀγέλας εἰς νομὴν καὶ πρὸ τῶν ἄλλων Χλόη καὶ Δάφνις, οἷα μείζονι δουλεύοντες ποιμένι. Εὐθὺς οὖν δρόμος ἦν ἐπὶ τὰς Νύμ- 2
φας καὶ τὸ ἄντρον, ἐντεῦθεν ἐπὶ τὸν Πᾶνα καὶ τὴν πίτυν, εἶτα ἐπὶ τὴν δρῦν, ὑφ' ἣν καθίζοντες καὶ τὰς ἀγέλας ἔνεμον καὶ ἀλλήλους κατεφίλουν. Ἀνεζήτησαν δὲ καὶ ἄνθη στεφανῶσαι θέλοντες τοὺς θεούς· τὰ δὲ ἄρτι ὁ ζέφυρος τρέφων καὶ ὁ ἥλιος θερμαίνων ἐξῆγεν· ὅμως δὲ εὑρέθη καὶ ἴα καὶ νάρκισσος καὶ ἀναγαλλὶς καὶ ὅσα ἦρος πρωτοφορήματα. Ἡ μὲν [οὖν] 3
Χλόη καὶ ὁ Δάφνις ** ἀπὸ αἰγῶν καὶ ἀπὸ οἰῶν τινων γάλα νέον καὶ τοῦτο στεφανοῦντες τὰ ἀγάλματα κατέσπεισαν. Ἀπήρξαντο καὶ σύριγγος, καθάπερ τὰς ἀη- 4
δόνας ἐς τὴν μουσικὴν ἐρεθίζοντες· αἱ δ' ὑπεφθέγγοντο ἐν ταῖς λόχμαις καὶ τὸν Ἴτυν κατ' ὀλίγον ἠκρίβουν, ὥσπερ ἀναμιμνησκόμεναι τῆς ᾠδῆς ἐκ μακρᾶς σιωπῆς.

Ἐβληχήσατό που καὶ ποίμνιον· ἐσκίρτησάν που 13
καὶ ἄρνες καὶ ταῖς μητράσιν ὑποκλάσαντες τὴν θηλὴν ἔσπασαν· τὰς δὲ μήπω τετοκυίας οἱ κριοὶ καταδιώκοντες καὶ κάτω στήσαντες ἔβαινον ἄλλος ἄλλην. Ἐγί- 2
νοντο καὶ τράγων διώγματα καὶ ἐς τὰς αἶγας ἐρωτικώτερα πηδήματα, καὶ ἐμάχοντο περὶ τῶν αἰγῶν· καὶ ἕκαστος εἶχεν ἰδίας καὶ ἐφύλαττε μή τις αὐτὰς μοιχεύσῃ λαθών. Καὶ γέροντας ὁρῶντας ἐξώρμησεν [ἂν] 3

---

24 post ὑποκλάσαντες: αὐτούς

εἰς ἀφροδίτην τὰ τοιαῦτα θεάματα· οἱ δὲ καὶ νέοι καὶ σφριγῶντες καὶ πολὺν ἤδη χρόνον ἔρωτα ζητοῦντες ἐξεκάοντο πρὸς τὰ ἀκούσματα καὶ ἐτήκοντο πρὸς τὰ θεάματα καὶ ἐζήτουν καὶ αὐτοὶ περιττότερόν τι φι-
4 λήματος καὶ περιβολῆς, μάλιστα δὲ ὁ Δάφνις. Οἷα 5
γοῦν ἐνηβήσας τῇ κατὰ τὸν χειμῶνα οἰκουρίᾳ καὶ εὐσχολίᾳ πρός τε τὰ φιλήματα ὥργα καὶ πρὸς τὰς περιβολὰς ἐσκιτάλιζε καὶ ἦν ἐς πᾶν ἔργον περιεργότερος καὶ θρασύτερος.

14 Ἦτει δὴ τὴν Χλόην χαρίσασθαί οἱ πᾶν ὅσον βού- 10
λεται καὶ γυμνὴν γυμνῷ συγκατακλινῆναι μακρότερον ἢ πρόσθεν εἰώθεσαν· τοῦτο γὰρ λείπειν τοῖς Φιλητᾶ παιδεύμασιν, ἵνα δὴ γένηται τὸ μόνον ἔρωτα
2 παῦον φάρμακον. Τῆς δὲ πυνθανομένης τί πλέον ἐστὶ φιλήματος καὶ περιβολῆς καὶ αὐτῆς κατακλίσεως 15
καὶ τί ἔγνωκε δρᾶσαι γυμνὸς γυμνῇ συγκατακλινείς, "τοῦτο" εἶπεν "ὃ οἱ κριοὶ ποιοῦσι τὰς οἷς καὶ οἱ τράγοι
3 τὰς αἶγας. Ὁρᾷς ὡς μετὰ τοῦτο τὸ ἔργον οὔτε ἐκεῖναι φεύγουσιν ἔτι αὐτοὺς οὔτε ἐκεῖνοι κάμνουσι διώκοντες, ἀλλ' ὥσπερ κοινῆς λοιπὸν ἀπολαύσαντες ἡδονῆς 20
συννέμονται; Γλυκύ τι, ὡς ἔοικεν, ἐστὶ τὸ ἔργον καὶ
4 νικᾷ τὸ ἔρωτος πικρόν." "Εἶτα οὐχ ὁρᾷς, ὦ Δάφνι, τὰς αἶγας καὶ τοὺς τράγους καὶ τοὺς κριοὺς καὶ τὰς οἷς ὡς ὀρθοὶ μὲν ἐκεῖνοι δρῶσιν, ὀρθαὶ δὲ ἐκεῖναι πάσχουσιν, οἱ μὲν ἐπιπηδήσαντες, αἱ δὲ κατανωτισάμε- 25
ναι; Σὺ δέ με ἀξιοῖς συγκατακλινῆναι καὶ ταῦτα γυμνήν; Καίτοιγε ἐκεῖναι πόσον ἐκδεδυμένης ἐμοῦ
5 λασιώτεραι;" Πείθεται Δάφνις καὶ συγκατακλινεὶς αὐτῇ πολὺν χρόνον ἔκειτο καὶ οὐδὲν ὧν ἕνεκα ὥργα ποιεῖν ἐπιστάμενος ἀνίστησιν αὐτὴν καὶ κατόπιν πε- 30
ριεφύετο μιμούμενος τοὺς τράγους. Πολὺ δὲ μᾶλλον

ἀπορηθείς, καθίσας ἔκλαεν εἰ καὶ κριῶν ἀμαθέστερος εἰς τὰ ἔρωτος ἔργα.

Ἦν δέ τις αὐτῷ γείτων, γεωργὸς γῆς ἰδίας, Χρῶ- 15
μις τοὔνομα, παρηβῶν ἤδη τὸ σῶμα. Τούτῳ γύναιον
ἦν ἐπακτὸν ἐξ ἄστεος, νέον καὶ ὡραῖον καὶ ἀγροικίας
ἁβρότερον· τούτῳ Λυκαίνιον ὄνομα ἦν. Αὕτη ἡ Λυ- 2
καίνιον ὁρῶσα τὸν Δάφνιν καθ' ἑκάστην ἡμέραν παρ-
ελαύνοντα τὰς αἶγας ἔωθεν εἰς νομήν, νύκτωρ ἐκ
νομῆς, ἐπεθύμησεν ἐραστὴν κτήσασθαι δώροις δε-
λεάσασα. Καὶ δή ποτε λοχήσασα μόνον καὶ σύριγγα 3
δῶρον ἔδωκε καὶ μέλι ἐν κηρίῳ καὶ πήραν ἐλάφου·
εἰπεῖν δέ τι ὤκνει, τὸν Χλόης ἔρωτα καταμαντευομένη·
πάνυ γὰρ ἑώρα προσκείμενον αὐτὸν τῇ κόρῃ. Πρό- 4
τερον μὲν οὖν ἐκ νευμάτων καὶ γέλωτος συνεβάλετο
τοῦτο, τότε δὲ ἐξ ἑωθινοῦ σκηψαμένη πρὸς Χρῶμιν
ὡς παρὰ τίκτουσαν ἄπεισι γείτονα κατόπιν τε αὐτοῖς
παρηκολούθησε καὶ εἴς τινα λόχμην ἐγκρύψασα ἑαυ-
τήν, ὡς μὴ βλέποιτο, πάντα ἤκουσεν ὅσα εἶπον, πάντα
εἶδεν ὅσα ἔπραξαν· οὐκ ἔλαθεν αὐτὴν οὐδὲ κλαύσας
ὁ Δάφνις. Συναλγήσασα δὴ τοῖς ἀθλίοις καὶ καιρὸν 5
ἥκειν νομίσασα διττόν, τὸν μὲν εἰς τὴν ἐκείνων σω-
τηρίαν, τὸν δὲ εἰς τὴν ἑαυτῆς ἐπιθυμίαν, ἐπιτεχνᾶ-
ταί τι τοιόνδε.

Τῆς ἐπιούσης ὡς πάλιν παρὰ τὴν γυναῖκα τὴν 16
τίκτουσαν ἀπιοῦσα φανερῶς ἐπὶ τὴν δρῦν, ἔνθα ἐκαθ-
έζοντο Δάφνις καὶ Χλόη, παραγίνεται καὶ ἀκριβῶς
μιμησαμένη τὴν τεταραγμένην "σῶσόν με" εἶπε 2
"Δάφνι, τὴν ἀθλίαν· ἐκ γάρ μοι τῶν χηνῶν τῶν εἴκοσιν
ἕνα τὸν κάλλιστον ἀετὸς ἥρπασε καὶ οἷα μέγα φορτίον
ἀράμενος οὐκ ἐδυνήθη μετέωρος ἐπὶ τὴν συνήθη τὴν
ὑψηλὴν κομίσαι ἐκείνην πέτραν, ἀλλ' εἰς τήνδε τὴν ὕλην
τὴν ταπεινὴν ἔχων κατέπεσε. Σὺ τοίνυν, πρὸς τῶν 3

Νυμφῶν καὶ τοῦ Πανὸς ἐκείνου, συνεισελθὼν εἰς τὴν
ὕλην (μόνη γὰρ δέδοικα) σῶσόν μοι τὸν χῆνα, μηδὲ
4 περιίδῃς ἀτελῆ μοι τὸν ἀριθμὸν γενόμενον. Τάχα δὲ
καὶ αὐτὸν τὸν ἀετὸν ἀποκτενεῖς καὶ οὐκέτι πολλοὺς
ὑμῶν ἅρνας καὶ ἐρίφους ἁρπάσει. Τὴν δὲ ἀγέλην τέως 5
φρουρήσει Χλόη· πάντως αὐτὴν ἴσασιν αἱ αἶγες ἀεί
σοι συννέμουσαν."

17 Οὐδὲν τῶν μελλόντων ὑποπτεύσας ὁ Δάφνις εὐ-
θὺς ἀνίσταται καὶ ἀράμενος τὴν καλαύροπα κατόπιν
ἠκολούθει τῇ Λυκαινίῳ· ἡ δὲ ἡγεῖτο ὡς μακροτάτω 10
τῆς Χλόης. Καὶ ἐπειδὴ κατὰ τὸ πυκνότατον ἐγένοντο,
πηγῆς πλησίον καθίσαι κελεύσασα αὐτὸν "ἐρᾷς" εἶπε
"Δάφνι, Χλόης· τοῦτο ἔμαθον ἐγὼ νύκτωρ παρὰ τῶν
2 Νυμφῶν. Δι' ὀνείρατος ἐμοὶ τὰ χθιζά σου διηγήσαντο
δάκρυα καὶ ἐκέλευσάν σε σῶσαι διδαξαμένην τὰ ἔρω- 15
τος ἔργα. Τὰ δ' ἐστὶν οὐ φιλήματα καὶ περιβολαὶ καὶ
οἷα δρῶσι κριοὶ καὶ τράγοι· ἄλλα ταῦτα πηδήματα
καὶ τῶν ἐκεῖ γλυκύτερα· πρόσεστι γὰρ αὐτοῖς χρόνος
3 μακροτέρας ἡδονῆς. Εἰ δή σοι φίλον ἀπηλλάχθαι κα-
κῶν καὶ ἐν πείρᾳ γενέσθαι [[τῶν]] ζητουμένων τερ- 20
πνῶν, ἴθι, παράδιδου μοι τερπνὸν σαυτὸν μαθητήν·
ἐγὼ δὲ χαριζομένη ταῖς Νύμφαις ἐκεῖνα διδάξω."

18 Οὐκ ἐκαρτέρησεν ὁ Δάφνις ὑφ' ἡδονῆς, ἀλλ' ἅτε
ἄγροικος καὶ αἰπόλος καὶ ἐρῶν καὶ νέος, πρὸ τῶν πο-
δῶν καταπεσὼν τὴν Λυκαίνιον ἱκέτευεν ὅτι τάχιστα 25
διδάξαι τὴν τέχνην, δι' ἧς ὃ βούλεται δράσει Χλόην·
2 καὶ ὥσπερ τι μέγα καὶ θεόπεμπτον ἀληθῶς μέλλων
διδάσκεσθαι καὶ ἔριφον αὐτῇ σηκίτην δώσειν ἐπηγ-
γείλατο καὶ τυροὺς ἁπαλοὺς πρωτορρύτου γάλακτος
3 καὶ τὴν αἶγα αὐτήν. Εὑροῦσα δὴ ἡ Λυκαίνιον αἰπο- 30
λικὴν ἀφθονίαν, οἵαν οὐ προσεδόκησεν, ἤρχετο παι-
δεύειν τὸν Δάφνιν τοῦτον τὸν τρόπον. Ἐκέλευσεν

αὐτὸν καθίσαι πλησίον αὐτῆς, ὡς εἶχε, καὶ φιλήματα φιλεῖν οἷα εἰώθει καὶ ὅσα, καὶ φιλοῦντα ἅμα περιβάλλειν καὶ κατακλίνεσθαι χαμαί. Ὡς δὲ ἐκαθέσθη καὶ ἐφίλησε καὶ κατεκλίνη, μαθοῦσα ἐνεργεῖν δυνάμενον καὶ σφριγῶντα, ἀπὸ μὲν τῆς ἐπὶ πλευρὰν κατακλίσεως ἀνίστησιν, αὐτὴν δὲ ὑποστορέσασα ἐντέχνως ἐς τὴν τέως ζητουμένην ὁδὸν ἦγε. Τὸ δὲ ἐντεῦθεν οὐδὲν περιειργάζετο ξένον· αὐτὴ γὰρ ἡ φύσις λοιπὸν ἐπαίδευσε τὸ πρακτέον. 4

Τελεσθείσης δὲ τῆς ἐρωτικῆς παιδαγωγίας ὁ μὲν Δάφνις ἔτι ποιμενικὴν γνώμην ἔχων ὥρμητο τρέχειν ἐπὶ τὴν Χλόην καὶ ὅσα ἐπεπαίδευτο δρᾶν αὐτίκα, καθάπερ δεδοικὼς μὴ βραδύνας ἐπιλάθοιτο· ἡ δὲ Λυκαίνιον κατασχοῦσα αὐτὸν ἔλεξεν ὧδε "ἔτι καὶ ταῦτά σε δεῖ μαθεῖν, Δάφνι. Ἐγὼ γυνὴ τυγχάνουσα πέπονθα νῦν οὐδέν· πάλαι γάρ με ταῦτα ἀνὴρ ἄλλος ἐπαίδευσε, μισθὸν τὴν παρθενίαν λαβών· Χλόη δὲ συμπαλαίουσά σοι ταύτην τὴν πάλην καὶ οἰμώξεται καὶ κλαύσεται καὶ αἵματι ῥεύσεται πολλῷ καθάπερ πεφονευμένη. Ἀλλὰ σὺ τὸ αἷμα μὴ φοβηθῇς, ἀλλ' ἡνίκα ἂν πείσῃς αὐτήν σοι παρασχεῖν, ἄγαγε αὐτὴν εἰς τοῦτο τὸ χωρίον, ἵνα, κἂν βοήσῃ, μηδεὶς ἀκούσῃ, κἂν δακρύσῃ, μηδεὶς ἴδῃ, κἂν αἱμαχθῇ, λούσηται τῇ πηγῇ· καὶ μέμνησο ὅτι σε ἄνδρα ἐγὼ πρὸ Χλόης πεποίηκα." 19 2 3

Ἡ μὲν οὖν Λυκαίνιον τοσαῦτα ὑποθεμένη κατ' ἄλλο μέρος τῆς ὕλης ἀπῆλθεν, ὡς ἔτι ζητοῦσα τὸν χῆνα· ὁ δὲ Δάφνις εἰς λογισμὸν ἄγων τὰ εἰρημένα, τῆς μὲν πρότερον ὁρμῆς ἀπήλλακτο, διοχλεῖν δὲ τῇ Χλόῃ περιττότερον ὤκνει φιλήματος καὶ περιβολῆς, μήτε βοῆσαι θέλων αὐτὴν ὡς πρὸς πολέμιον, μήτε δακρῦσαι ὡς ἀλγοῦσαν, μήτε αἱμαχθῆναι καθάπερ πε- 20 2

φονευμένην· ἀρτιμαθὴς γὰρ ὢν ἐδεδοίκει τὸ αἷμα καὶ ἐνόμιζεν ὅτι ἄρα ἐκ μόνου τραύματος αἷμα γίνεται. Γνοὺς δὲ τὰ συνήθη τέρπεσθαι μετ' αὐτῆς ἐξέβη τῆς ὕλης· καὶ ἐλθὼν ἵνα ἐκάθητο στεφανίσκον ἴων πλέκουσα, τόν τε χῆνα τῶν τοῦ ἀετοῦ ὀνύχων ἐψεύσατο ἐξαρπάσαι καὶ περιφὺς ἐφίλησεν, οἷον ἐν τῇ
3 τέρψει Λυκαίνιον· τοῦτο γὰρ ἔξῃν ὡς ἀκίνδυνον· ἡ δὲ τὸν στέφανον ἐφήρμοσεν αὐτοῦ τῇ κεφαλῇ καὶ τὴν κόμην ἐφίλησεν ὡς τῶν ἴων κρείττονα. Κἀκ τῆς πήρας προκομίσασα παλάθης μοῖραν καὶ ἄρτους τινὰς ἔδωκε φαγεῖν· καὶ ἐσθίοντος ἀπὸ τοῦ στόματος ἥρπαξε καὶ οὕτως ἤσθιεν ὥσπερ νεοττὸς ὄρνιθος.

21 Ἐσθιόντων δὲ αὐτῶν καὶ περιττότερα φιλούντων ὧν ἤσθιον, ναῦς ἁλιέων ὤφθη παραπλέουσα. Ἄνεμος μὲν οὐκ ἦν, γαλήνη δὲ ἦν καὶ ἐρέττειν ἐδόκει. Καὶ ἤρεττον ἐρρωμένως· ἠπείγοντο γὰρ νεαλεῖς ἰχθῦς
2 εἰς τὴν πόλιν διασώσασθαι τῶν τινι πλουσίων. Οἷον οὖν εἰώθασι ναῦται δρᾶν ἐς καμάτων ἀμέλειαν, τοῦτο κἀκεῖνοι δρῶντες τὰς κώπας ἀνέφερον. Εἷς μὲν αὐτοῖς κελευστὴς ναυτικὰς ᾖδεν ᾠδάς, οἱ δὲ λοιποὶ καθάπερ χορὸς ὁμοφώνως κατὰ καιρὸν τῇ ἐκείνου φωνῇ
3 ἐβόων. Ἡνίκ' οὖν ἐν ἀναπεπταμένῃ τῇ θαλάττῃ ταῦτα ἔπραττον, ἠφανίζετο ἡ βοὴ χεομένης τῆς φωνῆς εἰς πολὺν ἀέρα· ἐπεὶ δὲ ἄκρα τινὶ ὑποδραμόντες εἰς κόλπον μηνοειδῆ καὶ κοῖλον εἰσήλασαν, μείζων μὲν ἠκούετο βοή, σαφῆ δὲ ἐξέπιπτεν εἰς τὴν γῆν τὰ τῶν
4 κελευστῶν ᾄσματα. Κοῖλος γὰρ τῷ πεδίῳ αὐλὼν ὑποκείμενος καὶ τὸν ἦχον εἰς αὑτὸν ὡς ὄργανον δεχόμενος πάντων τῶν φθεγγομένων μιμητὴν φωνὴν ἀπεδίδου, ἰδίᾳ μὲν τῶν κωπῶν τὸν ἦχον, ἰδίᾳ δὲ τὴν φωνὴν τῶν ναυτῶν· καὶ ἐγίνετο ἄκουσμα τερπνόν.

Φθανούσης γὰρ τῆς ἀπὸ τῆς θαλάττης φωνῆς, ἡ ἐκ τῆς γῆς φωνὴ τοσοῦτον ἐπαύετο βράδιον, ὅσον ἤρξατο.

Ὁ μὲν οὖν Δάφνις εἰδὼς τὸ πραττόμενον μόνῃ τῇ θαλάττῃ προσεῖχε καὶ ἐτέρπετο τῇ νηὶ παρατρέχούσῃ τὸ πεδίον θᾶττον πτεροῦ καὶ ἐπειρᾶτό τινα διασώσασθαι τῶν ἀσμάτων, ὡς γένοιτο τῆς σύριγγος μέλη· ἡ δὲ Χλόη τότε πρῶτον πειρωμένη τῆς καλουμένης ἠχοῦς ποτὲ μὲν εἰς τὴν θάλατταν ἀπέβλεπε, τῶν ναυτῶν κελευόντων, ποτὲ δὲ εἰς τὴν ὕλην ἐπεστρέφετο, ζητοῦσα τοὺς ἀντιφωνοῦντας. Καὶ ἐπεὶ παραπλευσάντων ἦν κάν τῷ αὐλῶνι σιγή, ἐπυνθάνετο τοῦ Δάφνιδος, εἰ καὶ ὀπίσω τῆς ἄκρας ἐστὶ θάλαττα καὶ ναῦς ἄλλη παρέπλει καὶ ἄλλοι ναῦται τὰ αὐτὰ ᾖδον καὶ ἅμα πάντες σιωπῶσι. Γελάσας οὖν ὁ Δάφνις ἡδὺ καὶ φιλήσας ἥδιον φίλημα καὶ τὸν τῶν ἴων στέφανον ἐκείνῃ περιθεὶς ἤρξατο αὐτῇ μυθολογεῖν τὸν μῦθον τῆς Ἠχοῦς, αἰτήσας, εἰ διδάξειε, μισθὸν παρ' αὐτῆς ἄλλα φιλήματα δέκα.

"Νυμφῶν, ὦ κόρη, πολὺ γένος, Μελίαι καὶ Δρυάδες καὶ Ἕλειοι· πᾶσαι καλαί, πᾶσαι μουσικαί. Καὶ μιᾶς τούτων θυγάτηρ Ἠχὼ γίνεται, θνητὴ μὲν ὡς ἐκ πατρὸς θνητοῦ, καλὴ δὲ ὡς ἐκ μητρὸς καλῆς. Τρέφεται μὲν ὑπὸ Νυμφῶν, παιδεύεται δὲ ὑπὸ Μουσῶν συρίττειν, αὐλεῖν, τὰ πρὸς λύραν, τὰ πρὸς κιθάραν, πᾶσαν ᾠδήν, ὥστε καὶ παρθενίας εἰς ἄνθος ἀκμάσασα ταῖς Νύμφαις συνεχόρευε, ταῖς Μούσαις συνῆδεν· ἄρρενας δὲ ἔφευγε πάντας, καὶ ἀνθρώπους καὶ θεούς, φιλοῦσα τὴν παρθενίαν. Ὁ Πὰν ὀργίζεται τῇ κόρῃ, τῆς μουσικῆς φθονῶν, τοῦ κάλλους μὴ τυχών, καὶ μανίαν ἐμβάλλει τοῖς ποιμέσι καὶ τοῖς αἰπόλοις. Οἱ δὲ ὥσπερ κύνες ἢ λύκοι διασπῶσιν αὐτὴν καὶ ῥίπτουσιν εἰς πᾶσαν γῆν ἔτι ᾄδοντα τὰ μέλη. Καὶ

τὰ μέλη Γῇ χαριζομένη Νύμφαις ἔκρυψε πάντα. Καὶ ἐτήρησε τὴν μουσικὴν καὶ γνώμῃ Μουσῶν ἀφίησι φωνὴν καὶ μιμεῖται πάντα, καθάπερ τότε ἡ κόρη, θεούς, ἀνθρώπους, ὄργανα, θηρία· μιμεῖται καὶ αὐτὸν συρίττοντα τὸν Πᾶνα. Ὁ δὲ ἀκούσας ἀναπηδᾷ καὶ διώκει κατὰ τῶν ὀρῶν, οὐκ ἐρῶν τυχεῖν ἀλλ' ἢ τοῦ μαθεῖν, τίς ἐστὶν ὁ λανθάνων μαθητής."

Ταῦτα μυθολογήσαντα τὸν Δάφνιν οὐ δέκα μόνον φιλήματα ἀλλὰ πάνυ πολλὰ κατεφίλησεν ἡ Χλόη· μικροῦ δὲ καὶ τὰ αὐτὰ εἶπεν ἡ Ἠχώ, καθάπερ μαρτυροῦσα ὅτι μηδὲν ἐψεύσατο.

24 Θερμοτέρου δὲ καθ' ἑκάστην ἡμέραν γινομένου τοῦ ἡλίου, οἷα τοῦ μὲν ἦρος παυομένου τοῦ δὲ θέρους ἀρχομένου, πάλιν αὐτοῖς ἐγίνοντο καιναὶ τέρψεις
2 καὶ θέρειοι. Ὁ μὲν γὰρ ἐνήχετο ἐν τοῖς ποταμοῖς, ἡ δὲ ἐν ταῖς πηγαῖς ἐλούετο· ὁ μὲν ἐσύριττεν ἀμιλλώμενος πρὸς τὰς πίτυς, ἡ δὲ ᾖδε ταῖς ἀηδόσιν ἐρίζουσα· ἐθήρων ἀκρίδας λάλους, ἐλάμβανον τέττιγας ἠχοῦντας, ἄνθη συνέλεγον, δένδρα ἔσειον, ὀπώραν ἤσθιον· ἤδη ποτὲ καὶ γυμνοὶ συγκατεκλίνησαν καὶ ἓν δέρμα
3 αἰγὸς ἐπεσύραντο. Καὶ ἐγένετο ἂν γυνὴ Χλόη ῥᾳδίως, εἰ μὴ Δάφνιν ἐτάραξε τὸ αἷμα. Ἀμέλει καὶ δεδοικὼς μὴ νικηθῇ τὸν λογισμόν ποτε, πολλὰ γυμνοῦσθαι τὴν Χλόην οὐκ ἐπέτρεπεν, ὥστε ἐθαύμαζε μὲν ἡ Χλόη, τὴν δὲ αἰτίαν ᾐδεῖτο πυθέσθαι.

25 Ἐν τῷ θέρει τῷδε καὶ μνηστήρων πλῆθος ἦν περὶ τὴν Χλόην καὶ πολλοὶ πολλαχόθεν ἐφοίτων παρὰ τὸν Δρύαντα πρὸς γάμον αἰτοῦντες αὐτήν. Καὶ οἱ μέν τι
2 δῶρον ἔφερον, οἱ δὲ ἐπηγγέλλοντο μεγάλα. Ἡ μὲν οὖν Νάπη ταῖς ἐλπίσιν ἐπαιρομένη συνεβούλευεν ἐκδιδόναι τὴν Χλόην μηδὲ κατέχειν οἴκοι πρὸς πλέον τηλικαύτην κόρην, ἢ τάχα μικρὸν ὕστερον νέμουσα

τὴν παρθενίαν ἀπολέσει καὶ ἄνδρα ποιήσεταί τινα τῶν ποιμένων ἐπὶ μήλοις ἢ ῥόδοις, ἀλλ' ἐκείνην τε ποιῆσαι δέσποιναν οἰκίας καὶ αὐτοὺς πολλὰ λαβόντας ἰδίῳ φυλάττειν αὐτὰ καὶ γνησίῳ παιδίῳ (ἐγεγόνει γὰρ αὐτοῖς ἄρρεν παιδίον οὐ πρὸ πολλοῦ τινος)· ὁ δὲ 3 Δρύας ποτὲ μὲν ἐθέλγετο τοῖς λεγομένοις (μείζονα γὰρ ἢ κατὰ ποιμαίνουσαν κόρην δῶρα ὠνομάζετο παρ' ἑκάστου), ποτὲ δὲ [ἐννοήσας] ὡς κρείττων ἐστὶν ἡ παρθένος μνηστήρων γεωργῶν καὶ ὡς, εἴ ποτε τοὺς ἀληθινοὺς γονέας εὕροι, μεγάλως αὐτοὺς εὐδαίμονας θήσει, ἀνεβάλλετο τὴν ἀπόκρισιν καὶ εἶλκε χρόνον ἐκ χρόνου καὶ ἐν τῷ τέως ἀπεκέρδαινεν οὐκ ὀλίγα δῶρα. Ἡ μὲν δὴ μαθοῦσα λυπηρῶς πάνυ διῆγε καὶ τὸν 4 Λάφνιν ἐλάνθανεν ἐπὶ πολύ, λυπεῖν οὐ θέλουσα· ὡς δὲ ἐλιπάρει καὶ ἐνέκειτο πυνθανόμενος καὶ ἐλυπεῖτο μᾶλλον μὴ μανθάνων ἢ ἔμελλε μαθών, πάντα αὐτῷ διηγεῖται, τοὺς μνηστευομένους ὡς πολλοὶ καὶ πλούσιοι, τοὺς λόγους οὓς ἡ Νάπη σπεύδουσα τὸν γάμον ἔλεγεν, [καὶ] ὡς οὐκ ἀπείπατο Δρύας, ἀλλ' ὡς εἰς τὸν τρυγητὸν ἀναβέβληται.

Ἔκφρων ἐπὶ τούτοις ὁ Λάφνις γίνεται καὶ ἐδά- 26 κρυσε καθήμενος, ἀποθανεῖσθαι μηκέτι συννεμούσης Χλόης λέγων· καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὰ πρόβατα μετὰ τοιοῦτον ποιμένα. Εἶτα ἀνενεγκὼν ἐθάρρει καὶ πείσειν ἐνενόει τὸν πατέρα καὶ ἕνα τῶν μνωμένων αὐτὸν ἠρίθμει καὶ πολὺ κρατήσειν ἤλπιζε τῶν ἄλλων. Ἓν αὐτὸν ἐτάραττεν· οὐκ ἦν Λάμων πλούσιος· τοῦτο 2 μόνον αὐτοῦ τὴν ἐλπίδα λεπτὴν εἰργάζετο· ὅμως δὲ ἐδόκει μνᾶσθαι, καὶ τῇ Χλόῃ συνεδόκει. Τῷ Λάμωνι μὲν οὖν οὐδὲν ἐτόλμησεν εἰπεῖν, τῇ Μυρτάλῃ δὲ θαρρήσας καὶ τὸν ἔρωτα ἐμήνυσε καὶ περὶ τοῦ γάμου λόγους προσήνεγκεν· ἡ δὲ τῷ Λάμωνι νύκτωρ ἐκοινώ-

3 σατο. Σκληρῶς δὲ ἐκείνου τὴν ἔντευξιν ἐνεγκόντος καὶ λοιδορήσαντος εἰ παιδὶ θυγάτριον ποιμένων προξενεῖ μεγάλην ἐν τοῖς γνωρίσμασιν ἐπαγγελλομένῳ τύχην, ὃς αὐτούς, εὑρὼν τοὺς οἰκείους, καὶ ἐλευθέρους θήσει καὶ δεσπότας ἀγρῶν μειζόνων, ἡ Μυρτάλη διὰ τὸν ἔρωτα φοβουμένη μὴ τελέως ἀπελπίσας ὁ Δάφνις τὸν γάμον τολμήσῃ τι θανατῶδες, ἄλλας αὐτῷ
4 τῆς ἀντιρρήσεως αἰτίας ἀπήγγειλε. "Πένητες ἐσμέν, ὦ παῖ, καὶ δεόμεθα νύμφης φερούσης τι μᾶλλον· οἱ δὲ πλούσιοι καὶ πλουσίων νυμφίων δεόμενοι. Ἴθι δή, πεῖσον Χλόην, ἡ δὲ τὸν πατέρα, μηδὲν αἰτεῖν μέγα· πάντως δή που κἀκείνη φιλεῖ σε καὶ βούλεται συγκαθεύδειν πένητι καλῷ μᾶλλον ἢ πιθήκῳ πλουσίῳ."

27 Μυρτάλη μὲν οὔποτε ἐλπίσασα Δρύαντα τούτοις συνθήσεσθαι μνηστῆρας ἔχοντα πλουσιωτέρους εὐπρεπῶς ᾤετο παρητῆσθαι τὸν γάμον· Δάφνις δὲ οὐκ εἶχε μέμφεσθαι τὰ λελεγμένα. Λειπόμενος δὲ πολὺ τῶν αἰτουμένων τὸ σύνηθες ἐρασταῖς πενομένοις ἔπραττεν· ἐδάκρυε καὶ τὰς Νύμφας αὖθις ἐκάλει
2 βοηθούς. Αἱ δὲ αὐτῷ καθεύδοντι νύκτωρ ἐν τοῖς αὐτοῖς ἐφίστανται σχήμασιν, ἐν οἷς καὶ πρότερον· ἔλεγε δὲ ἡ πρεσβυτάτη πάλιν "γάμου μὲν μέλει τῆς Χλόης ἄλλῳ θεῷ, δῶρα δέ σοι δώσομεν ἡμεῖς, ἃ θέλξει Δρύ-
3 αντα. Ἡ ναῦς ἡ τῶν Μηθυμναίων νεανίσκων, ἧς τὴν λύγον αἱ σαί ποτε αἶγες κατέφαγον, ἡμέρᾳ μὲν ἐκείνῃ μακρὰν τῆς γῆς ὑπηνέχθη πνεύματι· νυκτὸς δὲ πελαγίου ταράξαντος ἀνέμου τὴν θάλατταν εἰς τὴν γῆν
4 εἰς τὰς τῆς ἄκρας πέτρας ἐξεβράσθη. Αὐτὴ μὲν οὖν διεφθάρη καὶ πολλὰ τῶν ἐν αὐτῇ· βαλάντιον δὲ τρισ-

12 post μέγα: καὶ γαμεῖν

χιλίων δραχμῶν ὑπὸ τοῦ κύματος ἀπεπτύσθη καὶ κεῖται φυκίοις κεκαλυμμένον πλησίον δελφῖνος νεκροῦ, δι' ὃν οὐδεὶς προσῆλθεν ὁδοιπόρος, τὸ δυσῶδες τῆς σηπεδόνος παρατρέχων. Ἀλλὰ σὺ πρόσελθε καὶ προσελθὼν ἀνελοῦ καὶ ἀνελόμενος δός. Ἱκανόν σοι νῦν μὲν δόξαι μὴ πένητι, χρόνῳ δὲ ὕστερον ἔσῃ καὶ πλούσιος."

Αἱ μὲν ταῦτα εἰποῦσαι τῇ νυκτὶ συναπῆλθον· γενομένης δὲ ἡμέρας ἀναπηδήσας ὁ Λάφνις περιχαρὴς ἤλαυνε ῥοίζῳ πολλῷ τὰς αἶγας εἰς τὴν νομήν· καὶ τὴν Χλόην φιλήσας καὶ τὰς Νύμφας προσκυνήσας κατῆλθεν ἐπὶ θάλατταν, ὡς περιρράνασθαι θέλων· καὶ ἐπὶ τῆς ψάμμου πλησίον τῆς κυματωγῆς ἐβάδιζε ζητῶν τὰς τρισχιλίας. Ἔμελλε δὲ ἄρ' οὐ πολὺν κάματον ἕξειν· ὁ γὰρ δελφὶς [ὁ] οὐκ ἀγαθὸν ὀδωδὼς αὐτῷ προσέπιπτεν ἐρριμμένος καὶ μυδῶν· οὗ τῇ σηπεδόνι καθάπερ ἡγεμόνι χρώμενος ὁδοῦ προσῆλθέ τε εὐθὺς καὶ τὰ φυκία ἀφελὼν εὑρίσκει τὸ βαλάντιον ἀργυρίου μεστόν. Τοῦτο ἀνελόμενος καὶ εἰς τὴν πήραν ἐνθέμενος οὐ πρόσθεν ἀπῆλθε, πρὶν τὰς Νύμφας εὐφημῆσαι καὶ αὐτὴν τὴν θάλατταν· καίπερ γὰρ αἰπόλος ὤν, ἤδη καὶ τὴν θάλατταν ἐνόμιζε τῆς γῆς γλυκυτέραν, ὡς εἰς τὸν γάμον αὐτῷ τὸν Χλόης συλλαμβάνουσαν.

Εἰλημμένος δὲ τῶν τρισχιλίων οὐκέτ' ἔμελλεν, ἀλλ' ὡς πάντων ἀνθρώπων πλουσιώτατος, οὐ μόνον τῶν ἐκεῖ γεωργῶν, αὐτίκα ἐλθὼν παρὰ τὴν Χλόην διηγεῖται τὸ ὄναρ, δείκνυσι τὸ βαλάντιον, κελεύει τὰς ἀγέλας φυλάττειν, ἔστ' ἂν ἐπανέλθῃ, καὶ συντείνας σοβεῖ παρὰ τὸν Δρύαντα. Καὶ εὑρὼν πυρούς τινας ἁλωνοτριβοῦντα μετὰ τῆς Νάπης πάνυ θρασὺν ἐμβάλλει λόγον περὶ γάμου. "Ἐμοὶ δὸς Χλόην γυναῖκα·

ἐγὼ καὶ συρίττειν οἶδα καλῶς καὶ κλᾶν ἄμπελον καὶ φυτὰ κατορύττειν· οἶδα καὶ γῆν ἀροῦν καὶ λικμῆσαι πρὸς ἄνεμον. Ἀγέλην δὲ ὅπως νέμω μάρτυς Χλόη· πεντήκοντα αἶγας παραλαβὼν διπλασίονας πεποίηκα· ἔθρεψα καὶ τράγους μεγάλους καὶ καλούς· πρότερον
3 δὲ ἀλλοτρίοις τὰς αἶγας ὑπεβάλλομεν. Ἀλλὰ καὶ νέος εἰμὶ καὶ γείτων ὑμῖν ἄμεμπτος· καί με ἔθρεψεν αἴξ, ὡς Χλόην οἶς. Τοσοῦτον δὲ τῶν ἄλλων κρατῶν οὐδὲ
4 δώροις ἡττηθήσομαι. Ἐκεῖνοι δώσουσιν αἶγας καὶ πρόβατα καὶ ζεῦγος ψωραλέων βοῶν καὶ σῖτον μηδὲ ἀλεκτορίδας θρέψαι δυνάμενον· παρ' ἐμοῦ δὲ αἵδε ὑμῖν τρισχίλιαι. Μόνον ἴστω τοῦτο μηδείς, μὴ Λάμων αὐτὸς οὑμὸς πατήρ." Ἅμα τ' ἐδίδου καὶ περιβαλὼν κατεφίλει.

30 Οἱ δὲ παρ' ἐλπίδα ἰδόντες τοσοῦτον ἀργύριον, αὐτίκα τε δώσειν ἐπηγγέλλοντο τὴν Χλόην καὶ πεί-
2 σειν ὑπισχνοῦντο τὸν Λάμωνα. Ἡ μὲν δὴ Νάπη μετὰ τοῦ Δάφνιδος αὐτοῦ μένουσα περιήλαυνε τὰς βοῦς καὶ τοῖς τριβόλοις κατειργάζετο τὸν στάχυν· ὁ δὲ Δρύας θησαυρίσας τὸ βαλάντιον ἔνθα ἀπέκειτο τὰ γνωρίσματα, ταχὺ παρὰ τὸν Λάμωνα καὶ τὴν Μυρτάλην ἐφέρετο, μέλλων παρ', αὐτῶν, τὸ καινότατον,
3 μνᾶσθαι νυμφίον. Εὑρὼν δὲ κἀκείνους κριθία μετροῦντας οὐ πρὸ πολλοῦ λελικμημένα ἀθύμως τε ἔχοντας ὅτι μικροῦ δεῖν ὀλιγώτερα ἦν τῶν καταβληθέντων σπερμάτων, ἐπ' ἐκείνοις μὲν παρεμυθήσατο,
4 κοινὴν ὁμολογήσας ἀφορίαν πανταχοῦ γεγονέναι, τὸν δὲ Δάφνιν ᾔτειτο Χλόῃ καὶ ἔλεγεν ὅτι πολλὰ ἄλλων διδόντων, οὐδὲν παρ' αὐτῶν λήψεται, μᾶλλον δέ τι οἴκοθεν αὐτοῖς ἐπιδώσει· συντετράφθαι γὰρ ἀλλήλοις κἂν τῷ νέμειν συνῆφθαι φιλίᾳ ῥᾳδίως λυθῆναι

μὴ δυναμένῃ· ἤδη δὲ καὶ ἡλικίαν ἔχειν ὡς καθεύδειν μετ' ἀλλήλων.

Ὁ μὲν [οὖν] ταῦτα καὶ ἔτι πλείω ἔλεγεν, οἷα τοῦ πείσαι ἄθλον ἔχων τὰς τρισχιλίας· ὁ δὲ Λάμων μήτε πενίαν ἔτι προβάλλεσθαι δυνάμενος (αὐτοὶ γὰρ οὐχ ὑπερηφάνουν) μήτε ἡλικίαν Δάφνιδος (ἤδη γὰρ μειράκιον ἦν) τὸ μὲν ἀληθὲς οὐδ' ὡς ἐξηγόρευσεν, ὅτι κρείττων ἐστὶ τοιούτου γάμου, χρόνον δὲ σιωπήσας ὀλίγον οὕτως ἀπεκρίνατο

" Δίκαια ποιεῖτε τοὺς γείτονας προτιμῶντες τῶν 31
ξένων καὶ πενίας ἀγαθῆς πλοῦτον μὴ νομίζοντες κρείττονα. Ὁ Πὰν ὑμᾶς καὶ αἱ Νύμφαι ἀντὶ τῶνδε φιλήσειαν. Ἐγὼ δὲ σπεύδω μὲν καὶ αὐτὸς τὸν γάμον τοῦτον· καὶ γὰρ ἂν μαινοίμην, εἰ μὴ γέρων τε ὢν ἤδη καὶ χειρὸς εἰς τὰ ἔργα περιττοτέρας δεόμενος ᾠμην καὶ τὸν ὑμέτερον οἶκον φίλον προσλαβεῖν· περισπούδαστος δὲ καὶ Χλόη, καλὴ καὶ ὡραία κόρη καὶ πάντα ἀγαθή· δοῦλος δὲ ὢν οὐδενός εἰμι τῶν ἐμῶν κύριος, ἀλλὰ δεῖ τὸν δεσπότην μανθάνοντα ταῦτα συγχωρεῖν. Φέρε οὖν ἀναβαλώμεθα τὸν γάμον εἰς τὸ μετόπωρον. Ἀφίξεσθαι τότε λέγουσιν αὐτὸν οἱ παραγενόμενοι πρὸς ἡμᾶς ἐξ ἄστεος. Τότε ἔσονται ἀνὴρ καὶ γυνή· νῦν δὲ φιλείτωσαν ἀλλήλους ὡς ἀδελφοί. Ἴσθι μόνον, ὦ Δρύα, τοσοῦτον· σπεύδεις περὶ μειράκιον κρεῖττον ἡμῶν."

[Καὶ] ὁ μὲν ταῦτα εἰπὼν ἐφίλησέ τε αὐτὸν καὶ 32
ὥρεξε πότον ἤδη μεσημβρίας ἀκμαζούσης καὶ προύπεμψε μέχρι τινός, φιλοφρονούμενος πάντα· ὁ δὲ Δρύας οὐ παρέργως ἀκούσας τὸν ὕστερον λόγον τοῦ Λάμωνος ἐφρόντιζε βαδίζων καθ' αὐτὸν ὅστις ὁ

16 post προσλαβεῖν: ἀγαθόν τι μέγα

Δάφνις. "Ἐτράφη μὲν ὑπ' αἰγὸς ὡς κηδομένων θεῶν· ἔστι δὲ καλὸς καὶ οὐδὲν ἐοικὼς σιμῷ γέροντι καὶ μαδώσῃ γυναικί· εὐπόρησε δὲ καὶ τρισχιλίων, ὅσον
2 οὐδὲ ἀχράδων εἰκὸς ἔχειν αἰπόλον. Ἆρα καὶ τοῦτον ἐξέθηκέ τις ὡς Χλόην; Ἆρα καὶ τοῦτον εὗρε Λάμων ὡς ἐκείνην ἐγώ; Ἆρα καὶ γνωρίσματα ὅμοια παρέκειτο τοῖς εὑρεθεῖσιν ὑπ' ἐμοῦ; Ἐὰν ταῦτα οὕτως, ὦ δέσποτα Πὰν καὶ Νύμφαι φίλαι, τάχα οὗτος τοὺς ἰδίους εὑρὼν εὑρήσει τι καὶ τῶν Χλόης ἀπορρήτων."
3 Τοιαῦτα μὲν πρὸς αὑτὸν ἐφρόντιζε καὶ ὠνειροπόλει μέχρι τῆς ἅλω· ἐλθὼν δὲ ἐκεῖ καὶ τὸν Δάφνιν μετέωρον πρὸς τὴν ἀκοὴν καταλαβὼν ἀνέρρωσέ τε γαμβρὸν προσαγορεύσας καὶ τῷ μετοπώρῳ τοὺς γάμους θύσειν ἐπαγγέλλεται, δεξιάν τε ἔδωκεν ὡς οὐδενὸς ἐσομένης ὅτι μὴ Δάφνιδος Χλόης.

33 Θᾶττον οὖν νοήματος, μηδὲν πιὼν μηδὲ φαγὼν παρὰ τὴν Χλόην κατέδραμε· καὶ εὑρὼν αὐτὴν ἀμέλγουσαν καὶ τυροποιοῦσαν, τόν τε γάμον εὐηγγελίζετο καὶ ὡς γυναῖκα λοιπὸν μὴ λανθάνων κατεφίλει καὶ
2 ἐκοινώνει τοῦ πόνου. Ἤμελγε μὲν εἰς γαυλοὺς τὸ γάλα, ἐνεπήγνυ δὲ ταρσοῖς τοὺς τυρούς, προσέβαλλε [δὲ] ταῖς μητράσι τοὺς ἄρνας καὶ τοὺς ἐρίφους. Καλῶς δὲ ἐχόντων τούτων ἀπελούσαντο, ἐνέφαγον,
3 ἔπιον, περιήεσαν ζητοῦντες ὀπώραν ἀκμάζουσαν. Ἦν δὲ ἀφθονία πολλὴ διὰ τὸ τῆς ὥρας πάμφορον· πολλαὶ μὲν ἀχράδες, πολλαὶ δὲ ὄχναι, πολλὰ δὲ μῆλα· τὰ μὲν ἤδη πεπτωκότα κάτω, τὰ δὲ ἔτι ἐπὶ τῶν φυτῶν· τὰ ἐπὶ τῆς γῆς εὐωδέστερα, τὰ ἐπὶ τῶν κλάδων εὐανθέστερα· τὰ μὲν οἷον οἶνος ἀπῶζε, τὰ δὲ οἷον
4 χρυσὸς ἀπέλαμπε. Μία μηλέα ἐτετρύγητο καὶ οὔτε καρπὸν εἶχεν οὔτε φύλλον· γυμνοὶ πάντες ἦσαν οἱ κλάδοι· καὶ ἓν μῆλον ἐλέλειπτο ἐν αὐτοῖς ἄκροις

ἀκρότατον, μέγα καὶ καλὸν καὶ τῶν πολλῶν τὴν εὐωδίαν ἐνίκα μόνον· ἔδεισεν ὁ τρυγῶν ἀνελθεῖν, ἠμέλησε καθελεῖν· τάχα δὲ καὶ ἐφύλαττε τὸ καλὸν μῆλον ἐρωτικῷ ποιμένι.

Τοῦτο τὸ μῆλον ὡς εἶδεν ὁ Δάφνις, ὥρμα τρυγᾶν 34
ἀνελθὼν καὶ Χλόης κωλυούσης ἠμέλησεν· ἡ μὲν ἀμεληθεῖσα, ὀργισθεῖσα πρὸς τὰς ἀγέλας ἀπῆλθε· Δάφνις δὲ ἀναδραμὼν ἐφίκετο τρυγῆσαι καὶ ἐκόμισε δῶρον Χλόῃ καὶ λόγον τοιόνδ' εἶπεν ὠργισμένῃ "ὦ παρθένε, τοῦτο τὸ μῆλον ἔφυσαν Ὧραι καλαὶ καὶ φυτὸν καλὸν ἔθρεψε πεπαίνοντος ἡλίου, καὶ ἐτήρησε Τύχη. Καὶ οὐκ 2
ἔμελλον αὐτὸ καταλιπεῖν ὀφθαλμοὺς ἔχων, ἵνα πέσῃ χαμαὶ καὶ ἢ ποίμνιον αὐτὸ πατήσῃ νεμόμενον ἢ ἑρπετὸν φαρμάξῃ συρόμενον ἢ χρόνος δαπανήσῃ κείμενον. Βλεπόμενον ἐπαινούμενον. Τοῦτο Ἀφροδίτη κάλλους ἔλαβεν ἆθλον· τοῦτο ἐγὼ σοὶ δίδωμι νικητήριον. Ὁμοί- 3
ως ἔχομεν τοὺς σοὺς μάρτυρας· ἐκεῖνος ἦν ποιμήν, αἰπόλος ἐγώ." Ταῦτα εἰπὼν ἐντίθησι τοῖς κόλποις· ἡ δὲ ἐγγὺς γενόμενον κατεφίλησεν, ὥστε ὁ Δάφνις οὐ μετέγνω τολμήσας ἀνελθεῖν εἰς τοσοῦτον ὕψος· ἔλαβε γὰρ κρεῖττον καὶ χρυσοῦ μήλου φίλημα.

Δ

Ἦκων δέ τις ἐκ τῆς Μυτιλήνης ὁμόδουλος τοῦ Λά- 1
μωνος ἤγγειλεν ὅτι ὀλίγον πρὸ τοῦ τρυγητοῦ ὁ δεσπότης ἀφίξεται μαθησόμενος μή τι τοὺς ἀγροὺς ὁ τῶν Μηθυμναίων ἐπίπλους ἐλυμήνατο. Ἤδη οὖν τοῦ 2
θέρους ἀπιόντος καὶ τοῦ μετοπώρου προσιόντος παρεσκεύαζεν αὐτῷ τὴν καταγωγὴν ὁ Λάμων εἰς πᾶσαν

3 θέας ἡδονήν. Πηγὰς ἐξεκάθαιρεν, ὡς τὸ ὕδωρ καθαρὸν ἔχοιεν· τὴν κόπρον ἐξεφόρει τῆς αὐλῆς, ὡς ἀπόζουσα μὴ διοχλοίη· τὸν παράδεισον ἐθεράπευεν, ὡς ὀφθείη καλός.

2 Ἦν δὲ ὁ παράδεισος πάγκαλόν τι χρῆμα καὶ κατὰ τοὺς βασιλικούς. Ἐξετέτατο μὲν εἰς σταδίου μῆκος, ἐπέκειτο δὲ ἐν χώρῳ μετεώρῳ, τὸ εὖρος ἔχων πλέ-
2 θρων τεττάρων. Εἴκασεν ἄν τις αὐτὸν πεδίῳ μακρῷ. Εἶχε δὲ πάντα δένδρα, μηλέας, μυρρίνας, ὄχνας καὶ ῥοιὰς καὶ συκῆν καὶ ἐλαίας· ἑτέρωθι ἄμπελον ὑψηλήν· καὶ ἐπέκειτο ταῖς μηλέαις καὶ ταῖς ὄχναις περκάζουσα, καθάπερ περὶ τοῦ καρποῦ αὐταῖς προσερί-
3 ζουσα. Τοσαῦτα [τὰ] ἥμερα. Ἦσαν δὲ καὶ κυπάριττοι καὶ δάφναι καὶ πλάτανοι καὶ πίτυς. Ταύταις πάσαις ἀντὶ τῆς ἀμπέλου κιττὸς ἐπέκειτο· καὶ ὁ κόρυμβος αὐτοῦ μέγας ὢν καὶ μελαινόμενος βότρυν ἐμιμεῖτο.
4 Ἔνδον ἦν τὰ καρποφόρα φυτά, καθάπερ φρουρούμενα· ἔξωθεν περιειστήκει τὰ ἄκαρπα, καθάπερ θριγκὸς χειροποίητος· ταῦτα μέντοι λεπτῆς αἱμασιᾶς
5 περιέθει περίβολος. Ἐτέτμητο καὶ διακέκριτο πάντα καὶ στέλεχος στελέχους ἀφειστήκει, ἐν μετεώρῳ δὲ οἱ κλάδοι συνέπιπτον ἀλλήλοις καὶ ἐπήλλαττον τὰς κόμας· ἐδόκει μέντοι καὶ ἡ τούτων φύσις εἶναι τέχνη.
6 Ἦσαν καὶ ἀνθῶν πρασιαί, ὧν τὰ μὲν ἔφερεν ἡ γῆ, τὰ δὲ ἐποίει τέχνη· ῥοδωνιὰ καὶ ὑάκινθοι καὶ κρίνα χειρὸς ἔργα· ἰωνιὰς καὶ ναρκίσσους καὶ ἀναγαλλίδας ἔφερεν ἡ γῆ. Σκιά τε ἦν θέρους καὶ ἦρος ἄνθη καὶ μετοπώρου ὀπώρα καὶ κατὰ πᾶσαν ὥραν τρυφή.

3 Ἐντεῦθεν εὔοπτον μὲν ἦν τὸ πεδίον καὶ ἦν ὁρᾶν τοὺς νέμοντας, εὔοπτος δ' ἡ θάλαττα καὶ ἐωρῶντο οἱ παραπλέοντες· ὥστε καὶ ταῦτα μέρος ἐγίνετο τῆς ἐν τῷ παραδείσῳ τρυφῆς. Ἵνα τοῦ παραδείσου τὸ με-

σαίτατον ἐπὶ μῆκος καὶ εὖρος ἦν, νεὼς Διονύσου καὶ βωμὸς ἦν· περιεῖχε τὸν μὲν βωμὸν κιττός, τὸν νεὼν δὲ κλήματα. Εἶχε δὲ καὶ ἔνδοθεν ὁ νεὼς Διονυσιακὰς 2
γραφάς· Σεμέλην τίκτουσαν, Ἀριάδνην καθεύδουσαν, Λυκοῦργον δεδεμένον, Πενθέα διαιρούμενον· ἐπῆσαν καὶ Ἰνδοὶ νικώμενοι καὶ Τυρρηνοὶ μεταμορφούμενοι· πανταχοῦ Σάτυροι πατοῦντες, πανταχοῦ Βάκχαι χορεύουσαι· οὐδὲ ὁ Πὰν ἠμέλητο· ἐκαθέζετο δὲ [καὶ αὐτὸς] συρίττων ἐπὶ πέτρας, ὅμοιος ἐνδιδόντι κοινὸν μέλος καὶ τοῖς πατοῦσι καὶ ταῖς χορευούσαις.

Τοιοῦτον ὄντα τὸν παράδεισον ὁ Λάμων ἐθεράπευε, τὰ ξηρὰ ἀποτέμνων, τὰ κλήματα ἀναλαμβάνων. Τὸν Διόνυσον ἐστεφάνωσε· τοῖς ἄνθεσιν ὕδωρ ἐπωχέτευσε. Πηγή τις ἦν, [ἣν] εὗρεν ἐς τὰ ἄνθη Ἀάφνις· ἐσχόλαζε μὲν τοῖς ἄνθεσιν ἡ πηγή, Ἀάφνιδος δὲ ὅμως ἐκαλεῖτο πηγή. Παρεκελεύετο δὲ καὶ τῷ Ἀάφνιδι ὁ Λάμων πιαίνειν τὰς αἶγας ὡς δυνατὸν μάλιστα, πάντως που κἀκείνας λέγων ὄψεσθαι τὸν δεσπότην ἀφικόμενον διὰ μακροῦ. Ὁ δὲ ἐθάρρει μὲν ὡς ἐπαινεθησόμενος ἐπ' αὐταῖς· διπλασίονάς τε γὰρ ὧν ἔλαβεν ἐποίησε καὶ λύκος οὐδὲ μίαν ἥρπασε, καὶ ἦσαν πιότεραι τῶν οἰῶν· βουλόμενος δὲ προθυμότερον αὐτὸν γενέσθαι πρὸς τὸν γάμον πᾶσαν θεραπείαν καὶ προθυμίαν προσέφερεν, ἐξάγων τε αὐτὰς πάνυ ἕωθεν καὶ ἀπάγων τὸ δειλινόν. Λὶς ἠγεῖτο ἐπὶ πότον· ἀνεζήτει τὰ εὐνομώτατα τῶν χωρίων· ἐμέλησεν αὐτῷ καὶ σκαφίδων καινῶν καὶ γαυλῶν πολλῶν καὶ ταρσῶν μειζόνων· τοσαύτη δὲ ἦν κηδεμονία, ὥστε καὶ τὰ κέρατα ἤλειφε καὶ τὰς τρίχας ἐθεράπευε. Πανὸς ἄν τις ἱερὰν ἀγέλην ἔδοξεν ὁρᾶν. Ἐκοινώνει δὲ παντὸς εἰς αὐτὰς καμάτου καὶ ἡ Χλόη, καὶ τῆς ποίμνης παραμε-

λοῦσα τὸ πλέον ἐκείναις ἐσχόλαζεν, ὥστε ἐνόμιζεν ὁ Δάφνις δι' ἐκείνην αὐτὰς φαίνεσθαι καλάς.

Ἐν τούτοις οὖσιν αὐτοῖς δεύτερος ἄγγελος ἐλθὼν ἐξ ἄστεος ἐκέλευεν ἀποτρυγᾶν τὰς ἀμπέλους ὅτι τάχιστα, καὶ αὐτὸς ἔφη παραμενεῖν ἕστ' ἂν τοὺς βότρυς ποιήσωσι γλεῦκος, εἶτα οὕτως καταβὰς εἰς τὴν πόλιν ἄξειν τὸν δεσπότην ** ἤδη τῆς μετοπωρινῆς τρύγης. Τοῦτόν τε οὖν τὸν Εὔδρομον (οὕτω γὰρ ἐκαλεῖτο, ὅτι ἦν αὐτῷ ἔργον τρέχειν) ἐδεξιοῦντο πᾶσαν δεξίωσιν καὶ ἅμα τὰς ἀμπέλους ἀπετρύγων, τοὺς βότρυς ἐς τὰς ληνοὺς κομίζοντες, τὸ γλεῦκος εἰς τοὺς πίθους φέροντες, τῶν βοτρύων τοὺς ἡβῶντας ἐπὶ κλημάτων ἀφαιροῦντες, ὡς εἴη καὶ τοῖς ἐκ τῆς πόλεως ἐλθοῦσιν ἐν εἰκόνι καὶ ἡδονῇ γενέσθαι τρυγητοῦ.

Μέλλοντος δὲ ἤδη σοβεῖν ἐς ἄστυ τοῦ Εὐδρόμου καὶ ἄλλα μὲν οὐκ ὀλίγα αὐτῷ Δάφνις ἔδωκεν, ἔδωκε δὲ καὶ ὅσα ἀπ' αἰπολίου δῶρα, τυροὺς εὐπαγεῖς, ἔριφον ὀψίγονον, δέρμα αἰγὸς λευκὸν καὶ λάσιον, ὡς ἔχοι χειμῶνος ἐπιβάλλεσθαι τρέχων. Ὁ δὲ ἤδετο καὶ ἐφίλει τὸν Δάφνιν καὶ ἀγαθόν τι ἐρεῖν περὶ αὐτοῦ πρὸς τὸν δεσπότην ἐπηγγέλλετο. Καὶ ὁ μὲν ἀπῄει φίλα φρονῶν, ὁ δὲ Δάφνις ἀγωνιῶν τῇ Χλόῃ συνέμεμεν. Εἶχε δὲ κἀκείνην πολὺ δέος· μειράκιον γὰρ εἰωθὸς αἶγας βλέπειν καὶ οἷς καὶ γεωργοὺς καὶ Χλόην πρῶτον ἔμελλεν ὄψεσθαι δεσπότην, οὗ πρότερον μόνον ἤκουε τοὔνομα. Ὑπέρ τε οὖν τοῦ Δάφνιδος ἐφρόντιζεν, ὅπως ἐντεύξεται τῷ δεσπότῃ καὶ περὶ τοῦ γάμου τὴν ψυχὴν ἐταράττετο, μὴ μάτην ὀνειροπολοῦσιν αὐτόν. Συνεχῆ μὲν οὖν τὰ φιλήματα καὶ ὥσπερ συμπεφυκότων αἱ περιβολαί· καὶ τὰ φιλήματα δειλὰ ἦν καὶ αἱ περιβολαὶ σκυθρωπαί, καθάπερ ἤδη

παρόντα τὸν δεσπότην φοβουμένων ἢ λανθανόντων. Προσγίνεται δέ τις αὐτοῖς καὶ τοιόσδε τάραχος.

Λάμπις τις ἦν ἀγέρωχος βουκόλος. Οὗτος καὶ 7
αὐτὸς ἐμνᾶτο τὴν Χλόην παρὰ τοῦ Δρύαντος καὶ δῶρα
ἤδη πολλὰ ἐδεδώκει σπεύδων τὸν γάμον. Αἰσθόμενος 2
οὖν ὡς, εἰ συγχωρηθείη παρὰ τοῦ δεσπότου, Δάφνις
αὐτὴν ἄξεται, τέχνην ἐζήτει, δι' ἧς τὸν δεσπότην αὐ-
τοῖς ποιήσει πικρόν· καὶ εἰδὼς πάνυ αὐτὸν τῷ παρα-
δείσῳ τερπόμενον, ἔγνω τοῦτον ὅσον οἷός τέ ἐστι
διαφθεῖραι καὶ ἀποκοσμῆσαι. Δένδρα μὲν οὖν τέμνων 3
ἔμελλεν ἁλώσεσθαι διὰ τὸν κτύπον· ἐπεῖχε δὲ τοῖς
ἄνθεσιν, ὥστε διαφθεῖραι αὐτά. Νύκτα δὴ φυλάξας
καὶ ὑπερβὰς τὴν αἱμασιὰν τὰ μὲν ἀνώρυξε, τὰ δὲ κατ-
έκλασε, τὰ δὲ κατεπάτησεν ὥσπερ σῦς. Καὶ ὁ μὲν 4
λαθὼν ἀπεληλύθει· Λάμων δὲ τῆς ἐπιούσης παρελ-
θὼν εἰς τὸν κῆπον ἔμελλεν ὕδωρ αὐτοῖς ἐκ τῆς πηγῆς
ἐπάξειν. Ἰδὼν δὲ πᾶν τὸ χωρίον δεδηωμένον καὶ ἔρ- 5
γον οἷον [[ἂν]] ἐχθρός, οὐ λῃστὴς ἐργάσαιτο, κατερρή-
ξατο μὲν εὐθὺς τὸν χιτωνίσκον, βυῇ δὲ μεγάλῃ θεοὺς
ἀνεκάλει, ὥστε καὶ ἡ Μυρτάλη τὰ ἐν χερσὶ καταλι-
ποῦσα ἐξέδραμε καὶ ὁ Δάφνις ἐάσας τὰς αἶγας ἀνέ-
δραμε· καὶ ἰδόντες ἐβόων καὶ βοῶντες ἐδάκρυον.

Ἀλλ' οἱ μὲν πτοούμενοι τὸν δεσπότην ἔκλαον· 8
ἔκλαυσε δ' ἄν τις καὶ ξένος ἐπιστάς· ἀπεκεκόσμητο
γὰρ ὁ τόπος καὶ ἦν λοιπὸν γῆ πηλώδης. Τῶν δὲ εἴ τι
διέφυγε τὴν ὕβριν, ὑπήνθει καὶ ἔλαμπε καὶ ἦν ἔτι
καλὸν καὶ κείμενον. Ἐπέκειντο δὲ αὐτοῖς καὶ μέλιτ- 2
ται συνεχὲς καὶ ἄπαυστον βομβοῦσαι καὶ θρηνούσαις
ὅμοιον. Ὁ μὲν οὖν Λάμων ὑπ' ἐκπλήξεως κἀκεῖνα
ἔλεγε

22 post ἐδάκρυον: καὶ ἦν μὲν κενὸν πένθος ἀνθῶν

3 "Φεῦ τῆς ῥοδωνιᾶς, ὡς κατακέκλασται· φεῦ τῆς ἰωνιᾶς, ὡς πεπάτηται· φεῦ τῶν ὑακίνθων καὶ τῶν ναρκίσσων, οὓς ἀνώρυξέ τις πονηρὸς ἄνθρωπος. Ἀφίξεται τὸ ἦρ, τὰ δὲ οὐκ ἀνθήσει· ἔσται τὸ θέρος, τὰ δὲ οὐκ ἀκμάσει· ** [τὸ] μετόπωρον, τὰ δὲ οὐδένα
4 στεφανώσει. Οὐδὲ σύ, δέσποτα Διόνυσε, τὰ ἄθλια ταῦτα ἠλέησας ἄνθη, οἷς παρῴκεις, ἃ ἔβλεπες, ἀφ' ὧν ἐστεφάνωσά σε πολλάκις; Πῶς δείξω νῦν τὸν παράδεισον τῷ δεσπότῃ; Τίς ἐκεῖνος θεασάμενος ἔσται; Κρεμᾷ γέροντα ἄνθρωπον ἐκ μιᾶς πίτυος ὡς Μαρσύαν· τάχα δὲ καὶ Δάφνιν, ὡς τῶν αἰγῶν ταῦτα εἰργασμένων."

9 Δάκρυα ἦν ἐπὶ τούτοις θερμότερα, καὶ ἐθρήνουν οὐ τὰ ἄνθη λοιπόν, ἀλλὰ τὰς αὐτῶν συμφοράς. Ἐθρήνει καὶ Χλόη Δάφνιν εἰ κρεμήσεται καὶ εὔχετο μηκέτι ἐλθεῖν τὸν δεσπότην αὐτῶν καὶ ἡμέρας διήντλει μοχθηράς, ὡς ἤδη Δάφνιν βλέπουσα μαστιγούμενον.
2 Καὶ δὴ νυκτὸς ἀρχομένης ὁ Εὔδρομος αὐτοῖς ἀπήγγελλεν ὅτι ὁ μὲν πρεσβύτερος δεσπότης μεθ' ἡμέρας ἀφίξεται τρεῖς, ὁ δὲ παῖς αὐτοῦ τῆς ἐπιούσης πρόσ-
3 εισι. Σκέψις οὖν ἦν περὶ τῶν συμβεβηκότων καὶ κοινωνὸν εἰς τὴν γνώμην τὸν Εὔδρομον παρελάμβανον· ὁ δὲ εὔνους ὢν τῷ Δάφνιδι παρῄνει τὸ συμβὰν ὁμολογῆσαι πρότερον τῷ νέῳ δεσπότῃ καὶ αὐτὸς συμπράξειν ἐπηγγέλλετο, τιμώμενος ὡς ὁμογάλακτος· καὶ ἡμέρας γενομένης οὕτως ἐποίησαν.

10 Ἦκε μὲν ὁ Ἀστύλος ἐπὶ ἵππου καὶ παράσιτος αὐτοῦ, καὶ οὗτος ἐπὶ ἵππου· ὁ μὲν ἀρτιγένειος, ὁ δὲ Γνάθων (τουτὶ γὰρ ἐκαλεῖτο) τὸν πώγωνα ξυρώμενος πάλαι· ὁ δὲ Λάμων ἅμα τῇ Μυρτάλῃ καὶ τῷ Δάφνιδι πρὸ τῶν ποδῶν αὐτοῦ καταπεσὼν ἱκέτευεν οἰκτεῖραι γέροντα ἀτυχῆ καὶ πατρῴας ὀργῆς ἐξαρπάσαι

τὸν οὐδὲν ἀδικήσαντα, ἅμα τε αὐτῷ καταλέγει πάντα. Οἰκτείρει τὴν ἱκεσίαν ὁ Ἀστύλος καὶ ἐπὶ τὸν παράδεισον ἐλθὼν καὶ τὴν ἀπώλειαν τῶν ἀνθέων ἰδὼν αὐτὸς ἔφη παραιτήσεσθαι τὸν πατέρα καὶ κατηγορήσειν τῶν ἵππων, ὡς ἐκεῖ δεθέντες ἐξύβρισαν καὶ τὰ μὲν κατέκλασαν, τὰ δὲ κατεπάτησαν, τὰ δὲ ἀνώρυξαν λυθέντες. Ἐπὶ τούτοις εὔχοντο μὲν αὐτῷ πάντα τὰ ἀγαθὰ Λάμων καὶ Μυρτάλη· Δάφνις δὲ δῶρα προσεκόμισεν ἐρίφους, τυρούς, ὄρνιθας καὶ τὰ ἔκγονα αὐτῶν, βότρυς ἐπὶ κλημάτων, μῆλα ἐπὶ κλάδων. Ἦν ἐν τοῖς δώροις καὶ ἀνθοσμίας οἶνος [Λέσβιος, ποθῆναι κάλλιστος οἶνος].

Ὁ μὲν δὴ Ἀστύλος ἐπῄνει ταῦτα καὶ περὶ θήραν εἶχε λαγῶν, οἷα πλούσιος νεανίσκος καὶ τρυφῶν ἀεὶ καὶ ἀφιγμένος εἰς τὸν ἀγρὸν εἰς ἀπόλαυσιν ξένης ἡδονῆς. Ὁ δὲ Γνάθων, οἷα μαθὼν ἐσθίειν ἄνθρωπος καὶ πίνειν εἰς μέθην καὶ λαγνεύειν μετὰ τὴν μέθην καὶ οὐδὲν ἄλλο ὢν ἢ γνάθος καὶ γαστὴρ καὶ τὰ ὑπὸ γαστέρα, οὐ παρέργως εἶδε τὸν Δάφνιν τὰ δῶρα κομίσαντα, ἀλλὰ καὶ φύσει παιδεραστὴς ὢν καὶ κάλλος οἷον οὐδὲ ἐπὶ τῆς πόλεως εὑρών, ἐπιθέσθαι ἔγνω τῷ Δάφνιδι καὶ πείσειν ᾤετο ῥᾳδίως ὡς αἰπόλον. Γνοὺς δὲ ταῦτα θήρας μὲν οὐκ ἐκοινώνει τῷ Ἀστύλῳ, κατιὼν δὲ ἵνα ἔνεμεν ὁ Δάφνις, λόγῳ μὲν τῶν αἰγῶν, τὸ δὲ ἀληθὲς Δάφνιδος ἐγίνετο θεατής· μαλθάξων δὲ αὐτὸν τάς τε αἶγας ἐπῄνει καὶ συρίσαι τὸ αἰπολικὸν ἠξίωσε καὶ ἔφη ταχέως ἐλεύθερον θήσειν τὸ πᾶν δυνάμενος.

Ὡς δὲ εἶχε χειροήθη, νύκτωρ λοχήσας ἐκ τῆς νομῆς ἐλαύνοντα τὰς αἶγας πρῶτον μὲν ἐφίλησε προσδραμών, εἶτα ὄπισθεν παρασχεῖν ** τοιοῦτον οἷον αἱ αἶγες τοῖς τράγοις. Τοῦ δὲ βραδέως νοήσαντος καὶ

λέγοντος, ὡς αἶγας μὲν βαίνειν τράγους καλόν, τράγον δὲ οὐπώποτε εἶδέ τις βαίνοντα τράγον οὐδὲ κριὸν ἀντὶ τῶν οἰῶν κριὸν οὐδὲ ἀλεκτρυόνας ἀντὶ τῶν ἀλεκτορίδων ἀλεκτρυόνας, οἷος ἦν ὁ Γνάθων βιά-
3 ζεσθαι τὰς χεῖρας προσφέρων· ὁ δὲ μεθύοντα ἄνθρω- 5
πον καὶ ἑστῶτα μόλις παρωσάμενος ἔσφηλεν εἰς τὴν γῆν καὶ ὥσπερ σκύλαξ ἀποδραμὼν κείμενον κατέλιπεν ἀνδρός, οὐ παιδὸς πρὸς χειραγωγίαν δεόμενον· καὶ οὐκέτι προσίετο ὅλως, ἀλλ' ἄλλοτε ἄλλῃ τὰς αἶγας
4 ἔνεμεν, ἐκεῖνον μὲν φεύγων, Χλόην δὲ τηρῶν. Οὐδὲ 10
ὁ Γνάθων ἔτι περιειργάζετο, καταμαθὼν ὡς οὐ μόνον καλός, ἀλλὰ καὶ ἰσχυρός ἐστιν· ἐπετήρει δὲ καιρὸν διαλεχθῆναι περὶ αὐτοῦ τῷ Ἀστύλῳ καὶ ἤλπιζε δῶρον αὐτὸν ἕξειν παρὰ τοῦ νεανίσκου πολλὰ καὶ μεγάλα χαρίζεσθαι θέλοντος. 15

13 Τότε μὲν οὖν οὐκ ἠδυνήθη, προσῆει γὰρ ὁ Διονυσοφάνης ἅμα τῇ Κλεαρίστῃ, καὶ ἦν θόρυβος πολὺς κτηνῶν, οἰκετῶν, ἀνδρῶν, γυναικῶν· μετὰ δὲ τοῦτο
2 συνέταττε λόγον καὶ ἐρωτικὸν καὶ μακρόν. Ἦν δὲ ὁ 20
Διονυσοφάνης μεσαιπόλιος μὲν ἤδη, μέγας δὲ καὶ καλὸς καὶ μειρακίοις ἁμιλλᾶσθαι δυνάμενος· ἀλλὰ καὶ πλούσιος ἐν ὀλίγοις καὶ χρηστὸς ὡς οὐδεὶς ἕτερος.
3 Οὗτος ἐλθὼν τῇ πρώτῃ μὲν ἡμέρᾳ θεοῖς ἔθυσεν, ὅσοι προεστᾶσιν ἀγροικίας, Δήμητρι καὶ Διονύσῳ καὶ 25
Πανὶ καὶ Νύμφαις, καὶ κοινὸν πᾶσι τοῖς παροῦσιν ἔστησε κρατῆρα· ταῖς δὲ ἄλλαις ἡμέραις ἐπεσκόπει
4 τὰ τοῦ Λάμωνος ἔργα. Καὶ ὁρῶν τὰ μὲν πεδία ἐν αὔλακι, τὰς δὲ ἀμπέλους ἐν κλήματι, τὸν δὲ παράδεισον ἐν κάλλει (περὶ γὰρ τῶν ἀνθέων Ἀστύλος τὴν αἰ- 30
τίαν ἀνελάμβανεν) ἥδετο περιττῶς καὶ τὸν Λάμωνα
5 ἐπῄνει καὶ ἐλεύθερον θήσειν ἐπηγγέλλετο. Κατῆλθε

μετὰ ταῦτα καὶ εἰς τὸ αἰπόλιον τάς τε αἶγας ὀψόμενος καὶ τὸν νέμοντα.

Χλόη μὲν οὖν εἰς τὴν ὕλην ἔφυγεν, ὄχλον τοσοῦ- 14
τον αἰδεσθεῖσα καὶ φοβηθεῖσα· ὁ δὲ Δάφνις εἱστήκει
δέρμα λάσιον αἰγὸς ἐξωσμένος, πήραν νεορραφῆ κατὰ
τῶν ὤμων ἐξηρτημένος, κρατῶν ταῖς χερσὶν ἀμφοτέ-
ραις τῇ μὲν ἀρτιπαγεῖς τυρούς, τῇ δὲ ἐρίφους γαλα-
θηνούς. Εἴ ποτε Ἀπόλλων Λαομέδοντι θητεύων ἐβου- 2
κόλησε, τοιόσδε ἦν, οἷος τότε ὤφθη Δάφνις. Αὐτὸς
μὲν οὖν εἶπεν οὐδέν, ἀλλὰ ἐρυθήματος πλησθεὶς
ἔνευσε κάτω, προτείνας τὰ δῶρα· ὁ δὲ Λάμων "οὗ-
τος" εἶπε "σοί, δέσποτα, τῶν αἰγῶν αἰπόλος. Σὺ μὲν 3
ἐμοὶ πεντήκοντα νέμειν δέδωκας καὶ δύο τράγους,
οὗτος δέ σοι πεποίηκεν ἑκατὸν καὶ δέκα τράγους.
Ὁρᾷς ὡς λιπαραὶ καὶ τὰς τρίχας λάσιαι καὶ τὰ κέρατα
ἄθραυστοι. Πεποίηκε δὲ αὐτὰς καὶ μουσικάς· σύ-
ριγγος γοῦν ἀκούουσαι ποιοῦσι πάντα."

Παροῦσα δὲ τοῖς λεγομένοις ἡ Κλεαρίστη πεῖραν 15
ἐπεθύμησε τοῦ λεχθέντος λαβεῖν καὶ κελεύει τὸν Δάφ-
νιν ταῖς αἰξὶν οἷον εἰώθε συρίσαι καὶ ἐπαγγέλλεται
συρίσαντι χαριεῖσθαι χιτῶνα καὶ χλαῖναν καὶ ὑποδή-
ματα. Ὁ δὲ καθίσας αὐτοὺς ὥσπερ θέατρον, στὰς ὑπὸ 2
τῇ φηγῷ κἀκ τῆς πήρας τὴν σύριγγα προκομίσας
πρῶτα μὲν ὀλίγον ἐνέπνευσε· καὶ αἱ αἶγες ἔστησαν
τὰς κεφαλὰς ἀράμεναι· εἶτα ἐνέπνευσε τὸ νόμιον, καὶ
αἱ αἶγες ἐνέμοντο νεύσασαι κάτω· αὖθις λιγυρὸν ἐνέ-
δωκε, καὶ ἀθρόαι κατεκλίνησαν· ἐσύρισέ τι καὶ ὀξὺ 3
μέλος, αἱ δὲ ὥσπερ λύκου προσιόντος εἰς τὴν ὕλην
κατέφυγον· μετ' ὀλίγον ἀνακλητικὸν ἐφθέγξατο, καὶ
ἐξελθοῦσαι τῆς ὕλης πλησίον αὐτοῦ τῶν ποδῶν συνέ-
δραμον. Οὐδὲ ἀνθρώπους οἰκέτας εἶδεν ἄν τις οὕτω 4
πειθομένους προστάγματι δεσπότου. Οἵ τε οὖν ἄλλοι

πάντες ἐθαύμαζον καὶ πρὸ πάντων ἡ Κλεαρίστη καὶ τὰ δῶρα ἀποδώσειν ὤμοσε καλῷ τε ὄντι αἰπόλῳ καὶ μουσικῷ· καὶ ἀνελθόντες εἰς τὴν ἔπαυλιν ἀμφὶ ἄριστον εἶχον καὶ τῷ Δάφνιδι ἀφ' ὧν ἤσθιον ἔπεμψαν.

16 Ὁ δὲ μετὰ τῆς Χλόης ἤσθιε καὶ ἤδετο γευόμενος ἀστικῆς ὀψαρτυσίας καὶ εὔελπις ἦν τεύξεσθαι τοῦ γάμου, πείσας τοὺς δεσπότας. Ὁ δὲ Γνάθων προσεκαυθεὶς τοῖς κατὰ τὸ αἰπόλιον γεγενημένοις καὶ ἀβίωτον νομίζων τὸν βίον, εἰ μὴ τεύξεται Δάφνιδος, περιπατοῦντα τὸν Ἀστύλον ἐν τῷ παραδείσῳ φυλάξας καὶ ἀναγαγὼν εἰς τὸν τοῦ Διονύσου νεὼν πόδας καὶ
2 χεῖρας κατεφίλει. Τοῦ δὲ πυνθανομένου τίνος ἕνεκα ταῦτα δρᾷ, καὶ λέγειν κελεύοντος καὶ ὑπουργήσειν ὀμνύοντος, "οἴχεταί σοι Γνάθων" ἔφη "δέσποτα. Ὁ μέχρι νῦν μόνης τραπέζης τῆς σῆς ἐρῶν, ὁ πρότερον ὀμνὺς ὅτι μηδέν ἐστιν ὡραιότερον οἴνου γέροντος, ὁ κρείττους τῶν ἐφήβων τῶν ἐν Μυτιλήνῃ τοὺς σοὺς ὀψαρτυτὰς λέγων, μόνον λοιπὸν καλὸν εἶναι Δάφνιν
3 νομίζω. Καὶ τροφῆς μὲν τῆς πολυτελοῦς οὐ γεύομαι, καίτοι τοσούτων παρασκευαζομένων ἑκάστης ἡμέρας κρεῶν, ἰχθύων, μελιτωμάτων, ἡδέως δ' ἂν αἴξ γενόμενος πόαν ἐσθίοιμι καὶ φύλλα, τῆς Δάφνιδος ἀκούων σύριγγος καὶ ὑπ' ἐκείνου νεμόμενος. Σὺ δὲ σῶσον Γνάθωνα τὸν σὸν καὶ τὸν ἀήττητον ἔρωτα νί-
4 κησον. Εἰ δὲ μή, σὲ ἐπόμνυμι, τὸν ἐμὸν Θεόν, ξιφίδιον λαβὼν καὶ ἐμπλήσας τὴν γαστέρα τροφῆς ἐμαυτὸν ἀποκτενῶ πρὸ τῶν Δάφνιδος θυρῶν· σὺ δὲ οὐκέτι καλέσεις Γναθωνάριον, ὥσπερ εἰώθεις παίζων ἀεί."

17 Οὐκ ἀντέσχε κλάοντι καὶ αὖθις τοὺς πόδας καταφιλοῦντι νεανίσκος μεγαλόφρων καὶ οὐκ ἄπειρος ἐρωτικῆς λύπης, ἀλλ' αἰτήσειν αὐτὸν παρὰ τοῦ πα-

τρὸς ἐπηγγείλατο καὶ κομιεῖν εἰς τὴν πόλιν αὐτῷ μὲν δοῦλον, ἐκείνῳ δὲ ἐρώμενον. Εἰς εὐθυμίαν δὲ [καὶ] 2 αὐτὸν [ἐκεῖνον] θέλων προαγαγεῖν ἐπυνθάνετο μειδιῶν εἰ οὐκ αἰσχύνεται Λάμωνος υἱὸν φιλῶν, ἀλλὰ καὶ σπουδάζει συγκατακλινῆναι νέμοντι αἶγας μειρακίῳ· καὶ ἅμα ὑπεκρίνετο τὴν τραγικὴν δυσωδίαν μυσάττεσθαι. Ὁ δέ, οἷα πᾶσαν ἐρωτικὴν μυθολογίαν ἐν 3 τοῖς τῶν ἀσώτων συμποσίοις πεπαιδευμένος, οὐκ ἀπὸ σκοποῦ καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ τοῦ Λάφνιδος ἔλεγεν "οὐδεὶς ταῦτα, δέσποτα, ἐραστὴς πολυπραγμονεῖ· ἀλλ' ἐν οἵῳ ποτε ἂν σώματι εὕρῃ τὸ κάλλος, ἐάλωκε. Διὰ τοῦτο καὶ φυτοῦ τις ἠράσθη καὶ ποτα- 4 μοῦ καὶ θηρίου. Καίτοι τίς οὐκ ἂν ἐραστὴν ἠλέησεν, ὃν ἔδει φοβεῖσθαι τὸν ἐρώμενον; Ἐγὼ δὲ σώματος μὲν ἐρῶ δούλου, κάλλους δὲ ἐλευθέρου. Ὁρᾷς ὡς ὑα- 5 κίνθῳ μὲν τὴν κόμην ὁμοίαν ἔχει, λάμπουσι δὲ ὑπὸ ταῖς ὀφρύσιν οἱ ὀφθαλμοὶ καθάπερ ἐν χρυσῇ σφενδόνῃ ψηφίς; Καὶ τὸ μὲν πρόσωπον ἐρυθήματος μεστόν, τὸ δὲ στόμα λευκῶν ὀδόντων ὥσπερ ἐλέφαντος. Τίς ἐκεῖθεν οὐκ ἂν εὔξαιτο λαβεῖν ἐραστὴς γλυκέα 6 φιλήματα; Εἰ δὲ νέμοντος ἠράσθην, θεοὺς ἐμιμησάμην. Βουκόλος ἦν Ἀγχίσης, καὶ ἔσχεν αὐτὸν Ἀφροδίτη· αἶγας ἔνεμε Βράγχος, καὶ Ἀπόλλων αὐτὸν ἐφίλησε· ποιμὴν ἦν Γανυμήδης, καὶ αὐτὸν ὁ Ζεὺς ἥρπασε. Μὴ καταφρονῶμεν παιδός, ᾧ καὶ αἶγας ὡς 7 ἐρώσας πειθομένας εἴδομεν· ἀλλὰ ὅτι μένειν ἐπὶ γῆς ἐπιτρέπουσι τοιοῦτον κάλλος χάριν ἔχωμεν τοῖς Διὸς ἀετοῖς."

Ἡδὺ γελάσας ὁ Ἀστύλος ἐπὶ τούτῳ μάλιστα τῷ 18 λεχθέντι καὶ ὡς μεγάλους ὁ Ἔρως ποιεῖ σοφιστὰς εἰπὼν ἐπετήρει καιρόν, ἐν ᾧ τῷ πατρὶ περὶ Λάφνιδος διαλέξεται. Ἀκούσας δὲ τὰ λεχθέντα κρύφα πάντα ὁ

Εὔδρομος καὶ τὰ μὲν τὸν Δάφνιν φιλῶν ὡς ἀγαθὸν νεανίσκον, τὰ δὲ ἀχθόμενος εἰ Γνάθωνος ἐμπαροίνημα γενήσεται τοιοῦτον κάλλος, αὐτίκα καταλέγει
2 πάντα κἀκείνῳ καὶ Λάμωνι. Ὁ μὲν οὖν Δάφνις ἐκπλαγεὶς ἐγίνωσκεν ἅμα τῇ Χλόῃ τολμῆσαι φυγεῖν ἢ ἀποθανεῖν, κοινωνὸν κἀκείνην λαβών· ὁ δὲ Λάμων προκαλεσάμενος ἔξω τῆς αὐλῆς τὴν Μυρτάλην "οἰχόμεθα" εἶπεν "ὦ γύναι. Ἥκει καιρὸς ἐκκαλύπτειν
3 τὰ κρυπτά. Ἔρρει μοι ** καὶ αἱ αἶγες καὶ τὰ λοιπὰ πάντα· ἀλλ' οὐ μὰ τὸν Πᾶνα καὶ τὰς Νύμφας, οὐδ' εἰ μέλλω βοῦς, φασίν, ἐν αὐλίῳ καταλείπεσθαι, τὴν Δάφνιδος τύχην ἥτις ἐστὶν οὐ σιωπήσομαι, ἀλλὰ καὶ ὅτι εὗρον ἐκκείμενον ἐρῶ καὶ ὅπως τρεφόμενον μηνύσω καὶ ὅσα εὗρον συνεκκείμενα δείξω. Μαθέτω Γνάθων ὁ μιαρὸς οἷος ὢν οἵων ἐρᾷ. Παρασκεύαξέ μοι μόνον εὐτρεπῆ τὰ γνωρίσματα."

19 [[Καὶ]] οἱ μὲν ταῦτα συνθέμενοι ἀπῆλθον εἴσω πάλιν· ὁ δὲ Ἀστύλος σχολὴν ἄγοντι τῷ πατρὶ προσρυεὶς αἰτεῖ τὸν Δάφνιν εἰς τὴν πόλιν καταγαγεῖν ὡς καλόν τε ὄντα καὶ ἀγροικίας κρείττονα καὶ ταχέως ὑπὸ Γνά-
2 θωνος καὶ τὰ ἀστικὰ διδαχθῆναι δυνάμενον. Χαίρων ὁ πατὴρ δίδωσι καὶ μεταπεμψάμενος τὸν Λάμωνα καὶ τὴν Μυρτάλην εὐηγγελίζετο μὲν αὐτοῖς ὅτι Ἀστύλον θεραπεύσει λοιπὸν ἀντὶ αἰγῶν καὶ τράγων Δάφνις, ἐπηγγέλλετο δὲ δύο ἀντ' ἐκείνου δώσειν
3 αὐτοῖς αἰπόλους. Ἐνταῦθα ὁ Λάμων, πάντων ἤδη συνερρυηκότων καὶ ὅτι καλὸν ὁμόδουλον ἕξουσιν ἡδομένων, αἰτήσας λόγον ἤρξατο λέγειν "ἄκουσον, ὦ δέσποτα, παρ' ἀνδρὸς γέροντος ἀληθῆ λόγον· ἐπόμνυμι δὲ τὸν Πᾶνα καὶ τὰς Νύμφας ὡς οὐδὲν ψεύσομαι.
4 Οὐκ εἰμὶ Δάφνιδος πατήρ, οὐδ' εὐτύχησέ ποτε Μυρτάλη μήτηρ γενέσθαι. Ἄλλοι πατέρες ἐξέθηκαν τοῦτο

τὸ παιδίον, ἴσως παιδίων πρεσβυτέρων ἄλις ἔχοντες· ἐγὼ δὲ εὗρον ἐκκείμενον καὶ ὑπὸ αἰγὸς ἐμῆς τρεφόμενον, ἣν καὶ ἀποθανοῦσαν ἔθαψα ἐν τῷ περικήπῳ φιλῶν ὅτι ἐποίησε μητρὸς ἔργα. Εὗρον αὐτῷ καὶ γνωρίσματα συνεκκείμενα ὁμόλογ[α], ὦ δέσποτα, καὶ φυλάττω· τύχης γάρ ἐστι μείζονος ἢ καθ' ἡμᾶς σύμβολα. Ἀστύλου μὲν οὖν εἶναι δοῦλον αὐτὸν οὐχ ὑπερηφανῶ, καλὸν οἰκέτην καλοῦ κἀγαθοῦ δεσπότου· παροίνημα δὲ Γνάθωνος οὐ δύναμαι περιιδεῖν γενόμενον, ὃς ἐς Μυτιλήνην αὐτὸν ἄγειν ἐπὶ γυναικῶν ἔργα σπουδάζει."

Ὁ μὲν Λάμων ταῦτα εἰπὼν ἐσιώπησε καὶ πολλὰ ἀφῆκε δάκρυα· τοῦ δὲ Γνάθωνος θρασυνομένου καὶ πληγὰς ἀπειλοῦντος, ὁ Διονυσοφάνης τοῖς εἰρημένοις ἐκπλαγεὶς τὸν μὲν Γνάθωνα σιωπᾶν ἐκέλευσε, σφόδρα τὴν ὀφρὺν εἰς αὐτὸν τοξοποιήσας, τὸν δὲ Λάμωνα πάλιν ἀνέκρινε καὶ παρεκελεύετο τἀληθῆ λέγειν μηδὲ ὅμοια πλάττειν μύθοις ἐπὶ τῷ κατέχειν τὸν υἱόν. Ὡς δ' ἀτενὴς ἦν καὶ κατὰ πάντων ὤμνυε θεῶν καὶ ἐδίδου βασανίζειν αὐτόν, εἴ τι ψεύδεται, παρακαθημένης τῆς Κλεαρίστης ἐβασάνιζε τὰ λελεγμένα. "Τί δ' ἂν ἐψεύδετο Λάμων, μέλλων ἀνθ' ἑνὸς δύο λαμβάνειν αἰπόλους; Πῶς δ' ἂν καὶ ταῦτ' ἔπλασσεν ἄγροικος; Οὐ γὰρ εὐθὺς ἦν ἄπιστον ἐκ τοιούτου γέροντος καὶ μητρὸς εὐτελοῦς υἱὸν καλὸν οὕτω γενέσθαι;"

Ἐδόκει μὴ μαντεύεσθαι ἐπὶ πλέον, ἀλλὰ ἤδη τὰ γνωρίσματα σκοπεῖν εἰ λαμπρᾶς καὶ ἐνδοξοτέρας τύχης. Ἀπῄει μὲν Μυρτάλη κομιοῦσα πάντα φυλαττόμενα ἐν πήρᾳ παλαιᾷ· κομισθέντα δὲ πρῶτος Διονυσοφάνης ἐπέβλεπε καὶ ἰδὼν χλαμύδιον ἁλουργές, πόρπην χρυσήλατον, ξιφίδιον ἐλεφαντόκωπον, μέγα βοήσας "ὦ Ζεῦ δέσποτα" καλεῖ τὴν γυναῖκα θεασο-

μένην. Ἡ δὲ ἰδοῦσα μέγα καὶ αὐτὴ βοᾷ "φίλαι Μοῖραι· οὐ ταῦτα ἡμεῖς συνεξεθήκαμεν ἰδίῳ παιδί; Οὐκ εἰς τούτους τοὺς ἀγροὺς κομιοῦσαν Σωφροσύνην ἀπεστείλαμεν; Οὐκ ἄλλα μὲν οὖν, ἀλλ' αὐτὰ ταῦτα. Φίλε ἄνερ, ἡμέτερόν ἐστι τὸ παιδίον· σὸς υἱός ἐστι Δάφνις, καὶ πατρῴας ἔνεμεν αἶγας."

22 Ἔτι λεγούσης αὐτῆς καὶ τοῦ Διονυσοφάνους τὰ γνωρίσματα φιλοῦντος καὶ ὑπὸ περιττῆς ἡδονῆς δακρύοντος ὁ Ἀστύλος συνεὶς ὡς ἀδελφός ἐστι, ῥίψας θοιμάτιον ἔθει κατὰ τοῦ παραδείσου, πρῶτος τὸν Δάφ-
2 νιν φιλῆσαι θέλων. Ἰδὼν δὲ αὐτὸν ὁ Δάφνις θέοντα μετὰ πολλῶν καὶ βοῶντα "Δάφνι," νομίσας ὅτι συλλαβεῖν αὐτὸν βουλόμενος τρέχει, ῥίψας τὴν πήραν καὶ τὴν σύριγγα πρὸς τὴν θάλατταν ἐφέρετο ῥίψων
3 ἑαυτὸν ἀπὸ τῆς μεγάλης πέτρας. Καὶ ἴσως ἄν, τὸ καινότατον, εὑρεθεὶς ἀπωλώλει Δάφνις, εἰ μὴ συνεὶς ὁ Ἀστύλος ἐβόα πάλιν "στῆθι, Δάφνι, μηδὲν φοβηθῇς· ἀδελφός εἰμί σου, καὶ γονεῖς οἱ μέχρι νῦν δε-
4 σπόται. Νῦν ἡμῖν Λάμων τὴν αἶγα εἶπε καὶ τὰ γνωρίσματα ἔδειξεν· ὅρα δὲ ἐπιστραφεὶς πῶς ἐπίασι φαιδροὶ καὶ γελῶντες. Ἀλλ' ἐμὲ πρῶτον φίλησον· ὄμνυμι δὲ τὰς Νύμφας ὡς οὐ ψεύδομαι."

23 Μόλις μετὰ τὸν ὅρκον ἔστη καὶ τὸν Ἀστύλον τρέχοντα περιέμεινε καὶ προσελθόντα κατεφίλησεν. Ἐν ᾧ δὲ ἐκεῖνον ἐφίλει, πλῆθος τὸ λοιπὸν ἐπιρρεῖ θεραπόντων, θεραπαινῶν, αὐτὸς ὁ πατήρ, ἡ μήτηρ μετ' αὐτοῦ. Οὗτοι πάντες περιέβαλλον, κατεφίλουν, χαί-
2 ροντες κλάοντες. Ὁ δὲ τὸν πατέρα καὶ τὴν μητέρα πρὸ τῶν ἄλλων ἐφιλοφρονεῖτο, καὶ ὡς πάλαι εἰδὼς προσεστερνίζετο καὶ ἐξελθεῖν τῶν περιβολῶν οὐκ ἤθελεν· οὕτω φύσις ταχέως πιστοῦται. Ἐξελάθετο καὶ Χλόης πρὸς ὀλίγον· καὶ ἐλθὼν εἰς τὴν ἔπαυλιν ἐσθῆτά

τε ἔλαβε πολυτελῆ καὶ παρὰ τὸν πατέρα τὸν ἴδιον καθεσθεὶς ἤκουσεν αὐτοῦ λέγοντος οὕτως

""Ἔγημα, ὦ παῖδες, κομιδῇ νέος. Καὶ χρόνου 24
διελθόντος ὀλίγου πατήρ, ὡς ᾤμην, εὐτυχὴς ἐγεγό-
νειν· ἐγένετο γάρ μοι πρῶτος υἱὸς καὶ δευτέρα θυγά-
τηρ καὶ τρίτος Ἀστύλος. Ὤμην ἱκανὸν εἶναι τὸ γένος,
καὶ γενόμενον ἐπὶ πᾶσι τοῦτο τὸ παιδίον ἐξέθηκα,
οὐ γνωρίσματα ταῦτα συνεκθείς, ἀλλ' ἐντάφια. Τὰ 2
δὲ τῆς τύχης ἄλλα βουλεύματα. Ὁ μὲν γὰρ πρεσβύτε-
ρος παῖς καὶ ἡ θυγάτηρ ὁμοίᾳ νόσῳ μιᾶς ἡμέρας ἀπώ-
λοντο· σὺ δέ μοι προνοίᾳ θεῶν ἐσώθης, ἵνα πλείους
ἔχωμεν χειραγωγούς. Μήτε οὖν σύ μοι μνησικακή- 3
σῃς ποτὲ τῆς ἐκθέσεως (ἑκὼν γὰρ οὐκ ἐβουλευσάμην),
μήτε σὺ λυπηθῇς, Ἀστύλε, μέρος ληψόμενος ἀντὶ
πάσης τῆς οὐσίας (κρεῖττον γὰρ τοῖς εὖ φρονοῦσιν
ἀδελφοῦ κτῆμα οὐδέν), ἀλλὰ φιλεῖτε ἀλλήλους καὶ
χρημάτων ἕνεκα καὶ βασιλεῦσιν ἐρίζετε. Πολλὴν μὲν 4
γὰρ ἐγὼ ὑμῖν καταλείψω γῆν, πολλοὺς δὲ οἰκέτας δε-
ξιούς, χρυσόν, ἄργυρον [καὶ] ὅσα ἄλλα εὐδαιμόνων
κτήματα. Μόνον ἐξαίρετον τοῦτο Δάφνιδι τὸ χωρίον
δίδωμι καὶ Λάμωνα καὶ Μυρτάλην καὶ τὰς αἶγας, ἃς
αὐτὸς ἔνεμεν."

Ἔτι αὐτοῦ λέγοντος Δάφνις ἀναπηδήσας "καλῶς 25
με" εἶπε "ταῦτα, πάτερ, ἀνέμνησας. Ἄπειμι τὰς αἶ-
γας ἀπάξων ἐπὶ πότον, αἵ που νῦν διψῶσαι περιμέ-
νουσι τὴν σύριγγα τὴν ἐμήν· ἐγὼ δὲ ἐνταυθὶ καθέ-
ζομαι." Ἡδὺ πάντες ἐγέλασαν ὅτι δεσπότης γεγενη-
μένος ἔτι θέλει εἶναι αἰπόλος. Κἀκείνας μὲν θερα- 2
πεύσων ἐπέμφθη τις ἄλλος· οἱ δὲ θύσαντες Διὶ Σω-
τῆρι συμπόσιον συνεκρότουν. Εἰς τοῦτο τὸ συμπόσιον
μόνος οὐχ ἥκε Γνάθων, ἀλλὰ φοβούμενος ἐν τῷ νεῷ
τοῦ Διονύσου καὶ τὴν ἡμέραν ἔμεινε καὶ τὴν νύκτα,

3 ὥσπερ ἱκέτης. Ταχείας δὲ φήμης εἰς πάντας ἐλθούσης ὅτι Διονυσοφάνης εὗρεν υἱόν, καὶ ὅτι Δάφνις ὁ αἰπόλος δεσπότης τῶν ἀγρῶν εὑρέθη, ἅμα ἔῳ συνέτρεχον ἄλλος ἀλλαχόθεν, τῷ μὲν μειρακίῳ συνηδόμενοι, τῷ δὲ πατρὶ αὐτοῦ δῶρα κομίζοντες· ἐν οἷς καὶ ὁ Δρύας πρῶτος ὁ τρέφων τὴν Χλόην.

26 Ὁ δὲ Διονυσοφάνης κατεῖχε πάντας, κοινωνοὺς μετὰ τὴν εὐφροσύνην καὶ τῆς ἑορτῆς ἐσομένους. Παρεσκεύαστο δὲ πολὺς μὲν οἶνος, πολλὰ δὲ ἄλευρα, ὄρνιθες ἔλειοι, χοῖροι γαλαθηνοί, μελιτώματα ποικίλα·
2 καὶ ἱερεῖα δὲ πολλὰ τοῖς ἐπιχωρίοις θεοῖς ἐθύετο. Ἐνταῦθα ὁ Δάφνις συναθροίσας πάντα τὰ ποιμενικὰ κτήματα διένειμεν ἀναθήματα τοῖς θεοῖς. Τῷ Διονύσῳ μὲν ἀνέθηκε τὴν πήραν καὶ τὸ δέρμα, τῷ Πανὶ [δὲ] τὴν σύριγγα καὶ τὸν πλάγιον αὐλόν, τὴν καλαύροπα ταῖς Νύμφαις καὶ τοὺς γαυλοὺς οὓς αὐτὸς
3 ἐτεκτήνατο. Οὕτω δὲ ἄρα τὸ σύνηθες ξενιζούσης εὐδαιμονίας τερπνότερόν ἐστιν, ὥστε ἐδάκρυεν ἐφ' ἑκάστῳ τούτων ἀπαλλαττόμενος· καὶ οὔτε τοὺς γαυλοὺς ἀνέθηκε πρὶν ἀμέλξαι, οὔτε τὸ δέρμα πρὶν ἐνδύσα-
4 σθαι, οὔτε τὴν σύριγγα πρὶν συρίσαι· ἀλλὰ καὶ ἐφίλησεν αὐτὰ πάντα καὶ τὰς αἶγας προσεῖπε καὶ τοὺς τράγους ἐκάλεσεν ὀνομαστί. Τῆς μὲν γὰρ πηγῆς καὶ ἔπιεν, ὅτι πολλάκις καὶ μετὰ Χλόης. Οὔπω δὲ ὡμολόγει τὸν ἔρωτα καιρὸν παραφυλάττων.

27 Ἐν ᾧ δὲ Δάφνις ἐν θυσίαις ἦν, τάδε γίνεται περὶ τὴν Χλόην. Ἐκάθητο κλάουσα, λέγουσα οἷα εἰκὸς ἦν. "Ἐξελάθετό μου Δάφνις. Ὀνειροπολεῖ γάμους πλου-
2 σίους. Τί γὰρ αὐτὸν ὀμνύειν ἀντὶ τῶν Νυμφῶν τὰς αἶγας ἐκέλευον; Κατέλιπε ταύτας ὡς καὶ Χλόην.

---

27 post κλάουσα: τὰ πρόβατα νέμουσα

Οὐδὲ θύων ταῖς Νύμφαις καὶ τῷ Πανὶ ἐπεθύμησεν ἰδεῖν Χλόην. Εὗρεν ἴσως παρὰ τῇ μητρὶ θεραπαίνας ἐμοῦ κρείττονας. Χαιρέτω· ἐγὼ δὲ οὐ ζήσομαι."

Τοιαῦτα λέγουσαν, τοιαῦτα ἐννοοῦσαν ὁ Λάμπις 28
ὁ βουκόλος μετὰ χειρὸς γεωργικῆς ἐπιστὰς ἥρπασεν αὐτήν, ὡς οὔτε Δάφνιδος ἔτι γαμήσοντος καὶ Δρύαντος ἐκεῖνον ἀγαπήσοντος. Ἡ μὲν οὖν ἐκομίζετο βοῶσα ἐλεεινόν, τῶν δέ τις ἰδόντων ἐμήνυσε τῇ Νάπῃ κἀκείνη τῷ Δρύαντι καὶ ὁ Δρύας τῷ Δάφνιδι. Ὁ δὲ 2
ἔξω τῶν φρενῶν γενόμενος οὔτε εἰπεῖν πρὸς τὸν πατέρα ἐτόλμα καὶ καρτερεῖν μὴ δυνάμενος εἰς τὸν περίκηπον εἰσελθὼν ὠδύρετο "ὦ [τῆς] πικρᾶς ἀνευρέσεως" λέγων· "πόσον ἦν μοι κρεῖττον νέμειν; Πόσον 3
ἦμην μακαριώτερος, δοῦλος ὤν; Τότε ἔβλεπον Χλόην, τότε **, νῦν δὲ τὴν μὲν Λάμπις ἁρπάσας οἴχεται, νυκτὸς δὲ γενομένης συγκοιμήσεται. Ἐγὼ δὲ πίνω καὶ τρυφῶ καὶ μάτην τὸν Πᾶνα καὶ τὰς αἶγας καὶ τὰς Νύμφας ὤμοσα."

Ταῦτα τοῦ Δάφνιδος λέγοντος ἤκουσεν ὁ Γνάθων 29
ἐν τῷ παραδείσῳ λανθάνων· καὶ καιρὸν ἥκειν διαλλαγῶν πρὸς αὐτὸν νομίζων τινὰς τῶν τοῦ Ἀστύλου νεανίσκων προσλαβὼν μεταδιώκει τὸν Δρύαντα. Καὶ 2
ἡγεῖσθαι κελεύσας ἐπὶ τὴν τοῦ Λάμπιδος ἔπαυλιν συνέτεινε δρόμον· καὶ καταλαβὼν ἄρτι εἰσάγοντα τὴν Χλόην, ἐκείνην τε ἁφαιρεῖται καὶ ἀνθρώπους γεωργοὺς συνηλόησε πληγαῖς. Ἐσπούδαζε δὲ καὶ τὸν 3
Λάμπιν δήσας ἄγειν ὡς αἰχμάλωτον ἐκ πολέμου τινός, εἰ μὴ φθάσας ἀπέδρα. Κατορθώσας δὲ τηλικοῦτον ἔργον νυκτὸς ἀρχομένης ἐπανέρχεται. Καὶ τὸν 4
μὲν Διονυσοφάνην εὑρίσκει καθεύδοντα, τὸν δὲ Δάφνιν ἀγρυπνοῦντα καὶ ἔτι ἐν τῷ περικήπῳ δακρύοντα. Προσάγει δὴ τὴν Χλόην αὐτῷ καὶ διδοὺς διηγεῖται

πάντα· καὶ δεῖται μηδὲν ἔτι μνησικακοῦντα δοῦλον ἔχειν οὐκ ἄχρηστον, μηδὲ ἀφελέσθαι τραπέζης, μεθ' ἣν τεθνήξεται λιμῷ. Ὁ δὲ ἰδὼν καὶ ἔχων ἐν ταῖς χερσὶ τὴν Χλόην τῷ μὲν ὡς εὐεργέτῃ διηλλάττετο, τῇ δὲ ὑπὲρ τῆς ἀμελείας ἀπελογεῖτο.

30 Βουλευομένοις δὲ αὐτοῖς ἐδόκει τὸν γάμον κρύπτειν, ἔχειν δὲ κρύφα τὴν Χλόην πρὸς μόνην ὁμολογήσαντα τὸν ἔρωτα τὴν μητέρα· ἀλλ' οὐ συνεχώρει Δρύας, ἠξίου δὲ τῷ πατρὶ λέγειν καὶ πείσειν αὐτὸς
2 ἐπηγγέλλετο. Καὶ γενομένης ἡμέρας ἔχων ἐν τῇ πήρᾳ τὰ γνωρίσματα πρόσεισι τῷ Διονυσοφάνει καὶ τῇ Κλεαρίστῃ καθημένοις ἐν τῷ παραδείσῳ (παρῆν δὲ καὶ ὁ Ἀστύλος καὶ αὐτὸς ὁ Δάφνις) καὶ σιωπῆς γενομένης ἤρξατο λέγειν

3 "Ὁμοία με ἀνάγκη Λάμωνι τὰ μέχρι νῦν ἄρρητα ἐκέλευσε λέγειν. Χλόην ταύτην οὔτε ἐγέννησα οὔτε ἀνέθρεψα, ἀλλὰ ἐγέννησαν μὲν ἄλλοι, κειμένην δὲ
4 ἐν ἄντρῳ Νυμφῶν ἀνέθρεψεν οἷς. Εἶδον τοῦτο αὐτὸς καὶ ἰδὼν ἐθαύμασα [καὶ] θαυμάσας ἔθρεψα. Μαρτυρεῖ μὲν καὶ τὸ κάλλος, ἔοικε γὰρ οὐδὲν ἡμῖν· μαρτυρεῖ δὲ καὶ τὰ γνωρίσματα, πλουσιώτερα γὰρ ἢ κατὰ ποιμένα. Ἴδετε ταῦτα καὶ τοὺς προσήκοντας τῇ κόρῃ ζητήσατε, ἵν' ἀξία ποτὲ Δάφνιδος φανῇ."

31 Τοῦτο οὔτε Δρύας ἀσκόπως ἔρριψεν οὔτε Διονυσοφάνης ἀμελῶς ἤκουσεν, ἀλλ' ἰδὼν εἰς τὸν Δάφνιν καὶ ὁρῶν αὐτὸν χλωριῶντα καὶ κρύφα δακρύοντα ταχέως ἐφώρασε τὸν ἔρωτα· καὶ ὡς ὑπὲρ παιδὸς ἰδίου μᾶλλον ἢ κόρης ἀλλοτρίας δεδοικὼς διὰ πάσης ἀκρι-
2 βείας ἤλεγχε τοὺς λόγους τοῦ Δρύαντος. Ἐπεὶ δὲ καὶ τὰ γνωρίσματα εἶδε κομισθέντα, [τὰ] ὑποδήματα [τὰ] κατάχρυσα, τὰς περισκελίδας, τὴν μίτραν, προσκαλεσάμενος τὴν Χλόην παρεκελεύετο θαρρεῖν, ὡς ἄν-

δρα μὲν ἔχουσαν ἤδη, ταχέως δὲ εὑρήσουσαν καὶ τὸν πατέρα καὶ τὴν μητέρα. Καὶ τὴν μὲν ἡ Κλεαρίστη παραλαβοῦσα ἐκόσμει λοιπὸν ὡς υἱοῦ γυναῖκα, τὸν δὲ Δάφνιν ὁ Διονυσοφάνης ἀναστήσας μόνον ἀνέκρινεν εἰ παρθένος ἐστί· τοῦ δὲ ὁμόσαντος μηδὲν γεγονέναι φιλήματος καὶ ὅρκων πλέον, ἡσθεὶς ἐπὶ τῷ συνωμοσίῳ κατέκλινεν αὐτούς. 3

Ἦν οὖν μαθεῖν οἷόν ἐστι τὸ κάλλος, ὅταν κόσμον προσλάβῃ. Ἐνδυθεῖσα γὰρ ἡ Χλόη καὶ ἀναπλεξαμένη τὴν κόμην καὶ ἀπολούσασα τὸ πρόσωπον εὐμορφοτέρα τοσοῦτον ἐφάνη πᾶσιν, ὥστε καὶ Δάφνις αὐτὴν μόλις ἐγνώρισεν. Ὤμοσεν ἄν τις καὶ ἄνευ τῶν γνωρισμάτων ὅτι τοιαύτης κόρης οὐκ ἦν Δρύας πατήρ. Ὅμως μέντοι παρῆν καὶ αὐτὸς καὶ συνεισετιᾶτο μετὰ τῆς Νάπης, συμπότας ἔχων ἐπὶ κλίνης ἰδίας τὸν Λάμωνα καὶ τὴν Μυρτάλην. Πάλιν οὖν ταῖς ἑξῆς ἡμέραις ἐθύετο ἱερεῖα καὶ κρατῆρες ἵσταντο καὶ ἀνετίθει καὶ Χλόη τὰ ἑαυτῆς, τὴν σύριγγα, τὴν πήραν, τὸ δέρμα, τοὺς γαυλούς· ἐκέρασε δὲ καὶ τὴν πηγὴν οἴνῳ τὴν ἐν τῷ ἄντρῳ, ὅτι καὶ ἐτράφη παρ' αὐτῇ, καὶ ἐλούσατο πολλάκις ἐν αὐτῇ· ἐστεφάνωσε καὶ τὸν τάφον τῆς οἰός, δείξαντος Δρύαντος, καὶ ἐσύρισέ τι καὶ αὐτὴ τῇ ποίμνῃ, καὶ ταῖς θεαῖς συρίσασα εὔξατο τοὺς ἐκθέντας εὑρεῖν ἀξίους τῶν Δάφνιδος γάμων. 32

Ἐπεὶ δὲ ἅλις ἦν τῶν κατ' ἀγρὸν ἑορτῶν, ἔδοξε βαδίζειν εἰς τὴν πόλιν καὶ τούς τε τῆς Χλόης πατέρας ἀναζητεῖν καὶ περὶ τὸν γάμον αὐτῶν μηκέτι βραδύνειν. Ἔωθεν οὖν συσκευασάμενοι τῷ Δρύαντι μὲν ἔδωκαν ἄλλας τρισχιλίας, τῷ Λάμωνι δὲ τὴν ἡμίσειαν μοῖραν τῶν ἀγρῶν θερίζειν καὶ τρυγᾶν καὶ τὰς αἶγας ἅμα τοῖς αἰπόλοις καὶ ζεύγη βοῶν τέτταρα καὶ ἐσθῆτας χειμερινὰς καὶ ἐλευθέραν τὴν γυναῖκα· καὶ μετὰ 33

τοῦτο ἤλαυνον ἐπὶ Μυτιλήνην ἵπποις καὶ ζεύγεσι καὶ τρυφῇ πολλῇ.

3 Τότε μὲν οὖν ἔλαθον τοὺς πολίτας, νυκτὸς κατελθόντες· τῆς δὲ ἐπιούσης ὄχλος ἠθροίσθη περὶ τὰς θύρας ἀνδρῶν, γυναικῶν. Οἱ μὲν τῷ Διονυσοφάνει συνήδοντο παῖδα εὑρόντι, καὶ μᾶλλον ὁρῶντες τὸ κάλλος τοῦ Δάφνιδος· αἱ δὲ τῇ Κλεαρίστῃ συνέχαιρον ἅμα κομιζούσῃ καὶ παῖδα καὶ νύμφην. Ἐξέπλησσε γὰρ κἀκείνας ἡ Χλόη κάλλος ἐκφαίνουσα παρευδοκιμηθῆναι μὴ δυνάμενον· ὅλη γὰρ ἐκίττα ἡ πόλις ἐπὶ τῷ μειρακίῳ καὶ τῇ παρθένῳ· καὶ εὐδαιμόνιζον μὲν ἤδη τὸν γάμον, εὔχοντο δὲ καὶ τὸ γένος ἄξιον τῆς μορφῆς εὑρεθῆναι τῆς κόρης· καὶ γυναῖκες πολλαὶ τῶν μέγα πλουσίων ἠράσαντο θεοῖς αὐταὶ πιστευθῆναι μητέρες θυγατρὸς οὕτω καλῆς.

34 Ὅναρ δὲ Διονυσοφάνει μετὰ φροντίδα πολλὴν εἰς βαθὺν ὕπνον κατενεχθέντι τοιόνδε γίνεται. Ἐδόκει τὰς Νύμφας δεῖσθαι τοῦ Ἔρωτος ἤδη ποτε αὐτοῖς κατανεῦσαι τὸν γάμον· τὸν δὲ ἐκλύσαντα τὸ τοξάριον καὶ ἀποθέμενον τὴν φαρέτραν κελεῦσαι τῷ Διονυσοφάνει πάντας τοὺς ἀρίστους Μυτιληναίων θέμενον συμπότας, ἡνίκα ἂν τὸν ὕστατον πλήσῃ κρατῆρα, τότε δεικνύειν ἑκάστῳ τὰ γνωρίσματα, τὸ δὲ ἐντεῦθεν ἄδειν τὸν ὑμέναιον.

2 Ταῦτα ἰδὼν καὶ ἀκούσας ἔωθεν ἀνίσταται καὶ κελεύσας λαμπρὰν ἑστίασιν παρασκευασθῆναι τῶν ἀπὸ γῆς τῶν ἀπὸ θαλάττης καὶ εἴ τι ἐν λίμναις καὶ εἴ τι ἐν ποταμοῖς, πάντας τοὺς ἀρίστους Μυτιληναίων ποι-
3 εῖται συμπότας. Ὡς δὲ ἤδη νὺξ ἦν καὶ ἐπέπλησto [ὁ] κρατὴρ ἐξ οὗ σπένδουσιν Ἑρμῇ, εἰσκομίζει τις ἐπὶ σκεύους ἀργυροῦ θεράπων τὰ γνωρίσματα καὶ περιφέρων ἐνδέξια πᾶσιν ἐδείκνυε.

Τῶν μὲν οὖν ἄλλων ἐγνώρισεν οὐδείς, Μεγακλῆς 35
δέ τις διὰ γῆρας ὕστατος κατακείμενος ὡς εἶδε, γνω-
ρίσας πάνυ μέγα καὶ νεανικὸν ἐβόα "τίνα ὁρῶ ταῦτα;
Τί γέγονάς μοι θυγάτριον; Ἆρα σὺ ζῇς ἢ ταῦτά τις
ἐβάστασε μόνα ποιμὴν ἐντυχών; Δέομαι, Διονυσό- 2
φανες, εἰπέ μοι· πόθεν ἔχεις ἐμοῦ παιδίου γνωρί-
σματα; Μὴ φθονήσῃς μετὰ Δάφνιν εὑρεῖν τι κἀμέ."
Κελεύσαντος δὲ τοῦ Διονυσοφάνους πρότερον ἐκεῖνον
λέγειν τὴν ἔκθεσιν, ὁ Μεγακλῆς οὐδὲν ὑφελὼν τοῦ
τόνου τῆς φωνῆς ἔφη "ἦν ὀλίγος μοι βίος τὸν πρότε- 3
ρον χρόνον· ὃν γὰρ εἶχον εἰς χορηγίας καὶ τριηραρ-
χίας ἐξεδαπάνησα. Ὅτε ταῦτα ἦν, γίνεταί μοι θυγά-
τριον. Τοῦτο τρέφειν ὀκνήσας ἐν πενίᾳ, τούτοις τοῖς
γνωρίσμασι κοσμήσας ἐξέθηκα, εἰδὼς ὅτι πολλοὶ καὶ
οὕτω σπουδάζουσι πατέρες γενέσθαι. Καὶ τὸ μὲν 4
ἐξέκειτο ἐν ἄντρῳ Νυμφῶν πιστευθὲν ταῖς θεαῖς,
ἐμοὶ δὲ πλοῦτος ἐπέρρει καθ' ἑκάστην ἡμέραν κλη-
ρονόμον οὐκ ἔχοντι. Οὐκέτι γοῦν οὐδὲ θυγατρίου γε- 5
νέσθαι πατὴρ εὐτύχησα, ἀλλ' οἱ θεοὶ ὥσπερ γέλωτά
με ποιούμενοι νύκτωρ ὀνείρους μοι ἐπιπέμπουσι, δη-
λοῦντες ὅτι με πατέρα ποιήσει ποίμνιον."

Ἀνεβόησεν ὁ Διονυσοφάνης μεῖζον τοῦ Μεγα- 36
κλέους καὶ ἀναπηδήσας εἰσάγει Χλόην πάνυ καλῶς
κεκοσμημένην καὶ λέγει "τοῦτο τὸ παιδίον ἐξέθηκας.
Ταύτην σοὶ τὴν παρθένον οἷς προνοίᾳ θεῶν ἐξέθρε-
ψεν, ὡς αἴξ Δάφνιν ἐμοί. Λαβὲ τὰ γνωρίσματα καὶ 2
τὴν θυγατέρα, λαβὼν δὲ ἀπόδος Δάφνιδι νύμφην.
Ἀμφοτέρους ἐξεθήκαμεν, ἀμφοτέρους εὑρήκαμεν,
ἀμφοτέρων ἐμέλησε Πανὶ καὶ Νύμφαις καὶ Ἔρωτι."
Ἐπῄνει τὰ λεγόμενα ὁ Μεγακλῆς καὶ τὴν γυναῖκα 3
Ῥόδην μετεπέμπετο καὶ τὴν Χλόην ἐν τοῖς κόλποις
εἶχε. Καὶ ὕπνον αὐτοῦ μένοντες εἵλοντο· Δάφνις γὰρ

οὐδενὶ διώμνυτο προήσεσθαι τὴν Χλόην, οὐδὲ αὐτῷ τῷ πατρί.

37 Ἡμέρας δὲ γενομένης συνθέμενοι πάλιν εἰς τὸν ἀγρὸν ἤλαυνον· ἐδεήθησαν γὰρ τοῦτο Δάφνις καὶ Χλόη, μὴ φέροντες τὴν ἐν ἄστει διατριβήν. Ἐδόκει δὲ κἀκείνοις ποιμενικούς τινας αὐτοῖς ποιῆσαι τοὺς 2 γάμους. Ἐλθόντες οὖν παρὰ τὸν Λάμωνα τόν τε Δρύαντα τῷ Μεγακλεῖ προσήγαγον καὶ τῇ Ῥόδῃ τὴν Νάπην συνέστησαν καὶ τὰ πρὸς τὴν ἑορτὴν παρεσκευάζοντο λαμπρῶς. Παρέδωκε μὲν οὖν ἐπὶ ταῖς Νύμφαις τὴν Χλόην ὁ πατὴρ καὶ μετ' ἄλλων πολλῶν ἐποίησεν ἀναθήματα τὰ γνωρίσματα καὶ Δρύαντι τὰς λειπούσας εἰς τὰς μυρίας ἐπλήρωσεν.

38 Ὁ δὲ Διονυσοφάνης, εὐημερίας οὔσης, αὐτοῦ πρὸ τοῦ ἄντρου στιβάδας ὑπεστόρεσεν ἐκ χλωρᾶς φυλλάδος καὶ πάντας τοὺς κωμήτας κατακλίνας εἱστία πο- 2 λυτελῶς. Παρῆσαν δὲ Λάμων καὶ Μυρτάλη, Δρύας καὶ Νάπη, οἱ Δόρκωνι προσήκοντες, [Φιλητᾶς], οἱ Φιλητᾶ παῖδες, Χρῶμις καὶ Λυκαίνιον· οὐκ ἀπῆν 3 οὐδὲ Λάμπις συγγνώμης ἀξιωθείς. Ἦν οὖν ὡς ἐν τοιοῖσδε συμπόταις πάντα γεωργικὰ καὶ ἄγροικα· ὁ μὲν ᾖδεν οἷα ἅδουσι θερίζοντες, ὁ δὲ ἔσκωπτε τὰ ἐπὶ ληνοῖς σκώμματα· Φιλητᾶς ἐσύρισε, Λάμπις ηὔλησε, Δρύας καὶ Λάμων ὠρχήσαντο, Χλόη καὶ Δάφνις ἀλ- 4 λήλους κατεφίλουν. Ἐνέμοντο δὲ καὶ αἱ αἶγες πλησίον, ὥσπερ καὶ αὐταὶ κοινωνοῦσαι τῆς ἑορτῆς. Τοῦτο τοῖς μὲν ἀστικοῖς οὐ πάνυ τερπνὸν ἦν· ὁ δὲ Δάφνις καὶ ἐκάλεσέ τινας αὐτῶν ὀνομαστὶ καὶ φυλλάδα χλωρὰν ἔδωκε καὶ κρατήσας ἐκ τῶν κεράτων κατεφίλησε.

39 Κατὰ ταυτὰ οὐ τότε μόνον ἀλλ' ἔστε ἔζων τὸν πλεῖστον χρόνον ποιμενικῶς διῆγον, θεοὺς σέβοντες Νύμφας καὶ Πᾶνα καὶ Ἔρωτα, ἀγέλας δὲ προβάτων

καὶ αἰγῶν πλείστας κτησάμενοι, ἡδίστην δὲ τροφὴν νομίζοντες ὀπώραν καὶ γάλα. Ἀλλὰ καὶ ἄρρεν παι- 2
δίον ὑπέθηκαν [αἰγὶ] καὶ θυγάτριον γενόμενον δεύτερον οἷος ἑλκύσαι θηλὴν ἐποίησαν, καὶ ἐκάλεσαν τὸν μὲν Φιλοποίμενα τὴν δὲ Ἀγέλην, καὶ τὸ ἄντρον ἐκόσμησαν καὶ εἰκόνας ἀνέθεσαν καὶ βωμὸν εἵσαντο Ποιμένος Ἔρωτος· καὶ τῷ Πανὶ δὲ ἔδοσαν ἀντὶ τῆς πίτυος νεὼν Πανὸς Στρατιώτου ὀνομάσαντες.

Ἀλλὰ ταῦτα μὲν ὕστερον καὶ ὠνόμασαν καὶ ἔπρα- 40
ξαν· τότε δὲ νυκτὸς γενομένης πάντες αὐτοὺς παρέπεμπον εἰς τὸν θάλαμον, οἱ μὲν συρίττοντες, οἱ δὲ αὐλοῦντες, οἱ δὲ δᾷδας μεγάλας ἀνίσχοντες. Καὶ ἐπεὶ 2
πλησίον ἦσαν τῶν θυρῶν, ἦδον σκληρᾷ καὶ ἀπηνεῖ τῇ φωνῇ, καθάπερ τριαίναις γῆν ἀναρρηγνύντες, οὐχ ὑμέναιον ᾄδοντες. Δάφνις δὲ καὶ Χλόη γυμνοὶ συγ- 3
κατακλινέντες περιέβαλλον ἀλλήλους καὶ κατεφίλουν, ἀγρυπνήσαντες τῆς νυκτὸς ὅσον οὐδὲ γλαῦκες· καὶ ἔδρασέ τι Δάφνις ὧν αὐτὸν ἐπαίδευσε Λυκαίνιον, καὶ τότε Χλόη πρῶτον ἔμαθεν ὅτι τὰ ἐπὶ τῆς ὕλης γενόμενα ἦν ποιμένων παίγνια.

---

5 post Ἀγέλην: οὕτως αὐτοῖς καὶ ταῦτα συνεγήρασεν. οὗτοι

ΞΕΝΟΦΩΝΤΟΣ ΕΦΕΣΙΟΥ

ΤΩΝ ΚΑΤΑ ΑΝΘΕΙΑΝ ΚΑΙ ΑΒΡΟΚΟΜΗΝ ΕΦΕΣΙΑΚΩΝ

ΒΙΒΛΙΑ Ε

A

1 Ἦν ἐν Ἐφέσῳ ἀνὴρ τῶν τὰ πρῶτα ἐκεῖ δυναμέ-
νων, Λυκομήδης ὄνομα. Τούτῳ τῷ Λυκομήδει ἐκ
γυναικὸς ἐπιχωρίου Θεμιστοῦς γίνεται παῖς Ἀβροκό-
μης, μέγα τι χρῆμα κάλλους οὔτε ἐν Ἰωνίᾳ οὔτε ἐν
2 ἄλλῃ γῇ πρότερον γενομένου. Οὗτος ὁ Ἀβροκόμης
ἀεὶ μὲν καὶ καθ' ἡμέραν εἰς κάλλος ηὔξετο, συνήνθει
δὲ αὐτῷ τοῖς τοῦ σώματος καλοῖς καὶ τὰ τῆς ψυχῆς
ἀγαθά· παιδείαν τε γὰρ πᾶσαν ἐμελέτα καὶ μουσι-
κὴν ποικίλην ἤσκει, θήρα δὲ αὐτῷ καὶ ἱππασία καὶ
3 ὁπλομαχία συνήθη γυμνάσματα. Ἦν δὲ περισπούδα-
στος ἅπασιν Ἐφεσίοις, ἀλλὰ καὶ τοῖς τὴν ἄλλην Ἀσίαν
οἰκοῦσι, καὶ μεγάλας εἶχον ἐν αὐτῷ τὰς ἐλπίδας ὅτι
πολίτης ἔσοιτο διαφέρων. Προσεῖχον δὲ ὡς θεῷ τῷ
μειρακίῳ· καί εἰσιν ἤδη τινὲς οἳ καὶ προσεκύνησαν
4 ἰδόντες καὶ προσεύξαντο. Ἐφρόνει δὲ τὸ μειράκιον
ἐφ' ἑαυτῷ μέγα καὶ ἠγάλλετο μὲν καὶ τοῖς τῆς ψυχῆς
κατορθώμασι, πολὺ δὲ μᾶλλον τῷ κάλλει τοῦ σώματος·
πάντων δὲ τῶν ἄλλων, ὅσα δὴ ἐλέγετο καλά, ὡς ἐλατ-
τόνων κατεφρόνει καὶ οὐδὲν αὐτῷ, οὐ θέαμα, οὐκ
5 ἄκουσμα ἄξιον Ἀβροκόμου κατεφαίνετο· καὶ εἴ τινα
ἢ παῖδα καλὸν ἀκούσαι ἢ παρθένον εὔμορφον, κατε-
γέλα τῶν λεγόντων ὡς οὐκ εἰδότων ὅτι εἴη εἷς καλὸς
αὐτός. Ἔρωτά γε μὴν οὐδὲ ἐνόμιζεν εἶναι θεόν, ἀλλὰ

---

4 post χρῆμα: ὡραιότητι σώματος ὑπερβαλλούσῃ

πάντη ἐξέβαλεν οὐδὲν ἡγούμενος, λέγων ὡς οὐκ ἄν ποτέ τις ἐρασθείη οὐδὲ ὑποταγείη τῷ θεῷ μὴ θέλων· εἰ δέ που ἱερὸν ἢ ἄγαλμα Ἔρωτος εἶδε, κατεγέλα, 6 ἀπέφαινέ τε ἑαυτὸν Ἔρωτος παντὸς καλλίονα. Καὶ εἶχεν οὕτως· ὅπου γὰρ Ἀβροκόμης ὀφθείη, οὔτε ἄγαλμα καλὸν ἐφαίνετο οὔτε εἰκὼν ἐπηνεῖτο.

Μηνίει πρὸς ταῦτα ὁ Ἔρως· φιλόνεικος γὰρ ὁ 2 θεὸς καὶ ὑπερηφάνοις ἀπαραίτητος· ἐξήτει δὲ τέχνην κατὰ τοῦ μειρακίου· καὶ γὰρ καὶ τῷ θεῷ δυσάλωτος ἐφαίνετο. Ἐξοπλίσας οὖν ἑαυτὸν καὶ πᾶσαν δύναμιν ἐρωτικῶν φαρμάκων περιβαλόμενος ἐστράτευεν ἐφ' Ἀβροκόμην. Ἦγετο δὲ τῆς Ἀρτέμιδος ἐπιχώριος ἑορτὴ 2 ἀπὸ τῆς πόλεως ἐπὶ τὸ ἱερόν· στάδιοι δέ εἰσιν ἑπτά· ἔδει δὲ πομπεύειν πάσας τὰς ἐπιχωρίους παρθένους κεκοσμημένας πολυτελῶς καὶ τοὺς ἐφήβους, ὅσοι τὴν αὐτὴν ἡλικίαν εἶχον τῷ Ἀβροκόμῃ. Ἦν δὲ αὐτὸς περὶ τὰ ἓξ καὶ δέκα ἔτη καὶ τῶν ἐφήβων προσήπτετο καὶ ἐν τῇ πομπῇ τὰ πρῶτα ἐφέρετο. Πολὺ δὲ πλῆθος ἐπὶ 3 τὴν θέαν, πολὺ μὲν ἐγχώριον, πολὺ δὲ ξενικόν· καὶ γὰρ ἔθος ἦν [ἐν] ἐκείνῃ τῇ πανηγύρει καὶ νυμφίους ταῖς παρθένοις εὑρίσκεσθαι καὶ γυναῖκας τοῖς ἐφήβοις. Παρήεσαν δὲ κατὰ στίχους οἱ πομπεύοντες· πρῶτα 4 μὲν τὰ ἱερὰ καὶ δᾷδες καὶ κανᾶ καὶ θυμιάματα· ἐπὶ τούτοις ἵπποι καὶ κύνες καὶ σκευὴ κυνηγετικὰ** ὧδε πολεμικά, τὰ δὲ πλεῖστα εἰρηνικά. ** ἑκάστη δὲ αὐτῶν οὕτως ὡς πρὸς ἐραστὴν ἐκεκόσμητο. Ἦρχε δὲ 5 τῆς τῶν παρθένων τάξεως Ἀνθεια, θυγάτηρ Μεγαμήδους καὶ Εὐίππης, ἐγχωρίων. Ἦν δὲ τὸ κάλλος τῆς Ἀνθείας οἷον θαυμάσαι καὶ πολὺ τὰς ἄλλας ὑπερεβάλλετο παρθένους. Ἔτη μὲν τεσσαρεσκαίδεκα ἐγεγό-

4 post καλλίονα: καὶ κάλλει σώματος καὶ δυνάμει

6 νει, ἤνθει δὲ αὐτῆς τὸ σῶμα ἐπ' εὐμορφίᾳ, καὶ ὁ τοῦ σχήματος κόσμος πολὺς εἰς ὥραν συνεβάλλετο· κόμη ξανθή, ἡ πολλὴ καθειμένη, ὀλίγη πεπλεγμένη, πρὸς τὴν τῶν ἀνέμων φορὰν κινουμένη· ὀφθαλμοὶ γοργοί, φαιδροὶ μὲν ὡς κόρης, φοβεροὶ δὲ ὡς σώφρονος· χιτὼν ἁλουργής, ζωστὸς εἰς γόνυ, μεχρὶ βραχιόνων καθειμένος, νεβρὶς περικειμένη, γωρυτὸς ἀνημμένος, 7 τόξα, ἄκοντες φερόμενοι, κύνες ἑπόμενοι. Πολλάκις αὐτὴν ἐπὶ τοῦ τεμένους ἰδόντες Ἐφέσιοι προσεκύνησαν ὡς Ἄρτεμιν. Καὶ τότ' οὖν ὀφθείσης ἀνεβόησε τὸ πλῆθος, καὶ ἦσαν ποικίλαι παρὰ τῶν θεωμένων φωναί, τῶν μὲν ὑπ' ἐκπλήξεως τὴν θεὸν εἶναι λεγόντων, τῶν δὲ ἄλλην τινὰ ὑπὸ τῆς θεοῦ περιποιημένην· προσεύχοντο δὲ πάντες καὶ προσεκύνουν καὶ τοὺς γονεῖς αὐτῆς ἐμακάριζον· ἦν δὲ διαβόητος τοῖς θεωμέ- 8 νοις ἅπασιν Ἀνθεια ἡ καλή. Ὡς δὲ παρῆλθε τὸ τῶν παρθένων πλῆθος, οὐδεὶς ἄλλο τι ἢ Ἀνθειαν ἔλεγεν· ὡς δὲ Ἀβροκόμης μετὰ τῶν ἐφήβων ἐπέστη, τοὐνθένδε, καίτοι καλοῦ ὄντος τοῦ κατὰ τὰς παρθένους θεάματος, πάντες ἰδόντες Ἀβροκόμην ἐκείνων ἐπελάθοντο, ἔτρεψαν δὲ τὰς ὄψεις ἐπ' αὐτὸν βοῶντες ὑπὸ τῆς θέας ἐκπεπληγμένοι, "καλὸς Ἀβροκόμης" λέ- 9 γοντες, "καὶ οἷος οὐδὲ εἷς καλοῦ μίμημα θεοῦ." Ἤδη δέ τινες καὶ τοῦτο προσέθεσαν "οἷος ἂν γάμος γένοιτο Ἀβροκόμου καὶ Ἀνθείας."

Καὶ ταῦτ' ἦν πρῶτα τῆς Ἔρωτος τέχνης μελετήματα. Ταχὺ μὲν δὴ εἰς ἑκατέρους ἡ περὶ ἀλλήλων ἦλθε δόξα· καὶ ἥ τε Ἀνθεια τὸν Ἀβροκόμην ἐπεθύμει

---

5 ante χιτὼν: ἐσθής
8 post τόξα: ὅπλα

ἰδεῖν, καὶ ὁ τέως ἀνέραστος Ἀβροκόμης ἤθελεν Ἀνθειαν ἰδεῖν.

Ὡς οὖν ἐτετέλεστο ἡ πομπή, ἦλθον δὲ εἰς τὸ ἱερὸν 3
θύσοντες ἅπαν τὸ πλῆθος καὶ ὁ τῆς πομπῆς κόσμος
ἐλέλυτο, ἦεσαν δὲ ἐς ταὐτὸν ἄνδρες καὶ γυναῖκες,
ἔφηβοι καὶ παρθένοι, ἐνταῦθα ὁρῶσιν ἀλλήλους, καὶ
ἁλίσκεται Ἄνθεια ὑπὸ τοῦ Ἀβροκόμου, ἡττᾶται δὲ
ὑπὸ [τοῦ] Ἔρωτος Ἀβροκόμης καὶ ἐνεώρα τε συνεχέ-
στερον τῇ κόρῃ καὶ ἀπαλλαγῆναι τῆς ὄψεως ἐθέλων
οὐκ ἐδύνατο· κατεῖχε δὲ αὐτὸν ἐγκείμενος ὁ Θεός.
Διέκειτο δὲ καὶ Ἄνθεια πονήρως, ὅλοις μὲν καὶ ἀνα- 2
πεπταμένοις τοῖς ὀφθαλμοῖς τὸ Ἀβροκόμου κάλλος
εἰσρέον δεχομένη, ἤδη δὲ καὶ τῶν παρθένοις πρεπόν-
των καταφρονοῦσα· καὶ γὰρ ἐλάλησεν ἄν τι, ἵνα
Ἀβροκόμης ἀκούσῃ, καὶ μέρη τοῦ σώματος ἐγύμνωσεν
ἂν τὰ δυνατά, ἵνα Ἀβροκόμης ἴδῃ· ὁ δὲ αὐτὸν ἐδε-
δώκει πρὸς τὴν θέαν καὶ ἦν αἰχμάλωτος τοῦ Θεοῦ.

Καὶ τότε μὲν θύσαντες ἀπηλλάττοντο λυπούμενοι 3
καὶ τῷ τάχει τῆς ἀπαλλαγῆς μεμφόμενοι· [καὶ] ἀλ-
λήλους βλέπειν ἐθέλοντες ἐπιστρεφόμενοι καὶ ὑφι-
στάμενοι πολλὰς προφάσεις διατριβῆς εὕρισκον. Ὡς 4
δὲ ἦλθον ἑκάτερος παρ' ἑαυτόν, ἔγνωσαν τότε οἷ κα-
κῶν ἐγεγόνεσαν· καὶ ἔννοια ἐκείνους ὑπῄει τῆς ὄψεως
θατέρου καὶ ὁ ἔρως ἐν αὐτοῖς ἀνεκαίετο καὶ τὸ περιτ-
τὸν τῆς ἡμέρας αὐξήσαντες τὴν ἐπιθυμίαν, ἐπειδὴ εἰς
ὕπνον ἦεσαν, ἐν ἀθρόῳ γίνονται τῷ δεινῷ, καὶ ὁ ἔρως
ἐν ἑκατέροις ἦν ἀκατάσχετος.

Λαβὼν δὴ τὴν κόμην ὁ Ἀβροκόμης καὶ σπαράξας 4
τὴν ἐσθῆτα "φεῦ μοι τῶν κακῶν" εἶπε, "τί πέπονθα
[ὁ] δυστυχής; ὁ μέχρι νῦν ἀνδρικὸς Ἀβροκόμης, ὁ
καταφρονῶν Ἔρωτος, ὁ τῷ θεῷ λοιδορούμενος ἑάλωκα
καὶ νενίκημαι καὶ παρθένῳ δουλεύειν ἀναγκάζομαι,

καὶ φαίνεταί τις ἤδη καλλίων ἐμοῦ καὶ θεὸν Ἔρωτα
2 καλῶ. Ὦ πάντα ἄνανδρος ἐγὼ καὶ πονηρός· οὐ καρ-
τερήσω νῦν; οὐ μενῶ γεννικός; οὐκ ἔσομαι καλλίων
3 Ἔρωτος; [νῦν] οὐδὲν ὄντα θεὸν νικῆσαί με δεῖ. Καλὴ
παρθένος· τί δέ; τοῖς σοῖς ὀφθαλμοῖς, Ἀβροκόμη, εὖ-
μορφος Ἄνθεια, ἀλλ', ἐὰν θέλῃς, οὐχὶ σοί. Δεδόχθω
ταῦτα· οὐκ ἂν Ἔρως ποτέ μου κρατήσειε."

4 Ταῦτα ἔλεγε, καὶ ὁ θεὸς σφοδρότερος αὐτῷ ἐνέ-
κειτο καὶ εἶλκεν ἀντιτείνοντα καὶ ὠδύνα μὴ θέλοντα.
Οὐκέτι δὴ καρτερῶν, ῥίψας ἑαυτὸν εἰς γῆν "νενίκη-
κας" εἶπεν, "Ἔρως, μέγα σοι τρόπαιον ἐγήγερται καθ'
5 Ἀβροκόμου τοῦ σώφρονος· ἱκέτην ἔχεις. [Σὺ δὲ] σῶ-
σον τὸν ἐπὶ σὲ καταπεφευγότα τὸν πάντων δεσπότην.
Μή με περιίδῃς μηδὲ ἐπὶ πολὺ τιμωρήσῃ τὸν θρασύν.
Ἄπειρος ὤν, Ἔρως, ἔτι τῶν σῶν ὑπερηφάνουν· ἀλλὰ
νῦν Ἄνθειαν ἡμῖν ἀπόδος· γενοῦ μὴ πικρὸς μόνον
ἀντιλέγοντι, ἀλλ' εὐεργέτης ἡττωμένῳ θεός."

5 Ταῦτα ἔλεγεν, ὁ δὲ Ἔρως ἔτι ὠργίζετο καὶ μεγά-
λην τῆς ὑπεροψίας ἐνενόει τιμωρίαν εἰσπράξασθαι
τὸν Ἀβροκόμην.

6 Διέκειτο δὲ καὶ ἡ Ἄνθεια πονήρως· καὶ οὐκέτι
φέρειν δυναμένη ἐπεγείρει ἑαυτήν, πειρωμένη τοὺς
παρόντας λανθάνειν. "Τί" φησὶν "ἡ δυστυχὴς πέ-
πονθα; παρθένος παρ' ἡλικίαν ἐρῶ καὶ ὀδυνῶμαι
καινὰ καὶ κόρῃ μὴ πρέποντα. Ἐφ' Ἀβροκόμῃ μαίνο-
7 μαι καλῷ μέν, ἀλλ' ὑπερηφάνῳ. Καὶ τίς ἔσται ὁ τῆς
ἐπιθυμίας ὅρος καὶ τί τὸ πέρας τοῦ κακοῦ; Σοβαρὸς
οὗτος ἐρώμενος, παρθένος ἐγὼ φρουρουμένη· τίνα
βοηθὸν λήψομαι; τίνι τἀμὰ κοινώσομαι; ποῦ δ'
Ἀβροκόμην ὄψομαι;"

5 Ταῦθ' ἑκάτερος αὐτῶν δι' ὅλης [τῆς] νυκτὸς
ὠδύρετο, εἶχον δὲ πρὸ ὀφθαλμῶν τὰς ὄψεις τὰς ἑαυ-

τῶν, τὰς εἰκόνας ἐπὶ τῆς ψυχῆς ἀλλήλων ἀναπλάττοντες· ὡς δὲ ἡμέρα ἐγένετο, ἤει μὲν Ἀβροκόμης ἐπὶ τὰ συνήθη γυμνάσματα, ἤει δὲ ἡ παρθένος ἐπὶ τὴν ἐξ ἔθους θρησκείαν τῆς θεοῦ. Ἦν δὲ αὐτοῖς καὶ τὰ 2
σώματα ἐκ τῆς παρελθούσης νυκτὸς πεπονηκότα καὶ τὸ βλέμμα ἄθυμον καὶ οἱ χρῶτες ἠλλαγμένοι· καὶ τοῦτο ἐπὶ πολὺ ἐγίνετο καὶ πλέον οὐδὲν αὐτοῖς ἦν. Ἐν τούτῳ ἐν τῷ ἱερῷ τῆς θεοῦ διημερεύοντες ἐνεώ- 3
ρων ἀλλήλοις, εἰπεῖν τἀληθὲς φόβῳ πρὸς ἑκατέρους αἰδούμενοι· τοσοῦτο δέ· ἐστέναξεν ἄν ποτε Ἀβροκόμης καὶ ἐδάκρυσε καὶ προσεύχετο τῆς κόρης ἀκουούσης ἐλεεινῶς· ἡ δὲ Ἄνθεια ἔπασχε μὲν τὰ αὐτά, 4
πολὺ δὲ μείζονι τῇ συμφορᾷ κατείχετο· εἰ δέ ποτε ἄλλας παρθένους ἢ γυναῖκας ἴδοι βλεπούσας εἰς ἐκεῖνον (ἑώρων δὲ ἅπασαι [εἰς] Ἀβροκόμην), δήλη ἦν λυπουμένη, μὴ παρευδοκιμηθῇ φοβουμένη. Εὐχαὶ δὲ αὐτοῖς ἑκατέροις ἦσαν πρὸς τὴν θεὸν κοινῇ, λανθάνουσαι μέν, ἀλλ' ἐγίνοντο ὅμοιαι.

Χρόνου δὲ προϊόντος οὐκέτι τὸ μειράκιον ἐκαρ- 5
τέρει, ἤδη δὲ αὐτῷ καὶ τὸ σῶμα πᾶν ἠφάνιστο καὶ ἡ ψυχὴ κατεπεπτώκει, ὥστε ἐν πολλῇ ἀθυμίᾳ τὸν Λυκομήδην καὶ τὴν Θεμιστὼ γεγονέναι, οὐκ εἰδότας μὲν ὅ τι εἴη τὸ συμβαῖνον Ἀβροκόμῃ, δεδοικότας δὲ ἐκ τῶν ὁρωμένων. Ἐν ὁμοίῳ δὲ φόβῳ καὶ ὁ Μεγαμήδης 6
καὶ [ἡ] Εὐίππη περὶ τῆς Ἀνθείας καθειστήκεσαν, ὁρῶντες αὐτῆς τὸ μὲν κάλλος μαραινόμενον, τὴν δὲ αἰτίαν οὐ φαινομένην τῆς συμφορᾶς. Τέλος [δ'] εἰσάγουσι παρὰ τὴν Ἄνθειαν μάντεις καὶ ἱερέας, ὡς εὑρήσοντας λύσιν τοῦ δεινοῦ. Οἱ δὲ ἐλθόντες ἔθυόν τε 7
ἱερεῖα καὶ ποικίλα ἐπέσπενδον καὶ ἐπέλεγον φωνὰς βαρβαρικάς, ἐξιλάσκεσθαί τινας λέγοντες δαίμονας, καὶ προσεποιοῦντο ὡς εἴη τὸ δεινὸν ἐκ τῶν ὑποχθο-

8 νίων θεῶν. Πολλὰ δὲ καὶ ὑπὲρ Ἀβροκόμου οἱ περὶ
τὸν Λυκομήδην ἔθυόν τε καὶ εὔχοντο· λύσις δὲ οὐδε-
μία τοῦ δεινοῦ οὐδὲ ἑτέρῳ αὐτῶν ἐγίνετο, ἀλλὰ καὶ
9 ἔτι μᾶλλον ὁ ἔρως ἀνεκάετο. Ἐκείντο μὲν δὴ ἑκάτεροι
νοσοῦντες, πάνυ ἐπισφαλῶς διακείμενοι, ὅσον οὐ- 5
δέπω τεθνήξεσθαι προσδοκώμενοι, κατειπεῖν αὐτῶν
τὴν συμφορὰν μὴ δυνάμενοι. Τέλος [δὲ] πέμπουσιν
οἱ πατέρες ἑκατέρων εἰς θεοῦ μαντευσόμενοι τήν τε
αἰτίαν τῆς νόσου καὶ τὴν ἀπαλλαγήν.

6 Ὀλίγον δὲ ἀπέχει τὸ ἱερὸν τοῦ ἐν Κολοφῶνι Ἀπόλ- 10
λωνος· διάπλους ἀπ' Ἐφέσου σταδίων ὀγδοήκοντα.
Ἐνταῦθα οἱ παρ' ἑκατέρων ἀφικόμενοι δέονται τοῦ
θεοῦ ἀληθῆ μαντεύεσθαι· ἐληλύθεσαν δὴ κατὰ ταὐτά.

2 Χρᾷ δὲ ὁ θεὸς κοινὰ ἀμφοτέροις τὰ μαντεύματα ἐμ-
μέτρως. Τὰ [δ'] ἔπη τάδε· 15

Τίπτε ποθεῖτε μαθεῖν νούσου τέλος ἠδὲ καὶ ἀρχήν;
Ἀμφοτέρους μία νοῦσος ἔχει, λύσις ἔνθεν ἀνέστη.
Δεινὰ δ' ὁρῶ τοῖσδεσσι πάθη καὶ ἀνήνυτα ἔργα·
ἀμφότεροι φεύξονται ὑπειρ ἅλα λυσσοδίωκτοι,
δεσμὰ δὲ μοχθήσουσι παρ' ἀνδράσι μιξοθαλάσσοις 20
καὶ τάφος ἀμφοτέροις θάλαμος καὶ πῦρ ἀΐδηλον,
καὶ ποταμοῦ Νείλου παρὰ ῥεύμασιν Ἴσιδι σεμνῇ
σωτείρῃ μετόπισθε παραστῆς ὅλβια δῶρα.
Ἀλλ' ἔτι που μετὰ πήματ' ἀρείονα πότμον ἔχουσι.

7 Ταῦτα ὡς ἐκομίσθη τὰ μαντεύματα εἰς Ἔφεσον, 25
εὐθὺς μὲν οἱ πατέρες αὐτῶν ἦσαν ἐν ἀμηχανίᾳ καὶ τὸ
δεινὸν ὅ τι ἦν πάνυ ἠπόρουν· συμβάλλειν δὲ τὰ τοῦ
θεοῦ λόγια οὐκ ἐδύναντο· οὔτε γὰρ τίς ἡ νόσος οὔτε
τίς ἡ φυγή, οὔτε τίνα τὰ δεσμὰ οὔτε ὁ τάφος τίς οὔτε
2 ὁ ποταμὸς τίς οὔτε τίς ἡ ἐκ τοῦ θεοῦ βοήθεια. Ἔδοξεν 30
οὖν αὐτοῖς πολλὰ βουλευσαμένοις παραμυθήσασθαι
τὸν χρησμὸν ὡς οἷόν τε καὶ συζεῦξαι γάμῳ τοὺς παῖ-

δας, ὡς τοῦτο καὶ τοῦ θεοῦ βουλομένου δι' ὧν ἐμαντεύσατο. Ἐδόκει δὴ ταῦτα καὶ διέγνωσαν μετὰ τὸν γάμον ἐκπέμψαι χρόνῳ τινὶ ἀποδημήσοντας αὐτούς.

Μεστὴ μὲν ἤδη ἡ πόλις ἦν τῶν εὐωχουμένων, 3 πάντα δ' ἦν ἐστεφανωμένα καὶ διαβόητος ὁ μέλλων γάμος· ἐμακαρίζετο δὲ ὑπὸ πάντων ὁ μὲν οἵαν ἄξεται γυναῖκα, ἡ δὲ οἵῳ μειρακίῳ συγκατακλιθήσεται. Ὁ 4 δὲ Ἁβροκόμης ὡς ἐπύθετο καὶ τὸν χρησμὸν καὶ τὸν γάμον, ἐπὶ μὲν τῷ τὴν Ἄνθειαν ἕξειν μεγάλως ἔχαιρεν· ἐφόβει δὲ αὐτὸν οὐδὲν τὰ μεμαντευμένα, ἀλλ' ἐδόκει παντὸς εἶναι δεινοῦ τὰ παρόντα ἡδίονα. Κατὰ ταυτὰ δὲ καὶ ἡ Ἄνθεια ἥδετο μὲν ὅτι Ἁβροκόμην ἕξει· τίς δὲ ἡ φυγὴ καὶ τίνες αἱ συμφοραὶ κατεφρόνει, πάντων τῶν ἐσομένων κακῶν Ἁβροκόμην ἔχουσα παραμυθίαν.

Ὡς οὖν ἐφέστηκεν ὁ τῶν γάμων καιρός, καὶ παν- 8 υχίδες ἤγοντο καὶ ἱερεῖα πολλὰ ἐθύετο τῇ θεῷ. Καὶ ἐπειδὴ ταῦτα ἐξετετέλεστο, ἡκούσης τῆς νυκτὸς (βραδύνειν δὲ πάντα ἐδόκει Ἁβροκόμῃ καὶ Ἀνθείᾳ) ἦγον τὴν κόρην εἰς τὸν θάλαμον μετὰ λαμπάδων, τὸν ὑμέναιον ᾄδοντες, ἐπευφημοῦντες, καὶ εἰσαγαγόντες κατέκλιναν. Ἦν δ' αὐτοῖς ὁ θάλαμος [οὕτως] πεποιη- 2 μένος· κλίνη χρυσῆ στρώμασιν ἔστρωτο πορφυροῖς καὶ ἐπὶ τῆς κλίνης Βαβυλωνία ἐπεποίκιλτο σκηνή· παίζοντες Ἔρωτες, οἱ μὲν Ἀφροδίτην θεραπεύοντες (ἦν δὲ καὶ Ἀφροδίτης εἰκών), οἱ δὲ ἱππεύοντες ἀναβάται στρουθοῖς, οἱ δὲ στεφάνους πλέκοντες, οἱ δὲ ἄνθη φέροντες· ταῦτα ἐν τῷ ἑτέρῳ μέρει τῆς σκηνῆς· ἐν δὲ τῷ 3 ἑτέρῳ Ἄρης ἦν οὐχ ὡπλισμένος, ἀλλ' ὡς πρὸς ἐρωμένην τὴν Ἀφροδίτην κεκοσμημένος, ἐστεφανωμένος,

7 post γυναῖκα: Ἄνθειαν

χλανίδα ἔχων· Ἔρως αὐτὸν ὡδήγει, λαμπάδα ἔχων ἡμμένην. Ὑπ' αὐτῇ τῇ σκηνῇ κατέκλιναν τὴν Ἀνθειαν, ἀγαγόντες πρὸς τὸν Ἀβροκόμην, ἐπέκλεισάν τε τὰς θύρας.

9 Τοῖς δὲ ἑκατέροις πάθος συνέβη ταὐτόν, καὶ οὔτε προσειπεῖν ἔτι ἀλλήλους ἠδύναντο οὔτε ἀντιβλέψαι τοῖς ὀφθαλμοῖς, ἔκειντο δὲ ὑφ' ἡδονῆς παρειμένοι, αἰδούμενοι, φοβούμενοι, πνευστιῶντες· ἐπάλλετο δὲ αὐτοῖς τὰ σώματα καὶ ἐκραδαίναντο αὐτοῖς αἱ ψυχαί.

2 Ὀψὲ δὲ ὁ Ἀβροκόμης ἀνενεγκὼν περιέλαβε τὴν Ἀνθειαν· ἡ δὲ ἐδάκρυε τῆς ψυχῆς αὐτῆς σύμβολα προπεμπούσης τῆς ἐπιθυμίας τὰ δάκρυα. Καὶ ὁ Ἀβροκόμης "ὦ τῆς ἐμοὶ" φησὶ "ποθεινοτάτης νυκτός, ἣν μόλις ἀπείληφα, πολλὰς πρότερον νύκτας δυστυχήσας.

3 Ὦ φωτὸς ἡδίων ἐμοὶ κόρη καὶ τῶν πώποτε λαλουμένων εὐτυχεστέρα· τὸν ἐραστὴν ἔχεις ἄνδρα, μεθ' οὗ ζῆν καὶ ἀποθανεῖν ὑπάρξει γυναικὶ σώφρονι." Εἰπὼν κατεφίλει τε καὶ ὑπεδέχετο τὰ δάκρυα, καὶ αὐτῷ ἐδόκει παντὸς μὲν εἶναι νέκταρος ποτιμώτερα τὰ δάκρυα, παντὸς δὲ τοῦ πρὸς ὀδύνην φαρμάκου δυνατώτερα. Ἡ δὲ ὀλίγα αὐτὸν προσφθεγξαμένη "ναὶ" φησὶν "Ἀβροκόμη, δοκῶ σοι καλή, καὶ μετὰ τὴν σὴν εὐμορφίαν ἀρέσκω σοι; Ἄνανδρε καὶ δειλέ, πόσον ἐβράδυνας ἐρῶν χρόνον; πόσον ἠμέλησας; ἀπὸ τῶν ἐμαυτῆς

5 κακῶν ἃ πέπονθας οἶδα. Ἀλλ' ἰδού, δάκρυα μὲν ὑποδέχου τἀμά, καὶ ἡ καλή σου κόμη πινέτω πῶμα τὸ ἐρωτικόν, καὶ συμφύντες ἀλλήλοις ἀναμιγῶμεν, καταβρέχωμεν δὲ καὶ τοὺς στεφάνους τοῖς παρ' ἀλλή-

6 λων δάκρυσιν, ἵν' ἡμῖν καὶ οὗτοι συνερῶσιν." Εἰποῦσα ἅπαν μὲν αὐτοῦ τὸ πρόσωπον ἠσπάζετο, ἅπα-

8 post πνευστιῶντες: ἡδόμενοι

σαν δὲ τὴν κόμην τοῖς αὐτῆς ὀφθαλμοῖς προσετίθει καὶ τοὺς στεφάνους ἀνελάμβανε καὶ τὰ χείλη τοῖς χείλεσι φιλοῦσα συνηρμόκει, καὶ ὅσα ἐνενόουν, [διὰ τῶν χειλέων] ἐκ ψυχῆς εἰς τὴν θατέρου ψυχὴν διὰ τοῦ φιλήματος παρεπέμπετο. Φιλοῦσα δὲ αὐτοῦ τοὺς 7 ὀφθαλμοὺς "ὦ" φησὶ "πολλάκις με λυπήσαντες ὑμεῖς, ὦ τὸ πρῶτον ἐνθέντες τῇ ἐμῇ κέντρον ψυχῇ, οἱ τότε μὲν συβαροί, νῦν δὲ ἐρωτικοί, καλῶς μοι διηκονήσατε, καὶ τὸν ἔρωτα τὸν ἐμὸν καλῶς εἰς τὴν Ἀβροκόμου ψυχὴν ὡδηγήσατε. Τοιγαροῦν ὑμᾶς πολλὰ 8 φιλῶ καὶ ὑμῖν ἐφαρμόζω τοὺς ὀφθαλμοὺς τοὺς ἐμούς, τοὺς Ἀβροκόμου διακόνους· ὑμεῖς δὲ ἀεὶ βλέποιτε ταῦτα, καὶ μήτε Ἀβροκόμῃ ἄλλην δείξητε καλήν, μήτε ἐμοὶ δόξῃ τις ἄλλος εὔμορφος· ἔχετε ψυχάς, ἃς αὐτοὶ ἐξεκαύσατε· ταύτας ὁμοίως τηρήσατε."

Ταῦτα εἶπε, καὶ περιφύντες ἀνεπαύοντο καὶ τὰ 9 πρῶτα τῶν Ἀφροδίτης ἀπέλαυον· ἐφιλονείκουν δὲ δι' ὅλης [τῆς] νυκτὸς πρὸς ἀλλήλους, φιλοτιμούμενοι τίς φανεῖται μᾶλλον ἐρῶν.

. Ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, ἀνίσταντο πολὺ μὲν 10 ἡδίονες, πολὺ δὲ εὐθυμότεροι, ἀπολαύσαντες ὧν ἐπεθύμησαν χρόνῳ καλῶς. Ἑορτὴ δὲ ἦν ἅπας ὁ βίος 2 αὐτοῖς καὶ μεστὰ εὐωχίας πάντα καὶ ἤδη καὶ τῶν μεμαντευμένων λήθη· ἀλλ' οὐχὶ τὸ εἱμαρμένον ἐπελέληστο, οὐδ' ὅτῳ ἐδόκει ταῦτα θεῷ ἠμέλει. Χρόνου δὲ 3 διελθόντος ὀλίγου ἔγνωσαν οἱ πατέρες ἐκπέμπειν αὐτοὺς τῆς πόλεως κατὰ τὰ βεβουλευμένα· ἤμελλόν τε γὰρ ἄλλην ὄψεσθαι γῆν καὶ ἄλλας πόλεις καὶ τὸν τοῦ θεοῦ χρησμόν, ὡς οἷόν τε ἦν, παραμυθήσεσθαι

---

17 post Ἀφροδίτης: ἐρώτων
21 post ἀπολαύσαντες: ἀλλήλων

4 ἀπαλλαγέντες χρόνῳ τινὶ Ἐφέσου. Παρεσκευάζετο
δὴ πάντα αὐτοῖς πρὸς τὴν ἔξοδον, ναῦς τε μεγάλη καὶ
ναῦται πρὸς ἀναγωγὴν ἕτοιμοι, καὶ τὰ ἐπιτήδεια ἐνε-
βάλλετο, πολλὴ μὲν ἐσθὴς καὶ ποικίλη, πολὺς δὲ ἄρ-
γυρος καὶ χρυσός, ἥ τε τῶν σιτίων ὑπερβάλλουσα 5
5 ἀφθονία. Θυσίαι δὲ πρὸ τῆς ἀναγωγῆς τῇ Ἀρτέμιδι
καὶ εὐχαὶ τοῦ δήμου παντὸς καὶ δάκρυα πάντων, ὡς
μελλόντων ἀπαλλάττεσθαι παίδων κοινῶν. Ἦν δὲ ὁ
6 πλοῦς αὐτοῖς ἐπ' Αἴγυπτον παρεσκευασμένος. Ὡς
δ' ἦλθεν ἡ τῆς ἀναγωγῆς ἡμέρα, πολλοὶ μὲν οἰκέται, 10
πολλαὶ δὲ θεράπαιναι ** μελλούσης δὲ τῆς νεὼς ἐπ-
ανάξεσθαι, πᾶν μὲν τὸ Ἐφεσίων [πλῆθος] παρῆν
παραπέμπον, πολλαὶ δὲ καὶ τῶν ..... μετὰ λαμπάδων
7 καὶ θυσιῶν. Ἐν τούτῳ μὲν οὖν ὁ Λυκομήδης καὶ ἡ
Θεμιστώ, πάντων ἅμα ἐν ὑπομνήσει γενόμενοι, τοῦ 15
χρησμοῦ, τοῦ παιδός, τῆς ἀποδημίας, ἔκειντο εἰς γῆν
ἀθυμοῦντες· ὁ δὲ Μεγαμήδης καὶ ἡ Εὐίππη ἐπεπόν-
θεσαν μὲν τὰ αὐτά, εὐθυμότεροι δὲ ἦσαν, τὰ τέλη
8 σκοποῦντες τῶν μεμαντευμένων. Ἤδη μὲν οὖν ἐθο-
ρύβουν οἱ ναῦται, καὶ ἐλύετο τὰ πρυμνήσια, καὶ ὁ κυ- 20
βερνήτης τὴν αὑτοῦ χώραν κατελάμβανε, καὶ ἡ ναῦς
9 ἀπεκινεῖτο. Βοὴ δὲ τῶν ἀπὸ τῆς γῆς καὶ τῶν ἐν τῇ
νηὶ πολλὴ [καὶ] συμμιγής, τῶν μὲν "ὦ παῖδες" λε-
γόντων "φίλτατοι, ἆρα ἔτι ὑμᾶς οἱ φύντες ὀψόμεθα;"
τῶν δὲ "ὦ πατέρες, ἆρα ὑμᾶς ἀπολεψόμεθα;" Δάκρυα 25
δὴ καὶ οἰμωγή, καὶ ἕκαστος ὀνομαστὶ τὸν οἰκεῖον ἐκάλει,
εἰς ὑπόμνησιν ἀλλήλοις ἐγκαταλείποντες τοὔνομα.
10 Ὁ δὲ Μεγαμήδης φιάλην λαβὼν καὶ ἐπισπένδων εὔ-
χετο ὡς ἐξάκουστον εἶναι τοῖς ἐν τῇ νηὶ "ὦ παῖδες"
λέγων "μάλιστα μὲν εὐτυχοῖτε καὶ φύγοιτε τὰ σκληρὰ 30

---

26 post ἐκάλει: μέγα

τῶν μαντευμάτων, καὶ ὑμᾶς ἀνασωθέντας ὑποδέξαιντο Ἐφέσιοι, καὶ τὴν φιλτάτην ἀπολάβοιτε πατρίδα· εἰ δὲ ἄλλο [τι] συμβαίη, τοῦτο μὲν ἴστε οὐδὲ ἡμᾶς ἔτι ζησομένους· προΐεμεν δὲ ὑμᾶς ὁδὸν μὲν δυστυχῆ ἀλλ' ἀναγκαίαν.

Ἔτι λέγοντα ἐξιόντα ἐπέσχε τὰ δάκρυα· καὶ οἱ 11
μὲν ἀπήεσαν εἰς τὴν πόλιν, τοῦ πλήθους αὐτοὺς θαρρεῖν παρακαλοῦντος, ὁ δὲ Ἀβροκόμης καὶ ἡ Ἄνθεια ἀλλήλοις περιφύντες ἔκειντο πολλὰ ἅμα ἐννοοῦντες, τοὺς πατέρας οἰκτείροντες, τῆς πατρίδος ἐπιθυμοῦντες, τὸν χρησμὸν δεδοικότες, τὴν ἀποδημίαν ὑποπτεύοντες· παρεμυθεῖτο δ' αὐτοὺς εἰς ἅπαντα ὁ μετ' ἀλλήλων πλοῦς. Κἀκείνην μὲν τὴν ἡμέραν οὐρίῳ 2
χρησάμενοι πνεύματι, διανύσαντες τὸν πλοῦν εἰς Σάμον κατήντησαν τὴν τῆς Ἥρας ἱερὰν νῆσον· κἀντεῦθα θύσαντες καὶ δειπνοποιησάμενοι, πολλὰ εὐξάμενοι τῆς νυκτὸς ἐπιγινομένης ἐπανήγοντο. Καὶ ἦν 3
ὁ πλοῦς αὐτοῖς οὔριος· λόγοι δὲ ἐν αὐτοῖς πολλοὶ πρὸς ἀλλήλους "ἆρα ἡμῖν ὑπάρξει συγκαταβιῶναι μετ' ἀλλήλων;" Καὶ δή ποτε ὁ Ἀβροκόμης μέγα ἀναστενάξας, ἐν ὑπομνήσει τῶν ἑαυτοῦ γενόμενος "Ἄνθεια" ἔφησε, "τῆς ψυχῆς μοι ποθεινοτέρα, μάλιστα μὲν εὐτυχεῖν εἴη καὶ σώζεσθαι μετ' ἀλλήλων· ἂν δ' ἄρα τι 4
ᾖ πεπρωμένον παθεῖν, καί πως ἀλλήλων ἀπαλλαγῶμεν, ὁμόσωμεν ἑαυτοῖς, φιλτάτη, ὡς σὺ μὲν ἐμοὶ μενεῖς ἁγνὴ καὶ ἄλλον ἄνδρα οὐχ ὑπομενεῖς, ἐγὼ δὲ ὅτι οὐκ [ἂν] ἄλλῃ γυναικὶ συνοικήσαιμι." Ἀκούουσα 5
δὲ Ἄνθεια μέγα ἀνωλόλυξε καὶ "τί τοῦτο" ἔφησεν "Ἀβροκόμη, πεπίστευκας ὅτι ἐὰν ἀπαλλαγῶ σοῦ, περὶ ἀνδρὸς ἔτι καὶ γάμου σκέψομαι, ἥτις οὐδὲ ζήσομαι τὴν ἀρχὴν ἄνευ σοῦ; Ὡς ὀμνύω γέ σοι τὴν πάτριον ἡμῖν θεόν, τὴν μεγάλην Ἐφεσίων Ἄρτεμιν, καὶ ταύ-

την ἣν διανύομεν θάλατταν καὶ τὸν ἐπ᾽ ἀλλήλους ἡμᾶς καλῶς ἐκμήναντα θεόν, ὡς ἐγὼ καὶ βραχύ τι ἀποσπασθεῖσα σοῦ οὔτε ζήσομαι οὔτε τὸν ἥλιον ὄψο-
6 *μαι." Ταῦτα ἔλεγεν ἡ Ἄνθεια· ἐπώμνυε δὲ καὶ ὁ Ἀβροκόμης, καὶ ὁ καιρὸς αὐτῶν ἐποίει τοὺς ὅρκους* 5
φοβερωτέρους.

Ἐν τούτῳ δὲ ἡ ναῦς Κῶ μὲν παραμείβει καὶ Κνίδον, κατεφαίνετο δ᾽ ἡ Ῥοδίων νῆσος μεγάλη καὶ καλή· καὶ αὐτοὺς ἐνταῦθα ἔδει καταχθῆναι πάντως· δεῖν γὰρ ἔφασκον οἱ ναῦται καὶ ὑδρεύσασθαι καὶ 10
αὐτοὺς ἀναπαύσασθαι, μέλλοντας εἰς μακρὸν ἐμπεσεῖσθαι πλοῦν.

12 *Κατήγετο δὴ ἡ ναῦς εἰς Ῥόδον καὶ ἐξέβαινον οἱ ναῦται, ἐξῄει δὲ ὁ Ἀβροκόμης ἔχων μετὰ χεῖρα τὴν Ἄνθειαν· συνῄεσαν δὲ πάντες οἱ Ῥόδιοι, τὸ κάλλος* 15
τῶν παίδων καταπεπληγότες, καὶ οὐκ ἔστιν ὅστις τῶν ἰδόντων παρῆλθε σιωπῶν· ἀλλ᾽ οἱ μὲν ἔλεγον ἐπιδημίαν θεῶν, οἱ δὲ προσεκύνουν καὶ προσεποιοῦντο. Ταχὺ δὲ δι᾽ ὅλης τῆς πόλεως διεπεφοιτήκει τοὔνομα
2 *Ἀβροκόμου καὶ Ἀνθείας. Ἐπεύχονται δὲ αὐτοῖς δη-* 20
μοσίᾳ καὶ θυσίας τε θύουσι πολλὰς καὶ ἑορτὴν ἄγουσι τὴν ἐπιδημίαν αὐτῶν. Οἱ δὲ τήν τε πόλιν ἅπασαν ἐξιστόρησαν καὶ ἀνέθεσαν εἰς τὸ τοῦ Ἡλίου ἱερὸν πανοπλίαν χρυσῆν καὶ ἐπέγραψαν ἐπίγραμμα εἰς ὑπόμνημα τῶν ἀναθέντων 25

Οἱ ξεῖνοι τάδε σοι χρυσήλατα τεύχε᾽ ἔθηκαν,
Ἀνθία Ἀβροκόμης θ᾽, ἱερῆς Ἐφέσοιο πολῖται.

3 *Ταῦτα ἀναθέντες, ὀλίγας ἡμέρας ἐν τῇ νήσῳ μείναντες, ἐπειγόντων τῶν ναυτῶν ἀνήγοντο ἐπισιτισάμενοι· παρέπεμπε δὲ αὐτοὺς ἅπαν τὸ Ῥοδίων πλῆθος. Καὶ* 30
τὰ μὲν πρῶτα ἐφέροντο οὐρίῳ πνεύματι, καὶ ἦν αὐτοῖς

18 post *ἐπιδημίαν*: *ἐκ τῶν*

ὁ πλοῦς ἀσμένοις, κἀκείνην τε τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐφέροντο ἀναμετροῦντες τὴν Αἰγυπτίαν καλουμένην θάλατταν· τῇ δὲ δευτέρᾳ ἐπέπαυτο μὲν ὁ ἄνεμος, γαλήνη δὲ [ἦν] καὶ πλοῦς βραδὺς καὶ ναυτῶν ῥᾳθυμία καὶ πότος καὶ μέθη καὶ ἀρχὴ τῶν μεμαντευμένων. Τῷ δὲ Ἀβροκόμῃ ἐν τούτῳ ἐφίσταται γυνὴ ὀφθῆναι φοβερά, τὸ μέγεθος ὑπὲρ ἄνθρωπον, ἐσθῆτα ἔχουσα φοινικῆν· ἐπιστᾶσα δὲ τὴν ναῦν ἐδόκει κάειν καὶ τοὺς μὲν ἄλλους ἀπόλλυσθαι, αὐτὸν δὲ μετὰ τῆς Ἀνθείας διανήχεσθαι. Ταῦτα ὡς εὐθὺς εἶδεν ἐταράχθη καὶ προσεδόκα τι δεινὸν ἐκ τοῦ ὀνείρατος· καὶ τὸ δεινὸν ἐγίνετο. 4

Ἔτυχον μὲν ἐν Ῥόδῳ πειραταὶ παρορμοῦντες αὐτοῖς, Φοίνικες τὸ γένος, ἐν τριήρει μεγάλῃ· παρώρμουν δὲ ὡς φορτίον ἔχοντες καὶ πολλοὶ καὶ γεννικοί. Οὗτοι κατεμεμαθήκεσαν ** τῇ νηὶ ὅτι χρυσὸς καὶ ἄργυρος καὶ ἀνδράποδα πολλὰ καὶ τίμια. Διέγνωσαν οὖν ἐπιθέμενοι τοὺς μὲν ἀντιμαχομένους ἀποκτινύειν, τοὺς δὲ ἄλλους ἄγειν εἰς Φοινίκην πραθησομένους καὶ τὰ χρήματα· κατεφρόνουν δὲ ὡς οὐκ ἀξιομάχων αὐτῶν. Τῶν δὲ πειρατῶν ὁ ἔξαρχος Κόρυμβος ἐκαλεῖτο, νεανίας ὀφθῆναι μέγας, φοβερὸς τὸ βλέμμα· κόμη ἦν αὐτῷ αὐχμηρὰ καθειμένη. Ὡς δὲ ταῦτα οἱ πειραταὶ ἐβουλεύσαντο, τὰ μὲν πρῶτα παρέπλεον ἡσυχῇ τοῖς περὶ Ἀβροκόμην· τελευταῖον δὲ (ἦν μὲν περὶ μέσον ἡμέρας, ἔκειντο δὲ πάντες οἱ ἐν τῇ νηὶ ὑπὸ μέθης καὶ ῥᾳθυμίας οἱ μὲν καθεύδοντες, οἱ δὲ ἀλύοντες) ἐφίστανται δὲ αὐτοῖς οἱ περὶ τὸν Κόρυμβον ἐλαυνομένῃ τῇ νηὶ σὺν ὀξύτητι πολλῇ. Ὡς δὲ πλησίον ἐγένοντο, ἀνεπήδησαν ἐπὶ τὴν ναῦν 5

13

2

3

4

5

---

29 post νηί: τριήρης ἦν

ὡπλισμένοι, τὰ ξίφη γυμνὰ ἔχοντες· κἀνταῦθα οἱ μὲν
ἐρρίπτουν ἑαυτοὺς ὑπ' ἐκπλήξεως εἰς τὴν θάλατταν
καὶ ἀπώλλυντο, οἱ δὲ ἀμύνεσθαι θέλοντες ἀπεσφά-
6 ζοντο. Ὁ δὲ Ἀβροκόμης καὶ ἡ Ἄνθεια προστρέχουσι
τῷ Κορύμβῳ τῷ πειρατῇ, καὶ λαβόμενοι τῶν γονάτων 5
αὐτοῦ "τὰ μὲν χρήματα" ἔφασαν, "ὦ δέσποτα, καὶ
ἡμᾶς οἰκέτας ἔχε, φεῖσαι δὲ τῆς ψυχῆς καὶ μηκέτι φό-
νευε τοὺς ἑκόντας ὑποχειρίους σοι γενομένους· μὴ πρὸς
αὐτῆς θαλάσσης, μὴ πρὸς δεξιᾶς τῆς σῆς· ἀγαγὼν δὲ
ἡμᾶς ὅποι θέλεις, ἀπόδου τοὺς σοὺς οἰκέτας· μόνον 10
οἰκτειρον ἡμᾶς ὑφ' ἑνὶ ποιήσας δεσπότῃ."

14 Ἀκούσας ὁ Κόρυμβος εὐθὺς μὲν ἐκέλευσε φεί-
σασθαι φονεύοντας, μεταθέμενος δὲ τὰ τιμιώτερα
τῶν φορτίων καὶ τὸν Ἀβροκόμην καὶ τὴν Ἄνθειαν
ἄλλους τε τινὰς τῶν οἰκετῶν ὀλίγους ἐνέπρησε τὴν 15
ναῦν, καὶ οἱ λοιποὶ πάντες κατεφλέχθησαν· τὸ γὰρ
2 πάντας ἄγειν οὔτε ἐδύνατο οὔτε ἀσφαλὲς ἐώρα. Ἦν
δὲ τὸ θέαμα ἐλεεινόν, τῶν μὲν ἐν τῇ τριήρει ἀναγο-
μένων τῶν δὲ ἐν τῇ νηὶ φλεγομένων τὰς χεῖρας
3 ἐκτεινόντων καὶ ὀλοφυρομένων. Καὶ οἱ μὲν ἔλεγον 20
"ποῖ ποτε ἀχθήσεσθε, δεσπόται; τίς ὑμᾶς ὑποδέξεται
γῆ, καὶ τίνα πόλιν οἰκήσετε;" οἱ δὲ "ὦ μακάριοι,
μέλλοντες ἀποθνήσκειν εὐτυχῶς πρὸ τοῦ πειραθῆναι
δεσμῶν, πρὸ τοῦ δουλείαν λῃστρικὴν ἰδεῖν." Ταῦτα
4 λέγοντες οἱ μὲν ἀνήγοντο, οἱ δὲ κατεφλέγοντο. Ἐν 25
τούτῳ δὲ ὁ τροφεὺς τοῦ Ἀβροκόμου πρεσβύτης ἤδη,
σεμνὸς ἰδεῖν καὶ διὰ τὸ γῆρας ἐλεεινός, οὐκ ἐνεγκὼν
ἀναγόμενον τὸν Ἀβροκόμην, ῥίψας ἑαυτὸν εἰς τὴν
θάλασσαν ἐνήχετο ὡς καταληψόμενος τὴν τριήρη
"τίνι με καταλείπεις, τέκνον" λέγων, "τὸν γέροντα, 30
5 τὸν παιδαγωγόν; ποῖ δὲ ἀπερχόμενος, Ἀβροκόμη;
αὐτὸς ἀπόκτεινόν με τὸν δυστυχῆ καὶ θάψον· τί γάρ

ἐστί μοι ζῆν ἄνευ σοῦ;" Ταῦτα ἔλεγε καὶ τέλος ἀπελπίσας ἔτι Ἀβροκόμην ὄψεσθαι, παραδοὺς ἑαυτὸν τοῖς κύμασιν ἀπέθανε. Τοῦτο δὲ Ἀβροκόμῃ πάντων ἦν 6
ἐλεεινότατον· καὶ γὰρ τὰς χεῖρας ἐξέτεινε τῷ πρεσβύτῃ καὶ τοὺς πειρατὰς ἀναλαμβάνειν παρεκάλει· οἱ δὲ οὐδένα λόγον ποιησάμενοι, διανύσαντες ἡμέραις τρισὶ τὸν πλοῦν κατήχθησαν εἰς πόλιν τῆς Φοινίκης Τύρον, ἔνθα ἦν τοῖς πειραταῖς τὰ οἰκεῖα. Ἦγον δὲ 7
αὐτοὺς εἰς αὐτὴν μὲν τὴν πόλιν οὐχί, εἰς πλησίον δέ τι χωρίον ἀνδρὸς ἄρχοντος λῃστηρίου, Ἀψύρτου τοὔνομα, οὗ καὶ ὁ Κόρυμβος ἦν ὑπηρέτης ἐπὶ μισθῷ καὶ μέρει τῶν λαμβανομένων. Ἐν δὲ τῷ τοῦ πλοὸς διαστήματι ἐκ πολλῆς τῆς καθ' ἡμέραν ὄψεως ἐρᾷ ὁ Κόρυμβος τοῦ Ἀβροκόμου σφοδρὸν ἔρωτα, καὶ αὐτὸν ἡ πρὸς τὸ μειράκιον συνήθεια ἐπὶ πλέον ἐξέκαε.

Καὶ ἐν μὲν τῷ πλῷ οὔτε πεῖσαι δυνατὸν ἐδόκει 15
εἶναι· ἑώρα γὰρ ὡς διάκειται μὲν ὑπ' ἀθυμίας πονήρως, ἑώρα δὲ καὶ τῆς Ἀνθείας ἐρῶντα· ἀλλὰ καὶ τὸ βιάζεσθαι χαλεπὸν εἶναι αὐτῷ κατεφαίνετο· ἐδεδοίκει γὰρ μή τι ἑαυτὸν ἐργάσηται δεινόν· ἐπεὶ δὲ κατή- 2
χθησαν εἰς Τύρον, οὐκέτι καρτερῶν τὰ μὲν πρῶτα ἐθεράπευε τὸν Ἀβροκόμην καὶ θαρρεῖν παρεκάλει καὶ πᾶσαν ἐπιμέλειαν προσέφερεν· ὁ δὲ ἐλεοῦντα τὸν 3
Κόρυμβον ἐνόμιζεν αὐτοῦ ποιεῖσθαι τὴν ἐπιμέλειαν· τὸ δεύτερον δὲ ἀνακοινοῦται ὁ Κόρυμβος τὸν ἔρωτα τῶν συλλῃστῶν τινι, Εὐξείνῳ τοὔνομα, καὶ δεῖται βοηθὸν γενέσθαι καὶ συμβουλεῦσαι τίνι τρόπῳ δυνήσεται πεῖσαι τὸ μειράκιον. Ὁ δὲ Εὔξεινος ἅσμενος ἀκούει 4
τὰ περὶ τοῦ Κορύμβου· καὶ γὰρ αὐτὸς ἐπ' Ἀνθείᾳ διέκειτο πονήρως καὶ ἦρα τῆς κόρης σφοδρὸν ἔρωτα· λέγει δὲ πρὸς τὸν Κόρυμβον καὶ τὰ αὑτοῦ καὶ συνεβούλευσε μὴ ἐπὶ πλέον ἐπανιᾶσθαι, ἀλλ' ἔργου

ἔχεσθαι· "καὶ γὰρ" ἔφη "σφόδρα ἀγεννὲς κινδυνεύοντας καὶ παραβαλλομένους μὴ ἀπολαύειν μετὰ ἀδείας ὧν ἐκτησάμεθα πόνων· δυνησόμεθα δὲ αὐτοὺς" ἔλεγεν "ἑξαιρέτους παρὰ Ἀψύρτου λαβεῖν δωρεάν." Ταῦτα εἰπὼν ῥᾳδίως ἔπεισεν αὐτὸν ἐρῶντα. Καὶ δὴ συντίθενται κατὰ ταὐτὰ τοὺς ὑπὲρ ἀλλήλων ποιήσασθαι λόγους καὶ πείθειν οὗτος μὲν Ἀβροκόμην, Κόρυμβος δὲ Ἄνθειαν.

16 Ἐν τούτῳ [τῷ χρόνῳ] ἐκείνω ἄθυμοι, πολλὰ προσδοκῶντες, ἀλλήλοις διαλεγόμενοι, συνεχὲς ὀμνύοντες τηρήσειν τὰ συγκείμενα. Ἔρχονται δὴ πρὸς αὐτοὺς ὁ Κόρυμβος καὶ ὁ Εὔξεινος καὶ φράσαντες ἰδίᾳ τι θέλειν εἰπεῖν, ἀπάγουσι καθ' αὑτοὺς ὁ μὲν τὴν Ἄνθειαν, ὁ δὲ τὸν Ἀβροκόμην. Τοῖς δὲ αἵ τε ψυχαὶ ἐκραδαίνοντο καὶ οὐδὲν ὑγιὲς ὑπενόουν.

3 Λέγει οὖν ὁ Εὔξεινος πρὸς τὸν Ἀβροκόμην ὑπὲρ Κορύμβου "μειράκιον, εἰκὸς μέν [σε] ἐπὶ τῇ συμφορᾷ φέρειν χαλεπῶς, οἰκέτην μὲν ἐξ ἐλευθέρου γενόμενον, πένητα δὲ ἀντ' εὐδαίμονος· δεῖ δέ σε τῇ τύχῃ πάντα λογίσασθαι καὶ στέργειν τὸν κατέχοντα δαίμονα καὶ
4 τοὺς γενομένους δεσπότας ἀγαπᾶν. Ἴσθι γὰρ ὡς ἔνεστί σοι καὶ εὐδαιμοσύνην καὶ ἐλευθερίαν ἀπολαβεῖν, εἰ θελήσεις πείθεσθαι τῷ δεσπότῃ Κορύμβῳ· ἐρᾷ γὰρ σοῦ σφοδρὸν ἔρωτα καὶ πάντων ἕτοιμός ἐστι δεσπότην ποιεῖν τῶν ἑαυτοῦ. Πείσῃ δὲ χαλεπὸν μὲν οὐδέν, εὐνούστερον δὲ σεαυτῷ τὸν δεσπότην ἐργάσῃ.
5 Ἐννόησον δὲ ἐν οἷς ὑπάρχεις· βοηθὸς μὲν οὐδείς, γῆ δὲ αὕτη ξένη καὶ δεσπόται λῃσταὶ καὶ οὐδεμία τιμωρίας ἀποφυγὴ ὑπερηφανήσαντι Κόρυμβον. Τί δέ σοι γυναικὸς δεῖ νῦν καὶ πραγμάτων; τί δὲ ἐρωμένης τηλικῇδε ὄντι; πάντα ἀπόρριψον, πρὸς μόνον δεῖ σε τὸν δεσπότην βλέπειν, τούτῳ κελεύσαντι ὑπακούειν."

Ἀκούσας ὁ Ἀβροκόμης εὐθὺς μὲν ἀχανὴς ἦν καὶ οὔτε 6
τι ἀποκρίνεσθαι εὕρισκεν, ἐδάκρυε δὲ καὶ ἀνέστενε
πρὸς αὐτὸν ἀφορῶν, εἰς οἷα ἄρα ἐλήλυθε· καὶ δὴ
λέγει πρὸς τὸν Εὔξενον "ἐπίτρεψον, δέσποτα, βου-
λεύσασθαι βραχύ, καὶ πρὸς πάντα ἀποκρινοῦμαί σοι
τὰ ῥηθέντα."

Καὶ ὁ μὲν Εὔξεινος ἀνεχώρει· ὁ δὲ Κόρυμβος τῇ 7
Ἀνθείᾳ διείλεκτο τὸν ἔρωτα τὸν Εὐξείνου καὶ τὴν
παροῦσαν ἀνάγκην καὶ ὅτι δεῖ πάντως αὐτὴν πείθε-
σθαι τοῖς δεσπόταις· ὑπέσχετο δὲ πολλὰ καὶ γάμον
νόμιμον καὶ χρήματα πεισθείσῃ καὶ περιουσίαν. Ἡ
δὲ αὐτῷ τὰ ὅμοια ἀπεκρίνατο, αἰτησαμένη βραχὺν
βουλεύσασθαι χρόνον.

B

Καὶ ὁ μὲν Εὔξεινος καὶ ὁ Κόρυμβος μετ' ἀλλήλων 1
ἦσαν περιμένοντες ὅ τι ἀκούσονται, ἤλπιζον δ' αὐτοὺς
ῥᾳδίως πείσειν· ὁ δὲ Ἀβροκόμης καὶ ἡ Ἄνθεια ἦκον
εἰς τὸ δωμάτιον ἔνθα συνήθως διῃτῶντο, καὶ πρὸς
ἀλλήλους εἰπόντες ἅπερ ἠκηκόεσαν, καταβαλόντες
ἑαυτοὺς ἔκλαον, ὠδύροντο. "Ὦ πάτερ" ἔλεγον, "ὦ 2
μῆτερ, ὦ πατρὶς φιλτάτη καὶ οἰκεῖοι καὶ συγγενεῖς."
Τελευταῖον δὲ ἀνενεγκὼν ὁ Ἀβροκόμης "ὦ κακοδαί-
μονες" ἔφησεν "ἡμεῖς, τί ἄρα πεισόμεθα ἐν γῇ βαρ-
βάρῳ, πειρατῶν ὕβρει παραδοθέντες; Ἄρχεται τὰ
μεμαντευμένα· τιμωρίαν ἤδη με ὁ θεὸς τῆς ὑπερη-
φανίας εἰσπράττει· ἐρᾷ Κόρυμβος ἐμοῦ, σοῦ δὲ
Εὔξεινος. Ὦ τῆς ἀκαίρου πρὸς ἑκατέρους εὐμορφίας. 3

εἰς τοῦτο ἄρα μέχρι νῦν σώφρων ἐτηρήθην, ἵνα ἐμαυτὸν ὑποθῶ λῃστῇ ἐρῶντι τὴν αἰσχρὰν ἐπιθυμίαν; Καὶ τίς ἐμοὶ βίος περιλείπεται πόρνῃ μὲν ἀντὶ ἀνδρὸς γενομένῳ, ἀποστερηθέντι δὲ Ἀνθείας τῆς
4 ἐμῆς; Ἀλλ' οὐ μὰ τὴν μέχρις ἄρτι σωφροσύνην ἐκ παιδός μοι σύντροφον, οὐκ ἂν ἐμαυτὸν ὑποθείην Κορύμβῳ· τεθνήξομαι δὲ πρότερον καὶ φανοῦμαι νεκρὸς
5 σώφρων." Ταῦτα ἔλεγε καὶ ἐπεδάκρυεν· ἡ δὲ "Ανθεια "φεῦ τῶν κακῶν" εἶπεν, "ταχέως τι τῶν ὅρκων ** ἀναγκαζόμεθα, ταχέως τῆς δουλείας πειρώμεθα· ἐρᾷ τις ἐμοῦ καὶ πείσειν ἤλπιζεν [καὶ] εἰς εὐνὴν ἐλεύσεσθαι τὴν ἐμὴν μετὰ Ἀβροκόμην καὶ συγκατακλιθήσεσθαι καὶ ἀπολαύσειν ἐπιθυμίας. Ἀλλὰ μὴ οὕτως
6 ἐγὼ φιλόζωος γενοίμην, μηδ' ὑπομείναιμι ὑβρισθεῖσα ἰδεῖν τὸν ἥλιον. Δεδόχθω ταῦτα· ἀποθνήσκωμεν, Ἀβροκόμη· ἕξομεν ἀλλήλους μετὰ θάνατον, ὑπ' οὐδενὸς ἐνοχλούμενοι."

2 Καὶ τοῖς μὲν ταῦτα ἐδέδοκτο· ἐν δὲ τούτῳ Ἄψυρτος ὁ προεστὼς τοῦ λῃστηρίου πυθόμενος ὅτι τε ἥκουσιν οἱ περὶ τὸν Κόρυμβον καὶ ὅτι πολλὰ εἶεν καὶ θαυμάσια κομίζοντες χρήματα, ἦκεν εἰς τὸ χωρίον καὶ εἶδέ τε τοὺς περὶ [τὸν] Ἀβροκόμην καὶ κατεπλάγη τὴν εὐμορφίαν καὶ εὐθὺς μέγα κέρδος νομίζων ἠτήσατο
2 ἐκείνους. Τὰ μὲν οὖν ἄλλα χρήματα καὶ κτήματα καὶ παρθένους ὅσαι συνελήφθησαν διένειμε τοῖς περὶ τὸν Κόρυμβον [πειραταῖς·] ὁ δὲ Εὔξεινος καὶ ὁ Κόρυμβος ἄκοντες μὲν συνεχώρουν τοὺς περὶ τὸν Ἀβροκόμην
3 τῷ Ἀψύρτῳ, συνεχώρουν δ' οὖν ἀνάγκῃ. Καὶ οἱ μὲν ἀπηλλάσσοντο· ὁ δὲ Ἄψυρτος παραλαβὼν τὸν Ἀβροκόμην καὶ τὴν Ἄνθειαν καὶ οἰκέτας δύο, Λεύκωνα
4 καὶ Ῥόδην, ἤγαγεν εἰς τὴν Τύρον. Περίβλεπτος δὲ ἦν αὐτῶν ἡ πομπὴ καὶ πάντες ἐτεθαυμάκεσαν τὸ κάλ-

λος, καὶ ἄνθρωποι βάρβαροι μήπω πρότερον τοσαύτην ἰδόντες εὐμορφίαν θεοὺς ἐνόμιζον εἶναι τοὺς βλεπομένους, ἐμακάριζον δὲ τὸν Ἄψυρτον οἵους οἰκέτας εἴη κεκτημένος. Ἀγαγὼν δὲ αὐτοὺς εἰς τὴν οἰκίαν παραδίδωσιν οἰκέτῃ πιστῷ δι' ἐπιμελείας κελεύσας ἔχειν, ὡς μεγάλα κερδανῶν εἰ ἀπόδοιτο τῆς ἀξίας αὐτοὺς τιμῆς.

Καὶ οἱ μὲν περὶ τὸν Ἀβροκόμην ἐν τούτοις ἦσαν· ἡμερῶν δὲ διαγενομένων ὀλίγων ὁ μὲν Ἄψυρτος ἐπ' ἄλλην ἐμπορίαν εἰς Συρίαν ἀπῆλθε, θυγάτηρ δὲ αὐτοῦ, Μαντὼ ὄνομα, ἠράσθη τοῦ Ἀβροκόμου· ἦν δὲ καλὴ καὶ ὡραία γάμων ἤδη, πολὺ δὲ τοῦ Ἀνθείας κάλλους ἀπελείπετο. Αὕτη ἡ Μαντὼ ἐκ τῆς συνήθους μετὰ τοῦ Ἀβροκόμου διαίτης ἁλίσκεται καὶ ἀκατασχέτως εἶχε καὶ ἠπόρει ὅ τι ποιήσαι· οὔτε γὰρ πρὸς τὸν Ἀβροκόμην εἰπεῖν ἐτόλμα, γυναῖκα εἰδυῖα ἔχοντα καὶ πείσειν οὐδέποτε ἐλπίζουσα, οὔτε ἄλλῳ τινὶ τῶν ἑαυτῆς δέει τοῦ πατρός· δι' ἃ δὴ καὶ μᾶλλον ἀνεκάετο καὶ διέκειτο πονήρως· καὶ οὐκέτι καρτεροῦσα ἔγνω πρὸς τὴν Ῥόδην, τὴν σύντροφον τῆς Ἀνθείας, οὖσαν ἡλικιῶτιν καὶ κόρην, κατειπεῖν τὸν ἔρωτα· ταύτην γὰρ μόνην ἤλπιζε συνεργήσειν αὐτῇ πρὸς τὴν ἐπιθυμίαν. Καὶ δὴ σχολῆς λαβομένη ἄγει τὴν κόρην πρὸς τὰ πατρῷα ἐπὶ τῆς οἰκίας ἱερά, καὶ δεῖται μὴ κατειπεῖν αὐτῆς καὶ ὅρκους λαμβάνει καὶ λέγει τὸν ἔρωτα τοῦ Ἀβροκόμου καὶ ἱκετεύει συλλαβέσθαι καὶ πολλὰ ὑπέσχετο συλλαβομένῃ. Ἔφη δ' "Ἴσθι μὲν οἰκέτις οὖσα ἐμή, ἴσθι δὲ ὀργῆς πειρασομένη βαρβάρου καὶ ἠδικημένης." Ταῦτα εἰποῦσα ἀπέπεμπε τὴν Ῥόδην· ἡ δὲ ἐν ἀμηχάνῳ κακῷ ἐγεγόνει· τὸ γὰρ εἰπεῖν Ἀβροκόμῃ παρῃτεῖτο, φιλοῦσα τὴν Ἀνθειαν· πάνυ δὲ ἐδεδοίκει τῆς βαρβάρου τὴν ὀργήν. Ἔδοξεν οὖν αὐτῇ καλῶς

ἔχειν Λεύκωνι πρῶτον ἀνακοινῶσαι τὰ ὑπὸ τῆς Μαντοῦς εἰρημένα. Ἦν δὲ καὶ τῇ Ῥόδῃ κοινωνήματα ἐξ ἔρωτος γενόμενα πρὸς Λεύκωνα, καὶ συνῆσαν ἀλλήλοις ἔτι ἐν Ἐφέσῳ. Τότε δὴ λαβομένη μόνου "ὦ Λεύκων" ἔφη, "ἀπολώλαμεν τελέως· νῦν οὐκέτι τοὺς συντρόφους ἕξομεν· ἡ τοῦ δεσπότου θυγάτηρ Ἀψύρτου ἐρᾷ μὲν Ἀβροκόμου σφοδρὸν ἔρωτα, ἀπειλεῖ δέ, εἰ μὴ τύχοι, δεινὰ ἡμᾶς ἐργάσεσθαι· σκόπει τοίνυν τί δεῖ ποιεῖν· τὸ γὰρ ἀντειπεῖν τῇ βαρβάρῳ σφαλερόν, τὸ δὲ ἀποζεῦξαι Ἀβροκόμην Ἀνθείας ἀδύνατον." Ἀκούσας ὁ Λεύκων δακρύων ἐνεπλήσθη, μεγάλας ἐκ τούτων συμφορὰς προσδοκῶν· ὀψὲ δὲ ἀνενεγκὼν "σιώπα" ἔφη, "Ῥόδη, ἐγὼ γὰρ ἕκαστα διοικήσω."

Ταῦτα εἰπὼν ἔρχεται πρὸς Ἀβροκόμην. Τῷ δὲ ἄρα οὐδὲν ἔργον ἦν ἢ φιλεῖν Ἀνθειαν καὶ ὑπ' ἐκείνης φιλεῖσθαι καὶ λαλεῖν ἐκείνῃ καὶ ἀκούειν λαλούσης. Ἐλθὼν δὲ παρ' αὐτοὺς "τί ποιοῦμεν, σύντροφοι;" "Τί δὲ βουλευόμεθα, οἰκέται;" "Δοκεῖς τινι τῶν δεσποτῶν, Ἀβροκόμη, καλός· ἡ θυγατὴρ ἡ Ἀψύρτου πονήρως ἐπὶ σοὶ διάκειται, καὶ ἀντειπεῖν ἐρώσῃ βαρβάρῳ παρθένῳ χαλεπόν· σὺ οὖν ὅπως σοι δοκεῖ βουλευσάμενος σῶσον ἡμᾶς ἅπαντας καὶ μὴ περιίδῃς ὀργῇ δεσποτῶν ὑποπεσόντας."

Ἀκούσας ὁ Ἀβροκόμης εὐθὺς μὲν ὀργῆς ἐνεπλήσθη, ἀποβλέψας δὲ ἀτενὲς εἰς τὸν Λεύκωνα "ὦ πονηρὲ" ἔφη "καὶ Φοινίκων τῶν ἐνταῦθα βαρβαρώτερε, ἐτόλμησας εἰπεῖν πρὸς Ἀβροκόμην τοιαῦτα ῥήματα καὶ παρούσης Ἀνθείας ἄλλην παρθένον μοι διηγῇ; Δοῦλος μέν εἰμι ἀλλὰ συνθήκας οἶδα τηρεῖν. Ἔχουσιν ἐξουσίαν μου τοῦ σώματος, τὴν ψυχὴν δὲ ἐλευθέραν ἔχω. Ἀπειλείτω νῦν, εἰ θέλει, Μαντὼ ξίφη καὶ βρόχους καὶ πῦρ καὶ πάντα ὅσα δύναται σῶμα

ἐνεγκεῖν οἰκέτου· οὐ γὰρ ἄν ποτε πεισθείην ἑκὼν Ἄνθειαν ἀδικῆσαι."

[Καὶ] ὁ μὲν ταῦτα ἔλεγεν, ἡ δὲ Ἄνθεια ὑπὸ [τῆς] 5
συμφορᾶς ἔκειτο ἀχανής, οὐδὲ φθέγξασθαί τι δυνα-
μένη· ὀψὲ δὲ καὶ μόλις αὐτὴν ἐγείρασα "ἔχω μὲν"
φησίν, "Ἀβροκόμη, τὴν εὔνοιαν τὴν σὴν καὶ στέργε-
σθαι διαφερόντως ὑπὸ σοῦ πεπίστευκα· ἀλλὰ δέομαι
σοῦ, τῆς ψυχῆς τῆς ἐμῆς δέσποτα, μὴ προδῷς σεαυ-
τὸν μηδὲ εἰς ὀργὴν ἐμβάλῃς βαρβαρικήν, συγκατάθου
δὲ τῇ τῆς δεσποίνης ἐπιθυμίᾳ· κἀγὼ ὑμῖν ἄπειμι 6
ἐκποδών, ἐμαυτὴν ἀποκτείνασα. Τοσοῦτον σοῦ δεή-
σομαι, θάψον αὐτὸς καὶ φίλησον πεσοῦσαν καὶ μέ-
μνησο Ἀνθείας."

Ταῦτα πάντα εἰς μείζονα συμφορὰν τὸν Ἀβροκό-
μην ἦγε καὶ ἠπόρει ὅστις γένηται.

Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν· ἡ δὲ Μαντὼ χρονι- 5
ζούσης τῆς Ῥόδης οὐκέτι καρτεροῦσα γράφει γραμματί-
διον πρὸς τὸν Ἀβροκόμην· ἦν δὲ τὰ ἐγγεγραμμένα
τοιάδε

ΑΒΡΟΚΟΜΗι ΤΩι ΚΑΛΩι ΔΕΣΠΟΙΝΑ Η ΣΗ ΧΑΙ-
ΡΕΙΝ. Μαντὼ ἐρῶ σου, μηκέτι φέρειν δυναμένη· ἁπρεπὲς μὲν
ἴσως παρθένῳ, ἀναγκαῖον δὲ φιλούσῃ· δέομαι, μή με περιίδῃς
μηδὲ ὑβρίσῃς τὴν τὰ σὰ ἠρημένην. Ἐὰν γὰρ πεισθῇς, πατέρα 2
τὸν ἐμὸν Ἄψυρτον ἐγὼ πείσω σοί με συνοικίσαι, καὶ τὴν νῦν
σοι γυναῖκα ἀποσκευασόμεθα, πλουτήσεις δὲ καὶ μακάριος ἔσῃ·
ἐὰν δὲ ἀντείπῃς, ἐννόει μὲν οἷα πείσῃ τῆς ὑβρισμένης ἑαυτὴν
ἐκδικούσης, οἷα δὲ οἱ μετὰ σοῦ, κοινωνοὶ τῆς σῆς ὑπερηφανίας
[καὶ] σύμβουλοι γενόμενοι.

Ταῦτα τὰ γράμματα λαβοῦσα καὶ κατασημηναμέ- 3
νη δίδωσι θεραπαίνῃ τινὶ ἑαυτῆς βαρβάρῳ, εἰποῦσα
Ἀβροκόμῃ κομίζειν· ὁ δὲ ἔλαβε καὶ ἀνέγνω καὶ πᾶσι
μὲν ἤχθετο τοῖς ἐγγεγραμμένοις, μάλιστα δὲ αὐτὸν
ἐλύπει τὰ περὶ τῆς Ἀνθείας. Κἀκείνην μὲν τὴν πι- 4

νακίδα κατέχει, ἄλλην δὲ γράφει καὶ δίδωσι τῇ θεραπαίνῃ· ἣν δὲ τὰ ἐγγεγραμμένα [τοιάδε]

Δέσποινα, ὅ τι βούλει ποίει, καὶ χρῶ σώματι ὡς οἰκέτου· καὶ εἴτε ἀποκτείνειν θέλεις, ἕτοιμος, εἴτε βασανίζειν, ὅπως ἐθέλεις βασάνιζε· εἰς εὐνὴν δὲ τὴν σὴν οὐκ ἂν ἔλθοιμι, οὐδ' ἂν τοιαῦτα πεισθείην κελευούσῃ.

5 *Λαβοῦσα ταῦτα τὰ γράμματα ἡ Μαντὼ ἐν ὀργῇ ἀκατασχέτῳ γίνεται καὶ ἀναμίξασα πάντα, φθόνον, ζηλοτυπίαν, λύπην, φόβον, ἐνενόει ὅπως τιμωρήσεται τὸν ὑπερηφανοῦντα.*

6 *Καὶ δὴ ἐν τούτῳ ἔρχεται μὲν ἀπὸ Συρίας Ἄψυρτος, ἄγων τινὰ τῇ θυγατρὶ νυμφίον ἐκεῖθεν, Μοῖριν ὄνομα· ὡς δὲ ἀφίκετο, εὐθὺς ἡ Μαντὼ τὴν κατὰ Ἀβροκόμου τέχνην συνετάττετο, καὶ σπαράξασα τὰς κόμας καὶ περιρρηξαμένη τὴν ἐσθῆτα, ὑπαντήσασα τῷ πατρὶ καὶ προσπεσοῦσα πρὸς τὰ γόνατα "οἰκτειρον" ἔφη, "πάτερ, θυγατέρα τὴν σὴν ὑβρισμένην ὑπ' οἰκέ-*

7 *του· ὁ γὰρ σώφρων Ἀβροκόμης ἐπείρασε μὲν παρθενίαν τὴν ἐμὴν ἀφανίσαι, ἐπεβούλευσε δὲ καὶ σοί, λέγων ἐρᾶν μου. Σὺ οὖν ὑπὲρ τηλικούτων τολμημάτων εἴσπραξαι παρ' αὐτοῦ τιμωρίαν τὴν ἀξίαν, ἢ εἰ δίδως ἔκδοτον θυγατέρα τὴν σὴν τοῖς οἰκέταις, ἐμαυτὴν φθάσασα ἀποκτενῶ."*

6 *Ἀκούσας ὁ Ἄψυρτος καὶ δόξας ἀληθῆ λέγειν αὐτὴν ἠρεύνησε μὲν τὸ πραχθὲν οὐκέτι, μεταπεμψάμενος δὲ τὸν Ἀβροκόμην "ὦ τολμηρὰ καὶ μιαρὰ" εἶπε· "κεφαλή, ἐτόλμησας εἰς δεσπότας τοὺς σοὺς ὑβρίσαι καὶ διαφθεῖραι παρθένον ἠθέλησας οἰκέτης ὤν; ἀλλ' οὔτι χαιρήσεις· ἐγὼ γάρ σε τιμωρήσομαι καὶ τοῖς ἄλλοις οἰκέταις τὴν σὴν αἰκίαν ποιήσομαι παράδειγμα."*

2 *Εἰπὼν οὐκέτι ἀνασχόμενος οὐδὲ λόγου ἀκοῦσαι ἐκέλευσε περιρρῆξαι τὴν ἐσθῆτα αὐτοῦ τοῖς οἰκέταις καὶ*

3 *φέρειν πῦρ καὶ μάστιγας καὶ παίειν τὸ μειράκιον. Ἦν*

δὲ τὸ θέαμα ἐλεεινόν· αἵ τε γὰρ ..... τὸ σῶμα
πᾶν ἠφάνιζον βασάνων ἄηθες ὂν οἰκετικῶν, τό τε
αἷμα κατέρρει καὶ τὸ κάλλος ἐμαραίνετο. Προσῆγεν 4
αὐτῷ καὶ δεσμὰ φοβερὰ καὶ πῦρ καὶ μάλιστα ἐχρῆτο
5 ταῖς βασάνοις κατ' αὐτοῦ, τῷ νυμφίῳ τῆς θυγατρὸς
ἐνδεικνύμενος ὅτι σώφρονα παρθένον ἄξεται. Ἐν 5
τούτῳ ἡ Ἄνθεια προσπίπτει τοῖς γόνασι τοῦ Ἀψύρτου
καὶ ἐδεῖτο ὑπὲρ Ἀβροκόμου· ὁ δὲ "ἀλλὰ καὶ μᾶλλον"
ἔφη "διὰ σὲ κολασθήσεται, ὅτι καὶ σὲ ἠδίκησε, γυ-
10 ναῖκα ἔχων ἄλλης ἐρῶν." Καὶ τότε ἐκέλευσε δήσαντας
αὐτὸν ἐγκαθεῖρξαί τινι οἰκήματι σκοτεινῷ.

Καὶ ὁ μὲν ἐδέδετο καὶ ἦν ἐν εἱρκτῇ, δεινὴ δὲ αὐ- 7
τὸν ἀθυμία καταλαμβάνει καὶ μάλιστα ἐπεὶ Ἄνθειαν
οὐχ ἑώρα· ἐζήτει δὲ θανάτου τρόπους πολλούς, ἀλλ'
15 εὗρισκεν οὐδένα, πολλῶν τῶν φρουρούντων ὄντων.
Ὁ δὲ Ἄψυρτος ἐποίει τῆς θυγατρὸς τοὺς γάμους καὶ
ἑώρταζον πολλαῖς ἡμέραις. Ἄνθεια δὲ πάντα πένθος 2
ἦν, καὶ εἴ ποτε δυνηθείη πεῖσαι τοὺς ἐπὶ τοῦ δεσμω-
τηρίου, εἰσῄει πρὸς Ἀβροκόμην λανθάνουσα καὶ κατ- 3
20 ωδύρετο τὴν συμφοράν. Ὡς δὲ ἤδη παρεσκευάζοντο
εἰς Συρίαν ἀπιέναι, προύπεμψεν ὁ Ἄψυρτος τὴν θυ-
γατέρα μετὰ δώρων πολλῶν, ἐσθῆτάς τε Βαβυλωνίας
καὶ χρυσὸν ἄφθονον καὶ ἄργυρον ἐδίδου· ἐδωρήσατο δὲ
τῇ θυγατρὶ Μαντοῖ τὴν Ἄνθειαν καὶ τὴν Ῥόδην καὶ τὸν
25 Λεύκωνα. Ὡς οὖν ταῦτα ἔγνω ἡ Ἄνθεια καὶ ὅτι εἰς 4
Συρίαν ἀναχθήσεται μετὰ Μαντοῦς, δυνηθεῖσα εἰσελ-
θεῖν εἰς τὸ δεσμωτήριον, περιπλεξαμένη τῷ Ἀβρο-
κόμῃ "δέσποτα" εἶπεν, "εἰς Συρίαν ἄγομαι δῶρον δο-
θεῖσα τῇ Μαντοῖ καὶ εἰς χεῖρας τῆς ζηλοτυπούσης
30 ἄγομαι· σὺ δὲ ἐν τῷ δεσμωτηρίῳ μείνας οἰκτρῶς 5
ἀποθνήσκεις, οὐκ ἔχων οὐδὲ ὅστις σου τὸ σῶμα κο-

3 post κατέρρει: πᾶν

σμήσει· ἀλλ' ὀμνύω σοι τὸν ἀμφοτέρων δαίμονα ὡς ἐγὼ μενῶ σὴ καὶ ζῶσα κἂν ἀποθανεῖν δεήσῃ."

Ταῦτα λέγουσα ἐφίλει τε αὐτὸν καὶ περιέβαλλε καὶ τὰ δεσμὰ ἠσπάζετο καὶ τῶν ποδῶν προυκυλίετο.

8 Τέλος δὲ ἡ μὲν ἐξῄει τοῦ δεσμωτηρίου, ὁ δὲ ὡς εἶχεν ἑαυτὸν ἐπὶ γῆς ῥίψας ἔστενεν, ἔκλαεν "ὦ πάτερ" λέγων "φίλτατε, ὦ μῆτερ Θεμιστώ· ποῦ μὲν ἡ ἐν Ἐφέσῳ δοκοῦσά ποτ' εὐδαιμονία; ποῦ δ' οἱ λαμπροὶ καὶ οἱ περίβλεπτοι Ἄνθεια καὶ Ἀβροκόμης, οἱ καλοί; ἡ μὲν οἴχεται πόρρω ποι τῆς γῆς αἰχμάλωτος, ἐγὼ δὲ καὶ τὸ μόνον ἀφῄρημαι παραμύθιον, καὶ τεθνήξομαι [ὁ] δυστυχὴς ἐν δεσμωτηρίῳ μόνος."

2 Ταῦτα λέγοντα αὐτὸν ὕπνος καταλαμβάνει, καὶ αὐτῷ ὄναρ ἐφίσταται. Ἔδοξεν ἰδεῖν αὐτοῦ τὸν πατέρα Λυκομήδην ἐν ἐσθῆτι μελαίνῃ πλανώμενον κατὰ πᾶσαν γῆν καὶ θάλατταν, ἐπιστάντα δὲ τῷ δεσμωτηρίῳ λῦσαί τ' αὐτὸν καὶ ἀφιέναι ἐκ τοῦ οἰκήματος· αὐτὸν δ' ἵππον γενόμενον ἐπὶ πολλὴν φέρεσθαι γῆν διώκοντα ἵππον ἄλλην θήλειαν, καὶ τέλος εὑρεῖν τὴν ἵππον καὶ ἄνθρωπον γενέσθαι. Ταῦτα ὡς ἔδοξεν ἰδεῖν, ἀνέθορέ τε καὶ μικρὰ εὔελπις ἦν.

9 Ὁ μὲν οὖν ἐν τῷ δεσμωτηρίῳ κατεκέκλειστο, ἡ δὲ Ἄνθεια εἰς Συρίαν ἤγετο καὶ ὁ Λεύκων καὶ ἡ Ῥόδη. Ὡς δὲ ἦκον οἱ περὶ τὴν Μαντὼ εἰς Ἀντιόχειαν (ἐκεῖθεν γὰρ ἦν Μοῖρις), ἐμνησικάκει μὲν τὴν Ῥόδην, ἐμί-
2 σει δὲ καὶ τὴν Ἄνθειαν. Καὶ δὴ τὴν μὲν Ῥόδην εὐθὺς μετὰ τοῦ Λεύκωνος κελεύει ἐμβιβάσαντάς τινας πλοίῳ [ὡς] πορρωτάτω τῆς Σύρων ἀποδόσθαι γῆς, τὴν δὲ Ἄνθειαν οἰκέτῃ συνουσιάζειν ἐνενόει καὶ ταῦτα τῶν ἀτιμοτάτων, αἰπόλῳ τινὶ ἀγροίκῳ, ἡγουμένη διὰ
3 τούτου τιμωρήσεσθαι αὐτήν. Μεταπέμπεται δὲ τὸν αἰπόλον, Λάμπωνα τοὔνομα, καὶ παραδίδωσι τὴν

Ἄνθειαν καὶ κελεύει γυναῖκα ἔχειν, καὶ ἐὰν ἀπειθῇ προσέταξε βιάζεσθαι. Καὶ ἡ μὲν ἤγετο ἐπ' ἀγρὸν συν- 4
εσομένη τῷ αἰπόλῳ· γενομένη δὲ ἐν τῷ χωρίῳ ἔνθα ὁ Λάμπων ἔνεμε τὰς αἶγας, προσπίπτει τοῖς γόνασιν αὐτοῦ καὶ ἱκετεύει κατοικτεῖραι καὶ ** τηρῆσαι· διηγεῖται δὲ ἥτις ἦν, τὴν προτέραν εὐγένειαν, τὸν ἄνδρα, τὴν αἰχμαλωσίαν· ἀκούσας δὲ ὁ Λάμπων οἰκτείρει τὴν κόρην καὶ ὄμνυσιν ἢ μὴν φυλάξειν ἀμόλυντον, καὶ θαρρεῖν παρεκελεύετο.

Καὶ ἡ μὲν παρὰ τῷ αἰπόλῳ ἦν ἐν τῷ χωρίῳ πάντα 10
χρόνον Ἀβροκόμην θρηνοῦσα· ὁ δὲ Ἄψυρτος ἐρευνώμενος τὸ οἰκημάτιον ἔνθα ὁ Ἀβροκόμης πρὸ τῆς κολάσεως διῆγεν, ἐπιτυγχάνει τῷ γραμματιδίῳ τῷ Μαντοῦς πρὸς Ἀβροκόμην καὶ γνωρίζει τὰ γράμματα, καὶ ὅτι ἀδίκως Ἀβροκόμην τιμωρεῖται ἔμαθεν· εὐθὺς οὖν λῦσαί τε αὐτὸν προσέταξε καὶ ἀγαγεῖν εἰς ὄψιν. Πόνηρα δὲ καὶ ἐλεεινὰ πεπονθὼς προσπίπτει 2
τοῖς γόνασι τοῖς Ἀψύρτου, ὁ δὲ αὐτὸν ἀνίστησι καὶ "θάρρει" ἔφη, "ὦ μειράκιον· ἀδίκως σου κατέγνων πεισθεὶς θυγατρὸς λόγοις· ἀλλὰ νῦν μέν σε ἐλεύθερον ἀντὶ δούλου ποιήσω, δίδωμι δέ σοι τῆς οἰκίας ἄρχειν τῆς ἐμῆς καὶ γυναῖκα ἄξομαι τῶν πολιτῶν τινος θυγατέρα· σὺ δὲ μὴ μνησικακήσῃς τῶν γεγενημένων, οὐ γὰρ ἑκών σε ἠδίκησα." Ταῦτα ἔλεγεν ὁ 3
Ἄψυρτος· ὁ δὲ Ἀβροκόμης "ἀλλὰ χάρις" ἔφη "σοι, δέσποτα, ὅτι καὶ τἀληθὲς ἔμαθες καὶ τῆς σωφροσύνης ἀμείβη με." Ἔχαιρον δὲ πάντες οἱ κατὰ τὴν οἰκίαν ὑπὲρ Ἀβροκόμου καὶ χάριν ἤδεσαν ὑπὲρ αὐτοῦ τῷ δεσπότῃ· αὐτὸς δὲ ἐν μεγάλῃ συμφορᾷ κατ' Ἄνθειαν ἦν· ἐνενόει δὲ πρὸς ἑαυτὸν πολλάκις "τί δεῖ ἐλευθερίας ἐμοί; τί δὲ πλούτων καὶ ἐπιμελείας τῶν Ἀψύρ-

του χρημάτων; οὐ τοιοῦτον εἶναί με δεῖ· ἐκείνην ἢ ζῶσαν ἢ τεθνεῶσαν εὕροιμι."

4 Ὁ μὲν οὖν ἐν τούτοις ἦν, διοικῶν μὲν τὰ Ἀψύρτου, ἐννοῶν δὲ ὅπως καὶ ποῦ τὴν Ἄνθειαν εὑρήσει· ὁ δὲ Λεύκων καὶ ἡ Ῥόδη ἤχθησαν εἰς Λυκίαν εἰς πόλιν Ξάνθον (ἀνώτερον δὲ θαλάσσης ἡ πόλις) κἀντεῦθα ἐπράθησαν πρεσβύτῃ τινί, ὃς αὐτοὺς εἶχε μετὰ πάσης ἐπιμελείας, παῖδας αὐτοῦ νομίζων, καὶ γὰρ ἄτεκνος ἦν· διῆγον δὲ ἐν ἀφθόνοις μὲν πᾶσιν, ἐλύπουν δὲ αὐτοὺς Ἄνθεια καὶ Ἀβροκόμης οὐχ ὁρώμενοι.

11 Ἡ δὲ Ἄνθεια ἦν μέν τινα χρόνον παρὰ τῷ αἰπόλῳ, συνεχὲς δὲ ὁ Μοῖρις ὁ ἀνὴρ τῆς Μαντοῦς εἰς τὸ χωρίον ἐρχόμενος ἐρᾷ τῆς Ἀνθείας σφοδρὸν ἔρωτα. Καὶ τὰ μὲν πρῶτα ἐπειρᾶτο λανθάνειν, τελευταῖον δὲ λέγει τῷ αἰπόλῳ τὸν ἔρωτα καὶ πολλὰ ὑπισχνεῖτο

2 συγκύψαντι. Ὁ δὲ τῷ μὲν Μοίριδι συντίθεται, δεδοικὼς δὲ τὴν Μαντὼ ἔρχεται πρὸς αὐτὴν καὶ λέγει τὸν ἔρωτα τὸν Μοίριδος. Ἡ δὲ ἐν ὀργῇ γενομένη "πασῶν" ἔφη "δυστυχεστάτη γυναικῶν ἐγώ· τὴν ζήλην περιάγομαι, δι' ἣν τὰ μὲν πρῶτα ἐν Φοινίκῃ ἁφῃρέθην [τοῦ] ἐρωμένου, νυνὶ δὲ κινδυνεύω [περὶ] τοῦ ἀνδρός· ἀλλ' οὐ καίρουσά γε Ἄνθεια φανεῖται καλὴ καὶ Μοίριδι· ἐγὼ γὰρ αὐτὴν καὶ ὑπὲρ τῶν ἐν Τύρῳ πράξομαι δίκας."

3 Τότε μὲν οὖν τὴν ἡσυχίαν ἦγαγεν· ἀποδημήσαντος δὲ τοῦ Μοίριδος μεταπέμπεται τὸν αἰπόλον καὶ κελεύει λαβόντα τὴν Ἄνθειαν εἰς τὸ δασύτατον ἀγαγόντα τῆς ὕλης ἀποκτεῖναι καὶ τούτου μισθὸν αὐτῷ

4 δώσειν ὑπέσχετο. Ὁ δὲ οἰκτείρει μὲν τὴν κόρην, δεδοικὼς δὲ τὴν Μαντὼ ἔρχεται παρὰ τὴν Ἄνθειαν καὶ λέγει τὰ κατ' αὐτῆς δεδογμένα. Ἡ δὲ ἀνεκώκυέ τε καὶ ἀνωδύρετο "φεῦ" λέγουσα, "τοῦτο τὸ κάλλος ἐπίβου-

λον ἀμφοτέροις πανταχοῦ· διὰ τὴν ἄκαιρον εὐμορφίαν Ἀβροκόμης μὲν ἐν Τύρῳ τέθνηκεν, ἐγὼ δὲ ἐνταῦθα· ἀλλὰ δέομαι σοῦ, Λάμπων αἰπόλε, ὃς μέχρι νῦν εὐσέβησας, ἂν ἀποκτείνῃς, κἂν ὀλίγον θάψον με τῇ παρακειμένῃ γῇ καὶ ὀφθαλμοῖς τοῖς ἐμοῖς χεῖρας ἐπίβαλε τὰς σὰς καὶ θάπτων συνεχὲς Ἀβροκόμην κάλει· αὕτη γένοιτ' ἂν εὐδαίμων ἐμοὶ μεθ' Ἀβροκόμου ταφή."

Ἔλεγε ταῦτα, ὁ δὲ αἰπόλος εἰς οἶκτον ἔρχεται ἐννοῶν ὡς ἀνόσιον ἔργον ἐργάσεται κόρην οὐδὲν ἀδικοῦσαν ἀποκτείνων οὕτω καλήν. Λαβὼν δὲ τὴν κόρην ὁ αἰπόλος φονεῦσαι μὲν οὐκ ἠνέσχετο, φράζει δὲ πρὸς αὐτὴν τάδε. "Ἄνθεια, οἶδας ὅτι ἡ δέσποινα Μαντὼ ἐκέλευσέ μοι λαβεῖν καὶ φονεῦσαί σε· ἐγὼ δὲ καὶ θεοὺς δεδιὼς καὶ τὸ κάλλος οἰκτείρας βούλομαί σε μᾶλλον πωλῆσαι πόρρω ποι τῆς γῆς ταύτης, μὴ μαθοῦσα ἡ Μαντὼ ὅτι οὐ τέθνηκας, ἐμὲ κακῶς διαθήσει. Ἡ δὲ μετὰ δακρύων λαβομένη τῶν ποδῶν αὐτοῦ ἔφη "θεοὶ καὶ Ἄρτεμι πατρῴα, τὸν αἰπόλον ὑπὲρ τούτων τῶν ἀγαθῶν ἀμείψασθε," καὶ παρεκάλει πραθῆναι. Ὁ δὲ αἰπόλος λαβόμενος τῆς Ἀνθείας ᾤχετο ἐπὶ τὸν λιμένα· εὑρὼν δὲ ἐκεῖ ἐμπόρους ἄνδρας Κίλικας ἀπέδοτο τὴν κόρην, καὶ λαβὼν τὴν ὑπὲρ αὐτῆς τιμὴν ἦκεν εἰς τὸν ἀγρόν. Οἱ δὲ ἔμποροι λαβόντες τὴν Ἄνθειαν εἰς τὸ πλοῖον ἦγον καὶ νυκτὸς ἐπελθούσης ἦεσαν τὴν ἐπὶ Κιλικίας· ἐναντίῳ δὲ πνεύματι κατεχόμενοι καὶ τῆς νεὼς διαρραγείσης μόλις ἐν σανίδι τινὲς σωθέντες ἐπ' αἰγιαλοῦ τινος ἦλθον· εἶχον δὲ καὶ τὴν Ἄνθειαν. Ἦν δὲ ἐν τῷ τόπῳ ἐκείνῳ ὕλη

17 post ἐμέ: μᾶλλον

δασεῖα. Τὴν οὖν νύκτα ἐκείνην πλανώμενοι ἐν αὐτῇ ὑπὸ τῶν περὶ τὸν Ἱππόθοον τὸν ληστὴν συνελήφθησαν.

12 Ἐν δὲ τούτῳ τις ἦκεν ἀπὸ τῆς Συρίας οἰκέτης παρὰ τῆς Μαντοῦς γράμματα κομίζων τῷ πατρὶ Ἀψύρτῳ τάδε

Ἔδωκάς με ἀνδρὶ ἐν ξένῃ· Ἄνθειαν δέ, ἣν μετὰ τῶν ἄλλων οἰκετῶν ἐδωρήσω μοι, πολλὰ διαπραξαμένην κακὰ εἰς ἀγρὸν οἰκεῖν ἐκελεύσαμεν. Ταύτην συνεχῶς ἐν τῷ χωρίῳ θεώμενος ὁ καλὸς Μοῖρις ἐρᾷ· μηκέτι δὲ φέρειν δυναμένη μετεπεμψάμην τὸν αἰπόλον καὶ τὴν κόρην προθῆναι ἐκέλευσα ἐν πόλει τινὶ τῆς Συρίας.

2 Ταῦτα μαθὼν ὁ Ἀβροκόμης οὐκέτι μένειν ἐκαρτέρει· λαθὼν οὖν τὸν Ἄψυρτον καὶ πάντας τοὺς κατὰ τὸν οἶκον εἰς ἐπιζήτησιν τῆς Ἀνθείας ἔρχεται. Ἐλθὼν οὖν ἐν τῷ ἀγρῷ ἔνθα μετὰ τοῦ αἰπόλου ἡ Ἄνθεια διέτριβεν, ** ἄγει δὴ παρὰ τὸν αἰγιαλὸν τὸν Λάμπωνα τὸν αἰπόλον, ᾧ πρὸς γάμον ἐδεδώκει τὴν Ἄνθειαν ἡ Μαντώ, ἐδεῖτο δὲ τοῦ Λάμπωνος εἰπεῖν αὐτῷ εἴ τι
3 οἶδε περὶ κόρης ἐκ Τύρου. Ὁ δὲ αἰπόλος καὶ τοὔνομα εἶπεν ὅτι Ἄνθεια καὶ τὸν γάμον καὶ τὴν εὐσέβειαν τὴν περὶ αὐτὴν καὶ τὸν Μοίριδος ἔρωτα καὶ τὸ πρόσταγμα τὸ κατ' αὐτῆς καὶ τὴν εἰς Κιλικίαν ὁδόν· ἔλεγέ τε ὡς ἀεί τινος Ἀβροκόμου μέμνηται ἡ κόρη. Ὁ δὲ αὐτὸν ὅστις ἦν οὐ λέγει, ἔωθεν δὲ ἀναστὰς ἤλαυνε τὴν ἐπὶ Κιλικίας ἐλπίζων Ἄνθειαν εὑρήσειν ἐκεῖ.

13 Οἱ δὲ περὶ τὸν Ἱππόθοον τὸν ληστὴν ἐκείνης μὲν τῆς νυκτὸς ἔμειναν εὐωχούμενοι, τῇ δὲ ἑξῆς περὶ τὴν θυσίαν ἐγίνοντο. Παρεσκευάζετο δὲ πάντα καὶ ἀγάλ-
2 ματα τοῦ Ἄρεος καὶ σῦλα καὶ στεφανώματα· ἔδει δὲ

---

1 post αὐτῇ: τῇ ὕλῃ
11 post προθῆναι: πάλιν

τὴν θυσίαν γενέσθαι τρόπῳ τῷ συνήθει. Τὸ μέλλον ἱερεῖον θύεσθαι, εἴτε ἄνθρωπος εἴτε βόσκημα εἴη, κρεμάσαντες ἐκ δένδρου καὶ διαστάντες ἠκόντιζον· καὶ ὁπόσοι μὲν ἐπέτυχον, τούτων ὁ θεὸς ἐδόκει δέχεσθαι τὴν θυσίαν· ὁπόσοι δὲ ἀπέτυχον, αὖθις ἐξιλάσκοντο· ἔδει δὲ τὴν Ἄνθειαν οὕτως ἱερουργηθῆναι. Ὡς δὲ πάντα ἕτοιμα ἦν καὶ κρεμᾶν τὴν κόρην ἤθελον, ψόφος τῆς ὕλης ἠκούετο καὶ ἀνθρώπων κτύπος. Ἦν δὲ ὁ τῆς εἰρήνης τῆς ἐν Κιλικίᾳ προεστώς, Περίλαος τοὔνομα, ἀνὴρ τῶν τὰ πρῶτα ἐν Κιλικίᾳ δυναμένων. Οὗτος ὁ Περίλαος ἐπέστη τοῖς λῃσταῖς μετὰ πλήθους πολλοῦ καὶ πάντας ἀπέκτεινεν, ὀλίγους δὲ καὶ ζῶντας ἔλαβε· μόνος δὲ ὁ Ἱππόθοος ἠδυνήθη διαφυγεῖν ἁράμενος τὰ ὅπλα. Ἔλαβε δὲ τὴν Ἄνθειαν Περίλαος καὶ πυθόμενος τὴν μέλλουσαν συμφορὰν ἠλέησεν· εἶχε δὲ ἄρα μεγάλης ἀρχὴν συμφορᾶς ὁ ἔλεος Ἀνθείας· ἄγει δὲ αὐτὴν καὶ τοὺς συλληφθέντας τῶν λῃστῶν εἰς Ταρσὸν τῆς Κιλικίας. Ἡ δὲ συνήθης αὐτὸν τῆς κόρης ὄψις εἰς ἔρωτα ἤγαγε, καὶ κατὰ μικρὸν ἐαλώκει Περίλαος Ἀνθείας. Ὡς δὲ ἦκον εἰς Ταρσόν, τοὺς μὲν λῃστὰς εἰς τὴν εἱρκτὴν παρέδωκε, τὴν δὲ Ἄνθειαν ἐθεράπευεν. Ἦν δὲ οὔτε γυνὴ τῷ Περιλάῳ οὔτε παῖδες, καὶ περιβολὴ χρημάτων οὐκ ὀλίγη. Ἔλεγεν οὖν πρὸς τὴν Ἄνθειαν ὡς πάντα ἂν αὐτὴ γένοιτο Περιλάῳ, γυνὴ καὶ δεσπότις καὶ παῖδες. Ἡ δὲ τὰ μὲν πρῶτα ἀντεῖχεν, οὐκ ἔχουσα δὲ ὅ τι ποιήσειε βιαζομένῳ καὶ πολλῷ ἐγκειμένῳ, δείσασα μὴ καί τι τολμήσῃ βιαιότερον, συγκατατίθεται μὲν τὸν γάμον, ἱκετεύει δὲ αὐτὸν ἀναμεῖναι χρόνον ὀλίγον ὅσον ἡμερῶν τριάκοντα, καὶ ἄχραντον τηρῆσαι· καὶ σκήπτεται ** ὁ δὲ Περίλαος πείθεται καὶ ἐπόμνυται τηρήσειν αὐτὴν γάμων ἁγνὴν εἰς ὅσον ἂν ὁ χρόνος διέλθῃ.

14 Καὶ ἡ μὲν ἐν Ταρσῷ ἦν μετὰ Περιλάου, τὸν χρόνον ἀναμένουσα τοῦ γάμου· ὁ δὲ Ἀβροκόμης ἤει τὴν ἐπὶ Κιλικίας ὁδόν· καὶ [οὐ] πρὸ πολλοῦ τοῦ ἄντρου τοῦ λῃστρικοῦ (ἀπεπεπλάνητο γὰρ καὶ αὐτὸς τῆς ἐπ'
2 εὐθὺ ὁδοῦ) συντυγχάνει τῷ Ἱπποθόῳ ὡπλισμένῳ. Ὁ δὲ αὐτὸν ἰδὼν προστρέχει καὶ φιλοφρονεῖται καὶ δεῖται κοινωνὸν γενέσθαι τῆς ὁδοῦ. "Ὁρῶ γάρ σε, ὦ μειράκιον, ὅστις ποτὲ εἶ, καὶ ὀφθῆναι καλὸν καὶ ἄλλως ἀνδρικόν· καὶ ἡ πλάνη φαίνεται πάντως ἀδικουμέ-
3 νου. Ἴωμεν οὖν Κιλικίαν μὲν ἀφέντες ἐπὶ Καππαδοκίαν καὶ τὸν ἐκεῖ Πόντον· λέγονται γὰρ οἰκεῖν ἄν-
4 δρες εὐδαίμονες." Ὁ δὲ Ἀβροκόμης τὴν μὲν Ἀνθείας ξήτησιν οὐ λέγει, συγκατατίθεται δὲ ἀναγκάζοντι τῷ Ἱπποθόῳ, καὶ ὅρκους ποιοῦσι συνεργήσειν τε καὶ συλλήψεσθαι· ἤλπιζε δὲ καὶ ὁ Ἀβροκόμης ἐν τῇ πολλῇ πλάνῃ τὴν Ἀνθειαν εὑρήσειν.

Γ

1 Ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἐπανελθόντες εἰς τὸ ἄντρον, εἴ τι αὐτοῖς ἔτι περιττὸν ἦν, αὐτοὺς καὶ τοὺς ἵππους ἀνελάμβανον· ἦν γὰρ [καὶ] τῷ Ἱπποθόῳ ἵππος ἐν τῇ ὕλῃ κρυπτόμενος· τῇ δὲ ἑξῆς παρῆεσαν μὲν
2 Κιλικίαν, ἐποιοῦντο δὲ τὴν ὁδὸν ἐπὶ Μάζακον, πόλιν τῆς Καππαδοκίας μεγάλην καὶ καλήν. Ἐκεῖθεν γὰρ Ἱππόθοος ἐνενόει συλλεξάμενος νεανίσκους ἀκμάζοντας συστήσασθαι πάλιν τὸ λῃστήριον. Ἰοῦσι δὲ αὐτοῖς διὰ κωμῶν μεγάλων πάντων ἦν ἀφθονία τῶν ἐπιτηδείων· καὶ γὰρ ὁ Ἱππόθοος ἐμπείρως εἶχε τῆς Καππαδοκῶν φωνῆς, καὶ αὐτῷ πάντες ὡς οἰκείῳ προσε-

φέροντο. Διανύσαντες δὲ τὴν ὁδὸν ἡμέραις δέκα εἰς 3
Μάζακον ἔρχονται κἀνταῦθα πλησίον τῶν πυλῶν εἰσ-
ῳκίσαντο καὶ ἔγνωσαν ἑαυτοὺς ἡμερῶν τινων ἐκ τοῦ
καμάτου θεραπεῦσαι. Καὶ δὴ εὐωχουμένων αὐτῶν 4
ἐστέναξεν ὁ Ἱππόθοος καὶ ἐπεδάκρυσεν· ὁ δὲ Ἀβρο-
κόμης ἤρετο αὐτὸν τίς ἡ αἰτία τῶν δακρύων. Καὶ ὃς
"μεγάλα" ἔφη "τἀμὰ διηγήματα καὶ πολλὴν ἔχοντα
τραγῳδίαν." Ἐδεῖτο Ἀβροκόμης εἰπεῖν, ὑπισχνούμε- 5
νος καὶ τὰ καθ' αὑτὸν διηγήσεσθαι. Ὁ δ' ἀναλαβὼν
ἄνωθεν (μόνοι δ' ἐτύγχανον ὄντες) διηγεῖται τὰ
καθ' αὑτόν.

"Ἐγὼ" ἔφη "εἰμὶ τὸ γένος πόλεως Περίνθου 2
(πλησίον δὲ τῆς Θρᾴκης ἡ πόλις) τῶν τὰ πρῶτα ἐκεῖ
δυναμένων· ἀκούεις δὲ καὶ τὴν Πέρινθον ὡς ἔνδο-
ξος, καὶ τοὺς ἄνδρας ὡς εὐδαίμονες ἐνταῦθα. Νέος 2
ὢν ἠράσθην μειρακίου καλοῦ· ἦν δὲ τὸ μειράκιον
τῶν ἐπιχωρίων· ὄνομα Ὑπεράνθης ἦν αὐτῷ. Ἠρά-
σθην δὲ τὰ πρῶτα ἐν γυμνασίοις διαπαλαίοντα ἰδὼν
καὶ οὐκ ἐκαρτέρησα. Ἑορτῆς [[οὖν]] ἀγομένης ἐπιχω- 3
ρίου καὶ παννυχίδος ἐπ' αὐτῆς πρόσειμι τῷ Ὑπεράνθῃ
καὶ ἱκετεύω κατοικτεῖραι· ἀκοῦσαν δὲ τὸ μειράκιον
πάντα ὑπισχνεῖται κατελεῆσάν με. Καὶ τὰ πρῶτά γε 4
τοῦ ἔρωτος ὁδοποιεῖ φιλήματα καὶ ψαύσματα καὶ
πολλὰ παρ' ἐμοῦ δάκρυα· τέλος δὲ ἠδυνήθημεν καιρο-
ῦ λαβόμενοι γενέσθαι μετ' ἀλλήλων μόνοι καὶ τὸ
τῆς ἡλικίας ἀνύποπτον ἦν. Καὶ χρόνῳ συνῆμεν πολλῷ,
στέργοντες ἀλλήλους διαφερόντως, ἕως δαίμων τις
ἡμῖν ἐνεμέσησε. Καὶ ἔρχεταί τις ἀπὸ Βυζαντίου (πλη- 5
σίον δὲ τὸ Βυζάντιον τῇ Περίνθῳ) ἀνὴρ τῶν τὰ πρῶτα

15 post ἐνταῦθα: ἐκεῖ
26 post ἡλικίας: ἀλλήλοις

ἐκεῖ δυναμένων, ἐπὶ πλούτῳ καὶ περιουσίᾳ μέγα φρο-
6 νῶν· Ἀριστόμαχος ἐκαλεῖτο. Οὗτος εὐθὺς ἐπιβὰς τῇ
Περίνθῳ, ὡς ὑπό τινος ἀπεσταλμένος κατ' ἐμοῦ θεοῦ,
ὁρᾷ τὸν Ὑπεράνθην σὺν ἐμοὶ καὶ εὐθέως ἁλίσκεται,
τοῦ μειρακίου θαυμάσας τὸ κάλλος, πάντα ὁντινοῦν
7 ἐπάγεσθαι δυνάμενον. Ἐρασθεὶς δὲ οὐκέτι μετρίως
κατεῖχε τὸν ἔρωτα, ἀλλὰ τὰ μὲν πρῶτα τῷ μειρακίῳ **
προσέπεμπεν· ὡς δ' ἀδύνατον ἦν αὐτῷ (ὁ γὰρ Ὑπεράν-
θης διὰ τὴν πρὸς ἐμὲ εὔνοιαν οὐδένα προσίετο), πεί-
θει τὸν πατέρα αὐτοῦ, πονηρὸν ἄνδρα καὶ ἐλάττονα
8 χρημάτων· ὁ δὲ αὐτῷ δίδωσι τὸν Ὑπεράνθην προ-
φάσει διδασκαλίας· ἔλεγε γὰρ εἶναι λόγων τεχνίτης.
Παραλαβὼν δὲ αὐτὸν τὰ μὲν πρῶτα κατάκλειστον
9 εἶχε, μετὰ τοῦτο δὲ ἀπῆρεν ἐς Βυζάντιον. Εἰπόμην
κἀγώ, πάντων καταφρονήσας τῶν ἐμαυτοῦ, καὶ ὅσα
ἐδυνάμην συνήμην τῷ μειρακίῳ· ἐδυνάμην δὲ ὀλίγα,
καί μοι φίλημα σπάνιον ἔγίνετο καὶ λαλιὰ δυσχερής·
10 ἐφρουρούμην γὰρ ὑπὸ πολλῶν. Τελευταῖον [δ'] οὐκ-
έτι καρτερῶν, ἐμαυτὸν παροξύνας ἐπάνειμι εἰς Πέ-
ρινθον καὶ πάντα ὅσα ἦν μοι κτήματα ἀποδόμενος,
συλλέξας ἀργύριον εἰς Βυζάντιον ἔρχομαι καὶ λαβὼν
ξιφίδιον (συνδοκοῦν τοῦτο καὶ τῷ Ὑπεράνθῃ) εἴσειμι
νύκτωρ εἰς τὴν οἰκίαν τοῦ Ἀριστομάχου καὶ εὑρίσκω
συγκατακείμενον τῷ παιδὶ καὶ ὀργῆς πλησθεὶς παίω
11 τὸν Ἀριστόμαχον καιρίαν. Ἡσυχίας δὲ οὔσης καὶ πάν-
των ἀναπαυομένων ἔξειμι ὡς εἶχον λαθών, ἐπαγόμε-
νος καὶ τὸν Ὑπεράνθην, καὶ δι' ὅλης [τῆς] νυκτὸς
ὁδεύσας εἰς Πέρινθον, εὐθὺς νεὼς ἐπιβὰς οὐδενὸς
12 εἰδότος ἔπλεον εἰς Ἀσίαν. Καὶ μέχρι μέν τινος διη-
νύετο εὐτυχῶς ὁ πλοῦς· τελευταῖον δὲ κατὰ Λέσβον
ἡμῖν γενομένοις ἐμπίπτει πνεῦμα σφοδρὸν καὶ ἀνα-
τρέπει τὴν ναῦν. Κἀγὼ μὲν τῷ Ὑπεράνθῃ συνενη-

χόμην ὑπιὼν αὐτὸν καὶ κουφοτέραν τὴν νῆξιν ἐποιούμην· νυκτὸς δὲ γενομένης οὐκέτι ἐνεγκὸν τὸ μειράκιον παρείθη τῷ κολύμβῳ καὶ ἀποθνήσκει. Ἐγὼ δὲ 13
τοσοῦτον ἠδυνήθην τὸ σῶμα διασῶσαι ἐπὶ τὴν γῆν καὶ θάψαι· καὶ πολλὰ δακρύσας καὶ στενάξας, ἀφελὼν λείψανα καὶ δυνηθεὶς εὐπορῆσαί που ἑνὸς ἐπιτηδείου λίθου στήλην ἐπέστησα τῷ τάφῳ καὶ ἐπέγραψα εἰς μνήμην τοῦ δυστυχοῦς μειρακίου ἐπίγραμμα παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν πλασάμενος

Ἱππόθοος κλεινῷ τεῦξεν τόδε ⟦σῆμ'⟧ Ὑπεράνθῃ,
οὐ τάφον ἐκ θανάτου ἀγαθὸν ἱεροῖο πολίτου
ἐς βάθος ἐκ γαίης, ἄνθος κλυτόν, ὅν ποτε δαίμων
ἥρπασεν ἐν πελάγει μεγάλου πνεύσαντος ἀήτου.

Τοὐντεῦθεν δὲ εἰς μὲν Πέρινθον ἐλθεῖν οὐ διέγνων, 14
ἑτράπην δὲ δι' Ἀσίας ἐπὶ Φρυγίαν τὴν μεγάλην καὶ Παμφυλίαν· κἀνταῦθα ἀπορίᾳ βίου καὶ ἀθυμίᾳ τῆς συμφορᾶς ἐπέδωκα ἐμαυτὸν λῃστηρίῳ. Καὶ τὰ μὲν πρῶτα ὑπηρέτης λῃστηρίου γενόμενος, τελευταῖον δὲ περὶ Κιλικίαν αὐτὸς συνεστησάμην λῃστήριον, εὐδοκιμῆσαν ἐπὶ πολύ, ἕως ἐλήφθησαν οἱ σὺν ἐμοὶ οὐ πρὸ πολλοῦ τοῦ σε ἰδεῖν. Αὕτη μὲν ἡ τῶν ἐμῶν διηγη- 15
μάτων τύχη· σὺ δέ, ὦ φίλτατε, εἰπέ μοι τὰ σεαυτοῦ· δῆλος γὰρ εἶ μεγάλῃ τινὶ ἀνάγκῃ τῇ κατὰ τὴν πλάνην χρώμενος."

Λέγει δὲ ὁ Ἀβροκόμης ὅτι Ἐφέσιος καὶ ὅτι ἠρά- 3
σθη κόρης καὶ ὅτι ἔγημεν αὐτὴν καὶ τὰ μαντεύματα καὶ τὴν ἀποδημίαν καὶ τοὺς πειρατὰς καὶ τὸν Ἄψυρτον καὶ τὴν Μαντὼ καὶ τὰ δεσμὰ καὶ τὴν φυγὴν καὶ τὸν αἰπόλον καὶ τὴν μέχρι Κιλικίας ὁδόν. Ἔτι λέγον- 2
τος αὐτοῦ συνανεθρήνησεν ὁ Ἱππόθοος λέγων "ὦ πατέρες ἐμοί, ὦ πατρίς, ἣν οὔποτε ὄψομαι, ὦ πάντων μοι Ὑπεράνθη φίλτατε· σὺ μὲν οὖν, Ἀβροκόμη, καὶ

ὄψει τὴν ἐρωμένην καὶ ἀπολήψει χρόνῳ ποτέ· ἐγὼ δὲ
3 Ὑπεράνθην ἰδεῖν οὐκέτι δυνήσομαι." Λέγων ἐδείκνυέ τε τὴν κόμην καὶ ἐπεδάκρυεν αὐτῇ. Ὡς δὲ ἱκανῶς ἐθρήνησαν ἀμφότεροι, ἀποβλέψας εἰς τὸν Ἀβροκόμην ὁ Ἱππόθοος "ἄλλο" ἔφη "σοι διήγημα παρῆλ-
4 θον οὐκ εἰπών· πρὸ ὀλίγου τοῦ τὸ λῃστήριον ἁλῶναι ἐπέστη τῷ ἄντρῳ κόρη καλὴ πλανωμένη, τὴν ἡλικίαν ἔχουσα τὴν αὐτὴν σοί, καὶ πατρίδα ἔλεγε τὴν σήν· πλέον γὰρ οὐδὲν ἔμαθον· ταύτην ἔδοξε τῷ Ἄρει θῦσαι. Καὶ δὴ πάντα ἦν παρεσκευασμένα καὶ ἐπέστησαν οἱ διώκοντες· κἀγὼ μὲν ἐξέφυγον, ἡ δὲ οὐκ οἶδα
5 ὅ τι ἐγένετο. Ἦν δὲ καλὴ πάνυ, Ἀβροκόμη, καὶ ἐσταλμένη λιτῶς· κόμη ξανθή, χαρίεντες ὀφθαλμοί." Ἔτι λέγοντος αὐτοῦ ἀνεβόησεν Ἀβροκόμης "τὴν ἐμὴν Ἀνθειαν ἑώρακας, Ἱππόθοε· ποῖ δὲ ἄρα καὶ πέφευγε; τίς δὲ αὐτὴν ἔχει γῆ; Ἐπὶ Κιλικίαν τραπώμεθα, ἐκεί-
6 νην ζητήσωμεν, οὐκ ἔστι πόρρω τοῦ λῃστηρίου. Ναί, πρὸς αὐτῆς σε ψυχῆς Ὑπεράνθους, μή με ἑκὼν ἀδικήσῃς, ἀλλ' ἴωμεν ὅπου δυνησόμεθα Ἀνθειαν εὑρεῖν." Ὑπισχνεῖται ὁ Ἱππόθοος πάντα ποιήσειν, ἔλεγε δὲ ἀνθρώπους δεῖν ὀλίγους συλλέξασθαι πρὸς ἀσφάλειαν τῆς ὁδοῦ.

7 Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν, ἐννοοῦντες ὅπως ὀπίσω τὴν εἰς Κιλικίαν ἐλεύσονται· τῇ δὲ Ἀνθείᾳ αἱ τριάκοντα παρεληλύθεσαν ἡμέραι καὶ παρεσκευάζετο τῷ Περιλάῳ τὰ περὶ τὸν γάμον, καὶ ἱερεῖα κατήγετο ἐκ τῶν χωρίων, πολλὴ δὲ ἡ τῶν ἄλλων ἀφθονία· συμπαρῆσαν δὲ αὐτῷ οἵ τε οἰκεῖοι καὶ συγγενεῖς· πολλοὶ δὲ καὶ τῶν πολιτῶν συνεώρταζον τὸν Ἀνθείας γάμον.

---

5 post *σοί*: ὀλίγον

Ἐν δὲ τῷ χρόνῳ ὃν ἡ Ἄνθεια ληφθεῖσα ἐκ τοῦ 4
λῃστηρίου ἦλθεν εἰς τὴν Ταρσὸν πρεσβύτης Ἐφέσιος ἰατρὸς τὴν τέχνην, Εὔδοξος τοὔνομα· ἦκε δὲ ναυαγίᾳ περιπεσὼν εἰς Αἴγυπτον πλέων. Οὗτος 2
ὁ Εὔδοξος περιῄει μὲν καὶ τοὺς ἄλλους ἄνδρας, ὅσοι Ταρσέων εὐδοκιμώτατοι, οὓς μὲν ἐσθῆτας, οὓς δὲ ἀργύριον αἰτῶν, διηγούμενος ἑκάστῳ τὴν συμφοράν, προσῆλθε δὲ καὶ τῷ Περιλάῳ καὶ εἶπεν ὅτι Ἐφέσιος καὶ ἰατρὸς τὴν τέχνην. Ὁ δὲ αὐτὸν λαβὼν ἄγει πρὸς 3
τὴν Ἄνθειαν, ἡσθήσεσθαι νομίζων ἀνδρὶ ὀφθέντι Ἐφεσίῳ. Ἡ δὲ ἐφιλοφρονεῖτό τε τὸν Εὔδοξον καὶ ἀνεπυνθάνετο εἴ τι περὶ τῶν αὐτῆς λέγειν ἔχοι· ὁ δὲ * * ὅτι οὐδὲν ἐπίσταιτο μακρᾶς αὐτῷ τῆς ἀποδημίας τῆς ἀπὸ Ἐφέσου γεγενημένης· ἀλλ᾽ οὐδὲν ἧττον ἔχαιρεν αὐτῷ ἡ Ἄνθεια, ἀναμιμνησκομένη τῶν οἴκοι. Καὶ δὴ 4
συνήθης τε ἐγεγόνει τοῖς κατὰ τὴν οἰκίαν καὶ εἰσῄει παρ᾽ ἕκαστα πρὸς τὴν Ἄνθειαν, πάντων ἀπολαύων τῶν ἐπιτηδείων, ἀεὶ δεόμενος αὐτῆς εἰς Ἔφεσον παραπεμφθῆναι· καὶ γὰρ καὶ παῖδες ἦσαν αὐτῷ καὶ γυνή.

Ὡς οὖν πάντα τὰ περὶ τὸν γάμον ἐξετετέλεστο τῷ 5
Περιλάῳ, ἐφειστήκει δὲ ἡ ἡμέρα, δεῖπνον μὲν αὐτῷ πολυτελὲς ἡτοίμαστο καὶ ἡ Ἄνθεια ἐκεκόσμητο κόσμῳ νυμφικῷ· ἐπαύετο δὲ οὔτε νύκτωρ οὔτε μεθ᾽ ἡμέραν δακρύουσα, ἀλλ᾽ ἀεὶ πρὸ ὀφθαλμῶν εἶχεν Ἀβροκόμην. Ἐνενόει δὲ ἅμα πολλά, τὸν ἔρωτα, τοὺς 2
ὅρκους, τὴν πατρίδα, τοὺς πατέρας, τὴν ἀνάγκην, τὸν γάμον. Καὶ δὴ καθ᾽ αὑτὴν γενομένη, καιροῦ λαβομένη, σπαράξασα τὰς κόμας "ὦ πάντα ἄδικος ἐγὼ" φησὶ "καὶ πονηρά, ἥτις οὐχὶ τοῖς ἴσοις Ἀβροκόμην ἀμείβομαι. Ὁ μὲν γὰρ ἵνα ἐμὸς ἀνὴρ μείνῃ καὶ δεσμὰ 3

ὑπομένει καὶ βασάνους καὶ ἴσως που καὶ τέθνηκεν· ἐγὼ δὲ καὶ ἐκείνων ἀμνημονῶ καὶ γαμοῦμαι [ἡ] δυστυχής, καὶ τὸν ὑμέναιον ᾄσει τις ἐπ' ἐμοί, καὶ ἐπ' 4 εὐνὴν ἀφίξομαι τὴν Περιλάου. Ἀλλ', ὦ φιλτάτη μου πασῶν Ἀβροκόμου ψυχή, μηδέν τι ὑπὲρ ἐμοῦ λυπηθῇς, οὐ γὰρ [ἄν] ποτε ἐκοῦσα ἀδικήσαιμί σε· ἐλεύσομαι, καὶ μέχρι θανάτου μείνασα νύμφη σή."

5 Ταῦτα εἶπε καὶ ἀφικομένου παρ' αὐτὴν τοῦ Εὐδόξου τοῦ Ἐφεσίου ἰατροῦ ἀπαγαγοῦσα αὐτὸν ἐπ' οἰκημά τι ἠρεμαῖον προσπίπτει τοῖς γόνασιν αὐτοῦ καὶ ἱκετεύει μηδενὶ κατειπεῖν τῶν ῥηθησομένων μηδὲν καὶ ὁρκίζει τὴν πάτριον θεὸν Ἄρτεμιν ξυμπράξειν 6 πάντα ὅσα ἂν αὐτοῦ δεηθῇ. Ἀνίστησιν αὐτὴν ὁ Εὔδοξος πολλὰ θρηνοῦσαν καὶ θαρρεῖν παρεκάλει καὶ ἐπώμνυε, πάντα ποιήσειν ὑπισχνούμενος. Λέγει δὴ αὐτῷ τὸν Ἀβροκόμου ἔρωτα καὶ τοὺς ὅρκους τοὺς πρὸς ἐκεῖνον καὶ τὰς περὶ τῆς σωφροσύνης συνθήκας· 7 καὶ "εἰ μὲν ἦν ζῶσαν" ἔφη "μεταπολαβεῖν ζῶντα Ἀβροκόμην ἢ λαθεῖν ἀποδρᾶσαν ἐντεῦθεν, περὶ τούτων ἂν ἐβουλευόμην· ἐπειδὴ δὲ ὁ μὲν τέθνηκε, φυγεῖν δὲ ἀδύνατον καὶ τὸν μέλλοντα ἀμήχανον ὑπομεῖναι γάμον (οὔτε γὰρ τὰς συνθήκας παραβήσομαι τὰς πρὸς Ἀβροκόμην οὔτε τοὺς ὅρκους ὑπερόψομαι), σὺ τοίνυν βοηθὸς ἡμῖν γενοῦ, φάρμακον εὑρών ποθεν, ὃ κακῶν 8 με ἀπαλλάξει τὴν κακοδαίμονα. Ἔσται δὲ ἀντὶ τούτων σοι πολλὰ μὲν καὶ παρὰ τῶν θεῶν, οἷς ἐπεύξομαι καὶ πρὸ τοῦ θανάτου πολλάκις ὑπὲρ σοῦ, αὐτὴ δέ σοι καὶ ἀργύριον δώσω καὶ τὴν παραπομπὴν ἐπισκευάσω. Δυνήσῃ δὲ πρὸ τοῦ πυθέσθαι τινὰ ἐπιβὰς νεὼς τὴν ἐπ' Ἔφεσον πλεῖν· ἐκεῖ δὲ γενόμενος, ἀναζητήσας τοὺς γονεῖς Μεγαμήδη τε καὶ Εὐίππην ἄγ-

γελλε αὐτοῖς τὴν ἐμὴν τελευτὴν καὶ πάντα τὰ κατὰ τὴν ἀποδημίαν, [καὶ] ὅτι Ἀβροκόμης ἀπόλωλε λέγε."

Εἰποῦσα τῶν ποδῶν αὐτοῦ προυκυλίετο καὶ ἐδεῖτο 9
μηδὲν ἀντειπεῖν αὐτῇ δοῦναί τε τὸ φάρμακον. Καὶ
προκομίσασα εἴκοσι μνᾶς ἀργυρίου περιδέραιά τε αὐ-
τῆς (ἦν δὲ αὐτῇ πάντα ἄφθονα, πάντων γὰρ ἐξουσίαν
εἶχε τῶν Περιλάου) δίδωσι τῷ Εὐδόξῳ. Ὁ δὲ βουλευ-
σάμενος πολλὰ καὶ τὴν κόρην οἰκτείρας τῆς συμφορᾶς
καὶ τῆς εἰς Ἔφεσον ἐπιθυμῶν ὁδοῦ καὶ τοῦ ἀργυρίου
καὶ τῶν δώρων ἡττώμενος ὑπισχνεῖται δώσειν τὸ
φάρμακον, καὶ ἀπῄει κομιῶν. Ἡ δὲ ἐν τούτῳ πολλὰ 10
[μὲν] καταθρηνεῖ, τήν τε ἡλικίαν κατοδυρομένη τὴν
ἑαυτῆς καὶ ὅτι μέλλοι πρὸ ὥρας ἀποθανεῖσθαι λυπου-
μένη, πολλὰ δὲ Ἀβροκόμην ὡς παρόντα ἀνεκάλει.
Ἐν τούτῳ ὀλίγον διαλιπὼν ὁ Εὔδοξος ἔρχεται κομί- 11
ζων θανάσιμον [μὲν] οὐχὶ φάρμακον, ὑπνωτικὸν δέ,
ὡς μήτε τι παθεῖν τὴν κόρην καὶ αὐτὸν ἐφοδίων τυ-
χόντα ἀνασωθῆναι. Λαβοῦσα δὲ ἡ Ἄνθεια καὶ πολ-
λὴν γνοῦσα χάριν αὐτὸν ἀποπέμπει.

Καὶ ὁ μὲν εὐθὺς ἐπιβὰς νεὼς ἐπανήχθη, ἡ δὲ
καιρὸν ἐπιτήδειον ἐζήτει πρὸς τὴν πόσιν τοῦ φαρ-
μάκου.

Καὶ ἤδη μὲν νὺξ ἦν, παρεσκευάζετο δὲ ὁ Θάλα- 6
μος, καὶ ἦκον οἱ ἐπὶ τούτῳ τεταγμένοι τὴν Ἄνθειαν
ἐξάξοντες· ἡ δὲ ἄκουσα καὶ δεδακρυμένη ἐξῄει, ἐν τῇ
χειρὶ κρύπτουσα τὸ φάρμακον· καὶ ὡς πλησίον τοῦ
Θαλάμου γίνεται, οἱ οἰκεῖοι ἀνευφήμησαν τὸν ὑμέ-
ναιον· ἡ δὲ ἀνωδύρετο καὶ ἐδάκρυεν "οὕτως ἐγὼ" λέ- 2
γουσα "πρότερον ἡγόμην Ἀβροκόμῃ νυμφίῳ, καὶ παρ-
έπεμπεν ἡμᾶς πῦρ ἐρωτικόν, καὶ ὑμέναιος ᾖδετο
ἐπὶ γάμοις εὐδαίμοσι. Νυνὶ δὲ τί ποιήσεις, Ἄνθεια; 3
ἀδικήσεις Ἀβροκόμην τὸν ἄνδρα, τὸν ἐρώμενον, τὸν

διὰ σὲ τεθνηκότα; Οὐχ οὕτως ἄνανδρος ἐγὼ οὐδ' ἐν τοῖς κακοῖς δειλή. Δεδόχθω ταῦτα, πίνωμεν τὸ φάρμακον· Ἀβροκόμην εἶναί μοι δεῖ ἄνδρα· ἐκεῖνον καὶ
4 τεθνηκότα βούλομαι." Ταῦτα ἔλεγε καὶ ἤγετο εἰς τὸν θάλαμον. 5

Καὶ δὴ μόνη μὲν ἐγεγόνει, ἔτι γὰρ Περίλαος μετὰ τῶν φίλων εὐωχεῖτο· σκηψαμένη δὲ τῇ ἀγωνίᾳ ὑπὸ δίψους κατειλῆφθαι ἐκέλευσεν αὐτῇ τινι τῶν οἰκετῶν ὕδωρ ἐνεγκεῖν, ὡς δὴ πιομένη· καὶ δὴ κομισθέντος ἐκπώματος, λαβοῦσα οὐδενὸς ἔνδον αὐτῇ 10
παρόντος ἐμβάλλει τὸ φάρμακον καὶ δακρύσασα "ὦ
5 φιλτάτου" φησὶν "Ἀβροκόμου ψυχή, ἰδού σοι τὰς ὑποσχέσεις ἀποδίδωμι καὶ ὁδὸν ἔρχομαι τὴν παρὰ σέ, δυστυχῆ μὲν ἀλλ' ἀναγκαῖαν· καὶ δέχου με ἄσμενος καί μοι πάρεχε τὴν ἐκεῖ μετὰ σοῦ δίαιταν εὐδαίμονα." 15

Εἰποῦσα ἔπιε τὸ φάρμακον, καὶ εὐθὺς ὕπνος τε αὐτὴν κατεῖχε καὶ ἔπιπτεν εἰς γῆν, καὶ ἐποίει τὸ φάρμακον ὅσα ἐδύνατο.

7 Ὡς δὲ εἰσῆλθεν ὁ Περίλαος, εὐθὺς ἰδὼν τὴν Ἀνθειαν κειμένην ἐξεπλάγη καὶ ἀνεβόησε, θόρυβός τε 20
πολὺς τῶν κατὰ τὴν οἰκίαν ἦν καὶ πάθη συμμιγῆ, οἰμωγή, φόβος, ἔκπληξις. Οἱ μὲν ὤκτειρον τὴν δοκοῦσαν τεθνηκέναι, οἱ δὲ συνήχθοντο Περιλάῳ, πάντες
2 δὲ ἐθρήνουν τὸ γεγονός. Ὁ δὲ Περίλαος τὴν ἐσθῆτα περιρρηξάμενος, ἐπιπεσὼν τῷ σώματι "ὦ φιλτάτη μοι 25
κόρη" φησίν, "ὦ πρὸ τῶν γάμων καταλιποῦσα τὸν ἐρῶντα, ὀλίγαις ἡμέραις νύμφη Περιλάου γενομένη,
3 εἰς οἷόν σε θάλαμον τὸν τάφον ἄξομεν; εὐδαίμων ἄρα ὅστις ποτε Ἀβροκόμης ἦν· μακάριος ἐκεῖνος ὡς ἀληθῶς, τηλικαῦτα παρ' ἐρωμένης λαβὼν δῶρα." 30

Ὁ μὲν [[οὖν]] τοιαῦτα ἐθρήνει, περιεβεβλήκει δὲ ἅπασαν καὶ ἠσπάζετο χεῖράς τε καὶ πόδας "νύμφη"

λέγων "ἀθλία, γύναι δυστυχεστέρα." Ἐκόσμει δὲ 4
αὐτὴν πολλὴν [μὲν] ἐσθῆτα ἐνδύων, πολὺν δὲ περι-
θεὶς χρυσόν· καὶ οὐκέτι φέρων τὴν θέαν, ἡμέρας γε-
νομένης ἐνθέμενος κλίνῃ τὴν Ἄνθειαν (ἡ δὲ ἔκειτο
ἀναισθητοῦσα) ἦγεν εἰς τοὺς πλησίον τῆς πόλεως τά-
φους· κἀνταῦθα κατέθετο ἔν τινι οἰκήματι, πολλὰ
μὲν ἐπισφάξας ἱερεῖα, πολλὴν δὲ ἐσθῆτα καὶ κόσμον
ἄλλον ἐπικαύσας.

[Καὶ] ὁ μὲν ἐκτελέσας τὰ νομιζόμενα ὑπὸ τῶν οἰ- 8
κείων εἰς τὴν πόλιν ἦγετο· καταλειφθεῖσα δὲ ἐν τῷ
τάφῳ ἡ Ἄνθεια ἑαυτῆς γενομένη καὶ συνεῖσα ὅτι μὴ
τὸ φάρμακον θανάσιμον ἦν, στενάξασα καὶ δακρύ-
σασα "ὦ ψευσάμενόν με" φησίν, "ὦ κωλῦσαν ὁδεῦ-
σαι πρὸς τὸν Ἀβροκόμην ὁδὸν εὐτυχῆ· ἐσφάλην ἄρα
(πάντα καινὰ) καὶ τῆς ἐπιθυμίας τοῦ θανάτου. Ἀλλ' 2
ἔνεστί γε ἐν τῷ τάφῳ μείνασαν τὸ ἔργον ἐργάσασθαι
τοῦ φαρμάκου λιμῷ. Οὐ γὰρ [ἂν] ἐντεῦθέν μέ τις
ἀνέλοιτο, οὐδ' ἂν ἐπίδοιμι τὸν ἥλιον οὐδ' εἰς φῶς
ἐλεύσομαι." Ταῦτα εἰποῦσα ἐκαρτέρει, τὸν θάνατον
προσδεχομένη γενναίως.

Ἐν δὲ τούτῳ νυκτὸς ἐπιγενομένης λῃσταί τινες 3
μαθόντες ὅτι κόρη τέθαπται πλουσίως, καὶ πολὺς
μὲν αὐτῇ κόσμος συγκατάκειται γυναικεῖος, πολὺς δὲ
ἄργυρος καὶ χρυσός, ἦλθον ἐπὶ τὸν τάφον καὶ ἀναρ-
ρήξαντες τοῦ τάφου τὰς θύρας, εἰσελθόντες τόν τε
κόσμον ἀνῃροῦντο καὶ τὴν Ἄνθειαν ζῶσαν ὁρῶσι·
μέγα δὲ καὶ τοῦτο κέρδος ἡγούμενοι ἀνίστων τε αὐ-
τὴν καὶ ἄγειν ἐβούλοντο. Ἡ δὲ τῶν ποδῶν αὐτῶν 4
προκυλιομένη πολλὰ ἐδεῖτο "ἄνδρες, οἵτινές ποτ'
ἐστὲ" λέγουσα, "τὸν μὲν κόσμον τοῦτον ἅπαντα ὅστις

13 post με: τὸ φάρμακον

ἐστὶ καὶ ἅπαντα τὰ συνταφέντα λαβόντες κομίζετε,
φείσασθε δὲ τοῦ σώματος. Δυοῖν ἀνάκειμαι θεοῖς,
Ἔρωτι καὶ Θανάτῳ· τούτοις ἐάσατε σχολάσαι με.
Ναὶ πρὸς θεῶν αὐτῶν τῶν πατρῴων ὑμῖν, μή με
ἡμέρᾳ δείξητε τὴν ἄξια νυκτὸς καὶ σκότους δυστυ-
χοῦσαν." Ταῦτα ἔλεγεν· οὐκ ἔπειθε δὲ τοὺς λῃστάς,
ἀλλ' ἐξαγαγόντες αὐτὴν τοῦ τάφου κατήγαγον ἐπὶ
θάλατταν καὶ ἐνθέμενοι σκάφει τὴν εἰς Ἀλεξάνδρειαν
ἀνήγοντο· ἐν δὲ τῷ πλῷ ἐθεράπευον αὐτὴν καὶ θαρ-
6 ρεῖν παρεκάλουν. Ἡ δὲ ἐν οἷοις κακοῖς ἐγεγόνει ἐν-
νοήσασα, θρηνοῦσα καὶ ὀδυρομένη "πάλιν" ἔφησε
"λῃσταὶ καὶ θάλαττα, πάλιν αἰχμάλωτος ἐγώ· ἀλλὰ
7 νῦν δυστυχέστερον, ὅτι μὴ μετὰ Ἀβροκόμου. Τίς με
ἄρα ὑποδέξεται γῆ; τίνας δὲ ἀνθρώπους ὄψομαι; μὴ
Μοῖριν ἔτι, μὴ Μαντώ, μὴ Περίλαον, μὴ Κιλικίαν·
ἔλθοιμι δὲ ἔνθα κἂν τάφον Ἀβροκόμου μόνον ὄψο-
μαι." Ταῦτα ἑκάστοτε ἐδάκρυε καὶ αὐτὴ μὲν οὐ πό-
τον, οὐ τροφὴν προσίετο, ἠνάγκαζον δὲ οἱ λῃσταί.
9 Καὶ οἱ μὲν ἀνύσαντες ἡμέραις οὐ πολλαῖς τὸν
πλοῦν κατῆραν εἰς Ἀλεξάνδρειαν κἀνταῦθα ἐξεβί-
βασαν τὴν Ἀνθειαν καὶ διέγνωσαν ἐκ τοῦ πλοῦ ⟦ἀνε-
νεγκοῦσαν⟧ παραδοῦναί τισιν ἐμπόροις· ὁ δὲ Περίλαος
μαθὼν τὴν τοῦ τάφου διορυγὴν καὶ ⟦τὴν⟧ τοῦ σώματος
2 ἀπώλειαν ἐν πολλῇ καὶ ἀκατασχέτῳ λύπῃ ἦν. Ὁ δὲ
Ἀβροκόμης ἐζήτει καὶ ἐπολυπραγμόνει εἴ τις ἐπί-
σταιτο κόρην ποθὲν ξένην αἰχμάλωτον μετὰ λῃστῶν
ἀχθεῖσαν· ὡς δὲ οὐδὲν εὗρεν, ἀποκαμὼν ἦλθεν οὗ
κατήγοντο. Λεῖπνον δὲ αὐτοῖς οἱ περὶ τὸν Ἱππόθοον
3 παρεσκεύασαν. Καὶ οἱ μὲν ἄλλοι ἐδειπνοποιοῦντο, ὁ
δὲ Ἀβροκόμης πάνυ ἄθυμος ἦν καὶ αὐτὸν ἐπὶ τῆς εὐ-

10 post ἐγεγόνει: πάλιν

νῆς ῥίψας ἔκλαε καὶ ἔκειτο οὐδὲν προσιέμενος. Προ- 4
ιόντος δὲ τοῦ πότου εὐκαίρως τοῖς περὶ τὸν Ἱππό-
θοον παροῦσά τις πρεσβῦτις ἄρχεται διηγήματος, ἧ
ὄνομα Χρυσίον. "Ἀκούσατε" ἔφη, "ὦ ξένοι, πάθους
οὐ πρὸ πολλοῦ γενομένου ἐν τῇ πόλει. Περίλαός τις, 5
ἀνὴρ τῶν τὰ πρῶτα δυναμένων, ἄρχειν μὲν ἐχειρο-
τονήθη τῆς εἰρήνης τῆς ἐν Κιλικίᾳ, ἐξελθὼν δὲ ἐπὶ
ληστῶν ζήτησιν, ἤγαγέ τινας συλλαβὼν ληστὰς καὶ
μετ' αὐτῶν κόρην καλὴν καὶ ταύτην ἔπεισεν αὐτῷ
γαμηθῆναι. Καὶ πάντα μὲν τὰ πρὸς τὸν γάμον ἐξετε- 6
τέλεστο· ἡ δὲ εἰς τὸν θάλαμον εἰσελθοῦσα, εἴτε μα-
νεῖσα εἴτε ἄλλου τινὸς ἐρῶσα, πιοῦσα φάρμακόν πο-
θεν ἀποθνήσκει· οὗτος γὰρ ὁ τοῦ θανάτου τρόπος
αὐτῆς ἐλέγετο." Ἀκούσας ὁ Ἱππόθοος "αὕτη" ἔφησεν
"ἐστὶν ἡ κόρη, ἣν Ἀβροκόμης ζητεῖ." Ὁ δὲ Ἀβροκό- 7
μης ἤκουε μὲν τοῦ διηγήματος, παρεῖτο δὲ ὑπὸ ἀθυ-
μίας· ὀψὲ δὲ * * καὶ ἀναθορῶν ἐκ τῆς τοῦ Ἱπποθόου
φωνῆς "ἀλλὰ νῦν μὲν σαφῶς τέθνηκεν Ἄνθεια καὶ
τάφος ἴσως αὐτῆς ἐστιν ἐνθάδε καὶ τὸ σῶμα σώζεται."
Λέγων ἐδεῖτο τῆς πρεσβύτιδος τῆς Χρυσίου ἄγειν 8
ἐπὶ τὸν τάφον αὐτῆς καὶ δεῖξαι τὸ σῶμα· ἡ δὲ ἀναστε-
νάξασα "τοῦτο γὰρ" ἔφη "τῇ κόρῃ [[τῇ]] ταλαιπώρῳ
τὸ δυστυχέστατον· ὁ μὲν γὰρ Περίλαος καὶ ἔθαψεν
αὐτὴν πολυτελῶς καὶ ἐκόσμησε· πυθόμενοι δὲ τὰ
συνταφέντα λησταί, ἀνορύξαντες τὸν τάφον τόν τε
κόσμον ἀνείλοντο καὶ τὸ σῶμα ἀφανὲς ἐποίησαν· ἐφ'
οἷς πολλὴ καὶ μεγάλη ζήτησις ὑπὸ Περιλάου γίνεται."
Ἀκούσας ὁ Ἀβροκόμης περιερρήξατο τὸν χιτῶνα 10
καὶ μεγάλως ἀνωδύρετο καλῶς μὲν καὶ σωφρόνως
ἀποθανοῦσαν Ἄνθειαν, δυστυχῶς δὲ μετὰ τὸν θά-
νατον ἀπολομένην. "Τίς ἄρα ληστὴς οὕτως ἐρωτικός, 2
ἵνα καὶ νεκρᾶς ἐπιθυμήσῃ σου; ἵνα καὶ τὸ σῶμα ἀφέ-

ληται; Ἀπεστερήθην σοῦ ὁ δυστυχὴς τῆς μόνης ἐμοὶ
3 παραμυθίας. Ἀποθανεῖν [μὲν] οὖν ἔγνωσται πάντως·
ἀλλὰ τὰ πρῶτα καρτερήσω, μέχρι οὗ τὸ σῶμα εὕρω
τὸ σὸν καὶ περιβαλὼν ἐμαυτὸν ἐκείνῳ συγκαταθά-
ψω." Ταῦτα ἔλεγεν ὀδυρόμενος· θαρρεῖν δὲ αὐτὸν
παρεκάλουν οἱ περὶ τὸν Ἱππόθοον.

4 Καὶ τότε μὲν ἀνεπαύσαντο δι' ὅλης [τῆς] νυκτός·
ἔννοια δὲ πάντων Ἀβροκόμην εἰσήρχετο, Ἀνθείας,
τοῦ θανάτου, τοῦ τάφου, τῆς ἀπωλείας. Καὶ δὴ οὐκ-
έτι καρτερῶν, λαθὼν πάντας (ἔκειντο δὲ ὑπὸ μέθης
οἱ περὶ τὸν Ἱππόθοον) ἔξεισιν ὡς δή τινος χρήζων,
καὶ καταλιπὼν πάντας ἐπὶ τὴν θάλατταν ἔρχεται καὶ
ἐπιτυγχάνει νεὼς εἰς Ἀλεξάνδρειαν ἀναγομένης, καὶ
ἐπιβὰς ἀνάγεται [ἐλπίζων] δὴ τοὺς λῃστὰς τοὺς συ-
λήσαντας πάντα ἐν Αἰγύπτῳ καταλήψεσθαι· ὠδήγει
5 δὲ αὐτὸν εἰς ταῦτα ἐλπὶς δυστυχής. Καὶ ὁ μὲν ἔπλει
τὴν ἐπ' Ἀλεξανδρείας, ἡμέρας δὲ γενομένης οἱ περὶ
τὸν Ἱππόθοον ἠνιῶντο μὲν ἐπὶ τῷ ἀπαλλαγῆναι τοῦ
Ἀβροκόμου, ἀναλαβόντες δ' αὐτοὺς ἡμερῶν ὀλίγων
ἔγνωσαν τὴν ἐπὶ Συρίας καὶ Φοινίκης λῃστεύοντες
λέναι.

11 Οἱ δὲ λῃσταὶ τὴν Ἄνθειαν εἰς Ἀλεξάνδρειαν παρ-
έδωκαν ἐμπόροις πολὺ λαβόντες ἀργύριον· οἱ δὲ
ἔτρεφόν τε αὐτὴν πολυτελῶς καὶ τὸ σῶμα ἐθεράπευον, ζητοῦντες ἀεὶ τὸν ὠνησόμενον κατ' ἀξίαν.
2 Ἔρχεται δή τις εἰς Ἀλεξάνδρειαν ἐκ τῆς Ἰνδικῆς τῶν
ἐκεῖ βασιλέων κατὰ θέαν τῆς πόλεως καὶ κατὰ χρείαν
3 ἐμπορίας, Ψάμμις τοὔνομα. Οὗτος ὁ Ψάμμις ὁρᾷ
τὴν Ἄνθειαν παρὰ τοῖς ἐμπόροις καὶ ἰδὼν ἁλίσκεται
καὶ ἀργύριον δίδωσι τοῖς ἐμπόροις πολὺ καὶ λαμβά-
4 νει θεράπαιναν αὐτήν. Ὠνησάμενος δὲ ἄνθρωπος
βάρβαρος εὐθὺς ἐπιχειρεῖ βιάζεσθαι καὶ χρῆσθαι πρὸς

συνουσίαν· οὐ θέλουσα δὲ τὰ μὲν πρῶτα ἀντέλεγε, τελευταῖον δὲ σκήπτεται πρὸς τὸν Ψάμμιν (δεισιδαίμονες δὲ φύσει βάρβαροι) ὅτι αὐτὴν ὁ πατὴρ γεννωμένην ἀναθείη τῇ Ἴσιδι μέχρι ὥρας γάμων καὶ ἔλεγεν ἔτι τὸν χρόνον ἐνιαυτῷ τίθεσθαι. "Ἦν οὖν" φησὶν "ἐξυβρίσῃς εἰς τὴν ἱερὰν τῆς θεοῦ, μηνίσει μὲν ἐκείνη, χαλεπὴ δὲ ἡ τιμωρία." Πείθεται Ψάμμις καὶ τὴν θεὸν προσεκύνει καὶ Ἀνθείας ἀπέχεται· ἡ δὲ ἔτι παρὰ Ψάμμιδι ἦν φρουρουμένη, ἱερὰ τῆς Ἴσιδος νομιζομένη.

Ἡ δὲ ναῦς ἡ τὸν Ἀβροκόμην ἔχουσα τοῦ μὲν κατ' Ἀλεξάνδρειαν πλοῦ διαμαρτάνει, ἐκπίπτει δὲ ἐπὶ τὰς ἐκβολὰς τοῦ Νείλου τήν τε Παραίτιον καλουμένην καὶ Φοινίκης ὅση παραθαλάσσιος. Ἐκπεσοῦσι δὲ αὐτοῖς ἐπιδραμόντες τῶν ἐκεῖ ποιμένων τά τε φορτία διαρπάζουσι καὶ τοὺς ἄνδρας δεσμεύουσι καὶ ἄγουσιν ὁδὸν ἔρημον πολλὴν εἰς Πηλούσιον τῆς Αἰγύπτου πόλιν, κἀνταῦθα πιπράσκουσιν ἄλλον ἄλλῳ. Ὠνεῖται δὴ τὸν Ἀβροκόμην πρεσβύτης στρατιώτης (ἦν δὲ πεπαυμένος), Ἄραξος τοὔνομα. Οὗτος ὁ Ἄραξος εἶχε γυναῖκα ὀφθῆναι μιαράν, ἀκουσθῆναι πολὺ χείρω, ἅπασαν ἀκρασίαν ὑπερβεβλημένην, Κυνὼ τοὔνομα. Αὕτη ἡ Κυνὼ ἐρᾷ τοῦ Ἀβροκόμου εὐθὺς ἀχθέντος εἰς τὴν οἰκίαν καὶ οὐκέτι κατεῖχε· δεινὴ καὶ ἐρασθῆναι καὶ ἀπολαύειν ἐθέλειν τῆς ἐπιθυμίας. Ὁ μὲν δὴ Ἄραξος ἠγάπα τὸν Ἀβροκόμην καὶ παῖδα ἐποιεῖτο, ἡ δὲ Κυνὼ προσφέρει λόγον περὶ συνουσίας καὶ δεῖται πείθεσθαι καὶ ἄνδρα ἔξειν ὑπισχνεῖτο καὶ Ἄραξον ἀποκτενεῖν. Δεινὸν ἐδόκει τοῦτο Ἀβροκόμῃ, καὶ πολλὰ ἅμα ἐσκόπει, τὴν Ἀνθειαν, τοὺς ὅρκους, τὴν πολλάκις αὐτὸν σωφροσύνην ἀδικήσασαν ἤδη· τέλος δὲ ἐγκειμένης τῆς Κυνοῦς συγκατατίθεται. Καὶ νυ-

κτὸς γενομένης ἡ μὲν ὡς ἄνδρα ἔξουσα τὸν Ἀβροκόμην τὸν Ἄραξον ἀποκτιννύει καὶ λέγει τὸ πραχθὲν τῷ Ἀβροκόμῃ, ὁ δὲ οὐκ ἐνεγκὼν τὴν τῆς γυναικὸς ἀσέλγειαν ἀπηλλάγη τῆς οἰκίας, καταλιπὼν αὐτήν, 6 οὐκ ἄν ποτε μιαιφόνῳ συγκατακλιθῆναι φήσας. Ἡ δὲ ἐν αὐτῇ γενομένη, ἅμα τῇ ἡμέρᾳ προσελθοῦσα ἔνθα τὸ πλῆθος τῶν Πηλουσιωτῶν ἦν, ἀνωδύρετο τὸν ἄνδρα καὶ ἔλεγεν ὅτι αὐτὸν ὁ νεώνητος δοῦλος ἀποκτείνειε καὶ πολλὰ ὅσα ἐπεθρήνει καὶ ἐδόκει λέγειν τῷ πλήθει πιστά. Οἱ δὲ εὐθὺς συνέλαβον τὸν Ἀβροκόμην καὶ δήσαντες ἀνέπεμπον τῷ τῆς Αἰγύπτου τότε ἄρχοντι.

Δ

1 Καὶ ὁ μὲν δίκην δώσων εἰς Ἀλεξάνδρειαν ἤγετο ὑπὲρ ὧν ἐδόκει τὸν δεσπότην Ἄραξον ἀποκτεῖναι· οἱ δὲ περὶ τὸν Ἱππόθοον ἀπὸ Ταρσοῦ κινήσαντες ἦεσαν τὴν ἐπὶ Συρίας, πᾶν ὅ τι ἐμποδὼν λάβοιεν ὑποχείριον ποιούμενοι· ἐνέπρησαν δὲ καὶ κώμας καὶ ἄνδρας ἀπέσφαξαν πολλούς. Καὶ οὕτως ἀπελθόντες εἰς Λαοδίκειαν τῆς Συρίας ἔρχονται κἀνταῦθα ἐπεδήμουν οὐκέτι ὡς λῃσταί, ἀλλ' ὡς κατὰ θέαν τῆς πόλεως 2 ἥκοντες. Ἐνταῦθα ὁ Ἱππόθοος ἐπολυπραγμόνει [εἴ] ποθεν Ἀβροκόμην εὑρεῖν δυνήσεται· ὡς δ' οὐδὲν ἤνυε, ἀναλαβόντες αὐτούς, τὴν [ἐπὶ] Φοινίκης ἐτράποντο, κἀκεῖθεν ἐπ' Αἴγυπτον· ἐδόκει γὰρ αὐτοῖς 3 καταδραμεῖν Αἴγυπτον. Καὶ συλλεξάμενοι μέγα λῃστήριον ἔρχονται τὴν ἐπὶ Πηλουσίου καὶ τῷ ποταμῷ τῷ Νείλῳ πλεύσαντες εἰς Ἑρμοῦ πόλιν τῆς Αἰγύπτου

καὶ Σχεδίαν, ἐμβαλόντες εἰς διώρυγα τοῦ ποταμοῦ τὴν ὑπὸ Μενελάου γενομένην Ἀλεξάνδρειαν μὲν παρῆλθον, ἦλθον δὲ ἐπὶ Μέμφιν τὴν ἱερὰν τῆς Ἴσιδος, κἀκεῖθεν ἐπὶ Μένδην· παρέλαβον δὲ καὶ τῶν ἐπιχωρίων κοινωνοὺς τοῦ λῃστηρίου καὶ ἐξηγητὰς τῆς ὁδοῦ. Διελθόντες μὲν δὴ ταῦτα ἐπὶ Λεόντων ἔρχονται πόλιν καὶ ἄλλας παρελθόντες κώμας οὐκ ὀλίγας, ὧν αἱ πολλαὶ ἀφανεῖς, εἰς Κοπτὸν ἔρχονται τῆς Αἰθιοπίας πλησίον. Ἐνταῦθα ἔγνωσαν λῃστεύειν· πολὺ γὰρ πλῆθος ἐμπόρων τὸ διοδεῦον ἦν τῶν τε ἐπ' Αἰθιοπίαν καὶ τῶν ἐπὶ Ἰνδικὴν φοιτώντων· ἦν δὲ αὐτοῖς καὶ τὸ λῃστήριον ἀνθρώπων πεντακοσίων. Καταλαβόντες δὲ τῆς Αἰθιοπίας τὰ ἄκρα, καὶ πάντα καταστησάμενοι διέγνωσαν τοὺς παριόντας λῃστεύειν. 4 5 5 10

Ὁ δὲ Ἀβροκόμης ὡς ἦκε παρὰ τὸν ἄρχοντα τῆς Αἰγύπτου (ἐπεστάλκεσαν δὲ οἱ Πηλουσιῶται τὰ γενόμενα αὐτῷ καὶ τὸν τοῦ Ἀράξου φόνον καὶ ὅτι οἰκέτης ὢν τοιαῦτα ἐτόλμησε) μαθὼν οὖν ἕκαστα, οὐκέτι οὐδὲ πυθόμενος τὰ γενόμενα κελεύει τὸν Ἀβροκόμην ἀγαγόντας προσαρτῆσαι σταυρῷ. Ὁ δὲ ὑπὸ μὲν τῶν κακῶν ἀχανὴς ἦν, παρεμυθεῖτο δὲ αὐτὸν τῆς τελευτῆς ὅτι ἐδόκει καὶ Ἄνθειαν τεθνηκέναι. Ἄγουσι δὲ αὐτὸν οἷς τοῦτο προσετέτακτο παρὰ τὰς ὄχθας τοῦ Νείλου· ἦν δὲ κρημνὸς ἀπότομος εἰς [τὸ] ῥεῦμα τοῦ ποταμοῦ βλέπων· καὶ ἀναστήσαντες τὸν σταυρὸν προσαρτῶσι, σπάρτοις τὰς χεῖρας σφίγξαντες καὶ τοὺς πόδας· τοῦτο γὰρ τῆς ἀνασταυρώσεως ἔθος τοῖς ἐκεῖ· κἀταλιπόντες δὲ ᾤχοντο, ὡς ἐν ἀσφαλεῖ τοῦ προσηρτημένου μενοῦντος. Ὁ δὲ ἀναβλέψας εἰς τὸν ἥλιον καὶ τὸ ῥεῦμα ἰδὼν τοῦ Νείλου "ὦ θεῶν" φησὶ "φιλανθρωπότατε, ὃς Αἴγυπτον ἔχεις, δι' ὃν καὶ γῇ καὶ θάλασσα πᾶσιν ἀνθρώποις πέφηνεν, εἰ μέν τι 2 2 3 4

Ἀβροκόμης ἀδικῶ, καὶ ἀπολοίμην οἰκτρῶς καὶ μείζονα τιμωρίαν εἴ τις ἐστὶ ταύτης ὑποσχοίμι· εἰ δὲ ὑπὸ γυναικὸς προδέδομαι πονηρᾶς, μήτε τὸ Νείλου ῥεῦμα μιανθείη ποτε ἀδίκως ἀπολομένου σώματος, μήτε σὺ τοιοῦτον ἴδοις θέαμα, ἄνθρωπον οὐδὲν ἀδικήσαντα ἀπολλύμενον ἐπὶ τῆς σῆς." Ταῦτα εὔξατο, καὶ αὐτὸν ὁ θεὸς οἰκτείρει, καὶ πνεῦμα ἐξαίφνης ἀνέμου γίνεται καὶ ἐμπίπτει τῷ σταυρῷ καὶ ἀποβάλλει μὲν τοῦ κρημνοῦ τὸ γεῶδες, εἰς ὃ ἦν ὁ σταυρὸς ἐρηρεισμένος, ἐμπίπτει δὲ ὁ Ἀβροκόμης τῷ ῥεύματι καὶ ἐφέρετο οὔτε τοῦ ὕδατος αὐτὸν ἀδικοῦντος οὔτε τῶν δεσμῶν ἐμποδιζόντων οὔτε τῶν θηρίων παραβλαπτόντων, ἀλλὰ παραπέμποντος τοῦ ῥεύματος· φερόμενος δὲ εἰς τὰς ἐκβολὰς ἔρχεται [τὰς εἰς τὴν θάλασσαν] τοῦ Νείλου, κἀνταῦθα οἱ παραφυλάσσοντες λαμβάνουσιν αὐτὸν καὶ ὡς δραπέτην τῆς τιμωρίας ἄγουσι παρὰ τὸν διοικοῦντα τὴν Αἴγυπτον. Ὁ δὲ ἔτι μᾶλλον ὀργισθεὶς καὶ πονηρὸν εἶναι νομίσας τελέως κελεύει πυρὰν ποιήσαντας, ἐπιθέντας καταφλέξαι τὸν Ἀβροκόμην. Καὶ ἦν μὲν ἅπαντα παρεσκευασμένα, καὶ ἡ πυρὰ παρὰ τὰς ἐκβολὰς τοῦ Νείλου, καὶ ἐπετέθειτο μὲν ὁ Ἀβροκόμης καὶ τὸ πῦρ ὑπετέθειτο, ἄρτι δὲ τῆς φλογὸς μελλούσης ἅπτεσθαι τοῦ σώματος εὔχετο πάλιν ὀλίγα, ὅσα ἐδύνατο, σῶσαι αὐτὸν ἐκ τῶν καθεστώτων κακῶν. Κἀνταῦθα κυματοῦται μὲν ὁ Νεῖλος, ἐπιπίπτει δὲ τῇ πυρᾷ τὸ ῥεῦμα καὶ κατασβέννυσι τὴν φλόγα· θαῦμα δὲ τὸ γενόμενον τοῖς παροῦσιν ἦν, καὶ λαβόντες ἄγουσι τὸν Ἀβροκόμην πρὸς τὸν ἄρχοντα τῆς Αἰγύπτου καὶ λέγουσι τὰ συμβάντα καὶ τὴν τοῦ Νείλου βοήθειαν διηγοῦνται. Ἐθαύμασεν ἀκούσας τὰ γενόμενα καὶ ἐκέλευσεν αὐτὸν τηρεῖσθαι μὲν ἐν τῇ εἱρκτῇ, ἐπιμέλειαν δὲ ἔχειν

πᾶσαν, "ἕως" ἔφη "μάθωμεν ὅστις ὁ ἄνθρωπός ἐστιν καὶ ὅ τι οὕτως αὐτοῦ μέλει θεοῖς."

Καὶ ὁ μὲν ἦν ἐν τῇ εἱρκτῇ· ὁ δὲ Ψάμμις ὁ τὴν 3
Ἄνθειαν ὠνησάμενος διέγνω μὲν ἀπιέναι τὴν ἐπ' οἴ-
κου καὶ πάντα πρὸς τὴν ὁδοιπορίαν παρεσκευάζετο· 5
ἔδει δὲ αὐτὸν ὁδεύσαντα τὴν ἄνω Αἴγυπτον ἐπ' Αἰ-
θιοπίαν ἐλθεῖν, ἔνθα ἦν τὸ Ἱπποθόου λῃστήριον. Ἦν 2
δὲ πάντα εὐτρεπῆ, κάμηλοί τε πολλαὶ καὶ ὄνοι καὶ
ἵπποι σκευαγωγοί· ἦν δὲ πολὺ μὲν πλῆθος χρυσοῦ,
πολὺ δὲ ἀργύρου, πολλὴ δὲ ἐσθής· ἦγε δὲ καὶ τὴν 10
Ἄνθειαν. Ἡ δὲ ὡς Ἀλεξάνδρειαν παρελθοῦσα ἐγέ- 3
νετο ἐν Μέμφει, εὔχετο τῇ Ἴσιδι στᾶσα πρὸ τοῦ ἱεροῦ
"ὦ μεγίστη θεῶν, μέχρι μὲν νῦν ἁγνὴ μένω λογιζο-
μένη σή, καὶ γάμον ἄχραντον Ἀβροκόμῃ τηρῶ· τοὺν-
τεῦθεν δὲ ἐπὶ Ἰνδοὺς ἔρχομαι, μακρὰν μὲν τῆς Ἐφε- 15
σίων γῆς, μακρὰν δὲ τῶν Ἀβροκόμου λειψάνων. Ἢ 4
σῶσον οὖν ἐντεῦθεν τὴν δυστυχῆ καὶ ζῶντι ἀπόδος
Ἀβροκόμῃ, ἢ εἰ πάντως εἵμαρται χωρὶς ἀλλήλων
ἀποθανεῖν, ἔργασαι τοῦτο, μεῖναί με σωφρονοῦσαν
τῷ νεκρῷ." Ταῦτα εὔχετο, καὶ προήεσαν τῆς ὁδοῦ, 5 20
καὶ ἤδη μὲν διεληλύθεσαν Κοπτόν, ἐνέβαινον δὲ τοῖς
Αἰθιόπων ὅροις, καὶ αὐτοῖς Ἱππόθοος ἐπιπίπτει καὶ
αὐτὸν μὲν τὸν Ψάμμιν ἀποκτιννύει καὶ πολλοὺς τῶν
σὺν αὐτῷ καὶ τὰ χρήματα λαμβάνει καὶ τὴν Ἄνθειαν
αἰχμάλωτον· συλλεξάμενος δὲ τὰ ληφθέντα χρήματα 6 25
ἦγεν εἰς ἄντρον τὸ ἀποδεδειγμένον αὐτοῖς εἰς ἀπόθε-
σιν τῶν χρημάτων· ἐνταῦθα ἤγετο καὶ ἡ Ἄνθεια·
οὐκ ἐγνώριζε δὲ Ἱππόθοον, οὐδὲ Ἱππόθοος τὴν Ἄν-
θειαν. Ὁπότε δὲ αὐτῆς πύθοιτο ἥτις τε εἴη καὶ πό-
θεν, τὸ μὲν ἀληθὲς οὐκ ἔλεγεν, ἔφασκε δὲ Αἰγυπτία 30
εἶναι ἐπιχώριος, τοὔνομα Μεμφῖτις.

Καὶ ἡ μὲν ἦν παρὰ τῷ Ἱππόθοῳ ἐν τῷ ἄντρῳ τῷ 4

λῃστρικῷ· ἐν τούτῳ δὲ μεταπέμπεται τὸν Ἀβροκόμην
ὁ ἄρχων τῆς Αἰγύπτου καὶ πυνθάνεται τὰ κατ' αὐτὸν
καὶ μανθάνει τὸ διήγημα καὶ οἰκτείρει τὴν τύχην καὶ
δίδωσι χρήματα καὶ εἰς Ἔφεσον ἄξειν ὑπισχνεῖτο.
2 Ὁ δὲ ἅπασαν μὲν ἤδει χάριν αὐτῷ τῆς σωτηρίας,
ἐδεῖτο δὲ ἐπιτρέψαι ζητῆσαι τὴν Ἄνθειαν. Καὶ ὁ μὲν
πολλὰ δῶρα λαβών, ἐπιβὰς σκάφους ἀνήγετο τὴν ἐπ'
Ἰταλίας, [ὡς] ἐκεῖ πευσόμενός τι περὶ Ἀνθείας. Ὁ
δὲ ἄρχων τῆς Αἰγύπτου μαθὼν τὰ κατὰ τὸν Ἄραξον,
μεταπεμψάμενος ἀνεσταύρωσε τὴν Κυνώ.

5 Τῆς δὲ Ἀνθείας οὔσης ἐν τῷ ἄντρῳ ἐρᾷ τῶν
φρουρούντων αὐτὴν λῃστῶν εἷς, Ἀγχίαλος τοὔνομα.
Οὗτος ὁ Ἀγχίαλος ἦν μὲν τῶν ἀπὸ Συρίας Ἱπποθόῳ
συνεληλυθότων, Λαοδικεὺς τὸ γένος, ἐτιμᾶτο δὲ
παρὰ τῷ Ἱπποθόῳ νεανικός τε καὶ μεγάλα ἐν τῷ λῃ-
2 στηρίῳ δυνάμενος. Ἐρασθεὶς δὲ αὐτῆς τὰ μὲν πρῶτα
λόγους προσέφερεν ὡς πείσων καὶ ἔφασκε λόγῳ λή-
3 ψεσθαι καὶ παρὰ τοῦ Ἱπποθόου δῶρον αἰτήσειν. Ἡ
δὲ πάντα ἠρνεῖτο, καὶ οὐδὲν αὐτὴν ἐδυσώπει, οὐκ
ἄντρον, οὐ δεσμά, οὐ λῃστὴς ἀπειλῶν· ἐφύλασσε δὲ
ἑαυτὴν ἔτι Ἀβροκόμῃ καὶ δοκοῦντι τεθνηκέναι, καὶ
πολλάκις ἀνεβόα εἴποτε λαθεῖν ἠδύνατο "Ἀβροκόμου
μόνου γυνὴ μενῶ, κἂν ἀποθανεῖν δέῃ, κἂν ὧν πέ-
4 πονθα χείρω παθεῖν." Ταῦτα εἰς μείζω συμφορὰν
ἦγε τὸν Ἀγχίαλον, καὶ ἡ καθ' ἡμέραν τῆς Ἀνθείας
ὄψις ἐξέκαεν αὐτὸν εἰς τὸν ἔρωτα· οὐκέτι δὲ φέρειν
5 δυνάμενος, ἐπεχείρει βιάζεσθαι τὴν Ἄνθειαν. Καὶ
νύκτωρ ποτέ, οὐ παρόντος Ἱπποθόου, ἀλλὰ μετὰ τῶν
ἄλλων ὄντος ἐν τῷ λῃστηρίῳ, ἐπανίστατο καὶ ὑβρίζειν
ἐπειρᾶτο· ἡ δὲ ἐν ἀμηχάνῳ κακῷ γενομένη, σπασα-

8 post τι: μαθεῖν

μένη τὸ παρακείμενον ξίφος παίει τὸν Ἀγχίαλον, καὶ ἡ πληγὴ γίνεται καιρία· ὁ μὲν γὰρ περιληψόμενος καὶ φιλήσων ὅλος ἐνενεύκει πρὸς αὐτήν, ἡ δὲ κατεγκοῦσα τὸ ξίφος κατὰ τῶν στέρνων ἔπληξε.

Καὶ Ἀγχίαλος μὲν δίκην ἱκανὴν ἐδεδώκει τῆς πο- 6
νηρᾶς ἐπιθυμίας, ἡ δὲ Ἄνθεια εἰς φόβον τῶν δεδραμένων ἔρχεται καὶ πολλὰ ἐβουλεύετο ποτὲ μὲν ἑαυτὴν ἀποκτεῖναι (ἀλλ' ἔτι ὑπὲρ Ἀβροκόμου τι ἤλπιζε), ποτὲ δὲ φυγεῖν ἐκ τοῦ ἄντρου (ἀλλὰ τοῦτο ἀμήχανον ἦν· οὔτε γὰρ ἡ ὁδὸς αὐτῇ εὔπορος ἦν οὔτε ὁ ἐξηγησόμενος τὴν πορείαν). Ἔγνω οὖν μένειν ἐν τῷ ἄντρῳ καὶ φέρειν ὅ τι ἂν τῷ δαίμονι δοκῇ.

Κἀκείνην μὲν τὴν νύκτα ἔμεινεν, οὔτε ὕπνου τυ- 6
χοῦσα καὶ πολλὰ ἐννοοῦσα· ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ἦκον οἱ περὶ τὸν Ἱππόθοον καὶ ὁρῶσι τὸν Ἀγχίαλον ἀνῃρημένον καὶ τὴν Ἄνθειαν παρὰ τῷ σώματι καὶ εἰκάζουσι τὸ γενόμενον καὶ ἀνακρίναντες αὐτὴν μανθάνουσι πάντα. Ἔδοξεν οὖν αὐτοῖς ἐν ὀργῇ τὸ γενό- 2
μενον ἔχειν καὶ τὸν τεθνηκότα ἐκδικῆσαι φίλον· καὶ ἐβουλεύοντο κατὰ Ἀνθείας ποικίλα, ὁ μέν τις ἀποκτεῖναι κελεύων καὶ συνθάψαι τῷ Ἀγχιάλου σώματι, ἄλλος δὲ ἀναστανρῶσαι· ὁ δὲ Ἱππόθοος ἠνιᾶτο μὲν 3
ἐπὶ τῷ Ἀγχιάλῳ, ἐβουλεύετο δὲ κατὰ Ἀνθείας μείζονα κόλασιν· καὶ δὴ κελεύει τάφρον ὀρύξαντας μεγάλην καὶ βαθεῖαν ἐμβάλλειν τὴν Ἄνθειαν καὶ κύνας μετ' αὐτῆς δύο, ἵνα ἐκ τούτου μεγάλην δίκην ὑπόσχῃ τῶν τετολμημένων.

Καὶ οἱ μὲν ἐποίουν τὸ προσταχθέν, ἤγετο δὲ ἡ 4
Ἄνθεια ἐπὶ τὴν τάφρον καὶ οἱ κύνες· ἦσαν δὲ Αἰγύπτιοι, καὶ ταῦλλα μεγάλοι καὶ ὀφθῆναι φοβεροί. Ὡς δὲ ἐνεβλήθησαν, ξύλα ἐπιτιθέντες μεγάλα ἐπέχωσαν τὴν τάφρον (ἦν δὲ τοῦ Νείλου ὀλίγον ἀπέχουσα) καὶ

κατέστησαν φρουρὸν ἕνα τῶν λῃστῶν, Ἀμφίνομον
5 [[τοὔνομα]]. Οὗτος ὁ Ἀμφίνομος ἤδη μὲν καὶ πρότερον ἐαλώκει τῆς Ἀνθείας, τότε δ' οὖν ἠλέει μᾶλλον αὐτὴν καὶ τῆς συμφορᾶς ᾤκτειρεν· ἐνενόει δὲ ὅπως ἐπὶ πλέον αὐτὴ ζήσεται, ὅπως τε οἱ κύνες αὐτῇ μη- 5
δὲν ἐνοχλήσουσι, καὶ ἑκάστοτε ἀφαιρῶν τῶν ἐπικειμένων τῇ τάφρῳ ξύλων ἄρτους ἐνέβαλλε καὶ ὕδωρ παρεῖχε καὶ ἐκ τούτου τὴν Ἀνθειαν θαρρεῖν παρεκά-
6 λει. Καὶ οἱ κύνες τρεφόμενοι οὐδέν τι δεινὸν αὐτὴν εἰργάζοντο, ἀλλ' ἤδη τιθασοὶ ἐγίνοντο καὶ ἥμεροι· ἡ 10
δὲ Ἀνθεια ἀποβλέψασα εἰς ἑαυτὴν καὶ τὴν παροῦσαν τύχην ἐννοήσασα "οἴμοι" φησὶ "τῶν κακῶν, οἵαν ὑπομένω τιμωρίαν; τάφρος καὶ δεσμωτήριον καὶ κύνες συγκαθειργμένοι πολὺ τῶν λῃστῶν ἡμερώτεροι· τὰ
7 αὐτά, Ἀβροκόμη, σοι πάσχω· ἧς γάρ ποτε ἐν ὁμοίᾳ 15
τύχῃ καὶ σύ· καὶ σὲ ἐν Τύρῳ κατέλιπον ἐν δεσμωτηρίῳ· ἀλλ' εἰ μὲν ζῇς ἔτι, δεινὸν οὐδέν· ἴσως γάρ ποτε ἀλλήλους ἕξομεν· εἰ δὲ ἤδη τέθνηκας, μάτην ἐγὼ φιλοτιμοῦμαι ζῆν, μάτην δὲ οὗτος, ὅστις ποτέ ἐστιν, ἐλεεῖ με τὴν δυστυχῆ." Ταῦτα ἔλεγε καὶ ἐπεθρήνει 20
συνεχῶς.

E

1 Καὶ ἡ μὲν ἐν τῇ τάφρῳ κατεκέκλειστο μετὰ τῶν κυνῶν, ὁ δ' Ἀμφίνομος ἑκάστοτε κἀκείνην παρεμυθεῖτο καὶ τοὺς κύνας ἡμέρους ἐποίει τρέφων· ὁ δὲ Ἀβροκόμης διανύσας τὸν [[ἀπ']] Αἰγύπτου πλοῦν εἰς 25
αὐτὴν μὲν Ἰταλίαν οὐκ ἔρχεται (τὸ γὰρ πνεῦμα τὴν ναῦν ἁπῶσαν τοῦ κατ' εὐθὺ ἀπέσφηλε πλοῦ), ἤγαγε

δὲ εἰς Σικελίαν καὶ κατήχθησαν εἰς πόλιν Συρακούσας μεγάλην καὶ καλήν. Ἐνταῦθα ὁ Ἀβροκόμης γε- 2
νόμενος ἔγνω περιιέναι τὴν νῆσον καὶ ἀναζητεῖν εἴ τι
περὶ Ἀνθείας πύθοιτο. Καὶ δὴ ἐνοικίζεται πλησίον
τῆς θαλάττης παρὰ ἀνδρὶ Αἰγιαλεῖ πρεσβύτῃ, ἁλιεῖ
τὴν τέχνην. Οὗτος ὁ Αἰγιαλεὺς πένης μὲν ἦν καὶ ξέ-
νος καὶ ἀγαπητῶς αὐτὸν διέτρεφεν ἐκ τῆς τέχνης·
ὑπεδέξατο δὲ τὸν Ἀβροκόμην ἄσμενος καὶ παῖδα ἐνό-
μιζεν αὐτοῦ καὶ ἠγάπα διαφερόντως. Καὶ ἤδη ποτὲ 3
καὶ ἐκ πολλῆς τῆς πρὸς ἀλλήλους συνηθείας ὁ μὲν
Ἀβροκόμης αὐτῷ διηγήσατο τὰ καθ' αὑτόν, καὶ τὴν
Ἄνθειαν εἰρήκει καὶ τὸν ἔρωτα καὶ τὴν πλάνην, ὁ δὲ
Αἰγιαλεὺς ἄρχεται τῶν αὐτοῦ διηγημάτων.

"Ἐγὼ" ἔφη, "τέκνον Ἀβροκόμη, οὔτε Σικελιώτης 4
οὔτε ἐπιχώριος, ἀλλὰ Σπαρτιάτης Λακεδαιμόνιος
τῶν τὰ πρῶτα ἐκεῖ δυναμένων, καὶ περιουσίαν ἔχων
πολλήν. Νέος δὲ ὢν ἠράσθην κόρης πολίτιδος Θελ- 5
ξινόης τοὔνομα, ἀντερᾷ δέ μου καὶ ἡ Θελξινόη. Καὶ
τῇ πόλει παννυχίδος ἀγομένης συνήλθομεν ἀλλήλοις,
ἀμφοτέρους ὁδηγοῦντος [τοῦ] θεοῦ, καὶ ἀπελαύσαμεν
ὧν ἕνεκα συνήλθομεν. Καὶ χρόνῳ τινὶ ἀλλήλοις συν- 6
ήμεν λανθάνοντες καὶ ὠμόσαμεν ἀλλήλοις πολλάκις
στέρξειν καὶ μέχρι θανάτου· ἐνεμέσησε δέ τις ἄρα
θεῶν. Κἀγὼ μὲν ἔτι ἐν τοῖς ἐφήβοις ἦμην, τὴν δὲ
Θελξινόην ἐδίδοσαν πρὸς γάμον οἱ πατέρες ἐπιχωρίῳ
τινὶ νεανίσκῳ Ἀνδροκλεῖ τοὔνομα· ἤδη δὲ αὐτῆς καὶ
ἥρα ὁ Ἀνδροκλῆς. Τὰ μὲν οὖν πρῶτα ἡ κόρη πολλὰς 7
προφάσεις ἐποιεῖτο ἀναβαλλομένη τὸν γάμον· τελευ-
ταῖον δὲ δυνηθεῖσα ἐν ταὐτῷ μοι γενέσθαι συντίθε-
ται νύκτωρ ἐξελθεῖν Λακεδαίμονος μετ' ἐμοῦ. Καὶ

---

17 post ἠράσθην: ἐν τοῖς ἐφήβοις καταλελεγμένος

δὴ ἐστείλαμεν ἑαυτοὺς νεανικῶς, ἀπέκειρα δὲ καὶ
8 τὴν κόμην τῆς Θελξινόης. Ἐν αὐτῇ οὖν τῇ τῶν γάμων
νυκτὶ ἐξελθόντες τῆς πόλεως ᾔειμεν ἐπ' Ἄργος καὶ
Κόρινθον, κἀκεῖθεν ἀναγόμενοι ἐπλεύσαμεν εἰς Σι-
κελίαν. Λακεδαιμόνιοι δὲ πυθόμενοι τὴν φυγὴν
ἡμῶν θάνατον κατεψηφίσαντο. Ἡμεῖς δὲ ἐνταῦθα
διήγομεν ἀπορίᾳ μὲν τῶν ἐπιτηδείων, ἡδόμενοι δὲ
9 καὶ πάντων ἀπολαύειν δοκοῦντες, ὅτι ἦμεν μετ' ἀλ-
λήλων. Καὶ τέθνηκεν ἐνταῦθα οὐ πρὸ πολλοῦ Θελ-
ξινόη καὶ τὸ σῶμα οὐ τέθαπται, ἀλλ' ἔχω γὰρ μετ'
10 ἐμαυτοῦ καὶ ἀεὶ φιλῶ καὶ σύνειμι." Καὶ ἅμα λέγων
εἰσάγει τὸν Ἀβροκόμην εἰς τὸ ἐνδότερον δωμάτιον
καὶ δεικνύει τὴν Θελξινόην, γυναῖκα πρεσβῦτιν μὲν
ἤδη, καλὴν [δὲ] γενομένην ἔτι Αἰγιαλεῖ κόρην· τὸ δὲ
σῶμα αὐτῆς ἐτέθαπτο ταφῇ Αἰγυπτίᾳ· ἦν γὰρ καὶ
11 τούτων ἔμπειρος ὁ γέρων. "Ταύτῃ οὖν" ἔφη, "ὦ τέ-
κνον Ἀβροκόμη, ἀεί τε ὡς ζώσῃ λαλῶ καὶ συγκατά-
κειμαι καὶ συνευωχοῦμαι· κἂν ἔλθω ποτὲ ἐκ τῆς ἁλι-
είας κεκμηκώς, αὕτη με παραμυθεῖται βλεπομένη·
οὐ γὰρ οἷα νῦν ὁρᾶται σοὶ τοιαύτη φαίνεται ἐμοί·
ἀλλ' ἐννοῶ, τέκνον, οἵα μὲν ἦν ἐν Λακεδαίμονι, οἵα
δὲ ἐν τῇ φυγῇ· τὰς παννυχίδας ἐννοῶ, τὰς συνθήκας
ἐννοῶ."

12 Ἔτι λέγοντος τοῦ Αἰγιαλέως ἀνωδύρετο ὁ Ἀβρο-
κόμης "σὲ δὲ" λέγων, "ὦ πασῶν δυστυχεστάτη κόρη,
πότε ἀνευρήσω κἂν νεκράν; Αἰγιαλεῖ μὲν γὰρ τοῦ
βίου μεγάλη παραμυθία τὸ σῶμα τὸ Θελξινόης, καὶ
νῦν ἀληθῶς μεμάθηκα ὅτι ἔρως ἀληθινὸς ὅρον ἡλικίας
13 οὐκ ἔχει· ἐγὼ δὲ πλανῶμαι μὲν κατὰ πᾶσαν γῆν καὶ
θάλασσαν, οὐ δεδύνημαι δὲ οὐδὲν ἀκοῦσαι περὶ σοῦ.
Ὦ μαντεύματα δυστυχῆ, ὦ τὰ πάντων ἡμῖν Ἀπόλλον

χρήσας χαλεπώτατα, οἰκτειρον ἤδη καὶ τὰ τέλη τῶν μεμαντευμένων ἀποδίδου."

Καὶ ὁ μὲν Ἀβροκόμης ταυτὶ κατοδυρόμενος, πα- 2
ραμυθουμένου αὐτὸν Αἰγιαλέως διῆγεν ἐν Συρακού-
σαις, ἤδη καὶ τῆς τέχνης Αἰγιαλεῖ κοινωνῶν· οἱ δὲ
περὶ τὸν Ἱππόθοον μέγα μὲν ἤδη τὸ λῃστήριον κατε-
στήσαντο, ἔγνωσαν δὲ ἀπαίρειν Αἰθιοπίας καὶ μείζο-
σιν ἤδη πράγμασιν ἐπιτίθεσθαι. Οὐ γὰρ ἐδόκει τῷ 2
Ἱππoθόῳ αὔταρκες εἶναι λῃστεύειν κατ' ἄνδρα, εἰ μὴ
καὶ κώμαις καὶ πόλεσιν ἐπιβάλοι. Καὶ ὁ μὲν παραλα-
βὼν τοὺς σὺν αὐτῷ καὶ ἐπιφορτισάμενος πάντα (ἦν
δὲ αὐτῷ καὶ ὑποζύγια πολλὰ καὶ κάμηλοι οὐκ ὀλίγαι)
Αἰθιοπίαν μὲν κατέλιπεν, ἦλει δὲ ἐπ' Αἴγυπτόν τε καὶ
Ἀλεξάνδρειαν καὶ ἐνενόει Φοινίκην καὶ Συρίαν πά-
λιν· τὴν δὲ Ἄνθειαν προσεδόκα τεθνηκέναι· ὁ δὲ 3
Ἀμφίνομος, ὁ φρουρῶν ἐν τῇ τάφρῳ αὐτήν, ἐρωτι-
κῶς διακείμενος, οὐχ ὑπομένων ἀποσπασθῆναι τῆς
κόρης διὰ τὴν πρὸς αὐτὴν φιλοστοργίαν καὶ τὴν ἐπι-
κειμένην συμφοράν, Ἱππoθόῳ μὲν οὐχ εἵπετο, λαν-
θάνει δὲ ἐν πολλοῖς τοῖς ἄλλοις καὶ ἀποκρύπτεται ἐν
ἄντρῳ τινὶ σὺν τοῖς ἐπιτηδείοις οἷς συνελέξατο. Νυ- 4
κτὸς δὲ γενομένης οἱ περὶ τὸν Ἱππόθοον ἐπὶ κώμην
ἐληλύθεσαν τῆς Αἰγύπτου, Ἀρείαν καλουμένην, πορ-
θῆσαι θέλοντες· ὁ δὲ Ἀμφίνομος ἀνορύσσει τὴν τά-
φρον καὶ ἐξάγει τὴν Ἄνθειαν καὶ θαρρεῖν παρεκάλει.
τῆς δὲ ἔτι φοβουμένης καὶ ὑποπτευούσης, τὸν ἥλιον 5
ἐπόμνυσι καὶ τοὺς ἐν Αἰγύπτῳ θεοὺς ἢ μὴν τηρήσειν
γάμων ἁγνήν, μέχρι ἂν καὶ αὐτή ποτε πεισθεῖσα θε-
λήσῃ συγκαταθέσθαι. Πείθεται τοῖς ὅρκοις Ἀμφινό-
μου Ἄνθεια καὶ ἕπεται αὐτῷ· οὐκ ἀπελείποντο δὲ οἱ
κύνες ἀλλ' ἔστεργον συνήθεις γενόμενοι.

Ἔρχονται δὴ εἰς Κοπτόν, κἀνταῦθα ἔγνωσαν ἡμέ- 6

ρας διαγαγεῖν, μέχρι ἂν προέλθωσιν οἱ περὶ τὸν Ἱππόθοον τῆς ὁδοῦ· ἐπεμελοῦντο δὲ τῶν κυνῶν ὡς ἔχοιεν τὰ ἐπιτήδεια.

7 Οἱ δὲ περὶ τὸν Ἱππόθοον προσβαλόντες τῇ κώμῃ τῇ Ἀρείᾳ πολλοὺς μὲν τῶν ἐνοικούντων ἀπέκτειναν καὶ τὰ οἰκήματα ἐνέπρησαν καὶ κατῄεσαν οὐ τὴν αὐτὴν ὁδὸν ἀλλὰ διὰ τοῦ Νείλου· πάντα γὰρ τὰ ἐκ τῶν μεταξὺ κωμῶν σκάφη συλλεξάμενοι, ἐπιβάντες ἔπλεον ἐπὶ Σχεδίαν, καὶ ..... κἀντεῦθεν ἐκβάντες παρὰ τὰς ὄχθας τοῦ Νείλου διώδευον τὴν ἄλλην Αἴγυπτον.

3 Ἐν τούτῳ δὲ ὁ ἄρχων τῆς Αἰγύπτου ἐπέπυστο μὲν τὰ περὶ τὴν Ἀρείαν καὶ τὸ Ἱπποθόου λῃστήριον καὶ ὅτι ἀπ' Αἰθιοπίας ἔρχονται· παρασκευάσας δὲ στρατιώτας πολλοὺς καὶ ἄρχοντα τούτοις ἐπιστήσας τῶν συγγενῶν τῶν αὐτοῦ Πολύιδον, νεανίσκον ὀφθῆναι χαρίεντα, δρᾶσαι γεννικόν, ἔπεμψεν ἐπὶ τοὺς λῃστάς.

2 Οὗτος ὁ Πολύιδος παραλαβὼν τὸ στράτευμα, ἀπήντα κατὰ Πηλούσιον τοῖς περὶ τὸν Ἱππόθοον, καὶ εὐθὺς παρὰ τὰς ὄχθας μάχη τε αὐτῶν γίνεται καὶ πίπτουσιν ἑκατέρων πολλοί· νυκτὸς δὲ ἐπιγενομένης τρέπονται μὲν οἱ λῃσταὶ καὶ πάντες ὑπὸ τῶν στρατιωτῶν φο-

3 νεύονται· εἰσὶ δὲ οἳ καὶ ζῶντες ἐλήφθησαν. Ἱππόθοος μόνος, ἀπορρίψας τὰ ὅπλα, ἔφυγε τῆς νυκτὸς καὶ ἦλθεν εἰς Ἀλεξάνδρειαν· κἀκεῖθεν, δυνηθεὶς λαθεῖν, ἐπιβὰς ἀναγομένου πλοίου ἐπανήχθη. Ἦν δὲ αὐτῷ ἡ πᾶσα ἐπὶ Σικελίαν ὁρμή· ἐκεῖ γὰρ ἐδόκει μάλιστα διαλήσεσθαί τε καὶ διατραφήσεσθαι· ἤκουε δὲ τὴν νῆσον εἶναι μεγάλην τε καὶ εὐδαίμονα.

4 Ὁ δὲ Πολύιδος οὐχ ἱκανὸν εἶναι ἐνόμισε κρατῆσαι τῶν συμβαλόντων λῃστῶν, ἀλλ' ἔγνω δεῖν ἀνερευνῆσαί τε καὶ ἐκκαθῆραι τὴν Αἴγυπτον, εἴ που ἢ

2 τὸν Ἱππόθοον ἢ τῶν σὺν αὐτῷ τινα ἀνεύροι. Παρα-

λαβὼν οὖν μέρος τι τοῦ στρατιωτικοῦ καὶ τοὺς εἰλημμένους τῶν ληστῶν, ἵν', εἴ τις φαίνοιτο, οἱ μηνύσειαν, ἀνέπλει τὸν Νεῖλον καὶ τὰς πόλεις διηρεύνα καὶ ἐνενόει μέχρι Αἰθιοπίας ἐλθεῖν. Ἔρχονται δὴ 3
καὶ εἰς Κοπτόν, ἔνθα ἦν Ἄνθεια μετὰ Ἀμφινόμου. Καὶ αὐτὴ μὲν ἔτυχεν ἐπὶ τῆς οἰκίας, τὸν δὲ Ἀμφίνομον γνωρίζουσιν οἱ τῶν ληστῶν εἰλημμένοι καὶ λέγουσι τῷ Πολυΐδῳ· καὶ Ἀμφίνομος λαμβάνεται καὶ ἀνακρινόμενος τὰ περὶ τὴν Ἄνθειαν διηγεῖται. Ὁ δὲ 4
ἀκούσας κελεύει καὶ αὐτὴν ἄγεσθαι καὶ ἐλθούσης ἀνεπυνθάνετο ἥτις εἴη καὶ πόθεν· ἡ δὲ τῶν μὲν ἀληθῶν οὐδὲν λέγει, ὅτι δὲ Αἰγυπτία εἴη καὶ ὑπὸ τῶν ληστῶν εἵληπτο.

Ἐν τούτῳ ἐρᾷ καὶ ὁ Πολύιδος Ἀνθείας ἔρωτα 5
σφοδρόν (ἦν δὲ αὐτῷ ἐν Ἀλεξανδρείᾳ γυνή)· ἐρασθεὶς δὲ τὰ μὲν πρῶτα ἐπειρᾶτο πείθειν μεγάλα ὑπισχνούμενος· τελευταῖον δὲ ὡς κατῄεσαν εἰς Ἀλεξάνδρειαν ἐγένοντο δὲ ἐν Μέμφει, ἐπεχείρησεν ὁ Πολύιδος βιάζεσθαι τὴν Ἄνθειαν· ἡ δὲ ἐκφυγεῖν δυνηθεῖσα, ἐπὶ 6
τὸ τῆς Ἴσιδος ἱερὸν ἔρχεται [καὶ] ἱκέτις γενομένη "σύ με" εἶπεν, "ὦ δέσποινα Αἰγύπτου, πάλιν σῶσον, ἥ ἐβοήθησας πολλάκις· φεισάσθω μου καὶ Πολύιδος τῆς διὰ σὲ σώφρονος Ἀβροκόμης τηρουμένης." Ὁ δὲ 7
Πολύιδος ἅμα μὲν τὴν θεὸν ἐδεδοίκει, ἅμα δὲ ἦρα τῆς Ἀνθείας καὶ τῆς τύχης αὐτὴν ἠλέει· πρόσεισι δὲ τῷ ἱερῷ μόνος καὶ ὄμνυσι μήποτε βιάσασθαι τὴν Ἄνθειαν, μηδὲ ὑβρίσαι τι εἰς αὐτήν, ἀλλὰ τηρῆσαι ἁγνὴν ἐς ὅσον αὐτὴ θελήσει· αὔταρκες γὰρ αὐτῷ φιλοῦντι ἐδόκει εἶναι κἂν βλέπειν μόνον καὶ λαλεῖν αὐτῇ.

Ἐπείσθη τοῖς ὅρκοις ἡ Ἄνθεια καὶ κατῆλθεν ἐκ 8
τοῦ ἱεροῦ· κἀπειδὴ ἔγνωσαν ἡμέραις τρισὶν αὐτοὺς

ἀναλαβεῖν ἐν Μέμφει, ἔρχεται ἡ Ἄνθεια εἰς τὸ τοῦ Ἄπιδος ἱερόν. Διασημότατον δὲ τοῦτο ἐν Αἰγύπτῳ,
9 καὶ ὁ θεὸς τοῖς βουλομένοις μαντεύεται. Ἐπειδὰν γάρ τις προσελθὼν εὔξηται καὶ δεηθῇ τοῦ θεοῦ, αὐτὸς μὲν ἔξεισιν, οἱ δὲ πρὸ τοῦ νεὼ παῖδες Αἰγύπτιοι ἃ μὲν κα-
10 ταλογάδην ἃ δ' ἐν μέτρῳ προλέγουσι τῶν ἐσομένων ἕκαστα. Ἐλθοῦσα δὴ καὶ ἡ Ἄνθεια προσπίπτει τῷ Ἄπιδι. "Ὦ θεῶν" ἔφη "φιλανθρωπότατε, ὁ πάντας οἰκτείρων ξένους, ἐλέησον κἀμὲ τὴν κακοδαίμονα καί
11 μοι μαντείαν ἀληθῆ περὶ Ἀβροκόμου πρόειπε. Εἰ μὲν γὰρ αὐτὸν ἔτι ὄψομαι καὶ ἄνδρα λήψομαι, καὶ μενῶ καὶ ζήσομαι· εἰ δὲ ἐκεῖνος τέθνηκεν, ἀπαλλαγῆναι κἀμὲ καλῶς ἔχει τοῦ πονήρου τούτου βίου." Εἰποῦσα καὶ καταδακρύσασα ἐξῄει τοῦ ἱεροῦ· κἀν τούτῳ οἱ παῖδες [[οἱ]] πρὸ τοῦ τεμένους παίζοντες ἅμα ἐξεβόησαν
"Ἀνθία Ἀβροκόμην ταχὺ λήψεται ἄνδρα τὸν αὐτῆς."
Ἀκούσασα εὐθυμοτέρα ἐγένετο καὶ προσεύχεται τοῖς θεοῖς· καὶ ἅμα μὲν ἀπῆεσαν εἰς Ἀλεξάνδρειαν.
5 Ἐπέπυστο δὲ ἡ Πολυΐδου γυνὴ ὅτι ἄγει κόρην ἐρωμένην, καὶ φοβηθεῖσα μή πως αὐτὴν ἡ ξένη παρ-
ευδοκιμήσῃ, Πολυΐδῳ μὲν οὐδὲν λέγει, ἐβουλεύετο δὲ καθ' αὑτὴν ὅπως τιμωρήσεται τὴν δοκοῦσαν ἐπι-
2 βουλεύειν τοῖς γάμοις. Καὶ δὴ ὁ μὲν Πολύιδος ἀπήγγελλέ τε τῷ ἄρχοντι τῆς Αἰγύπτου τὰ γενόμενα καὶ τὰ λοιπὰ ἐπὶ τοῦ στρατοπέδου διῴκει τὰ τῆς ἀρχῆς· ἀπόντος δὲ αὐτοῦ Ῥηναία (τοῦτο γὰρ ἐκαλεῖτο ἡ τοῦ Πολυΐδου γυνὴ) μεταπέμπεται τὴν Ἄνθειαν (ἦν δὲ ἐπὶ τῆς οἰκίας) καὶ περιρρήγνυσι τὴν ἐσθῆτα καὶ αἰ-
3 κίζεται τὸ σῶμα "ὦ πονηρὰ" λέγουσα "καὶ τῶν γάμων τῶν ἐμῶν ἐπίβουλε, ματαίως ἔδοξας Πολυΐδῳ καλή, οὐ γάρ σε ὀνήσει τὸ κάλλος τοῦτο. Ἴσως μὲν γὰρ πείθειν ληστὰς ἐδύνασο καὶ συγκαθεύδειν νεανίσκοις

μεθύουσι πολλοῖς· τὴν δὲ Ῥηναίας εὐνὴν οὔποτε ὑβριεῖς χαίρουσα." Ταῦτα εἰποῦσα ἀπέκειρε τὴν κό- 4
μην αὐτῆς καὶ δεσμὰ περιτίθησι καὶ παραδοῦσα οἰ-
κέτῃ τινὶ πιστῷ, Κλυτῷ τοὔνομα, κελεύει ἐμβιβά-
σαντα εἰς ναῦν, ἀπαγαγόντα εἰς Ἰταλίαν ἀποδόσθαι
πορνοβοσκῷ τὴν Ἄνθειαν. "Οὕτω γὰρ" ἔφη "δυνήσῃ
ἡ καλὴ τῆς ἀκρασίας κόρον λαβεῖν." Ἦγετο δὲ ἡ Ἄν- 5
θεια ὑπὸ τοῦ Κλυτοῦ κλάουσα καὶ ὀδυρομένη "ὦ κάλ-
λος ἐπίβουλον" λέγουσα, "ὦ δυστυχὴς εὐμορφία, τί
μοι παραμένετε ἐνοχλοῦντα; τί δὲ αἴτια πολλῶν κα-
κῶν μοι γίνεσθε; οὐκ ἤρκουν οἱ τάφοι, οἱ φόνοι, τὰ
δεσμά, τὰ ληστήρια, ἀλλ' ἤδη καὶ ἐπὶ οἰκήματος στή-
σομαι καὶ τὴν μέχρι νῦν Ἀβροκόμῃ τηρουμένην σω-
φροσύνην πορνοβοσκὸς ἀναγκάσει με λύειν; Ἀλλ', 6
ὦ δέσποτα," προσπεσοῦσα ἔλεγε τοῖς γόνασι τοῦ Κλυ-
τοῦ, "μή με ἐπ' ἐκείνην τὴν τιμωρίαν [ἅμα] προαγά-
γῃς, ἀλλ' ἀπόκτεινόν με αὐτός· οὐκ οἴσω πορνοβο-
σκὸν δεσπότην· σωφρονεῖν, πίστευσον, εἰθίσμεθα."
Ταῦτα ἐδεῖτο, ἠλέει δὲ αὐτὴν ὁ Κλυτός.

Καὶ ἡ μὲν ἀπήγετο εἰς Ἰταλίαν, ἡ δὲ Ῥηναία ἐλ- 7
θόντι τῷ Πολυΐδῳ λέγει ὅτι ἀπέδρα ἡ Ἄνθεια, κἀ-
κεῖνος ἐκ τῶν ἤδη πεπραγμένων ἐπίστευσεν αὐτῇ. Ἡ
δὲ Ἄνθεια κατήχθη μὲν εἰς Τάραντα, πόλιν τῆς Ἰτα-
λίας· ἐνταῦθα δὲ ὁ Κλυτὸς δεδοικὼς τὰς τῆς Ῥηναίας
ἐντολὰς ἀποδίδοται αὐτὴν πορνοβοσκῷ. Ὁ δὲ ἰδὼν 8
κάλλος οἷον οὔπω πρότερον ἐτεθέατο, μέγα κέρδος
ἔξειν τὴν παῖδα ἐνόμιζε, καὶ ἡμέραις μέν τισιν αὐτὴν
ἀνελάμβανεν ἐκ τοῦ πλοῦ κεκμηκυῖαν καὶ ἐκ τῶν ὑπὸ
τῆς Ῥηναίας βασάνων· ὁ δὲ Κλυτὸς ἦκεν εἰς Ἀλεξάν-
δρειαν καὶ τὰ πραχθέντα ἐμήνυσε τῇ Ῥηναίᾳ.

Ὁ δὲ Ἱππόθοος διανύσας τὸν πλοῦν κατήχθη μὲν 6
εἰς Σικελίαν, οὐκ εἰς Συρακούσας δέ, ἀλλ' εἰς Ταυ-

ρομένιον καὶ ἐξήτει καιρόν, δι' οὗ τὰ ἐπιτήδεια ἕξει. Τῷ δὲ Ἀβροκόμῃ ἐν Συρακούσαις ὡς χρόνος πολὺς ἐγένετο, ἀθυμία ἐμπίπτει καὶ ἀπορία δεινή, ὅτι μήτε Ἄνθειαν εὑρίσκοι μήτε εἰς τὴν πατρίδα ἀνασώζοιτο.

2 Διέγνω οὖν ἀποπλεύσας ἐκ Σικελίας εἰς Ἰταλίαν ἀνελθεῖν κἀκεῖθεν, εἰ μηδὲν εὑρίσκοι τῶν ζητουμένων, εἰς Ἔφεσον πλεῦσαι πλοῦν δυστυχῆ. Ἤδη δὲ καὶ οἱ γονεῖς αὐτῶν καὶ οἱ Ἐφέσιοι πάντες ἐν πολλῷ πένθει ἦσαν, οὔτε ἀγγέλου παρ' αὐτῶν ἀφιγμένου οὔτε γραμμάτων· ἀπέπεμπον δὲ πανταχοῦ τοὺς ἀναζητήσοντας.

3 Ὑπὸ ἀθυμίας δὲ καὶ γήρως οὐ δυνηθέντες ἀντισχεῖν οἱ γονεῖς ἑκατέρων ἑαυτοὺς ἐξήγαγον τοῦ βίου. Καὶ ὁ μὲν Ἀβροκόμης ἦει τὴν ἐπὶ Ἰταλίας ὁδόν· ὁ δὲ Λεύκων καὶ ἡ Ῥόδη, οἱ σύντροφοι τοῦ Ἀβροκόμου καὶ τῆς Ἀνθείας, τεθνηκότος αὐτοῖς ἐν Ξάνθῳ τοῦ δεσπότου καὶ τὸν κλῆρον (ἦν δὲ πολὺς) ἐκείνοις καταλιπόντος, διέγνωσαν εἰς Ἔφεσον πλεῖν, ὡς ἤδη μὲν αὐτοῖς τῶν δεσποτῶν σεσωσμένων, ἱκανῶς δὲ τῆς

4 κατὰ τὴν ἀποδημίαν συμφορᾶς πεπειραμένοι. Ἐνθέμενοι δὲ πάντα τὰ αὐτῶν νηὶ ἀνήγοντο εἰς Ἔφεσον, καὶ ἡμέραις οὐ πολλαῖς διανύσαντες τὸν πλοῦν ἦκον εἰς Ῥόδον· κἀκεῖ μαθόντες ὅτι οὐδέπω μὲν Ἀβροκόμης καὶ Ἄνθεια σώζοιντο, τεθνήκασι δὲ αὐτῶν οἱ πατέρες, διέγνωσαν εἰς Ἔφεσον μὴ κατελθεῖν, χρόνῳ δέ τινι ἐκεῖ γενέσθαι, μέχρι οὗ τι περὶ τῶν δεσποτῶν πύθωνται.

7 Ὁ δὲ πορνοβοσκὸς ὁ τὴν Ἄνθειαν ὠνησάμενος χρόνου διελθόντος ἠνάγκασεν αὐτὴν οἰκήματος προεστάναι. Καὶ δὴ κοσμήσας καλῇ μὲν ἐσθῆτι πολλῷ δὲ χρυσῷ ἦγεν ὡς προστησομένην τέγους· ἡ δὲ μέγα

2 ἀνακωκύσασα "φεῦ μοι τῶν κακῶν" εἶπεν, "οὐχ ἱκαναὶ γὰρ αἱ πρότερον συμφοραί, τὰ δεσμά, τὰ ληστή-

ρια, ἀλλ' ἔτι καὶ πορνεύειν ἀναγκάζομαι; ὦ κάλλος δικαίως ὑβρισμένον, τί γὰρ ἡμῖν ἀκαίρως παραμένεις; Ἀλλὰ τί ταῦτα θρηνῶ καὶ οὐχ εὑρίσκω τινὰ μηχανήν, δι' ἧς φυλάξω τὴν μέχρι νῦν τετηρημένην σωφροσύνην;" Ταῦτα λέγουσα ἤγετο ἐπὶ τὸ οἴκημα 3
τοῦ πορνοβοσκοῦ τὰ μὲν δεομένου θαρρεῖν τὰ δὲ ἀπειλοῦντος. Ὡς δὲ ἦλθε καὶ προέστη, πλῆθος ἐπέρρει τῶν τεθαυμακότων τὸ κάλλος, οἵ τε πολλοὶ ἦσαν ἕτοιμοι ἀργύριον κατατίθεσθαι τῆς ἐπιθυμίας. Ἡ δὲ ἐν 4
ἀμηχάνῳ γενομένη κακῷ εὑρίσκει τέχνην ἀποφυγῆς· πίπτει μὲν γὰρ εἰς γῆν καὶ παρεῖται τὸ σῶμα καὶ ἐμιμεῖτο τοὺς νοσοῦντας τὴν ἐκ θεῶν καλουμένην νόσον· ἦν δὲ τῶν παρόντων ἔλεος ἅμα καὶ φόβος καὶ τοῦ μὲν ἐπιθυμεῖν συνουσίας ἀπείχοντο, ἐθεράπευον δὲ τὴν
Ἄνθειαν· ὁ δὲ πορνοβοσκὸς συνεὶς οἷ κακῶν ἐγεγόνει 5
καὶ νομίσας ἀληθῶς νοσεῖν τὴν κόρην, ἦγεν εἰς τὴν οἰκίαν καὶ κατέκλινέ τε καὶ ἐθεράπευε, καὶ ὡς ἔδοξεν αὐτῇ γεγονέναι, ἀνεπυνθάνετο τὴν αἰτίαν τῆς νόσου. Ἡ δὲ Ἄνθεια "καὶ πρότερον" ἔφη, "δέσποτα, εἰπεῖν 6
πρὸς σὲ ἐβουλόμην τὴν συμφορὰν τὴν ἐμὴν καὶ διηγήσασθαι τὰ συμβάντα, ἀλλὰ ἀπέκρυπτον αἰδουμένη· νυνὶ δὲ οὐδὲν χαλεπὸν εἰπεῖν πρὸς σέ, πάντα ἤδη μεμαθηκότα τὰ κατ' ἐμέ. Παῖς ἔτι οὖσα ἐν ἑορτῇ καὶ 7
παννυχίδι ἀποπλανηθεῖσα τῶν ἐμαυτῆς ἦκον πρός τινα τάφον ἀνδρὸς νεωστὶ τεθνηκότος· κἀνταῦθα ἐφάνη μοί τις ἀναθορῶν ἐκ τοῦ τάφου καὶ κατέχειν ἐπειρᾶτο· ἐγὼ δ' ἀπέφευγον καὶ ἐβόων· ὁ δὲ ἄν- 8
θρωπος ἦν μὲν ὀφθῆναι φοβερός, φωνὴν δὲ πολλῷ εἶχε χαλεπωτέραν· καὶ τέλος ἡμέρα μὲν ἤδη ἐγίνετο, ἀφεὶς δέ με ἔπληξέ τε κατὰ τοῦ στήθους καὶ νόσον ταύτην ἔλεγεν ἐμβεβληκέναι. Ἐκεῖθεν ἀρξαμένη ἄλ- 9
λοτε ἄλλως ὑπὸ τῆς συμφορᾶς κατέχομαι. Ἀλλὰ δέο-

μαί σου, δέσποτα, μηδέν μοι χαλεπήνῃς· οὐ γὰρ ἐγὼ τούτων αἰτία. Δυνήσῃ γάρ με ἀποδόσθαι καὶ μηδὲν ἀπολέσαι τῆς δοθείσης τιμῆς." Ἀκούσας ὁ πορνοβοσκὸς ἠνιᾶτο μέν, συνεγίνωσκε δὲ αὐτῇ, ὡς οὐχ ἑκούσῃ ταῦτα πασχούσῃ.

8 Καὶ ἡ μὲν ἐθεραπεύετο ὡς νοσοῦσα παρὰ τῷ πορνοβοσκῷ· ὁ δὲ Ἀβροκόμης ἀπὸ τῆς Σικελίας ἐπαναχθεὶς καταίρει μὲν εἰς Νουκέριον τῆς Ἰταλίας, ἀπορίᾳ δὲ τῶν ἐπιτηδείων ἀμηχανῶν ὅ τι ποιήσειε, τὰ
2 μὲν πρῶτα περιῄει τὴν Ἄνθειαν ζητῶν· αὕτη γὰρ ἦν αὐτῷ τοῦ βίου παντὸς καὶ τῆς πλάνης ἡ ὑπόθεσις· ὡς δὲ οὐδὲν εὗρισκεν (ἦν γὰρ ἐν Τάραντι ἡ κόρη παρὰ τῷ πορνοβοσκῷ), αὐτὸν ἀπεμίσθωσε τοῖς τοὺς λίθους
3 ἐργαζομένοις. Καὶ ἦν αὐτῷ τὸ ἔργον ἐπίπονον, οὐ γὰρ συνείθιστο τὸ σῶμα οὐδὲ αὐτὸν ὑποβάλλειν ἔργοις εὐτόνοις καὶ σκληροῖς· διέκειτο δὲ πονήρως καὶ πολλάκις κατοδυρόμενος τὴν αὑτοῦ τύχην "ἰδοὺ" φησὶν "Ἄνθεια, ὁ σὸς Ἀβροκόμης ἐργάτης τέχνης πονήρας
4 καὶ τὸ σῶμα ὑποτέθεικα δουλείᾳ· καὶ εἰ μὲν εἶχόν τινα ἐλπίδα εὑρήσειν σὲ καὶ τοῦ λοιποῦ συγκαταβιώσεσθαι, τοῦτο πάντων ἂν τῶν δεινῶν με παρεμυθεῖτο· νυνὶ δὲ ἴσως κἀγὼ [ὁ] δυστυχὴς κενὰ καὶ ἀνόνητα πονῶ, καὶ σύ που τέθνηκας πόθῳ τῷ πρὸς Ἀβροκόμην. Πέπεισμαι γάρ, φιλτάτη, ὡς οὐκ ἄν ποτε οὐδὲ ἀποθανοῦσα ἐκλάθοιό μου."

5 Καὶ ὁ μὲν ταῦτα ὠδύρετο καὶ τοὺς πόνους ἔφερεν ἀλγεινῶς, τῇ δὲ Ἀνθείᾳ ὄναρ ἐπέστη ἐν Τάραντι κοιμωμένῃ. Ἐδόκει μὲν αὐτὴν εἶναι μετὰ Ἀβροκόμου, καλὴν οὖσαν μετ' ἐκείνου καλοῦ καὶ τὸν πρῶτον εἶναι
6 τοῦ ἔρωτος αὐτοῖς χρόνον· φανῆναι δέ τινα ἄλλην γυναῖκα καλὴν καὶ ἀφέλκειν αὐτῆς τὸν Ἀβροκόμην· καὶ τέλος ἀναβοῶντος καὶ καλοῦντος ὀνομαστὶ ἐξανα-

στῆναί τε καὶ παύσασθαι τὸ ὄναρ. Ταῦτα ὡς ἔδοξεν 7
ἰδεῖν, εὐθὺς μὲν ἀνέθορέ τε καὶ ἀνεθρήνησε καὶ ἀλη-
θῆ τὰ ὀφθέντα ἐνόμιζεν "οἴμοι τῶν κακῶν" λέγουσα,
"ἐγὼ μὲν καὶ πόνους ὑπομένω πάντας καὶ ποικίλων
πειρῶμαι [ἡ] δυστυχὴς συμφορῶν καὶ τέχνας σωφρο-
σύνης ὑπὲρ γυναῖκας εὑρίσκω Ἀβροκόμῃ· σοὶ δὲ ἴσως
ἄλλη που δέδοκται καλή· ταῦτα γάρ μοι σημαίνει τὰ
ὀνείρατα. Τί οὖν ἔτι ζῶ; τί δ' ἐμαυτὴν λυπῶ; κάλ- 8
λιον οὖν ἀπολέσθαι καὶ ἀπαλλαγῆναι [μὲν] τοῦ πονή-
ρου τούτου βίου, ἀπαλλαγῆναι δὲ τῆς ἀπρεποῦς ταύ-
της καὶ ἐπισφαλοῦς δουλείας. Ἀβροκόμης μὲν εἰ καὶ 9
τοὺς ὅρκους παραβέβηκε, μηδὲν οἱ θεοὶ τιμωρήσαιντο
τοῦτον· ἴσως ἀνάγκῃ τι εἴργασται· ἐμοὶ δὲ ἀποθανεῖν
καλῶς ἔχει σωφρονούσῃ." Ταῦτα ἔλεγε θρηνοῦσα καὶ
μηχανὴν ἐζήτει τελευτῆς.

Ὁ δὲ Ἱππόθοος ὁ Περίνθιος ἐν τῷ Ταυρομενίῳ 9
τὰ μὲν πρῶτα διῆγε πονήρως ἀπορίᾳ τῶν ἐπιτηδείων·
χρόνου δὲ προϊόντος ἠράσθη πρεσβῦτις αὐτοῦ, καὶ
ἔγημέ τε ὑπ' ἀνάγκης τῆς κατὰ τὴν ἀπορίαν τὴν πρε-
σβῦτιν, καὶ ὀλίγῳ συγγενόμενος χρόνῳ, ἀποθανού-
σης αὐτῆς πλοῦτόν τε διαδέχεται πολὺν καὶ εὐδαιμο-
νίαν· πολλὴ μὲν οἰκετῶν παραπομπή, πολλὴ δὲ ἐσθή-
των ὕπαρξις καὶ σκευῶν πολυτέλεια. Διέγνω δὲ πλεῦ- 2
σαι μὲν εἰς Ἰταλίαν, ὠνήσασθαι δὲ οἰκέτας ὡραίους
καὶ θεραπαίνας καὶ ἄλλην σκευῶν περιβολήν, ὅση
γένοιτ' ἂν ἀνδρὶ εὐδαίμονι· ἐμέμνητο δὲ ἀεὶ τοῦ
Ἀβροκόμου καὶ τοῦτον ἀνευρεῖν εὔχετο, περὶ πολλοῦ
ποιούμενος κοινωνῆσαί τε αὐτῷ τοῦ βίου παντὸς καὶ
τῶν κτημάτων.

Καὶ ὁ μὲν ἐπαναχθεὶς κατῆρεν εἰς Ἰταλίαν, εἴ- 3
πετο δὲ αὐτῷ μειράκιον τῶν ἐν Σικελίᾳ εὖ γεγονό-
των, Κλεισθένης τοὔνομα, καὶ πάντων μετεῖχε τῶν

4 Ἱπποθόου κτημάτων, καλὸς ὤν. Ὁ δὲ πορνοβοσκὸς
ἤδη τῆς Ἀνθείας ὑγιαίνειν δοκούσης ἐνενόει ὅπως
αὐτὴν ἀποδώσεται, καὶ δὴ προῆγεν αὐτὴν εἰς τὴν
5 ἀγορὰν καὶ τοῖς ὠνησομένοις ἐπεδείκνυεν. Ἐν τούτῳ
δ' ὁ Ἱππόθοος περιήει τὴν πόλιν τὴν Τάραντα, εἴ τι 5
καλὸν ὠνήσασθαι ζητῶν· καὶ ὁρᾷ τὴν Ἄνθειαν καὶ
γνωρίζει καὶ ἐπὶ τῷ συμβάντι καταπλήσσεται καὶ πολλὰ
πρὸς ἑαυτὸν ἐλογίζετο "οὐχ αὕτη ἡ κόρη, ἣν ἐγώ ποτε
ἐν Αἰγύπτῳ τιμωρῶν τῷ Ἀγχιάλου φόνῳ εἰς τάφρον
κατώρυξα καὶ κύνας αὐτῇ συγκαθεῖρξα; Τίς οὖν ἡ 10
μεταβολή; πῶς δὲ σώζεται; τίς ἡ ἐκ τῆς τάφρου φυγή;
6 τίς ἡ παράλογος σωτηρία;" Εἰπὼν ταῦτα προσῆλθεν
ὡς ὠνήσασθαι θέλων, καὶ παραστὰς αὐτῇ "ὦ κόρη"
ἔφησεν, "Αἴγυπτον οὐκ οἶδας οὐδὲ λῃσταῖς ἐν Αἰγύ-
πτῳ περιπέπτωκας οὐδὲ ἄλλο τι ἐν ἐκείνῃ τῇ γῇ πέ- 15
πονθας δεινόν; εἰπὲ θαρροῦσα, γνωρίζω γάρ σε."
7 Αἴγυπτον ἀκούσασα καὶ ἀναμνησθεῖσα Ἀγχιάλου καὶ
τοῦ ληστηρίου καὶ τῆς τάφρου ἀνῴμωξέ τε καὶ ἀνω-
δύρατο, ἀποβλέψασα δὲ εἰς τὸν Ἱππόθοον (ἐγνώρισε
δὲ αὐτὸν οὐδαμῶς) "πέπονθα" φησὶν "ἐν Αἰγύπτῳ 20
πολλά, ὦ ξένε, καὶ δεινά, ὅστις ποτε ὢν τυγχάνεις,
καὶ λῃσταῖς περιπέπτωκα· ἀλλὰ σὺ πῶς" εἶπε "γνω-
8 ρίζεις τὰ ἐμὰ διηγήματα; πόθεν δὲ εἰδέναι λέγεις ἐμὲ
τὴν δυστυχῆ; διαβόητα μὲν γὰρ καὶ ἔνδοξα πέπον-
9 θα, ἀλλὰ σὲ οὐ γινώσκω τὸ σύνολον." Ἀκούσας ὁ 25
Ἱππόθοος καὶ μᾶλλον ἐξ ὧν ἔλεγεν ἀναγνωρίσας αὐ-
τὴν τότε μὲν ἡσυχίαν ἦγαγεν, ὠνησάμενος δὲ αὐτὴν
παρὰ τοῦ πορνοβοσκοῦ ἄγει πρὸς ἑαυτὸν καὶ θαρρεῖν
παρεκελεύετο καὶ ὅστις ἦν λέγει καὶ τῶν ἐν Αἰγύπτῳ
γενομένων ἀναμιμνήσκει καὶ τὸν ἑαυτοῦ πλοῦτον διη- 30

16 post σε: ἐν ἐκείνῳ τῷ χωρίῳ

γεῖται καὶ τὴν φυγήν. Ἡ δὲ ἠτεῖτο συγγνώμην ἔχειν καὶ αὐτῷ διηγεῖτο ὅτι Ἀγχίαλον ἀπέκτεινε μὴ σωφρονοῦντα, καὶ τὴν τάφρον καὶ τὸν Ἀμφίνομον καὶ τὴν τῶν κυνῶν πραότητα καὶ τὴν σωτηρίαν διηγεῖται. Κατῴκτειρεν αὐτὴν ὁ Ἱππόθοος καὶ ἥτις μὲν ἦν ἐπέπυστο οὐδέπω, ἐκ δὲ τῆς καθημερινῆς σὺν τῇ κόρῃ διαίτης εἰς ἐπιθυμίαν Ἀνθείας καὶ Ἱππόθοος ἔρχεται καὶ συνελθεῖν ἐβούλετο καὶ πολλὰ ὑπισχνεῖται αὐτῇ. Ἡ δὲ τὰ μὲν πρῶτα ἀντέλεγεν αὐτῷ, ἀναξία εἶναι λέγουσα εὐνῆς δεσποτικῆς· τελευταῖον δὲ ὡς ἐνέκειτο Ἱππόθοος, οὐκέτ' ἔχουσα ὅ τι ποιήσειε, κάλλιον εἶναι νομίζουσα εἰπεῖν πάντα αὐτῷ τὰ ἀπόρρητα ἢ παραβῆναι τὰς πρὸς Ἀβροκόμην συνθήκας, λέγει τὸν Ἀβροκόμην, τὴν Ἔφεσον, τὸν ἔρωτα, τοὺς ὅρκους, τὰς συμφοράς, τὰ ληστήρια καὶ συνεχὲς Ἀβροκόμην ἀνωδύρετο· ὁ δὲ Ἱππόθοος ἀκούσας ὅτι τε Ἄνθεια εἴη καὶ ὅτι γυνὴ τοῦ πάντων αὐτῷ φιλτάτου, ἀσπάζεταί τε αὐτὴν καὶ εὐθυμεῖν παρεκάλει καὶ τὴν αὐτοῦ πρὸς Ἀβροκόμην φιλίαν διηγεῖται. Καὶ τὴν μὲν εἶχεν ἐπὶ τῆς οἰκίας, πᾶσαν προσάγων ἐπιμέλειαν, Ἀβροκόμην αἰδούμενος· αὐτὸς δὲ πάντα ἀνηρεύνα, εἴ που τὸν Ἀβροκόμην ἀνεύροι.

Ὁ δὲ Ἀβροκόμης τὰ μὲν πρῶτα ἐπιπόνως ἐν τῷ Νουκερίῳ εἰργάζετο, τελευταῖον δὲ οὐκέτι φέρων τοὺς πόνους διέγνω νεὼς ἐπιβὰς εἰς Ἔφεσον ἀνάγεσθαι. Καὶ ὁ μὲν νύκτωρ κατελθὼν ἐπὶ θάλασσαν ἐπιτυγχάνει πλοίῳ ἀναγομένῳ καὶ ἐπιβὰς ἔπλει τὴν ἐπὶ Σικελίας πάλιν, ὡς ἐκεῖθεν ἐπὶ Κρήτην τε καὶ Κύπρον καὶ Ῥόδον ἀφιξόμενος κἀκεῖθεν εἰς Ἔφεσον γενησόμενος· ἤλπιζε δὲ ἐν τῷ μακρῷ πλῷ καὶ περὶ Ἀνθείας τι πεύσεσθαι. Καὶ ὁ μὲν ὀλίγα ἔχων τὰ ἐπιτήδεια ἀναγαγόμενος καὶ διανύσας τὸν πλοῦν τὰ μὲν πρῶτα

ἐπὶ τῆς Σικελίας ἔρχεται καὶ εὑρίσκει τὸν πρότερον
ξένον τὸν Αἰγιαλέα τεθνηκότα· ἐπενέγκας δὲ αὐτῷ
χοὰς καὶ πολλὰ καταδακρύσας, ἀναχθεὶς πάλιν καὶ
Κρήτην παρελθών, ἐν Κύπρῳ γενόμενος, ἡμέρας δια-
τρίψας ὀλίγας καὶ εὐξάμενος τῇ πατρίῳ Κυπρίων θεῷ
ἀνήγετο καὶ ἦκεν εἰς Ῥόδον· ἐνταῦθα πλησίον τοῦ λι-
4 μένος εἰσῳκίσατο. Καὶ ἤδη τε ἐγγὺς ἐγίνετο Ἐφέσου καὶ
πάντων αὐτὸν ἔννοια τῶν δεινῶν εἰσήρχετο, τῆς πα-
τρίδος, τῶν πατέρων, τῆς Ἀνθείας, τῶν οἰκετῶν·
καὶ ἀναστενάξας "φεῦ" ἔφη "τῶν κακῶν· εἰς Ἔφεσον
ἥξομαι μόνος καὶ πατράσιν ὀφθήσομαι τοῖς ἐμαυτοῦ
χωρὶς Ἀνθείας καὶ πλεύσομαι πλοῦν ὁ δυστυχὴς κε-
νὸν καὶ διηγήσομαι διηγήματα ἴσως ἄπιστα, κοινω-
5 νὸν ὧν πέπονθα οὐκ ἔχων· ἀλλὰ καρτέρησον, Ἀβρο-
κόμη, καὶ γενόμενος ἐν Ἐφέσῳ τοσοῦτον ἐπιβίωσον
χρόνον· τάφον ἔγειρον Ἀνθείᾳ καὶ θρήνησον αὐτὴν
καὶ χοὰς ἐπένεγκον καὶ σαυτὸν ἤδη παρ' αὐτὴν ἄγε."
Ταῦτα ἔλεγε καὶ περιήει τὴν πόλιν ἀλύων, ἀπορίᾳ
μὲν τῶν κατὰ τὴν Ἀνθειαν, ἀπορίᾳ δὲ τῶν ἐπιτη-
δείων.

6 Ὁ δὲ Λεύκων ἐν τούτῳ καὶ ἡ Ῥόδη διατρίβοντες
ἐν Ῥόδῳ ἀνάθημα ἀνατεθείκεσαν ἐν τῷ τοῦ Ἡλίου
ἱερῷ παρὰ τὴν χρυσῆν πανοπλίαν, ἣν Ἀνθεια καὶ
Ἀβροκόμης ἀνατεθείκεσαν· ἀνέθεσαν στήλην γράμ-
μασι χρυσοῖς γεγραμμένην ὑπὲρ Ἀβροκόμου καὶ Ἀν-
θείας, ἀνεγέγραπτο δὲ καὶ τῶν ἀναθέντων τὰ ὀνό-
7 ματα, ὅ τε Λεύκων καὶ ἡ Ῥόδη. Ταύτῃ τῇ στήλῃ ὁ
Ἀβροκόμης ἐπιτυγχάνει, ἐληλύθει δὲ προσεύξασθαι
τῷ θεῷ. Ἀναγνοὺς οὖν καὶ γνωρίσας τοὺς ἀναθέντας
καὶ τὴν τῶν οἰκετῶν εὔνοιαν, πλησίον δὲ καὶ τὴν
πανοπλίαν ἰδών, μέγα ἀνωδύρετο παρακαθεσθεὶς τῇ
8 στήλῃ. "Ὦ πάντα" ἔλεγεν "ἐγὼ δυστυχής· ἐπὶ τὸ

τέρμα ἥκω τοῦ βίου καὶ εἰς ἀνάμνησιν τῶν ἐμαυτοῦ συμφορῶν· ἰδοὺ ταύτην μὲν τὴν πανοπλίαν ἐγὼ μετ' Ἀνθείας ἀνέθηκα καὶ μετ' ἐκείνης ἀποπλεύσας Ῥόδου ἥκω νῦν ἐκείνην οὐκ ἄγων· εἰ δὲ αὕτη ἡ στήλη τῶν συντρόφων τῶν ἡμετέρων ὑπὲρ ἀμφοτέρων τὸ ἀνάθημα, τίς οὖν γένωμαι μόνος; ποῦ δὲ τοὺς φιλτάτους ἀνεύρω;"

Ταῦτα ἐθρήνει λέγων· καὶ ἐν τούτῳ ἐφίστανται 9
ὁ Λεύκων καὶ ἡ Ῥόδη συνήθως εὐχόμενοι τῷ θεῷ καὶ
θεωροῦσι τὸν Ἀβροκόμην τῇ στήλῃ παρακαθεζόμενον
καὶ εἰς τὴν πανοπλίαν ἀποβλέποντα καὶ γνωρίζουσι
μὲν οὐχί, θαυμάζουσι δὲ ὅστις ὢν ἀλλοτρίοις ἀναθήμασι παραμένοι. Καὶ δὴ ὁ Λεύκων ἔφη "ὦ μειράκιον, 10
τί βουλόμενος ἀναθήμασιν οὐδέν σοι προσήκουσι παρακαθεζόμενος ὀδύρῃ καὶ θρηνεῖς; τί δὲ σοὶ τούτων μέλει; τί δὲ τῶν ἐνταῦθα ἀναγεγραμμένων κοινωνεῖ σοί;" Ἀποκρίνεται πρὸς αὐτὸν Ἀβροκόμης "ἐμά" φησὶν "ἐμὰ τὰ ἀναθήματα Λεύκωνος καὶ Ῥόδης, οὓς ἰδεῖν εὔχομαι μετὰ Ἄνθειαν Ἀβροκόμης ὁ δυστυχής."
Ἀκούσαντες οἱ περὶ τὸν Λεύκωνα εὐθὺς μὲν ἀχανεῖς 11
ἐγένοντο, ἀνενεγκόντες δὲ κατὰ μικρὸν ἐγνώριζον ἐκ τοῦ σχήματος, ἐκ τῆς φωνῆς, ἐξ ὧν ἔλεγεν, ἐξ ὧν Ἀνθείας ἐμέμνητο, καὶ πίπτουσι πρὸ τῶν ποδῶν αὐτοῦ καὶ τὰ καθ' αὑτοὺς διηγοῦνται, τὴν ὁδὸν τὴν εἰς Συρίαν ἀπὸ Τύρου, τὴν Μαντοῦς ὀργήν, τὴν ἔκδοσιν, τὴν πρᾶσιν τὴν εἰς Λυκίαν, τὴν τοῦ δεσπότου τελευτήν, τὴν περιουσίαν, τὴν εἰς Ῥόδον ἄφιξιν· καὶ δὴ παραλαβόντες 12
ἄγουσιν εἰς τὴν οἰκίαν, ἔνθα αὐτοὶ κατήγοντο, καὶ τὰ κτήματα αὐτῶν παραδιδόασι καὶ ἐπεμελοῦντο καὶ ἐθεραπεύοντο καὶ θαρρεῖν παρεκάλουν· τῷ δὲ ἦν οὐδὲν Ἀνθείας τιμιώτερον, ἀλλ' ἐκείνην ἐθρήνει παρ' ἕκαστα.

11 Καὶ ὁ μὲν ἐν Ῥόδῳ διῆγε μετὰ τῶν συντρόφων, ὅ τι πράξει βουλευόμενος· ὁ δὲ Ἱππόθοος διέγνω τὴν Ἄνθειαν ἀγαγεῖν ἀπὸ Ἰταλίας εἰς Ἔφεσον, ὡς ἀποδώσων τε τοῖς γονεῦσι καὶ περὶ Ἀβροκόμου ἐκεῖ τι πευσόμενος· καὶ δὴ ἐμβαλὼν πάντα τὰ αὐτοῦ εἰς ναῦν μεγάλην Ἐφεσίαν, μετὰ τῆς Ἀνθείας ἀνήγετο, καὶ
2 διανύσας μάλα ἄσμενος τὸν πλοῦν οὐ πολλαῖς ἡμέραις εἰς Ῥόδον καταίρει νυκτὸς ἔτι κἀνταῦθα κατάγεται παρά τινι πρεσβύτιδι, Ἀλθαίᾳ τοὔνομα, πλησίον τῆς θαλάσσης, καὶ τήν τε Ἄνθειαν ἀνάγει παρὰ τὴν ξένην καὶ αὐτὸς ἐκείνης μὲν τῆς νυκτὸς ἀνεπαύσατο, τῇ δὲ ἑξῆς ἤδη μὲν περὶ τὸν πλοῦν ἐγίνοντο, ἑορτὴ δέ τις ἤγετο μεγαλοπρεπὴς δημοσίᾳ τῶν Ῥοδίων ἀγόντων τῷ Ἡλίῳ, καὶ πομπή τε καὶ θυσία καὶ πολιτῶν ἑορ-
3 ταζόντων πλῆθος. Ἐνταῦθα παρῆσαν ὁ Λεύκων καὶ ἡ Ῥόδη, οὐ τοσοῦτον τῆς ἑορτῆς μεθέξοντες, ὅσον ἀναζητήσοντες εἴ τι περὶ Ἀνθείας πύθοιντο. Καὶ δὴ ἦκεν ὁ Ἱππόθοος εἰς τὸ ἱερόν, ἄγων τὴν Ἄνθειαν· ἡ δὲ ἀπιδοῦσα εἰς τὰ ἀναθήματα καὶ ἐν ἀναμνήσει τῶν
4 πρότερον γενομένη "ὦ τὰ πάντων" ἔφησεν "ἀνθρώπων ἐφορῶν Ἥλιε, μόνην ἐμὲ τὴν δυστυχῆ παρελθών, πρότερον μὲν ἐν Ῥόδῳ γενομένη εὐτυχῶς τέ σε προσεκύνουν καὶ θυσίας ἔθυον μετὰ Ἀβροκόμου καὶ εὐδαίμων τότε ἐνομιζόμην· νυνὶ δὲ δούλη μὲν ἀντ' ἐλευθέρας, αἰχμάλωτος δὲ ἡ δυστυχὴς ἀντὶ τῆς μακαρίας, καὶ εἰς Ἔφεσον ἔρχομαι μόνη καὶ φανοῦμαι τοῖς οἰκείοις Ἀβροκόμην οὐκ ἔχουσα."

5 Ταῦτα ἔλεγε καὶ πολλὰ ἐπεδάκρυε καὶ δεῖται τοῦ Ἱπποθόου ἐπιτρέψαι αὐτῇ τῆς κόμης ἀφελεῖν τῆς αὐτῆς καὶ ἀναθεῖναι τῷ Ἡλίῳ καὶ εὔξασθαί τι περὶ
6 Ἀβροκόμου. Συγχωρεῖ ὁ Ἱππόθοος· καὶ ἀποτεμοῦσα τῶν πλοκάμων ὅσα ἐδύνατο καὶ ἐπιτηδείου καιροῦ

λαβομένη, πάντων ἀπηλλαγμένων, ἀνατίθησιν ἐπιγράψασα ΥΠΕΡ. ΤΟΥ. ΑΝΔΡΟΣ. ΑΒΡΟΚΟΜΟΥ. ΑΝΘΕΙΑ. ΤΗΝ. ΚΟΜΗΝ. ΤΩΙ. ΘΕΩΙ. ΑΝΕΘΗΚΕ. Ταῦτα ποιήσασα καὶ εὐξαμένη ἀπῄει μετὰ τοῦ Ἱππoθόου.

Ὁ δὲ Λεύκων καὶ ἡ Ῥόδη τέως ὄντες περὶ τὴν 12
πομπὴν ἐφίστανται τῷ ἱερῷ καὶ βλέπουσι τὰ ἀναθήματα καὶ γνωρίζουσι τῶν δεσποτῶν τὰ ὀνόματα καὶ πρῶτον ἀσπάζονται τὴν κόμην καὶ πολλὰ κατωδύροντο οὕτως ὡς Ἄνθειαν βλέποντες, τελευταῖον δὲ περιῄεσαν, εἴ που κἀκείνην εὑρεῖν δυνήσονται (ἤδη δὲ καὶ τὸ πλῆθος τῶν Ῥοδίων ἐγνώριζεν τὰ ὀνόματα ἐκ τῆς προτέρας ἐπιδημίας). Κἀκείνην μὲν τὴν ἡμέραν 2
οὐδὲν εὑρίσκοντες ἀπηλλάγησαν καὶ τῷ Ἀβροκόμῃ τὰ ἐν τῷ ἱερῷ ὄντα ἐμήνυσαν· ὁ δὲ ἔπαθε μὲν τὴν ψυχὴν ἐπὶ τῷ παραδόξῳ τοῦ πράγματος, εὔελπις δὲ ἦν ὡς Ἄνθειαν εὑρήσων.

Τῇ δὲ ἑξῆς ἦκεν ἡ Ἄνθεια πάλιν εἰς τὸ ἱερὸν μετὰ 3
τοῦ Ἱππoθόου, οὐκ ὄντος αὐτοῖς πλοός, προσκαθίσασα δὲ τοῖς ἀναθήμασιν ἐδάκρυέ τε καὶ ἀνέστενεν· ἐν τούτῳ δὲ ἐπεισίασιν ὁ Λεύκων καὶ ἡ Ῥόδη τὸν Ἀβροκόμην καταλιπόντες ἔνδον, ἀθύμως ἐπὶ τοῖς αὐτοῖς διακείμενον· ἐλθόντες δὲ ὁρῶσι τὴν Ἄνθειαν καὶ ἦν μὲν ἔτι ἄγνωστος αὐτοῖς, συμβάλλουσι δὲ πάντα ἅμα, τὰ δάκρυα, τὰ ἀναθήματα, τὰ ὀνόματα, τὸ εἶδος. Οὕτως κατὰ βραχὺ ἐγνώριζον αὐτήν· προσ- 4
πεσόντες δὲ τοῖς γόνασιν ἔκειντο ἀχανεῖς· ἡ δὲ ἐτεθαυμάκει τίνες τε ἦσαν καὶ τί βούλοιντο· οὐ γὰρ ἄν ποτε Λεύκωνα καὶ Ῥόδην ἤλπισεν. Οἱ δ' ἐν ἑαυτοῖς 5
γενόμενοι "ὦ δέσποινα" ἔφασαν "Ἄνθεια, ἡμεῖς οἰκέται σοί, Λεύκων καὶ Ῥόδη, οἱ τῆς ἀποδημίας κοινωνήσαντες καὶ τοῦ λῃστηρίου· ἀλλὰ τίς ἐνταῦθα ἄγει

σε τύχη; θάρρει, δέσποινα, Ἀβροκόμης σώζεται καὶ
6 ἔστιν ἐνταῦθα ἀεί σε θρηνῶν." Ἀκούσασα ἡ Ἄνθεια
ἐξεπλάγη τοῦ λόγου, μόγις δὲ ἀνενεγκοῦσα καὶ γνω-
ρίσασα περιβάλλει τε αὐτοὺς καὶ ἀσπάζεται καὶ σα-
φέστατα τὰ κατὰ Ἀβροκόμην μανθάνει.

13 Συνέρρει δὲ ἅπαν τὸ πλῆθος τῶν Ῥοδίων, πυν-
θανόμενον τὴν Ἀνθείας εὕρεσιν καὶ Ἀβροκόμου·
παρῆν δὲ ἐν τούτῳ καὶ ὁ Ἱππόθοος, ἐγνωρίσθη τε τοῖς
περὶ τὸν Λεύκωνα καὶ αὐτὸς ἔμαθεν οἵ τινές εἰσι· καὶ
ἦν τὰ μὲν ἄλλα ἐν αὐτοῖς ἐπιτηδείως, τὸ δὲ . . . ὅτι
μηδέπω Ἀβροκόμης ταῦτα ἐπίσταται· ἔτρεχον δὲ ὡς
2 εἶχον ἐπὶ τὴν οἰκίαν. Ὁ δὲ ὡς ἤκουσεν παρά τινος
τῶν Ῥοδίων τὴν τῆς Ἀνθείας εὕρεσιν, διὰ μέσης τῆς
πόλεως βοῶν "Ἄνθεια" ἐοικὼς μεμηνότι ἔθει. Καὶ δὴ
συντυγχάνει τοῖς περὶ τὴν Ἄνθειαν πρὸς τῷ ἱερῷ τῆς
3 Ἴσιδος, πολὺ δὲ τῶν Ῥοδίων πλῆθος ἐφείπετο. Ὡς δὲ
εἶδον ἀλλήλους, εὐθὺς ἀνεγνώρισαν· τοῦτο γὰρ αὐ-
τοῖς ἐβούλοντο αἱ ψυχαί· καὶ περιλαβόντες ἀλλήλους
εἰς γῆν κατηνέχθησαν· κατεῖχε δὲ αὐτοὺς πολλὰ ἅμα
πάθη, ἡδονή, λύπη, φόβος, ἡ τῶν προτέρων μνήμη,
τὸ τῶν μελλόντων δέος· ὁ δὲ δῆμος ὁ Ῥοδίων ἀνευ-
φήμησέ τε καὶ ἀνωλόλυξε, μεγάλην θεὸν ἀνακαλοῦν-
τες τὴν Ἶσιν, "πάλιν" λέγοντες "ὁρῶμεν Ἀβροκόμην
4 καὶ Ἄνθειαν τοὺς καλούς." Οἱ δὲ ἀναλαβόντες ἑαυ-
τούς, ἐξαναστάντες εἰς τὸ τῆς Ἴσιδος ἱερὸν εἰσῆλθον
"σοὶ" λέγοντες, "ὦ μεγίστη θεά, τὴν ὑπὲρ τῆς σωτη-
ρίας ἡμῶν χάριν οἴδαμεν· διὰ σέ, ὦ πάντων ἡμῖν
τιμιωτάτη, ἑαυτοὺς ἀπειλήφαμεν·" προυκυλίοντό τε
τοῦ τεμένους καὶ τῷ βωμῷ προσέπιπτον.

Καὶ τότε μὲν αὐτοὺς ἄγουσι παρὰ τὸν Λεύκωνα
εἰς τὴν οἰκίαν καὶ ὁ Ἱππόθοος τὰ αὐτοῦ μετεσκευάζετο

παρὰ τὸν Λεύκωνα, καὶ ἦσαν ἕτοιμοι πρὸς τὸν εἰς Ἔφεσον πλοῦν· ὡς δὲ ἔθυσαν ἐκείνης τῆς ἡμέρας καὶ εὐωχήθησαν, πολλὰ καὶ ποικίλα παρὰ πάντων τὰ διηγήματα, ὅσα τε ἔπαθεν ἕκαστος καὶ ὅσα ἔδρασε, παρεξέτεινόν τε ἐπὶ πολὺ τὸ συμπόσιον, ὡς αὐτοὺς ἀπολαβόντες χρόνῳ. Ἐπεὶ δὲ νὺξ ἤδη ἐγεγόνει, ἀνεπαύοντο οἱ μὲν ἄλλοι πάντες ὅπως ἔτυχον, Λεύκων μὲν καὶ Ῥόδη, Ἱππόθοος δὲ καὶ τὸ μειράκιον τὸ ἐκ Σικελίας τὸ ἀκολουθῆσαν εἰς Ἰταλίαν ἰόντι αὐτῷ ὁ Κλεισθένης ὁ καλός· ἡ δὲ Ἄνθεια ἀνεπαύετο μετὰ Ἀβροκόμου.

Ὡς δὲ οἱ μὲν ἄλλοι πάντες κατεκοιμήθησαν, ἡσυχία δὲ ἦν ἀκριβής, περιλαβοῦσα ἡ Ἄνθεια τὸν Ἀβροκόμην ἔκλαεν "ἄνερ" λέγουσα "καὶ δέσποτα, ἀπείληφάσε πολλὴν γῆν πλανηθεῖσα καὶ θάλασσαν, λῃστῶν ἀπειλὰς ἐκφυγοῦσα καὶ πειρατῶν ἐπιβουλὰς καὶ πορνοβοσκῶν ὕβρεις καὶ δεσμὰ καὶ τάφρους καὶ ξύλα καὶ φάρμακα καὶ τάφους· ἀλλ' ἥκω σοι τοιαύτη, τῆς ἐμῆς ψυχῆς Ἀβροκόμη δέσποτα, οἵα τὸ πρῶτον ἀπηλλάγην εἰς Συρίαν ἐκ Τύρου· ἔπεισε δέ με ἁμαρτεῖν οὐδείς, οὐ Μοῖρις ἐν Συρίᾳ, οὐ Περίλαος ἐν Κιλικίᾳ, οὐκ ἐν Αἰγύπτῳ Ψάμμις καὶ Πολύιδος, οὐκ Ἀγχίαλος ἐν Αἰθιοπίᾳ, οὐκ ἐν Τάραντι ὁ δεσπότης, ἀλλ' ἁγνὴ μένω σοι πᾶσαν σωφροσύνης μηχανὴν πεποιημένη· σὺ δὲ ἆρα, Ἀβροκόμη, σώφρων ἔμεινας, ἢ μέ τις παρευδοκίμησεν ἄλλη καλή; ἢ μή τις ἠνάγκασέ σε ἐπιλαθέσθαι τῶν ὅρκων τε κἀμοῦ;" Ταῦτα ἔλεγε καὶ κατεφίλει συνεχῶς, ὁ δὲ Ἀβροκόμης "ἀλλ' ὀμνύω σοι" φησὶ "τὴν μόγις ἡμῖν ἡμέραν ποθεινὴν εὑρημένην ὡς οὔτε παρθένος ἐμοί τις ἔδοξεν εἶναι καλή, οὔτ' ἄλλη τις ὀφθεῖσα ἤρεσε γυνή, ἀλλὰ τοιοῦτον εἴ-

ληφας Ἀβροκόμην, οἷον ἐν Τύρῳ κατέλιπες ἐν δεσμωτηρίῳ."

15 Ταῦτα δι' ὅλης [τῆς] νυκτὸς ἀλλήλοις ἀπελογοῦντο καὶ ῥᾳδίως ἔπειθον ἀλλήλους ἐπεὶ τοῦτο ἤθελον· ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, ἐπιβάντες νεώς, πάντα ἐν- 5 θέμενοι τὰ αὑτῶν ἐπανήγοντο παραπέμποντος αὐτοὺς παντὸς τοῦ Ῥοδίων πλήθους· συναπῆει δὲ καὶ ὁ Ἱππόθοος τά τε αὑτοῦ πάντα ἐπαγόμενος καὶ τὸν Κλεισθένη· καὶ ἡμέραις ὀλίγαις διανύσαντες τὸν πλοῦν

2 κατῆραν εἰς Ἔφεσον. Προεπέπυστο τὴν σωτηρίαν αὐ- 10 τῶν ἡ πόλις ἅπασα· ὡς δὲ ἐξέβησαν, εὐθὺς ὡς εἶχον ἐπὶ τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἦσαν καὶ πολλὰ εὔχοντο καὶ θύσαντες ἄλλα [τε] ἀνέθεσαν ἀναθήματα καὶ δὴ καὶ γραφῇ τῇ θεῷ ἀνέθεσαν πάντα ὅσα τε ἔπαθον καὶ

3 ὅσα ἔδρασαν· καὶ ταῦτα ποιήσαντες, ἀνελθόντες εἰς 15 τὴν πόλιν τοῖς γονεῦσιν αὐτῶν τάφους κατεσκεύασαν μεγάλους (ἔτυχον γὰρ ὑπὸ γήρως καὶ ἀθυμίας προτεθνηκότες), καὶ αὐτοὶ τοῦ λοιποῦ διῆγον ἑορτὴν ἄγον-

4 τες τὸν μετ' ἀλλήλων βίον. Καὶ ὁ Λεύκων καὶ ἡ Ῥόδη κοινωνοὶ πάντων τοῖς συντρόφοις ἦσαν, διέγνω δὲ 20 καὶ ὁ Ἱππόθοος ἐν Ἐφέσῳ τὸν λοιπὸν διαβιῶναι χρόνον. Καὶ δὴ Ὑπεράνθους τάφον ἤγειρε μέγαν κατὰ Λέσβον γενόμενος, καὶ τὸν Κλεισθένη παῖδα ποιησάμενος ὁ Ἱππόθοος διῆγεν ἐν Ἐφέσῳ μεθ' Ἀβροκόμου καὶ Ἀνθείας. 25

Ξενοφῶντος
τῶν κατὰ Ἀνθειαν καὶ Ἀβροκόμην Ἐφεσιακῶν λόγων
τέλος

---

1 post Ἀβροκόμην: καθαρόν

662478.2

ΕΡΩΤΙΚΩΝ ΛΟΓΩΝ ΣΥΓΓΡΑΦΕΙΣ

EROTICI SCRIPTORES GRAECI

RECOGNOVIT

RUDOLPHUS HERCHER

TOMUS ALTER

CHARITONEM APHRODISIENSEM
EUSTATHIUM MACREMBOLITAM THEODORUM PRODROMUM
NICETAM EUGENIANUM CONSTANTINUM MANASSEN
ADDENDA CONTINENS

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLIX

ΧΑΡΙΤΩΝΟΣ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΤΩΝ ΠΕΡΙ ΧΑΙΡΕΑΝ ΚΑΙ ΚΑΛΛΙΡΡΟΗΝ

ΛΟΓΟΙ Η

Α

1 Χαρίτων Ἀφροδισιεύς, Ἀθηναγόρου τοῦ ῥήτορος ὑπογραφεύς, πάθος ἐρωτικὸν ἐν Συρακούσαις γενόμενον διηγήσομαι.

Ἑρμοκράτης, ὁ Συρακουσίων στρατηγός, οὗτος ὁ νικήσας Ἀθηναίους, εἶχε θυγατέρα Καλλιῤῥόην τοὔνομα, θαυμαστόν τι χρῆμα παρθένου καὶ ἄγαλμα 2 τῆς ὅλης Σικελίας· ἦν γὰρ τὸ κάλλος οὐκ ἀνθρώπινον ἀλλὰ θεῖον, οὐδὲ Νηρηίδος ἢ Νύμφης τῶν ὀρειῶν ἀλλ' αὐτῆς Ἀφροδίτης. Φήμη δὲ τοῦ παραδόξου θεάματος πανταχοῦ διέτρεχε καὶ μνηστῆρες κατέῤῥεον εἰς Συρακούσας, δυνασταί τε καὶ παῖδες τυράννων, οὐκ ἐκ Σικελίας μόνον, ἀλλὰ καὶ ἐξ Ἰταλίας καὶ Ἠπεί- 3 ρου καὶ νήσων τῶν ἐν Ἠπείρῳ. Ὁ δ' Ἔρως ζεῦγος ἴδιον ἠθέλησε συμπλέξαι. Χαιρέας γάρ τις ἦν μειράκιον εὔμορφον, πάντων ὑπερέχον, οἷον Ἀχιλλέα καὶ Νιρέα καὶ Ἱππόλυτον καὶ Ἀλκιβιάδην πλάσται καὶ γραφεῖς δεικνύουσι, πατρὸς Ἀρίστωνος, τὰ δεύτερα ἐν Συρακούσαις μετὰ Ἑρμοκράτην φερομένου. Καί τις ἦν ἐν αὐτοῖς πολιτικὸς φθόνος, ὥστε θᾶττον 4 ἂν πᾶσιν ἢ ἀλλήλοις ἐκήδευσαν. Φιλόνεικος δ' ἐστὶν ὁ Ἔρως καὶ χαίρει τοῖς παραδόξοις κατορθώμασιν· ἐξήτησε δὲ τοιόνδε τὸν καιρόν.

Ἀφροδίτης ἑορτὴ δημοτελής, καὶ πᾶσαι σχεδὸν αἱ

9 post Ἀφροδίτης: παρθένου

γυναῖκες ἀπῆλθον εἰς τὸν νεών. Τέως δὲ μὴ προϊ- 5
οῦσαν τὴν Καλλιρρόην προήγαγεν ἡ μήτηρ, τοῦ Ἑρμοκράτους κελεύσαντος προσκυνῆσαι τὴν θεόν. Τότε δὲ Χαιρέας ἀπὸ τῶν γυμνασίων ἐβάδιζεν οἴκαδε στίλβων ὥσπερ ἀστήρ· ἐπήνθει γὰρ αὐτοῦ τῷ λαμπρῷ τοῦ προσώπου τὸ ἐρύθημα τῆς παλαίστρας ὥσπερ ἀργύρῳ χρυσός. Ἐκ τύχης οὖν περί τινα καμπὴν στε- 6
νωτέραν συναντῶντες περιέπεσον ἀλλήλοις, τοῦ θεοῦ πολιτευσαμένου τήνδε τὴν [συνοδίαν], ἵν' ἑκά[τε-
ρος τῷ] ἑτέρ[ῳ] ὀφθῇ. Ταχέως οὖν πάθος [ἐρω]τικὸν ἀντέδωκαν ἀλλήλοις . . . .

Ὁ μὲν οὖν Χαιρέας οἴκαδε μετὰ τοῦ τραύματος 7
μόλις ἀπῆει καὶ ὥσπερ τις [ἀρισ]τεὺς ἐν πολέμῳ τρωθεὶς καιρίαν, τοῦ κάλλους [τῇ εὐ]γενεί[ᾳ] συνελθόντος, καὶ καταπεσεῖν μὲν αἰδούμενος, στῆναι δὲ μὴ δυνάμενος· ἡ δὲ παρθένος τῆς Ἀφροδίτης τοῖς ποσὶ προσέπεσε καὶ καταφιλοῦσα "σύ μοι, δέσποινα," εἶπεν "δὸς ἄνδρα τοῦτον ὃν ἔδειξας." Νὺξ ἐπῆλθεν ἀμφο- 8
τέροις δεινή· τὸ γὰρ πῦρ ἐξεκάετο. Δεινότερα δ' ἔπασχεν ἡ παρθένος διὰ τὴν σιωπήν, αἰδουμένη κατάφωρος γενέσθαι· Χαιρέας δὲ νεανίας εὐφυὴς καὶ μεγαλόφρων, ἤδη τοῦ σώματος αὐτῷ φθίνοντος, ἀπετόλμησεν εἰπεῖν πρὸς τοὺς γονεῖς ὅτι ἐρᾷ καὶ οὐ βιώσεται τοῦ Καλλιρρόης γάμου μὴ τυχών. Ἐστέναξεν 9
ὁ πατὴρ ἀκούσας καὶ "οἴχῃ δή μοι, τέκνον· δῆλον γάρ ἐστιν ὅτι Ἑρμοκράτης οὐκ ἂν δοίη σοὶ τὴν αὐτοῦ θυγατέρα τοσούτους ἔχων μνηστῆρας πλουσίους καὶ βασιλεῖς. Οὔκουν οὐδὲ πειρᾶσαί σε δεῖ, μὴ φανερῶς ὑβρισθῶμεν." Εἶθ' ὁ μὲν πατὴρ παρεμυθεῖτο τὸν
παῖδα, τῷ δ' ἠύξετο τὸ κακόν, ὥστε μηδ' ἐπὶ τὰς συνήθεις προϊέναι διατριβάς. Ἐπόθει δὲ τὸ γυμνάσιον 10
Χαιρέαν καὶ ὥσπερ ἔρημον ἦν· ἐφίλει γὰρ αὐτὸν ἡ

νεολαία. Πολυπραγμονοῦντες δὲ τὴν αἰτίαν ἔμαθον τῆς νόσου, καὶ ἔλεος πάντας εἰσῆλθε μειρακίου καλοῦ κινδυνεύοντος ἀπολέσθαι διὰ πάθος ψυχῆς εὐφυοῦς.

11 Ἐνέστη νόμιμος ἐκκλησία. Συγκαθεσθεὶς οὖν ὁ δῆμος τοῦτο πρῶτον καὶ μόνον ἐβόα "καλὸς Ἑρμοκράτης, μέγας στρατηγός, σῶζε Χαιρέαν. Τοῦτο πρῶτον τῶν τροπαίων. Ἡ πόλις μνηστεύεται τοὺς γάμους 12 σήμερον ἀλλήλων ἀξίων." Τίς ἂν μηνύσειε τὴν ἐκκλησίαν ἐκείνην, ἧς ὁ Ἔρως ἦν ὁ δημαγωγός; Ἀνὴρ δὲ φιλόπατρις Ἑρμοκράτης ἀντειπεῖν οὐκ ἐδυνήθη τῇ πόλει δεομένῃ. Κατανεύσαντος δ' αὐτοῦ πᾶς ὁ δῆμος ἐξεπήδησε τοῦ θεάτρου, καὶ οἱ μὲν νέοι ἀπῆεσαν ἐπὶ Χαιρέαν, ἡ βουλὴ δὲ καὶ οἱ ἄρχοντες ἠκολού- 13 θουν Ἑρμοκράτει· παρῆσαν δὲ καὶ αἱ γυναῖκες αἱ Συρακουσίων ἐπὶ τὴν οἰκίαν νυμφαγωγοῦσαι. Τμέναιος ἤδετο κατὰ πᾶσαν τὴν πόλιν· μεσταὶ δὲ αἱ ῥύμαι στεφάνων, λαμπάδων· ἐρραίνετο τὰ πρόθυρα οἴνῳ καὶ μύροις. Ἡδίονα ταύτην τὴν ἡμέραν ἤγαγον 14 οἱ Συρακούσιοι τῆς τῶν ἐπινικίων. Ἡ δὲ παρθένος οὐδὲν εἰδυῖα τούτων ἔρριπτο ἐπὶ τῆς κοίτης ἐγκεκαλυμμένη, κλάουσα καὶ σιωπῶσα. Προσελθοῦσα δὲ ἡ τροφὸς τῇ κλίνῃ "τέκνον," εἶπεν, "ἐξανίστασο, πάρεστι γὰρ ἡ εὐκταιοτάτη πασῶν ἡμῖν ἡμέρα· ἡ πόλις σε νυμφαγωγεῖ."

Τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ· οὐ γὰρ ᾔδει, τίνι γαμεῖται. Ἄφωνος εὐθὺς ἦν καὶ σκότος αὐτῆς τῶν ὀφθαλμῶν κατεχύθη καὶ ὀλίγου δεῖν ἐξέπνευσεν· ἐδόκει δὲ τοῦτο τοῖς ὁρῶσιν αἰδῶς. 15 Ἐπεὶ δὲ ταχέως ἐκόσμησαν αὐτὴν αἱ θεραπαινίδες, τὸ πλῆθος ἐπὶ τῶν θυρῶν ἀπέλιπον· οἱ δὲ γονεῖς τὸν νυμφίον εἰσήγαγον πρὸς τὴν παρθένον. Ὁ μὲν οὖν Χαιρέας προσδραμὼν αὐτὴν κατεφίλει, Καλλιρ-

ρόη δὲ γνωρίσασα τὸν ἐρώμενον, ὥσπερ τι λύχνου φῶς ἤδη σβεννύμενον ἐπιχυθέντος ἐλαίου πάλιν ἀνέλαμψε καὶ μείζων ἐγένετο καὶ κρείττων. Ἐπεὶ δὲ προ- 16
ἦλθεν εἰς τὸ δημόσιον, θάμβος ὅλον τὸ πλῆθος κατέλαβεν, ὥσπερ Ἀρτέμιδος ἐν ἐρημίᾳ κυνηγέταις ἐπιστάσης· πολλοὶ δὲ τῶν παρόντων καὶ προσεκύνησαν. Πάντες δὲ Καλλιρρόην μὲν ἐθαύμαζον, Χαιρέαν δὲ ἐμακάριζον. Τοιοῦτον ὑμνοῦσι ποιηταὶ τὸν Θέτιδος γάμον ἐν Πηλίῳ γεγονέναι. Πλὴν καὶ ἐνταῦθά τις εὑρέθη βάσκανος δαίμων, ὥσπερ ἐκεῖ φασὶ τὴν Ἔριν.

Οἱ γὰρ μνηστῆρες ἀποτυχόντες τοῦ γάμου λύ- 2
πην ἐλάμβανον μετ' ὀργῆς. Τέως οὖν μαχόμενοι πρὸς ἀλλήλους ὡμονόησαν τότε, διὰ δὲ τὴν ὁμόνοιαν, ὑβρίσθαι δοκοῦντες, συνῆλθον εἰς βουλευτήριον κοινόν· ἐστρατολόγει δὲ αὐτοὺς ἐπὶ τὸν κατὰ Χαιρέου πόλεμον ὁ φθόνος. Καὶ πρῶτος ἀναστὰς νεανίας τις 2
Ἰταλιώτης, υἱὸς τοῦ Ῥηγίνων τυράννου, τοιαῦτα ἔλεγεν

"Εἰ μέν τις ἐξ ἡμῶν ἔγημεν, οὐκ ἂν ὠργίσθην, ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἕνα δεῖ νικῆσαι τῶν ἀγωνισαμένων· ἐπεὶ δὲ παρευδοκίμησεν ἡμᾶς ὁ μηδὲν ὑπὲρ [[τοῦ]] γάμου πονήσας, οὐ φέρω τὴν ὕβριν. Ἡμεῖς δὲ παρετάθημεν αὐλείοις θύραις προσαγρυ- 3
πνοῦντες, καὶ κολακεύοντες τίτθας καὶ θεραπαινίδας καὶ δῶρα πέμποντες τροφοῖς πόσον χρόνον δεδουλεύκαμεν καί, τὸ πάντων χαλεπώτατον, ὡς ἀντεραστὰς ἀλλήλους ἐμισήσαμεν· ὁ δὲ πόρνος καὶ πένης καὶ μηδενὸς κρείττων βασιλέων ἀγωνισαμένων αὐτὸς ἀκονιτὶ τὸν στέφανον ἤρατο. Ἀλλὰ ἀνόητον αὐτῷ γενέ- 4
σθω τὸ ἆθλον καὶ τὸν γάμον θάνατον τῷ νυμφίῳ ποιήσωμεν."

Πάντες οὖν ἐπῄνεσαν, μόνος δὲ ὁ Ἀκραγαντίνων

τύραννος ἀντεῖπεν. "Οὐκ εὐναία δὲ" εἶπε "τῇ πρὸς Χαιρέαν κωλύω τὴν ἐπιβουλήν, ἀλλὰ ἀσφαλεστέρῳ τῷ λογισμῷ· μέμνησθε γὰρ ὅτι Ἑρμοκράτης οὐκ ἔστιν εὐκαταφρόνητος· ὥστε ἀδύνατος ἡμῖν πρὸς αὐτὸν ἢ ἐκ τοῦ φανεροῦ μάχη, κρείττων δὲ ἡ μετὰ τέχνης· καὶ γὰρ τὰς τυραννίδας πανουργίᾳ μᾶλλον ἢ βίᾳ κτώμεθα. Χειροτονήσατέ με τοῦ πρὸς Χαιρέαν πολέμου στρατηγόν. Ἐπαγγέλλομαι διαλύσειν τὸν γάμον· ἐφοπλιῶ γὰρ αὐτῷ ζηλοτυπίαν, ἥτις σύμμαχον λαβοῦσα τὸν ἔρωτα μέγα τι κακὸν διαπράξεται. 6 Καλλιρρόη μὲν οὖν εὐσταθὴς καὶ ἄπειρος κακοήθους ὑποψίας, ὁ δὲ Χαιρέας, οἷα δὴ γυμνασίοις ἐντραφεὶς καὶ νεωτερικῶν ἁμαρτημάτων οὐκ ἄπειρος, δύναται ῥᾳδίως ὑποπτεύσας ἐμπεσεῖν εἰς ἐρωτικὴν ζηλοτυπίαν· ἔστι δὲ καὶ προσελθεῖν ἐκείνῳ ῥᾷον καὶ λαλῆσαι."

Πάντες ἔτι λέγοντος αὐτοῦ τὴν γνώμην ἐπεψηφίσαντο καὶ τὸ ἔργον ἐνεχείρισαν ὡς ἀνδρὶ πᾶν ἱκανῷ μηχανήσασθαι. Τοιαύτης οὖν ἐπινοίας ἐκεῖνος ἤρξατο.

3 Ἑσπέρα μὲν ἦν, ἦκε δὲ ἀγγέλλων τις ὅτι Ἀρίστων ὁ πατὴρ Χαιρέου πεσὼν ἀπὸ κλίμακος ἐν ἀγρῷ πάνυ ὀλίγας ἔχει τοῦ ζῆν τὰς ἐλπίδας. Ὁ δὲ Χαιρέας ἀκούσας, καίτοι φιλοπάτωρ ὤν, ὅμως ἐλυπήθη, ὅτι ἔμελλεν ἀπελεύσεσθαι μόνος· οὐ γὰρ οἷόν τε ἦν ἐξάγειν 2 ἤδη τὴν κόρην. Ἐν δὲ τῇ νυκτὶ ταύτῃ φανερῶς μὲν οὐδεὶς ἐτόλμησεν ἐπικωμάσαι, κρύφα δὲ καὶ ἀδήλως ἐπελθόντες σημεῖα κώμου [ἦσαν καὶ] κατέλιπον· ἐστεφάνωσαν τὰ πρόθυρα, μύροις ἔρραναν, οἴνου πηλὸν ἐποίησαν, δᾷδας ἔρριψαν ἡμικαύτους.

---

24 post ἐλυπήθη: πλέον

Διέλαμψεν ἡμέρα, καὶ πᾶς ὁ παριὼν ἐφειστήκει 3
κοινῷ τινὶ πολυπραγμοσύνης πάθει· Χαιρέας δὲ τοῦ
πατρὸς αὐτοῦ ῥᾷον ἐσχηκότος ἔσπευδε πρὸς τὴν γυ-
ναῖκα. Ἰδὼν δὲ τὸν ὄχλον πρὸ τῶν θυρῶν τὸ μὲν
πρῶτον ἐθαύμασεν· ἐπεὶ δὲ ἔμαθε τὴν αἰτίαν, ἐνθου-
σιῶν εἰστρέχει· καταλαβὼν δὲ τὸν θάλαμον ἔτι κε- 4
κλεισμένον, ἤρασσε μετὰ σπουδῆς. Ἐπεὶ δ' ἀνέῳγεν
ἡ θεραπαινίς, ἐπιπεσὼν τῇ Καλλιρρόῃ, τὴν ὀργὴν
μετέβαλεν εἰς λύπην καὶ περιρρηξάμενος ἔκλαε. Πυν-
θανομένης δὲ τί γέγονεν, ἄφωνος ἦν, οὔτε ἀπιστεῖν
οἷς εἶδεν οὔτε πιστεύειν οἷς οὐκ ἤθελε δυνάμενος.
Ἀπορουμένου δὲ αὐτοῦ καὶ τρέμοντος ἡ γυνὴ μηδὲν 5
ὑπονοοῦσα τῶν γεγονότων ἱκέτευεν εἰπεῖν τὴν αἰτίαν
*τοῦ **· ὁ δ' ὑφαίμοις τοῖς ὀφθαλμοῖς καὶ τραχεῖ τῷ*
φθέγματι "κλάω" φησὶ "τὴν ἐμαυτοῦ τύχην, ὅτι μου
ταχέως ἐπελάθου," καὶ τὸν κῶμον ὠνείδισεν. Ἡ δὲ 6
οἷα θυγάτηρ στρατηγοῦ καὶ φρονήματος πλήρης πρὸς
τὴν ἄδικον διαβολὴν παρωξύνθη καὶ "οὐδεὶς ἐπὶ τὴν
πατρῴαν οἰκίαν ἐκώμασεν" εἶπε, "τὰ δὲ σὰ πρόθυρα
συνήθη τυχόν ἐστι τοῖς κώμοις, καὶ τὸ γεγαμηκέναι
σε λυπεῖ τοὺς ἐραστάς." Ταῦτα εἰποῦσα ἀπεστράφη
καὶ ἐγκαλυψαμένη δακρύων ἀφῆκε πηγάς. Εὔκολοι 7
δὲ τοῖς ἐρῶσιν αἱ διαλλαγαὶ καὶ πᾶσαν ἀπολογίαν
ἡδέως ἀλλήλων προσδέχονται. Μεταβαλλόμενος οὖν
ὁ Χαιρέας ἤρξατο κολακεύειν, καὶ ἡ γυνὴ ταχέως αὐ-
τοῦ τὴν μετάνοιαν ἠσπάζετο. Ταῦτα μᾶλλον ἐξέ-
καυσε τὸν ἔρωτα, καὶ οἱ ἀμφοτέρων αὐτῶν γονεῖς μα-
καρίους αὐτοὺς ὑπελάμβανον τὴν τῶν τέκνων ὁρῶν-
τες ὁμόνοιαν.

Ὁ δ' Ἀκραγαντῖνος διαπεπτωκυίας αὐτῷ τῆς 4
πρώτης τέχνης ἥπτετο λοιπὸν ἐνεργεστέρας κατα-
*σκευῆς ** τι τοιοῦτον. Ἦν αὐτῷ παράσιτος στωμύλος*

καὶ πάσης χάριτος ὁμιλητικῆς ἔμπλεως. Τοῦτον ἐκέλευσεν ὑποκριτὴν ἔρωτος γενέσθαι. τὴν ἅβραν γὰρ τῆς Καλλιρρόης καὶ τιμιωτάτην τῶν θεραπαινίδων
2 προσπίπτων φιλεῖν ἐποίει. μόλις οὖν ἐκειτο, πλὴν ὑπηγάγετο τὴν μείρακα μεγάλαις δωρεαῖς τῷ τε λέγειν ἀπάγξεσθαι μὴ τυχὼν τῆς ἐπιθυμίας. Γυνὴ δὲ εὐάλωτόν ἐστιν, ὅταν ἐρᾶσθαι δοκῇ. Ταῦτα οὖν προκατασκευασάμενος ὁ δημιουργὸς τοῦ δράματος, ὑποκριτὴν ἕτερον ἐξεῦρεν, οὐκέτι ὁμοίως εὔχαριν, ἀλλὰ
3 πανοῦργον καὶ ἀξιόπιστον λαλῆσαι. Τοῦτον προδιδάξας ἃ χρὴ πράττειν καὶ λέγειν, ὑπέπεμψεν ἀγνῶτα τῷ Χαιρέᾳ. Προσελθὼν δὲ ἐκεῖνος αὐτῷ περὶ τὰς παλαίστρας ἀλύοντι "κάμοι" φησὶν "υἱὸς ἦν, ὦ Χαιρέα, σὸς ἡλικιώτης, πάνυ σε θαυμάζων καὶ φιλῶν, ὅτε ἔξη. Τελευτήσαντος δὲ αὐτοῦ σὲ υἱὸν ἐμαυτοῦ νομίζω, καὶ γὰρ εἷ κοινὸν ἀγαθὸν πάσης Σικελίας
4 εὐτυχῶν. Δὸς οὖν μοι σχολάζοντα σεαυτὸν καὶ ἀκούσῃ μεγάλα πράγματα ὅλῳ τῷ βίῳ σου διαφέροντα."

Τοιούτοις ῥήμασιν ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος τοῦ μειρακίου τὴν ψυχὴν ἀνακουφίσας καὶ μεστὸν ποιήσας ἐλπίδος καὶ φόβου καὶ πολυπραγμοσύνης, δεομένου λέγειν ὤκνει καὶ προυφασίζετο μὴ εἶναι
5 τὸν καιρὸν ἐπιτήδειον τὸν παρόντα, δεῖν δὲ ἀναβολῆς καὶ σχολῆς μακροτέρας. Ἐνέκειτο μᾶλλον ὁ Χαιρέας, ἤδη τι προσδοκῶν βαρύτερον· ὁ δ' ἐμβαλὼν αὐτῷ τὴν δεξιὰν ἀπῆγεν εἴς τι χωρίον ἠρεμαῖον, εἶτα συναγαγὼν τὰς ὀφρῦς καὶ ὅμοιος γενόμενος λυπουμένῳ, μικρὸν δέ τι καὶ δακρύσας "ἀηδῶς μὲν" εἶπεν "ὦ Χαιρέα, σκυθρωπόν σοι πρᾶγμα μηνύω καὶ πάλαι βουλόμενος εἰπεῖν ὤκνουν· ἐπεὶ δὲ ἤδη φανερῶς ὑβρίζῃ καὶ θρυλεῖται πανταχοῦ τὸ δεινόν, οὐχ ὑπο-

μένω σιωπᾶν· φύσει τε γὰρ μισοπόνηρός εἰμι καὶ σοὶ μάλιστα εὔνους. Γίνωσκε τοίνυν μοιχευομένην σου 6
τὴν γυναῖκα, καὶ ἵνα τούτῳ πιστεύσῃς, ἕτοιμος ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν δεικνύειν."

Ὡς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς, χάριεν δ' ἤσχυνε πρόσωπον.

Ἐπὶ πολὺ μὲν οὖν ἀχανὴς ἔκειτο, μήτε τὸ στόμα μήτε 7
τοὺς ὀφθαλμοὺς ἐπᾶραι δυνάμενος· ἐπεὶ δὲ φωνὴν οὐχ ὁμοίαν μὲν ὀλίγην δὲ συνελέξατο, "δυστυχῆ μὲν" εἶπεν "αἰτῶ παρὰ σοῦ χάριν αὐτόπτης γενέσθαι τῶν ἐμῶν κακῶν· ὅμως δὲ δεῖξον, ὅπως εὐλογώτερον ἐμαυτὸν ἀνέλω· Καλλιρρόης γὰρ καὶ ἀδικούσης φείσομαι." "Προσποίησαι" φησὶν "ὡς εἰς ἀγρὸν ἀπιέ- 8
ναι, βαθείας δὲ ἑσπέρας παραφύλαττε τὴν οἰκίαν· ὄψει γὰρ εἰσιόντα τὸν μοιχόν."

Συνέθεντο ταῦτα, καὶ ὁ μὲν Χαιρέας πέμψας (οὐ γὰρ αὐτὸς ὑπέμεινεν οὐδὲ εἰσελθεῖν) "ἄπειμι" φησὶν "εἰς ἀγρόν·" ὁ δὲ κακοήθης ἐκεῖνος καὶ διάβολος συνέταττε τὴν σκηνήν. Ἑσπέρας οὖν ἐπιστάσης ὁ 9
μὲν ἐπὶ τὴν κατασκοπὴν ἦλθεν, ὁ δὲ τὴν ἄβραν τῆς Καλλιρρόης διαφθείρας ἐνέβαλεν εἰς τὸν στενωπόν, ὑποκρινόμενος μὲν τὸν λαθραίοις ἔργοις ἐπιχειρεῖν προαιρούμενον, πάντα δὲ μηχανώμενος ἵνα μὴ λάθοι· κόμην εἶχε λιπαρὰν καὶ βοστρύχους μύρων ἀποπνέοντας, ὀφθαλμοὺς ὑπογεγραμμένους, ἱμάτιον μαλακόν, ὑπόδημα λεπτόν· δακτύλιοι βαρεῖς ὑπέστιλβον. Εἶτα πολὺ περιβλεψάμενος τῇ θύρᾳ προσῆλθε, κρούσας δὲ ἐλαφρῶς τὸ εἰωθὸς ἔδωκε σημεῖον. Ἡ δὲ θε- 10
ράπαινα καὶ αὐτὴ περίφοβος ἠρέμα παρανοίξασα καὶ λαβομένη τῆς χειρὸς εἰσήγαγε. Ταῦτα θεασάμενος Χαιρέας οὐκέτι κατέσχεν ἀλλὰ εἰσέδραμεν ἐπ' αὐτο-

11 φώρῳ τὸν μοιχὸν ἀναιρήσων. Ὁ μὲν οὖν παρὰ τὴν
αὔλειον θύραν ὑποστὰς εὐθὺς ἐξῆλθεν, ἡ δὲ Καλλιρ-
ρόη καθῆστο ἐπὶ τῆς κλίνης ζητοῦσα Χαιρέαν καὶ
μηδὲ λύχνον ἅψασα διὰ τὴν λύπην· ψόφου δὲ ποδῶν
γενομένου πρώτη τοῦ ἀνδρὸς ἤσθετο τὴν ἀναπνοὴν
12 καὶ χαίρουσα αὐτῷ προσέδραμεν. Ὁ δὲ φωνὴν μὲν
οὐκ ἔσχεν ὥστε λοιδορήσασθαι, κρατούμενος δὲ ὑπὸ
τῆς ὀργῆς ἐλάκτισε προσιοῦσαν. Εὐστόχως οὖν ὁ
ποῦς κατὰ τοῦ διαφράγματος ἐνεχθεὶς ἐπέσχε τῆς
παιδὸς τὴν ἀναπνοήν, ἐρριμμένην δὲ αὐτὴν αἱ θερα-
παινίδες βαστάσασαι κατέκλιναν ἐπὶ τὴν κοίτην.

5 Καλλιρρόη μὲν οὖν ἄφωνος καὶ ἄπνους ἔκειτο
νεκρᾶς εἰκόνα πᾶσι παρέχουσα, Φήμη δὲ ἄγγελος
τοῦ πάθους καθ' ὅλην τὴν πόλιν διέτρεχεν, οἰμωγὴν
ἐγείρουσα διὰ τῶν στενωπῶν ἄχρι τῆς θαλάττης· καὶ
πανταχόθεν ὁ θρῆνος ἠκούετο, καὶ τὸ πρᾶγμα ἐώκει
πόλεως ἁλώσει. Χαιρέας δὲ ἔτι τῷ θυμῷ ζέων δι'
ὅλης [τῆς] νυκτὸς ἀποκλείσας ἑαυτὸν ἐβασάνιζε τὰς
θεραπαινίδας, πρώτην δὲ καὶ τελευταίαν τὴν ἄβραν.
2 Ἔτι δὲ καομένων καὶ τεμνομένων αὐτῶν ἔμαθε τὴν
ἀλήθειαν. Τότε ἔλεος αὐτὸν εἰσῆλθε τῆς ἀποθα-
νούσης καὶ ἀποκτεῖναι μὲν ἑαυτὸν ἐπεθύμει, Πολύ-
χαρμος δ' ἐκώλυε, φίλος ἑξαίρετος τοιοῦτος, οἷον
Ὅμηρος ἐποίησε Πάτροκλον Ἀχιλλέως. Ἡμέρας δὲ
γενομένης οἱ ἄρχοντες ἐκλήρουν δικαστήριον τῷ φο-
νεῖ, διὰ τὴν πρὸς Ἑρμοκράτην τιμὴν ἐπισπεύδοντες
3 τὴν κρίσιν. Ἀλλὰ καὶ ὁ δῆμος ἅπας εἰς τὴν ἀγορὰν
συνέτρεχεν, ἄλλων ἄλλα κεκραγότων· ἐδημοκόπουν
δὲ οἱ τῆς μνηστείας ἀποτυχόντες καὶ ὁ Ἀκραγαντῖνος
ὑπὲρ ἅπαντας, λαμπρός τε καὶ σοβαρός, οἷον διαπρα-
4 ξάμενος ἔργον ὃ μηδεὶς ἂν προσεδόκησε. Συνέβη
δὲ πρᾶγμα καινὸν καὶ ἐν δικαστηρίῳ μηδεπώποτε

πραχθέν· ῥηθείσης γὰρ τῆς κατηγορίας ὁ φονεὺς μετρηθέντος αὐτῷ τοῦ ὕδατος ἀντὶ τῆς ἀπολογίας αὐτοῦ κατηγόρησε πικρότερον καὶ πρῶτος τὴν καταδικάζουσαν ψῆφον ἤνεγκεν, οὐδὲν εἰπὼν τῶν πρὸς τὴν ἀπολογίαν δικαίων, οὐ τὴν διαβολήν, οὐ τὴν ζηλοτυπίαν, οὐ τὸ ἀκούσιον, ἀλλ' ἐδεῖτο πάντων "δημοσίᾳ με καταλεύσατε· ἀπεστεφάνωσα τὸν δῆμον. Φιλάνθρωπόν ἐστιν ἂν παραδῶτέ με δημίῳ. Τοῦτο ὤφειλον ἂν παθεῖν, εἰ καὶ θεραπαινίδα Ἑρμοκράτους ἀπέκτεινα. Τρόπον ζητήσατε κολάσεως ἀπόρρητον. Χείρονα δέδρακα ἱεροσύλων καὶ πατροκτόνων. Μὴ θάψητέ με, μὴ μιάνητε τὴν γῆν, ἀλλὰ τὸ ἀσεβὲς καταποντώσατε σῶμα."

Ταῦτα λέγοντος θρῆνος ἐξερράγη, καὶ πάντες ἀφέντες τὴν νεκρὰν τὸν ζῶντα ἐπένθουν. Ἑρμοκράτης συνηγόρησε Χαιρέᾳ πρῶτος. "Ἐγὼ" φησὶν "ἐπίσταμαι τὸ συμβὰν ἀκούσιον ὄν. Βλέπω τοὺς ἐπιβουλεύοντας ἡμῖν. Οὐκ ἐφησθήσονται δυσὶ νεκροῖς, οὐδὲ λυπήσω τεθνεῶσαν τὴν θυγατέρα. Ἤκουσα λεγούσης αὐτῆς πολλάκις ὅτι αὐτῆς μᾶλλον θέλει Χαιρέαν ζῆν. Παύσαντες οὖν τὸ περισσὸν δικαστήριον ἐπὶ τὸν ἀναγκαῖον ἀπίωμεν τάφον. Μὴ παραδῶμεν χρόνῳ τὴν νεκράν, μηδὲ ἄμορφον τῇ παρολκῇ ποιήσωμεν τὸ σῶμα. Θάψωμεν Καλλιρρόην ἔτι καλήν."

Οἱ μὲν οὖν δικασταὶ τὴν ἀπολύουσαν ψῆφον ἔθεσαν, Χαιρέας δὲ οὐκ ἀπέλυεν ἑαυτόν, ἀλλ' ἐπεθύμει θανάτου καὶ πάσας ὁδοὺς ἐμηχανᾶτο τῆς τελευτῆς. Πολύχαρμος δὲ ὁρῶν ἄλλως ἀδύνατον ἑαυτῷ τὴν σωτηρίαν "προδότα" φησὶ "τῆς νεκρᾶς, οὐδὲ θάψαι Καλλιρρόην ὑπομενεῖς; ἀλλοτρίαις χερσὶ τὸ σῶμα πιστεύεις; Καιρός ἐστί σοι νῦν ἐνταφίων ἐπιμελεῖ-

σθαι πολυτελείας καὶ τὴν ἐκκομιδὴν κατασκευάσαι
2 βασιλικήν." Ἔπεισεν οὗτος ὁ λόγος· ἐνέβαλε γὰρ
φιλοτιμίαν καὶ φροντίδα. Τίς ἂν οὖν ἀπαγγεῖλαι
δύναιτο κατ' ἀξίαν τὴν ἐκκομιδὴν ἐκείνην; Κατέκειτο
μὲν Καλλιρρόη νυμφικὴν ἐσθῆτα περικειμένη καὶ
ἐπὶ χρυσηλάτου κλίνης μείζων τε καὶ κρειττων, ὥστε
3 πάντες εἴκαζον αὐτὴν Ἀριάδνῃ καθευδούσῃ. Προῆε-
σαν δὲ τῆς κλίνης πρῶτοι μὲν οἱ Συρακουσίων ἱπ-
πεῖς αὐτοῖς ἵπποις κεκοσμημένοι, μετὰ τούτους ὁπλῖ-
ται φέροντες [τὰ] σημεῖα τῶν Ἑρμοκράτους τροπαίων,
εἶτα ἡ βουλή, καὶ ἐν μέσῳ τῷ δήμῳ πάντες [οἱ Ἑρ-
μοκράτ]ην δορυφοροῦντες· ἐφέρετο δὲ καὶ Ἀρίστων,
ἔτι νοσῶν, θυγατέρα καὶ κυρίαν Καλλιρρόην ἀποκα-
λῶν. Ἐπὶ τούτοις αἱ γυναῖκες τῶν πολιτῶν μελανεί-
4 μονες, εἶτα πλοῦτος ἐνταφίων βασιλικός· πρῶτος
μὲν ὁ τῆς φερνῆς χρυσός τε καὶ ἄργυρος [καὶ] ἐσθή-
των κάλλος καὶ κόσμος (συνέπεμψε δὲ Ἑρμοκράτης
πολλὰ ἐκ τῶν λαφύρων) συγγενῶν τε δωρεαὶ καὶ φί-
λων, τελευταῖος δὲ ὁ Χαιρέου πλοῦτος· ἐπεθύμει γάρ,
εἰ δυνατὸν ἦν, πᾶσαν τὴν οὐσίαν συγκαταφλέξαι τῇ
5 γυναικί. Ἔφερον δὲ τὴν κλίνην οἱ Συρακουσίων
ἔφηβοι, καὶ ἐπηκολούθει τὸ πλῆθος. Πάντων δὲ
θρηνούντων μάλιστα Χαιρέας ἠκούετο. Ἦν δὲ τάφος
μεγαλοπρεπὴς Ἑρμοκράτους πλησίον τῆς θαλάσσης,
ὥστε καὶ τοῖς πόρρωθεν πλέουσι περίβλεπτος εἶναι·
τοῦτον ὥσπερ θησαυρὸν ἐπλήρωσεν ἡ τῶν ἐνταφίων
πολυτέλεια. Τὸ δὲ δοκοῦν εἰς τιμὴν τῆς νεκρᾶς γε-
γονέναι μειζόνων πραγμάτων ἐκίνησεν ἀρχήν.
7 Θήρων γάρ τις ἦν, πανοῦργος ἄνθρωπος, ἐξ ἀδι-
κίας πλέων τὴν θάλασσαν καὶ λῃστὰς ἔχων ἐφορ-

19 post δέ: ἐπηκολούθησεν

μοῦντας τοῖς λιμέσιν. Ὀνόματι πορθμείου πειρατήριον συγκροτῶν οὗτος, τῇ ἐκκομιδῇ παρατυχὼν ἐπωφθαλμίασε τῷ χρυσῷ καὶ νύκτωρ κατὰ κλίνης οὐκ ἐκοιμᾶτο λέγων πρὸς ἑαυτὸν "ἀλλ' ἐγὼ κινδυνεύω μαχόμενος τῇ θαλάσσῃ καὶ τοὺς ζῶντας ἀποκτείνων ἕνεκα λημμάτων μικρῶν, ἐξὸν πλουτῆσαι παρὰ μιᾶς νεκρᾶς. Ἀνερρίφθω κύβος· οὐκ ἀφήσω τὸ κέρδος. Τίνας δ' οὖν ἐπὶ τὴν πρᾶξιν στρατολογήσω; Σκέψαι, Θήρων, τίς ἐπιτήδειος ὢν οἶδας. Ζηνοφάνης ὁ Θούριος; Συνετὸς μὲν ἀλλὰ δειλός. Μένων ὁ Μεσσήνιος; Τολμηρὸς μὲν ἀλλὰ προδότης." Ἐπεξιὼν δὲ τῷ λογισμῷ καθέκαστον, ὥσπερ ἀργυρογνώμων, πολλοὺς ἀποδοκιμάσας, ὅμως ἔδοξε τινὰς ἐπιτηδείους. Ἔωθεν οὖν διατρέχων εἰς τὸν λιμένα, ἕκαστον αὐτῶν ἀνεζήτει. Εὗρε δ' ἐνίους μὲν ἐν πορνείοις, τοὺς δ' ἐν καπηλείοις, οἰκεῖον στρατὸν τοιούτῳ στρατηγῷ. Φήσας οὖν ἔχειν τι διαλεχθῆναι πρὸς αὐτοὺς ἀναγκαῖον, κατόπιν τοῦ λιμένος ἀπήγαγε καὶ τούτων ἤρξατο τῶν λόγων "ἐγὼ θησαυρὸν εὑρὼν ὑμᾶς κοινωνοὺς εἱλόμην ἐξ ἁπάντων· οὐ γάρ ἐστιν ἑνὸς τὸ κέρδος, οὐδὲ πόνου πολλοῦ δεόμενον, ἀλλὰ μία νὺξ δύναται ποιῆσαι πάντας ἡμᾶς πλουσίους. Οὐκ ἄπειροι δ' ἐσμὲν τοιούτων ἐπιτηδευμάτων, ἃ παρὰ μὲν τοῖς ἀνοήτοις ἀνθρώποις ἔχει διαβολήν, ὠφέλειαν δὲ τοῖς φρονίμοις δίδωσι." Συνῆκαν εὐθὺς ὅτι λῃστείαν ἢ τυμβωρυχίαν ἢ ἱεροσυλίαν καταγγέλλει, καὶ "παῦσαι" ἔφασαν "[πείθων] τοὺς πεπεισμένους ἤδη καὶ μόνον μήνυε τὴν πρᾶξιν, καὶ τὸν καιρὸν μὴ παραπολλύωμεν." Ὁ δὲ Θήρων ἔνθεν ἐλὼν "ἑωράκατε" φησὶ "[τὸν] χρυσὸν καὶ ἄργυρον τῆς νεκρᾶς. Οὗτος ἡμῶν τῶν ζώντων δικαιότερον γένοιτ' ἄν. Δοκεῖ δή μοι νυκτὸς ἀνοῖξαι τὸν τάφον, εἶτα ἐνθεμένους

τῷ κέλητι, πλεύσαντας ὅποι ποτ' ἂν φέρῃ τὸ πνεῦμα διαπωλῆσαι τὸν φόρτον ἐπὶ ξένης." Ἤρεσε. "Νῦν μὲν οὖν" φησὶ "τρέπεσθε ἐπὶ τὰς συνήθεις διατριβάς· βαθείας δὲ ἑσπέρας ἕκαστος ἐπὶ τὸν κέλητα κατίτω κομίζων οἰκοδομικὸν ὄργανον."

8 Οὗτοι μὲν δὴ ταῦτα ἔπραττον· τὰ δὲ περὶ Καλλιρρόην δευτέραν ἄλλην ἐλάμβανε παλιγγενεσίαν, καί τινος ἀνέσεως ταῖς ἀποληφθείσαις ἀναπνοαῖς ἐκ τῆς ἀσιτίας ἐγγενομένης μόλις καὶ κατ' ὀλίγον ἀνέπνευσεν· ἔπειτα κινεῖν ἤρξατο κατὰ μέλη τὸ σῶμα, διανοίγουσα δὲ τοὺς ὀφθαλμοὺς αἴσθησιν ἐλάμβανεν ἐγειρομένης ἐξ ὕπνου καὶ ὡς συγκαθεύδοντα Χαι-
2 ρέαν ἐκάλεσεν. Ἐπεὶ δὲ οὔτε ὁ ἀνὴρ οὔτε αἱ θεραπαινίδες ἤκουον, πάντα δὲ ἦν ἐρημία καὶ σκότος, φρίκη καὶ τρόμος τὴν παῖδα κατελάμβανεν οὐ δυνα- μένην τῷ λογισμῷ συμβαλεῖν τὴν ἀλήθειαν, μόλις δὲ ἀνεγειρομένη στεφάνων προσήψατο καὶ ταινιῶν [καὶ] ψόφον ἐποίει χρυσοῦ τε καὶ ἀργύρου· πολλὴ
3 δὲ ἦν ἀρωμάτων εὐωδία. Τότ' οὖν ἀνεμνήσθη τοῦ λακτίσματος καὶ τοῦ δι' ἐκεῖνο πτώματος, μόλις τε τὸν ἐκ τῆς ἀγωνίας ἐνόησε τάφον. Ἔρρηξεν οὖν φωνήν, ὅσην ἐδύνατο "σώζετε, βοηθεῖτε." Ἐπεὶ δὲ πολλάκις αὐτῆς κεκραγυίας οὐδὲν ἐγίνετο πλέον, ἀπήλπισεν ἤδη τὴν σωτηρίαν καὶ ἐνθεῖσα τοῖς γόνασι τὴν κεφαλὴν ἐθρήνει λέγουσα "οἴμοι τῶν κακῶν· ζῶσα κατ-
4 ορώρυγμαι μηδὲν ἀδικοῦσα καὶ ἀποθνήσκω θάνατον μακρόν. Ὑγιαίνουσάν με πενθοῦσι. Τίνα τίς ἄγγελον πέμψει; Ἄδικε Χαιρέα, μέμφομαί σε οὐχ ὅτι με ἀπέκτεινας, ἀλλ' ὅτι με ἔσπευσας ἐκβαλεῖν τῆς οἰκίας. Οὐκ ἔδει σε ταχέως θάψαι Καλλιρρόην οὐδ' ἀληθῶς ἀποθανοῦσαν. Ἀλλ' ἤδη τάχα τι βουλεύῃ περὶ γάμου."

9 Κἀκείνη μὲν ἐν ποικίλοις ἦν ὀδυρμοῖς· ὁ δὲ Θή-

ρων φυλάξας αὐτὸ τὸ μεσονύκτιον ἀψοφητὶ προσῄει τῷ τάφῳ, κούφως ταῖς κώπαις ἁπτόμενος τῆς θαλάσσης. Ἐκβαίνων δὲ πρῶτον ἐπέταξε τὴν ὑπηρεσίαν [[τὸν τρόπον]] τοῦτον. Τέσσαρας μὲν ἀπέστειλεν ἐπὶ κατασκοπήν, εἴ τινες προσίοιεν εἰς τὸν τόπον, εἰ μὲν δύναιντο, φονεύειν· εἰ δὲ μή, συνθήματι μηνύειν τὴν ἄφιξιν αὐτῶν· πέμπτος δὲ αὐτὸς προσῄει τῷ τάφῳ. Τοὺς δὲ λοιποὺς (ἦσαν γὰρ οἱ σύμπαντες ἑκκαίδεκα) μένειν ἐπὶ τοῦ κέλητος ἐκέλευσε καὶ τὰς κώπας ἔχειν ἐπτερωμένας, ἵνα, ἐάν τι αἰφνίδιον συμβαίνῃ, ταχέως τοὺς ἀπὸ γῆς ἁρπάσαντες ἀποπλεύσωσιν. Ἐπεὶ δὲ μοχλοὶ προσηνέχθησαν καὶ σφοδροτέρα πληγὴ πρὸς τὴν ἀνάρρηξιν τοῦ τάφου, τὴν Καλλιρρόην κατελάμβανεν ὁμοῦ πάντα, φόβος, χαρά, λύπη, θαυμασμός, ἐλπίς, ἀπιστία. "Πόθεν ὁ ψόφος; Ἆρά τις δαίμων κατὰ νόμον κοινὸν τῶν ἀποθνησκόντων ἐπ' ἐμὲ παραγίνεται τὴν ἀθλίαν; Ἢ ψόφος οὐκ ἔστιν, ἀλλὰ φωνὴ καλούντων με τῶν ὑποχθονίων πρὸς αὐτούς; Τυμβωρύχους μᾶλλον εἰκὸς εἶναι· καὶ γὰρ τοῦτό μου ταῖς συμφοραῖς προσετέθη· πλοῦτος ἄχρηστος νεκρῷ." Ταῦτα ἔτι λογιζομένης αὐτῆς προύβαλε τὴν κεφαλὴν ὁ λῃστὴς καὶ κατὰ μικρὸν εἰσεδύετο. Καλλιρρόη δ' αὐτῷ προσέπεσε, βουλομένη δεηθῆναι· κἀκεῖνος φοβηθεὶς ἐξεπήδησε, τρέμων δὲ πρὸς τοὺς ἑταίρους ἐφθέγξατο "φεύγωμεν ἐντεῦθεν· δαίμων γάρ τις φυλάττει τὰ ἔνδον καὶ εἰσελθεῖν ἡμῖν οὐκ ἐπιτρέπει." Κατεγέλασε Θήρων, δειλὸν εἰπὼν καὶ νεκρότερον τῆς τεθνεώσης, εἶτα ἐκέλευσε ἄλλον εἰσελθεῖν. Ἐπεὶ δὲ οὐδεὶς ὑπέμενεν, αὐτὸς εἰσῆλθε προβαλλόμενος τὸ ξίφος. Λάμψαντος δὲ τοῦ σιδήρου, δείσασα ἡ Καλλιρρόη, μὴ φονευθῇ, πρὸς τὴν γωνίαν ἐξέτεινεν ἑαυτὴν κἀκεῖθεν ἱκέτευε, λεπτὴν ἀφιεῖσα

φωνήν " ἐλέησον, ὅστις ποτ' εἶ, τὴν οὐκ ἐλεηθεῖσαν
ὑπ' ἀνδρὸς οὐδὲ γονέων· μὴ ἀποκτείνῃς ἣν σέσω-
6 κας." Μᾶλλον ἐθάρρησεν ὁ Θήρων καὶ οἷα δεινὸς
ἀνὴρ ἐνόησε τὴν ἀλήθειαν· ἔστη δὲ σύννους καὶ τὸ
μὲν πρῶτον ἐβουλεύσατο κτεῖναι τὴν γυναῖκα, νομί-
ζων ἐμπόδιον ἔσεσθαι τῆς ὅλης πράξεως· ταχεῖα δὲ
διὰ τὸ κέρδος ἐγένετο μετάνοια καὶ πρὸς αὑτὸν εἶπεν
" ἔστω καὶ αὐτὴ τῶν ἐνταφίων μέρος· πολὺς μὲν
ἄργυρος ἐνταῦθα πολὺς δὲ χρυσός, τούτων δὲ πάν-
7 των τὸ τῆς γυναικὸς τιμιώτερον κάλλος." Λαβόμε-
νος οὖν τῆς χειρὸς ἐξήγαγεν αὐτήν, εἶτα καλέσας τὸν
συνεργὸν " ἰδοὺ" φησὶν " ὁ δαίμων, ὃν ἐφοβοῦ· κα-
λός γε λῃστὴς φοβηθεὶς γυναῖκα. Σὺ μὲν οὖν φύ-
λαττε ταύτην· θέλω γὰρ αὐτὴν ἀποδοῦναι τοῖς γο-
νεῦσιν· ἡμεῖς δὲ ἐκφέρωμεν τὰ ἔνδον ἀποκείμενα,
μηκέτι μηδὲ τῆς νεκρᾶς αὐτὰ τηρούσης."
10 Ἐπεὶ δὲ ἐνέπλησαν τὸν κέλητα τῶν λαφύρων,
ἐκέλευσεν ὁ Θήρων τὸν φύλακα μικρὸν ἀποστῆναι
μετὰ τῆς γυναικός· εἶτα βουλὴν προύθηκε περὶ αὐ-
τῆς. Ἐγένοντο δὲ αἱ γνῶμαι διάφοροι καὶ ἀλλήλαις
2 ὑπεναντίαι. Πρῶτος γάρ τις εἶπεν " ἐφ' ἕτερα μὲν
ἤλθομεν, ὦ συστρατιῶται, βέλτιον δὲ τὸ παρὰ τῆς
τύχης ἀποβέβηκε· χρησώμεθα αὐτῷ· δυνάμεθα γὰρ
ἀκινδύνως εἰργάσθαι. Δοκεῖ δή μοι τὰ μὲν ἐντάφια
κατὰ χώραν ἐᾶν, ἀποδοῦναι δὲ τὴν Καλλιρρόην ἀν-
δρὶ καὶ πατρί, φήσαντας ὅτι προσωρμίσθημεν τῷ
τόπῳ κατὰ συνήθειαν ἁλιευτικήν, ἀκούσαντες δὲ
φωνὴν ἠνοίξαμεν κατὰ φιλανθρωπίαν, ἵνα σώσω-
3 μεν τὴν ἔνδον ἀποκεκλεισμένην. Ὁρκίσωμεν δὲ τὴν
γυναῖκα πάντα ἡμῖν μαρτυρεῖν. Ἡδέως δὲ ποιήσει.
χάριν ὀφείλουσα τοῖς εὐεργέταις, δι' ὧν ἐσώθη. Πό-
σης οἴεσθε χαρᾶς ἐμπλήσομεν τὴν ὅλην Σικελίαν;

πόσας ληψόμεθα δωρεάς; ἅμα δὲ καὶ πρὸς ἀνθρώπους δίκαια καὶ πρὸς θεοὺς ὅσια ταῦτα ποιήσομεν."

Ἔτι δὲ αὐτοῦ λέγοντος ἕτερος ἀντεῖπεν "ἄκαιρε καὶ ἀνόητε, νῦν ἡμᾶς κελεύεις φιλοσοφεῖν; ἆρά γε τὸ τυμβωρυχεῖν ἡμᾶς ἐποίησε χρηστούς; ἐλεήσομεν ἣν οὐκ ἠλέησεν ἴδιος ἀνὴρ ἀλλ' ἀπέκτεινεν; οὐδὲν γὰρ ἠδίκηκεν ἡμᾶς· ἀλλ' ἀδικήσει τὰ μέγιστα. Πρῶτον μὲν γάρ, ἂν ἀποδῶμεν αὐτὴν τοῖς προσήκουσιν, ἄδηλον ἣν ἕξουσι γνώμην περὶ τοῦ γεγονότος, καὶ ἀδύνατον μὴ ὑποπτευθῆναι τὴν αἰτίαν, δι' ἣν ἤλθομεν ἐπὶ τὸν τάφον. Ἐὰν δὲ καὶ χαρίσωνται τὴν τιμωρίαν ἡμῖν οἱ τῆς γυναικὸς συγγενεῖς, ἀλλ' οἱ ἄρχοντες καὶ ὁ δῆμος αὐτὸς οὐκ ἀφήσει τυμβωρύχους ἄγοντας, καθ' αὑτῶν τὸ φορτίον. Τάχα δέ τις ἐρεῖ λυσιτελέστερον εἶναι πωλῆσαι τὴν γυναῖκα· τιμὴν γὰρ εὑρήσειν διὰ τὸ κάλλος. Ἔχει δὲ καὶ τοῦτο κίνδυνον. Ὁ μὲν γὰρ χρυσὸς οὐκ ἔχει φωνήν, οὐδὲ ὁ ἄργυρος ἐρεῖ πόθεν αὐτὸν εἰλήφαμεν. Ἔξεστιν ἐπὶ τούτοις πλάσασθαι καὶ διήγημα. Φορτίον δὲ ἔχον ὀφθαλμούς τε καὶ ὦτα καὶ γλῶσσαν τίς ἂν ἀποκρύψαι δύναιτο; καὶ γὰρ οὐδὲ ἀνθρώπινον τὸ κάλλος, ἵνα λάθωμεν. Ὅτε δούλην ἐροῦμεν τίς αὐτὴν ἰδὼν τούτῳ πιστεύσει; Φονεύσωμεν οὖν αὐτὴν ἐνθάδε, καὶ μὴ περιαγάγωμεν καθ' αὑτῶν τὸν κατήγορον."

Πολλῶν δὲ τούτοις συντιθεμένων οὐδετέρᾳ γνώμῃ Θήρων ἐπεψήφισε. "Σὺ μὲν γὰρ" εἶπε "κίνδυνον ἐπάγεις, σὺ δὲ κέρδος ἀπολλύεις. Ἐγὼ δὲ ἀποδώσομαι τὴν γυναῖκα μᾶλλον ἢ ἀπολῶ· πωλουμένη μὲν γὰρ σιγήσει διὰ τὸν φόβον, πραθεῖσα δὲ κατηγορείτω τῶν μὴ παρόντων. Ἀλλ' ἐμβαίνετε· πλέωμεν· ἤδη γάρ ἐστι πρὸς ἡμέραν."

---

30 post παρόντων: οὐδὲ γὰρ ἀκίνδυνον βίον ζῶμεν

11 Ἀναχθεῖσα δὲ ἡ ναῦς ἐφέρετο λαμπρῶς· οὐδὲ γὰρ ἐβιάζοντο πρὸς κῦμα καὶ πνεῦμα τῷ μὴ προκεῖσθαί τινα πλοῦν ἴδιον αὐτοῖς, ἀλλὰ πᾶς ἄνεμος οὔριος αὐτοῖς ἐδόκει καὶ κατὰ πρύμναν εἱστήκει. Καλλιρρόην δὲ παρεμυθεῖτο Θήρων, ποικίλαις ἐπινοίαις πει- 5
2 ρώμενος ἀπατᾶν. Ἐκείνη δὲ ἠσθάνετο τὰ καθ' ἑαυτὴν καὶ ὅτι ἄλλως ἐσώθη· προσεποιεῖτο δὲ μὴ νοεῖν, ἀλλὰ πιστεύειν, δεδοικυῖα μὴ ἄρα καὶ ἀνέλωσιν αὐτὴν ὡς ὀργιζομένην. Εἰποῦσα δὲ μὴ φέρειν τὴν θάλασσαν, ἐγκαλυψαμένη καὶ δακρύσασα "σὺ μὲν" 10
ἔφη, "πάτερ, ἐν ταύτῃ τῇ θαλάσσῃ τριακοσίας ναῦς Ἀθηναίων κατεναυμάχησας, ἥρπασε δέ σου τὴν θυ-
3 γατέρα κέλης μικρὸς καὶ οὐδέν μοι βοηθεῖς. Ἐπὶ ξένην ἄγομαι γῆν καὶ δουλεύειν με δεῖ τὴν εὐγενῆ· τάχα δὲ ἀγοράσει τις τὴν Ἑρμοκράτους θυγατέρα 15
δεσπότης Ἀθηναῖος. Πόσῳ μοι κρεῖττον ἦν ἐν τάφῳ κεῖσθαι νεκράν· πάντως ἂν μετ' ἐμοῦ Χαιρέας ἐκηδεύθη· νῦν δὲ καὶ ζῶντες καὶ ἀποθανόντες διεζεύχθημεν."

4 Ἡ μὲν οὖν ἐν τοιούτοις ἦν ὀδυρμοῖς, οἱ δὲ λῃσταὶ 20
νήσους μικρὰς καὶ πόλεις παρέπλεον· οὐ γὰρ ἦν τὰ φορτία πενήτων, ἐζήτουν δὲ πλουσίους ἄνδρας. Ὡρμίσαντο δὴ καταντικρὺ τῆς Ἀττικῆς ὑπό τινα χηλήν· πηγὴ δ' ἦν αὐτόθι πολλοῦ καὶ καθαροῦ νάματος καὶ
5 λειμὼν εὐφυής. Ἔνθα τὴν Καλλιρρόην προαγαγόν- 25
τες φαιδρύνεσθαι καὶ ἀναπαύσασθαι κατὰ μικρὸν ἀπὸ τῆς θαλάσσης ἠξίωσαν, διασώζειν θέλοντες αὐτῆς τὸ κάλλος· μόνοι δὲ ἐβουλεύοντο ὅποι χρὴ τὸν στόλον ποιεῖσθαι. καί τις εἶπεν "Ἀθῆναι πλησίον, μεγάλη καὶ εὐδαίμων πόλις. Ἐκεῖ πλῆθος μὲν ἐμπό- 30
ρων εὑρήσομεν, πλῆθος δὲ πλουσίων. Ὥσπερ γὰρ ἐν

ἀγορᾷ τοὺς ἄνδρας, οὕτως ἐν Ἀθήναις τὰς πόλεις ἔστιν ἰδεῖν." Ἐδόκει δὴ πᾶσι καταπλεῖν εἰς Ἀθήνας, 6
οὐκ ἤρεσκε δὲ Θήρωνι τῆς πόλεως ἡ περιεργία. "Μόνοι γὰρ ὑμεῖς οὐκ ἀκούετε τὴν πολυπραγμοσύνην τῶν
Ἀθηναίων. Δῆμός ἐστι λάλος καὶ φιλόδικος, ἐν δὲ τῷ λιμένι μυρίοι συκοφάνται πεύσονται τίνες ἐσμὲν καὶ πόθεν ταῦτα φέρομεν τὰ φορτία. Ὑποψία κατα- λήψεται πονηρὰ τοὺς κακοήθεις. Ἄρειος πάγος εὐθὺς 7
ἐκεῖ καὶ ἄρχοντες τυράννων βαρύτεροι. Μᾶλλον Συ- ρακουσίων Ἀθηναίους φοβηθῶμεν. Χωρίον ἡμῖν ἐπιτήδειόν ἐστιν Ἰωνία, καὶ γὰρ πλοῦτος ἐκεῖ βασι- λικὸς ἐκ τῆς μεγάλης Ἀσίας ἄνωθεν ἐπιρρέων καὶ ἄνθρωποι τρυφῶντες καὶ ἀπράγμονες· ἐλπίζω δέ τινας αὐτόθεν εὑρήσειν καὶ γνωρίμους." Ὑδρευσά- 8
μενοι δὴ καὶ λαβόντες ἀπὸ τῶν παρουσῶν ὁλκάδων ἐπισιτισμὸν ἔπλεον εὐθὺ Μιλήτου, τριταῖοι δὲ κατ- ήχθησαν εἰς ὅρμον ἀπέχοντα τῆς πόλεως σταδίους ὀγδοήκοντα, εὐφυέστατον εἰς ὑποδοχήν.

Ἔνθα δὴ Θήρων κώπας ἐκέλευσεν ἐκφέρειν καὶ 12
μονὴν ποιεῖν τῇ Καλλιρρόῃ καὶ πάντα παρέχειν εἰς τρυφήν (ταῦτα δὲ οὐκ ἐκ φιλανθρωπίας ἔπραττεν ἀλλ' ἐκ φιλοκερδείας, ὡς ἔμπορος μᾶλλον ἢ λῃστής), αὐτὸς δὲ διέδραμεν εἰς ἄστυ παραλαβὼν δύο τῶν ἐπιτηδείων. Εἶτα φανερῶς μὲν οὐκ ἐβούλετο ζητεῖν τὸν ὠνητὴν οὐδὲ περιβόητον τὸ πρᾶγμα ποιεῖν, κρύφα δὲ καὶ διὰ χειρὸς ἔσπευδε τὴν πρᾶσιν. Δυσδιάθετον δὲ ἀπέβαινεν· οὐ γὰρ ἦν τὸ κτῆμα πολλῶν οὐδὲ ἑνὸς τῶν ἐπιτυχόντων, ἀλλὰ πλουσίου τινὸς καὶ βασιλέως, τοῖς δὲ τοιούτοις ἐφοβεῖτο προσιέναι. Γινομένης οὖν 2
διατριβῆς μακροτέρας οὐκέτι φέρειν ὑπέμενε τὴν παρολκήν· νυκτὸς δὲ ἐπελθούσης καθεύδειν μὲν οὐκ ἐδύνατο, ἔφη δὲ πρὸς αὐτὸν "ἀνόητος, ὦ Θήρων, εἶ·

ἀπολέλοιπας γὰρ ἤδη τοσαύταις ἡμέραις ἄργυρον καὶ
3 χρυσὸν ἐν ἐρημίᾳ, ὡς μόνος λῃστής. Οὐκ οἶδας ὅτι
τὴν θάλασσαν καὶ ἄλλοι πλέουσι πειραταί; Ἐγὼ δὲ
καὶ τοὺς ἡμετέρους φοβοῦμαι μὴ καταλιπόντες ἡμᾶς
ἀποπλεύσωσιν· οὐ δήπου γὰρ τοὺς δικαιοτάτους
ἐστρατολόγησας, ἵνα σοι τὴν πίστιν φυλάττωσιν, ἀλλὰ
4 τοὺς πονηροτάτους ἄνδρας ὧν ἥδεις. Νῦν μὲν οὖν"
εἶπεν "ἐξ ἀνάγκης κάθευδε, ἡμέρας δὲ ἐπιστάσης δια-
δραμὼν ἐπὶ τὸν κέλητα ῥῖψον εἰς θάλασσαν τὴν ἄκαι-
ρον καὶ περιττήν σοι γυναῖκα καὶ μηκέτι φορτίον
5 ἐπάγου δυσδιάθετον." Κοιμηθεὶς δὲ ἐνύπνιον εἶδε
κεκλεισμένας τὰς θύρας. Ἔδοξεν οὖν αὐτῷ τὴν ἡμέ-
ραν ἐκείνην ἐπισχεῖν, οἷα δὲ ἀλύων ἐπί τινος ἐργα-
στηρίου καθῆστο, ταραχώδης παντάπασι τὴν ψυχήν.
6 Ἐν δὲ τῷ μεταξὺ παρῆλθος ἀνθρώπων ἐλευθέ-
ρων τε καὶ δούλων, ἐν μέσοις δὲ αὐτοῖς ἀνὴρ ἡλικίᾳ
καθεστώς, μελανειμονῶν καὶ σκυθρωπός. Ἀναστὰς
οὖν ὁ Θήρων (περίεργον γὰρ ἀνθρώπου φύσις) ἐπυν-
θάνετο ἑνὸς τῶν ἐπακολουθούντων "τίς οὗτος;" ὁ
δ' ἀπεκρίνατο "ξένος εἶναί μοι δοκεῖς ἢ μακρόθεν
ἥκειν, ὃς ἀγνοεῖς Διονύσιον πλούτῳ καὶ γένει καὶ
παιδείᾳ τῶν ἄλλων Ἰώνων ὑπερέχοντα, φίλον τοῦ
7 μεγάλου βασιλέως." "Διὰ τί τοίνυν μελανειμονεῖ;"
"Τέθνηκε γὰρ αὐτοῦ ἡ γυνὴ ἧς ἤρα." Ἔτι μᾶλλον
εἶχετο τῆς ὁμιλίας ὁ Θήρων, εὑρηκὼς ἄνδρα πλούσιον
καὶ φιλογύναιον. Οὐκέτ' οὖν ἀνῆκε τὸν ἄνδρα ἀλλ'
8 ἐπυνθάνετο "τίνα χώραν ἔχεις παρ' αὐτῷ;" κἀκεῖνος
ἀπεκρίνατο "διοικητής εἰμι τῶν ὅλων, τρέφω δὲ
αὐτῷ καὶ τὴν θυγατέρα, παιδίον νήπιον, μητρὸς
ἀθλίας πρὸ ὥρας ὀρφανόν." "Τίς καλῇ;" "Λεωνᾶς."

30 post ὀρφανόν: Θήρων

"Εὐκαίρως" φησίν, "ὦ Λεωνᾶ, συνέβαλον. Ἔμπορός εἰμι καὶ πλέω νῦν ἐξ Ἰταλίας, ὅθεν οὐδὲν οἶδα τῶν ἐν Ἰωνίᾳ. Γυνὴ δὲ Συβαρῖτις, εὐδαιμονεστάτη τῶν ἐκεῖ, καλλίστην ἄβραν ἔχουσα διὰ ζηλοτυπίαν ἐπώλησεν, ἐγὼ δὲ αὐτὴν ἐπριάμην. Σοὶ οὖν γενέσθω τὸ κέρδος, εἴτε σεαυτῷ θέλεις τροφὸν κατασχεῖν τοῦ παιδίου (πεπαίδευται γὰρ ἱκανῶς) εἴτε καὶ ἀξίαν ὑπολαμβάνεις χαρίσασθαι τῷ δεσπότῃ. Λυσιτελεῖ δέ σοι μᾶλλον ἀργυρώνητον ἔχειν αὐτόν, ἵνα μὴ τῇ τροφίμῃ σου μητρυιὰν ἐπαγάγηται." Τούτων ὁ Λεωνᾶς ἤκουσεν ἄσμενος καὶ "θεός μοί τις" εἶπεν "εὐεργέτην σε κατέπεμψεν· ἃ γὰρ ὠνειροπόλουν ὕπαρ μοι δεικνύεις· ἐλθὲ τοίνυν εἰς τὴν οἰκίαν καὶ φίλος ἤδη γενοῦ καὶ ξένος· τὴν δὲ περὶ τῆς γυναικὸς αἵρεσιν ἡ ὄψις κρινεῖ, πότερον δεσποτικόν ἐστι τὸ κτῆμα ἢ καθ' ἡμᾶς."

Ἐπεὶ δὲ ἦκον εἰς τὴν οἰκίαν, ὁ μὲν Θήρων ἐθαύμαζε τὸ μέγεθος καὶ τὴν πολυτέλειαν (ἦν γὰρ εἰς ὑποδοχὴν τοῦ Περσῶν βασιλέως παρεσκευασμένη), Λεωνᾶς δὲ ἐκέλευσε περιμένειν αὐτὸν περὶ τὴν θεραπείαν τοῦ δεσπότου πρῶτον * *. Ἔπειτα ἐκεῖνον λαβὼν ἀνήγαγεν εἰς τὴν οἴκησιν τὴν ἑαυτοῦ σφόδρα ἐλεύθεριον οὖσαν, ἐκέλευσε δὲ παραθεῖναι τράπεζαν. Καὶ ὁ Θήρων, οἷα πανοῦργος ἄνθρωπος καὶ πρὸς πάντα καιρὸν ἁρμόσασθαι δεινός, ἤπτετο τροφῆς καὶ ἐφιλοφρονεῖτο ταῖς προπόσεσι τὸν Λεωνᾶν, τὰ μὲν ἁπλότητος ἐνδείξει, τὸ δὲ πλέον κοινωνίας πίστει. Μεταξὺ δὲ ὁμιλία περὶ τῆς γυναικὸς ἐγίνετο πολλή, καὶ ὁ Θήρων ἐπῄνει τὸν τρόπον μᾶλλον τῆς γυναικὸς ἢ τὸ κάλλος, εἰδὼς ὅτι τὸ μὲν ἄδηλον συνηγορίας ἔχει χρείαν, ἡ δὲ ὄψις αὐτὴν συνίστησιν. "Ἀπίωμεν οὖν" ἔφη Λεωνᾶς, "καὶ δεῖξον αὐτήν." Ὁ δὲ "οὐκ ἐνταῦθά

ἐστιν" ἀπεκρίνατο, "διὰ γὰρ τοὺς τελώνας περιέστημεν τὴν πόλιν, ἀπὸ ὀγδοήκοντα δὲ σταδίων τὸ πλοῖον ὁρμεῖ," καὶ τὸν τόπον ἔφραζεν. "Ἐν τοῖς ἡμετέροις" φησὶ "χωρίοις ὡρμίσασθε· καὶ τοῦτο βέλτιον, ἤδη 5 τῆς τύχης ὑμᾶς ἀγούσης ἐπὶ Διονύσιον. Ἀπίωμεν 5 οὖν εἰς τὸν ἀγρόν, ἵνα καὶ ἐκ τῆς θαλάσσης αὐτοὺς ἀναλάβητε· ἡ γὰρ πλησίον ἔπαυλις κατεσκεύασται 6 πολυτελῶς." Ἥσθη μᾶλλον ὁ Θήρων, εὐκολωτέραν ἔσεσθαι τὴν πρᾶσιν οὐκ ἐν ἀγορᾷ νομίζων ἀλλ' ἐν ἐρημίᾳ, καὶ "ἔωθεν" φησὶν "ἀπίωμεν, σὺ μὲν εἰς τὴν 10 ἔπαυλιν, ἐγὼ δ' εἰς τὴν ναῦν, κἀκεῖθεν ἄξω τὴν γυναῖκα πρὸς σέ. Συνέθεντο ταῦτα καὶ δεξιὰς ἀλλήλοις ἐμβαλόντες ἀπηλλάγησαν. Ἀμφοτέροις δὲ ἡ νὺξ ἐδόκει μακρά, τοῦ μὲν δὴ σπεύδοντος ἀγοράσαι, τοῦ δὲ πωλῆσαι. 15

7 Τῇ δὲ ὑστεραίᾳ ὁ μὲν Λεωνᾶς παρέπλευσεν εἰς τὴν ἔπαυλιν, ἅμα καὶ ἀργύριον κομίζων ἵνα προκαταλάβῃ τὸν ἔμπορον· ὁ δὲ Θήρων ἐπὶ τὴν ἀκτὴν καὶ σφόδρα ποθοῦσιν ἐπέστη τοῖς συνεργοῖς, διηγησάμενος δὲ τὴν πρᾶξιν αὐτοῖς Καλλιρρόην κολακεύειν 20 8 ἤρξατο. "Κἀγώ" φησί, "θύγατερ, εὐθὺς μὲν ἤθελόν σε πρὸς τοὺς σοὺς ἀπαγαγεῖν· ἐναντίου δὲ ἀνέμου γενομένου διεκωλύθην ὑπὸ τῆς θαλάσσης· ἐπίστασαι δὲ πόσην σου πεποίημαι πρόνοιαν· καὶ τὸ μέγιστον, καθαρὰν ἐτηρήσαμεν· ἀνύβριστον ἀπολήψεταί σε 25 Χαιρέας, ὡς ἐκ θαλάμου τοῦ τάφου σωθεῖσαν δι' 9 ἡμᾶς. Νῦν μὲν οὖν ἀναγκαῖόν ἐστιν ἡμῖν μέχρι Λυκίας διαδραμεῖν, οὐκ ἀναγκαῖον δὲ καὶ σὲ μάτην ταλαιπωρεῖν καὶ ταῦτα χαλεπῶς ναυτιῶσαν· ἐνταῦθα δὲ δὴ παραθήσομαί σε φίλοις πιστοῖς, ἐπανιὼν δὲ 30 παραλήψομαι καὶ μετὰ πολλῆς ἐπιμελείας ἄξω λοι-

πὸν εἰς Συρακούσας. Λάβε τῶν σῶν ὅ τι ἂν θέλῃς· σοὶ γὰρ καὶ τὰ λοιπὰ τηροῦμεν."

Ἐπὶ τούτῳ πρὸς αὐτὴν ἐγέλασε Καλλιρρόη, καί- 10
τοι σφόδρα λυπουμένη [ὅτι] παντελῶς αὐτὴν ἀνόη-
5 τον ὑπελάμβανεν· ἤδη γὰρ πωλουμένη ἠπίστατο, τῆς δὲ πάλαι εὐγενείας τὴν πρᾶσιν εὐτυχεστέραν ὑπελάμβανεν, ἀπαλλαγῆναι θέλουσα λῃστῶν. Καὶ "χάριν σοι" φησὶν "ἔχω, πάτερ, ὑπὲρ τῆς εἰς ἐμὲ φιλανθρωπίας· ἀποδοῖεν δὲ" ἔφη "πᾶσιν ὑμῖν οἱ θεοὶ τὰς
10 ἀξίας ἀμοιβάς. Χρήσασθαι δὲ τοῖς ἐνταφίοις δυσοιώ- 11
νιστον ὑπολαμβάνω. Πάντα μοι φυλάξατε καλῶς· ἐμοὶ δὲ ἀρκεῖ δακτυλίδιον μικρόν, ὃ εἶχον καὶ νεκρά." Εἶτα συγκαλυψαμένη τὴν κεφαλὴν "ἄγε με" φησίν, "ὦ Θήρων, ὅποι ποτὲ θέλεις· πᾶς γὰρ τόπος θαλάσ-
15 σης καὶ τάφου κρείσσων."

Ὡς δὲ πλησίον ἐγένετο τῆς ἐπαύλεως ὁ Θήρων, 14
ἐστρατήγησέ τι τοιοῦτον. Ἀποκαλύψας τὴν Καλλιρρόην καὶ λύσας αὐτῆς τὴν κόμην, διανοίξας τὴν θύραν, πρώτην ἐκέλευσεν εἰσελθεῖν. Ὁ δὲ Λεωνᾶς καὶ
20 πάντες οἱ ἔνδον ἐπιστάσης αἰφνίδιον κατεπλάγησαν, δοκοῦντες θεὰν ἑωρακέναι· καὶ γὰρ ἦν τις λόγος ἐν τοῖς ἀγροῖς Ἀφροδίτην ἐπιφαίνεσθαι. Καταπεπλήγ- 2
μένων δὲ αὐτῶν κατόπιν ὁ Θήρων ἐπόμενος προσῆλθε τῷ Λεωνᾷ καὶ "ἀνάστα" φησὶ "καὶ γενοῦ περὶ
25 τὴν ὑποδοχὴν τῆς γυναικός· αὕτη γάρ ἐστιν ἣν θέλεις ἀγοράσαι." Χαρὰ καὶ θαυμασμὸς ἐπηκολούθησε πάντων. Τὴν μὲν οὖν Καλλιρρόην ἐν τῷ καλλίστῳ 3
τῶν οἰκημάτων κατακλίναντες εἴασαν ἡσυχάζειν· καὶ γὰρ ἐδεῖτο πολλῆς ἀναπαύσεως ἐκ λύπης καὶ καμάτου
30 καὶ φόβου· Θήρων δὲ τῆς δεξιᾶς λαβόμενος τοῦ Λε-

---

20 post κατεπλάγησαν: οἱ δέ

ωνᾶ "τὰ μὲν παρ' ἐμοῦ σοι" φησὶ "πιστῶς πεπλήρωται, σὺ δὲ ἔχε μὲν ἤδη τὴν γυναῖκα (φίλος γὰρ εἶ λοιπόν), ἧκε δὲ εἰς ἄστυ καὶ λάμβανε τὰς καταγραφάς
4 καὶ τότε μοι τιμήν, ἣν θέλεις, ἀποδώσεις." Ἀμείψασθαι δὲ θέλων ὁ Λεωνᾶς "οὐ μὲν οὖν" φησὶν "ἀλλὰ
καὶγώ σοι τὸ ἀργύριον ἤδη πιστεύω πρὸ τῆς καταγραφῆς," ἅμα δὲ καὶ προκαταλαβεῖν ἤθελε, δεδιὼς μὴ ἄρα μετάθηται· πολλοὺς γὰρ ⟨ἂν⟩ ἐν τῇ πόλει γε-
5 νέσθαι τοὺς ἐθέλοντας ὠνεῖσθαι. Τάλαντον οὖν ἀργυρίου προκομίσας ἠνάγκαζε λαβεῖν, ὁ δὲ Θήρων ἀνακισάμενος λαμβάνει. Κατέχοντος δὲ ἐπὶ δεῖπνον αὐτὸν τοῦ Λεωνᾶ (καὶ γὰρ ἦν ὀψὲ τῆς ὥρας) "βούλομαι" φησὶν "ἀφ' ἑσπέρας εἰς τὴν πόλιν πλεῦσαι, τῇ δ' ὑστεραίᾳ ἐπὶ τῷ λιμένι συμβαλοῦμεν."
6 Ἐπὶ τούτοις ἀπηλλάγησαν. Ἐλθὼν δ' ἐπὶ τὴν ναῦν ὁ Θήρων ἐκέλευσεν ἀραμένους τὰς ἀγκύρας ἀνάγεσθαι τὴν ταχίστην, πρὶν ἐκπύστους γενέσθαι. Καὶ οἱ μὲν ἀπεδίδρασκον ἔνθα τὸ πνεῦμα ἔφερε, μόνη δὲ Καλλιρρόη γενομένη ἤδη μετ' ἐξουσίας τὴν ἰδίαν ἀπωδύρετο τύχην. "Ἰδοὺ" φησὶν "ἄλλος τάφος, ἐν
ᾧ Θήρων με κατέκλεισεν, ἐρημότερος ἐκείνου μᾶλ-
7 λον· πατὴρ γάρ μοι ἂν ἐκεῖ προσῆλθε καὶ μήτηρ, καὶ Χαιρέας ἐπέσπεισε δακρύων· ἠσθόμην ἂν καὶ τεθνεῶσα. Τίνα δὲ ἐνταῦθα καλέσω; Γινώσκεις. Τύχη βάσκανε, διὰ γῆς καὶ θαλάσσης τῶν ἐμῶν κακῶν οὐκ ἐπληρώθης, ἀλλὰ πρῶτον μὲν τὸν ἐραστήν μου σὺ φονέα ἐποίησας (Χαιρέας, ὁ μηδὲ δοῦλον μηδέποτε
5 πλήξας, ἐλάκτισε καιρίως ἐμὲ τὴν φιλοῦσαν)· εἶτά με τυμβωρύχων χερσὶ παρέδωκας καὶ ἐκ τάφου προήγαγες εἰς θάλασσαν καὶ τῶν κυμάτων τοὺς πειρατὰς φοβερωτέρους ἐπέστησας. Τὸ δὲ περιβόητον κάλλος εἰς τοῦτο ἐκτησάμην, ἵν' ὑπὲρ ἐμοῦ Θήρων ὁ λῃστὴς

μεγάλην λάβῃ τιμήν. Ἐν ἐρημίᾳ πέπραμαι καὶ οὐδὲ 9
εἰς πόλιν ἠνέχθην, ὡς ἄλλη τις τῶν ἀργυρωνήτων·
ἐφοβήθης γάρ, ὦ Τύχη, μή τις ἰδὼν εὐγενῆ δόξῃ.
Διὰ τοῦτο ὡς σκεῦος παρεδόθην οὐκ οἶδα τίσιν, Ἕλ-
λησιν ἢ βαρβάροις ἢ πάλιν λησταῖς." Κόπτουσα δὲ
τῇ χειρὶ τὸ στῆθος εἶδεν ἐν τῷ δακτυλίῳ τὴν εἰκόνα
τὴν Χαιρέου καὶ καταφιλοῦσα "ἀληθῶς ἀπόλωλα,
ὦ Χαιρέα" φησί, "τοσούτῳ διαζευχθεῖσα πάθει. Καὶ 10
σὺ μὲν πενθεῖς καὶ μετανοεῖς καὶ τάφῳ κενῷ παρα-
κάθησαι, μετὰ θάνατόν μοι τὴν σωφροσύνην μαρτυ-
ρῶν, ἐγὼ δὲ ἡ Ἑρμοκράτους θυγάτηρ, ἡ σὴ γυνή, δε-
σπότῃ σήμερον ἐπράθην." Τοιαῦτα ὀδυρομένῃ μόλις
ὕπνος ἐπῆλθεν αὐτῇ.

B

Λεωνᾶς δὲ κελεύσας Φωκᾷ τῷ οἰκονόμῳ πολλὴν 1
ἐπιμέλειαν ἔχειν τῆς γυναικὸς αὐτὸς ἔτι νυκτὸς ἐξῆλ-
θεν εἰς τὴν Μίλητον, σπεύδων εὐαγγελίσασθαι τῷ
δεσπότῃ τὰ περὶ τῆς νεωνήτου, μεγάλην οἰόμενος
αὐτῷ φέρειν τοῦ πένθους παραμυθίαν. Εὗρε δὲ ἔτι
κατακείμενον τὸν Διονύσιον· ἀλύων γὰρ ὑπὸ τῆς λύ-
πης οὐδὲ προῆει τὰ πολλά, καίτοι ποθούσης αὐτὸν
τῆς πατρίδος, ἀλλὰ διέτριβεν ἐν τῷ θαλάμῳ, ὡς ἔτι
παρούσης αὐτῷ τῆς γυναικός. Ἰδὼν δὲ τὸν Λεωνᾶν 2
ἔφη πρὸς αὐτὸν "μίαν ταύτην ἐγὼ νύκτα μετὰ τὸν
θάνατον τῆς ἀθλίας ἡδέως κεκοίμημαι· καὶ γὰρ εἶδον
αὐτὴν ἐναργῶς μείζονά τε καὶ κρείττονα γεγενημένην,
καὶ ὡς ὕπαρ μοι συνῆν. Ἔδοξα δὲ εἶναι τὴν πρώτην

ἡμέραν τῶν γάμων καὶ ἀπὸ τῶν χωρίων μου τῶν παραθαλαττίων αὐτὴν νυμφαγωγεῖν, σοῦ μοι τὸν ὑμέ-
3 ναιον ᾄδοντος." Ἔτι δὲ αὐτοῦ διηγουμένου, Λεωνᾶς ἀνεβόησεν "εὐτυχὴς εἶ, δέσποτα, καὶ ὄναρ καὶ ὕπαρ. Μέλλεις ἀκούειν ταῦτα, ἃ τεθέασαι." Καὶ ἀρξάμενος αὐτῷ διηγεῖται "προσῆλθέ μοί τις ἔμπορος πιπράσκων γυναῖκα καλλίστην, διὰ δὲ τοὺς τελώνας ἔξω τῆς πόλεως ὥρμισε τὴν ναῦν πλησίον τῶν σῶν χωρίων.
4 Κἀγὼ συνταξάμενος ἀπῆλθον εἰς ἀγρόν. Ἐκεῖ δὲ συμβαλόντες ἀλλήλοις ἔργῳ μὲν τὴν πρᾶσιν ἀπηρτίκαμεν· ἐγὼ γὰρ ἐκείνῳ τάλαντον δέδωκα· δεῖ δὲ ἐν-
5 ταῦθα γενέσθαι νομίμως τὴν καταγραφήν." Ὁ δὲ Διονύσιος τὸ μὲν κάλλος ἡδέως ἤκουσε τῆς γυναικὸς (ἦν γὰρ φιλογύνης ἀληθῶς), τὴν δὲ δουλείαν ἀηδῶς· ἀνὴρ γὰρ βασιλικός, διαφέρων ἀξιώματι καὶ παιδείᾳ τῆς ὅλης Ἰωνίας, ἀπηξίου κοίτην θεραπαινίδος, καὶ "ἀδύνατον" εἶπεν, "ὦ Λεωνᾶ, καλὸν εἶναι σῶμα μὴ πεφυκὸς ἐλεύθερον. Οὐκ ἀκούεις τῶν ποιητῶν ὅτι θεῶν παῖδές εἰσιν οἱ καλοί, πολὺ δὲ πρότερον ἀνθρώπων εὐγενῶν; σοὶ δὲ ἤρεσεν ἐπ' ἐρημίας· συν-
6 έκρινας γὰρ αὐτὴν ταῖς ἀγροίκοις. Ἀλλ' ἐπείπερ ἐπρίω, βάδιζε εἰς τὴν ἀγοράν· Ἄδραστος δὲ ὁ ἐμπειρότατος τῶν νόμων διοικήσει τὰς καταγραφάς." Ἔχαιρεν ὁ Λεωνᾶς ἀπιστούμενος· τὸ γὰρ ἀπροσδόκητον ἔμελλε τὸν δεσπότην μᾶλλον ἐκπλήσσειν. Περιιὼν δὲ τοὺς Μιλησίων λιμένας ἅπαντας καὶ τὰς τραπέζας καὶ τὴν πόλιν ὅλην οὐδαμοῦ Θήρωνα εὑρεῖν ἐδύνατο.
7 Ἐμπόρους ἐξήταζε καὶ πορθμεῖς, ἐγνώριζε δὲ οὐδείς. Ἐν πολλῇ τοίνυν ἀπορίᾳ γενόμενος κωπήρεις λαβὼν παρέπλευσεν ἐπὶ τὴν ἀκτὴν κἀκεῖθεν ἐπὶ τὸ χωρίον· οὐκ ἔμελλε δὲ εὑρήσειν τὸν ἤδη πλέοντα. Μόλις οὖν
8 καὶ βραδέως ἀπῆλθε πρὸς τὸν δεσπότην. Ἰδὼν δ' αὐ-

τὸν ὁ Διονύσιος σκυθρωπὸν ἤρετο τί πέπονθεν· ὁ δέ φησιν "ἀπολώλεκά σοι, ὦ δέσποτα, τάλαντον." "Συμβαῖνον" εἶπεν ὁ Διονύσιος "ἀσφαλέστερόν σε τοῦτο πρὸς τὰ λοιπὰ ποιήσει. Τί δ' ὅμως συμβέβηκε; μή τι ἡ νεώνητος ἀποδέδρακεν;" "Οὐκ ἐκείνη" φησὶν "ἀλλ' ὁ πωλήσας." "Ἀνδραποδιστὴς ἄρα ἦν, καὶ ἀλλοτρίαν σοι πέπρακε δούλην διὰ τοῦτο ἐπ' ἐρημίας. Πόθεν δὲ ἔλεγε τὴν ἄνθρωπον εἶναι;" "Συβαρῖτιν 9 ἐξ Ἰταλίας, πραθεῖσαν ὑπὸ δεσποίνης κατὰ ζηλοτυπίαν." "Ζήτησον Συβαριτῶν εἴ τινες ἐπιδημοῦσιν· ἐν δὲ τῷ μεταξὺ ἐκεῖ κατάλιπε τὴν γυναῖκα."

Τότε μὲν οὖν ὁ Λεωνᾶς ἀπῆλθε λυπούμενος, ὡς οὐκ εὐτυχοῦς τῆς πραγματείας αὐτῷ γεγενημένης· ἐπετήρει δὲ καιρὸν ἀναπεῖσαι τὸν δεσπότην ἐξελθεῖν εἰς τὰ χωρία, λοιπὸν μίαν ἔχων ἐλπίδα τὴν ὄψιν τῆς γυναικός.

Πρὸς δὲ τὴν Καλλιρρόην εἰσῆλθον αἱ ἄγροικοι 2 γυναῖκες καὶ εὐθὺς ὡς δέσποιναν ἤρξαντο κολακεύειν. Πλαγγὼν δέ, ἡ τοῦ οἰκονόμου γυνή, ζῶον οὐκ ἄπρακτον, ἔφη πρὸς αὐτὴν "ζητεῖς μέν, ὦ τέκνον, πάντως τοὺς σεαυτῆς· ἀλλὰ καλῶς καὶ [τοὺς] ἐνθάδε νόμιζε σούς· Διονύσιος γάρ, ὁ δεσπότης ἡμῶν, χρηστός ἐστι καὶ φιλάνθρωπος. Εὐτυχῶς σε ἤγαγεν εἰς ἀγαθὴν ὁ θεὸς οἰκίαν. Ὥσπερ ἐν πατρίδι διάξεις. Ἐκ μακρᾶς 2 οὖν θαλάσσης ἀπόλουσαι τὴν ἄσιν· ἔχεις θεραπαινίδας." Μόλις μὲν καὶ μὴ βουλομένην, προήγαγε δ' ὅμως εἰς τὸ βαλανεῖον. Εἰσελθοῦσαν δὲ ἤλειψάν τε καὶ ἀπέσμηξαν ἐπιμελῶς καὶ μᾶλλον ἀποδυσαμένης κατεπλάγησαν· ὥστε ἐνδεδυμένης αὐτῆς θαυμάζουσαι τὸ πρόσωπον θεῖον πρόσωπον ἔδοξαν ἰδοῦσαι· ὁ χρὼς γὰρ λευκὸς ἔστιλψεν εὐθὺς μαρμαρυγῇ τινι ὅμοιον ἀπολάμπων· τρυφερὰ δὲ σάρξ, ὥστε δεδοικέ-

ναι μὴ καὶ ἡ τῶν δακτύλων ἐπαφὴ μέγα τραῦμα ποι-
3 ήσῃ. Ἡσυχῇ δὲ διελάλουν πρὸς ἀλλήλας "καλὴ μὲν
ἡ δέσποινα ἡμῶν καὶ περιβόητος· ταύτης δὲ ἂν θε-
ραπαινὶς ἔδοξεν." Ἐλύπει τὴν Καλλιρρόην ὁ ἔπαινος
καὶ τοῦ μέλλοντος οὐκ ἀμάντευτος ἦν. Ἐπεὶ δὲ ἐλέ-
λουτο καὶ τὴν κόμην συνεδέσμουν, καθαρὰς αὐτῇ
προσήνεγκαν ἐσθῆτας· ἡ δὲ οὐ πρέπειν ἔλεγε ταῦτα
4 τῇ νεωνήτῳ. "Χιτῶνά μοι δότε δουλικόν· καὶ γὰρ
ὑμεῖς ἐστέ μου κρείττονες." Ἐνεδύσατο μὲν οὖν τι
τῶν ἐπιτυχόντων· κἀκεῖνο δὲ ἔπρεπεν αὐτῇ καὶ πο-
5 λυτελὲς ἔδοξε καταλαμπόμενον ὑπὸ κάλλους. Ἐπεὶ
δὲ ἠρίστησαν αἱ γυναῖκες, λέγει ἡ Πλαγγὼν "ἐλθὲ
πρὸς τὴν Ἀφροδίτην καὶ εὔξαι περὶ σαυτῆς· ἐπιφα-
νὴς δέ ἐστιν ἐνθάδε ἡ θεός, καὶ οὐ μόνον οἱ γείτονες,
ἀλλὰ καὶ οἱ ἐξ ἄστεος παραγινόμενοι θύουσιν αὐτῇ.
Μάλιστα δὲ ἐπήκοος Διονυσίῳ· ἐκεῖνος οὐδέποτε
6 παρῆλθεν αὐτήν." Εἶτα διηγοῦντο τῆς θεοῦ τὰς ἐπι-
φανείας καί τις εἶπε τῶν ἀγροίκων "δόξεις, ὦ γύναι,
θεασαμένη τὴν Ἀφροδίτην εἰκόνα βλέπειν σεαυτῆς."
Ἀκούσασα δὲ ἡ Καλλιρρόη δακρύων ἐνεπλήσθη καὶ
λέγει πρὸς ἑαυτὴν "Οἴμοι τῆς συμφορᾶς, κἀνταῦθά
ἐστιν Ἀφροδίτη θεὸς ἡ ἐμοὶ τῶν πάντων κακῶν αἰτία.
Πλὴν ἄπειμι, θέλω γὰρ αὐτὴν πολλὰ μέμψασθαι."
7 Τὸ δὲ ἱερὸν πλησίον ἦν τῆς ἐπαύλεως παρ' αὐτὴν
τὴν λεωφόρον. Προσκυνήσασα δὲ ἡ Καλλιρρόη καὶ
τῶν ποδῶν λαβομένη τῆς Ἀφροδίτης "σύ μοι" φησὶ
"πρώτη Χαιρέαν ἔδειξας, συναρμόσασα δὲ καλὸν ζεῦ-
γος οὐκ ἐτήρησας· καίτοιγε ἡμεῖς σε ἐκοσμοῦμεν.
8 Ἐπεὶ δὲ οὕτως ἐβουλήθης, μίαν αἰτοῦμαι παρὰ σοῦ
χάριν· μηδενί με ποιήσῃς μετ' ἐκεῖνον ἀρέσαι." Πρὸς
τοῦτο ἀνένευσεν ἡ Ἀφροδίτη· μήτηρ γάρ ἐστι τοῦ

Ἔρωτος, καὶ πάλιν ἄλλον ἐπολιτεύετο γάμου, ὃν οὐδὲ αὐτὸν ἔμελλε τηρήσειν.

Ἀπαλλαγεῖσα δὲ ἡ Καλλιρρόη λῃστῶν καὶ θαλάσσης τὸ ἴδιον κάλλος ἀνελάμβανεν, ὥστε θαυμάζειν τοὺς ἀγροίκους καθ' ἡμέραν εὐμορφοτέρας αὐτῆς βλεπομένης.

Ὁ δὲ Λεωνᾶς, καιρὸν ἐπιτήδειον εὑρών, Διονυσίῳ λόγους προσήνεγκε τοιούτους· "ἐν τοῖς παραθαλασσίοις, ὦ δέσποτα, χωρίοις οὐ γέγονας ἤδη χρόνῳ πολλῷ καὶ ποθεῖ τὰ ἐκεῖ τὴν σὴν ἐπιδημίαν. Ἀγέλας σε δεῖ καὶ φυτείας θεάσασθαι, καὶ ἡ συγκομιδὴ τῶν καρπῶν ἐπείγει. Χρῆσαι καὶ τῇ πολυτελείᾳ τῶν οἰκιῶν, ἃς σοῦ κελεύσαντος ᾠκοδομήσαμεν· οἴσεις δὲ καὶ τὸ πένθος ἐλαφρότερον ἐκεῖ, περισπώμενος ὑπὸ τῆς τῶν ἀγρῶν ἀπολαύσεως καὶ διοικήσεως. Ἐὰν δέ τινα ἐπαινέσῃς ἢ βουκόλον ἢ ποιμένα, δώσεις αὐτῷ τὴν νεώνητον γυναῖκα." Ἥρεσε τῷ Διονυσίῳ ταῦτα καὶ προεῖπε τὴν ἔξοδον εἰς ** ην ἡμέραν. Παραγγελίας δὲ γενομένης παρεσκεύαζον ἡνίοχοι μὲν ὀχήματα, ἱπποκόμοι δὲ ἵππους, ναῦται δὲ πορθμεῖα· φίλοι παρεκαλοῦντο συνοδεύειν καὶ πλῆθος ἀπελεύθερων· φύσει γὰρ ἦν ὁ Διονύσιος μεγαλοπρεπής. Ἐπεὶ δὲ πάντα εὐτρέπιστο, τὴν μὲν παρασκευὴν καὶ τοὺς πολλοὺς ἐκέλευσε διὰ θαλάσσης κομίζεσθαι, τὰ δὲ ὀχήματα ἐπακολουθεῖν, ὅταν αὐτὸς προέλθῃ, πενθοῦντι γὰρ μὴ πρέπειν πομπήν. Ἅμα δὲ τῇ ἕῳ, πρὶν αἰσθέσθαι τοὺς πολλούς, ἵππου ἐπέβη, πέμπτος δέ· εἷς ἦν ἐν αὐτοῖς καὶ ὁ Λεωνᾶς.

Ὁ μὲν οὖν Διονύσιος ἐξήλαυνεν εἰς τοὺς ἀγρούς, ἡ δὲ Καλλιρρόη τῆς νυκτὸς ἐκείνης θεασαμένη τὴν Ἀφροδίτην ἐβουλήθη καὶ πάλιν αὐτὴν προσκυνῆσαι· καὶ ἡ μὲν ἑστῶσα εὔχετο, Διονύσιος δὲ ἀποπηδήσας

ἀπὸ τοῦ ἵππου πρῶτος εἰσῆλθεν εἰς τὸν νεών. Ψόφου δὲ ποδῶν αἰσθομένη Καλλιρρόη πρὸς αὐτὸν ἐπε-
6 στράφη. Θεασάμενος οὖν ὁ Διονύσιος ἀνεβόησεν "ἵλεως εἴης, ὦ Ἀφροδίτη, καὶ ἐπ' ἀγαθῷ μοι φανείης." Καταπίπτοντα δὲ αὐτὸν ἤδη Λεωνᾶς ὑπέλαβε καὶ "αὕτη" φησίν, "ὦ δέσποτα, ἡ νεώνητος· μηδὲν ταραχθῇς. Καὶ σὺ δέ, ὦ γύναι, πρόσελθε τῷ κυρίῳ." Καλλιρρόη μὲν οὖν πρὸς τοὔνομα τοῦ κυρίου πηγὴν ἀφῆκε δακρύων, κάτω κύψασα, ὀψὲ μεταμανθάνουσα τὴν ἐλευθερίαν· ὁ δὲ Διονύσιος, πλήξας τὸν Λεω-
7 νᾶν "ἀσεβέστατε" εἶπεν, "ὡς ἀνθρώποις διαλέγῃ τοῖς θεοῖς; Σὺ ταύτην λέγεις ἀργυρώνητον καὶ ὡς οὐχ εὗρες τὸν πιπράσκοντα; οὐκ ἤκουσας οὐδὲ Ὁμήρου διδάσκοντος ἡμᾶς

καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶσι."

* * * * * * * * * * * * * *

"* * τὸ γοῦν λοιπὸν παῦσαί μου καταγελῶν καὶ θεὸν
8 εἶναι νομίζων τὴν οὐδὲ ἄνθρωπον εὐτυχῆ." Λαλούσης δὲ αὐτῆς ἡ φωνὴ τῷ Διονυσίῳ θεία τις ἐφάνη· μουσικὸν γὰρ ἐφθέγγετο καὶ ὥσπερ κιθάρας ἀπεδίδου τὸν ἦχον. Ἀπορηθεὶς οὖν καὶ ἐπὶ πλέον ὁμιλεῖν καταισθεσθεὶς ἀπῆλθεν εἰς τὴν ἔπαυλιν, φλεγόμενος ἤδη τῷ ἔρωτι. Μετ' οὐ πολὺ δὲ ἦκεν ἐξ ἄστεος ἡ παρασκευή, καὶ ταχεῖα φήμη διέδραμε τοῦ γεγονότος.
9 Ἔσπευδον οὖν πάντες τὴν γυναῖκα ἰδεῖν, προσεποιοῦντο δὲ πάντες τὴν Ἀφροδίτην προσκυνεῖν. Αἰδουμένη δὲ ἡ Καλλιρρόη τὸ πλῆθος οὐκ εἶχεν ὅ τι πράξειε· πάντα γὰρ ἦν αὐτῇ ξένα καὶ οὐκ ἔβλεπεν οὐδὲ τὴν συνήθη Πλαγγόνα, ἀλλ' ἐκείνη περὶ τὴν ὑπο-
10 δοχὴν ἐγίνετο τοῦ δεσπότου. Προκοπτούσης δὲ τῆς ὥρας καὶ μηδενὸς ἥκοντος εἰς τὴν ἔπαυλιν, ἀλλὰ

πάντων ἑστώτων ἐκεῖ ὡς κεκηλημένων, συνῆκε Λεωνᾶς τὸ γεγονὸς καὶ ἀφικόμενος εἰς τὸ τέμενος ἐξήγαγε τὴν Καλλιρρόην. Τότε δὲ ἦν ἰδεῖν ὅτι φύσει γίνονται βασιλεῖς, ὥσπερ ἐν τῷ σμήνει τῶν μελισσῶν· ἠκολούθουν γὰρ ἅπαντες καθάπερ ὑπὸ τοῦ κάλλους δεσποίνῃ κεχειροτονημένῃ.

Ἡ μὲν οὖν ἀπῆλθεν εἰς τὴν οἴκησιν τὴν συνήθη· 4
Διονύσιος δὲ ἐτέτρωτο μέν, τὸ δὲ τραῦμα περιστέλλειν ἐπειρᾶτο. Οἷα δὲ πεπαιδευμένος ἀνὴρ καὶ ἐξαιρέτως ἀρετῆς ἀντιποιούμενος, μήτε τοῖς οἰκέταις ἐθέλων εὐκαταφρόνητος δοκεῖν μήτε μειρακιώδης τοῖς φίλοις, διεκαρτέρει παρ' ὅλην τὴν ἑσπέραν, οἰόμενος μὲν λανθάνειν, κατάδηλος δὲ γινόμενος ἐκ τῆς σιωπῆς. Μοῖραν δέ τινα λαβόμενος ἀπὸ τοῦ δείπνου 2
"ταύτην" φησὶ "κομισάτω τις τῇ ξένῃ. Μὴ εἴπητε δὲ [ὅτι] παρὰ τοῦ κυρίου, ἀλλ' ὅτι παρὰ Διονυσίου."

Τὸν μὲν οὖν πότον προήγαγεν ἐπὶ πλεῖστον· ἠπίστατο γὰρ ὅτι οὐ μέλλει καθεύδειν. Ἀγρυπνεῖν οὖν ἐβούλετο μετὰ τῶν φίλων. Ἐπεὶ δὲ προύκοπτε τὰ τῆς 3
νυκτός, ἀναλύσας ὕπνου μὲν οὐκ ἐλάγχανεν, ὅλος δὲ ἦν ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ καὶ πάντων ἀνεμιμνήσκετο, τοῦ προσώπου, τῆς κόμης, πῶς ἐστράφη, πῶς ἐνέβλεψε, τῆς φωνῆς, τοῦ σχήματος, τῶν ῥημάτων· ἐξέκαε δὲ αὐτὸν καὶ τὰ δάκρυα. Τότ' ἦν ἰδεῖν ἀγῶνα λο- 4
γισμοῦ καὶ πάθους. Καίτοι γὰρ βαπτιζόμενος ὑπὸ τῆς ἐπιθυμίας γενναῖος ἀνὴρ ἐπειρᾶτο ἀντέχεσθαι, καθάπερ δὲ ἐκ κύματος ἀνέκυπτε λέγων πρὸς ἑαυτὸν "οὐκ αἰσχύνῃ, Διονύσιε, ἀνὴρ ὁ πρῶτος τῆς Ἰωνίας ἕνεκεν ἀρετῆς τε καὶ δόξης, ὃν θαυμάζουσι σατράπαι καὶ βασιλεῖς καὶ πόλεις, παιδαρίου πράγματα πάσχων; ἅπαξ ἰδὼν ἐρᾷς, καὶ ταῦτα πενθῶν, πρὶν ἀφοσιώσασθαι τοὺς τῆς ἀθλίας δαίμονας. Τούτου γε ** ἦκες εἰς 5

ἀγρὸν ἵνα μελανείμων γάμους θύσῃς, καὶ γάμους δούλης, τάχα δὲ καὶ ἀλλοτρίας; οὐκ ἔχεις γὰρ αὐτῆς οὐδὲ τὴν καταγραφήν." Ἐφιλονείκει δὲ ὁ Ἔρως βουλευομένου καλῶς καὶ ὕβριν ἐδόκει τὴν σωφροσύνην τὴν ἐκείνου· διὰ τοῦτο ἐπυρπόλει σφοδρότερον ψυχὴν ἐν
6 ἔρωτι φιλοσοφοῦσαν. Μηκέτ' οὖν φέρων μόνος αὐτῷ διαλέγεσθαι, Λεωνᾶν μετεπέμψατο, κληθεὶς δὲ ἐκεῖνος συνῆκε μὲν τὴν αἰτίαν, προσεποιεῖτο δὲ ἀγνοεῖν καὶ ὥσπερ τεταραγμένος "τί" φησὶν "ἀγρυπνεῖς, ὦ δέσποτα; μή τις πάλιν σε λύπη κατείληφε τῆς τεθνηκυίας γυναικός;" "Γυναικὸς μὲν" εἶπεν ὁ Διονύσιος, "ἀλλ' οὐ τῆς τεθνηκυίας. Οὐδὲν δὲ ἀπόρρητόν ἐστί
7 μοι πρὸς σὲ δι' εὔνοιάν τε καὶ πίστιν. Ἀπολώλεκας, ὦ Λεωνᾶ. Σύ μοι τῶν κακῶν αἴτιος. Πῦρ ἐκόμισας εἰς τὴν οἰκίαν, μᾶλλον δὲ εἰς τὴν ἐμὴν ψυχήν. Ταράσσει δέ με τὸ ἄδηλον τὸ περὶ τῆς γυναικός. Μῦθόν μοι διηγῇ ἔμπορον πτηνόν, ὃν οὐκ οἶδας οὔτ' ὁπόθεν ἦλθεν οὔθ' ὅποι πάλιν ἀπῆλθεν. Ἔχων δὲ τίς τοιοῦτον κάλλος ἐν ἐρημίᾳ πιπράσκει ταλάντου τὴν τῶν βασιλέως χρημάτων ἀξίαν; δαίμων σέ τις ἐξηπά-
8 τησεν. Ἐπίστησον οὖν καὶ ἀναμνήσθητι τῶν γενομένων. Τίνα εἶδες; τίνι ἐλάλησας; εἰπέ μοι τἀληθές. Οὐ πλοῖον ἐθεάσω." "Οὐκ εἶδον, δέσποτα, ἀλλὰ ἤκουσα." "Τοῦτο ἐκεῖνο· μία Νυμφῶν ἢ Νηρηίδων ἐκ θαλάσσης ἀνελήλυθε. Καταλαμβάνουσι δὲ καὶ δαίμονας καιροί τινες εἱμαρμένης ἀνάγκην φέροντες ὁμιλίας μετ' ἀνθρώπων· ταῦτα ἡμῖν ἱστοροῦσι ποιηταί
9 τε καὶ συγγραφεῖς." Ἡδέως ἀνέπειθεν αὐτὸν ὁ Διονύσιος ἀποσεμνύνειν τὴν γυναῖκα καὶ σεβασμιωτέραν [[ἀποφαίνειν]] ἢ κατ' ἀνθρώπων ὁμιλίαν. Λεωνᾶς δὲ χαρίσασθαι τῷ δεσπότῃ βουλόμενος εἶπε "τίς μὲν ἐστί, δέσποτα, μὴ πολυπραγμονῶμεν· ἄξω δὲ αὐ-

τήν, εἰ θέλεις, πρὸς σέ, καὶ μὴ ἔχε λύπην. Ἀποτυγχάνεις ἐν ἔρωτος ἐξουσίᾳ;" "Οὐκ ἂν ποιήσαιμι" φησὶν ὁ Διονύσιος, "πρὶν μαθεῖν τίς ἡ γυνὴ καὶ πόθεν. Ἔωθεν οὖν πυθώμεθα παρ' αὐτῆς τὴν ἀλήθειαν. Μεταπέμψομαι δ' αὐτὴν οὐκ ἐνθάδε, μὴ καί τινος βιαιοτέρου λάβωμεν ὑποψίαν, ἀλλ' ὅπου πρῶτον αὐτὴν ἐθεασάμην, ἐπὶ τῆς Ἀφροδίτης γενέσθωσαν ἡμῖν οἱ λόγοι."

Ταῦτα ἔδοξε, καὶ τῇ ὑστεραίᾳ ὁ μὲν Διονύσιος παραλαβὼν φίλους τε καὶ ἀπελευθέρους καὶ τῶν οἰκετῶν τοὺς πιστοτάτους, ἵνα ἔχῃ καὶ μάρτυρας, ἦκεν εἰς τὸ τέμενος, οὐκ ἀμελῶς σχηματίσας ἑαυτόν, ἀλλὰ κοσμήσας ἠρέμα τὸ σῶμα, ὡς ἂν ἐρωμένῃ μέλλων ὁμιλεῖν. Ἦν δὲ καὶ φύσει καλός τε καὶ μέγας καὶ μάλιστα πάντων σεμνὸς ὀφθῆναι. Λεωνᾶς δὲ παραλαβὼν τὴν Πλαγγόνα καὶ μετ' αὐτῆς τὰς συνήθεις τῇ Καλλιρρόῃ θεραπαινίδας ἦκε πρὸς αὐτὴν καὶ λέγει "Διονύσιος ἀνὴρ δικαιότατός ἐστι καὶ νομιμώτατος. Ἧκε τοίνυν εἰς τὸ ἱερόν, ὦ γύναι, καὶ πρὸς αὐτὸν εἰπὲ τὴν ἀλήθειαν, τίς οὖσα τυγχάνεις· οὐ γὰρ ἀτυχήσεις οὐδεμιᾶς δικαίας βοηθείας. Ἀλλὰ μόνον ἁπλῶς αὐτῷ διαλέγου, καὶ μηδὲν ἀποκρύψῃς τῶν ἀληθῶν· τοῦτο γὰρ αὐτοῦ ἐκκαλέσεται μᾶλλον τὴν εἰς σε φιλανθρωπίαν." Ἄκουσα μὲν οὖν ἐβάδιζεν ἡ Καλλιρρόη, θαρροῦσα δ' ὅμως διὰ τὸ ἐν ἱερῷ γενήσεσθαι τὴν ὁμιλίαν αὐτοῖς. Ἐπεὶ δὲ ἦκεν, ἔτι μᾶλλον αὐτὴν ἐθαύμασαν ἅπαντες. Καταπλαγεὶς οὖν ὁ Διονύσιος ἄφωνος ἦν. Οὔσης δὲ ἐπὶ τὸ πλεῖστον σιωπῆς ὀψέ ποτε καὶ μόλις ἐφθέγξατο "τὰ μὲν ἐμὰ δῆλά σοι, γύναι, πάντα. Διονύσιός εἰμι, Μιλησίων πρῶτος, σχεδὸν δὲ καὶ τῆς ὅλης Ἰωνίας, ἐπ' εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ διαβόητος. Δίκαιόν ἐστι καὶ σὲ περὶ σεαυτῆς εἰπεῖν ἡμῖν τὴν ἀλή-

θειαν· οἱ μὲν γὰρ πωλήσαντές σε Συβαρῖτιν ἔφασαν
κατὰ ζηλοτυπίαν ἐκεῖθεν πραθεῖσαν ὑπὸ δεσποίνης."
Ἠρυθρίασεν ἡ Καλλιρρόη καὶ κάτω κύψασα ἠρέμα
εἶπεν "ἐγὼ νῦν πρῶτον πέπραμαι· Σύβαριν δὲ οὐκ
6 εἶδον." "Ἔλεγόν σοι" φησὶ Διονύσιος ἀποβλέψας
πρὸς τὸν Λεωνᾶν "ὅτι οὐκ ἔστι δούλη· μαντεύομαι
δὲ ὅτι καὶ εὐγενής." "Εἰπόν μοι, γύναι, πάντα, καὶ
πρῶτόν γε τοὔνομα τὸ σόν." "Καλλιρρόη" φησίν
(ἤρεσε Διονυσίῳ καὶ τοὔνομα), τὰ δὲ λοιπὰ ἐσιώπα.
Πυνθανομένου δὲ λιπαρῶς "δέομαί σου" φησίν, "ὦ
δέσποτα, συγχώρησόν μοι τὴν ἐμαυτῆς τύχην σιω-
7 πᾶν. Ὄνειρος ἦν τὰ πρῶτα καὶ μῦθος, εἰμὶ δὲ νῦν
ὃ γέγονα, δούλη καὶ ξένη." Ταῦτα λέγουσα ἐπειρᾶτο
μὲν λανθάνειν, ἐλείβετο δὲ αὐτῆς τὰ δάκρυα κατὰ
τῶν παρειῶν· προήχθη δὲ [καὶ] ὁ Διονύσιος κλάειν
καὶ πάντες οἱ περιεστηκότες· ἔδοξε δ' ἄν τις καὶ τὴν
Ἀφροδίτην αὐτὴν σκυθρωποτέραν γεγονέναι. Διο-
νύσιος δὲ ἐνέκειτο ἔτι μᾶλλον πολυπραγμονῶν καὶ
8 "ταύτην αἰτοῦμαι παρά σου χάριν πρώτην. Διήγη-
σαί μοι, Καλλιρρόη, τὰ σεαυτῆς. Οὐ πρὸς ἀλλότριον
ἐρεῖς· ἔστι γάρ τις καὶ τρόπου συγγένεια. Μηδὲν
φοβηθῇς, μηδ' εἰ πέπρακταί σοί τι δεινόν." Ἠνανά-
κησεν ἡ Καλλιρρόη πρὸς τοῦτο καὶ "μή με ὕβριζε"
9 εἶπεν, "οὐδὲν γὰρ σύνοιδα ἐμαυτῇ φαῦλον. Ἀλλ'
ἐπεὶ σεμνότερα τἀμὰ τῆς τύχης ἐστὶ τῆς παρούσης,
οὐ θέλω δοκεῖν ἀλαζὼν οὐδὲ λέγειν διηγήματα ἄπιστα
τοῖς ἀγνοοῦσιν· οὐ γὰρ μαρτυρεῖ τὰ προτοῦ τοῖς νῦν."
Ἐθαύμασεν ὁ Διονύσιος τὸ φρόνημα τῆς γυναικὸς καὶ
"συνίημι" φησὶν "ἤδη, κἂν μὴ λέγῃς· εἰπὲ δ' ὅμως·
οὐδὲν γὰρ|περὶ σεαυτῆς ἐρεῖς τηλικοῦτον, ἡλίκον ὁρῶ-
10 μεν. Πᾶν ἐστί σου σμικρότερον λαμπρὸν διήγημα."
Μόλις οὖν ἐκείνη τὰ καθ' ἑαυτὴν ἤρξατο λέγειν "Ἐρ-

μοκράτους εἰμὶ θυγάτηρ, τοῦ Συρακουσίων στρατηγοῦ. Γενομένην δέ με ἄφωνον ἐξ αἰφνιδίου πτώματος ἔθαψαν οἱ γονεῖς πολυτελῶς. Ἠνοιξαν τυμβωρύχοι τὸν τάφον· εὗρον κἀμὲ πάλιν ἐμπνέουσαν· ἤνεγκαν ἐνθάδε καὶ Λεωνᾷ με τούτῳ παρέδωκε Θήρων ἐπ' ἐρημίας." Πάντα εἰποῦσα μόνον Χαιρέαν ἐσίγησεν. 11
"Ἀλλὰ δέομαί σου, Διονύσιε (Ἕλλην γὰρ εἶ καὶ πόλεως φιλανθρώπου καὶ παιδείας μετείληφας), μὴ γένῃ τοῖς τυμβωρύχοις ὅμοιος μηδὲ ἀποστερήσῃς με πατρίδος καὶ συγγενῶν. Μικρόν ἐστί σοι πλουτοῦντι σῶμα ἑᾶσαι· τὴν τιμὴν οὐκ ἀπολεῖς, ἐὰν ἀποδῷς με τῷ πατρί· Ἑρμοκράτης οὐκ ἔστιν ἀχάριστος. Τὸν Ἀλκίνοον ἀγάμεθα δὴ καὶ πάντες φιλοῦμεν ὅτι εἰς τὴν πατρίδα ἀνέπεμψε τὸν ἱκέτην. Ἱκετεύω δὲ κἀγώ. Σῶσον αἰχμάλωτον ὀρφανήν. Εἰ δὲ μὴ δύναμαι ζῆν 12
ὡς εὐγενής, αἱροῦμαι θάνατον ἐλεύθερον." Τούτων ἀκούων ἔκλαε προφάσει μὲν Καλλιρρόην, τὸ δὲ ἀληθὲς ἑαυτόν· ἠσθάνετο γὰρ ἀποτυγχάνων τῆς ἐπιθυμίας. "Θάρρει δὲ" ἔφη, "Καλλιρρόη, καὶ ψυχὴν ἔχε ἀγαθήν· οὐ γὰρ ἀτυχήσεις ὧν ἀξιοῖς· μάρτυν καλῶ τήνδε τὴν Ἀφροδίτην. Ἐν δὲ τῷ μεταξὺ θεραπείαν ἕξεις παρ' ἡμῖν δεσποίνης μᾶλλον ἢ δούλης."

Καὶ ἡ μὲν ἀπῄει πεπεισμένη μηδὲν ἄκουσα δύ- 6
νασθαι παθεῖν, ὁ δὲ Διονύσιος λυπούμενος ἦκεν εἰς οἶκον τὸν ἴδιον καὶ μόνον καλέσας Λεωνᾶν "κατὰ πάντα" φησὶν "ἐγὼ δυστυχής εἰμι καὶ μισούμενος ὑπὸ τοῦ Ἔρωτος. Τὴν μὲν γαμετὴν ἔθαψα, φεύγει δὲ ἡ νεώνητος, ἣν ἤλπιζον ἐξ Ἀφροδίτης εἶναί μοι [τὸ] δῶρον, καὶ ἀνέπλαττον ἐμαυτῷ βίον μακάριον ὑπὲρ Μενέλεων τὸν τῆς Λακεδαιμονίας γυναικός· οὐδὲ γὰρ τὴν Ἑλένην εὔμορφον οὕτως ὑπολαμβάνω γεγονέναι. Πρόσεστι δὲ αὐτῇ καὶ ἡ τῶν λόγων πειθώ. Βεβίω- 2

ταί μοι. Τῆς αὐτῆς ἡμέρας ἀπαλλαγήσεται Καλλιρρόη μὲν ἐντεῦθεν, ἐγὼ δὲ τοῦ ζῆν." Πρὸς τοῦτο ἀνέκραγεν ὁ Λεωνᾶς "μὴ σύ γε, ὦ δέσποτα, μὴ καταράσῃ σεαυτῷ· κύριος γὰρ εἶ καὶ ἐξουσίαν ἔχεις αὐτῆς, ὥστε καὶ ἑκοῦσα καὶ ἄκουσα ποιήσει τὸ σοὶ δο- 5
3 κοῦν· ταλάντου γὰρ αὐτὴν ἐπριάμην." "Ἐπρίω σύ, τρισάθλιε, τὴν εὐγενῆ; οὐκ ἀκούεις Ἑρμοκράτην τὸν στρατηγὸν τῆς ὅλης Σικελίας ἐγκεχαραγμένον μεγάλως, ὃν βασιλεὺς ὁ Περσῶν θαυμάζει καὶ φιλεῖ, πέμπει δὲ αὐτῷ κατ' ἔτος δωρεάς, ὅτι Ἀθηναίους 10
κατεναυμάχησε τοὺς Περσῶν πολεμίους; ἐγὼ τυραννήσω σώματος ἐλευθέρου, καὶ Διονύσιος ὁ ἐπὶ σωφροσύνῃ περιβόητος ἄκουσαν ὑβριῶ, ἣν οὐκ ἂν ὕβρισεν οὐδὲ Θήρων ὁ λῃστής;"

4 Ταῦτα μὲν οὖν εἶπε πρὸς τὸν Λεωνᾶν, οὐ μὴν 15
οὐδ' ἀπεγίνωσκε πείσειν (φύσει γὰρ εὔελπίς ἐστιν ὁ ἔρως), ἐθάρρει δὲ τῇ θεραπείᾳ κατεργάσασθαι τὴν ἐπιθυμίαν. Καλέσας οὖν τὴν Πλαγγόνα "δέδωκάς μοι" φησὶν "ἤδη πεῖραν ἱκανὴν τῆς ἐπιμελείας. Ἐγχειρίζω δέ σοι τὸ μέγιστον καὶ τιμιώτατόν μου τῶν 20
κτημάτων, τὴν ξένην. Βούλομαι δὲ αὐτὴν μηδενὸς
5 σπανίζειν, ἀλλὰ προΐέναι μέχρι τρυφῆς. Κυρίαν ὑπολάμβανε, θεράπευε καὶ κόσμει καὶ ποίει φίλην ἡμῖν· ἐπαίνει με παρ' αὐτῇ πολλάκις καὶ οἷον ἐπίστασαι διηγοῦ. Βλέπε μὴ δεσπότην εἴπῃς." Συνῆκεν 25
ἡ Πλαγγὼν τῆς ἐντολῆς, φύσει γὰρ ἦν ἐντρεχής· αἴφνης δὲ βαλοῦσα πρὸς τὸ πρᾶγμα τὴν διάνοιαν, ᾤχετο πρὸς τοῦτο. Παραγενομένη τοίνυν πρὸς τὴν Καλλιρρόην, ὅτι μὲν κεκέλευσται θεραπεύειν αὐτὴν οὐκ ἐμήνυσεν, ἰδίαν δὲ εὔνοιαν ἐπεδείκνυτο· καὶ τὸ 30
ἀξιόπιστον ὡς σύμβουλον ἤθελεν ἔχειν.

7 Συνέβη δέ τι τοιόνδε. Διονύσιος ἐνδιέτριβε τοῖς

χωρίοις, προφάσεσι μὲν ἄλλοτε ἄλλαις, τὸ δὲ δὴ ἀληθές, οὔτε ἀπαλλαγῆναι τῆς Καλλιρρόης δυνάμενος οὔτε ἐπάγεσθαι θέλων αὐτήν· ἔμελλε γὰρ περιβόητος ὀφθεῖσα ἔσεσθαι καὶ τὸ κάλλος ὅλην τὴν Ἰωνίαν δουλαγωγήσειν, ἀναβήσεσθαί τε τὴν φήμην καὶ μέχρι τοῦ μεγάλου βασιλέως. Ἐν δὲ τῇ μονῇ πολυπραγμονῶν ἀκριβέστερον τὰ περὶ τὴν κτῆσιν, ἐμέμψατό που καὶ τὰ περὶ τὸν οἰκονόμον Φωκᾶν· τὸ δὲ τῆς μέμψεως οὐ περαιτέρω προῆλθεν, ἀλλὰ μέχρι ῥημάτων. Εὗρε δὲ καιρὸν ἡ Πλαγγών, καὶ περίφοβος εἰσέδραμε πρὸς τὴν Καλλιρρόην, σπαράσσουσα τὴν κόμην ἑαυτῆς· λαβομένη δὲ τῶν γονάτων αὐτῆς "δέομαί σου" φησίν, "κυρία, σῶσον ἡμᾶς· τῷ γὰρ ἀνδρί μου χαλεπαίνει Διονύσιος· φύσει δέ ἐστι βαρύθυμος, ὥσπερ καὶ φιλάνθρωπος. Οὐδεὶς ἂν ῥύσαιτο ἡμᾶς ἢ μόνη σύ· παρέξει γάρ σοι Διονύσιος ἡδέως αἰτουμένῃ χάριν πρώτην." Ὤκνει μὲν οὖν ἡ Καλλιρρόη βαδίσαι πρὸς αὐτόν, λιπαρούσης δὲ καὶ δεομένης ἀντειπεῖν οὐκ ἐδυνήθη, προηνεχυριασμένη ταῖς εὐεργεσίαις ὑπ' αὐτῆς. Ἵν' οὖν μὴ ἀχάριστος δοκῇ "κἀγὼ μὲν" φησὶν "εἰμὶ δούλη καὶ οὐδεμίαν ἔχω παρρησίαν, εἰ δὲ ὑπολαμβάνεις δυνήσεσθαί τι κἀμέ, συνικετεύειν ἑτοίμη· γένοιτο δὲ ἡμᾶς τυχεῖν." Ἐπεὶ δὲ ἦλθον, ἐκέλευσεν ἡ Πλαγγὼν τὸν ἐπὶ ταῖς θύραις εἰσαγγεῖλαι πρὸς τὸν δεσπότην ὅτι Καλλιρρόη πάρεστιν. Ἐτύγχανε δὲ Διονύσιος ἐρριμμένος ὑπὸ λύπης, ἐτετήκει δὲ αὐτῷ καὶ τὸ σῶμα. Ἀκούσας οὖν ὅτι Καλλιρρόη πάρεστιν, ἄφωνος ἐγένετο, καί τις ἀχλὺς αὐτοῦ κατεχύθη πρὸς τὸ ἀνέλπιστον, μόλις δὲ ἀνενεγκὼν "ἥκετω" φησί. Στᾶσα δὲ ἡ Καλλιρρόη πλησίον καὶ κάτω κύψασα πρῶτον μὲν ἐρυθήματος ἐνεπλήσθη, μόλις δ' ὅμως ἐφθέγξατο "ἐγὼ Πλαγγόνι ταύτῃ χάριν ἐπίσταμαι·

2 3 4 5

φιλεῖ γάρ με ὡς θυγατέρα. Δέομαι δή σου, κύριε, μὴ ὀργίζου τῷ ἀνδρὶ αὐτῆς, ἀλλὰ χάρισαι τὴν σωτη-
6 ρίαν." Ἔτι δὲ βουλομένη λέγειν οὐκ ἐδυνήθη. Συνεὶς οὖν ὁ Διονύσιος τὸ στρατήγημα τῆς Πλαγγόνος "ὀργίζομαι μὲν" εἶπε, "καὶ οὐδεὶς ⟨ἄν⟩ ἀνθρώπων ἐρρύσατο μὴ ἀπολέσθαι Φωκᾶν καὶ τὴν Πλαγγόνα τοιαῦτα πεπραχότας· χαρίζομαι δὲ αὐτοὺς ἡδέως σοί, καὶ γινώσκετε ὑμεῖς ὅτι διὰ Καλλιρρόην ἐσώθητε." Προσέπεσεν αὐτοῦ τοῖς γόνασιν ἡ Πλαγγών, καὶ Διονύσιος ἔφη "τοῖς Καλλιρρόης προσπίπτετε γόνασιν,
7 αὕτη γὰρ ὑμᾶς ἔσωσεν." Ἐπεὶ δὲ ἡ Πλαγγὼν ἐθεάσατο τὴν Καλλιρρόην χαίρουσαν καὶ σφόδρα ἡδομένην ἐπὶ τῇ δωρεᾷ "σὺ οὖν" εἶπε "χάριν ὁμολόγησον ὑπὲρ ἡμῶν Διονυσίῳ" καὶ ἅμα ὤθησεν αὐτήν. Ἡ δὲ τρόπον τινὰ καταπεσοῦσα περιέπεσε τῇ δεξιᾷ τοῦ Διονυσίου, κἀκεῖνος, ὡς δῆθεν ἀπαξιῶν τὴν χεῖρα δοῦναι, προσαγόμενος αὐτὴν κατεφίλησεν, εἶτα εὐθὺς ἀφῆκε, μὴ καί τις ὑποψία γένηται τῆς τέχνης.

8 Αἱ μὲν οὖν γυναῖκες ἀπῆεσαν, τὸ δὲ φίλημα καθάπερ ἰὸς εἰς τὰ σπλάγχνα Διονυσίου κατεδύετο καὶ οὔτε ὁρᾶν ἔτι οὔτε ἀκούειν ἐδύνατο, πανταχόθεν δὲ ἦν ἐκπεπολιορκημένος, οὐδεμίαν εὑρίσκων θεραπείαν τοῦ ἔρωτος· οὔτε διὰ δώρων, ἑώρα γὰρ τῆς γυναικὸς τὸ μεγαλόφρον· οὔτε δι' ἀπειλῆς ἢ βίας, πεπεισμένος ὅτι θάνατον αἱρήσεται θᾶττον ἢ βιασθήσεται. Μίαν οὖν βοήθειαν ὑπελάμβανεν τὴν Πλαγγόνα καὶ μεταπεμψάμενος αὐτὴν "τὰ μὲν πρῶτά σοι" φησὶν "ἐστρατήγηται, καὶ χάριν ἔχω τοῦ φιλήματος·
2 ἐκεῖνο δέ με σέσωκεν ἢ ἀπολώλεκε. Σκόπει οὖν πῶς γυνὴ γυναικὸς περιγένῃ, σύμμαχον ἔχουσα κἀμέ. Γίνωσκε δὲ ἐλευθερίαν σοι προκειμένην [τὸ] ἄθλον καὶ ὃ πέπεισμαί σοι πολὺ ἥδιον εἶναι τῆς ἐλευθερίας, τὸ

ξῆν Διονύσιον." Κελευσθεῖσα δὲ ἡ Πλαγγὼν πᾶσαν πεῖραν καὶ τέχνην προσέφερεν· ἀλλ' ἡ Καλλιρρόη παντα-
χόθεν ἀήττητος ἦν καὶ ἔμενε Χαιρέᾳ μόνῳ πι-
στή. Κατεστρατηγήθη [δ'] ὑπὸ τῆς τύχης, πρὸς ἣν 3
μόνην οὐδὲν ἰσχύει λογισμὸς ἀνθρώπου· φιλόνεικος
γὰρ ἡ δαίμων, καὶ οὐδὲν ἀνέλπιστον παρ' αὐτῇ. Καὶ
τότ' οὖν πρᾶγμα παράδοξον, μᾶλλον δὲ ἄπιστον κατ-
ώρθωκεν· ἄξιον δὲ ἀκοῦσαι τὸν τρόπον.

Ἐπεβούλευσεν ἡ τύχη τῇ σωφροσύνῃ τῆς γυναι- 4
κός· ἐρωτικὴν γὰρ ποιησάμενοι τὴν πρώτην σύνοδον
τοῦ γάμου Χαιρέας καὶ Καλλιρρόη, παραπλησίαν
ἔσχον ὁρμὴν πρὸς τὴν ἀπόλαυσιν ἀλλήλων, ἰσόρροπος
δὲ ἐπιθυμία τὴν συνουσίαν ἐποίησεν οὐκ ἀργήν.
Ὀλίγον οὖν πρὸ τοῦ πτώματος ἡ γυνὴ συνέλαβεν. 5
Ἀλλὰ διὰ τοὺς κινδύνους καὶ τὴν ταλαιπωρίαν τὴν
ὕστερον οὐ ταχέως συνῆκεν ἐγκύμων γενομένη· τρί-
του δὲ μηνὸς ἀρχομένου, προύκοπτεν ἡ γαστήρ· ἐν δὲ
τῷ λουτρῷ συνῆκεν ἡ Πλαγγών, ὡς ἂν ἤδη πεῖραν
ἔχουσα τῶν γυναικείων. Εὐθὺς μὲν οὖν ἐσίγησε διὰ 6
τὸ πλῆθος τῶν θεραπαινίδων· περὶ δὲ τὴν ἑσπέραν
σχολῆς γενομένης, παρακαθίσασα ἐπὶ τῆς κλίνης
"ἴσθι" φησίν, "ὦ τέκνον, ὅτι ἐγκύμων ὑπάρχεις."
Ἀνέκλαυσεν ἡ Καλλιρρόη καὶ ὀλολύζουσα καὶ τίλ-
λουσα τὴν κεφαλὴν "ἔτι καὶ τοῦτό μου" φησὶ "ταῖς
συμφοραῖς, ὦ Τύχη, προστέθεικας, ἵνα καὶ τέκω
δοῦλον." Τύπτουσα δὲ τὴν γαστέρα εἶπεν "ἄθλιον 7
πρὸ τοῦ γεννηθῆναι γέγονας· ἐν τάφῳ καὶ χερσὶ λη-
στῶν παρεδόθης. Εἰς ποῖον παρέρχῃ βίον; ἐπὶ ποίαις
ἐλπίσι μέλλω σε κυοφορεῖν, ὀρφανὲ καὶ ἄπολι καὶ
δοῦλε; Πρὸ τῆς γενέσεως πειράθητι θανάτου." Κατ-
έσχε δὲ αὐτῆς τὰς χεῖρας ἡ Πλαγγών, ἐπαγγειλα-

μένη τῆς ὑστεραίας εὐκολωτέραν αὐτῇ ἔκτρωσιν παρασκευάσειν.

9 Γενομένη δὲ καθ' ἑαυτὴν ἑκατέρα τῶν γυναικῶν ἰδίους ἐλάμβανε λογισμούς· ἡ μὲν Πλαγγών, ὅτι καιρὸς ἐπιτήδειος πέφηνεν εἰς τὸ κατεργάσασθαι τὸν ἔρωτα τῷ δεσπότῃ, συνήγορον ἔχουσα τὸ κατὰ γαστρός· "εὕρηται πειθοῦς ἐνέχυρον· νικήσει σωφροσύνην γυναικὸς μητρὸς φιλοστοργία." Καὶ ἡ μὲν πι-
2 θανῶς τὴν πρᾶξιν συνετίθει· Καλλιρρόη δὲ τὸ τέκνον ἐβουλεύετο φθεῖραι, λέγουσα πρὸς ἑαυτὴν "ἀλλ' ἐγὼ τέκω δεσπότῃ τὸν Ἑρμοκράτους ἔγγονον καὶ προενέγκω παιδίον, οὗ μηδεὶς οἶδε πατέρα. Τάχα δὲ ἐρεῖ τις τῶν φθονούντων 'ἐν τῷ ληστηρίῳ Καλλιρ-
3 ρόη συνέλαβεν.' Ἀρκεῖ μόνην ἐμὲ δυστυχεῖν. Οὐ συμφέρει σοι, παιδίον, εἰς βίον ἄθλιον παρελθεῖν, ὃν ἔδει καὶ γεννώμενον φυγεῖν. Ἄπιθι ἐλεύθερος, ἀπαθὴς κακῶν. Μηδὲν ἀκούσῃς τῶν περὶ τῆς μητρὸς διηγημάτων." Πάλιν δὲ μετενόει καί πως ἔλεος αὐτὴν τοῦ κατὰ γαστρὸς εἰσῄει. "Βουλεύῃ τεκνοκτονῆσαι, πασῶν ἀσεβεστάτη, καὶ Μηδείας λαμβάνεις λο-
4 γισμούς; Ἀλλὰ καὶ τῆς Σκυθίδος ἀγριωτέρα δόξεις· ἐκείνη μὲν γὰρ ἐχθρὸν εἶχε τὸν ἄνδρα, σὺ δὲ τὸ Χαιρέου τέκνον θέλεις ἀποκτεῖναι καὶ μηδὲ ὑπόμνημα τοῦ περιβοήτου γάμου καταλιπεῖν. Τί δ' ἂν υἱὸς ᾖ; τί δ' ἂν ὅμοιος τῷ πατρί; τί δ' ἂν εὐτυχέστερος ἐμοῦ; Μήτηρ ἀποκτείνῃ τὸν ἐκ τάφου σωθέντα καὶ
5 ληστῶν; Πόσων ἀκούομεν θεῶν παῖδας καὶ βασιλέων ἐν δουλείᾳ γεννηθέντας ὕστερον ἀπολαβόντας τὸ τῶν πατέρων ἀξίωμα, τὸν Ζῆθον καὶ τὸν Ἀμφίονα καὶ Κῦρον; Πλεύσῃ μοι καὶ σύ, τέκνον, εἰς Σικελίαν· ζητήσεις πατέρα καὶ πάππον καὶ τὰ τῆς μητρὸς αὐτοῖς διηγήσῃ. Ἀναχθήσεται στόλος ἐκεῖθεν ἐμοὶ βοηθῶν.

Σύ, τέκνον, ἀλλήλοις ἀποδώσεις τοὺς γονεῖς." Ταῦτα 6
λογιζομένῃ δι' ὅλης [τῆς] νυκτὸς ὕπνος ἐπῆλθε πρὸς
ὀλίγον. Ἐπέστη δὲ αὐτῇ εἰκὼν Χαιρέου
πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα,
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο.
Ἑστὼς δὲ "παρατίθεμαί σοι" φησίν, "ὦ γύναι, τὸν
υἱόν." Ἔτι δὲ βουλομένου λέγειν ἀνέθορεν ἡ Καλ-
λιρρόη, θέλουσα αὐτῷ περιπλακῆναι. Σύμβουλον
οὖν τὸν ἄνδρα νομίσασα θρέψαι τὸ παιδίον ἔκρινε.
Τῆς δὲ ὑστεραίας ἐλθούσῃ Πλαγγόνι τὴν αὑτῆς 10
γνώμην ἐδήλωσεν. Ἡ δὲ τὸ ἄκαιρον τῆς βουλῆς οὐ
παρέλαβεν, ἀλλ' "ἀδύνατόν ἐστί σοι" φησίν, "ὦ
γύναι, [τὸ] τέκνον θρέψαι παρ' ἡμῖν· ὁ γὰρ δεσπότης
ἡμῶν ἐρωτικῶς σου διακείμενος ἄκουσαν μὲν οὐ βιά-
σεται δι' αἰδῶ καὶ σωφροσύνην, θρέψαι δὲ [τὸ] παιδίον
οὐκ ἐπιτρέψει διὰ ζηλοτυπίαν, ὑβρίζεσθαι δοκῶν εἰ
τὸν μὲν ἀπόντα περισπούδαστον ὑπολαμβάνεις, ὑπερ-
ορᾷς δὲ παρόντος αὐτοῦ. Κρεῖττον οὖν μοι δοκεῖ 2
πρὸ τοῦ γεννηθῆναι τὸ παιδίον ἢ γεννηθὲν ἀπολέ-
σθαι· κερδανεῖς γὰρ ὠδῖνας ματαίας καὶ κυοφορίαν
ἄχρηστον. Ἐγὼ δέ σε φιλοῦσα συμβουλεύω τἀληθῆ."
Βαρέως ἤκουσεν ἡ Καλλιρρόη καὶ προσπεσοῦσα τοῖς
γόνασιν αὐτῆς ἱκέτευεν ὅπως συνεξεύρῃ τινὰ τέχνην,
δι' ἧς τὸ παιδίον θρέψει. Πολλὰ τοίνυν ἀρνησα- 3
μένη, δύο καὶ τρεῖς ἡμέρας ὑπερθεμένη τὴν ἀπόκρι-
σιν, ἐπειδὴ μᾶλλον ἐξέκαυσεν αὐτὴν πρὸς τὰς δεή-
σεις, ἀξιοπιστοτέρα γενομένη πρῶτον μὲν αὐτὴν
ἐξώρκισε μηδενὶ κατειπεῖν τὴν τέχνην, ἔπειτα συνα-
γαγοῦσα τὰς ὀφρῦς καὶ τρίψασα τὰς χεῖρας "τὰ με-
γάλα" φησὶ "τῶν πραγμάτων, ὦ γύναι, μεγάλαις

4 post αὐτῷ: ὁμοία

ἐπινοίαις κατορθοῦται· κἀγὼ διὰ τὴν εὔνοιαν τὴν
4 πρὸς σὲ προδίδωμι τὸν δεσπότην. Ἴσθι τοίνυν ὅτι
δεήσει δυοῖν θάτερον, ἢ παντάπασιν ἀπολέσθαι τὸ
παιδίον ἢ γεννηθῆναι πλουσιώτατον Ἰώνων, κληρο-
νόμον τῆς λαμπροτάτης οἰκίας. Καὶ σὲ τὴν μητέρα
ποιήσει μακαρίαν. Ἑλοῦ δέ, πότερον θέλεις." "Καὶ
τίς οὕτως" εἶπεν "ἀνόητος, ἵνα τεκνοκτονίαν ἀντ'
εὐδαιμονίας ἕληται; δοκεῖς δέ μοί τι ἀδύνατον καὶ
ἄπιστον λέγειν, ὥστε σαφέστερον αὐτὸ δήλωσον."
5 Ἤρετο οὖν ἡ Πλαγγὼν "πόσον δοκεῖς χρόνον ἔχειν
τῆς συλλήψεως;" Ἡ δὲ "δύο μῆνας" εἶπεν. "Ὁ χρό-
νος οὖν ἡμῖν βοηθεῖ· δύνασαι γὰρ δοκεῖν ἑπταμη-
νιαῖον ἐκ Διονυσίου τετοκέναι." Πρὸς τοῦτο ἀνέ-
6 κραγεν ἡ Καλλιρρόη "μᾶλλον ἀπολέσθω." Καὶ ἡ
Πλαγγὼν κατειρωνεύσατο αὐτῆς "καλῶς, ὦ γύναι,
φρονεῖς, βουλομένη μᾶλλον ἐκτρῶσαι. Τοῦτο πράτ-
τωμεν· ἀκινδυνότερον γὰρ ἢ ἐξαπατᾶν δεσπότην.
Πανταχόθεν ἀπόκοψόν σου τὰ τῆς εὐγενείας ὑπομνή-
7 ματα, μηδ' ἐλπὶς ἔστω σοι πατρίδος. Συνάρμοσαι
τῇ παρούσῃ τύχῃ καὶ ἀκριβῶς γενοῦ δούλη." Ταῦτα
τῆς Πλαγγόνος παραινούσης οὐδὲν ὑπώπτευε Καλ-
λιρρόη, μείραξ εὐγενὴς καὶ πανουργίας ἄπειρος δου-
λικῆς· ἀλλ' ὅσῳ μᾶλλον ἐκείνη τὴν φθορὰν ἔσπευδε,
τοσούτῳ μᾶλλον αὐτὴ τὸ κατὰ γαστρὸς ἠλέει καὶ "δός
μοι" φησὶ "καιρὸν εἰς σκέψιν· περὶ τῶν μεγίστων
8 γάρ ἐστιν ἡ αἵρεσις, ἢ σωφροσύνης ἢ τέκνου." Πάλιν
τοῦτο ἐπῄνεσεν ἡ Πλαγγών, ὅτι μὴ προπετῶς αἱρεῖ-
ται τὸ ἕτερον· "πιθανὴ γὰρ εἰς ἑκάτερον ἡ ῥοπή· τὸ
μὲν γὰρ ἔχει πίστιν γυναικός, τὸ δὲ μητρὸς φιλο-
στοργίαν. Καιρὸς δ' οὐκ ἔστιν ὅμως μακρᾶς ἀναβο-
λῆς, ἀλλὰ τῆς ὑστεραίας δεῖ πάντως θατέρου ἔχεσθαι,

πρὶν ἔκπυστόν σου τὴν γαστέρα γενέσθαι." Συνέθεντο ταῦτα καὶ ἀπηλλάγησαν ἀλλήλων.

Ἀνελθοῦσα δὲ εἰς τὸ ὑπερῷον ἡ Καλλιρρόη καὶ 11
συγκλείσασα τὰς θύρας τὴν εἰκόνα Χαιρέου τῇ γαστρὶ προσέθηκε καὶ "ἰδοὺ" φησὶ "τρεῖς γεγόναμεν, ἀνὴρ καὶ γυνὴ καὶ τέκνον. Βουλευσώμεθα περὶ τοῦ κοινῇ συμφέροντος. Ἐγὼ μὲν οὖν πρώτη τὴν ἐμὴν γνώμην ἀποφαίνομαι· θέλω γὰρ ἀποθανεῖν Χαιρέου μόνου γυνή. Τοῦτό μοι καὶ γονέων ἥδιον καὶ πατρίδος καὶ τέκνου, πεῖραν ἑτέρου ἀνδρὸς μὴ λαβεῖν. Σὺ 2
δέ, παιδίον, ὑπὲρ σεαυτοῦ τί αἱρῇ; φαρμάκῳ τελευτῆσαι, πρὶν τὸν ἥλιον ἰδεῖν, καὶ μετὰ τῆς μητρὸς ἐρῥῖφθαι, τάχα δὲ μηδὲ ταφῆς ἀξιωθῆναι, ἢ ζῆν καὶ δύο πατέρας ἔχειν, τὸν μὲν Σικελίας τὸν δὲ Ἰωνίας πρῶτον; Ἀνὴρ δὲ γενόμενος γνωρισθήσῃ ῥᾳδίως ὑπὸ τῶν συγγενῶν· πέπεισμαι γὰρ ὅτι ὁμοιόν σε τέξομαι τῷ πατρί· καὶ καταπλεύσεις λαμπρῶς ἐπὶ τριήρους Μιλησίας, ἡδέως δὲ Ἑρμοκράτης ἔγγονον ἀπολήψεται, στρατηγεῖν ἤδη δυνάμενον. Ἐναντίαν μοι φέρεις, 3
τέκνον, ψῆφον καὶ οὐκ ἐπιτρέπεις ἡμῖν ἀποθανεῖν. Πυθώμεθά σου καὶ τοῦ πατρός. Μᾶλλον δὲ εἴρηκεν· αὐτὸς γάρ μοι παραστὰς ἐν τοῖς ὀνείροις 'παρατίθεμαί σοι' φησὶ 'τὸν υἱόν.' Μαρτύρομαί σε, Χαιρέα, σύ με Διονυσίῳ νυμφαγωγεῖς." Ταύτην μὲν οὖν τὴν 4
ἡμέραν καὶ τὴν νύκτα ἐν τούτοις ἦν τοῖς λογισμοῖς καὶ οὐ δι' αὐτὴν ἀλλὰ διὰ τὸ βρέφος ἐπείθετο ζῆν· τῆς δὲ ὑστεραίας ἐλθοῦσα ἡ Πλαγγὼν πρῶτον μὲν καθῆστο σκυθρωπὴ καὶ σχῆμα συμπαθὲς ἐπεδείξατο, σιγὴ δὲ ἦν ἀμφοτέρων. Ἐπεὶ δὲ μακρὸς ἐγίνετο χρό- 5
νος, ἡ Πλαγγὼν ἐπύθετο "τί σοι δέδοκται; τί ποιῶμεν; καιρὸς γὰρ οὐκ ἔστι τοῦ μέλλειν." Καλλιρρόη δὲ ἀποκρίνασθαι μὲν ταχέως οὐκ ἐδύνατο κλάουσα

καὶ συγκεχυμένη, μόλις δὲ εἶπε "τὸ τέκνον με προδίδωσιν ἀκούσης ἐμοῦ· σὺ πρᾶττε τὸ συμφέρον· ὀέδοικα δὲ μή, κἂν ὑπομείνω τὴν ὕβριν, Διονύσιός μου καταφρονήσῃ τῆς τύχης καὶ παλλακὴν μᾶλλον ἢ γυναῖκα νομίσας οὐ θρέψῃ τὸ ἐξ ἄλλου γεννώμενον 5
6 κἀγὼ μάτην ἀπολέσω τὴν σωφροσύνην." Ἔτι λεγούσης ἡ Πλαγγὼν ὑπολαβοῦσα "ἔγωγε" φησὶ "περὶ τούτων προτέρα σοῦ βεβούλευμαι· σὲ γὰρ τοῦ δεσπότου μᾶλλον ἤδη φιλῶ. Πιστεύω μὲν οὖν Διονυσίου τῷ τρόπῳ, χρηστὸς γάρ ἐστιν· ἐξορκιῶ δ' ὅμως 10
αὐτόν, κἂν δεσπότης ᾖ· δεῖ πάντα ἡμᾶς ἀσφαλῶς πράττειν. Καὶ σύ, τέκνον, ὅπως μ' ἀντευποιήσεις. Ἄπειμι δὲ ἐγὼ τὴν πρεσβείαν κομιοῦσα."

Γ

1 Διονύσιος δὲ ἀποτυγχάνων τοῦ Καλλιρρόης ἔρωτος, μηκέτι φέρων ** ἀποκαρτερεῖν ἐγνώκει καὶ διαθήκας ἔγραφε τὰς τελευταίας, ἐπιστέλλων πῶς ταφῇ. Παρεκάλει δὲ Καλλιρρόην ἐν τοῖς γράμμασιν ἵνα αὐτῷ προσέλθῃ κἂν νεκρῷ. Πλαγγὼν δὲ ἐβούλετο μὲν εἰσελθεῖν πρὸς τὸν δεσπότην, διεκώλυσε δὲ αὐτὴν ὁ
2 θεράπων κεκελευσμένος μηδένα δέχεσθαι. Μαχομένων δὲ αὐτῶν πρὸς ταῖς θύραις ἀκούσας ὁ Διονύσιος ἤρετο τίς ἐνοχλοίη. Τοῦ δὲ θεράποντος εἰπόντος ὅτι Πλαγγών, "ἀκαίρως μὲν" εἶπε "πάρεστιν" (οὐκέτι γὰρ οὐδὲ ὑπόμνημα τῆς ἐπιθυμίας ἤθελεν ἰδεῖν) "κά-
3 λεσον δ' ὅμως." Ἀνοίξασα δὲ ἐκείνη τὰς θύρας "τί κατατρύχῃ" φησίν, "ὦ δέσποτα, λυπῶν σεαυτὸν ὡς

ἀποτυγχάνων. Καλλιρρόη γάρ σε ἐπὶ τὸν γάμον παρακαλεῖ. Λαμπρειμόνει, θῦε, προσδέχου νύμφην, ἧς ἐρᾷς." Ἐξεπλάγη πρὸς τὸ ἀνέλπιστον ὁ Διονύσιος καὶ ἀχλὺς αὐτοῦ τῶν ὀφθαλμῶν κατεχύθη, παντάπασι δὲ ὧν ἀσθενὴς φαντασίαν παρέσχε θανάτου· κωκύσασα δὲ ἡ Πλαγγὼν συνδρομὴν ἐποίησε, καὶ ἐφ' ὅλης τῆς οἰκίας ὡς τεθνεὼς ὁ δεσπότης ἐπενθεῖτο. Οὐδὲ Καλλιρρόη τοῦτο ἤκουσεν ἀδακρυτί.** τοσαύτη ἦν, ὥστε κἀκείνη Διονύσιον ἔκλαε τὸν ἄνδρα. Ὀψὲ δὲ καὶ μόλις ἐκεῖνος ἀνανήψας ἀσθενεῖ φωνῇ "τίς με δαιμόνων" φησὶν "ἀπατᾷ βουλόμενος ἀναστρέψαι τῆς προκειμένης ὁδοῦ; ὕπαρ ἢ ὄναρ ταῦτα ἤκουσα; θέλει μοι Καλλιρρόη γαμηθῆναι, ἡ μὴ θέλουσα μηδὲ ὀφθῆναι;" Παρεστῶσα δὲ ἡ Πλαγγὼν "παῦσαι" φησὶ "μάτην σεαυτὸν ὀδυνῶν καὶ τοῖς ἰδίοις ἀγαθοῖς ἀπιστῶν· οὐ γὰρ ἐξαπατῶ μου τὸν δεσπότην, ἀλλ' ἔπεμψέ με Καλλιρρόη πρεσβεῦσαι περὶ γάμων." "Πρέσβευε τοίνυν" εἶπεν ὁ Διονύσιος "καὶ λέγε αὐτὰ τὰ ἐκείνης ῥήματα. Μηδὲν ἀφέλῃς μηδὲ προσθῇς, ἀλλ' ἀκριβῶς μνημόνευσον." "Ἐγὼ" φησὶν "οἰκίας οὖσα τῆς πρώτης ἐν Σικελίᾳ δεδυστύχηκα μέν, ἀλλ' ἔτι τὸ φρόνημα τηρῶ· πατρίδος, γονέων ἐστέρημαι, μόνην οὐκ ἀπολώλεκα τὴν εὐγένειαν. Εἰ μὲν οὖν ὡς παλλακὴν θέλει με Διονύσιος ἔχειν καὶ τῆς ἰδίας ἀπολαύειν ἐπιθυμίας, ἀπάγξομαι μᾶλλον ἢ ὕβρει δουλικῇ παραδώσω τὸ σῶμα· εἰ δὲ γαμετὴν κατὰ νόμους, κἀγὼ γενέσθαι θέλω μήτηρ, ἵνα διάδοχον ἔχῃ τὸ Ἑρμοκράτους γένος. Βουλευσάσθω περὶ τούτου Διονύσιος μὴ μόνος μηδὲ ταχέως, ἀλλὰ μετὰ φίλων καὶ συγγενῶν, ἵνα μή τις ὕστερον εἴπῃ πρὸς αὐτὸν 'σὺ θρέψεις παιδία ἐκ τῆς ἀργυρωνήτου καὶ καταισχυνεῖς σου τὸν οἶκον;' Εἰ μὴ θέλει πατὴρ γενέσθαι, μηδ' ἀνὴρ ἔστω." Ταῦτα

τὰ ῥήματα μᾶλλον ἐξέκαυσε Διονύσιον καί τινα ἔσχεν ἐλπίδα κούφην ἀντερᾶσθαι δοκῶν· ἀνατείνας δὲ τὰς χεῖρας εἰς τὸν οὐρανὸν "εἰ γὰρ ἴδοιμι" φησίν, "ὦ Ζεῦ καὶ Ἥλιε, τέκνον ἐκ Καλλιῤῥόης· τότε μακαριώτερος δόξω τοῦ μεγάλου βασιλέως. Ἀπίωμεν πρὸς αὐτήν· ἄγε με, Πλαγγόνιον φιλοδέσποτον."

2 Ἀναδραμὼν δὲ εἰς τὰ ὑπερῷα τὸ μὲν πρῶτον ὥρμησε τοῖς Καλλιῤῥόης γόνασι προσπεσεῖν, κατέσχε δ' ὅμως ἑαυτὸν καὶ καθεσθεὶς εὐσταθῶς "ἦλθόν σοι" φησίν, "ὦ γύναι, χάριν γνῶναι περὶ τῆς ἐμαυτοῦ σωτηρίας· ἄκουσαν μὲν γὰρ οὐκ ἐμελλόν σε βιάσεσθαι,
2 μὴ τυχὼν δὲ ἀποθανεῖν διεγνώκειν. Ἀναβεβίωκα διὰ σέ. Μεγίστην δέ σοι χάριν ἔχων ὅμως τι καὶ μέμφομαι· σὺ γὰρ ἠπίστησας ὅτι ἔξω σε γαμετὴν παίδων ἐπ' ἀρότῳ κατὰ νόμους Ἑλληνικούς. Εἰ γὰρ μὴ ἦρων,
οὐκ ἂν εὐξάμην τοιούτου γάμου τυχεῖν. Σὺ δέ, ὡς ἔοικε, μανίαν μου κατέγνωκας, εἰ δόξω δούλην τὴν εὐγενῆ καὶ ἀνάξιον υἱὸν ἐμαυτοῦ τὸν Ἑρμοκράτους
3 ἔγγονον. 'Βούλευσαι' λέγεις. Βεβούλευμαι. Φοβῇ φίλους ἐμοὺς ἡ φιλτάτη πάντων. Τολμήσει δὲ τίς εἰπεῖν ἀνάξιον τὸν ἐξ ἐμοῦ γεννώμενον, κρείττονα τοῦ πατρὸς ἔχοντα τὸν πάππον;" Ταῦτα ἅμα λέγων καὶ δακρύων προσῆλθεν αὐτῇ· ἡ δὲ ἐρυθριάσασα ῥῆμα κατεφίλησεν αὐτὸν καὶ "σοὶ μὲν" εἶπε "πιστεύω, Διονύσιε, ἀπιστῶ δὲ τῇ ἐμῇ τύχῃ, καὶ γὰρ πρότερον ἐκ μειζόνων ἀγαθῶν δι' αὐτὴν κατέπεσον.
4 Φοβοῦμαι μὴ οὐδέπω μοι διήλλακται. Σὺ τοίνυν, καίπερ ὢν χρηστὸς καὶ δίκαιος, μάρτυρας ποίησαι τοὺς θεοὺς οὐ διὰ σαυτόν, ἀλλὰ διὰ τοὺς πολίτας καὶ συγγενεῖς, ἵνα μή τις ἔτι κακοηθέστερον εἰς ἐμέ τι συμβουλεῦσαι δυνηθῇ, γινώσκων ὅτι ὁμώμοκας. Εὐ-
5 καταφρόνητόν ἐστι γυνὴ μόνη καὶ ξένη." "Ποίους"

φησὶ "Θέλεις ὅρκους θεῶν; ἕτοιμος γὰρ ὀμνύναι, εἰ δυνατόν, εἰς τὸν οὐρανὸν ἀναβὰς καὶ ἁψάμενος αὐτοῦ τοῦ Διός." "Ὅμοσόν μοι" φησὶ "τὴν θάλασσαν τὴν κομίσασάν με πρός σε καὶ τὴν Ἀφροδίτην τὴν δείξασάν μέ σοι καὶ τὸν Ἔρωτα τὸν νυμφαγωγόν." Ἤρεσε ταῦτα καὶ ταχέως [ὤμοσεν].

Ἐγένετο μὲν οὖν ἐρωτικὸν πάθος· ἔσπευδε δὲ καὶ 6
ἀναβολὴν οὐκ ἐπέτρεπε τοῖς γάμοις· ταμιεύεσθαι
γὰρ δύσκολον ἐξουσίαν ἐπιθυμίας. Διονύσιος δὲ ἀνὴρ
πεπαιδευμένος κατείληπτο μὲν ὑπὸ χειμῶνος καὶ τὴν
ψυχὴν ἐβαπτίζετο, ὅμως δ' ἀνακύπτειν ἐβιάζετο καθάπερ ἐκ τρικυμίας τοῦ πάθους. Καὶ τότε οὖν ἐπέ- 7
στησε τοιούτοις λογισμοῖς "ἐν ἐρημίᾳ μέλλω γαμεῖν
ὡς ἀληθῶς ἀργυρώνητον. Οὐχ οὕτως εἰμὶ ἀχάριστος,
ἵνα μὴ ἑορτάσω τοὺς Καλλιρρόης γάμους. Ἐν τούτῳ
πρώτῳ τιμῆσαί με δεῖ τὴν γυναῖκα. Φέρει δέ μοι
ἀσφάλειαν καὶ πρὸς τὰ μέλλοντα· πάντων γὰρ πραγμάτων ὀξύτατόν ἐστιν ἡ φήμη· δι' ἀέρος ἄπεισιν
ἀκωλύτους ἔχουσα τὰς ὁδούς· διὰ ταύτην οὐδὲν δύναται παράδοξον λαθεῖν· ἤδη τρέχει φέρουσα τὸ καινὸν εἰς Σικελίαν διήγημα ζῇ Καλλιρρόη, καὶ τυμβωρύχοι διορύξαντες τὸν τάφον ἔκλεψαν αὐτήν, καὶ
ἐν Μιλήτῳ πέπραται. Καταπλεύσουσιν ἤδη τριήρεις 8
Συρακουσίων καὶ Ἑρμοκράτης στρατηγὸς ἀπαιτῶν
τὴν θυγατέρα. Τί μέλλω λέγειν; Θήρων μοι πέπρακε. Θήρων δὲ ποῦ; Κἂν πιστευθῶ τὴν ἀλήθειαν,
ὑποδοχεύς εἰμι λῃστοῦ. Μελέτα, Διονύσιε, τὴν δίκην. Τάχα δὲ ἐρεῖς αὐτὴν ἐπὶ τοῦ μεγάλου βασιλέως.
Ἄριστον οὖν τότε λέγειν ἐγὼ γυναῖκα ἐλευθέραν
ἐπιδημήσασαν οὐκ οἶδ' ὅπως ἤκουσα· ἐκδομένην
ἑαυτὴν ἐν τῇ πόλει φανερῶς κατὰ νόμους ἔγημα. Πείσω δὲ ταύτῃ μᾶλλον καὶ τὸν πενθερὸν ὡς οὐκ ἀνά- 9

ξιός εἰμι τῶν γάμων. Καρτέρησον, ψυχή, προθεσμίαν σύντομον, ἵνα τὸν πλείω χρόνον ἀπολαύσῃς ἀσφαλοῦς ἡδονῆς. Ἰσχυρότερος γενήσομαι πρὸς τὴν κρίσιν, ἀνδρός, οὐ δεσπότου νόμῳ χρώμενος."

10 Ἔδοξεν οὕτως καὶ καλέσας Λεωνᾶν "ἄπιθι" φη- 5
σὶν "εἰς τὴν πόλιν καὶ μεγαλοπρεπῶς ἑτοίμασον τὰ
πρὸς τὸν γάμον. Ἐλαυνέσθωσαν ἀγέλαι· σῖτος καὶ
οἶνος διὰ γῆς καὶ θαλάσσης κομιζέσθω· δημοσίᾳ τὴν
11 πόλιν εὐωχῆσαι προῄρημαι." Πάντα διατάξας ἐπιμε- 10
λῶς τῆς ὑστεραίας αὐτὸς μὲν ἐπὶ ὀχήματος ἐποιεῖτο
τὴν πορείαν, τὴν δὲ Καλλιρρόην (οὐδέπω γὰρ ἐβούλετο δεικνύναι τοῖς πολλοῖς) ἐκέλευσε περὶ τὴν
ἑσπέραν διὰ πορθμείου κομισθῆναι μέχρι τῆς οἰκίας,
ἥτις ἦν ἐπ' αὐτοῦ τοῦ λιμένος τοῦ Δοκίμου λεγομέ- 15
νου· Πλαγγόνι δὲ τὴν ἐπιμέλειαν αὐτῆς ἐνεχείρισε.
12 Μέλλουσα τοίνυν ἀπαλλάσσεσθαι τῶν ἀγρῶν ἡ Καλλιρρόη τῇ Ἀφροδίτῃ πρῶτον ἐπεύξατο καὶ εἰσελθοῦσα εἰς τὸν νεὼν πάντας ἐκβαλοῦσα ταῦτα εἶπε
πρὸς τὴν θεὸν "δέσποινα Ἀφροδίτη, μέμψωμαί σοι 20
δικαίως ἢ χάριν γνῶ; σύ με οὖσαν παρθένον ἔξευξας
Χαιρέᾳ καὶ νῦν μετ' ἐκεῖνον ἄλλῳ με νυμφαγωγεῖς.
13 Οὐκ ἂν ἐπείσθην σὲ ὁμόσαι καὶ τὸν σὸν υἱόν, εἰ μή
με προύδωκε τοῦτο τὸ βρέφος," δείξασα τὴν γαστέρα.
"Ἱκετεύω δέ σε" φησὶν "οὐχ ὑπὲρ ἐμαυτῆς, ἀλλ' 25
ὑπὲρ τούτου. Ποίησόν μου λαθεῖν τὴν τέχνην. Ἐπεὶ
τὸν ἀληθῆ τοῦτο πατέρα οὐκ ἔχει, δοξάτω Διονυσίου
14 παιδίον, τραφὲν γὰρ κἀκεῖνον εὑρήσει." Βαδίζουσαν
δὲ αὐτὴν ἀπὸ τοῦ τεμένους ἐπὶ τὴν θάλασσαν ἰδόντες
οἱ ναῦται δείματι κατεσχέθησαν, ὡς τῆς Ἀφροδίτης 30
αὐτῆς ἐρχομένης ἵνα ἐμβῇ, καὶ ὥρμησαν ἀθρόοι
προσκυνῆσαι· προθυμίᾳ δὲ τῶν ἐρεσσόντων λόγου
θᾶττον ἡ ναῦς κατέπλευσεν εἰς τὸν λιμένα. Ἅμα δὲ

τῇ ἕῳ πᾶσα ἦν ἡ πόλις ἐστεφανωμένη. Ἔθυεν ἕκα- 15
στος πρὸ τῆς ἰδίας οἰκίας, οὐκ ἐν μόνοις τοῖς ἱεροῖς. Λογοποιίαι δὲ ἦσαν τίς ἡ νύμφη· τὸ δὲ δημωδέστερον πλῆθος ἀνεπείθετο διὰ τὸ κάλλος καὶ τὸ ἄγνωστον τῆς γυναικὸς ὅτι Νηρηὶς ἐκ θαλάσσης ἀναβέβηκεν ἢ ὅτι θεὰ πάρεστιν ἐκ τῶν Διονυσίου κτημάτων· τοῦτο γὰρ οἱ ναῦται διελάλουν. Μία δὲ πάντων ἦν 16
ἐπιθυμία Καλλιρρόην θεάσασθαι, καὶ περὶ τὸ ἱερὸν τῆς Ὁμονοίας ἠθροίσθη τὸ πλῆθος, ὅπου πάτριον ἦν τοῖς γαμοῦσι τὰς νύμφας παραλαμβάνειν. Τότε πρῶτον ἐκοσμήσατο μετὰ τὸν τάφον· κρίνασα γὰρ ἅπαξ γαμηθῆναι καὶ πατρίδα καὶ γένος τὸ κάλλος ἐνόμισεν. Ἐπεὶ δὲ ἔλαβε Μιλησίαν στολὴν καὶ στέφανον νυμφικόν, ἀπέβλεψεν εἰς τὸ πλῆθος. Πάντες οὖν ἀνε- 17
βόησαν "ἡ Ἀφροδίτη γαμεῖ." Πορφυρίδας ὑπεστρώννυον καὶ ῥόδα καὶ ἴα, μύρον ἔρραινον βαδιζούσης, οὐκ ἀπελείφθη ἐν ταῖς οἰκίαις οὐ παιδίον, οὐ γέρων, ἀλλ' οὐδ' ἐν αὐτοῖς τοῖς λιμέσι· μέχρι κεράμων ἀνέβη τὸ πλῆθος στενοχωρούμενον. Ἀλλ' ἐνεμέσησε καὶ ταύτῃ τῇ ἡμέρᾳ πάλιν ὁ βάσκανος δαίμων ἐκεῖνος· ὅπως δέ, μικρὸν ὕστερον ἐρῶ. Βούλομαι δὲ εἰπεῖν πρῶτον τὰ γενόμενα ἐν Συρακούσαις κατὰ τὸν αὐτὸν χρόνον.

Οἱ μὲν γὰρ τυμβωρύχοι τὸν τάφον περιέκλεισαν 3
ἀμελῶς, οἷα δὴ σπεύδοντες ἐν νυκτί· Χαιρέας δὲ φυλάξας αὐτὸ τὸ περίορθρον ἦκεν ἐπὶ τὸν τάφον προφάσει μὲν στεφάνους καὶ χοὰς ἐπιφέρων, τὸ δὲ ἀληθὲς γνώμην ἔχων ἑαυτὸν ἀνελεῖν· οὐ γὰρ ὑπέμενε Καλλιρρόης ἀπεξεῦχθαι, μόνον δὲ τὸν θάνατον τοῦ πένθους ἰατρὸν ἐνόμιζε· παραγενόμενος δὲ εὗρε τοὺς λίθους κεκινημένους καὶ φανερὰν τὴν εἴσοδον. Ὁ 2
μὲν οὖν ἰδὼν ἐξεπλάγη καὶ ὑπὸ δεινῆς ἀπορίας κατεί-

χετο τοῦ γεγονότος χάριν· ἄγγελος δὲ φήμη ταχεῖα Συρακουσίοις ἐμήνυσε τὸ παράδοξον. Πάντες οὖν συνέτρεχον ἐπὶ τὸν τάφον, ἑτοῖμα δὲ οὐδεὶς ἔνδον παρελθεῖν, πρὶν ἐκέλευσεν Ἑρμοκράτης. Ὁ δ' εἰσπεμφθεὶς πάντα ἀκριβῶς ἐμήνυσεν. Ἄπιστον ἐδόκει τὸ μηδὲ τὴν νεκρὰν κεῖσθαι. Τότ' οὖν ἠξίωσε Χαιρέας αὐτὸς** ἐπιθυμίᾳ τοῦ πάλιν Καλλιρρόην ἰδεῖν κἂν νεκράν· ἐρευνῶν δὲ τὸν τάφον οὐδὲν εὑρεῖν ἐδύνατο. Πολλοὶ μετ' αὐτὸν εἰσῆλθον ὑπ' ἀπιστίας· ἀμηχανία δὲ κατέλαβε πάντας, καί τις εἶπεν ἑστὼς "τὰ ἐντάφια σεσύληται, τυμβωρύχων τὸ ἔργον· ἡ νεκρὰ δὲ ποῦ;" Λογοποιίαι πολλαὶ καὶ διάφοροι τὸ πλῆθος κατεῖχον. Χαιρέας δὲ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ τὰς χεῖρας ἀνατείνας "τίς ἄρα θεῶν ἀντεραστής μου γενόμενος Καλλιρρόην ἀπενήνοχε καὶ νῦν ἔχει μεθ' αὑτοῦ μὴ θέλουσαν, ἀλλὰ βιαζομένην ὑπὸ κρείττονος μοίρας; Διὰ τοῦτο καὶ ἀφνίδιον ἀπέθανεν, ἵνα μὴ νοήσῃ. Οὕτω καὶ Θησέως Ἀριάδνην ἀφείλετο Διόνυσος καὶ Σεμέλην ὁ Ζεύς. Μὴ γὰρ ⟨οὐκ⟩ ᾔδειν ὅτι θεὰν εἶχον γυναῖκα καὶ κρειττων ἦν ἢ καθ' ἡμᾶς. Ἀλλ' οὐκ ἔδει ταχέως αὐτὴν οὐδὲ μετὰ τοιαύτης προφάσεως ἐξ ἀνθρώπων ἀπελθεῖν. Ἡ Θέτις θεὰ μὲν ἦν, ἀλλὰ Πηλεῖ παρέμεινε καὶ υἱὸν ἔσχεν ἐκεῖνος ἐξ αὐτῆς, ἐγὼ δὲ ἐν ἀκμῇ τοῦ ἔρωτος ἀπελείφθην. Τί πάθω; τί γένωμαι ⟨ὁ⟩ δυστυχής; ἐμαυτὸν ἀνέλω; καὶ μετὰ τίνος ταφῶ; ταύτην γὰρ εἶχον ἐλπίδα τῆς συμφορᾶς· εἰ θάλαμον μετὰ Καλλιρρόης κοινὸν οὐκ ἐτήρησα, τάφον αὐτῇ κοινὸν εὑρήσω. Ἀπολογοῦμαί σοι, δέσποινα, τῆς ἐμῆς ψυχῆς. Σύ με ζῆν ἀναγκάζεις· ζητήσω γάρ σε διὰ γῆς καὶ θαλάσσης, κἂν εἰς αὐτὸν ἀναβῆναι τὸν ἀέρα δύνωμαι. Τοῦτο δέομαί σου, γύναι, σύ με μὴ φύγῃς."

Θρῆνον τὸ πλῆθος ἐξέρρηξεν ἐπὶ τούτοις καὶ πάντες ὡς ἄρτι τεθνεῶσαν Καλλιρρόην ἤρξαντο θρηνεῖν.

Τριήρεις εὐθὺς κατεσπῶντο καὶ τὴν ζήτησιν πολ- 8
λοὶ διενέμοντο· Σικελίαν μὲν γὰρ αὐτὸς Ἑρμοκράτης ἠρεύνα, Χαιρέας δὲ Λιβύην· εἰς Ἰταλίαν τινὲς ἐξεπέμποντο, καὶ ἄλλοι περαιοῦσθαι τὸν Ἰόνιον ἐκελεύσθησαν. Ἡ μὲν οὖν ἀνθρωπίνη βοήθεια παντάπασιν ἦν ἀσθενής, ἡ τύχη δὲ ἐφώτισε τὴν ἀλήθειαν, ἧς χωρὶς ἔργον οὐδὲν τέλειον· μάθοι δ' ἄν τις ἐκ
τῶν γενομένων. Πωλήσαντες γὰρ οἱ τυμβωρύχοι τὸ 9
δυσδιάθετον φορτίον, τὴν γυναῖκα, Μίλητον μὲν ἀπέλιπον, ἐπὶ Κρήτης δὲ τὸν πλοῦν ἐποιοῦντο, νῆσον ἀκούοντες εὐδαίμονα καὶ μεγάλην, ἐν ᾗ τὴν διάπρασιν τῶν φορτίων ἥλπισαν ἔσεσθαι ῥᾳδίαν. Ὑπολα- 10
βὼν δὲ αὐτοὺς ἄνεμος σφοδρὸς εἰς τὸν Ἰόνιον ἐξέωσεν, κἀκεῖ λοιπὸν ἐπλανῶντο ἐν ἐρήμῳ θαλάσσῃ. Βρονταὶ δὲ καὶ ἀστραπαὶ καὶ νὺξ μακρὰ κατελάμβανε τοὺς ἀνοσίους, ἐπιδεικνυμένης τῆς προνοίας ὅτι τότε διὰ Καλλιρρόην εὐπλόουν. Ἐγγὺς γινομένους ἑκάστοτε τοῦ
θανάτου ταχέως οὐκ ἀπήλλαττεν ὁ θεὸς τοῦ φόβου, 11
μακρὸν αὐτοῖς ποιῶν τὸ ναυάγιον. Γῇ μὲν οὖν τοὺς ἀνοσίους οὐκ ἐδέχετο, θαλαττεύοντες δὲ πολὺν χρόνον ἐν ἀπορίᾳ κατέστησαν τῶν ἀναγκαίων, μάλιστα δὲ τοῦ ποτοῦ, καὶ οὐδὲν αὐτοὺς ὠφέλει πλοῦτος ἄδικος, ἀλλὰ διψῶντες ἀπέθνησκον ἐν χρυσῷ. Βραδέως μὲν οὖν μετενόουν ἐφ' οἷς ἐτόλμησαν, ὅτε οὐδὲν ὄφελος ἐγκαλοῦντες ἀλλήλοις. Οἱ μὲν οὖν ἄλλοι 12
πάντες ἔθνησκον ὑπὸ δίψους, Θήρων δὲ καὶ ἐν ἐκείνῳ τῷ καιρῷ πανοῦργος ἦν· ὑποκλέπτων γὰρ τοῦ ποτοῦ
καὶ τοὺς συλληστὰς ἐλήστευεν. Ὤρετο μὲν οὖν τεχνικόν τι πεποιηκέναι, τὸ δὲ ἄρα τῆς προνοίας ἔργον ἦν βασάνοις καὶ σταυρῷ τὸν ἄνδρα τηρούσης. Ἡ γὰρ 13

τριήρης ἡ Χαιρέαν κομίζουσα πλανωμένῳ τῷ κέλητι περιπίπτει καὶ τὸ μὲν πρῶτον ὡς πειρατικὸν ἐξένευσεν. Ἐπεὶ δ' ἀκυβέρνητος ἐφάνη, πρὸς τὰς τῶν κυμάτων ἐμβολὰς εἰκῇ φερόμενος, ἐκ τῆς τριήρους τις ἀνέκραγεν "οὐκ ἔχει τοὺς ἐμπλέοντας, μὴ φοβηθῶμεν, ἀλλὰ πλησιάσαντες ἱστορήσωμεν τὸ παράδοξον."

14 Ἥρεσε τῷ κυβερνήτῃ· Χαιρέας γὰρ ἐν κοίλῃ νηὶ ἐγκεκαλυμμένος ἔκλαεν. Ἐπεὶ δὲ ἐπλησίασαν, τὸ μὲν πρῶτον τοὺς ἔνδον ἐκάλουν· ὡς δὲ ὑπήκουεν οὐδείς, ἀνέβη τις ἀπὸ τῆς τριήρους, εἶδε δὲ οὐδὲν ἕτερον ἢ χρυσὸν καὶ νεκρούς. Ἐμήνυσε τοῖς ναύταις· ἔχαιρον, εὐτυχεῖς ἑνόμιζον ἑαυτούς, ὡς ἐν θαλάσσῃ θησαυρὸν εὑρόντες. Θορύβου δὲ γενομένου Χαιρέας ἤρετο τίς ἡ αἰτία. Μαθὼν οὖν καὶ αὐτὸς ἐβουλήθη τὸ καινὸν θεάσασθαι. γνωρίσας δὲ τὰ ἐντάφια περιερρήξατο καὶ μέγα καὶ διωλύγιον ἀνεβόησεν "οἴμοι, Καλλιρρόη· ταῦτά ἐστι τὰ σά. Στέφανος οὗτος, ὃν ἐγώ σοι περιέθηκα· τοῦτο ὁ πατήρ σοι δέδωκε, τοῦτο ἡ μήτηρ· αὕτη στολὴ νυμφική. Τάφος σοι γέγονεν ἡ ναῦς.

16 Ἀλλὰ τὰ μὲν σὰ βλέπω, σὺ δὲ ποῦ; μόνη τοῖς ἐνταφίοις ἡ νεκρὰ λείπει." Τούτων ἀκούσας ὁ Θήρων ἔκειτο ὅμοιος τοῖς νεκροῖς, καὶ γὰρ ἦν ἡμιθνής. Πολλὰ μὲν οὖν ἐβουλεύσατο [τὸ] μηδ' ὅλως φωνὴν ἀφιέναι μηδὲ κινεῖσθαι· τὸ γὰρ μέλλον οὐκ ἦν ἀπροόρατον αὐτῷ· φύσει δὲ φιλόζωόν ἐστιν ἄνθρωπος καὶ οὐδὲ ἐν ταῖς ἐσχάταις συμφοραῖς ἀπελπίζει τὴν πρὸς τὸ βέλτιον μεταβολήν, τοῦ δημιουργήσαντος θεοῦ τὸ σόφισμα τοῦτο πᾶσιν ἐγκατασπείραντος, ἵνα μὴ φύγωσι

17 βίον ταλαίπωρον. Κατεχόμενος οὖν τῷ δίψει ταύτην πρώτην ἀφῆκε φωνὴν "ποτόν". Ἐπεὶ δὲ αὐτῷ προσηνέχθη καὶ πάσης ἔτυχεν ἐπιμελείας, παρακαθεσθεὶς αὐτῷ ὁ Χαιρέας ἤρετο "τίνες ἐστέ; καὶ ποῖ πλεῖτε;

καὶ πόθεν ταῦτα; καὶ τί τὴν κυρίαν αὐτῶν πεποιήκατε;" Θήρων δὲ ἐμνημόνευεν ἑαυτοῦ πανοῦργος ἄνθρωπος καὶ "Κρὴς" εἶπεν "εἰμί, πλέω δὲ εἰς Ἰωνίαν· ἀδελφὸν ἐμαυτοῦ ζητῶ στρατευόμενον. Κατελείφθην 18
ὑπὸ τῶν ἐπὶ τῆς νεὼς ἐν Κεφαλληνίᾳ· ταχείας δὲ τῆς ἀναγωγῆς γενομένης ἐκεῖθεν ἐπέβην τοῦδε τοῦ κέλητος παραπλέοντος εὐκαίρως. Ἐξαισίοις δὲ πνεύμασιν ἐξεώσθημεν εἰς ταύτην τὴν θάλασσαν, εἶτα γαλήνης μακρᾶς γενομένης δίψει πάντες ἀνηρέθησαν, ἐγὼ δὲ μόνος ἐσώθην ὑπὸ τῆς ἐμῆς εὐσεβείας." Ἀκούσας οὖν ὁ Χαιρέας ἐκέλευσεν ἐξάψαι τὸν κέλητα τῆς τριήρους, ἕως [[ἂν]] εἰς τοὺς Συρακουσίων λιμένας καταπλεύσῃ.

Προεπεδήμησε δὲ ἡ φήμη φύσει μὲν οὖσα ταχεῖα, τότε δὲ μᾶλλον σπεύσασα μηνῦσαι πολλὰ παράδοξα καὶ καινά. Πάντες οὖν ἐπὶ τὴν θάλασσαν συνέτρεχον, καὶ ἦν ὁμοῦ πάθη ποικίλα κλαόντων, θαυμαζόντων, πυνθανομένων, ἀπιστούντων· ἐξέπληττε γὰρ αὐτοὺς τὸ καινὸν διήγημα. Ἰδοῦσα δὲ ἡ μήτηρ τὰ ἐντάφια τῆς θυγατρὸς ἀνεκώκυσεν "ἐπιγινώσκω πάντα· σύ, τέκνον, μόνη λείπεις. Ὦ καινῶν τυμβωρύχων· τὴν ἐσθῆτα καὶ τὸν χρυσὸν φυλάξαντες μόνην ἔκλεψάν μου τὴν θυγατέρα." Συνήχησαν δὲ αἰγιαλοὶ καὶ λιμένες κοπτομέναις ταῖς γυναιξί, καὶ γῆν καὶ θάλασσαν ἐνέπλησαν οἰμωγῆς. Ἑρμοκράτης δὲ ἔφη, στρατηγικὸς ἀνὴρ καὶ πραγμάτων ἐπιστήμων "οὐκ ἐνταῦθα χρὴ ζητεῖν, ἀλλὰ νομιμωτέραν ποιεῖσθαι τὴν ἀνάκρισιν. Ἀπίωμεν εἰς τὴν ἐκκλησίαν. Τίς οἶδεν εἰ χρεία γένοιτο καὶ δικαστῶν."

Οὔπω πᾶν εἴρητο ἔπος καὶ ἤδη μεστὸν ἦν τὸ θέατρον. Ἐκείνην τὴν ἐκκλησίαν ἤγαγον καὶ γυναῖκες. Ὁ μὲν οὖν δῆμος μετέωρος καθῆστο, Χαιρέας δὲ πρῶτος εἰσῆλθε μελανείμων, ὠχρός, αὐχμῶν, οἷος

ἐπὶ τὸν τάφον ἠκολούθησε τῇ γυναικί, καὶ ἐπὶ μὲν τὸ
βῆμα οὐκ ἠθέλησεν ἀναβῆναι, κάτω δέ που στὰς τὸ
μὲν πρῶτον ἐπὶ πολὺν ἔκλαε χρόνον καὶ φθέγξασθαι
θέλων οὐκ ἐδύνατο· τὸ δὲ πλῆθος ἐρόα "θάρρει καὶ
5 λέγε." Μόλις οὖν ἀναβλέψας "ὁ μὲν παρὼν" εἶπε 5
"καιρὸς οὐκ ἦν δημηγοροῦντος ἀλλὰ πενθοῦντος, ἐγὼ
δὲ ὑπὸ τῆς ἀνάγκης καὶ λέγω καὶ ζῶ, μέχρις ἂν ἐξεύρω
Καλλιρρόης τὴν ἀναίρεσιν. Διὰ τοῦτο δὲ ἐντεῦθεν
ἐκπλεύσας οὐκ οἶδα πότερον εὐτυχῆ τὸν πλοῦν ἢ δυσ-
6 τυχῆ πεποίημαι. Πλοῖον γὰρ ἐθεασάμην ἐν εὐδίᾳ 10
πλανώμενον, ἰδίου χειμῶνος γέμον καὶ βαπτιζόμε-
νον ἐν γαλήνῃ. Θαυμάσαντες ἦλθομεν πλησίον. Ἔδοξα
τὸν τῆς ἀθλίας μου γυναικὸς τάφον ἰδεῖν, πάντα
ἔχοντα τὰ ἐκείνης, πλὴν ἐκείνης. Νεκρῶν μὲν ἦν
πλῆθος, ἀλλοτρίων δὲ πάντων, ὅδε δέ τις ἐν αὐτοῖς 15
ἠμιθνὴς εὑρέθη. Τοῦτον ἐγὼ μετὰ πάσης ἐπιμελείας
ἀνεκτησάμην καὶ ὑμῖν ἐτήρησα."

7 Μεταξὺ δὲ οἰκέται δημόσιοι τὸν Θήρωνα δεδεμένον
εἰς τὸ θέατρον ἦγον μετὰ πομπῆς ἐκείνῳ πρεπούσης·
ἐπηκολούθει γὰρ αὐτῷ τροχὸς [καὶ] καταπέλτης καὶ 20
πῦρ καὶ μάστιγες, ἀποδιδούσης αὐτῷ τῆς προνοίας
8 τὰ ἔπαθλα τῶν ἀγώνων. Ἐπεὶ δὲ ἐν μέσῳ ἔστη, τῶν
ἀρχόντων εἷς ἀνέκρινεν αὐτὸν "τίς εἶ;" "Δημή-
τριος." "Εἰπὲ πόθεν;" "Κρής." "Τί οἶδας; εἰπέ."
"πρὸς ἐμαυτοῦ ἀδελφὸν πλέων εἰς Ἰωνίαν ἀπελεί- 25
φθην νεώς, εἶτα κέλητος ἐπέβην παραπλέοντος. Τότε
μὲν οὖν ὑπελάμβανον ἐμπόρους εἶναι, νῦν δὲ τυμβω-
9 ρύχους. Θαλαττεύοντες δὲ χρόνον μακρὸν οἱ μὲν ἄλ-
λοι πάντες διεφθάρησαν ἀπορίᾳ τοῦ ποτοῦ, μόνος δὲ
ἐγὼ σέσωσμαι διὰ τὸ μηδὲν ἐν τῷ βίῳ δεδρακέναι 30
πονηρόν. Μὴ οὖν ὑμεῖς, ὦ Συρακούσιοι, δῆμος ἐπὶ

φιλανθρωπίᾳ περιβόητος, γένεσθέ μοι καὶ δίψους καὶ θαλάσσης ἀγριώτεροι."

Ταῦτα λέγοντος οἰκτρῶς ἔλεος εἰσῆλθε τὰ πλήθη, καὶ τάχ' ἂν ἔπεισεν, ὥστε κἂν ἐφοδίων τυχεῖν, εἰ μὴ δαίμων τις τιμωρὸς Καλλιρρόης ἐνεμέσησεν αὐτῷ τῆς ἀδίκου πειθοῦς· ἔμελλε γὰρ τὸ σχετλιώτατον ἔσεσθαι πάντων πραγμάτων, πεισθῆναι Συρακουσίους ὅτι μόνος ἐσώθη διὰ εὐσέβειαν ὁ μόνος σωθεὶς δι' ἀσέβειαν, ἵνα ἐπὶ πλέον κολασθῇ. Καθεζόμενος οὖν ἐν τῷ πλήθει τις ἁλιεὺς ἐγνώρισεν αὐτὸν καὶ ἠσυχῇ πρὸς τοὺς καθεζομένους εἶπε "τοῦτον ἐγὼ καὶ πρότερον εἶδον περὶ τὸν λιμένα τὸν ἡμέτερον στρεφόμενον." Ταχέως οὖν ὁ λόγος εἰς πλείονας διεδόθη, καί τις ἐξεβόησε "ψεύδεται." Πᾶς οὖν ὁ δῆμος ἐπεστράφη, καὶ προσέταξαν οἱ ἄρχοντες καταβῆναι τὸν πρῶτον εἰπόντα· ἀρνουμένου δὲ Θήρωνος ὁ ἁλιεὺς μᾶλλον ἐπιστεύθη. Βασανιστὰς εὐθὺς ἐκάλουν καὶ μάστιγες προσεφέροντο τῷ δυσσεβεῖ· καόμενος δὲ καὶ τεμνόμενος ἀντεῖχεν ἐπὶ πλέον καὶ μικροῦ δεῖν ἐνίκησε τὰς βασάνους. Ἀλλὰ μέγα τὸ συνειδὸς ἑκάστῳ καὶ παγκρατὴς ἡ ἀλήθεια· μόλις μὲν γὰρ καὶ βραδέως ἀλλ' ὡμολόγησεν ὁ Θήρων. Ἤρξατο οὖν διηγεῖσθαι "πλοῦτον θαπτόμενον ἰδὼν συνήγαγον λῃστάς. Ἠνοίξαμεν τὸν τάφον· εὕρομεν ζῶσαν τὴν νεκράν· πάντα συλήσαντες ἐνεθήκαμεν τῷ κέλητι· πλεύσαντες εἰς Μίλητον μόνην ἐπωλήσαμεν τὴν γυναῖκα, τὰ δὲ λοιπὰ διεκομίζομεν εἰς Κρήτην· ἐξωσθέντες δὲ εἰς τὸν Ἰόνιον ὑπὸ ἀνέμων ἃ πεπόνθαμεν καὶ ὑμεῖς ἑωράκατε." Πάντα εἰπὼν μόνον τοὔνομα οὐκ ἐμνημόνευσε τοῦ πριαμένου.

Ῥηθέντων δὲ τούτων χαρὰ καὶ λύπη πάντας εἰσῆλθε· χαρὰ μὲν ὅτι ζῇ Καλλιρρόη, λύπη δὲ ὅτι πέ-

πραται. Θήρωνι μὲν οὖν θανάτου ψῆφος ἠνέχθη, Χαιρέας δὲ ἱκέτευε μηδέπω θνήσκειν τὸν ἄνθρωπον, "ἵνα μοι" φησὶν "ἐλθὼν μηνύσῃ τοὺς ἀγοράσαντας. Λογίσασθέ μου τὴν ἀνάγκην· συνηγορῶ τῷ πωλή-
16 σαντί μου τὴν γυναῖκα." Τοῦτο Ἑρμοκράτης ἐκώ- 5
λυσε γενέσθαι "βέλτιον" εἰπὼν "ποιήσασθαι τὴν ζήτησιν ἐπιπονωτέραν ἢ λυθῆναι τοὺς νόμους. Λέομαι δὲ ὑμῶν, ἄνδρες Συρακούσιοι, μνησθέντας στρατηγίας τῆς ἐμῆς καὶ τροπαίων ἀποδοῦναί μοι [ταύτην] τὴν χάριν εἰς τὴν θυγατέρα. Πέμψατε πρεσβείαν 10
17 ὑπὲρ αὐτῆς· τὴν ἐλευθέραν ἀπολάβωμεν." Ἔτι λέγοντος ὁ δῆμος ἀνεβόησε "πάντες πλεύσωμεν," ἐκ δὲ τῆς βουλῆς ὑπέστησαν ἐθελονταὶ τὸ πλεῖστον μέρος· ὁ δὲ Ἑρμοκράτης "τῆς μὲν τιμῆς" ἔφη "χάριν ἐπίσταμαι πᾶσιν, ἀρκοῦσι δὲ πρεσβευταὶ δύο μὲν ἀπὸ 15
τοῦ δήμου, δύο δὲ ἀπὸ τῆς βουλῆς· πλεύσεται δὲ Χαιρέας πέμπτος αὐτός."

18 Ἔδοξε ταῦτα καὶ ἐκυρώθη, διέλυσέ τε ἐπὶ τούτοις τὴν ἐκκλησίαν. Ἀπαγομένῳ δὲ Θήρωνι μέγα μέρος τοῦ πλήθους ἐπηκολούθησεν. Ἀνεσκολοπίσθη δὲ πρὸ 20
τοῦ Καλλιρρόης τάφου καὶ ἔβλεπεν ἀπὸ τοῦ σταυροῦ τὴν θάλασσαν ἐκείνην, δι' ἧς αἰχμάλωτον ἔφερε τὴν Ἑρμοκράτους θυγατέρα, ἣν οὐκ ἔλαβον οὐδὲ Ἀθηναῖοι.

5 Τοῖς μὲν οὖν ἄλλοις ἅπασιν ἐδόκει περιμένειν 25
τὴν ὥραν τοῦ πλοῦ καὶ ἔαρος ὑπολάμψαντος ἀνάγεσθαι· τότε γὰρ ἔτι χειμὼν εἱστήκει καὶ παντάπασιν ἀδύνατον ἐδόκει τὸν Ἰόνιον περαιοῦσθαι· Χαιρέας δὲ ἔσπευδεν, ἕτοιμος ὢν διὰ τὸν ἔρωτα, ζεύξας σχεδίαν εἰς τὸ πέλαγος ἑαυτὸν ἀφεῖναι τοῖς ἀνέμοις φέ- 30
2 ρεσθαι. Οὔκουν οὐδὲ οἱ πρέσβεις ἤθελον βραδύνειν ὑπ' αἰδοῦς τῆς τε πρὸς ἐκεῖνον καὶ μάλιστα πρὸς Ἑρ-

μοκράτην, ἀλλ' ἡτοιμάζοντο πλεῖν. Συρακούσιοι δὲ δημοσίᾳ τὸν στόλον ἐξέπεμψαν, ἵνα καὶ τοῦτο εἰς ἄξιωμα προστεθῇ τῆς πρεσβείας. Καθείλκυσαν οὖν 3 ἐκείνην τὴν τριήρη τὴν στρατηγικήν, ἔχουσαν ἔτι τὰ σημεῖα τῆς νίκης. Ἐπεὶ δὲ ἦκεν ἡ κυρία τῆς ἀναγωγῆς ἡμέρα, τὸ πλῆθος εἰς τὸν λιμένα συνέδραμεν, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες καὶ παῖδες, καὶ ἦσαν ὁμοῦ εὐχαί, δάκρυα, στεναγμοί, παραμυθία, φόβος, θάρσος, ἀπόγνωσις, ἐλπίς. Ἀρίστων δέ, ὁ 4 Χαιρέου πατήρ, ἐσχατογήρως καὶ νοσῷ παρειμένος, περιέφυ τῷ τραχήλῳ τοῦ παιδὸς καὶ ἀνακρεμάμενος αὐτοῦ κλάων ἔλεγε "τίνι με καταλείπεις, ὦ τέκνον, ἡμιθνῆτα πρεσβύτην; ὅτι μὲν γὰρ οὐκέτι σε ὄψυμαι δῆλον. Περίμεινον δὲ κἂν ὀλίγας ἡμέρας, ὅπως ἐν 5 ταῖς χερσὶ ταῖς σαῖς ἀποθάνω· θάψον δέ με καὶ ἄπιθι." Ἡ δὲ μήτηρ τῶν γονάτων αὐτοῦ λαβομένη "ἐγὼ δέ σου δέομαι" φησίν, "ὦ τέκνον, μή με ἐνταῦθα καταλίπῃς ἔρημον, ἀλλ' ἐμβαλοῦ τριήρει φορτίον κοῦφον· ἂν δὲ ὦ βαρεῖα καὶ περιττή, ῥίψατέ με εἰς τὴν θάλασσαν, ἣν σὺ πλεῖς." Ταῦτα λέγουσα 6 περιέρρηξε τὸ στῆθος καὶ προτείνουσα τὰς θηλὰς" "τέκνον" φησί,

"τάδ' αἴδεο καί μ' ἐλέησον
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον."

Κατεκλάσθη Χαιρέας πρὸς τὰς τῶν γονέων ἱκεσίας καὶ ἔρριψεν ἑαυτὸν ἀπὸ τῆς νεὼς εἰς τὴν θάλασσαν, ἀποθανεῖν θέλων, ἵνα φύγῃ δυοῖν θάτερον, ἢ τὸ μὴ ζητεῖν Καλλιρρόην ἢ τὸ λυπῆσαι τοὺς γονεῖς· ταχέως δὲ ἀπορρίψαντες οἱ ναῦται μόλις αὐτὸν ἀνεκούφισαν. Ἐνταῦθα Ἑρμοκράτης ἀπεσκέδασε τὸ πλῆθος καὶ ἐκέ- 7

12 post αὐτοῦ: τοῦ τραχήλου

λευσε τῷ κυβερνήτῃ λοιπὸν ἀνάγεσθαι. Συνέβη δέ τι καὶ ἄλλο φιλίας ἔργον οὐκ ἀγεννές. Πολύχαρμος γάρ, [ὁ] ἑταῖρος τοῦ Χαιρέου, παραυτὰ μὲν οὐκ ὤφθη ἐν τῷ μέσῳ, ἀλλὰ καὶ πρὸς τοὺς γονεῖς ἔφη "φίλος μέν, φίλος Χαιρέας, οὐ μὴν ἄχρι τούτου γε ὥστε καὶ
8 περὶ τῶν ἐσχάτων αὐτῷ συγκινδυνεύειν. Διόπερ, ἕως ἀποπλεῖ, ὑπεκστήσομαι." Ἡνίκα δὲ ἀπεσάλευσε τῆς γῆς τὸ πλοῖον, ἀπὸ τῆς πρύμνης αὐτοὺς ἀπησπάσατο, ἵνα μηκέτι αὐτὸν δύνωνται κατασχεῖν.

9 Ἐξελθὼν δὲ τοῦ λιμένος Χαιρέας καὶ ἀποβλέψας εἰς τὸ πέλαγος "ἄγε με" φησίν, "ὦ θάλασσα, τὸν αὐτὸν δρόμον, ὃν καὶ Καλλιρρόην ἤγαγες. Εὔχομαί σοι, Πόσειδον, ἢ κἀκείνην μεθ' ἡμῶν ἢ μηδὲ ἐμὲ χωρὶς ἐκείνης ἐνταῦθα. Εἰ μὴ γὰρ δύναμαι τὴν γυναῖκα τὴν ἐμὴν ἀπολαβεῖν, θέλω κἂν δουλεύειν μετ' αὐτῆς."

6 Πνεῦμα δὲ φορὸν ὑπέλαβε τὴν τριήρη καὶ ὥσπερ κατ' ἴχνος τοῦ κέλητος ἔτρεχεν. Ἐν δὲ ταῖς ἴσαις ἡμέραις εἰς Ἰωνίαν ἦκον καὶ ὡρμίσαντο ἐπὶ τῆς αὐ-
2 τῆς ἀκτῆς ἐν τοῖς Διονυσίου χωρίοις. Οἱ μὲν οὖν ἄλλοι κεκμηκότες ἐκβάντες εἰς τὴν γῆν περὶ τὴν ἀνάληψιν ἠπείγοντο τὴν ἑαυτῶν, σκηνάς τε πηγνύμενοι καὶ παρασκευάζοντες εὐωχίαν, Χαιρέας δὲ μετὰ Πολυχάρμου περινοστῶν "πῶς νῦν" φησὶ "Καλλιρρόην εὑρεῖν δυνάμεθα; μάλιστα μὲν γὰρ φοβοῦμαι μὴ Θήρων ἡμᾶς διεψεύσατο καὶ τέθνηκεν ἡ δυστυχής. Εἰ δ' ἄρα καὶ ἀληθῶς πέπραται, τίς οἶδεν ὅποι·
3 πολλὴ γὰρ ἡ Ἀσία." Μεταξὺ δὲ ἁλύοντες περιέπεσον τῷ νεῷ τῆς Ἀφροδίτης. Ἔδοξεν οὖν αὐτοῖς προσκυνῆσαι τὴν θεόν, καὶ προσδραμὼν τοῖς γόνασιν αὐτῆς Χαιρέας "σύ μοι, δέσποινα, πρώτη Καλλιρρόην ἔδειξας ἐν τῇ σῇ ἑορτῇ· σὺ καὶ νῦν ἀπόδος, ἣν ἐχαρίσω·"

μεταξὺ [δ'] ἀνακύψας εἶδε παρὰ τὴν θεὸν εἰκόνα Καλλιρρόης χρυσῆν, ἀνάθημα Διονυσίου.

Τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ. Κατέπεσεν οὖν σκοτοδινιάσας· θεασαμένη δὲ αὐτὸν ἡ ξάκορος ὕδωρ προσήνεγκε καὶ ἀνακτωμένη τὸν ἄνθρωπον εἶπε "θάρρει, τέκνον, καὶ ἄλλους πολλοὺς ἡ θεὸς ἐξέπληξεν· ἐπιφανὴς γάρ ἐστι καὶ δείκνυσιν ἑαυτὴν ἐναργῶς. Ἀλλ' ἀγαθοῦ μεγάλου τοῦτ' ἔστι σημεῖον. Ὁρᾷς εἰκόνα τὴν χρυσῆν; αὕτη δούλη μὲν ἦν, ἡ δὲ Ἀφροδίτη πάντων ἡμῶν κυρίαν πεποίηκεν αὐτήν." "Τίς γάρ ἐστιν" ὁ Χαιρέας εἶπεν "αὕτη;" "Ἡ δέσποινα τῶν χωρίων τούτων, ὦ τέκνον, Διονυσίου γυνή, τοῦ πρώτου τῶν Ἰώνων." Ἀκούσας ὁ Πολύχαρμος, οἷα δὴ σωφρονῶν αὐτός, οὐδὲν εἴασεν ἔτι τὸν Χαιρέαν εἰπεῖν, ἀλλ' ὑποβαστάσας ἐξήγαγεν ἐκεῖθεν, οὐ βουλόμενος ἐκπύστους γενέσθαι τίνες εἰσί, πρὶν ἅπαντα βουλεύσασθαι καλῶς καὶ συντάξαι πρὸς ἀλλήλους. Ὁ δὲ Χαιρέας τῆς ξακόρου παρούσης οὐδὲν εἶπεν ἀλλ' ἐσίγησεν ἐγκρατῶς, πλὴν ὅσον αὐτομάτως ἐξεπήδησεν αὐτοῦ τὰ δάκρυα· πόρρω δὲ ἀπελθὼν ἐπὶ γῆς μόνος ἔρριψεν ἑαυτὸν καὶ "ὦ θάλασσα" φησὶ "φιλάνθρωπε, τί με διέσωσας; ἢ ἵνα εὐπλοήσας ἴδω Καλλιρρόην ἄλλου γυναῖκα; τοῦτο οὐκ ἤλπισα γενέσθαι ποτὲ οὐδὲ ἀποθανόντος Χαιρέου. Τί ποιήσω [ὁ] δυστυχής; παρὰ δεσπότου μὲν γὰρ ἤλπιζόν σε κομιεῖσθαι καὶ τοῖς λύτροις ἐπίστευον ὅτι πείσω τὸν ἀγοράσαντα· νῦν δὲ εὕρηκά σε πλουσίαν, τάχα καὶ βασιλίδα. Πόσῳ δ' ἂν εὐτυχέστερος ὑπῆρχον, εἰ σε πτωχεύουσαν εὑρήκειν. Εἶπω Διονυσίῳ προσελθὼν 'ἀπόδος μοι τὴν γυναῖκα;' τοῦτο δὲ λέγει τίς γεγα-

19 post [ἀλλ']: ἅμα

8 μηκότι; Ἀλλ' οὐδ', ἂν ἀπαντήσω, δύναμαί σοι προσελθεῖν, ἀλλ' οὐδέ, τὸ κοινότατον, ὡς πολίτης ἀσπάσασθαι. Κινδυνεύω τάχα καὶ ὡς μοιχὸς τῆς ἐμῆς γυναικὸς ἀπολέσθαι." Ταῦτα ὀδυρόμενον παρεμυθεῖτο Πολύχαρμος.

7 Ἐν δὲ τῷ μεταξὺ Φωκᾶς, ὁ οἰκονόμος Διονυσίου, θεασάμενος τριήρη ναύμαχον, οὐκ ἀδεῶς καθειστήκει· ναύτην δέ τινα ὑποκορισάμενος μανθάνει παρ' αὐτοῦ τὴν ἀλήθειαν, τίνες εἰσὶ καὶ πόθεν καὶ διὰ τίνα πλέουσι. Συνῆκεν οὖν ὅτι μεγάλην συμφορὰν ἡ τριήρης αὕτη κομίζει Διονυσίῳ καὶ οὐ βιώσεται Καλ-
2 λιρρόης ἀποσπασθείς. Οἷα δὲ φιλοδέσποτος ἐθελήσας προλαβεῖν τὸ δεινὸν καὶ σβέσαι πόλεμον μέγαν μέν, οὐ κοινὸν δέ, ἀλλὰ τῆς Διονυσίου μόνης οἰκίας, διὰ τοῦτο ἀφιππευσάμενος εἴς τι φρουρίον βαρβάρων, ἀνήγγειλεν ὅτι τριήρης πολεμία λανθάνει τάχα μὲν ἐπὶ κατασκοπὴν τάχα δὲ καὶ διὰ λῃστείαν ὑφορμοῦσα, συμφέρει δὲ τοῖς βασιλέως πράγμασιν
3 ἀνάρπαστον αὐτὴν γενέσθαι πρὶν ἀδικεῖν. Ἔπεισε τοὺς βαρβάρους καὶ συντεταγμένους ἤγαγεν. Ἐπιπεσόντες οὖν μέσῃ νυκτὶ καὶ πῦρ ἐμβαλόντες τὴν μὲν τριήρη κατέφλεξαν, ὅσους δὲ ζῶντας ἔλαβον, δήσαντες εἰς τὸ φρουρίον ἀνήγαγον. Νεμήσεως δὲ τῶν αἰχμαλώτων γενομένης ἱκέτευσαν Χαιρέας καὶ Πολύχαρμος ἑνὶ δεσπότῃ πραθῆναι. Καὶ ὁ λαβὼν αὐτοὺς ἐπώλησεν εἰς Καρίαν. Ἐκεῖ δὲ πέδας σύροντες παχείας εἰργάζοντο τὰ Μιθριδάτου.

4 Καλλιρρόῃ δὲ ὄναρ ἐπέστη Χαιρέας δεδεμένος καὶ θέλων αὐτῇ προσελθεῖν, ἀλλὰ μὴ δυνάμενος· ἀνεκώκυσε δὲ μέγα καὶ διωλύγιον ἐν τοῖς ὕπνοις "Χαιρέα, δεῦρο." Τότε πρῶτον Διονύσιος ἤκουσεν ὄνομα Χαιρέου. Τῆς γυναικὸς οὖν ταραχθείσης ἐπύ-

θετο "τίς, ὃν ἐκάλεις;" Προύδωκε δὲ αὐτὴν τὰ δάκρυα καὶ τὴν λύπην οὐκ ἐδυνήθη κατασχεῖν, ἀλλ' ἔδωκε παρρησίαν τῷ πάθει. "Δυστυχὴς" φησὶν "ἄνθρωπος, ἐμὸς ἀνὴρ ἐκ παρθενίας, οὐδὲ ἐν τοῖς ὀνείροις εὐτυχής· εἶδον γὰρ αὐτὸν δεδεμένον. Ἀλλὰ σὺ μέν, ἄθλιε, τέθνηκας ζητῶν ἐμὲ (δηλοῖ γὰρ θάνατόν σου τὰ δεσμά), ἐγὼ δὲ ζῶ καὶ τρυφῶ, κατάκειμαι δὲ ἐπὶ χρυσηλάτου κλίνης μετὰ ἀνδρὸς ἑτέρου. Πλὴν οὐκ εἰς μακρὰν ἀφίξομαι πρὸς σέ. Εἰ καὶ ζῶντες ἀλλήλων οὐκ ἀπελαύσαμεν, ἀποθανόντες ἀλλήλους ἕξομεν." Τούτων τῶν λόγων ἀκούσας ὁ Διονύσιος ποικίλας ἐλάμβανε γνώμας· ἥπτετο μὲν γὰρ αὐτοῦ ζηλοτυπία διότι καὶ νεκρὸν ἐφίλει Χαιρέαν, ἥπτετο δὲ καὶ φόβος μὴ ἑαυτὴν ἀποκτείνῃ· ἐθάρρει δ' ὅμως ὅτι ὁ πρῶτος ἀνὴρ ἐδόκει τεθνηκέναι τῇ γυναικί· μὴ γὰρ ἀπολείψειν αὐτὴν Διονύσιον, οὐκ ὄντος ἔτι Χαιρέου. Παρεμυθεῖτο τοίνυν ὡς δυνατὸν μάλιστα τὴν γυναῖκα καὶ ἐπὶ πολλὰς ἡμέρας παρεφύλαττε, μὴ ἄρα τι δεινὸν ἑαυτὴν ἐργάσηται. Περιέσπασε δὲ τὸ πένθος ἐλπὶς τοῦ τάχα ζῆν ἐκεῖνον καὶ ψευδόνειρον αὐτὴν γεγονέναι· τὸ δὲ πλέον ἡ γαστήρ· ἑβδόμῳ γὰρ μηνὶ μετὰ τοὺς γάμους υἱὸν ἔτεκε τῷ μὲν δοκεῖν ἐκ Διονυσίου, Χαιρέου δὲ ταῖς ἀληθείαις. Ἑορτὴν μεγίστην ἤγαγεν ἡ πόλις καὶ πρεσβεῖαι ἀφίκοντο πανταχόθεν Μιλησίοις συνηδομένων ὅτι τὸ γένος αὔξει τὸ Διονυσίου. Κἀκεῖνος ὑπὸ τῆς χαρᾶς πάντων παρεχώρησε τῇ γυναικὶ καὶ δέσποιναν αὐτὴν ἀπέδειξε τῆς οἰκίας. Ἀναθημάτων ἐνέπλησε τοὺς νεώς, πανδημεὶ τὴν πόλιν εἱστία θυσίαις.

Ἀγωνιῶσα δὲ Καλλιρρόη μὴ προδοθῇ τὸ ἀπόρρητον αὐτῆς, ἠξίωσεν ἐλευθερωθῆναι Πλαγγόνα, τὴν μόνην αὐτῇ συνειδυῖαν ὅτι πρὸς Διονύσιον ἦλθεν

ἐγκύμων, ἵνα μὴ μόνον ἐκ τῆς γνώμης ἀλλὰ καὶ ἐκ τῆς τύχης ἔχῃ τὸ πιστὸν παρ' αὐτῆς. "Ἄσμενος" εἶπεν ὁ Διονύσιος "ἀμείβομαι Πλαγγόνα διακονίας
2 ἐρωτικῆς. Ἄδικον δὲ ποιοῦμεν εἰ τὴν θεραπαινίδα τετιμήκαμεν, οὐκ ἀποδώσομεν δὲ τὴν χάριν τῇ Ἀφροδίτῃ, παρ' ἧ πρῶτον ἀλλήλους εἴδομεν." "Κἀγώ" φησὶν ἡ Καλλιρρόη "σοῦ θέλω μᾶλλον· ἔχω γὰρ αὐτῇ μείζονα χάριν. Νῦν μὲν οὖν λεχὼ ἔτι εἰμί, περιμείναντες δὲ ὀλίγας ἡμέρας ἀσφαλέστερον ἅπιμεν εἰς τοὺς ἀγρούς."

3 Ταχέως δὲ αὐτὴν ἀνέλαβεν ἐκ τοῦ τόκου καὶ κρείττων ἐγένετο καὶ μείζων, οὐκέτι κόρη, ἀλλὰ γυναικὸς ἀκμὴν προσλαβοῦσα. Παραγενομένων δὲ αὐτῶν εἰς τὸν ἀγρὸν μεγαλοπρεπεῖς θυσίας παρεσκεύασε Φωκᾶς· καὶ γὰρ πλῆθος ἐπηκολούθησεν ἐξ ἄστεος. Κατ-
ἀρχόμενος οὖν ὁ Διονύσιος ἑκατόμβης "δέσποινα" φησὶν "Ἀφροδίτη, σύ μοι πάντων ἀγαθῶν αἰτία.
4 Παρὰ σοῦ Καλλιρρόην ἔχω, παρὰ σοῦ τὸν υἱόν, καὶ ἀνήρ εἰμι διὰ σὲ καὶ πατήρ. Ἐμοὶ μὲν ἥρκει Καλλιρρόη καὶ πατρίδος μοι καὶ γονέων γλυκυτέρα, φιλῶ δὲ τὸ τέκνον ὅτι μοι τὴν μητέρα βεβαιοτέραν πεποίηκεν. Ὅμηρον ἔχω τῆς εὐνοίας τῆς πρὸς αὐτήν. Ἱκετεύω σε, δέσποινα, σῶζε ἐμοὶ μὲν Καλλιρρόην, Καλ-
5 λιρρόῃ δὲ τὸν υἱόν." Ἐπευφήμησε τὸ πλῆθος τῶν περιεστηκότων καὶ οἱ μὲν ῥόδοις οἱ δὲ ἴοις οἱ δὲ αὐτοῖς στεφάνοις ἐφυλλοβόλησαν αὐτούς, ὥστε πλησθῆναι τὸ τέμενος ἀνθέων. Διονύσιος μὲν οὖν πάντων ἀκουόντων εἶπε τὴν εὐχήν, Καλλιρρόη δὲ μόνη
6 ἠθέλησε πρὸς τὴν Ἀφροδίτην λαλῆσαι. Πρῶτον μὲν οὖν τὸν υἱὸν εἰς τὰς αὐτῆς ἀγκάλας ἐνέθηκε, καὶ ὤφθη θέαμα κάλλιστον, οἷον οὔτε ζωγράφος ἔγραψεν οὔτε πλάστης ἔπλασεν οὔτε ποιητὴς ἱστόρησε μέ-

χρι νῦν· οὐδεὶς γὰρ αὐτῶν ἐποίησεν Ἄρτεμιν ἢ Ἀθηνᾶν βρέφος ἐν ἀγκάλαις κομίζουσαν (ἔκλαυσεν ὑφ' ἡδονῆς Διονύσιος ἰδὼν καὶ ἡσυχῇ τὴν Νέμεσιν προσεκύνησε)· μόνην δὲ Πλαγγόνα προσμεῖναι κελεύσασα τοὺς λοιποὺς προύπεμψεν εἰς τὴν ἔπαυλιν. Ἐπεὶ δὲ 7
ἀπηλλάγησαν, στᾶσα πλησίον τῆς Ἀφροδίτης καὶ ἀνατείνασα χερσὶ τὸ βρέφος "ὑπὲρ τούτου σοι" φησίν, "ὦ δέσποινα, γινώσκω τὴν χάριν· ὑπὲρ ἐμαυτῆς γὰρ οὐκ οἶδα. Τότ' ἄν σοι καὶ περὶ ἐμαυτῆς ἠπιστάμην χάριν, εἴ μοι Χαιρέαν ἐτήρησας. Πλὴν εἰκόνα μοι δέδωκας ἀνδρὸς φιλτάτου καὶ ὅλον οὐκ ἀφείλου μου Χαιρέαν. Λὸς δή μοι γενέσθαι τὸν υἱὸν εὐτυχέ- 8
στερον μὲν τῶν γονέων, ὅμοιον δὲ τῷ πάππῳ· πλεύσειε δὲ καὶ οὗτος ἐπὶ τριήρους στρατηγικῆς, καί τις εἴποι, ναυμαχοῦντος αὐτοῦ κρείττων Ἑρμοκράτους ὁ ἔγγονος· ἡσθήσεται μὲν γὰρ καὶ ὁ πατὴρ ἔχων τῆς ἀρετῆς διάδοχον, ἡσθησόμεθα δὲ οἱ γονεῖς αὐτοῦ καὶ τεθνεῶτες. Ἱκετεύω σε, δέσποινα, διαλλάγηθί μοι 9
λοιπόν· ἱκανῶς γάρ μοι δεδυστύχηται. Τέθνηκα, ἀνέζησα, λελῄστευμαι, πέφευγα, πέπραμαι, δεδούλευκα· τίθημι δὲ καὶ τὸν δεύτερον γάμον ἔτι μοι τούτων βαρύτερον. Ἀλλὰ μίαν ἀντὶ πάντων αἰτοῦμαι χάριν παρὰ σοῦ καὶ διὰ σοῦ παρὰ τῶν ἄλλων θεῶν· σῶξέ μου τὸν ὀρφανόν." Ἔτι βουλομένην λέγειν ἐπέσχε τὰ δάκρυα.

Μικρὸν οὖν διαλιποῦσα καλεῖ τὴν ἱέρειαν· ἡ δὲ 9
προσβῦτις ὑπακούσασα "τί κλάεις" εἶπεν, "ὦ παιδίον, ἐν ἀγαθοῖς τηλικούτοις; ἤδη γὰρ καί σε ὡς θεὰν οἱ ξένοι προσκυνοῦσι. Πρῴην ἦλθον ἐνθάδε δύο νεανίσκοι καλοὶ παραπλέοντες· ὁ δὲ ἕτερος αὐτῶν θεασάμενός σου τὴν εἰκόνα, μικροῦ δεῖν ἐξέπνευσεν. Οὕτως ἐπιφανῆ σε ἡ Ἀφροδίτη πεποίη-

κεν." Ἔπληξε τὴν καρδίαν τῆς Καλλιρρόης τοῦτο καὶ ὥσπερ ἐμμανὴς γενομένη, στήσασα τοὺς ὀφθαλμοὺς ἀνέκραγε "τίνες ἦσαν οἱ ξένοι; πόθεν ἔπλεον; τί σοι διηγοῦντο;" Δείσασα δὲ ἡ πρεσβῦτις τὸ μὲν πρῶτον ἄφωνος εἱστήκει, μόλις δὲ ἐφθέγξατο "μόνον εἶδον αὐτούς, οὐδὲν ἤκουσα." "Ποταποὺς εἶδες; ἀναμνήσθητι τὸν χαρακτῆρα αὐτῶν." Ἔφρασεν ἡ γραῦς οὐκ ἀκριβῶς μέν, ὑπώπτευσε δ' ὅμως ἐκείνη τὴν ἀλήθειαν· ὃ γὰρ βούλεται τοῦθ' ἕκαστος καὶ οἴεται. Βλέψασα δὲ πρὸς Πλαγγόνα "δύναται" φησὶν "ὁ δυστυχὴς Χαιρέας πλανώμενος ἐνθάδε παρεῖναι. Τί οὖν ἐγένετο; ζητήσωμεν αὐτόν, ἀλλὰ σιγῶσαι."

Ἀφικομένη τοίνυν πρὸς Διονύσιον τοῦτο μόνον εἶπεν, ὅπερ ἤκουσε παρὰ τῆς ἱερείας· ἠπίστατο γὰρ ὅτι φύσει περίεργόν ἐστιν ἔρως κἀκεῖνος δι' ἑαυτὸν πολυπραγμονήσει περὶ τῶν γεγονότων. Ὅπερ οὖν καὶ συνέβη. Πυθόμενος γὰρ ὁ Διονύσιος εὐθὺς ἐνεπλήσθη ζηλοτυπίας καὶ πόρρω μὲν ἦν τοῦ Χαιρέαν ὑποπτεύειν, ἔδεισε δὲ ἄρα μή τις λανθάνῃ κατὰ τοὺς ἀγροὺς ἐπιβουλὴ μοιχική· πάντα γὰρ ὑποπτεύειν αὐτὸν καὶ δεδιέναι τὸ κάλλος ἀνέπειθε τῆς γυναικός. Ἐφοβεῖτο δὲ οὐ μόνον τὰς παρὰ ἀνθρώπων ἐπιβουλάς, ἀλλὰ προσεδόκα τάχα αὐτῷ καταβήσεσθαι καὶ θεὸν ἐξ οὐρανοῦ ἀντεραστήν. Καλέσας τοίνυν Φωκᾶν διηρεύνα "τίνες εἰσὶν οἱ νεανίσκοι καὶ πόθεν; ἆρά γε πλούσιοι καὶ καλοί; διὰ τί δὲ τὴν ἐμὴν Ἀφροδίτην προσεκύνουν; τίς ἐμήνυσεν αὐτοῖς; τίς ἐπέτρεψεν;" Ὁ δὲ Φωκᾶς ἀπέκρυπτε τὴν ἀλήθειαν, οὐ Διονύσιον δεδοικώς, γινώσκων δὲ ὅτι Καλλιρρόη καὶ αὐτὸν ἀπολεῖ καὶ τὸ γένος αὐτοῦ, πυθομένη περὶ τῶν γεγονότων. Ἐπεὶ οὖν ἔξαρνος ἦν ἐπιδεδημηκέναι τινάς, οὐκ εἰδὼς ὁ Διονύσιος τὴν αἰ-

τίαν ὑπώπτευσε βαρυτέραν ἐπιβουλὴν καθ' ἑαυτοῦ συνίστασθαι. Διοργισθεὶς οὖν μάστιγας ἤτει καὶ 7
τροχὸν ἐπὶ Φωκᾶν, καὶ οὐ μόνον ἐκεῖνον ἀλλὰ καὶ τοὺς ἐν τοῖς ἀγροῖς ἅπαντας συνεκάλει μοιχείαν πε-
πεισμένος ζητεῖν. Αἰσθόμενος δὲ Φωκᾶς οἷ καθέ-
στηκε δεινοῦ καὶ λέγων καὶ σιωπῶν "σοὶ" φησί, "δέ-
σποτα, ἐρῶ μόνῳ τὴν ἀλήθειαν." Ὁ δὲ Διονύσιος 8
πάντας ἀποπέμψας "ἰδού" φησὶ "μόνοι γεγόνα-
μεν. Μηδὲν ἔτι ψεύσῃ, λέγε τἀληθὲς κἂν φαῦλον ᾖ."
"Φαῦλον μὲν" εἶπεν "οὐδέν ἐστιν, ὦ δέσποτα, μεγά-
λων γὰρ ἀγαθῶν φέρω σοι διηγήματα· εἰ δὲ σκυ-
θρωπότερά ἐστιν αὐτῶν τὰ πρῶτα, διὰ τοῦτο μηδὲν
ἀγωνιάσῃς μηδὲ λυπηθῇς, ἀλλὰ περίμεινον, ἕως οὗ
πάντα ἀκούσῃς· χρηστὸν γὰρ ἔχει τὸ τέλος." Μετέω- 9
ρος οὖν ὁ Διονύσιος πρὸς τὴν ἐπαγγελίαν γενόμενος
καὶ ἀναρτήσας ἑαυτὸν τῆς ἀκροάσεως "μὴ βράδυνε"
φησὶν "ἀλλ' ἤδη διηγοῦ." Τότ' οὖν ἤρξατο λέγειν
"τριήρης ἐνθάδε κατέπλευσεν ἐκ Σικελίας καὶ πρέ-
σβεις Συρακουσίων παρὰ σοῦ Καλλιρρόην ἀπαιτούν-
των." Ἐξέθανεν ὁ Διονύσιος ἀκούσας καὶ νὺξ αὐτοῦ 10
τῶν ὀφθαλμῶν κατεχύθη· φαντασίαν γὰρ ἔλαβεν ὡς
ἐφεστηκότος αὐτῷ Χαιρέου καὶ Καλλιρρόην ἀπο-
σπῶντος. Ὁ μὲν οὖν ἔκειτο καὶ σχῆμα καὶ χρῶμα
νεκροῦ παριστάς, Φωκᾶς δὲ ἐν ἀπορίᾳ καθεστήκει,
καλέσαι μὲν οὐδένα θέλων, ἵνα μή τις αὐτῷ μάρτυς
γένηται τῶν ἀπορρήτων· μόλις δὲ καὶ κατ' ὀλίγον
αὐτὸς τὸν δεσπότην ἀνεκτήσατο "θάρρει" λέγων,
"Χαιρέας τέθνηκεν· ἀπόλωλεν ἡ ναῦς· οὐδεὶς ἔτι
φόβος." Ταῦτα τὰ ῥήματα ψυχὴν ἐνέθηκε Διονυσίῳ, 11
καὶ κατ' ὀλίγον πάλιν ἐν ἑαυτῷ γενόμενος ἀκριβῶς
ἐπυνθάνετο πάντα, καὶ Φωκᾶς διηγεῖτο τὸν ναύτην,
τὸν μηνύσαντα, πόθεν ἡ τριήρης καὶ διὰ τίνα πλέ-

ουσι καὶ τίνες οἱ παρόντες, τὸ στρατήγημα τὸ ἴδιον ἐπὶ τοὺς βαρβάρους, τὴν νύκτα, τὸ πῦρ, τὸ ναυάγιον, τὸν φόνον, τὰ δεσμά. Καθάπερ οὖν νέφος ἢ σκότος ἀπεκάλυψε τῆς ψυχῆς Διονύσιον, καὶ περιπτυξάμενος Φωκᾶν "σὺ" φησὶν "εὐεργέτης ἐμός, σὺ κηδεμὼν ἀληθὴς καὶ πιστότατος ἐν τοῖς ἀπορρήτοις. 12 Διὰ σὲ Καλλιρρόην ἔχω καὶ τὸν υἱόν. Ἐγὼ μὲν οὐκ ἄν σοι προσέταξα Χαιρέαν ἀποκτεῖναι, σοῦ δὲ ποιήσαντος οὐ μέμφομαι· τὸ γὰρ ἀδίκημα φιλοδέσποτον. Τοῦτο μόνον ἀμελῶς ἐποίησας ὅτι οὐκ ἐπολυπραγμόνησας πότερον ἐν τοῖς τεθνηκόσι Χαιρέας ἐστὶν ἢ ἐν τοῖς δεδεμένοις. Καὶ ἔδει ζητῆσαι τὸν νεκρόν· καὶ γὰρ ἐκεῖνος ἂν ἔτυχε τάφου κἀγὼ βεβαιότερον ἔσχον τὸ θαρρεῖν. Οὐ δύναμαι δὲ νῦν ἀμερίμνως εὐτυχεῖν διὰ τοὺς δεδεμένους· οὐδὲ γὰρ τοῦτο ἴσμεν, ὅποι τις αὐτῶν ἐπράθη."

10 Προστάξας δὲ Φωκᾶν τὰ μὲν ἄλλα τῶν γεγονότων φανερῶς διηγεῖσθαι, δύο δὲ ταῦτα σιγᾶν, τὸ ἴδιον στρατήγημα καὶ ὅτι ἐκ τῆς τριήρους τινὲς ἔτι ζῶσι, παραγίνεται πρὸς Καλλιρρόην σκυθρωπός· εἶτα συγκαλέσας πεισθέντας τοὺς ἀγροίκους, ἵνα ἡ γυνὴ πυθομένη τὰ συμβάντα βεβαιοτέραν ἤδη λάβῃ 2 περὶ Χαιρέου τὴν ἀπόγνωσιν. Ἐλθόντες δὲ διηγοῦντο (πάντες δὲ ἤδεσαν) ὅτι "βάρβαροί ποθεν λῃσταὶ νυκτὸς καταδραμόντες ἐνέπρησαν Ἑλληνικὴν τριήρη τῆς προτεραίας ὁρμισθεῖσαν ἐπὶ τῆς ἀκτῆς· καὶ μεθ' ἡμέραν εἴδομεν αἵματι μεμιγμένον ὕδωρ καὶ 3 νεκροὺς ὑπὸ τῶν κυμάτων φερομένους." Ἀκούσασα ἡ γυνὴ τὴν ἐσθῆτα περιερρήξατο, κόπτουσα δὲ τοὺς ὀφθαλμοὺς καὶ τὰς παρειὰς ἀνέδραμεν εἰς τὸν οἶκον, ὅποι τὸ πρῶτον εἰσῆλθε πραθεῖσα. Διονύσιος δὲ ἐξουσίαν ἔδωκε τῷ πάθει, φοβούμενος μὴ γένηται

φορτικός, ἂν ἀκαίρως παρῇ. Πάντας οὖν ἐκέλευσεν ἀπαλλαγῆναι, μόνην δὲ προσεδρεύειν Πλαγγόνα, μή τι ἄρα δεινὸν αὐτὴν ἐργάσηται. Καλλιρρόη δὲ ἠρε- 4
μίας λαβομένη, χαμαὶ καθεσθεῖσα καὶ κόνιν τῆς κε-
φαλῆς καταχέασα, τὰς κόμας σπαράξασα τοιούτων
ἤρξατο γόων "ἐγὼ μὲν προαποθανεῖν ἢ συναποθα-
νεῖν εὐξάμην σοι, Χαιρέα· πάντως δέ μοι κἂν ἐπ-
αποθανεῖν ἀναγκαῖον· τίς γὰρ ἔτι λείπεται ἐλπὶς ἐν
τῷ ζῆν με κατέχουσα; Δυστυχοῦσα μέχρι νῦν ἐλογι- 5
ζόμην 'ὄψομαί ποτε Χαιρέαν καὶ διηγήσομαι αὐτῷ
πόσα πέπονθα δι' •ἐκεῖνον· ταῦτά με ποιήσει τιμιω-
τέραν αὐτῷ. Πόσης ἐμπλησθήσεται χαρᾶς, ὅταν ἴδῃ
τὸν υἱόν.' Ἀνόνητά μοι πάντα γέγονε, καὶ τὸ τέκνον
ἤδη περισσόν· προσετέθη γάρ μου τοῖς κακοῖς ὀρφα-
νός. "Ἀδικε Ἀφροδίτη, σὺ μόνη Χαιρέαν εἶδες, ἐμοὶ 6
δὲ οὐκ ἔδειξας αὐτὸν ἐλθόντα· λῃστῶν χερσὶ παρέ-
δωκας τὸ σῶμα τὸ καλόν· οὐκ ἠλέησας τὸν πλεύσαντα
διὰ σέ. Τοιαύτῃ θεῷ τίς ἂν προσεύχοιτο, ἥτις τὸν
ἴδιον ἱκέτην ἀπέκτεινας. Οὐκ ἐβοήθησας ἐν νυκτὶ 7
φοβερᾷ φονευόμενον ἰδοῦσα πλησίον σου μειράκιον
καλόν, ἐρωτικόν· ἀφείλου μου τὸν ἡλικιώτην, τὸν
πολίτην, τὸν ἐραστήν, τὸν ἐρώμενον, τὸν νυμφίον.
Ἀπόδος αὐτοῦ μοι κἂν τὸν νεκρόν. Τίθημι ὅτι ἔγεν- 8
νήθημεν ἡμεῖς ἀτυχέστατοι πάντων· τί δὲ καὶ ἡ τριή-
ρης ἠδίκησεν, ὡς βάρβαροι κατέκαυσαν αὐτήν, ἧς οὐκ
ἐκράτησαν οὐδὲ Ἀθηναῖοι; Νῦν ἡμῶν ἀμφοτέρων οἱ
γονεῖς τῇ θαλάσσῃ παρακάθηνται, τὸν ἡμέτερον κα-
τάπλουν περιμένοντες, καὶ ἥτις ἂν ναῦς πόρρωθεν
ὀφθῇ, λέγουσι 'Χαιρέας Καλλιρόην ἄγων ἔρχεται,'
τὴν κοίτην ἡμῖν εὐτρεπίζουσι τὴν νυμφικήν, κοσμεῖ-
ται δὲ θάλαμος οἷς ἴδιος οὐδὲ τάφος ὑπάρχει. Θά-

λασσα μιαρά, σὺ καὶ Χαιρέαν εἰς Μίλητον ἤγαγες φονευθῆναι καὶ ἐμὲ πραθῆναι."

Δ

1 Ταύτην μὲν οὖν τὴν νύκτα Καλλιρρόη διῆγεν ἐν θρήνοις, Χαιρέαν ἔτι ζῶντα πενθοῦσα· μικρὸν δὲ καταδραθοῦσα ὄναρ ἑώρα λῃστήριον βαρβάρων πῦρ ἐπιφέροντας, ἐμπιμπραμένην δὲ τριήρη, Χαιρέᾳ δὲ 2 βοηθοῦσαν ἑαυτήν. Ὁ δὲ Διονύσιος ἐλυπεῖτο μὲν ὁρῶν τρυχομένην τὴν γυναῖκα, μὴ ἄρα τι καὶ τοῦ κάλλους αὐτῇ παραπόληται, λυσιτελεῖν δὲ ὑπελάμβανε εἰς τὸν ἴδιον ἔρωτα, τὸν πρότερον ἄνδρα βεβαίως 3 αὐτὴν ἀπογνῶναι. Θέλων οὖν ἐνδείξασθαι στοργὴν καὶ μεγαλοψυχίαν ἔφη πρὸς αὐτὴν "ἀνάστηθι, ὦ γύναι, καὶ τάφον κατασκεύασον τῷ ταλαιπώρῳ. Τί τὰ μὲν ἀδύνατα σπεύδεις, ἀμελεῖς δὲ τῶν ἀναγκαίων; νόμιζε ἐφεστηκότα σοι λέγειν αὐτὸν

'θάπτε με, ὅττι τάχιστα πύλας Ἀΐδαο περήσω.'

καὶ γὰρ εἰ μὴ τὸ σῶμα εὕρηται τοῦ δυστυχοῦς, ἀλλὰ νόμος οὗτος ἀρχαῖος Ἑλλήνων, ὥστε καὶ τοὺς ἀφανεῖς τάφοις κοσμεῖν."

4 Ἔπεισε ταχέως, τὸ γὰρ πρὸς ἡδονὴν εἶχεν ἡ συμβουλία. Φροντίδος οὖν ἐμπεσούσης ἐλώφησεν ἡ λύπη, καὶ ἐξαναστᾶσα τῆς κλίνης κατεσκόπει χωρίον, ἐν ᾧ ποιήσει τὸν τάφον. Ἤρεσε δ' αὐτῇ πλησίον τοῦ νεὼ τῆς Ἀφροδίτης, ὥστε καὶ τοὺς αὖθις ἔχειν ἔρωτος 5 ὑπόμνημα. Διονύσιος δὲ ἐφθόνησε Χαιρέᾳ τῆς γειτνιάσεως καὶ τὸν τόπον τοῦτον ἐφύλαττεν ἑαυτῷ. Θέλων οὖν ἅμα καὶ τριβὴν ἐγγενέσθαι τῇ φροντίδι

"βαδίζωμεν, ὦ γύναι" φησὶν "εἰς ἄστυ, κἀκεῖ πρὸ τῆς πόλεως ὑψηλὸν καὶ ἀρίδηλον κατασκευάσωμεν τάφον,

ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη.

Καλοὶ δὲ Μιλησίων εἰσὶ λιμένες, εἰς οὓς καθορμίζονται καὶ Συρακούσιοι πολλάκις. Οὔκουν οὐδὲ παρὰ τοῖς πολίταις ἀκλεᾶ τὴν φιλοτιμίαν ἕξεις."

Ὁ λόγος ἥρεσε Καλλιρρόῃ, καὶ τότε μὲν ἐπέσχε 6
τὴν σπουδήν· ἐπειδὴ δὲ ἦκεν εἰς τὴν πόλιν, ἐπί τινος ὑψηλῆς ᾐόνος οἰκοδομεῖν ἤρξατο τάφον, πάντα ὅμοιον τῷ ἰδίῳ τῷ ἐν Συρακούσαις, τὸ σχῆμα, τὸ μέγεθος, τὴν πολυτέλειαν, καὶ οὗτος δέ, ὡς ἐκεῖνος, ζῶντος. Ἐπεὶ δὲ ἀφθόνοις ἀναλώμασι καὶ πολυχειρίᾳ ταχέως τὸ ἔργον ἠνύσθη, τότε ἤδη καὶ τὴν ἐκκομιδὴν ἐμιμήσατο τὴν ἐπ' αὐτῷ. Προηγγέλλετο μὲν 7
γὰρ ἡμέρα ῥητή, συνῆλθε δὲ εἰς ἐκείνην οὐ μόνον τὸ Μιλησίων πλῆθος ἀλλὰ καὶ τῆς Ἰωνίας σχεδὸν ὅλης. Παρῆσαν δὲ καὶ δύο σατράπαι κατὰ καιρὸν ἐπιδημοῦντες, Μιθριδάτης ὁ ἐν Καρίᾳ καὶ Φαρνάκης δὲ ὁ Λυδίας. Ἡ μὲν οὖν πρόφασις ἦν τιμῆσαι Διονύσιον, 8
ἡ δὲ ἀλήθεια Καλλιρρόην ἰδεῖν. Ἦν δὲ καὶ κλέος μέγα τῆς γυναικὸς ἐπὶ τῆς Ἀσίας πάσης καὶ ἀνέβαινεν ἤδη μέχρι τοῦ μεγάλου βασιλέως ὄνομα Καλλιρρόης, οἷον οὐδὲ Ἀριάδνης οὐδὲ Λήδας. Τότε δὲ καὶ τῆς δόξης εὑρέθη κρείττων· προῆλθε γὰρ μελανείμων, λελυμένη τὰς τρίχας· ἀστράπτουσα δὲ τῷ προσώπῳ καὶ παραγυμνοῦσα τοὺς βραχίονας ** ὑπὲρ τὴν Λευκώλενον καὶ Καλλίσφυρον ἐφαίνετο τὰς Ὁμήρου. Οὐδεὶς μὲν οὖν οὐδὲ τῶν ἄλλων τὴν μαρμαρυγὴν 9
ὑπήνεγκε τοῦ κάλλους, ἀλλ' οἱ μὲν ἀπεστράφησαν, ὡς ἀκτῖνος ἡλιακῆς ἐμπεσούσης, [οἱ δὲ] καὶ προσεκύνησαν. Ἔπαθόν τι καὶ παῖδες. Μιθριδάτης δέ, ὁ Κα-

ρίας ἔπαρχος, ἀχανὴς κατέπεσεν, ὥσπερ τις ἐξ ἀπροσδοκήτου σφενδόνῃ βληθείς, καὶ μόλις αὐτὸν οἱ θεραπευτῆρες ὑποβαστάζοντες ἔφερον. Ἐπόμπευε δ' εἴδωλον Χαιρέου πρὸς τὴν ἐν τῷ δακτυλίῳ σφραγῖδα διατυπωθέν· καλλίστην δὲ οὖσαν τὴν εἰκόνα προσέβλεψεν οὐδεὶς Καλλιρρόης παρούσης, ἀλλ' ἐκείνη μόνη τοὺς ἁπάντων ἐδημαγώγησεν ὀφθαλμούς. Πῶς ἄν τις διηγήσαιτο κατ' ἀξίαν τὰ τελευταῖα τῆς πομπῆς; Ἐπεὶ γὰρ ἐγένοντο τοῦ τάφου πλησίον, οἱ μὲν κομίζοντες τὴν κλίνην ἔθηκαν, ἀναβᾶσα δὲ ἐπ' αὐτὴν ἡ Καλλιρρόη Χαιρέᾳ περιεχύθη καὶ καταφιλοῦσα τὴν εἰκόνα "σὺ μὲν ἔθαψας ἐμὲ πρῶτος ἐν Συρακούσαις, ἐγὼ δὲ ἐν Μιλήτῳ πάλιν σέ. Μὴ γὰρ μεγάλα μόνον, ἀλλὰ καὶ παράδοξα δυστυχοῦμεν· ἀλλήλους ἐθάψαμεν. Οὐκ ἔχει δὲ ἡμῶν οὐδέτερος οὐδὲ τὸν νεκρόν. Τύχη βάσκανε, καὶ ἀποθανοῦσιν ἡμῖν ἐφθόνησας κοινὴν γῆν ἐπιθέσθαι καὶ φυγάδας ἡμῶν ἐποίησας καὶ τοὺς νεκρούς." Θρῆνον ἐξέρρηξε τὸ πλῆθος καὶ πάντες οὐχ ὅτι τέθνηκε Χαιρέαν ἠλέουν, ἀλλ' ὅτι τοιαύτης γυναικὸς ἀφῄρητο.

2 Καλλιρρόη μὲν οὖν ἐν Μιλήτῳ Χαιρέαν ἔθαπτε, Χαιρέας δὲ ἐν Καρίᾳ δεδεμένος εἰργάζετο. Σκάπτων δὲ τὸ σῶμα ταχέως ἐξετρυχώθη· πολλὰ γὰρ αὐτὸν ἐβάρει, κόπος, ἀμέλεια, τὰ δεσμά, καὶ τούτων μᾶλλον ὁ ἔρως. Ἀποθανεῖν δὲ βουλόμενον αὐτὸν οὐκ εἶα λεπτή τις ἐλπίς, ὅτι τάχα ποτὲ Καλλιρρόην ὄψεται.

2 Πολύχαρμος οὖν, ὁ συναλοὺς αὐτῷ φίλος, βλέπων Χαιρέαν ἐργάζεσθαι μὴ δυνάμενον, ἀλλὰ πληγὰς λαμβάνοντα καὶ προπηλακιζόμενον αἰσχρῶς, λέγει πρὸς τὸν ἐργοστόλον "χωρίον ἡμῖν ἀπομέρισον ἐξαίρετον, ἵνα μὴ τὴν τῶν ἄλλων δεσμωτῶν ῥᾳθυμίαν ἡμῖν καταλογίζῃ· τὸ δὲ ἴδιον μέτρον αὐτοὶ ἀποδώσομεν πρὸς

ἡμέραν." Πείθεται καὶ δίδωσιν. Ὁ δὲ Πολύχαρμος, 3
οἷα δὴ νεανίας ἀνδρικὸς τὴν φύσιν καὶ μὴ δουλεύων
ἔρωτι, χαλεπῷ τυράννῳ, τὰς δύο μοίρας αὐτὸς σχε-
δὸν εἰργάζετο μόνος, πλεονεκτῶν ἐν τοῖς πόνοις ἡδέως,
ἵνα περισώσῃ τὸν φίλον.

Καὶ οὗτοι μὲν ἦσαν ἐν τοιαύταις συμφοραῖς, ὀψὲ 4
μεταμανθάνοντες τὴν ἐλευθερίαν· ὁ δὲ Μιθριδάτης
ὁ σατράπης ἐπανῆλθεν εἰς Καρίαν οὐ τοιοῦτος, οἷος
εἰς Μίλητον ἐξῆλθεν, ἀλλ' ὠχρός τε καὶ λεπτός, οἷα
δὴ τραῦμα ἔχων ἐν τῇ ψυχῇ θερμόν τε καὶ γλυκύ.
Τηκόμενος δὲ ὑπὸ τοῦ Καλλιρρόης ἔρωτος πάντως 5
ἂν ἐτελεύτησεν, εἰ μὴ τοιᾶσδέ τινος ἐτύγχανε παρα-
μυθίας. Τῶν ἐργατῶν τινὲς τῶν ἅμα Χαιρέᾳ δεδε-
μένων (ἓξ καὶ δέκα δ' ἦσαν τὸν ἀριθμὸν ἐν οἰκίσκῳ
σκοτεινῷ καθειργμένοι) νύκτωρ διακόψαντες τὰ δεσμὰ
τὸν ἐπιστάτην ἀπέσφαξαν, εἶτα δρασμὸν ἐπεχείρουν.
Ἀλλ' οὐ διέφυγον, οἱ γὰρ κύνες [[οἱ]] φυλάσσοντες 6
ἐμήνυσαν αὐτούς. Φωραθέντες οὖν ἐκείνης τῆς
νυκτὸς ἐδέθησαν ἐπιμελέστερον ἐν ξύλῳ πάντες, μεθ'
ἡμέραν δὲ ὁ οἰκονόμος ἐμήνυσε τῷ δεσπότῃ τὸ συμ-
βάν, κἀκεῖνος οὐδὲ ἰδὼν αὐτοὺς οὐδὲ ἀπολογουμέ-
νων ἀκούσας εὐθὺς ἐκέλευσε τοὺς ἓξ καὶ δέκα τοὺς
ὁμοσκήνους ἀνασταυρῶσαι. Προήχθησαν οὖν πόδας 7
τε καὶ τραχήλους συνδεδεμένοι, καὶ ἕκαστος αὐτῶν
τὸν σταυρὸν ἔφερε· τῇ δὲ ἀναγκαίᾳ τιμωρίᾳ καὶ τὴν
ἔξωθεν φαντασίαν σκυθρωπὴν προσέθηκαν οἱ κολά-
ζοντες εἰς φόβου παράδειγμα τοῖς ὁμοίοις. Χαιρέας
μὲν οὖν ἀπαγόμενος ἐσίγα, Πολύχαρμος δὲ τὸν στα-
ρὸν βαστάζων "διὰ σὲ" φησίν, "ὦ Καλλιρρόη, ταῦτα
πάσχομεν. Σὺ πάντων ἡμῖν τῶν κακῶν αἰτία." Τοῦ- 8
τον δὲ τὸν λόγον ὁ οἰκονόμος ἀκούσας ἔδοξεν εἶναί
τινα γυναῖκα τὴν συνειδυῖαν τοῖς τετολμημένοις.

Ὅπως οὖν κἀκείνη κολασθῇ καὶ ζήτησις γένηται τῆς ἐπιβουλῆς, ταχέως τὸν Πολύχαρμον ἀπορρήξας τῆς κοινῆς ἀλύσεως πρὸς Μιθριδάτην ἤγαγεν. Ὁ δὲ ἐν παραδείσῳ τινὶ κατέκειτο μόνος ἀλύων καὶ Καλλιρρόην ἀναπλάττων ἑαυτῷ τοιαύτην, ὁποίαν εἶδε πενθοῦσαν· ὅλος δὲ ὢν ἐπὶ τῇ ἐννοίᾳ ἐκείνῃ τὸν οἰκέτην ἀηδῶς ἐθεάσατο. "Τί γὰρ" φησὶν "παρενοχλεῖς;" "Ἀναγκαῖον" εἶπεν, "ὦ δέσποτα· τὴν γὰρ πηγὴν ἀνεύρηκα τοῦ μεγάλου λήματος, καὶ οὗτος ὁ κατάρατος ἄνθρωπος ἐπίσταται· γυναῖκα μιᾶς συμπράξασαν τῷ φόνῳ." Ἀκούσας οὖν ὁ Μιθριδάτης συνήγαγε τὰς ὀφρῦς καὶ δεινὸν βλέπων "λέγε" φησὶ "τὴν συνειδυῖαν καὶ κοινωνὸν ὑμῖν τῶν ἀδικημάτων." Ὁ δὲ Πολύχαρμος ἔξαρνος ἦν εἰδέναι, μηδὲ γὰρ ὅλως τῆς πράξεως κεκοινωνηκέναι. Μάστιγες ἠτοῦντο καὶ πῦρ ἐφέρετο καὶ βασανιστηρίων ἦν παρασκευή, καί τις ἤδη τοῦ σώματος ἁπτόμενος αὐτοῦ "λέγε" φησὶ "τοὔνομα τῆς γυναικός, ἣν αἰτίαν ὡμολόγησας εἶναί σοι τῶν κακῶν." Καλλιρρόην εἶπεν ὁ Πολύχαρμος. Ἔπληξε τοὔνομα Μιθριδάτην, καὶ ἀτυχῆ τινὰ ἔδοξεν ὁμωνυμίαν ἔχειν ἐκείνῃ [τὴν] γυναῖκα. Οὐκέτι οὖν προθύμως ἐξελέγχειν ἤθελε, δεδοικὼς μὴ καταστῇ ποτε εἰς ἀνάγκην ὑβρίσαι τὸ ἥδιστον ὄνομα· τῶν δὲ φίλων καὶ τῶν οἰκετῶν εἰς ἔρευναν ἀκριβεστέραν παρακαλούντων "ἡκέτω" φησὶ "Καλλιρρόη." Παίοντες οὖν τὸν Πολύχαρμον ἠρώτων τίς ἐστι καὶ πόθεν ἄξουσιν αὐτήν. Ὁ δὲ ἄθλιος ἐν ἀμηχανίᾳ γενόμενος καταψεύσασθαι μὲν οὐδεμιᾶς ἤθελε· "τί δὲ μάτην" εἶπε "θορυβεῖσθε ζητοῦντες τὴν οὐ παροῦσαν; Καλλιρρόης ἐγὼ Συρακουσίας ἐμνημόνευσα, θυγατρὸς Ἑρμοκράτους τοῦ στρατηγοῦ." Ταῦτα ἀκούσας Μιθριδάτης ἐρυθήματος ἐνεπλήσθη καὶ ἵδρου τὰ ἔνδον,

καί που καὶ δάκρυον αὐτοῦ μὴ θέλοντος προύπεσεν, ὥστε καὶ τὸν Πολύχαρμον διασιωπῆσαι καὶ πάντας ἀπορεῖν τοὺς παρόντας. Ὀψὲ δὲ καὶ μόλις ὁ Μιθριδάτης συναγαγὼν ἑαυτὸν "τί δὲ σοὶ" φησὶ "πρᾶγμα πρὸς Καλλιρρόην ἐκείνην, καὶ διὰ τί μέλλων ἀποθνήσκειν ἐμνημόνευσας αὐτῆς;" Ὁ δὲ ἀπεκρίνατο "μακρὸς ὁ μῦθος, ὦ δέσποτα, καὶ πρὸς οὐδὲν ἔτι χρήσιμός μοι. Οὐκ ἐνοχλήσω δέ σε ληρῶν ἀκαίρως, ἅμα δὲ καὶ δέδοικα μή, ἐὰν βραδύνω φθάσῃ με ὁ φίλος· θέλω δὲ αὐτῷ καὶ συναποθανεῖν." Ἐπεκλάσθησαν αἱ ὀργαὶ τῶν ἀκουόντων καὶ ὁ θυμὸς εἰς ἔλεον μετέπεσε, Μιθριδάτης δὲ ὑπὲρ πάντας συνεχύθη καὶ "μὴ δέδιθι" φησίν, "οὐ γὰρ ἐνοχλήσεις μοι διηγούμενος· ἔχω γὰρ ψυχὴν φιλάνθρωπον. Λέγε πάντα θαρρῶν καὶ μηδὲν παραλίπῃς, τίς εἶ καὶ πόθεν, καὶ πῶς ἦλθες εἰς Καρίαν καὶ διὰ τί σκάπτεις δεδεμένος; μάλιστα δέ μοι διήγησαι περὶ Καλλιρρόης καὶ τίς ὁ φίλος."

Ἤρξατο οὖν ὁ Πολύχαρμος λέγειν "ἡμεῖς, οἱ δύο δεσμῶται, Συρακούσιοι γένος ἐσμέν. Ἀλλ' ὁ μὲν ἕτερος νεανίσκος πρῶτος Σικελίας δόξῃ τε καὶ πλούτῳ καὶ εὐμορφίᾳ ποτέ, ἐγὼ δὲ εὐτελὴς μέν, συμφοιτητὴς δὲ ἐκείνου καὶ φίλος. Καταλιπόντες οὖν τοὺς γονεῖς ἐξεπλεύσαμεν τῆς πατρίδος, ἐγὼ μὲν δι' ἐκεῖνον, ἐκεῖνος δὲ διὰ γυναῖκα Καλλιρρόην τοὔνομα, ἣν, δόξας ἀποτεθνηκέναι, ἔθαψε πολυτελῶς, τυμβωρύχοι δὲ ζῶσαν εὑρόντες εἰς Ἰωνίαν ἐπώλησαν. Τοῦτο γὰρ ἡμῖν ἐμήνυσε δημοσίᾳ βασανιζόμενος Θήρων ὁ λῃστής. Ἔπεμψεν οὖν ἡ πόλις [ἡ] Συρακουσίων τριήρη καὶ πρέσβεις τοὺς ἀναζητήσοντας τὴν γυναῖκα. Ταύτην τὴν τριήρη νυκτὸς ὁρμοῦσαν ἐνέπρησαν βάρβαροι καὶ τοὺς μὲν πολλοὺς ἀπέσφαξαν, ἐμὲ δὲ καὶ

τὸν φίλον δήσαντες ἐπώλησαν ἐνταῦθα. Ἡμεῖς μὲν
οὖν σωφρόνως ἐφέρομεν τὴν συμφοράν· ἕτεροι δέ
τινες τῶν ἡμῖν συνδεδεμένων, οὓς ἀγνοοῦμεν, διαρ-
ρήξαντες τὰ δεσμὰ φόνον εἰργάσαντο καὶ σοῦ κελεύ-
4 σαντος τὴν ἐπὶ τὸν σταυρὸν ἠγόμεθα πάντες. Ὁ μὲν 5
οὖν φίλος οὐδὲ ἀποθνήσκων ἐνεκάλει τῇ γυναικί,
προήχθην δὲ αὐτῆς μνημονεῦσαι καὶ τῶν κακῶν αἰ-
τίαν εἰπεῖν ἐκείνην, δι' ἣν ἐπλεύσαμεν." Ἔτι λέγον-
τος αὐτοῦ Μιθριδάτης ἀνεβόησε "Χαιρέαν λέγεις."
5 "Τὸν φίλον" εἶπεν ὁ Πολύχαρμος· "ἀλλὰ δέομαί σου, 10
δέσποτα, κέλευσον τῷ δημίῳ μηδὲ τοὺς σταυροὺς
ἡμῶν διαξεῦξαι." Δάκρυα καὶ στεναγμὸς ἐπηκολού-
θησε τῷ διηγήματι, καὶ πάντας ἔπεμψε Μιθριδάτης
ἐπὶ Χαιρέαν, ἵνα μὴ φθάσῃ τελευτήσας. Εὗρον δὲ
τοὺς μὲν ἄλλους ἀνῃρημένους, ἄρτι δ' ἐκεῖνον ἐπι- 15
6 βαίνοντα τοῦ σταυροῦ. Πόρρωθεν οὖν ἐκεκράγεσαν
ἄλλος ἄλλο τι "φεῖσαι, κατάβηθι, μὴ τρώσῃς, ἄφες."
Ὁ μὲν οὖν δήμιος ἐπέσχε τὴν ὁρμήν· Χαιρέας δὲ λυ-
πούμενος κατέβαινε τοῦ σταυροῦ· χαίρων γὰρ ἀπηλ-
λάσσετο βίου πονήρου καὶ ἔρωτος ἀτυχοῦς. Ἀγομένῳ 20
δὲ αὐτῷ Μιθριδάτης ἀπήντησε καὶ περιπτυξάμενος
εἶπεν "ἀδελφὲ καὶ φίλε, μικροῦ με ἐνήδρευσας ἔρ-
γον ἀσεβὲς ἐργάσασθαι διὰ τὴν ἐγκρατῆ μὲν ἀλλ'
7 ἄκαιρόν σου σιωπήν." Εὐθὺς οὖν προσέταξε τοῖς
οἰκέταις ἄγειν ἐπὶ λουτρὰ καὶ τὰ σώματα θεραπεῦσαι, 25
λουσαμένοις δὲ περιθεῖναι χλανίδας Ἑλληνικὰς πο-
λυτελεῖς· αὐτὸς δὲ [τοὺς] γνωρίμους ἐς τὸ συμπό-
σιον παρεκάλει καὶ ἔθυε Χαιρέου σωτήρια. Πότος ἦν
μακρὸς καὶ ἡδεῖα φιλοφρόνησις καὶ θυμηδίας οὐδὲν
8 ἐνέδει. Προκοπτούσης δὲ τῆς εὐωχίας θερμανθεὶς 30
Μιθριδάτης οἴνῳ καὶ ἔρωτι "μὴ γὰρ τὰ δεσμὰ καὶ
τὸν σταυρὸν ἐλεῶ σου, Χαιρέα" φησίν, "ἀλλ' ὅτι

τοιαύτης γυναικὸς ἀφῃρέθης." Ἐκπλαγεὶς οὖν ὁ Χαιρέας ἀνέκραγε "ποῦ γὰρ σὺ Καλλιρρόην εἶδες τὴν ἐμήν;" "Οὐκέτι σὴν" εἶπεν ὁ Μιθριδάτης, "ἀλλὰ Διονυσίου τοῦ Μιλησίου νόμῳ γαμηθεῖσαν· ἤδη δὲ καὶ τέκνον ἐστὶν αὐτοῖς." Οὐκ ἐκαρτέρησεν ὁ Χαιρέας ἀκούσας, ἀλλὰ τοῖς γόνασι Μιθριδάτου προσπεσὼν "ἱκετεύω σε, πάλιν, ὦ δέσποτα, τὸν σταυρόν μοι ἀπόδος. Χειρόν με βασανίζεις, ἐπὶ τοιούτῳ διηγήματι ζῆν ἀναγκάζων. Ἄπιστε Καλλιρρόη καὶ πασῶν ἀσεβεστάτη γυναικῶν, ἐγὼ μὲν ἐπράθην διὰ σὲ καὶ ἔσκαψα καὶ σταυρὸν ἐβάστασα καὶ δημίου χερσὶ παρεδόθην, σὺ δὲ ἐτρύφας καὶ γάμους ἔθυες ἐμοῦ δεδεμένου. Οὐκ ἤρκεσεν ὅτι γυνὴ γέγονας ἄλλου Χαιρέου ζῶντος, γέγονας δὲ καὶ μήτηρ." Κλάειν ἤρξαντο πάντες καὶ μετέβαλε τὸ συμπόσιον εἰς σκυθρωπὴν ὑπόθεσιν. Μόνος ἐπὶ τούτοις Μιθριδάτης ἔχαιρεν, ἐλπίδα τινὰ λαμβάνων ἐρωτικήν, ὡς δυνάμενος ἤδη καὶ λέγειν καὶ πράττειν τι περὶ Καλλιρρόης, ἵνα δοκῇ φίλῳ βοηθεῖν. "Ἄρτι μὲν οὖν" ἔφη, "νὺξ γάρ ἐστιν, ἀπίωμεν, τῇ δ' ὑστεραίᾳ νήφοντες βουλευώμεθα περὶ τούτων· δεῖται γὰρ ἡ σκέψις σχολῆς μακροτέρας." Ἐπὶ τούτοις ἀναστὰς διέλυσε τὸ συμπόσιον καὶ αὐτὸς μὲν ἀνεπαύετο, καθάπερ ἦν ἔθος αὐτῷ, τοῖς δὲ Συρακουσίοις νεανίσκοις θεραπείαν τε καὶ οἶκον ἐξαίρετον ἀπέδειξε.

Νὺξ ἐκείνη φροντίδων μεστὴ πάντας κατελάμβανε καὶ οὐδεὶς ἐδύνατο καθεύδειν· Χαιρέας μὲν γὰρ ὠργίζετο, Πολύχαρμος δὲ παρεμυθεῖτο, Μιθριδάτης δὲ ἔχαιρεν ἐλπίζων ὅτι καθάπερ ἐν τοῖς ἀγῶσι τοῖς γυμνικοῖς ἔφεδρος ὢν μεταξὺ Χαιρέου τε καὶ Διονυσίου αὐτὸς ἀκονιτὶ τὸ ἆθλον Καλλιρρόην ἀποίσεται. Τῆς δ' ὑστεραίας προτεθείσης τῆς γνώμης ὁ

μὲν Χαιρέας εὐθὺς ἠξίου βαδίζειν εἰς Μίλητον καὶ Διονύσιον ἀπαιτεῖν τὴν γυναῖκα· μὴ γὰρ ἂν μηδὲ Καλλιρρόην ἐμμένειν ἰδοῦσαν αὐτόν· ὁ δὲ Μιθριδάτης "ἐμοῦ μὲν ἕνεκα" φησὶν "ἄπιθι, βούλομαι γάρ σε μηδεμίαν ἡμέραν ἀπεζεῦχθαι τῆς γυναικός· ὄφελον μηδὲ Σικελίας ἐξήλθετε, μηδὲ συνέβη τι δεινὸν ἀμφοῖν· ἐπεὶ δὲ ἡ φιλόκαινος τύχη δρᾶμα σκυθρωπὸν ὑμῖν περιτέθεικε, βουλεύσασθαι δεῖ περὶ τῶν ἔτι φρονιμώτερον· νῦν γὰρ σπεύδεις πάθει μᾶλλον
3 ἢ λογισμῷ μηδὲν τῶν μελλόντων προορώμενος. Μόνος καὶ ξένος εἰς πόλιν ἀπέρχῃ τὴν μεγίστην καὶ ἀνδρὸς πλουσίου καὶ πρωτεύοντος ἐν Ἰωνίᾳ θέλεις ἀποσπάσαι γυναῖκα ἑξαιρέτως αὐτῷ συναφθεῖσαν ποίᾳ δυνάμει πεποιθώς; μακρὰν Ἑρμοκράτης σου καὶ Μιθριδάτης οἱ μόνοι σύμμαχοι, πενθῆσαι δυνά-
4 μενοί σε μᾶλλον ἢ βοηθῆσαι. Φοβοῦμαι καὶ τὴν τύχην τοῦ τόπου. Δεινὰ μὲν ἐκεῖ πέπονθας ἤδη· δόξει δέ σοι τὰ τότε φιλανθρωπότερα. [Τότε Μίλητος ἦν.] Ἐδέθης μέν, ἀλλ' ἔζησας· ἐπράθης, ἀλλ' ἐμοί. Νῦν δέ, ἂν αἴσθηται Διονύσιος ἐπιβουλεύοντα τοῖς γάμοις αὐτοῦ, τίς σε θεῶν δυνήσεται σῶσαι; Παραδοθήσῃ δὲ ἀντεραστῇ τυράννῳ, καὶ τάχα μὲν οὐδὲ πιστευθήσῃ Χαιρέας εἶναι, κινδυνεύσεις δὲ μᾶλλον, κἂν
5 ἀληθῶς εἶναί σε νομίσῃ. Σὺ μόνος ἀγνοεῖς τὴν φύσιν τοῦ ἔρωτος, ὅτι οὗτος ὁ θεὸς ἁπάταις χαίρει καὶ δόλοις; δοκεῖ δέ μοι πρῶτον ἀποπειραθῆναί σε τῆς γυναικὸς διὰ γραμμάτων εἰ μέμνηταί σου καὶ Διονύσιον θέλει καταλιπεῖν ἢ

κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίῃ.

Ἐπιστολὴν γράψον αὐτῇ· λυπηθήτω, χαρήτω, ζητησάτω, καλεσάτω· τῆς δὲ τῶν γραμμάτων διαπομπῆς ἐγὼ προνοήσομαι. Βάδιζε καὶ γράφε."

Πείθεται Χαιρέας καὶ [μόνος] ἐπ' ἐρημίας γενόμενος ἤθελε γράφειν, ἀλλ' οὐκ ἐδύνατο, δακρύων ἐπιρρεόντων καὶ τῆς χειρὸς αὐτοῦ τρεμούσης. Ἀποκλαύσας δὲ τὰς ἑαυτοῦ συμφορὰς μόλις ἤρξατο τοιαύτης ἐπιστολῆς

ΚΑΛΛΙΡΡΟΗι ΧΑΙΡΕΑΣ

Ζῶ, καὶ ζῶ διὰ Μιθριδάτην, τὸν ἐμὸν εὐεργέτην, ἐλπίζω δὲ καὶ σόν· ἐπράθην γὰρ εἰς Καρίαν ὑπὸ βαρβάρων, οἵτινες ἐνέπρησαν τριήρη τὴν καλήν, τὴν στρατηγικήν, τὴν τοῦ σοῦ πατρός· ἐξέπεμψε δὲ ἐπ' αὐτῆς ἡ πόλις πρεσβείαν ὑπὲρ σοῦ. Τοὺς μὲν οὖν ἄλλους πολίτας οὐκ οἶδ' ὅ τι γεγύνασιν, ἐμὲ δὲ καὶ Πολύχαρμον τὸν φίλον ἤδη μέλλοντας φονεύεσθαι σέσωκεν ἔλεος δεσπότου. Πάντα δὲ Μιθριδάτης εὐεργετήσας τοῦτό με λελύπηκεν ἀντὶ πάντων, ὅτι μοι τὸν σὸν γάμον διηγήσατο· θάνατον μὲν γὰρ ἄνθρωπος ὢν προσεδόκων, τὸν δὲ σὸν γάμον οὐκ ἤλπισα. Ἀλλ' ἱκετεύω, μετανόησον. Κατασπένδω τούτων μου τῶν γραμμάτων δάκρυα καὶ φιλήματα. Ἐγὼ Χαιρέας εἰμὶ ὁ σὸς ἐκεῖνος, ὃν εἶδες παρθένος εἰς Ἀφροδίτην βαδίζουσα, δι' ὃν ἠγρύπνησας. Μνήσθητι τοῦ θαλάμου καὶ τῆς νυκτὸς τῆς μυστικῆς, ἐν ᾗ πρῶτον σὺ μὲν ἀνδρός, ἐγὼ δὲ γυναικὸς πεῖραν ἐλάβομεν. Ἀλλ' ἐζηλοτύπησα. Τοῦτο ἴδιόν ἐστι φιλοῦντος. Δέδωκά σοι δίκας. Ἐπράθην, ἐδούλευσα, ἐδέθην. Μή μοι μνησικακήσῃς τοῦ λακτίσματος τοῦ προπετοῦς· κἀγὼ γὰρ ἐπὶ σταυρὸν ἀνέβην διὰ σέ, σοὶ μηδὲν ἐγκαλῶν. Εἰ μὲν οὖν ἔτι μνημονεύσεις, οὐδὲν ἔπαθον· εἰ δὲ ἄλλο τι φρονεῖς, θανάτου μοι δώσεις ἀπόφασιν.

Ταύτην τὴν ἐπιστολὴν ἔδωκεν Ὑγίνῳ τῷ πιστοτάτῳ, ὃν καὶ διοικητὴν εἶχεν ἐν Καρίᾳ τῆς ὅλης οὐσίας, παραγυμνώσας αὐτῷ καὶ τὸν ἴδιον ἔρωτα. Ἔγραψε δὲ καὶ αὐτὸς πρὸς Καλλιρρόην, εὔνοιαν ἐπιδεικνύμενος αὐτῇ καὶ κηδεμονίαν, ὅτι δι' ἐκείνην Χαιρέαν ἔσωσε, καὶ συμβουλεύων μὴ ὑβρίσαι τὸν πρῶτον ἄνδρα, ὑπισχνούμενος αὐτὸς στρατηγήσειν ὅπως ἀλλήλους ἀπολάβωσιν, ἂν καὶ τὴν ἐκείνης προσλάβῃ ψῆφον. Συνέπεμψε δὲ τῷ Ὑγίνῳ τρεῖς

ὑπηρέτας καὶ δῶρα πολυτελῆ καὶ χρυσίον συχνόν· εἴρητο δὲ πρὸς τοὺς ἄλλους οἰκέτας, ὅτι πέμπει ταῦτα Διονυσίῳ, πρὸς τὸ ἀνύποπτον. Κελεύει δὲ τὸν Ἰγῖνον, ἐπειδὰν ἐν Πριήνῃ γένηται, τοὺς μὲν ἄλλους αὐτοῦ καταλιπεῖν, μόνον δὲ αὐτόν, ὡς Ἴωνα (καὶ γὰρ ἠλλήνιζε τῇ φωνῇ) κατάσκοπον εἰς τὴν Μίλητον πορευθῆναι· εἶτ' ἐπειδὰν μάθῃ πῶς ἂν χρήσαιτο τοῖς πράγμασι, τότε τοὺς ἐκ Πριήνης εἰς Μίλητον ἀπαγαγεῖν.

3 Ὁ μὲν οὖν ἀπῆει καὶ ἔπραττε τὰ κεκελευσμένα, ἡ τύχη δὲ οὐχ ὅμοιον τῇ γνώμῃ τὸ τέλος ἐβράβευσεν, ἀλλὰ μειζόνων πραγμάτων ἐκίνησεν ἀρχήν. Ἐπειδὴ γὰρ Ἴγῖνος εἰς Μίλητον ἀπηλλάγη, καταλειφθέντες οἱ δοῦλοι τοῦ προεστηκότος ἔρημοι πρὸς ἀσωτίαν
4 ὥρμων, ἔχοντες χρυσίον ἄφθονον. Ἐν πόλει δὲ μικρᾷ καὶ περιεργίας Ἑλληνικῆς πλήρει ξενικὴ πολυτέλεια τοὺς πάντων ἐπέστρεψεν ὀφθαλμούς· ἄγνωστοι γὰρ ἄνθρωποι καὶ τρυφῶντες ἔδοξαν αὐτοῖς
5 μάλιστα μὲν λῃσταί, δραπέται δὲ πάντως. Ἦκεν οὖν εἰς τὸ πανδοκεῖον ὁ στρατηγὸς καὶ διερευνώμενος εὗρε χρυσίον καὶ κόσμον πολυτελῆ· φώρια δὲ νομίσας ἀνέκρινε τοὺς οἰκέτας τίνες εἶεν καὶ πόθεν ταῦτα. Φόβῳ δὲ βασάνων κατεμήνυσαν τὴν ἀλήθειαν ὅτι Μιθριδάτης ὁ Καρίας ὕπαρχος δῶρα πέπομφε Διο-
6 νυσίῳ, καὶ τὰς ἐπιστολὰς ἐπεδείκνυσαν. Ὁ δὲ στρατηγὸς τὰ μὲν γράμματα οὐκ ἔλυσεν· ἦν γὰρ ἔξωθεν κατασεσημασμένα, δημοσίοις δὲ παραδοὺς ἅπαντα μετὰ τῶν οἰκετῶν ἔπεμψε πρὸς Διονύσιον, εὐεργε-
7 σίαν εἰς αὐτὸν κατατίθεσθαι νομίζων. Ἐτύγχανε μὲν οὖν ἑστιῶν τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν καὶ λαμπρὸν τὸ συμπόσιον ἦν, ἤδη δέ που καὶ αὐλὸς

ἐφθέγγετο καὶ δι' ᾠδῆς ἠκούετο μέλος. Μεταξὺ δὲ ἐπέδωκέ τις αὐτῷ τὴν ἐπιστολὴν

ΣΤΡΑΤΗΓΟΣ ΠΡΙΗΝΕΩΝ ΒΙΑΣ ΕΥΕΡΓΕΤΗι ΔΙΟΝΥΣΙΩι ΧΑΙΡΕΙΝ

Δῶρα καὶ γράμματα κομιζόμενά σοι παρὰ Μιθριδάτου 8
τοῦ Καρίας ὑπάρχου δοῦλοι πονηροὶ κατέφθειρον, οὓς ἐγὼ
συλλαβὼν ἀνέπεμψα πρὸς σέ.

Ταύτην τὴν ἐπιστολὴν ἐν μέσῳ τῷ συμποσίῳ Διονύσιος ἀνέγνω, καλλωπιζόμενος ἐπὶ ταῖς βασιλικαῖς δωρεαῖς· ἐντεμεῖν δὲ τὰς σφραγῖδας κελεύσας ἐντυγχάνειν ἐπειρᾶτο τοῖς γράμμασιν. Εἶδεν οὖν ΚΑΛΛΙΡΡΟΗι ΧΑΙΡΕΑΣ. Ζῶ.

Τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, 9
εἶτα σκότος τῶν ὀφθαλμῶν αὐτοῦ κατεχύθη. Καὶ
μέντοι λιποθυμήσας ὅμως ἐκράτησε τὰ γράμματα,
φοβούμενος ἄλλον αὐτοῖς ἐντυχεῖν. Θορύβου δὲ καὶ
συνδρομῆς γενομένης ἐπηγέρθη, καὶ συνεὶς τὸ πάθος ἐκέλευσε τοῖς οἰκέταις μετενεγκεῖν αὐτὸν εἰς ἕτερον οἰκίσκον, ὡς δῆθεν βουλόμενος ἠρεμίας μετασχεῖν. Τὸ μὲν οὖν συμπόσιον σκυθρωπῶς διελύθη 10
(φαντασία γὰρ ἀποπληξίας αὐτοὺς ἔσχε), Διονύσιος δὲ καθ' ἑαυτὸν γενόμενος πολλάκις ἀνεγίνωσκε τὰς ἐπιστολάς. Κατελάμβανε δὲ αὐτὸν πάθη ποικίλα, θυμός, ἀθυμία, φόβος, ἀπιστία. Ζῆν μὲν οὖν Χαιρέαν οὐκ ἐπίστευε (τοῦτο γὰρ οὐδὲ ὅλως ἤθελε), σκῆψιν δὲ μοιχικὴν ὑπελάμβανε Μιθριδάτου διαφθεῖραι θέλοντος Καλλιρρόην ἐλπίδι Χαιρέου.

Μεθ' ἡμέραν οὖν τήρησιν ἐποιεῖτο τῆς γυναικὸς 6
ἀκριβεστέραν, ἵνα μή τις αὐτῇ προσέλθῃ μηδ' ἀπαγγείλῃ τι τῶν ἐν Καρίᾳ διηγημάτων· αὐτὸς δὲ ἄμυναν ἐπενόησε τοιαύτην. Ἐπεδήμει κατὰ καιρὸν ὁ Λυδίας καὶ Ἰωνίας ὕπαρχος Φαρνάκης, ὃς δὴ καὶ μέγιστος εἶναι δοκεῖ τῶν ὑπὸ βασιλέως καταπεμπομένων ἐπὶ

θάλατταν. Ἐπὶ τοῦτον ἦλθεν ὁ Διονύσιος, ἦν γὰρ αὐτῷ φίλος, καὶ ἰδιολογίαν ἠτήσατο. "Ἱκετεύω σε" φησίν, "ὦ δέσποτα, βοήθησον ἐμοί τε καὶ σεαυτῷ. Μιθριδάτης γάρ, ὁ κάκιστος ἀνδρῶν, καὶ σοὶ φθονῶν, ξένος μου γενόμενος ἐπιβουλεύει μου τῷ γάμῳ καὶ πέπομφε γράμματα μοιχικὰ μετὰ χρυσίου πρὸς 2 τὴν γυναῖκα τὴν ἐμήν." Ἐπὶ τούτοις ἀνεγίνωσκε τὰς ἐπιστολὰς καὶ διηγεῖτο τὴν τέχνην. Ἄσμενος ἤκουσε Φαρνάκης τῶν λόγων τάχα μὲν καὶ διὰ Μιθριδάτην (ἐγεγόνει γὰρ αὐτοῖς οὐκ ὀλίγα προσκρούσματα διὰ τὴν γειτνίασιν), τὸ δὲ πλέον διὰ τὸν ἔρωτα· καὶ γὰρ αὐτὸς ἑκάετο τῆς Καλλιρρόης καὶ δι' αὐτὴν ἐπεδήμει τὰ πολλὰ Μιλήτῳ, καλῶν ἐπὶ τὰς ἑστιάσεις Διονύ- 3 σιον μετὰ τῆς γυναικός. Ὑπέσχετο οὖν βοηθήσειν αὐτῷ κατὰ τὸ δυνατὸν καὶ γράφει δι' ἀπορρήτων ἐπιστολήν.

ΒΑΣΙΛΕΙ ΒΑΣΙΛΕΩΝ ΑΡΤΑΞΕΡΞΗι ΣΑΤΡΑΠΗΣ ΑΤΔΙΑΣ ΚΑΙ ΙΩΝΙΑΣ ΦΑΡΝΑΚΗΣ ΙΔΙΩι ΔΕΣΠΟΤΗι ΧΑΙΡΕΙΝ.

4 *Διονύσιος ὁ Μιλήσιος δοῦλός ἐστι σὸς ἐκ προγόνων πιστὸς καὶ πρόθυμος εἰς τὸν σὸν οἶκον. Οὗτος ἀπωδύρατο πρός με ὅτι Μιθριδάτης ὁ Καρίας ὕπαρχος ξένος αὐτῷ γενόμενος διαφθείρει αὐτοῦ τὴν γυναῖκα. Φέρει δὲ μεγάλην ἀδοξίαν εἰς τὰ σὰ πράγματα, μᾶλλον δὲ ταραχήν. Πᾶσα μὲν γὰρ παρανομία σατράπου μεμπτή, μάλιστα δὲ αὕτη. Καὶ γὰρ ὁ Διονύσιός ἐστι δυνατώτατος Ἰώνων καὶ τὸ κάλλος τῆς γυναικὸς περιβόητον, ὥστε τὴν ὕβριν μὴ δύνασθαι λαθεῖν.*

5 *Ταύτην τὴν ἐπιστολὴν κομισθεῖσαν βασιλεὺς ἀνέγνω τοῖς φίλοις καὶ τί χρὴ πράττειν ἐβουλεύετο. Γνῶμαι δὲ ἐρρήθησαν διάφοροι· τοῖς μὲν γὰρ Μιθριδάτῃ φθονοῦσιν ἢ τὴν σατραπείαν αὐτοῦ μνωμένοις, ἐδόκει μὴ περιορᾶν ἐπιβουλὴν εἰς γάμον ἀνδρὸς*

2 post ἠτήσατο: μόνος

ἐνδόξου, τοῖς δὲ ῥᾳθυμοτέροις τὰς φύσεις ἢ τιμῶσι τὸν Μιθριδάτην (εἶχε δὲ πολλοὺς .... προεστηκότας) οὐκ ἤρεσκεν ἀνάρπαστον ἐκ διαβολῆς ποιεῖν ἄνδρα δόκιμον. Ἀνωμάλων δὲ τῶν γνωμῶν γενομέ- 6
νων ἐκείνης μὲν τῆς ἡμέρας οὐδὲν ἐπεκύρωσεν βασιλεύς, ἀλλ' ὑπερέθετο τὴν σκέψιν· νυκτὸς δὲ ἐπελθούσης ὑπεδύετο αὐτὸν μισοπονηρία μὲν διὰ τὸ τῆς βασιλείας εὐπρεπές, εὐλάβεια δὲ περὶ τοῦ μέλλοντος· ἀρχὴν γὰρ ἔχειν τὸν Μιθριδάτην καταφρονήσεως.
Ὥρμησεν οὖν καλεῖν ἐπὶ τὴν δίκην αὐτόν· ἄλλο δὲ 7
πάθος παρῆνει μεταπέμπεσθαι καὶ τὴν γυναῖκα τὴν καλήν. Σύμβουλοι μὲν οὖν [νὺξ] καὶ σκότος ἐν ἐρημίᾳ γενόμενοι καὶ τούτου τοῦ μέρους τῆς ἐπιστολῆς ἀνεμίμνησκον βασιλέα, προσηρέθιζε δὲ καὶ φήμη, Καλλιρρόην τινὰ καλλίστην ἐπὶ τῆς Ἰωνίας εἶναι· καὶ τοῦτο μόνον ἐμέμφετο βασιλεὺς Φαρνάκην, ὅτι οὐ προσέγραψεν ἐν τῇ ἐπιστολῇ τοὔνομα τῆς γυναικός.
Ὅμως δ' ἐπ' ἀμφιβόλῳ τοῦ τάχα καὶ κρείττονα τυγ- 8
χάνειν τῆς φημιζομένης ἑτέραν ἔδοξε καλέσαι καὶ τὴν γυναῖκα. Γράφει δὲ πρὸς Φαρνάκην

Διονύσιον, ἐμὸν δοῦλον, Μιλήσιον, πέμψον

πρὸς δὲ Μιθριδάτην

Ἧκε ἀπολογησόμενος ὅτι οὐκ ἐπεβούλευσας γάμῳ Διονυσίου.

Καταπλαγέντος δὲ τοῦ Μιθριδάτου καὶ ἀποροῦν- 7
τος τὴν αἰτίαν τῆς διαβολῆς ὑποστρέψας ὁ Ὑγῖνος ἐδήλωσε τὰ πεπραγμένα περὶ τοὺς οἰκέτας. Προδοθεὶς οὖν ὑπὸ τῶν γραμμάτων ἐβουλεύετο μὴ βαδίζειν ἄνω, δεδοικὼς τὰς διαβολὰς καὶ τὸν θυμὸν τὸν βασιλέως, ἀλλὰ Μίλητον μὲν καταλαβεῖν καὶ Διονύσιον ἀνελεῖν τὸν αἴτιον, Καλλιρρόην δ' ἁρπάσας ἀποστῆναι βασιλέως. "Τί γὰρ σπεύδεις" φησὶ "παρα- 2

δοῦναι δεσπότου χερσὶ τὴν ἐλευθερίαν; τάχα δὲ καὶ κρατήσεις ἐνθάδε μένων· μακρὰν γὰρ ἐστι βασιλεὺς καὶ [φαυλοὺς] ἔχει στρατηγούς· εἰ δὲ καὶ ἄλλως ἀθετήσειεν, οὐδὲν δυνήσῃ χεῖρον παθεῖν. Ἐν τοσούτῳ δὲ σὺ μὴ προδῷς δύο τὰ κάλλιστα, ἔρωτα καὶ ἀρχήν. Ἐντάφιον ἔνδοξον ἡ ἡγεμονία καὶ μετὰ Καλλιρρόης θάνατος ἡδύς." Ἔτι ταῦτα βουλευομένου καὶ παρασκευαζομένου πρὸς ἀπόστασιν ἧκέ τις ἀγγέλλων ὡς Διονύσιος ἐξώρμηκε Μιλήτου καὶ Καλλιρρόην ἐπάγεται. Τοῦτο λυπηρότερον ἤκουσε Μιθριδάτης ἢ τὸ πρόσταγμα τὸ καλοῦν ἐπὶ τὴν δίκην· ἀποκλαύσας δὲ τὴν ἑαυτοῦ συμφορὰν "ἐπὶ ποίαις" φησὶν "ἐλπίσιν ἔτι μένω; προδίδωσί με πανταχόθεν ἡ τύχη. Τάχα γὰρ ἐλεήσει με βασιλεὺς μηδὲν ἀδικοῦντα· εἰ δὲ ἀποθανεῖν δεήσειε, πάλιν ὄψομαι Καλλιρρόην· κἂν ἐν τῇ κρίσει Χαιρέαν ἕξω μετ' ἐμαυτοῦ καὶ Πολύχαρμον οὐ συνηγόρους μόνον, ἀλλὰ καὶ μάρτυρας." Πᾶσαν οὖν τὴν θεραπείαν κελεύσας συνακολουθεῖν ἐξώρμησε Καρίας, ἀγαθὴν ἔχων ψυχὴν ἐκ τοῦ μηδὲν ἀδικεῖν ἄν δόξαι· ὥστε οὐδὲ μετὰ δακρύων προύπεμψαν αὐτόν, ἀλλὰ μετὰ θυσιῶν καὶ πομπῆς. Ἕνα μὲν οὖν στόλον τοῦτον ἐκ Καρίας ἔστελλεν ὁ Ἔρως, ἐξ Ἰωνίας δὲ ἐνδοξότερον ἄλλον· ἐπιφανέστερον γὰρ καὶ βασιλικώτερον ἦν τὸ κάλλος. Προύτρεχε γὰρ τῆς γυναικὸς ἡ φήμη, καταγγέλλουσα πᾶσιν ἀνθρώποις ὅτι Καλλιρρόη παραγίνεται, τὸ περιβόητον ὄνομα, τὸ μέγα τῆς φύσεως κατόρθωμα,

Ἀρτέμιδι ἰκέλη ἢ χρυσείῃ Ἀφροδίτῃ.

Ἐνδοξοτέραν αὐτὴν ἐποίει καὶ τὸ τῆς δίκης διήγημα. Πόλεις ἀπήντων ὅλαι καὶ τὰς ὁδοὺς ἐστενοχώρουν οἱ συντρέχοντες ἐπὶ τὴν θέαν· ἐδόκει δὲ τοῖς πᾶσι τῆς φήμης ἡ γυνὴ κρείττων. Μακαριζόμενος δὲ Διονύ-

σιος ἐλυπεῖτο, καὶ δειλότερον αὐτὸν ἐποίει τῆς εὐτυχίας τὸ μέγεθος· [οἷα] γὰρ πεπαιδευμένος ἐνεθυμεῖτο ὅτι φιλόκαινός ἐστιν ὁ Ἔρως· διὰ τοῦτο καὶ τόξα καὶ πῦρ ποιηταί τε καὶ [πλ]άσται περιτεθείκασιν αὐτῷ, τὰ κουφότατα καὶ στῆναι μὴ θέλοντα. Μνήμη δὲ 7
ἐλάμβανεν αὐτὸν παλαιῶν διηγημάτων, ὅσαι μεταβολαὶ γεγόνασι τῶν καλῶν γυναικῶν. Πάντα οὖν Διονύσιον ἐφόβει, πάντας ἔβλεπεν ὡς ἀντεραστάς, οὐ τὸν ἀντίδικον μόνον, ἀλλ' αὐτὸν τὸν δικαστήν, ὥστε καὶ μετενόει προπετέστερον Φαρνάκῃ ταῦτα μηνύσας,

ἑξὸν καθεύδειν τήν τ' ἐρωμένην ἔχειν·

οὐ γὰρ ὅμοιον ἐν Μιλήτῳ φυλάττειν Καλλιρρόην καὶ ἐπὶ τῆς Ἀσίας ὅλης. Διεφύλαττε δ' ὅμως τὸ ἀπόρρη- 8
τον μέχρι τέλους, καὶ τὴν αἰτίαν οὐχ ὡμολόγει πρὸς τὴν γυναῖκα, ἀλλ' ἡ πρόφασις ἦν ὅτι βασιλεὺς αὐτὸν μεταπέμπεται, βουλεύσασθαι θέλων περὶ τῶν ἐν Ἰωνίᾳ πραγμάτων. Ἐλυπεῖτο δὲ Καλλιρρόη, μακρὰν στελλομένη θαλάσσης Ἑλληνικῆς· ἕως γὰρ τοὺς Μιλησίων λιμένας ἑώρα, Συρακουσῶν ἐδόκει ἐγγὺς τυγχάνειν· μέγα δὲ εἶχε παραμύθιον καὶ τὸν Χαιρέου τάφον ἐκεῖ.

Ε

Ὡς μὲν ἐγαμήθη Καλλιρρόη Χαιρέᾳ, καλλίστη 1
γυναικῶν ἀνδρὶ καλλίστῳ, πολιτευσαμένης Ἀφροδίτης τὸν γάμον, καὶ ὡς δι' ἐρωτικὴν ζηλοτυπίαν Χαιρέου πλήξαντος αὐτὴν ἔδοξε τεθνάναι, ταφεῖσαν δὲ πολυτελῶς εἶτα ἀνανήψασαν ἐν τῷ τάφῳ τυμβω-

ρύχοι νυκτὸς ἐξήγαγον ἐκ Σικελίας, πλεύσαντες δὲ εἰς Ἰωνίαν ἐπώλησαν Διονυσίῳ, καὶ τὸν ἔρωτα τὸν Διονυσίου καὶ τὴν Καλλιρρόης πρὸς Χαιρέαν πίστιν καὶ τὴν ἀνάγκην τοῦ γάμου διὰ τὴν γαστέρα καὶ τὴν Θήρωνος ὁμολογίαν καὶ Χαιρέου πλοῦν ἐπὶ ζήτησιν τῆς γυναικὸς ἅλωσίν τε αὐτοῦ καὶ πρᾶσιν εἰς Καρίαν
2 μετὰ Πολυχάρμου τοῦ φίλου, καὶ ὡς Μιθριδάτης ἐγνώρισε Χαιρέαν μέλλοντα ἀποθνήσκειν καὶ ὡς ἔσπευδεν ἀλλήλοις ἀποδοῦναι τοὺς ἐρῶντας, φωράσας δὲ τοῦτο Διονύσιος ἐξ ἐπιστολῶν διέβαλεν αὐτὸν πρὸς Φαρνάκην, ἐκεῖνος δὲ πρὸς βασιλέα, βασιλεὺς δὲ ἀμφοτέρους ἐκάλεσεν ἐπὶ τὴν κρίσιν, ταῦτα ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται· τὰ δ' ἑξῆς νῦν διηγήσομαι.

3 Καλλιρρόη μὲν γὰρ μέχρι Συρίας καὶ Κιλικίας κούφως ἔφερε τὴν ἀποδημίαν· καὶ γὰρ Ἑλλάδος ἤκουε φωνῆς καὶ θάλατταν ἔβλεπε τὴν ἄγουσαν εἰς Συρακούσας· ὡς δ' ἦκεν ἐπὶ ποταμὸν Εὐφράτην, μεθ' ὃν ἤπειρός ἐστι μεγάλη ἀφετήρι[ον] εἰς τὴν βασιλέως γῆν τὴν πολλήν, τότε ἤδη πόθος αὐτὴν ὑπεδύετο πατρίδος τε καὶ συγγενῶν, ἀπογνώσει τῆς [εἰς] τοὔμ-
4 παλιν ὑποστροφῆς. Στᾶσα δὲ ἐπὶ τῆς ἠόνος καὶ πάντας ἀναχωρῆσαι κελεύσασα πλὴν Πλαγγόνος τῆς μόνης πιστῆς, τοιούτων ἤρξατο λόγων

"Τύχη βάσκανε καὶ μιᾶς γυναικὸς προσφιλονεικοῦσα πολέμῳ, σύ με κατέκλεισας ἐν τάφῳ ζῶσαν, κἀκεῖθεν ἐξήγαγες οὐ δι' ἔλεον, ἀλλ' ἵνα λῃστοῖς με
5 παραδῷς. Ἐμερίσαντό μου τὴν φυγὴν θάλασσα καὶ Θήρων· ἡ Ἑρμοκράτους θυγάτηρ ἐπράθην καί, τὸ τῆς δουλείας μοι βαρύτερον, ἐφιλήθην, ἵνα ζῶντος Χαιρέου ἄλλῳ γαμηθῶ. Σὺ δὲ καὶ τούτων ἤδη μοι φθονεῖς· οὐκέτι γὰρ εἰς Ἰωνίαν με φυγαδεύεις. Ξένην μέν, πλὴν Ἑλληνικὴν ἐδίδως γῆν, ὅπου μεγάλην

εἶχον παραμυθίαν, ὅτι θαλάσσῃ παρεκαθήμην· νῦν δὲ ἔξω με τοῦ συνήθους ῥίπτεις ἀέρος καὶ τῆς πατρίδος ὅλῳ διορίζομαι κόσμῳ. Μίλητον ἀφείλου μου 6
πάλιν, ὡς πρότερον Συρακούσας· ὑπὲρ τὸν Εὐφράτην ἀπάγομαι καὶ βαρβάροις ἐγκλείομαι μυχοῖς ἡ νησιῶτις, ὅπου μηκέτι θάλασσα. Ποίαν ἔτ' ἐλπίσω ναῦν ἐκ Σικελίας καταπλέουσαν; ἀποσπῶμαι καὶ τοῦ σοῦ τάφου, Χαιρέα. Τίς ἐπενέγκῃ σοι χοάς, δαῖμον 7
ἀγαθέ; Βάκτρα μοι καὶ Σοῦσα λοιπὸν οἶκος καὶ τάφος. Ἄπαξ, Εὐφρᾶτα, μέλλω σε διαβαίνειν· φοβοῦμαι γὰρ οὐχ οὕτως τὸ μῆκος τῆς ἀποδημίας ὡς μὴ δόξω κἀκεῖ καλή τινι." Ταῦτα ἅμα λέγουσα τὴν γῆν κατεφίλησεν, εἶτα ἐπιβᾶσα τῆς πορθμίδος διεπέρασεν. Ἦν μὲν οὖν καὶ Διονυσίῳ χορηγία πολλή· πλου- 8
σιώτατα γὰρ ἐπεδείκνυτο τῇ γυναικὶ τὴν παρασκευήν· βασιλικωτέραν δὲ τὴν ὁδοιπορίαν αὐτοῖς παρεσκεύασεν ἡ τῶν ἐπιχωρίων φιλοφρόνησις. Δῆμος παρέπεμπεν εἰς δῆμον, καὶ σατράπης παρεδίδου τῷ μεθ' αὐτόν, πάντας γὰρ ἐδημαγώγει τὸ κάλλος. Καὶ ἄλλη δέ τις ἐλπὶς ἔθαλπε τοὺς βαρβάρους, ὅτι ἥδε ἡ γυνὴ μέγα δυνήσεται, καὶ διὰ τοῦτο ἕκαστος ἔσπευδε ξένια διδόναι ἢ πάντως τινὰ χάριν εἰς αὐτὴν ἔχειν ἀποκειμένην.

Καὶ οἱ μὲν ἦσαν ἐν τούτοις· ὁ δὲ Μιθριδάτης δι' 2
Ἀρμενίας ἐποιεῖτο τὴν πορείαν σφοδρότερον, μάλιστα μὲν δεδοικὼς μὴ καὶ τοῦτο αἴτιον αὐτῷ γένηται πρὸς βασιλέως, ὅτι κατ' ἴχνος ἐπηκολούθει τῇ γυναικί, ἅμα δὲ καὶ σπεύδων προεπιδημῆσαι καὶ συγκροτῆσαι τὰ πρὸς τὴν δίκην. Ἀφικόμενος οὖν εἰς 2
Βαβυλῶνα (βασιλεὺς γὰρ αὐτόθι διέτριβεν) ἐκείνην μὲν τὴν ἡμέραν ἡσύχασε παρ' ἑαυτῷ· πάντες γὰρ οἱ σατράπαι σταθμοὺς ἔχουσιν ἀποδεδειγμένους· τῆς

δὲ ὑστεραίας ἐπὶ θύρας ἐλθὼν τὰς βασιλέως, ἠσπάσατο μὲν Περσῶν τοὺς ὁμοτίμους, Ἀρταξάτην δὲ τὸν εὐνοῦχον ὃς μέγιστος ἦν παρὰ βασιλεῖ καὶ δυνατώτατος πρῶτον μὲν δώροις ἐτίμησεν, εἶτα "ἀπάγγειλον" εἶπε "βασιλεῖ· Μιθριδάτης σὸς δοῦλος πάρεστιν ἀπολύσασθαι διαβολὴν Ἕλληνος ἀνδρὸς καὶ πρυσκυνῆσαι." Μετ' οὐ πολὺ δ' ἐξελθὼν ὁ εὐνοῦχος ἀπεκρίνατο ὅτι "ἐστὶ βασιλεῖ βουλομένῳ Μιθριδάτην μηδὲν ἀδικεῖν· κρινεῖ δὲ ἐπειδὰν καὶ Διονύσιος παραγένηται." Προσκυνήσας οὖν ὁ Μιθριδάτης ἀπηλλάττετο, μόνος δὲ γενόμενος ἐκάλεσε Χαιρέαν καὶ ἔφη πρὸς αὐτὸν "ἐγὼ κρίνομαι καὶ ἀποδοῦναί σοι θελήσας Καλλιρρόην ἐγκαλοῦμαι· τὴν γὰρ σὴν ἐπιστολήν, ἣν ἔγραψας πρὸς τὴν γυναῖκα, Διονύσιος ἐμέ φησι γεγραφέναι καὶ μοιχείας ἀπόδειξιν ἔχειν ὑπολαμβάνει· πέπεισται γὰρ σὲ τεθνάναι, καὶ πεπείσθω μέχρι τῆς δίκης, ἵνα αἰφνίδιον ὀφθῇς. Ταύτην ἀπαιτῶ σε τῆς εὐεργεσίας τὴν ἀνταμοιβήν· ἀπόκρυψον σεαυτόν· μήτε ἰδεῖν Καλλιρρόην μήτ' ἐξετάσαι τι περὶ αὐτῆς καρτέρησον." Ἄκων μέν, ἀλλ' ἐπείθετο Χαιρέας καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτοῦ τὰ δάκρυα κατὰ τῶν παρειῶν· εἰπὼν δὲ "ποιήσω, δέσποτα, ἃ προστάττεις" ἀπῆλθεν εἰς τὸ δωμάτιον, ἐν ᾧ κατήγετο μετὰ Πολυχάρμου τοῦ φίλου, καὶ ῥίψας ἑαυτὸν εἰς τοὔδαφος, περιρρηξάμενος τὸν χιτῶνα ἀμφοτέραις χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν

χεύατο κὰκ κεφαλῆς, χάριεν δ' ἤσχυνε πρόσωπον.

Εἶτα ἔλεγε κλάων "ἐγγύς ἐσμεν, ὦ Καλλιρρόη, καὶ οὐχ ὁρῶμεν ἀλλήλους. Σὺ μὲν οὖν οὐδὲν ἀδικεῖς· οὐ γὰρ οἶδας ὅτι Χαιρέας ζῇ· πάντων δὲ ἀσεβέστατος ἐγώ, μὴ βλέπειν σε κεκελευσμένος, καὶ ὁ δειλὸς

καὶ φιλόζωος μέχρι τοσούτου φέρω τυραννούμενος. Σοὶ δὲ εἴ τις τοῦτο προσέταξεν, οὐκ ἂν ἔζησας."

Ἐκεῖνον μὲν οὖν παρεμυθεῖτο Πολύχαρμος, ἤδη 6 δὲ καὶ Διονύσιος πλησίον ἐγένετο Βαβυλῶνος καὶ ἡ φήμη προκατελάμβανε τὴν πόλιν, ἀπαγγέλλουσα πᾶσιν ὅτι παραγίνεται γυνή, κάλλος οὐκ ἀνθρώπινον ἀλλά τι θεῖον, ὁποίαν ἐπὶ γῆς ἄλλην ἥλιος οὐχ ὁρᾷ· φύσει δέ ἐστι τὸ βάρβαρον γυναιμανές, ὥστε πᾶσα οἰκία καὶ πᾶς στενωπὸς ἐπεπλήρωτο τῆς δόξης· διέβαινε δὲ ἡ φήμη μέχρις αὐτοῦ βασιλέως, ὥστε καὶ ἤρετο Ἀρταξάτην τὸν εὐνοῦχον εἰ πάρεστιν ἡ Μιλησία. Διονύσιον δὲ καὶ πάλαι μὲν ἐλύπει τὸ περιβόη- 7 τον τῆς γυναικὸς (οὐ γὰρ εἶχεν ἀσφάλειαν), ἐπεὶ δὲ εἰς Βαβυλῶνα ἔμελλεν εἰσιέναι, τότ' ἤδη καὶ μᾶλλον ἐνεπίμπρατο, στενάξας δὲ ἔφη πρὸς ἑαυτὸν "οὐκέτι ταῦτα Μίλητός ἐστι, Διονύσιε, ἡ σὴ πόλις· κἀκεῖ δὲ τοὺς ἐπιβουλεύοντας ἐφυλάττου. Τολμηρὲ καὶ τοῦ 8 μέλλοντος ἀπροόρατε, εἰς Βαβυλῶνα Καλλιρρόην ἄγεις, ὅπου Μιθριδᾶται τοσοῦτοι; Μενέλαος ἐν τῇ σώφρονι Σπάρτῃ τὴν Ἑλένην οὐκ ἐτήρησεν, ἀλλὰ παρηυδοκίμησε καὶ βασιλέα βάρβαρος ποιμήν· πολλοὶ Πάριδες ἐν Πέρσαις. Οὐχ ὁρᾷς τοὺς κινδύνους, οὐ τὰ προοίμια; πόλεις ἡμῖν ἀπαντῶσι καὶ θεραπεύουσι σατράπαι. Σοβαρωτέρα γέγονεν ἤδη, καὶ οὔπω βα- 9 σιλεὺς ἑώρακεν αὐτήν. Μία τοίνυν σωτηρίας ἐλπὶς διακλέψαι τὴν γυναῖκα· φυλαχθήσεται γάρ, ἂν δυνηθῇ λαθεῖν." Ταῦτα λογισάμενος ἵππου μὲν ἐπέβη, τὴν δὲ Καλλιρρόην εἴασεν ἐπὶ τῆς ἁρμαμάξης καὶ συνεκάλυψε τὴν σκηνήν. Τάχα δ' ἂν καὶ προυχώρησεν, ὅπερ ἤθελεν, εἰ μὴ συνέβη τι τοιοῦτον.

Ἦκον παρὰ Στάτειραν, τὴν γυναῖκα τὴν βασιλέως 3 τῶν ἐνδοξοτάτων Περσῶν αἱ γυναῖκες καί τις εἶπεν ἐξ

αὐτῶν "ὦ δέσποινα, γύναιον Ἑλληνικὸν ἐπιστρατεύεται ταῖς ἡμετέραις οἰκίαις, ὃ καὶ πάλαι μὲν πάντες ἐθαύμαζον ἐπὶ τῷ κάλλει, κινδυνεύει δὲ ἐφ' ἡμῶν ἡ δόξα τῶν Περσίδων γυναικῶν καταλυθῆναι. Φέρ' οὖν σκεψώμεθα πῶς μὴ παρευδοκιμηθῶμεν ὑπὸ τῆς ξέ-
2 νης." Ἐγέλασεν ἡ βασίλισσα ἀπιστοῦσα τῇ φήμῃ, ἅμα δὲ εἶπεν" ἀλαζόνες εἰσὶν Ἕλληνες καὶ πτωχοὶ καὶ διὰ τοῦτο καὶ τὰ μικρὰ θαυμάζουσι μεγάλως. Οὕτως φημίζουσι Καλλιρρόην καλὴν ὡς καὶ Διονύσιον πλούσιον. Μία τοίνυν ἐξ ἡμῶν, ἐπειδὰν εἰσίῃ, φα-
3 νήτω μετ' αὐτῆς, ἵνα ἀποσβέσῃ τὴν πενιχράν τε καὶ δούλην." Προσεκύνησαν πᾶσαι τὴν βασιλίδα καὶ τῆς γνώμης ἀπεθαύμασαν καὶ τὸ μὲν πρῶτον ὡς ἐξ ἑνὸς στόματος ἀνεβόησαν "εἴθε δυνατὸν ἦν ὀφθῆναί σε, δέσποινα," εἶτα διεσχίσθησαν αἱ γνῶμαι καὶ τὰς
4 ἐνδοξοτάτας ὠνόμαζον ἐπὶ κάλλει. Χειροτονία δὲ ἦν ὡς ἐν θεάτρῳ, καὶ προυκρίθη Ῥοδογύνη, θυγάτηρ μὲν Ζωπύρου, γυνὴ δὲ Μεγαβύζου, μέγα τι χρῆμα [κάλλους] καὶ περιβόητον, οἷον τῆς Ἰωνίας Καλλιρρόη, τοιοῦτο τῆς Ἀσίας ἡ Ῥοδογύνη. Λαβοῦσαι δὲ αὐτὴν αἱ γυναῖκες ἐκόσμουν, ἑκάστη τι παρ' αὐτῆς συνεισφέρουσα εἰς κόσμον· ἡ δὲ βασιλὶς ἔδωκε περι-
βραχιόνια καὶ ὅρμον.

5 Ἐπεὶ τοίνυν εἰς τὸν ἀγῶνα καλῶς αὐτὴν κατεσκεύασαν, ὡς δῆθεν εἰς ἀπάντησιν Καλλιρρόης παρ-
εγίνετο· καὶ γὰρ εἶχε πρόφασιν οἰκείαν, ἐπειδὴ ἦν ἀδελφὴ Φαρνάκου, τοῦ γράψαντος βασιλεῖ περὶ Διο-
6 νυσίου. Ἐξεχεῖτο δὲ πᾶσα Βαβυλὼν ἐπὶ τὴν θέαν καὶ τὸ πλῆθος ἐστενοχώρει τὰς πύλας. Ἐν δὲ τῷ περιφανεστάτῳ παραπεμπομένη βασιλικῶς ἡ Ῥοδογύνη περιέμενεν· εἱστήκει δὲ ἁβρὰ καὶ θρυπτομένη καὶ ὡς προκαλουμένη, πάντες δὲ εἰς αὐτὴν ἀπέβλεπον καὶ

διελάλουν πρὸς ἀλλήλους "νενικήκαμεν· ἡ Περσὶς
ἀποσβέσει τὴν ξένην. Εἰ δύναται, συγκριθήτω· μα- 7
θέτωσαν Ἕλληνες ὅτι εἰσὶν ἀλαζόνες." Ἐν τούτῳ δὲ
ἐπῆλθεν ὁ Διονύσιος καὶ μηνυθέντος αὐτῷ τὴν Φαρ-
νάκου συγγενίδα παρεῖναι, καταπηδήσας ἐκ τοῦ ἵπ-
που προσῆλθεν αὐτῇ φιλοφρονούμενος. Ἐκείνη δὲ 8
ὑπερυθριῶσα "θέλω" φησὶ "τὴν ἀδελφὴν ἀσπάσα-
σθαι," καὶ ἅμα τῇ ἁρμαμάξῃ προσῆλθεν. Οὔκουν δυ-
νατὸν ἦν αὐτὴν ἔτι μένειν κεκαλυμμένην, ἀλλ' ὁ Διο-
νύσιος μὲν ἄκων καὶ στένων ὑπ' αἰδοῦς τὴν Καλλιρ-
ρόην προελθεῖν ἠξίωσεν· ἅμα δὲ πάντες οὐ μόνον
τοὺς ὀφθαλμοὺς ἀλλὰ καὶ τὰς ψυχὰς ἐξέτειναν καὶ
μικροῦ δεῖν ἐπ' ἀλλήλους κατέπεσον, ἄλλος πρὸ ἄλ-
λου θέλων ἰδεῖν καὶ ὡς δυνατὸν ἐγγυτάτω γενέσθαι.
Ἐξέλαμψε δὲ τὸ Καλλιρρόης πρόσωπον, καὶ μαρμα- 9
ρυγὴ κατέσχε τὰς ἁπάντων ὄψεις, ὥσπερ ἐν νυκτὶ
βαθείᾳ πολλοῦ φωτὸς αἰφνίδιον φανέντος· ἐκπλα-
γέντες δὲ οἱ βάρβαροι προσεκύνησαν καὶ οὐδεὶς ἐδό-
κει Ῥοδογύνην παρεῖναι. Συνῆκε δὲ καὶ ἡ Ῥοδογύνη
τῆς ἥττης, καὶ μήτε ἀπελθεῖν δυναμένη μήτε βλέ-
πεσθαι θέλουσα ὑπέδυ τὴν σκηνὴν μετὰ τῆς Καλλιρ-
ρόης, παραδοῦσα αὐτὴν τῷ κρείττονι φέρειν. Ἡ μὲν 10
ἁρμάμαξα προῄει συγκεκαλυμμένη, οἱ δὲ ἄνθρωποι,
μηκέτι ἔχοντες Καλλιρρόην ὁρᾶν, κατεφίλουν τὸν δί-
φρον. Βασιλεὺς δὲ ὡς ἤκουσεν ἀφῖχθαι Διονύσιον,
ἐκέλευσεν Ἀρταξάτην τὸν εὐνοῦχον ἀπαγγεῖλαι πρὸς
αὐτὸν "ἐχρῆν μέν σε κατηγοροῦντα ἀνδρὸς ἀρχὴν με-
γάλην πεπιστευμένου μὴ βραδύνειν· ἀφίημι δέ σοι
τὴν αἰτίαν, ὅτι μετὰ γυναικὸς ἐβάδιζες. Ἐγὼ δὲ νῦν 11
μὲν ἑορτὴν ἄγω καὶ πρὸς ταῖς θυσίαις εἰμί· τριακο-
στῇ δὲ ὕστερον ἡμέρᾳ ἀκροάσομαι τῆς δίκης." Προσ-
κυνήσας ὁ Διονύσιος ἀπηλλάγη.

4 Παρασκευὴ οὖν ἐντεῦθεν ἐγίνετο ἐπὶ τὴν δίκην παρ' ἑκατέρων ὥσπερ ἐπὶ πόλεμον τὸν μέγιστον. Ἐσχίσθη δὲ τὸ πλῆθος τῶν βαρβάρων καὶ ὅσον μὲν ἦν σατραπικὸν Μιθριδάτῃ προσέθετο· καὶ γὰρ ἦν ἀνέκαθεν ἐκ Βάκτρων, εἰς Καρίαν δὲ ὕστερον μετῳκίσθη· Διονύσιος δὲ τὸ δημοτικὸν εἶχεν εὔνουν· ἐδόκει γὰρ ἀδικεῖσθαι παρὰ τοὺς νόμους εἰς γυναῖκα
2 ἐπιβουλευθείς, καὶ ὃ μεῖζόν ἐστι, τοιαύτην. Οὐ μὴν οὐδ' ἡ γυναικωνῖτις ἡ Περσῶν ἀμέριμνος ἦν, ἀλλὰ κἀνταῦθα διῃρέθησαν αἱ σπουδαί· τὸ μὲν γὰρ αὐτῶν ἐπ' εὐμορφίᾳ μέγα φρονοῦν ἐφθόνει τῇ Καλλιρρόῃ καὶ ἤθελεν αὐτὴν ἐκ τῆς δίκης ὑβρισθῆναι, τὸ δὲ πλῆθος ταῖς οἰκείαις φθονοῦσαι τὴν ξένην εὐδο-
3 κιμῆσαι συνηύχοντο. Τὴν νίκην δὲ ἑκάτερος αὐτῶν ἐν ταῖς χερσὶν ἔχειν ὑπελάμβανε· Διονύσιος μὲν θαρρῶν ταῖς ἐπιστολαῖς αἷς ἔγραψε Μιθριδάτης πρὸς Καλλιρρόην ὀνόματι Χαιρέου (ζῇν γὰρ οὐδέποτε Χαιρέαν προσεδόκα), Μιθριδάτης δὲ Χαιρέαν ἔχων δεῖξαι ἐπέπειστο ἁλῶναι μὴ δύνασθαι. Προσεποιεῖτο δὲ δεδιέναι καὶ συνηγόρους παρεκάλει, ἵνα διὰ τὸ ἀπροσ-
4 δόκητον λαμπροτέραν τὴν ἀπολογίαν ποιήσηται. Ταῖς δὲ τριάκοντα ἡμέραις Πέρσαι καὶ Περσίδες οὐδὲν ἕτερον διελάλουν ἢ τὴν δίκην ταύτην, ὥστε, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὅλη ἡ Βαβυλὼν δικαστήριον ἦν. Ἐδόκει δὲ πᾶσιν ἡ προθεσμία μακρὰ καὶ οὐ τοῖς ἄλλοις μόνον ἀλλὰ καὶ αὐτῷ βασιλεῖ. Ποῖος ἀγὼν Ὀλυμπικὸς ἢ νύκτες Ἐλευσίνιαι προσδοκίαν τοσαύτην ἔσχον σπουδῆς;

5 Ἐπεὶ δὲ ἦκεν ἡ κυρία τῶν ἡμερῶν, ἐκαθέσθη βασιλεύς. Ἔστι δὲ οἶκος ἐν τοῖς βασιλείοις ἐξαιρέτως ἀποδεδειγμένος εἰς δικαστήριον, μεγέθει καὶ κάλλει διαφέρων· ἔνθα μέσος μὲν ὁ θρόνος κεῖται βασιλεῖ,

παρ' ἑκάτερα δὲ τοῖς φίλοις καὶ [[ὅσοι]] τοῖς ἀξιώμασι καὶ ταῖς ἀρεταῖς ὑπάρχουσιν ἡγεμόνες ἡγεμόνων. Περιεστᾶσι δὲ κύκλῳ τὸν θρόνον λοχαγοὶ καὶ ταξίαρχοι καὶ τῶν βασιλέως ἐξελευθέρων τὸ ἐντιμότατον, ὥστε ἐπ' ἐκείνου τοῦ συνεδρίου καλῶς ἂν εἴποι τις

οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο.

Παράγονται δὲ οἱ καθεζόμενοι μετὰ σιγῆς καὶ δέους. Τότε οὖν ἔωθεν μὲν πρῶτος ἦκε Μιθριδάτης, δορυφορούμενος ὑπὸ φίλων καὶ συγγενῶν, οὐ πάνυ τι λαμπρὸς οὐδὲ φαιδρός, ἀλλ', ὡς ὑπεύθυνος, ἐλεεινός· ἐπηκολούθει δὲ καὶ Διονύσιος Ἑλληνικῷ σχήματι Μιλησίαν στολὴν ἀμπεχόμενος, τὰς ἐπιστολὰς τῇ χειρὶ κατέχων. Ἐπεὶ δὲ εἰσήχθησαν, προσεκύνησαν. Ἔπειτα βασιλεὺς ἐκέλευε τὸν γραμματέα τὰς ἐπιστολὰς ἀναγνῶναι, τήν τε Φαρνάκου καὶ ἣν ἀντέγραψεν αὐτός, ἵνα μάθωσιν οἱ συνδικάζοντες πῶς εἰσῆκται τὸ πρᾶγμα. Ἀναγνωσθεισῶν δὲ τῶν ἐπιστολῶν ἔπαινος ἐξεῤῥάγη πολὺς τὴν σωφροσύνην καὶ δικαιοσύνην θαυμαζόντων τὴν βασιλέως. Σιωπῆς δὲ γενομένης ἔδει μὲν ἄρξασθαι τοῦ λόγου Διονύσιον τὸν κατήγορον, καὶ πάντες εἰς ἐκεῖνον ἀπέβλεψαν· ἔφη δὲ Μιθριδάτης "οὐ προλαμβάνω" φησί, "δέσποτα, τὴν ἀπολογίαν, ἀλλ' οἶδα τὴν τάξιν· δεῖ δὲ πρὸ τῶν λόγων ἅπαντας παρεῖναι τοὺς ἀναγκαίους ἐν τῇ δίκῃ· ποῦ τοίνυν ἡ γυνή, περὶ ἧς ἡ κρίσις; ἔδοξας δ' αὐτὴν ἀναγκαίαν διὰ τῆς ἐπιστολῆς καὶ ἔγραψας παρεῖναι, καὶ πάρεστι. Μὴ οὖν Διονύσιος ἀποκρυπτέτω τὸ κεφάλαιον καὶ τὴν αἰτίαν ὅλου τοῦ πράγματος." Πρὸς ταῦτα ἀπεκρίνατο Διονύσιος "καὶ τοῦτο μοιχοῦ παράγειν εἰς ὄχλον ἀλλοτρίαν γυναῖκα οὐ θέλοντος ἀνδρός, οὔτε ἐγκαλοῦσαν οὔτε ἐγκαλουμένην αὐτήν. Εἰ μὲν οὖν διεφθάρη, ὡς ὑπεύθυνον ἔδει παρεῖναι· νῦν δὲ σὺ

6 7 8 9 10 11

ἐπεβούλευσας ἀγνοούσῃ, καὶ οὔτε μάρτυρι χρῶμαι τῇ γυναικὶ οὔτε συνηγόρῳ. Τί οὖν ἀναγκαῖον παρεῖναι τὴν κατ' οὐδὲν μετέχουσαν τῆς δίκης;" Ταῦτα δικανικῶς μὲν εἶπεν ὁ Διονύσιος, πλὴν οὐδένα ἔπειθεν· 12 ἐπεθύμουν γὰρ πάντες Καλλιρρόην ἰδεῖν. Αἰδουμένου δὲ κελεῦσαι βασιλέως πρόφασιν ἔσχον οἱ φίλοι τὴν ἐπιστολήν· ἐκλήθη γὰρ ὡς ἀναγκαία. "Πῶς οὖν οὐκ ἄτοπον" ἔφη τις "ἐξ Ἰωνίας μὲν ἐλθεῖν, ἐν Βα- 13 βυλῶνι δὲ οὖσαν ὑστερεῖν;" Ἐπεὶ τοίνυν ὡρίσθη καὶ Καλλιρρόην παρεῖναι, οὐδὲν αὐτῇ προειρηκὼς ὁ Διονύσιος, ἀλλὰ μέχρι παντὸς ἀποκρυψάμενος τὴν αἰτίαν τῆς εἰς Βαβυλῶνα ὁδοῦ, φοβηθεὶς αἰφνίδιον εἰσαγαγεῖν εἰς δικαστήριον οὐδὲν εἰδυῖαν (εἰκὸς γὰρ ἦν καὶ ἀγανακτῆσαι τὴν γυναῖκα ὡς ἐξηπατημένην) εἰς τὴν ὑστεραίαν ὑπερέθετο τὴν δίκην.

5 Καὶ τότε μὲν οὕτως διελύθησαν· ἀφικόμενος δὲ εἰς τὴν οἰκίαν ὁ Διονύσιος, οἷα δὴ φρόνιμος ἀνὴρ καὶ πεπαιδευμένος λόγους τῇ γυναικὶ προσήνεγκεν ὡς ἐν τοιούτοις πιθανωτάτους, ἐλαφρῶς τε καὶ πράως ἕκαστα διηγούμενος. Οὐ μὴν ἀδακρυτί γε ἤκουσεν ἡ Καλλιρρόη, πρὸς τοὔνομα δὲ τὸ Χαιρέου πολλὰ 2 ἀνέκλαυσε καὶ πρὸς τὴν δίκην ἐδυσχέρανε. "Τοῦτο γὰρ" φησὶ "μόνον ἔλιπέ μου ταῖς συμφοραῖς, εἰσελθεῖν εἰς δικαστήριον. Τέθνηκα καὶ κεκήδευμαι, τετυμβωρύχημαι, πέπραμαι, δεδούλευκα· ἰδού, Τύχη, καὶ κρίνομαι. Οὐκ ἤρκει σοι διαβαλεῖν ἀδίκως με πρὸς Χαιρέαν, ἀλλ' ἔδωκάς μοι παρὰ Διονυσίῳ μοι- 3 χείας ὑπόθεσιν. Τότε μου τὴν διαβολὴν ἐπόμπευσας τάφῳ, νῦν δὲ βασιλικῷ δικαστηρίῳ. Διήγημα καὶ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης γέγονα. Ποίοις ὀφθαλμοῖς ὄψομαι τὸν δικαστήν; οἵων ἀκοῦσαί με δεῖ ῥημάτων; κάλλος ἐπίβουλον, εἰς τοῦτο μόνον ὑπὸ τῆς

φύσεως δοθέν, ἵνα μου πλησθήσῃ τῶν διαβολῶν. Ἑρμοκράτους θυγάτηρ κρίνεται καὶ τὸν πατέρα συν- 4
ήγορον οὐκ ἔχει· οἱ μὲν γὰρ ἄλλοι ἐπὰν εἰς δικαστή-
ριον εἰσίωσιν, εὔνοιαν εὔχονται καὶ χάριν, ἐγὼ δὲ
φοβοῦμαι μὴ ἀρέσω τῷ δικαστῇ."

Τοιαῦτα ὀδυρομένη τὴν ἡμέραν ὅλην ἀθύμως 5
διήγαγε καὶ μᾶλλον ἐκείνης Διονύσιος· νυκτὸς δὲ
ἐπελθούσης ὄναρ ἔβλεπεν αὐτὴν ἐν Συρακούσαις
παρθένον εἰς τὸ τῆς Ἀφροδίτης τέμενος εἰσιοῦσαν
κἀκεῖθεν ἐπανιοῦσαν ὁρῶσαν Χαιρέαν καὶ τὴν τῶν
γάμων ἡμέραν [καὶ] ἐστεφανωμένην τὴν πόλιν ὅλην
καὶ προπεμπομένην αὐτὴν ὑπὸ πατρὸς καὶ μητρὸς
εἰς τὴν οἰκίαν τοῦ νυμφίου. Μέλλουσα δὲ καταφι- 6
λεῖν Χαιρέαν ἐκ τῶν ὕπνων ἀνέθορε καὶ καλέσασα
Πλαγγόνα (Διονύσιος γὰρ ἔφθη προεξαναστάς, ἵνα
μελετήσῃ τὴν δίκην) τὸ ὄναρ διηγεῖτο. Καὶ ἡ Πλαγ-
γὼν ἀπεκρίνατο "θάρρει, δέσποινα, καὶ χαῖρε· κα-
λὸν ἐνύπνιον εἶδες· πάσης ἀπολυθήσῃ φροντίδος·
ὥσπερ γὰρ ὄναρ ἔδοξας, οὕτω καὶ ὕπαρ. Ἄπιθι εἰς 7
τὸ βασιλέως δικαστήριον ὡς ἱερὸν Ἀφροδίτης, ἀνα-
μνήσθητι σαυτῆς, ἀναλάμβανε τὸ κάλλος τὸ νυμφι-
κόν." Καὶ ταῦτα ἅμα λέγουσα ἐνέδυε καὶ ἐκόσμει
τὴν Καλλιρρόην, ἡ δὲ αὐτομάτως ψυχὴν εἶχεν ἱλα-
ράν, ὥσπερ προμαντευομένη τὰ μέλλοντα.

Ἕωθεν οὖν ὠθισμὸς ἦν περὶ τὰ βασίλεια καὶ μέ- 8
χρις ἔξω πλήρεις οἱ στενωποί· πάντες γὰρ συνέτρε-
χον τῷ μὲν δοκεῖν ἀκροαταὶ τῆς δίκης, τὸ δὲ ἀληθὲς
Καλλιρρόης θεαταί· τοσούτῳ δὲ ἔδοξε κρείττων
ἑαυτῆς, ὅσῳ τὸ πρότερον τῶν ἄλλων γυναικῶν. Εἰσ- 9
ῆλθεν οὖν εἰς τὸ δικαστήριον, οἵαν ὁ θεῖος ποιητὴς
τὴν Ἑλένην ἐπιστῆναί φησι τοῖς ἀμφὶ Πρίαμον

καὶ Πάνθοον ἠδὲ Θυμοίτην δημογέρουσιν· ὀφθεῖσα δὲ θάμβος ἐποίησε καὶ σιωπήν, πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι· καὶ εἶγε Μιθριδάτην ἔδει πρῶτον εἰπεῖν, οὐκ ἂν ἔσχε φωνήν. Ὥσπερ γὰρ ἐπί τι τραῦμα παλαιὸν τὴν ἐρωτικὴν ἐπιθυμίαν σφοδροτέραν αὖθις ἐλάμβανε πληγήν.

6 Ἤρξατο δὲ Διονύσιος τῶν λόγων οὕτως· χάριν ἔχω σοι τῆς τιμῆς, βασιλεῦ, ἣν ἐτίμησας κἀμὲ καὶ σωφροσύνην καὶ τοὺς πάντων γάμους· οὐ γὰρ περιεῖδες ἄνδρα ἰδιώτην ἐπιβουλευθέντα ὑπὸ ἡγεμόνος, ἀλλ' ἐκάλεσας, ἵνα ἐπ' ἐμοῦ μὲν ἐκδικήσῃς τὴν ἀσέλγειαν καὶ ὕβριν,
2 ἀπὸ τῶν ἄλλων δὲ κωλύσῃς. Μείζονος δὲ τιμωρίας ἄξιον τὸ ἔργον γέγονε καὶ διὰ τὸν ποιήσαντα. Μιθριδάτης γάρ, οὐκ ἐχθρὸς ὢν ἀλλὰ ξένος ἐμὸς καὶ φίλος, ἐπίβουλος ἐμοί, καὶ οὐκ εἰς ἄλλο τι τῶν κτημάτων, ἀλλ' εἰς τὸ τιμιώτερον ἐμοὶ σώματός τε καὶ
3 ψυχῆς, τὴν γυναῖκα. Ὃν ἐχρῆν, εἴ τις ἄλλος ἐπλημμέλησεν εἰς ἡμᾶς, αὐτὸν βοηθεῖν, εἰ καὶ μὴ δι' ἐμὲ τὸν φίλον, ἀλλὰ διὰ σὲ τὸν βασιλέα. Σὺ γὰρ ἐνεχείρισας αὐτῷ τὴν μεγίστην ἀρχήν, ἧς ἀνάξιος φανεὶς κατῄσχυνε, μᾶλλον δὲ προύδωκε τὸν πιστεύσαντα
4 τὴν ἀρχήν. Τὰς μὲν οὖν δεήσεις τὰς Μιθριδάτου καὶ τὴν δύναμιν καὶ τὴν παρασκευήν, ὅσῃ χρῆται πρὸς τὸν ἀγῶνα, ὅτι οὐκ ἐξ ἴσου καθεστήκαμεν, οὐδὲ αὐτὸς ἀγνοῶ· θαρρῶ δέ, βασιλεῦ, τῇ σῇ δικαιοσύνῃ καὶ τοῖς γάμοις καὶ τοῖς νόμοις, οὓς ὁμοίως σὺ πᾶσι
5 τηρεῖς. Εἰ γὰρ μέλλεις αὐτὸν ἀφιέναι, πολὺ βέλτιον ἦν μηδὲ καλέσαι· τότε μὲν γὰρ ἐφοβοῦντο πάντες, ὡς κολασθησομένης τῆς ἀσελγείας, ἐὰν εἰς κρίσιν εἰσέλθῃ· καταφρονήσει δὲ** λοιπόν, ἐὰν κριθεὶς παρὰ σοὶ μὴ κολασθῇ. Ὁ δὲ ἐμὸς λόγος σαφὴς ἐστι καὶ

σύντομος. Ἀνήρ εἰμι Καλλιρρόης ταύτης, ἤδη δὲ ἐξ αὐτῆς καὶ πατήρ, γήμας οὐ παρθένον, ἀλλ' ἀνδρὸς προτέρου γενομένην, Χαιρέου τοὔνομα, πάλαι τεθνεῶτος, οὗ καὶ τάφος ἐστὶ παρ' ἡμῖν. Μιθριδάτης 6
οὖν ἐν Μιλήτῳ γενόμενος καὶ θεασάμενός μου τὴν γυναῖκα διὰ τὸ τῆς ξενίας δίκαιον, τὰ μετὰ ταῦτα οὐκ ἔπραξεν οὔτε ὡς φίλος οὔτε ὡς ἀνὴρ σώφρων καὶ κόσμιος, ὁποίους σὺ βούλει εἶναι τοὺς τὰς σὰς πόλεις ἐγκεχειρισμένους, ἀλλ' ἀσελγὴς ὤφθη καὶ τυραννικός. Ἐπιστάμενος δὲ τὴν σωφροσύνην καὶ φιλ- 7
ανδρίαν τῆς γυναικὸς λόγοις μὲν ἣ χρήμασι πεῖσαι αὐτὴν ἀδύνατον ἔδοξε, τέχνην δὲ ἐξεῦρεν ἐπιβουλῆς, ὡς ᾤετο, πιθανωτάτην· τὸν γὰρ πρότερον αὐτῆς ἄνδρα Χαιρέαν ὑπεκρίνατο ζῆν καὶ πλάσας ἐπιστολὰς ἐπὶ τῷ ὀνόματι τῷ ἐκείνου πρὸς Καλλιρρόην ἔπεμψε διὰ δούλων. Ἡ δὲ σὴ τύχη, βασιλεῦ, ἄξιον 8
ὄντα κατέστησε καὶ [ἡ] πρόνοια τῶν ἄλλων θεῶν φανερὰς ἐποίησε τὰς ἐπιβουλάς· τοὺς γὰρ δούλους μετὰ τῶν ἐπιστολῶν ἔπεμψε πρὸς ἐμὲ Βίας ὁ στρατηγὸς Πριηνέων, ἐγὼ δὲ φωράσας ἐμήνυσα τῷ σατράπῃ Λυδίας καὶ Ἰωνίας Φαρνάκῃ, ἐκεῖνος δὲ σοί.

Τὸ μὲν διήγημα εἴρηκα τοῦ πράγματος, περὶ οὗ 9
δικάζεις· αἱ δὲ ἀποδείξεις ἄφυκτοι· δεῖ γὰρ δυοῖν θάτερον, ἢ Χαιρέαν ζῆν, ἢ Μιθριδάτην ἠλέγχθαι μοιχόν. Καὶ γὰρ οὐδὲ τοῦτο δύναται λέγειν, ὅτι τεθνηκέναι Χαιρέαν ἠγνόει· τούτου γὰρ ἐν Μιλήτῳ παρόντος ἐχώσαμεν ἐκείνῳ τὸν τάφον, καὶ συνεπένθησεν ἡμῖν. Ἀλλ' ὅταν μοιχεῦσαι θέλῃ Μιθριδάτης, 10
ἀνίστησι τοὺς νεκρούς. Παύσομαι τὴν ἐπιστολὴν ἀναγνούς, ἣν οὗτος διὰ τῶν ἰδίων δούλων ἔπεμψεν εἰς Μίλητον ἐκ Καρίας. Λέγε λαβών· Χαιρέας ζῷ. Τοῦτο ἀποδειξάτω Μιθριδάτης καὶ ἀφείσθω. Λόγι-

σαι δέ, βασιλεῦ, πῶς ἀναίσχυντός ἐστι μοιχός, ὅπου καὶ νεκροῦ καταψεύδεται."

11 Ταῦτα εἰπὼν ὁ Διονύσιος παρώξυνε τοὺς ἀκούοντας καὶ εὐθὺς εἶχε τὴν ψῆφον, θυμωθεὶς δὲ βασιλεὺς εἰς Μιθριδάτην πικρὸν καὶ σκυθρωπὸν ἀπέβλεψε.

7 Μηδὲν οὖν καταπλαγεὶς ἐκεῖνος "δέομαί σου" φησί, "βασιλεῦ, δίκαιος γὰρ εἶ καὶ φιλάνθρωπος, μὴ καταγνῷς μου, πρὶν ἀκούσῃς τῶν λόγων ἑκατέρωθεν, μηδὲ ἄνθρωπος Ἕλλην, πανούργως συνθεὶς κατ' ἐμοῦ ψευδεῖς διαβολάς, πιθανώτερος γένηται παρὰ 2 σοὶ τῆς ἀληθείας. Συνίημι δὲ ὅτι βαρεῖ με πρὸς ὑποψίαν τὸ κάλλος τῆς γυναικός· οὐδενὶ γὰρ ἄπιστον φαίνεται θελῆσαί τινα Καλλιρρόην διαφθεῖραι. Ἐγὼ δὲ καὶ τὸν ἄλλον βίον ἔζησα σωφρόνως καὶ πρώτην ταύτην ἔσχηκα διαβολήν· εἰ δέ γε καὶ ἀκόλαστος καὶ ἀσελγὴς ἐτύγχανον, ἐποίησεν ἄν με βελτίω τὸ παρὰ 3 σοῦ τοσαύτας πόλεις πεπιστεῦσθαι. Τίς οὕτως ἐστὶν ἀνόητος, ἵνα ἕληται τὰ τηλικαῦτα ἀγαθὰ μιᾶς ἡδονῆς ἕνεκεν ἀπολέσαι καὶ ταύτης αἰσχρᾶς; εἰ δὲ ἄρα τι καὶ συνῄδειν ἐμαυτῷ πονηρόν, ἐδυνάμην καὶ παραγράψασθαι τὴν δίκην· Διονύσιος γὰρ οὐχ ὑπὲρ γυναικὸς ἐγκαλεῖ κατὰ νόμους αὐτῷ γαμηθείσης, ἀλλὰ πωλουμένην ἠγόρασεν αὐτήν· ὁ δὲ τῆς μοιχείας νό- 4 μος οὐκ ἔστιν ἐπὶ δούλων. Ἀναγνώτω σοι πρῶτον τὸ γραμματεῖον τῆς ἀπελευθερώσεως, εἶτα τότε γάμον εἰπάτω. Γυναῖκα τολμᾷς ὀνομάζειν, ἣν ἀπέδοτό σοι ταλάντου Θήρων ὁ ληστής, κἀκεῖνος ἁρπάσας ἐκ τάφου; Ἀλλ' φησ' ἐλευθέραν οὖσαν ἐπριάμην. Οὐκοῦν ἀνδραποδιστὴς εἶ σὺ καὶ οὐκ ἀνήρ. Πλὴν ὡς ἀν- 5 δρὶ νῦν ἀπολογήσομαι. Γάμον νόμιζε τὴν πρᾶσιν καὶ προῖκα τὴν τιμήν· Μιλησία σήμερον ἡ Συρακουσία

δοξάτω. Μάθε, δέσποτα, ὅτι Διονύσιον οὔτε ὡς ἄνδρα οὔτε ὡς κύριον ἠδίκηκα. Πρῶτον μὲν γὰρ οὐ γενομένην, ἀλλ' ὡς μέλλουσαν μοιχείαν ἐγκαλεῖ, καὶ πρᾶξιν οὐκ ἔχων εἰπεῖν ἀναγινώσκει γραμματεῖα κενά. Τὰς δὲ τιμωρίας οἱ νόμοι τῶν ἔργων λαμβάνουσι. Προφέρεις ἐπιστολήν. Ἐδυνάμην εἰπεῖν 'οὐ γέγραφα· χεῖρα ἐμὴν οὐκ ἔχεις· Καλλιρρόην Χαιρέας ζητεῖ· κρῖνε τοίνυν μοιχείας ἐκεῖνον.' 'Ναὶ' φής· 'ἀλλὰ Χαιρέας μὲν τέθνηκε, σὺ δ' ὀνόματι τοῦ νεκροῦ τὴν γυναῖκά μου διέφθειρας.' Προκαλῇ με, Διονύσιε, πρόκλησιν οὐδαμῶς [[σοι]] συμφέρουσαν. Μαρτύρομαι· φίλος εἰμί σου καὶ ξένος. Ἀπόστηθι τῆς κατηγορίας· συμφέρει σοι. Βασιλέως δεήθητι παραπέμψαι τὴν δίκην. Παλινῳδίαν εἰπὲ Μιθριδάτης οὐδὲν ἀδικεῖ· μάτην ἐμεμψάμην αὐτόν.' Ἂν δὲ ἐπιμείνῃς, μετανοήσεις· κατὰ σαυτοῦ τὴν ψῆφον οἴσεις. Προλέγω σοι, Καλλιρρόην ἀπολεῖς. Οὐκ ἐμὲ βασιλεὺς ἀλλὰ σὲ μοιχὸν εὑρήσει."

Ταῦτα εἰπὼν ἐσίγησεν· ἅπαντες δὲ εἰς Διονύσιον ἀπέβλεψαν θέλοντες μαθεῖν, αἱρέσεως αὐτῷ προτεθείσης, πότερον ἀφίσταται τῆς κατηγορίας ἢ βεβαίως ἐμμένει. Τὸ γὰρ αἰνιττόμενον ὑπὸ Μιθριδάτου τί ποτε ἦν αὐτοὶ μὲν οὐ συνίεσαν, Διονύσιον δὲ ὑπελάμβανον εἰδέναι. Κἀκεῖνος δὲ ἠγνόει, μηδέποτ' ἂν ἐλπίσας ὅτι Χαιρέας ζῇ. Ἔλεγεν οὖν "εἰπὲ" φησὶν "ὅ τι ποτὲ καὶ θέλεις· οὐδὲ γὰρ ἐξαπατήσεις με σοφίσμασι καὶ [[οὐκ]] ἀξιοπίστοις ἀπειλαῖς, οὐδ' εὑρεθήσεταί ποτε Διονύσιος συκοφαντῶν."

Ἔνθεν ἐλὼν ὁ Μιθριδάτης φωνὴν ἐπῆρε καὶ ὥσπερ ἐπὶ θειασμὸν "θεοὶ" φησὶ "βασίλειοι ἐπουράνιοί τε καὶ ὑποχθόνιοι, βοηθήσατε ἀνδρὶ ἀγαθῷ, πολλάκις ὑμῖν εὐξαμένῳ δικαίως καὶ θύσαντι μεγα-

λοπρεπῶς· ἀπόδοτέ μοι τὴν ἀμοιβὴν τῆς εὐσεβείας συκοφαντουμένῳ· χρήσατέ μοι καὶν εἰς τὴν δίκην Χαιρέαν. Φάνηθι, δαῖμον ἀγαθέ· καλεῖ σε ἡ σὴ Καλλιρρόη· μεταξὺ δὲ ἀμφοτέρων, ἐμοῦ τε καὶ Διονυσίου στὰς εἶπον βασιλεῖ τίς ἐστιν ἐξ ἡμῶν μοιχός." 5

8 Ἔτι δὲ λέγοντος (οὕτω γὰρ ἦν διατεταγμένον) προῆλθε Χαιρέας αὐτός. Ἰδοῦσα δὲ ἡ Καλλιρρόη ἀνέκραγε "Χαιρέα, ζῇς;" καὶ ὥρμησεν αὐτῷ προσδραμεῖν· κατέσχε δὲ Διονύσιος καὶ μέσος γενόμενος οὐκ

2 εἴασεν ἀλλήλοις περιπλακῆναι. Τίς ἂν φράσειε κατ' ἀξίαν ἐκεῖνο τὸ σχῆμα τοῦ δικαστηρίου; ποῖος ποιητὴς ἐπὶ σκηνῆς παράδοξον μῦθον οὕτως εἰσήγαγεν; ἔδοξας ἂν ἐν θεάτρῳ παρεῖναι μυρίων παθῶν πλήρει· πάντα ἦν ὁμοῦ, δάκρυα, χαρά, θάμβος, ἔλεος,

3 ἀπιστία, εὐχαί. Χαιρέαν ἐμακάριζον, Μιθριδάτῃ συνέχαιρον, συνελυποῦντο Διονυσίῳ, περὶ Καλλιρρόης ἠπόρουν. Μάλιστα γὰρ ἦν ἐκείνη τεθορυβημένη καὶ ἄναυδος εἱστήκει, μόνον ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς εἰς Χαιρέαν ἀποβλέπουσα· ἐδόκει δ' ἄν μοι καὶ βασιλεὺς τότε θέλειν Χαιρέας εἶναι.

4 Συνήθης μὲν οὖν καὶ πρόχειρος πᾶσι τοῖς ἀντερασταῖς πόλεμος· ἐκείνοις δὲ καὶ μᾶλλον [πρὸς] ἀλλήλους ἐξῆψε φιλονεικίαν τὸ ἆθλον βλεπόμενον, ὥστε, εἰ μὴ διὰ τὴν αἰδῶ τὴν πρὸς βασιλέα, καὶν χεῖρας ἀλ-

5 λήλοις προσέβαλλον. Προῆλθον δὲ μέχρι ῥημάτων. Χαιρέας μὲν ἔλεγε "πρῶτός εἰμι ἀνήρ," Διονύσιος δὲ "ἐγὼ βεβαιότερος." "Μὴ γὰρ ἀφῆκα τὴν γυναῖκα;" "Ἀλλ' ἔθαψας αὐτήν." "Δεῖξον γάμου διάλυσιν." "Τὸν τάφον ὁρᾷς." "Ἐμοὶ πατὴρ ἐξέδωκεν." "Ἐμοὶ δὲ [αὐτὴ] ἑαυτήν." "Ἀνάξιος εἶ τῆς Ἑρμοκράτους θυγατρός." "Σὺ μᾶλλον ὁ παρὰ Μιθριδάτῃ δεδεμένος." "Ἀπαιτῶ Καλλιρρόην." "Ἐγὼ δὲ κατέχω."

"Σὺ τὴν ἀλλοτρίαν κρατεῖς." "Σὺ τὴν σὴν ἀπέκτειvας." "Μοιχέ." "Φονεῦ." Ταῦτα πρὸς ἀλλήλους μα- 6
χόμενοι· οἱ δ' ἄλλοι πάντες ἤκουον οὐκ ἀηδῶς. Καλλιρρόη μὲν εἱστήκει κάτω βλέπουσα καὶ κλάουσα,
Χαιρέαν φιλοῦσα, Διονύσιον αἰδουμένη· βασιλεὺς δὲ μεταστησάμενος ἅπαντας, ἐβουλεύετο μετὰ τῶν φίλων οὐκέτι περὶ Μιθριδάτου, λαμπρῶς γὰρ ἀπελογήσατο, ἀλλὰ εἰ χρὴ διαδικασίαν προθεῖναι περὶ τῆς γυναικός. Καὶ τοῖς μὲν ἐδόκει μὴ βασιλικὴν εἶ- 7
ναι τὴν κρίσιν· "τῆς μὲν γὰρ Μιθριδάτου κατηγορίας εἰκότως ἤκουσας, σατράπης γὰρ ἦν," τούτους δὲ ἰδιώτας πάντας εἶναι· οἱ δὲ πλείονες τἀναντία συνεβούλευον καὶ διὰ τὸν πατέρα τῆς γυναικὸς οὐκ ἄχρηστον γενόμενον τῇ βασιλέως οἰκίᾳ καὶ ὅτι οὐκ ἔξωθεν ἐκάλει τὴν κρίσιν ἐπ' αὐτόν, ἀλλὰ σχεδὸν μέρος οὖσαν ἧς ἐδίκαξεν ἤδη· τὴν γὰρ ἀληθεστάτην αἰτίαν οὐκ ἤθελον ὁμολογεῖν, ὅτι τὸ τῆς Καλλιρρόης κάλλος δυσαπόσπαστον τοῖς ὁρῶσι. Πάλιν οὖν προσκα- 8
λεσάμενος οὓς μετεστήσατο "Μιθριδάτην μὲν" εἶπεν "ἀφίημι, καὶ ἀπίτω τῆς ὑστεραίας ἐπὶ τὴν σατραπείαν τὴν ἰδίαν δῶρα παρ' ἐμοῦ λαβών· Χαιρέας δὲ καὶ Διονύσιος λεγέτωσαν ἑκάτερος ἅπερ ἔχει δίκαια περὶ τῆς γυναικός· προνοεῖσθαι γάρ με δεῖ τῆς θυγατρὸς Ἑρμοκράτους τοῦ καταπολεμήσαντος Ἀθηναίους τοὺς ἐμοί τε καὶ Πέρσαις ἐχθίστους." Ῥηθεί- 9
σης δὲ τῆς ἀποφάσεως Μιθριδάτης μὲν προσεκύνησεν, ἀπορία δὲ τοὺς ἄλλους κατέλαβεν. Ἰδὼν δὲ βασιλεὺς ἀμηχανοῦντας αὐτοὺς "οὐκ ἐπείγω" φησὶν "ὑμᾶς, ἀλλὰ συγχωρῶ παρασκευασαμένους ὑμᾶς ἐπὶ τὴν δίκην ἥκειν. Δίδωμι δὲ πέντε ἡμερῶν διάστημα· ἐν δὲ τῷ μεταξὺ Καλλιρρόης ἐπιμελήσεται Στάτειρα ἡ ἐμὴ γυνή· οὐ γάρ ἐστι δίκαιον μέλλουσαν αὐτὴν

κρίνεσθαι περὶ ἀνδρὸς μετὰ ἀνδρὸς ἥκειν ἐπὶ τὴν κρίσιν."

10 Ἐξῆεσαν οὖν τοῦ δικαστηρίου οἱ μὲν ἄλλοι πάντες σκυθρωποί, μόνος δὲ Μιθριδάτης γεγηθώς. Λαβὼν δὲ τὰ δῶρα καὶ τὴν νύκτα καταμείνας ἔωθεν εἰς 5 Καρίαν ὥρμησε λαμπρότερος ἢ πρόσθεν.

9 Τὴν δὲ Καλλιρρόην εὐνοῦχοι παραλαβόντες ἤγαγον πρὸς τὴν βασιλίδα, μηδὲν αὐτῇ προειπόντες· ὅταν γὰρ πέμψῃ βασιλεύς, οὐκ ἀπαγγέλλεται. Θεασαμένη δὲ αἰφνίδιον ἡ Στάτειρα τῆς κλίνης ἀνέθορε 10 δόξασα Ἀφροδίτην ἐφεστάναι, καὶ γὰρ ἐξαιρέτως
2 ἐτίμα τὴν θεόν· ἡ δὲ προσεκύνησεν. Ὁ δὲ εὐνοῦχος νοήσας τὴν ἔκπληξιν αὐτῆς "Καλλιρρόη" φησὶν "αὕτη ἐστί· πέπομφε δὲ αὐτὴν βασιλεύς, ἵνα παρὰ σοὶ φυλάττηται μέχρι τῆς δίκης." Ἀσμένη τοῦτο ἤκουσεν 15 ἡ Στάτειρα καὶ πᾶσαν ἀφεῖσα γυναικείαν φιλονεικίαν εὐνουστέρα τῇ Καλλιρρόῃ διὰ τὴν τιμὴν ἐγέ-
3 νετο· ἠγάλλετο γὰρ τῇ παρακαταθήκῃ. Λαβομένη δὲ τῆς χειρὸς αὐτῆς "θάρρει" φησίν, "ὦ γύναι, καὶ παῦσαι δακρύουσα· χρηστός ἐστι βασιλεύς. Ἕξεις 20 ἄνδρα, ὃν θέλεις· ἐντιμότερον μετὰ τὴν κρίσιν γαμηθήσῃ. Βάδιζε δὲ καὶ ἀναπαύου νῦν, κέκμηκας γάρ, ὡς ὁρῶ, καὶ ἔτι τὴν ψυχὴν ἔχεις τεταραγμένην." Ἡδέως ἡ Καλλιρρόη τοῦτο ἤκουσεν, ἐπεθύμει γὰρ
4 ἠρεμίας. Ὡς οὖν κατεκλίθη, καὶ εἴασαν αὐτὴν ἡσυ- 25 χάζειν, ἀψαμένη τῶν ὀφθαλμῶν "εἶδετε" φησὶ "Χαιρέαν ὑμεῖς ἀληθῶς; ἐκεῖνος ἦν Χαιρέας οὗμός, ἢ καὶ τοῦτο πεπλάνημαι; τάχα γὰρ Μιθριδάτης διὰ τὴν δίκην εἴδωλον ἔπεμψε· λέγουσι γὰρ ἐν Πέρσαις
5 εἶναι μάγους. Ἀλλὰ καὶ ἐλάλησε καὶ πάντα εἶπεν ὡς 30 εἰδώς. Πῶς οὖν ὑπέμεινέ μοι μὴ περιπλακῆναι; μηδὲ καταφιλήσαντες ἀλλήλους διελύθημεν." Ταῦτα

διαλογιζομένης ἠκούετο ποδῶν ψόφος καὶ κραυγαὶ γυναικῶν· πᾶσαι γὰρ συνέτρεχον πρὸς τὴν βασιλίδα, νομίζουσαι πολλὴν ἐξουσίαν ἔχειν Καλλιρρόην ἰδεῖν. Ἡ δὲ Στάτειρα εἶπεν "ἀφῶμεν αὐτήν· διάκειται 6 γὰρ πονήρως· ἔχομεν δὲ ἡμέρας καὶ βλέπειν καὶ ἀκούειν καὶ λαλεῖν." Λυπούμεναι δὲ ἀπῆεσαν καὶ τῆς ὑστεραίας ἕωθεν ἀφικνοῦνται· καὶ τοῦτο πάσαις ταῖς ἡμέραις ἐπράττετο μετὰ σπουδῆς, ὥστε πολυανθρωποτέραν γενέσθαι τὴν βασιλέως οἰκίαν. Ἀλ- 7 λὰ καὶ βασιλεὺς πρὸς τὰς γυναῖκας εἰσῄει συνεχέστερον, ὡς δῆθεν πρὸς Στάτειραν. Ἐπέμπετο δὲ Καλλιρρόῃ δῶρα πολυτελῆ, καὶ παρ' οὐδενὸς ἐλάμβανε, φυλάττουσα τὸ σχῆμα γυναικὸς ἀτυχούσης, μελανείμων, ἀκόσμητος, καθημένη. Ταῦτα καὶ λαμπροτέραν αὐτὴν ἀπεδείκνυε. Πυθομένης δὲ τῆς βασιλίδος ὁπότερον ἄνδρα βούλοιτο μᾶλλον, οὐδὲν ἀπεκρίνατο, ἀλλὰ μόνον ἔκλαυσε.

Καλλιρρόη μὲν [[οὖν]] ἐν τούτοις ἦν, Διονύσιος 8 δὲ ἐπειρᾶτο μὲν φέρειν τὰ συμβαίνοντα γενναίως, διά τε φύσεως εὐστάθειαν καὶ διὰ παιδείας ἐπιμέλειαν, τὸ δὲ παράδοξον τῆς συμφορᾶς καὶ τὸν ἀνδρεῖον ἐκστῆσαι δυνατώτατον ὑπῆρχεν· ἐξεκάετο 9 γὰρ σφοδρότερον ἢ ἐν Μιλήτῳ. Ἀρχόμενος γὰρ τῆς ἐπιθυμίας μόνου τοῦ κάλλους ἐραστὴς ἦν, τότε δὲ πολλὰ προσεξῆπτε τὸν ἔρωτα, συνήθεια καὶ τέκνων εὐεργεσία καὶ ἀχαριστία καὶ ζηλοτυπία καὶ μάλιστα τὸ ἀπροσδόκητον.

Ἐξαίφνης οὖν ἀνεβόα πολλάκις "ποῖος οὗτος ἐπ' 10 ἐμοῦ Πρωτεσίλεως ἀνεβίω; τίνα τῶν ὑποχθονίων θεῶν ἠσέβησα, ἵνα εὕρω μοι νεκρὸν ἀντεραστήν, οὗ τάφον ἔχω; δέσποινα Ἀφροδίτη, σύ με ἐνήδρευσας, ἣν ἐν τοῖς ἐμοῖς ἱδρυσάμην, ᾗ θύω πολλάκις. Τί γὰρ

ἔδειξάς μοι Καλλιρρόην, ἣν φυλάττειν οὐκ ἔμελλες;
2 τί δὲ πατέρα ἐποίεις τὸν οὐδὲ ἄνδρα ὄντα;" Μεταξὺ
δὲ περιπτυξάμενος τὸν υἱὸν ἔλεγε κλάων "τέκνον
ἄθλιον, πρότερον μὲν εὐτυχῶς δοκοῦν μοι γεγονέναι,
νῦν δὲ ἀκαίρως· ἔχω γάρ σε μητρὸς κληρονομίαν καὶ
3 ἔρωτος ἀτυχοῦς ὑπόμνημα. Παιδίον μὲν εἶ, πλὴν οὐ
παντελῶς ἀναίσθητον ὢν ὁ πατήρ σου δυστυχεῖ.
Κακὴν ἀποδημίαν ἦλθομεν· οὐκ ἔδει Μίλητον κα-
ταλιπεῖν· Βαβυλὼν ἡμᾶς ἀπολώλεκε. Τὴν μὲν πρώ-
την δίκην νενίκημαι· Μιθριδάτης μου κατηγόρει·
περὶ δὲ τῆς δευτέρας μᾶλλον φοβοῦμαι· οὐδὲ γὰρ
μείων ὁ κίνδυνος· δύσελπιν δέ με πεποίηκε τῆς δί-
4 κης τὸ προοίμιον. Ἄκριτος ἀφῄρημαι γυναικὸς καὶ
περὶ τῆς ἐμῆς ἀγωνίζομαι πρὸς ἕτερον, καί, τὸ τού-
του χαλεπώτερον, οὐκ οἶδα Καλλιρρόη τίνα θέλει.
Σὺ δέ, τέκνον, ὡς παρὰ μητρὸς δύνασαι μαθεῖν.
Καὶ νῦν ἄπελθε καὶ ἱκέτευσον ὑπὲρ τοῦ πατρός.
5 Κλαῦσον, καταφίλησον, εἰπὲ 'μῆτερ, ὁ πατήρ μου
φιλεῖ σε,' ὀνειδίσῃς δὲ μηδέν. Τί λέγεις, παιδα-
γωγέ; οὐδεὶς ὑμᾶς ἐᾷ τοῖς βασιλείοις εἰσελθεῖν; ὦ
τυραννίδος δεινῆς. Ἀποκλείουσιν υἱὸν πρὸς μητέρα
πατρὸς ἥκοντα πρεσβευτήν."
6 Διονύσιος μὲν οὖν διέτριβεν ἄχρι τῆς κρίσεως
μάχην βραβεύων ἔρωτος καὶ λογισμοῦ, Χαιρέαν δὲ
πένθος κατεῖχεν ἀπαρηγόρητον. Προσποιησάμενος
οὖν νοσεῖν ἐκέλευσε Πολυχάρμῳ παραπέμψαι Μι-
θριδάτην, ὡς εὐεργέτην ἀμφοῖν· μόνος δὲ γενόμε-
νος ἧψε βρόχον, καὶ μέλλων ἐπ' αὐτὸν ἀναβαίνειν
"εὐτυχέστερον μὲν" εἶπεν "ἀπέθνησκον, εἰ ἐπὶ τὸν
σταυρὸν ἀνέβαινον, ὃν ἔπηξέ μοι κατηγορία ψευδὴς
ἐν Καρίᾳ δεδεμένῳ· τότε μὲν γὰρ ἀπηλλαττόμην
ζωῆς ἠπατημένος ὑπὸ Καλλιρρόης φιλεῖσθαι, νῦν

δὲ ἀπολώλεκα οὐ μόνον τὸ ξῆν, ἀλλὰ καὶ τοῦ θανάτου
τὴν παραμυθίαν. Καλλιρρόη με ἰδοῦσα οὐ προσῆλ- 7
θεν, οὐ κατεφίλησεν· ἐμοῦ παρεστῶτος ἄλλον ᾐδεῖτο.
Μηδὲν δυσωπείσθω· φθάσω τὴν κρίσιν· οὐ περι-
μενῶ τέλος ἄδοξον. Οἶδα ὅτι μικρὸς ἀνταγωνιστής
εἰμι Διονυσίου, ξένος ἄνθρωπος καὶ πένης καὶ ἀλλό-
τριος ἤδη. Σὺ μὲν εὐτυχοίης, ὦ γύναι· γυναῖκα γάρ
σε καλῶ, κἂν ἕτερον φιλῇς. Ἐγὼ δὲ ἀπέρχομαι καὶ
οὐκ ἐνοχλῶ τοῖς σοῖς γάμοις. Πλούτει καὶ τρύφα καὶ
τῆς Ἰωνίας ἀπόλαυε πολυτελείας. Ἔχε ὃν θέλεις.
Ἀλλὰ νῦν ἀληθῶς ἀποθανόντος Χαιρέου αἰτοῦμαί σε, 8
Καλλιρρόη, χάριν τελευταίαν. Ὅταν ἀποθάνω, πρόσ-
ελθέ μου τῷ νεκρῷ καὶ εἰ μὲν δύνασαι κλαῦσον
(τοῦτο γὰρ ἐμοὶ καὶ ἀθανασίας γενήσεται μεῖζον), εἰπὲ
δὲ προσκύψασα τῇ στήλῃ, κἂν ἀνήρ, κἂν βρέφος ὁρᾷ,
Οἴχῃ, Χαιρέα, νῦν ἀληθῶς· νῦν ἀπέθανες· ἐγὼ
γὰρ ἔμελλον ἐπὶ βασιλέως αἱρεῖσθαι σέ.' Ἀκούσομαί 9
σου, γύναι· τάχα καὶ πιστεύσω. Ἐνδοξότερόν με
ποιήσεις τοῖς κάτω δαίμοσιν.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλης μεμνήσομαί
σου." Τοιαῦτα ὀδυράμενος κατεφίλει τὸν βρόχον "σύ
μοι" λέγων "παραμυθία καὶ συνήγορος· διὰ σὲ
νικῶ· σύ με Καλλιρρόης μᾶλλον ἔστερξας." Ἀνα- 10
βαίνοντος αὐτοῦ καὶ τῷ αὐχένι περιάπτοντος ἐπέστη
Πολύχαρμος ὁ φίλος καὶ ὡς μεμηνότα κατεῖχε, λοι-
πὸν μηκέτι παρηγορεῖν δυνάμενος. Ἤδη δὲ καὶ ἡ
προθεσμία τῆς δίκης καθειστήκει.

ς

1 Ἐπεὶ δὲ ἔμελλε βασιλεὺς τῇ ὑστεραίᾳ δικάζειν πότερον Χαιρέου γυναῖκα Καλλιρρόην εἶναι δεῖ ἢ Διονυσίου, μετέωρος ἦν πᾶσα Βαβυλών, καὶ ἐν οἰκίαις τε πρὸς ἀλλήλους καὶ ἐν τοῖς στενωποῖς οἱ ἀπαντῶντες ἔλεγον "αὔριον τῆς Καλλιρρόης οἱ γά- 5
2 μοι. Τίς εὐτυχέστερος ἄρα;" Διέσχιστο δὲ ἡ πόλις, καὶ οἱ μὲν Χαιρέᾳ σπεύδοντες ἔλεγον "πρῶτος ἦν ἀνήρ, παρθένον ἔγημεν, ἐρῶσαν ἐρῶν· πατὴρ ἐξέδωκεν αὐτῷ, πατρὶς ἔθαψε· τοὺς γάμους οὐκ ἀπέλιπεν, ἀπελείφθη· Διονύσιος δὲ ἠγόρασεν, οὐκ 10
ἔγημεν· λῃσταὶ ἐπώλησαν· οὐκ ἐξὸν δὲ τὴν ἐλευ-
3 θέραν ἀγοράσαι." Οἱ δὲ Διονυσίῳ σπεύδοντες ἀντέλεγον πάλιν "ἐξήγαγε πειρατῶν παρ' οὐδὲν μέλλουσαν φονεύεσθαι· τάλαντον ἔδωκεν ὑπὲρ τῆς σωτηρίας αὐτῆς· πρῶτον ἔσωσεν, εἶτα ἔγημε· Χαιρέας 15
δὲ γήμας ἀπέκτεινε· μνημονεύειν ὀφείλει Καλλιρρόη τοῦ γάμου· χρηστὸν δὲ Διονυσίῳ πρόσεστιν εἰς τὸ
4 νικᾶν ὅτι καὶ τέκνον ἔχουσι κοινόν." Ταῦτα μὲν οὖν οἱ ἄνδρες· αἱ δὲ γυναῖκες οὐκ ἐρρητόρευον μόνον, ἀλλὰ καὶ συνεβούλευον ὡς παρούσῃ "Καλλιρρόῃ, μὴ 20
προῇς τὸν παρθένιον· ἑλοῦ τὸν πρῶτον φιλήσαντα, τὸν πολίτην, ἵνα καὶ τὸν πατέρα ἴδῃς· εἰ δὲ μή, ξήσεις ἐπὶ ξένης ὡς φυγάς·" αἱ δ' ἕτεραι "τὸν εὐεργέτην ἑλοῦ, τὸν σώσαντα, μὴ τὸν ἀποκτείναντα· τί δὲ ἂν πάλιν ὀργισθῇ Χαιρέας; Πάλιν τάφος. Μὴ προ- 25
δῷς τὸν υἱόν· τίμησον τὸν πατέρα τοῦ τέκνου." Τοιαῦτα διαλαλούντων ἦν ἀκούειν, ὥστε εἶπεν ἄν τις ὅλην Βαβυλῶνα εἶναι δικαστήριον.

6 Νὺξ ἐκείνη τελευταία πρὸ τῆς δίκης ἐφειστήκει·

κατέκειντο δὲ οἱ βασιλεῖς οὐχ ὁμοίους λαμβάνοντες λογισμούς, ἀλλὰ ἡ μὲν βασιλὶς ηὔχετο ἡμέραν γενέσθαι τάχιον, ἵνα ἀπόθηται τὴν παρακαταθήκην ὡς φορτίον· ἐβάρει γὰρ αὐτὴν τὸ κάλλος τῆς γυναικὸς ἀντισυγκρινόμενον ἐγγύς· ὑπώπτευε δὲ καὶ βασιλέως τὰς πυκνὰς εἰσόδους καὶ τὰς ἀκαίρους φιλοφροσύνας. Πρότερον μὲν γὰρ σπανίως εἰς τὴν γυναικωνῖτιν εἰσήει· ἀφ' οὗ δὲ Καλλιρρόην εἶχεν ἔνδον, συνεχῶς ἐφοίτα. Παρεφύλαττε δὲ αὐτὸν καὶ ἐν ταῖς ὁμιλίαις ἡσυχῇ Καλλιρρόην ὑποβλέποντα, καὶ τοὺς ὀφθαλμοὺς κλέπτοντας μὲν τὴν θέαν, αὐτομάτως δὲ ἐκεῖ φερομένους. Στάτειρα μὲν οὖν ἡδεῖαν ἡμέραν ἐξεδέχετο, βασιλεὺς δὲ οὐχ ὁμοίαν, ἀλλ' ἠγρύπνει δι' ὅλης [τῆς] νυκτὸς

ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, [ἄλλοτε δ' αὖτε ὕπτιος,] ἄλλοτε δὲ πρηνής,

ἐννοούμενος καθ' αὑτὸν καὶ λέγων "πάρεστιν ἡ κρίσις· ὁ γὰρ προπετὴς ἐγὼ σύντομον ἔδωκα προθεσμίαν. Τί οὖν μέλλομεν πράττειν ἔωθεν; ἄπεισι Καλλιρρόη λοιπὸν εἰς Μίλητον ἢ εἰς Συρακούσας. Ὀφθαλμοὶ δυστυχεῖς, μίαν ὥραν ἔχετε λοιπὸν ἀπολαῦσαι τοῦ καλλίστου θεάματος· εἶτα γενήσεται δοῦλος ἐμὸς εὐτυχέστερος ἐμοῦ. Σκέψαι τί σοι πρακτέον ἐστίν, ὦ ψυχή· κατὰ σαυτὴν γενοῦ· σύμβουλον οὐκ ἔχεις ἄλλον· ἔρωτος σύμβουλός ἐστιν αὐτὸς ὁ ἔρως. Πρῶτον οὖν ἀπόκριναι σεαυτῷ. Τίς εἶ; Καλλιρρόης ἐραστὴς ἢ δικαστής; μὴ ἐξαπάτα σεαυτόν. Ἀρνῇ μέν, ἀλλὰ ἐρᾷς· ἐλεγχθήσῃ δὲ μᾶλλον, ὅταν αὐτὴν μὴ βλέπῃς. Τί οὖν; σεαυτὸν θέλεις λυπεῖν; Ἥλιος προπάτωρ σὸς ἐξειλέ σοι τοῦτο τὸ ζῶον, κάλλιστον ὢν αὐτὸς ἐφορᾷ, σὺ δ' ἀπελαύνεις τὸ δῶρον τοῦ θεοῦ. Πάνυ γοῦν ἐμοὶ μέλει Χαιρέου καὶ Διονυσίου, δού-

λων ἐμῶν ἀδόξων, ἵνα βραβεύω τοὺς ἐκείνων γάμους καὶ ὁ μέγας βασιλεὺς ἔργον διαπράττωμαι προμνηστρίας γραῖδος. Ἀλλὰ ἔφθην ἀναδέξασθαι τὴν κρί-
12 σιν καὶ πάντες τοῦτ' ἴσασι. Μάλιστα δὲ Στάτειραν αἰδοῦμαι. Μήτε οὖν δημοσίευε τὸν ἔρωτα μήτε τὴν δίκην ἀπάρτιζε. Ἀρκεῖ σοι Καλλιρρόην κἂν βλέπειν· ὑπέρθου τὴν κρίσιν· τοῦτο γὰρ ἔξεστι καὶ ἰδιώτῃ δικαστῇ."

2 Ἡμέρας οὖν φανείσης οἱ μὲν ὑπηρέται τὸ βασιλικὸν ἡτοίμαζον δικαστήριον· τὸ δὲ πλῆθος συνέτρεχεν ἐπὶ τὰ βασίλεια, καὶ ἐδονεῖτο πᾶσα Βαβυλών. Ὥσπερ δὲ ἐν Ὀλυμπίοις τοὺς ἀθλητὰς ἔστι θεάσασθαι παραγινομένους ἐπὶ τὸ στάδιον μετὰ παραπομπῆς, οὕτω δὴ κἀκείνους. Τὸ μὲν δοκιμώτατον Περσῶν πλῆθος παρέπεμπε Διονύσιον, ὁ δὲ δῆμος Χαι-
2 ρέαν. Συνευχαὶ δὲ καὶ ἐπιβοήσεις μυρίαι τῶν σπευδόντων ἑκατέροις, ἐπευφημούντων "σὺ κρείττων, σὺ νικᾷς." Ἦν δὲ τὸ ἆθλον οὐ κότινος, οὐ μῆλα, οὐ πίτυς, ἀλλὰ κάλλος τὸ πρῶτον, ὑπὲρ οὗ δικαίως ἂν ἤρισαν καὶ θεοί. Βασιλεὺς δὲ καλέσας τὸν εὐνοῦχον Ἀρταξάτην, ὃς ἦν αὐτῷ μέγιστος, "ὅναρ μοι" φησὶν "ἐπιστάντες βασίλειοι θεοὶ θυσίαν ἀπαιτοῦσι καὶ δεῖ
3 με πρῶτον ἐκτελέσαι τὰ τῆς εὐσεβείας. Παράγγειλον οὖν τριάκοντα ἡμερῶν ἱερομηνίαν ἑορτάζειν πᾶσαν τὴν Ἀσίαν ἀφεμένην δικῶν τε καὶ πραγμάτων." Ὁ δὲ εὐνοῦχος τὸ προσταχθὲν ἀπήγγειλε, πάντα δὲ εὐ-
4 θὺς μεστὰ θυόντων ἐστεφανωμένων. Αὐλὸς ἦχει καὶ σύριγξ ἐκελάδει καὶ ᾄδοντος ἠκούετο μέλος· ἐθυμιᾶτο [τὰ] πρόθυρα, καὶ πᾶς στενωπὸς συμπόσιον ἦν, κνίσσῃ δ' οὐρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ, βασιλεὺς δὲ μεγαλοπρεπεῖς θυσίας παρέστησε τοῖς βωμοῖς. Τότε πρῶτον καὶ Ἔρωτι ἔθυσε καὶ πολλὰ

παρεκάλεσεν Ἀφροδίτην, ἵνα αὐτῷ βοηθῇ πρὸς τὸν υἱόν.

Πάντων δὲ ἐν θυμηδίαις ὄντων μόνοι τρεῖς ἐλυ- 5
ποῦντο, Καλλιρρόη, Διονύσιος καὶ πρὸ τούτων Χαι-
ρέας. Καλλιρρόη δὲ οὐκ ἐδύνατο λυπεῖσθαι φανε-
ρῶς ἐν τοῖς βασιλείοις, ἀλλ' ἡσυχῇ καὶ λανθάνουσα
ὑπέστενε καὶ τῇ ἑορτῇ κατηρᾶτο. Διονύσιος δ' ἑαυ-
τῷ, διότι Μίλητον κατέλιπε. "Φέρε" φησίν, "ὦ τλῆ-
μον, τὴν ἑκούσιον συμφοράν· ἑαυτῷ γὰρ αἴτιος
τούτων. Ἐξῆν σοι Καλλιρρόην ἔχειν καὶ Χαιρέου 6
ζῶντος. Σὺ ἧς ἐν Μιλήτῳ κύριος, καὶ οὐδὲ ἡ ἐπι-
στολὴ Καλλιρρόῃ τότε σοῦ μὴ θέλοντος ἐδόθη. Τίς
ἂν εἶδε; τίς ἂν προσῆλθε; φέρων δὲ σεαυτὸν εἰς μέ-
σους ἔρριψας τοὺς πολεμίους. Καὶ εἶθε σεαυτὸν μό- 7
νον· νῦν δὲ καὶ τὸ τῆς ψυχῆς σου τιμιώτερον κτῆμα.
Διὰ τοῦτο πανταχόθεν σοι πόλεμος κεκίνηται. Τί
δικάζῃ, ἀνόητε; Χαιρέαν ἀντίδικον ἔχεις· κατεσκεύα-
σας σεαυτῷ δεσπότην ἀντεραστήν. Νῦν βασιλεὺς καὶ
ὀνείρατα βλέπει, καὶ ἀπαιτοῦσιν αὐτὸν θυσίας οἷς
καθ' ἡμέραν θύει. Ὦ τῆς ἀναισχυντίας. Παρέλκει 8
τις τὴν κρίσιν, ἔνδον ἔχων ἀλλοτρίαν γυναῖκα, καὶ
ὁ τοιοῦτος εἶναι λέγει δικαστής." Τοιαῦτα μὲν ᾠδύ-
ρετο Διονύσιος, Χαιρέας δὲ οὐχ ἥπτετο τροφῆς, οὐδὲ
ὅλως ἤθελε ζῆν. Πολυχάρμου δὲ τοῦ φίλου κωλύον-
τος αὐτὸν ἀποκαρτερεῖν "σύ μοι πάντων" εἶπε "πο-
λεμιώτατος ὑπάρχεις φίλου σχήματι· βασανιζόμενον
γάρ με κατέχεις καὶ ἡδέως κολαζόμενον ὁρᾷς. Εἰ δὲ 9
φίλος ἦς, οὐκ ἂν ἐφθόνεις μοι τῆς ἐλευθερίας ὑπὸ
δαίμονος κακοῦ τυραννουμένῳ. Πόσους μου καιροὺς
εὐτυχίας ἀπολώλεκας; μακάριος ἦν, εἰ ἐν Συρακού-
σαις θαπτομένῃ Καλλιρρόῃ συνετάφην· ἀλλὰ καὶ
τότε σύ με βουλόμενον ἀποθανεῖν ἐκώλυσας καὶ

ἀφείλου καλῆς συνοδίας· τάχα γὰρ οὐκ ἂν ἐξῆλθε
10 τοῦ τάφου καταλιποῦσα τὸν νεκρόν. Εἰ δ' οὖν ἐκείμην ταύτην μετὰ ταῦτα κερδήσας, τὴν πρᾶσιν, τὸ ληστήριον, τὰ δεσμά, τὸν τοῦ σταυροῦ χαλεπώτερον βασιλέα. Ὦ θανάτου καλοῦ, μεθ' ὃν ἥκουσα τὸν δεύ- 5
τερον Καλλιρρόης γάμον. Οἷον πάλιν καιρὸν ἀπώλεσάς μου τῆς ἀποκαρτερήσεως, τὸν μετὰ τὴν δίκην.
11 Ἰδὼν Καλλιρρόην οὐ προσῆλθον, οὐ κατεφίλησα. Ὦ καινοῦ καὶ ἀπίστου πράγματος· κρίνεται Χαιρέας εἰ Καλλιρρόης ἀνήρ ἐστιν. Ἀλλ' οὐδὲ τὴν ὁποιανδή- 10
ποτε κρίσιν ὁ βάσκανος δαίμων ἐπιτρέπει τελεσθῆναι. Καὶ ὅναρ καὶ ὕπαρ οἱ θεοί με μισοῦσι." Ταῦτα λέγων ὥρμησεν ἐπὶ ξίφος, κατέσχε δὲ τὴν χεῖρα Πολύχαρμος καὶ μονονουχὶ δήσας παρεφύλαττεν αὐτόν.
3 Βασιλεὺς δὲ καλέσας τὸν εὐνοῦχον, ὃς ἦν αὐτῷ 15
πιστότατος ἁπάντων, τὸ μὲν πρῶτον ᾐδεῖτο κἀκεῖνον· ἰδὼν δὲ αὐτὸν Ἀρταξάτης ἐρυθήματος μεστὸν καὶ βουλόμενον εἰπεῖν "τί κρύπτεις" ἔφη "δέσποτα, δοῦλον σόν, εὔνουν σοι καὶ σιωπᾶν δυνάμενον; τί τηλικοῦτον συμβέβηκε δεινόν; ὡς ἀγωνιῶ μή τινα 20
ἐπιβουλὴν * * εἶπε βασιλεὺς "καὶ μεγίστην, ἀλλ' οὐχ
2 ὑπ' ἀνθρώπων, ἀλλ' ὑπὸ θεοῦ. Τίς γάρ ἐστιν Ἔρως πρότερον ἤκουον ἐν μύθοις τε καὶ ποιήμασιν, ὅτι κρατεῖ πάντων τῶν θεῶν καὶ αὐτοῦ τοῦ Διός· ἠπίστουν δὲ ὅμως ὅτι δύναταί τις παρ' ἐμοὶ ἐμοῦ γενέ- 25
σθαι δυνατώτερος. Ἀλλὰ πάρεστιν ὁ θεός· ἐνδεδήμηκεν εἰς τὴν ἐμὴν ψυχὴν πολὺς καὶ σφοδρός· ἐρῶ ..... [δει]νὸν μὲν ὁμολογεῖν, ἀληθῶς δὲ ἑάλωκα."
3 Ταῦτα ἅμα λέγων ἐνεπλήσθη δακρύων, ὥστε μηκέτι [μηδὲν] δύνασθαι προσθεῖναι τοῖς λόγοις· ἀποσιω- 30
πήσαντος δὲ εὐθὺς μὲν Ἀρταξάτης ἠπίστατο πόθεν ἐτρώθη· οὐδὲ γὰρ πρό[τερον] ἀνύποπτος ἦν, ἀλλ'

ἠσθάνετο μὲν τυφομένου τοῦ πυρός, ἔτι γε μὴν οὐδὲ ἀμφίβολον ἦν οὐδὲ ἄδηλον ὅτι Καλλιρρόης παρούσης οὐκ ἂν ἄλλου τινὸς ἠράσθη· προσεποιεῖτο [δ'] ὅμως ἀγνοεῖν καὶ "ποῖον" ἔφη "κάλλος δύναται τῆς σῆς κρατῆσαι, δέσποτα, ψυχῆς, ᾧ τὰ καλὰ πάντα δουλεύει; χρυσός, ἄργυρος, ἐσθής, ἵπποι, πόλεις, ἔθνη, καλαὶ μὲν μυρί[αι] γυναῖκες, ἀλλὰ καὶ Στάτειρα καλλίστη τῶν ὑπὸ τὸν ἥλιον, ἧς ἀπολαύεις μόνος. Ἐξουσία δὲ ἔρωτα καταλύει, πλὴν εἰ μή τις ἐξ οὐρανοῦ καταβέβηκε τῶν ἄνωθεν ἢ ἐκ θαλάττης ἀναβέβηκεν ἄλλη Θέτις. Πιστεύω γὰρ ὅτι καὶ θεοὶ τῆς σῆς ἐρῶσι συνουσίας." Ἀπεκρίνατο βασιλεὺς "τοῦτ' ἴσως ἀληθές ἐστιν, ὃ λέγεις, ὅτι θεῶν τίς ἐστιν ἥδε ἡ γυνή· οὐδὲ γὰρ ἀνθρώπινον τὸ κάλλος· πλὴν οὐχ ὁμόλογα. Προσποιεῖται δὲ Ἑλληνὶς εἶναι Συρακουσία. Καὶ τοῦτο δὲ τῆς ἀπάτης ἐστὶ σημεῖον. Ἐλεγχθῆναι γὰρ οὐ βούλεται πόλιν εἰποῦσα μίαν τῶν ὑφ' ἡμᾶς, ἀλλ' ὑπὲρ τὸν Ἰόνιον καὶ τὴν πολλὴν θάλασσαν τὸν περὶ αὐτῆς μῦθον ἐκπέμπει. Προφάσει δὲ δίκης ἦλθεν ἐπ' ἐμὲ καὶ ὅλον τὸ δρᾶμα τοῦτο ἐκείνη κατεσκεύασε. Θαυμάζω δέ σε πῶς ἐ[τ]ό[λ]μησας Στάτειραν λέγειν καλλίστην ἁπασῶν, Καλλιρρόην βλέπων. Σκεπτέον οὖν πῶς ἂν ἀπαλλαγείην τῆς ἀνίας. Ζήτει παντοχόθεν εἴ τι ἄρα δυνατόν ἐστιν εὑρεῖν φάρμακον." "Εὕρηται" φησὶ "φάρμακον, βασιλεῦ. Καὶ παρ' Ἕλλησι καὶ βαρβάροις τοῦτο, ὅπερ ζητεῖς. Φάρμακον γὰρ ἕτερον Ἔρωτος οὐδέν ἐστι πλὴν αὐτὸς ὁ ἐρώμενος· τοῦτο δὲ ἄρα καὶ τὸ ᾀδόμενον λόγιον ἦν ὅτι ὁ τρώσας αὐτὸς ἰάσεται." Κατηδέσθη βασιλεὺς τὸν λόγον καὶ "μὴ σύ γε" ἔφη "τοιοῦτο μηδὲν εἴπῃς, ἵνα γυναῖκα ἀλλοτρίαν διαφθείρω. Μέμνημαι νόμων, οὓς αὐτὸς ἔθηκα, δικαιοσύνης, ἣν ἐν ἅπασιν ἀσκῶ. Μηδεμίαν μου κα-

ταγνῶς ἀκρασίαν. Οὐχ οὕτως ἐαλώκαμεν." Δείσας Ἀρταξάτης ὡς εἰπών τι προπετές, μετέβαλε τὸν λόγον εἰς ἔπαινον. "Σεμνῶς" ἔφη "διανοῇ, βασιλεῦ. Μὴ τὴν ὁμοίαν τοῖς ἄλλοις ἀνθρώποις θεραπείαν τῷ Ἔρωτι προσαγάγῃς, ἀλλὰ τὴν κρείττονα καὶ βασιλικήν, ἀνταγωνιζόμενος σεαυτῷ· δύνασαι γάρ, ὦ δέ-
9 σποτα, σὺ μόνος κρατεῖν καὶ θεοῦ. Ἄπαγε δὲ τὴν σεαυτοῦ ψυχὴν εἰς πάσας ἡδονάς. Μάλιστα δὲ κυνηγεσίοις ἐξαιρέτως χαίρεις. Οἶδα γάρ σε ὑφ' ἡδονῆς διημερεύοντα ἄβρωτον, ἄποτον. Ἐν θήρᾳ δ' ἐνδιατρίβειν, ἢ τοῖς βασιλείοις καὶ ἐγγὺς εἶναι τοῦ πυρός."

4 Ταῦτα ἤρεσε καὶ θήρα κατηγγέλλετο μεγαλοπρεπής. Ἐξήλαυνον ἱππεῖς κεκοσμημένοι καὶ Περσῶν οἱ ἄριστοι καὶ τῆς ἄλλης στρατιᾶς τὸ ἐπίλεκτον. Πάντων δὲ ὄντων ἀξιοθεάτων διαπρεπέστατος ἦν [ἐν]
2 αὐτοῖς βασιλεύς. Καθῆστο γὰρ ἵππῳ Νισαίῳ καλλίστῳ καὶ μεγίστῳ χρύσεον ἔχοντι χαλινόν, χρύσεα δὲ φάλαρα καὶ προμετωπίδια καὶ προστερνίδια· πορφύραν δὲ ἠμφίεστο Τυρίαν (τὸ δὲ ὕφασμα Βαβυλώνιον) καὶ τιάραν ὑακινθινοβαφῆ· χρύσεον δὲ ἀκινάκην ὑπεζωσμένος δύο ἄκοντας ἐκράτει, καὶ φαρέτρα καὶ τόξον αὐτῷ παρήρτητο, Σηρῶν ἔργον πολυτελέ-
3 στατον. Καθῆστο δὲ σοβαρός· ἔστι γὰρ ἴδιον ἔρωτος τὸ φιλόκοσμον· ἤθελε δὲ μέσος ὑπὸ Καλλιρρόης ὁραθῆναι, καὶ διὰ τῆς πόλεως ἁπάσης ἐξιὼν περιέβλεπεν εἴ που κἀκείνη θεᾶται τὴν πομπήν. Ταχέως δὲ ἐνεπλήσθη τὰ ὄρη βοώντων, θεόντων, κυνῶν ὑλασσόντων, ἵππων χρεμετιζόντων, θηρῶν ἐλαυνομένων.
4 Ἡ σπουδὴ καὶ ὁ θόρυβος ἐκεῖνος καὶ αὐτὸν ἐξέστησεν ἂν τὸν Ἔρωτα· τέρψις γὰρ ἦν μετ' ἀγωνίας καὶ χαρὰ μετὰ φόβου καὶ κίνδυνος ἡδύς. Ἀλλὰ βασιλεὺς οὔτε

ἵππον ἔβλεπε, τοσούτων αὐτῷ παραθεόντων, οὔτε θηρίον, τοσούτων διωκομένων, οὔτε κυνὸς ἤκουε, τοσούτων ὑλακτούντων, οὔτε ἀνθρώπων, πάντων βοώντων. Ἔβλεπε δὲ Καλλιρρόην μόνην τὴν μὴ παρ- 5
5 οῦσαν, καὶ ἤκουεν ἐκείνης τῆς μὴ λαλούσης. Συνεξῆλθε γὰρ ἐπὶ τὴν θήραν ὁ Ἔρως αὐτῷ, καί, ἅτε δὴ φιλόνεικος θεός, ἀντιταττόμενον ἰδὼν καὶ βεβουλευμένον, ὡς ᾤετο, καλῶς, εἰς τοὐναντίον τὴν τέχνην περιέτρεψεν αὐτῷ καὶ δι' αὐτῆς τῆς θεραπείας ἐξέ-
10 καυσε τὴν ψυχήν, ἔνδον παρὼν καὶ λέγων "οἷον ἦν ἐνθάδε Καλλιρρόην ἰδεῖν, κνήμας ἀνεζωσμένην καὶ βραχίονας γεγυμνωμένην, πρόσωπον ἐρυθήματος, στῆθος ἄσθματος πλῆρες. Ἀληθῶς 6

οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα,
15 ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον,
τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι."

Ταῦτ' ἀναξωγραφῶν καὶ ἀναπλάττων ἐξεκάετο σφόδρα. * * * * * * * * * * * * * *

Ταῦτα λέγοντος Ἀρταξάτης ὑπολαβὼν "ἐπιλέλησαι" 7
20 φησί, "δέσποτα, τῶν γεγονότων· Καλλιρρόῃ γὰρ ἄνδρα οὐκ ἔχει, μένει δὲ τὴν κρίσιν, τίνι ὀφείλει γαμηθῆναι. Μέμνησο οὖν ὅτι χήρας ἐρᾷς· καὶ μήτε τοὺς νόμους αἰδοῦ, κεῖνται γὰρ ἐπὶ τοῖς γάμοις, μήτε μοιχείαν, δεῖ γὰρ πρῶτον εἶναι ἄνδρα τὸν ἀδικούμε-
25 νον, εἶτα τὸν ἀδικοῦντα μοιχόν." Ἤρεσεν ὁ λόγος 8
βασιλεῖ, πρὸς ἡδονὴν γὰρ ἦν, καὶ προσλαβόμενος ὑπὸ χεῖρα τὸν εὐνοῦχον κατεφίλησε καὶ "δικαίως ἄρα σε ἐγὼ" ἔφη "πάντων προτιμῶ· σὺ γὰρ εὐνούστατος καὶ φύλαξ ἀγαθὸς ἐμοί. Ἄπιθι δὲ καὶ Καλλιρρόην

---

1 ante αὐτῷ : ἱππέων

ἄγε. Δύο δέ σοι προστάσσω, μὴ ἄκουσαν, μήτε φανερῶς· θέλω γάρ σε καὶ πεῖσαι καὶ λαθεῖν."

9 Εὐθὺς οὖν ἀνακλητικὸν τῆς θήρας σύνθημα διεδόθη καὶ πάντες ἀνέστρεφον· βασιλεὺς δὲ ἀνηρτημένος ταῖς ἐλπίσιν εἰσήλαυνεν εἰς τὰ βασίλεια χαίρων ὡς τὸ κάλλιστον θήραμα θηράσας. Καὶ Ἀρταξάτης δὲ ἔχαιρε νομίζων πρὸς ὑπηρεσίαν ὑπεσχῆσθαι, βραβεύσειν δὲ λοιπὸν ἅρμα βασιλικόν, χάριν εἰδότων ἀμφοτέρων αὐτῷ, Καλλιρρόης δὲ μᾶλλον· ἐπίστευε γὰρ τὴν πρᾶξιν ῥᾳδίαν, ὡς εὐνοῦχος, ὡς δοῦλος, ὡς βάρβαρος. Οὐκ ᾔδει δὲ φρόνημα Ἑλληνικὸν εὐγενὲς καὶ μάλιστα τὸ Καλλιρρόης τῆς σώφρονος καὶ φιλάνδρου.

5 Καιρὸν οὖν ἐπιτηρήσας ἦκε πρὸς αὐτὴν καὶ μόνης λαβόμενος "μεγάλων" εἶπεν "ἀγαθῶν, ὦ γύναι, θησαυρόν σοι κεκόμικα· σὺ δὲ μνημόνευέ μου τῆς εὐεργεσίας· εὐχάριστον γὰρ εἶναί σε πιστεύω." Πρὸς τὴν ἀρχὴν τοῦ λόγου Καλλιρρόη περιχαρὴς ἐγένετο· φύσει γὰρ ἄνθρωπος, ὃ βούλεται, τοῦτο καὶ οἴεται.

2 Τάχ' οὖν ἔδοξεν ἀποδίδοσθαι Χαιρέᾳ καὶ ἔσπευδε τοῦτο ἀκοῦσαι, τῶν εὐαγγελίων ἀμείψεσθαι τὸν εὐνοῦχον ὑπισχνουμένη. Πάλιν δὲ ἐκεῖνος ἀναλαβὼν ἀπὸ προοιμίων ἤρξατο "σύ, γύναι, κάλλος μὲν θεῖον ηὐτύχησας, μέγα δέ τι ἀπ' αὐτοῦ καὶ σεμνὸν οὐκ

3 ἐκαρπώσω. Τὸ διὰ γῆς πάσης ἔνδοξον καὶ περιβόητον ὄνομα μέχρι σήμερον οὐχ εὗρεν οὔτε ἄνδρα κατ' ἀξίαν οὔτ' ἐραστήν, ἀλλ' ἐνέπεσεν εἰς δύο, νησιώτην

4 πένητα, καὶ ἕτερον, δοῦλον βασιλέως. Τί σοι γέγονεν ἐκ τούτων μέγα καὶ λαμπρόν; ποίαν χώραν ἔχεις εὔφορον; ποῖον κόσμον πολυτελῆ; τίνων πόλεων ἄρχεις; πόσοι δοῦλοί σε προσκυνοῦσι; γυναῖκες Βαβυλώνιαι θεραπαινίδας ἔχουσι πλουσιωτέρας σου.

Πλὴν οὐκ ἠμελήθης εἰς πάντα, ἀλλὰ κήδονταί σου θεοί. Διὰ τοῦτό σε ἐνθάδε ἤγαγον, πρόφασιν εὑρόν- 5
τες τὴν δίκην, ἵνα σε ὁ μέγας βασιλεὺς θεάσηται. Καὶ τοῦτο πρῶτον εὐαγγέλιον ἔχεις· ἡδέως σε εἶδε.
5 Κἀγὼ δὲ αὐτὸν ἀναμιμνήσκω καὶ ἐπαινῶ σε παρ' ἐκείνῳ." Τοῦτο δὲ προσέθηκεν· εἴωθε γὰρ πᾶς δοῦ-
λος, ὅταν διαλέγηταί τινι περὶ τοῦ δεσπότου, καὶ ἑαυ-
τὸν συνιστᾶν, ἴδιον ἐκ τῆς ὁμιλίας μνώμενος κέρδος. Καλλιρρόη δὲ εὐθὺς τὴν καρδίαν ἐπλήγη ὥσπερ ὑπὸ 6
10 ξίφους τοῦ λόγου· προσεποιεῖτο δὲ μὴ συνιέναι καὶ "θεοὶ" φησὶν "ἴλεῳ βασιλεῖ διαμένοιεν, σοὶ δὲ ἐκεῖ-
νος, ὅτι ἐλεεῖτε γυναῖκα δυστυχῆ. Δέομαι, θᾶττον ἀπαλλαξάτω με τῆς φροντίδος, ἀπαρτίσας τὴν κρίσιν, ἵνα μηκέτι ἐνοχλῶ μηδὲ τῇ βασιλίδι." Δόξας δὲ ὁ εὐ-
15 νοῦχος, ὅτι ἀσαφῶς εἴρηκεν ὃ ἤθελε καὶ οὐ νενόηκεν ἡ γυνή, φανερώτερον ἤρξατο λέγειν. "Αὐτὸ τοῦτο 7
ηὐτύχηκας, ὅτι οὐκέτι δούλους καὶ πένητας ἔχεις ἐρα-
στὰς ἀλλὰ τὸν μέγαν βασιλέα, τὸν δυνάμενόν σοι Μί-
λητον αὐτὴν καὶ ὅλην Ἰωνίαν καὶ Σικελίαν καὶ ἄλλα
20 ἔθνη μείζονα χαρίσασθαι. Θῦε δὲ τοῖς θεοῖς καὶ μα-
κάριζε σεαυτήν, καὶ βλέπε ὅπως ἀρέσεις μᾶλλον αὐτῷ, καὶ ὅταν πλουτήσῃς ἐμοῦ μνημόνευε." Καλλιρρόη μὲν 8
τὸ μὲν πρῶτον ὥρμησεν, εἰ δυνατόν, καὶ τοὺς ὀφθαλ-
μοὺς ἐξορύξαι τοῦ διαφθείροντος αὐτήν, οἷα δὲ γυνὴ
25 πεπαιδευμένη καὶ φρενήρης ταχέως λογισαμένη καὶ τὸν τόπον καὶ τίς ἐστιν αὐτὴ καὶ τίς ὁ λέγων, τὴν
ὀργὴν μετέβαλε καὶ κατειρωνεύσατο λοιπὸν τοῦ βαρ-
βάρου. "Μὴ γὰρ οὕτω" φησὶ "μαινοίμην, ἵνα ἐμαυ- 9
τὴν ἀξίαν εἶναι πεισθῶ τοῦ μεγάλου βασιλέως. Εἰμὶ
30 δὲ θεραπαινίσιν ὁμοία Περσίδων γυναικῶν. Μὴ σύ, δέομαί σου, μνημονεύσῃς ἔτι περὶ ἐμοῦ πρὸς τὸν δε-
σπότην. Καὶ γὰρ ἂν ἐν τῷ παραυτίκα μηδὲν ὀργισθῇ,

μετὰ ταῦτά σοι χαλεπανεῖ, λογισάμενος ὅτι τὸν γῆς ἁπάσης κύριον ὑπέρριψας Διονυσίου δούλῃ. Θαυμάζω δὲ πῶς συνετώτατος ὑπάρχων ἀγνοεῖς τὴν βασιλέως φιλανθρωπίαν, ὅτι οὐκ ἐρᾷ δυστυχοῦς γυναικὸς ἀλλὰ ἐλεεῖ. Παυσώμεθα τοίνυν λαλοῦντες, μὴ καὶ τῇ βασιλίδι τις ἡμᾶς διαβάλῃ." Καὶ ἡ μὲν ἀπέδραμεν, ἔστη δὲ ὁ εὐνοῦχος ἀχανής· οἷα γὰρ ἐν μεγάλῃ τυραννίδι τεθραμμένος οὐδὲν ἀδύνατον ὑπελάμβανεν, οὐ βασιλεῖ μόνον, ἀλλὰ οὐδ' ἑαυτῷ.

6 Καταλειφθεὶς οὖν καὶ μηδὲ ἀποκρίσεως καταξιωθεὶς ἀπηλλάττετο μυρίων παθῶν μεστός, ὀργιζόμενος μὲν Καλλιρρόῃ, λυπούμενος δὲ ἐφ' ἑαυτῷ, φοβούμενος δὲ βασιλέα· τάχα γὰρ οὐδὲ πιστεύσειν αὐτὸν ὅτι ἀτυχῶς μέν, ἀλλὰ διελέχθη· δόξει δὲ καταπροδι-
2 δόναι τὴν ὑπηρεσίαν χαριζόμενος τῇ βασιλίδι. Ἐδεδοίκει δὲ μὴ καὶ πρὸς ἐκείνην Καλλιρρόη κατείπῃ τοὺς λόγους. Στάτειραν δὲ βαρυθυμοῦσαν μέγα τι βουλεύσειν αὐτῷ κακὸν ὡς οὐχ ὑπηρετοῦντι μόνον ἀλλὰ καὶ κατασκευάζοντι τὸν ἔρωτα. Καὶ ὁ μὲν εὐνοῦχος ἐσκέπτετο πῶς ἂν ἀσφαλῶς ἀπαγγείλῃ βασιλεῖ περὶ τῶν γεγονότων· Καλλιρρόη δὲ καθ' ἑαυτὴν γενο-
3 μένη ταῦτα φησὶν " ἐγὼ προυμαντευόμην. Ἔχω σε μάρτυν, Εὐφρᾶτα. Προεῖπον ὅτι οὐκέτι σε διαβήσομαι. Ἔρρωσο, πάτερ, καὶ σύ, μῆτερ, καὶ Συρακοῦσαι πατρίς· οὐκέτι γὰρ ὑμᾶς ὄψομαι. Νῦν ὡς ἀληθῶς Καλλιρρόη τέθνηκεν. Ἐκ τοῦ τάφου μὲν ἐξῆλθον, οὐκ ἐξάξει δέ με ἐντεῦθεν λοιπὸν οὐδὲ Θήρων ὁ λῃστής. Ὦ κάλλος ἐπίβουλον, σύ μοι πάντων κακῶν αἴτιον. Διὰ σὲ ἀνῃρέθην, διὰ σὲ ἐπράθην, διὰ σὲ ἔγημα μετὰ Χαιρέαν, διὰ σὲ εἰς Βαβυλῶνα ἦχθην, διὰ σὲ παρέστην δικαστηρίῳ. Πόσοις με παρέδωκας; λῃσταῖς, θαλάττῃ, τάφῳ, δουλείᾳ, κρίσει. Πάντων

δέ μοι βαρύτατος ὁ ἔρως ὁ βασιλέως. Καὶ οὔπω λέγω 5
τὴν βασιλέως ὀργήν· φοβερωτέραν ἡγοῦμαι τὴν τῆς
βασιλίδος ζηλοτυπίαν, ἣν οὐκ ἤνεγκε Χαιρέας, ἀνὴρ
Ἕλλην. Τί ποιήσει γυνὴ καὶ δέσποινα βάρβαρος;
ἄγε δή, Καλλιρρόη, βούλευσαί τι γενναῖον, Ἑρμο-
κράτους ἄξιον· ἀπόσφαξον σεαυτήν. Ἀλλὰ μήπω·
μέχρι γὰρ νῦν ὁμιλία πρώτη καὶ παρ' εὐνούχου· ἂν
δὲ βιαιότερόν τι γένηται, τότε ἐστί σοι καιρὸς ἐπιδεῖ-
ξαι Χαιρέᾳ παρόντι τὴν πίστιν."

Ὁ δ' εὐνοῦχος ἐλθὼν πρὸς βασιλέα τὴν μὲν 6
ἀλήθειαν ἀπέκρυπτε τῶν γεγονότων, ἀσχολίαν δὲ
ἐσκήπτετο καὶ τήρησιν ἀκριβῆ τῆς βασιλίδος, ὥστε
μηδὲ δύνασθαι τῇ Καλλιρρόῃ προσελθεῖν· "σὺ δὲ
ἐκέλευσάς μοι, δέσποτα, προνοεῖσθαι τοῦ λαθεῖν.
Ὀρθῶς δὲ προσέταξας· ἀνείληφας γὰρ τὸ σεμνότατον 7
πρόσωπον τοῦ δικαστοῦ καὶ θέλεις παρὰ Πέρσαις εὐ-
δοκιμεῖν. Διὰ τοῦτό σε πάντες ὑμνοῦσιν. Ἕλληνες
δέ εἰσι μικραίτιοι καὶ λάλοι. Περιβόητον αὐτοὶ ποιή-
σουσι τὴν πρᾶξιν, Καλλιρρόη μὲν ὑπ' ἀλαζονείας ὅτι
αὐτῆς βασιλεὺς ἐρᾷ, Διονύσιος δὲ καὶ Χαιρέας ὑπὸ
ζηλοτυπίας. Οὐκ ἔστι δὲ ἄξιον οὐδὲ τὴν βασιλίδα λυ- 8
πῆσαι, ἣν εὐμορφοτέραν ἐποίησεν ἡ δίκη δόξαι."
Ταύτ[ην] δ[ὲ] παρέμιγε τὴν παλινῳδίαν, εἴ πως
ἀποστρέψαι δύναιτο βασιλέα τοῦ ἔρωτος, καὶ ἑαυ-
τὸν ἐλευθερῶσαι διακονίας δυσχερούς.

Παραυτίκα μὲν οὖν ἔπεισε, πάλιν δὲ νυκτὸς γε- 7
νομένης ἀνεκάετο καὶ ὁ ἔρως αὐτὸν ἀνεμίμνησκεν
οἵους μὲν ὀφθαλμοὺς ἔχει Καλλιρρόη, πῶς δὲ καλὸν
τὸ πρόσωπον. Τὰς τρίχας ἐπῄνει, τὸ βάδισμα, τὴν
φωνήν· οἷα μὲν εἰσῆλθεν εἰς τὸ δικαστήριον, οἷα δὲ
ἔστη, πῶς ἐλάλησε, πῶς ἐσίγησε, πῶς ἤδετο, πῶς
ἔκλαυσε. Διαγρυπνήσας δὲ τὸ πλεῖστον μέρος καὶ το- 2

σοῦτον καταδραθών, ὅσον καὶ ἐν τοῖς ὕπνοις Καλλιρρόην ἰδεῖν, ἔωθεν καλέσας τὸν εὐνοῦχον "ἄπιθι" φησὶ "καὶ παραφύλαττε δι' ὅλης τῆς ἡμέρας· πάντως γὰρ καιρὸν εὑρήσεις κἂν βραχύτατον ὁμιλίας λανθανούσης. Εἰ γὰρ ἤθελον φανερῶς καὶ βίᾳ περιγενέ- 5
3 σθαι τῆς ἐπιθυμίας, εἶχον δορυφόρους." Προσκυνήσας ὁ εὐνοῦχος ὑπέσχετο· οὐδενὶ γὰρ ἔξεστιν ἀντειπεῖν βασιλέως κελεύοντος. Εἰδὼς δὲ ὅτι Καλλιρρόη καιρὸν οὐ δώσει, διακρούσεται δὲ τὴν ὁμιλίαν ἐξεπίτηδες συνοῦσα τῇ βασιλίδι, τοῦτο θεραπεῦσαι 10
θέλων ἔτρεψε τὴν αἰτίαν οὐκ εἰς τὴν φυλαττομένην
4 ἀλλ' εἰς τὴν φυλάττουσαν. "Κἂν σοι δοκῇ" φησίν, "ὦ δέσποτα, μετάπεμψαι Στάτειραν, ὡς ἰδιολογήσασθαί τι βουλόμενος πρὸς αὐτήν· ἐμοὶ γὰρ ἡ ἐκείνης ἀπουσία Καλλιρρόης ἐξουσίαν δώσει." "Ποίησον 15
οὕτως" εἶπε βασιλεύς.

5 Ἐλθὼν δὲ Ἀρταξάτης καὶ προσκυνήσας τὴν βασιλίδα "καλεῖ σε" φησίν, "ὦ δέσποινα, ὁ ἀνήρ." Ἀκούσασα ἡ Στάτειρα προσεκύνησε καὶ μετὰ σπουδῆς ἀπῄει πρὸς αὐτόν. Ὁ δὲ εὐνοῦχος ἰδὼν τὴν Καλλιρ- 20
ρόην μόνην ἀπολελειμμένην, ἐμβαλὼν τὴν δεξιάν,
6 ὡς δή τις φιλέλλην καὶ φιλάνθρωπος, ἀπήγαγε τοῦ πλήθους τῶν θεραπαινίδων. Ἡ δὲ ἠπίστατο μὲν καὶ εὐθὺς ὠχρά τε ἦν καὶ ἄφωνος, ἠκολούθει δ' ὅμως. Ἐπεὶ δὲ κατέστησαν μόνοι, λέγει πρὸς αὐτὴν "ἑώ- 25
ρακας τὴν βασιλίδα πῶς ἀκούσασα τὸ βασιλέως ὄνομα προσεκύνησε καὶ τρέχουσα ἄπεισι· σὺ δέ, ἡ δούλη, τὴν εὐτυχίαν οὐ φέρεις, οὐδ' ἀγαπᾷς ὅτι σε παρακα-
7 λεῖ κελεῦσαι δυνάμενος. Ἀλλ' ἐγὼ (τιμῶ γάρ σε) πρὸς ἐκεῖνον οὐ κατ[ηγόρευ]σα τὴν μανίαν τὴν σήν, 30
τοὐναντίον δέ, ὑπεσχόμην ὑπὲρ σοῦ. Πάρεισιν οὖν σοι δύο ὁδοί. Ὁποτέραν βούλει τρέπεσθαι; μηνύσω

δὲ ἀμφοτέρας· πεισθεῖσα μὲν βασιλεῖ δῶρα λήψῃ τὰ κάλλιστα καὶ ἄνδρα, ὃν θέλεις· οὐ δήπου γάρ σε αὐτὸς μέλλει γαμεῖν ἀλλὰ πρὸς καιρὸν αὐτῷ χάριν δώσεις· ἢν δὲ μὴ πεισθῇς, ἀκούεις ἃ πάσχουσιν οἱ βασιλέως ἐχθροί, μόνοις γὰρ τούτοις οὐδὲ ἀποθανεῖν θέλουσιν ἔξεστι." Κατεγέλασε Καλλιρρόη τῆς ἀπειλῆς καὶ ἔφη "οὐ νῦν πρῶτον πείσομαί τι δεινόν· ἔμπειρός εἰμι τοῦ δυστυχεῖν. Τί με δύναται βασιλεὺς ὢν πέπονθα διαθεῖναι χαλεπώτερον; ξῶσα κατεχώσθην· παντὸς δεσμωτηρίου τάφος ἐστὶ στενώτερος. Λῃστῶν χερσὶ παρεδόθην." Ἄρτι τὸ μέγιστον τῶν κακῶν πάσχω· παρόντα Χαιρέαν οὐ βλέπω." Τοῦτο τὸ ῥῆμα προύδωκεν αὐτήν· ὁ γὰρ εὐνοῦχος δεινὸς ὢν τὴν φύσιν ἐνόησεν ὅτι ἐρᾷ. "Ὦ" φησὶ "πασῶν ἀνοητοτάτη γυναικῶν, βασιλέως τὸν Μιθριδάτου δοῦλον προτιμᾷς;" Ἠγανάκτησε Καλλιρρόη Χαιρέου λοιδορηθέντος καὶ "εὐφήμησον" εἶπεν, "ἄνθρωπε. Χαιρέας εὐγενής ἐστι, πόλεως πρῶτος, ἣν οὐκ ἐνίκησαν οὐδὲ Ἀθηναῖοι οἱ ἐν Μαραθῶνι καὶ Σαλαμῖνι νικήσαντες τὸν μέγαν σου βασιλέα." Ταῦτα ἅμα λέγουσα δακρύων πηγὰς ἀφῆκεν· ὁ δὲ εὐνοῦχος ἐπέθετο μᾶλλον καὶ "σεαυτῇ" φησὶ "τῆς βραδυτῆτος αἰτία γίνῃ. Πῶς οὖν εὐμενῆ τὸν δικαστὴν ἕξεις; ἢ σχεῖν κάλλιον, ἵνα καὶ τὸν ἄνδρα κομίσῃ. Τάχα μὲν οὐδ' [ἂν] Χαιρέας γνοίη τὸ πραχθέν, ἀλλὰ καὶ γνοὺς οὐ ζηλοτυπήσει τὸν κρείττονα· δόξει δέ σε τιμιωτέραν, ὡς ἀρέσασαν βασιλεῖ." Τοῦτο δὲ προσέθηκεν οὐχὶ δι' ἐκείνην ἀλλὰ καὶ αὐτὸς οὕτω φρονῶν· καταπεπλήγασι γὰρ πάντες οἱ βάρβαροι καὶ θεὸν φανερὸν νομίζουσι βασιλέα. Καλλιρρόη δὲ καὶ αὐτοῦ τοῦ Διὸς οὐκ ἂν ἠσπάσατο γάμους, οὐδὲ ἀθανασίαν προυτίμησεν ἂν ἡμέρας μιᾶς τῆς μετὰ Χαιρέου. Μηδὲν 8 9 10 11 12 13

οὖν ἀνύσαι δυνάμενος ὁ εὐνοῦχος "δίδωμί σοι" φησίν, "ὦ γύναι, σκέψεως καιρόν. Σκέπτου δὲ μὴ περὶ σεαυτῆς μόνης, ἀλλὰ καὶ Χαιρέου κινδυνεύοντος ἀπολέσθαι τὸν οἰκτιστον μόρον· οὐ γὰρ ἀνέξεται βασιλεὺς ἐν ἔρωτι παρευδοκιμούμενος." Κἀκεῖνος μὲν ἀπηλλάγη, τὸ δὲ τελευταῖον τῆς ὁμιλίας ἥψατο Καλλιρρόης.

8 Πᾶσαν δὲ σκέψιν καὶ πᾶσαν ἐρωτικὴν ὁμιλίαν ταχέως μετέβαλεν ἡ τύχη, καινοτέρων εὑροῦσα πραγμάτων ὑπόθεσιν· βασιλεῖ γὰρ ἦκον ἀπαγγέλλοντες
2 Αἴγυπτον ἀφεστάναι μετὰ μεγάλης παρασκευῆς. Τὸν μὲν γὰρ σατράπην τὸν βασιλικὸν τοὺς Αἰγυπτίους ἀνῃρηκέναι, κεχειροτονηκέναι δὲ βασιλέα τῶν ἐπιχωρίων, ἐκεῖνον δὲ ἐκ Μέμφεως ὁρμώμενον διαβεβηκέναι μὲν Πηλούσιον, ἤδη δὲ Συρίαν καὶ Φοινίκην κατατρέχειν, ὡς μηκέτι τὰς πόλεις ἀντέχειν,
3 ὥσπερ χειμάρρου τινὸς ἢ πυρὸς αἰφνίδιον ἐπιρρυέντος αὐταῖς. Πρὸς δὲ τὴν φήμην ἐταράχθη μὲν βασιλεύς, κατεπλάγησαν δὲ Πέρσαι· κατήφεια δὲ πᾶσαν ἔσχε Βαβυλῶνα. Τότε καὶ τὸ ὄναρ βασιλέως λογοποιοὶ καὶ μάντεις ἔφασκον τὰ μέλλοντα προειρηκέναι· θυσίας γὰρ ἀπαιτοῦντας τοὺς θεοὺς κίνδυνον μὲν
4 ἀλλὰ καὶ νίκην προσημαίνειν. Πάντα μὲν τὰ εἰωθότα συνέβαινε καί, ὅσα εἰκὸς ἐν ἀπροσδοκήτῳ πολέμῳ, καὶ ἐλέγετο καὶ ἐγίνετο· κίνησις γὰρ μεγάλη Ἀσίαν κατέλαβε. Συγκαλέσας οὖν βασιλεὺς ὁ Περσῶν τοὺς ὁμοτίμους καὶ ὅσοι παρῆσαν ἡγεμόνες τῶν ἐθνῶν, μεθ' ὧν εἰώθει τὰ μεγάλα χρηματίζειν, ἐβουλεύετο περὶ τῶν καθεστηκότων καὶ ἄλλος ἄλλο τι παρῄνει·
5 πᾶσι δὲ ἤρεσκε τὸ σπεύδειν καὶ μηδεμίαν ἡμέραν, εἰ δυνατόν, ἀναβάλλεσθαι δυοῖν ἕνεκεν· ἵνα καὶ τοὺς πολεμίους ἐπίσχωσι τῆς πρὸς τὸ πλέον αὐξήσεως καὶ

τοὺς φίλους εὐθυμοτέρους ποιήσωσι, δείξαντες αὐτοῖς ἐγγύθεν τὴν βοήθειαν· βραδυνόντων δὲ εἰς τοὐναντίον πάντα χωρήσειν· τοὺς μὲν γὰρ πολεμίους καταφρονήσειν ὡς δεδιότων, τοὺς δὲ οἰκείους ἐνδώσειν ὡς ἀμελουμένους. Εὐτύχημα δὲ μέγιστον βασιλεῖ γε- 6
γονέναι τὸ μήτε ἐν Βάκτροις, μήτε ἐν Ἐκβατάνοις, ἀλλ' ἐν Βαβυλῶνι κατειλῆφθαι, πλησίον τῆς Συρίας· ἐκβὰς γὰρ τὸν Εὐφράτην εὐθὺς ἐν χερσὶν ἕξει τοὺς ἀφεστῶτας. Ἔδοξεν οὖν τὴν μὲν ἤδη περὶ αὐτὸν δύναμιν ἐξάγειν, διαπέμψαι δὲ πανταχόσε κελεύοντας τὴν στρατιὰν ἐπὶ ποταμὸν Εὐφράτην ἀθροίζεσθαι. Ῥᾴστη δέ ἐστι Πέρσαις ἡ παρασκευὴ τῆς δυνάμεως. Συντέτακται γὰρ ὑπὸ Κύρου, τοῦ πρώτου Περσῶν 7
βασιλεύσαντος, ποῖα μὲν τῶν ἐθνῶν εἰς πόλεμον ἱππείαν καὶ πόσην τὸν ἀριθμὸν δεῖ παρέχειν, ποῖα δὲ πεζὴν στρατιὰν καὶ πόσην, τίνας δὲ τοξότας καὶ πόσα ἑκάστους ἅρματα ψιλά τε καὶ δρεπανηφόρα καὶ ἐλέφαντας ὁπόθεν καὶ πόσους καὶ χρήματα παρ' ὧντινων καὶ πόσα. Τοσούτῳ δὲ παρασκευάζεται χρόνῳ πάντα ὑπὸ πάντων, ὅσῳ καὶ εἰς ἀνὴρ παρεσκεύασε.

Τῇ δὲ πέμπτῃ τῶν ἡμερῶν μετὰ τὴν ἀγγελίαν 9
ἐξήλαυνε Βαβυλῶνος βασιλεύς, κοινῷ παραγγέλματι πάντων αὐτῷ συνακολουθούντων, ὅσοι τὴν στρατεύσιμον εἶχον ἡλικίαν. Ἐν δὲ τούτοις ἐξῆλθε καὶ Διονύσιος· Ἴων γὰρ ἦν καὶ οὐδενὶ τῶν ὑπηκόων μένειν ἐξῆν. Κοσμησάμενος δὲ ὅπλοις καλλίστοις καὶ ποιή- 2
σας στῖφος οὐκ εὐκαταφρόνητον ἐκ τῶν μεθ' ἑαυτοῦ, ἐν τοῖς πρώτοις καὶ φανερωτάτοις κατέταξεν ἑαυτὸν καὶ δῆλος ἦν πράξων τι γενναῖον, οἷα δὴ καὶ φύσει φιλότιμος ἀνὴρ καὶ οὐ πάρεργον τὴν ἀρετὴν τιθέμενος, ἀλλὰ τῶν καλλίστων ἀξιῶν. Τότε δὲ καὶ ἐλπί- 3
δος εἶχέ τι κούφης, ὅτι [ἂν] χρήσιμος ὢν ἐν τῷ πο-

λέμῳ φανῇ, λήψεται παρὰ βασιλέως καὶ δίχα κρίσεως ἆθλον τῆς ἀριστείας τὴν γυναῖκα.

4 Καλλιρρόην δὲ ἡ μὲν βασιλὶς οὐκ ἤθελεν ἐπάγεσθαι· διὰ τοῦτο οὐδὲ ἐμνημόνευσεν αὐτῆς πρὸς βασιλέα, οὐδὲ ἐπύθετο τί κελεύει γενέσθαι περὶ τῆς 5 ξένης· ἀλλὰ καὶ Ἀρταξάτης κατεσιώπησεν, ὡς δῆτα μὴ θαρρῶν ἐν κινδύνῳ τοῦ δεσπότου καθεστηκότος παιδιᾶς ἐρωτικῆς μνημονεύειν, τὸ δὲ ἀληθὲς ἄσμενος ἀπηλλαγμένος καθάπερ ἀγρίου θηρίου· ἐδόκει δὲ μονονουχὶ χάριν ἔχειν τῷ πολέμῳ διακόψαντι τὴν 10
5 βασιλέως ἐπιθυμίαν ὑπὸ ἀργίας τρεφομένην. Οὐ μὴν Καλλιρρόης ἐπελέληστο βασιλεύς, ἀλλὰ ἐν ἐκείνῳ τῷ ἀδιηγήτῳ ταράχῳ μνήμη τις αὐτὸν εἰσῆλθε τοῦ κάλλους· ᾐδεῖτο δὲ εἰπεῖν τὸ περὶ αὐτῆς, μὴ δόξῃ παιδαριώδης εἶναι παντάπασιν, ἐν πολέμῳ τηλικούτῳ 15
γυναικὸς εὐμόρφου μνημονεύων. Βιαζομένης δὲ τῆς ὁρμῆς πρὸς μὲν Στάτειραν αὐτὴν οὐδὲν εἶπεν, ἀλλ' οὐδὲ πρὸς τὸν εὐνοῦχον, ἐπειδὴ αὐτῷ συνῄδει τὸν
6 ἔρωτα, ἐπενόησε δέ τι τοιοῦτον. Ἔθος ἐστὶν αὐτῷ τε βασιλεῖ καὶ Περσῶν τοῖς ἀρίστοις, ὅταν εἰς πόλε- 20
μον ἐξίωσιν, ἐπάγεσθαι καὶ γυναῖκας καὶ τέκνα καὶ χρυσὸν καὶ ἄργυρον καὶ ἐσθῆτα καὶ εὐνούχους καὶ παλλακίδας καὶ κύνας καὶ τραπέζας καὶ πλοῦτον πο-
7 λυτελῆ καὶ τρυφήν. Τὸν οὖν ἐπὶ τούτων διάκονον καλέσας ὁ βασιλεύς, πολλὰ πρῶτον εἰπὼν καὶ τἆλλα 25
διατάξας ὡς ἕκαστον ἔδει γενέσθαι, τελευταίας ἐμνημόνευσε Καλλιρρόης ἀξιοπίστῳ τῷ προσώπῳ, ὡς οὐδὲν αὐτῷ μέλον. "Κἀκεῖνο" φησὶ "τὸ γύναιον τὸ ξένον, περὶ οὗ τὴν κρίσιν ἀνεδεξάμην, σὺν ταῖς ἄλ-
8 λαις γυναιξὶν ἀκολουθείτω." Καὶ Καλλιρρόη μὲν 30
οὕτως ἐξῆλθε Βαβυλῶνος οὐκ ἀηδῶς, ἤλπιζε γὰρ καὶ Χαιρέαν ἐξελεύσεσθαι· πολλὰ μὲν οὖν φέρειν καὶ

πόλεμον ἄδηλα καὶ μεταβολὰς τοῖς δυστυχοῦσι βελτίονας, τάχα δὲ καὶ τὴν δίκην ἔξειν τέλος ἐκεῖ ταχείας εἰρήνης γενομένης.

Ζ

Πάντων δὲ ἐξιόντων μετὰ βασιλέως ἐπὶ τὸν πό- 1
λεμον τὸν πρὸς τοὺς Αἰγυπτίους Χαιρέᾳ παρήγγειλεν οὐδείς· βασιλέως γὰρ δοῦλος οὐκ ἦν, ἀλλὰ τότε μόνος ἐν Βαβυλῶνι ἐλεύθερος. Ἔχαιρε δὲ ἐλπίζων ὅτι Καλλιρρόη μενεῖ. Τῆς οὖν ὑστεραίας ἦλθεν ἐπὶ τὰ βασίλεια, ζητῶν τὴν γυναῖκα. Κεκλεισμένα δὲ 2
ἰδὼν καὶ πολλοὺς ἐπὶ θύραις τοὺς φυλάσσοντας περιήει τὴν πόλιν ὅλην ἐξερευνώμενος καὶ σύνεχῶς καθάπερ ἐμμανὴς Πολυχάρμου τοῦ φίλου πυνθανόμενος "Καλλιρρόη δὲ ποῦ; τί γέγονεν; οὐ δήπου γὰρ καὶ αὐτὴ στρατεύεται." Μὴ εὑρὼν δὲ Καλλιρρόην 3
ἐξήτει Διονύσιον τὸν ἀντεραστὴν καὶ ἦκεν ἐπὶ τὴν οἰκίαν τὴν ἐκείνου. Προῆλθεν οὖν τις ὥσπερ εὐκαίρως, καὶ εἶπεν ἅπερ ἦν δεδιδαγμένος. Θέλων γὰρ ὁ Διονύσιος ἀπελπίσαι Χαιρέαν τὸν Καλλιρρόης γάμον καὶ μηκέτι μένειν τὴν δίκην, ἐπενόησέ τι τοιοῦτον.
Ἐξιὼν ἐπὶ τὴν μάχην κατέλιπε τὸν ἀπαγγελοῦντα 4
πρὸς Χαιρέαν ὅτι βασιλεὺς ὁ Περσῶν χρείαν ἔχων συμμάχων πέπομφε Διονύσιον ἀθροῖσαι στρατιὰν ἐπὶ τὸν Αἰγύπτιον καί, ἵνα πιστῶς αὐτῷ καὶ προθύμως ἐξυπηρετῆται, Καλλιρρόην ἀπέδωκε. Ταῦτα ἀκούσας
Χαιρέας ἐπίστευσεν εὐθύς· εὐεξαπάτητον γὰρ ἄν-

---

19 post τι: στρατήγημα

θρωπος δυστυχῶν. Καταρρηξάμενος οὖν τὴν ἐσθῆτα καὶ σπαράξας τὰς τρίχας, τὸ στέρνον ἅμα παίων ἔλεγεν "ἄπιστε Βαβυλών, κακὴ ξενοδόκε, ἐπ' ἐμοῦ δὲ καὶ ἐρήμη. Ὦ καλοῦ δικαστοῦ· προαγωγὸς γέγονεν ἀλλοτρίας γυναικός. Ἐν πολέμῳ γάμοι. Κἀγὼ μὲν ἐμελέτων τὴν δίκην καὶ πάνυ ἐπεπείσμην δίκαια ἐρεῖν· ἐρήμην δὲ κατεκρίθην καὶ Διονύσιος νενίκηκε σιγῶν. Ἀλλ' οὐδὲν ὄφελος αὐτῷ τῆς νίκης· οὐ γὰρ ζήσεται Καλλιρρόη παρόντος διαζευχθεῖσα Χαιρέου, καὶ τὸ πρῶτον ἐξηπάτησεν αὐτὴν τὸ δοκεῖν ἐμὲ τεθνηκέναι. Τί οὖν ἐγὼ βραδύνω καὶ οὐκ ἀποσφάζω πρὸ τῶν βασιλείων ἐμαυτόν, προσχέας τὸ αἷμα ταῖς θύραις τοῦ δικαστοῦ; γνώτωσαν Πέρσαι καὶ Μῆδοι, πῶς βασιλεὺς ἐδίκασεν ἐνταῦθα."

Πολύχαρμος δὲ ἰδὼν ἀπαρηγόρητον ἑαυτῷ τὴν συμφορὰν καὶ ἀδύνατον σωθῆναι Χαιρέαν "πάλαι μὲν" ἔφη "παρεμυθούμην σε, φίλτατε, καὶ πολλάκις ἀποθανεῖν ἐκώλυσα, νῦν δέ μοι δοκεῖς καλῶς βεβουλεῦσθαι· καὶ τοσοῦτον ἀποδέω τοῦ σε κωλύειν, ὥστε καὶ αὐτὸς ἤδη συναποθανεῖν ἕτοιμος. Σκεψώμεθα δὲ θανάτου τρόπον, ὅστις ἂν γένοιτο βελτίων· ὃν γὰρ σὺ διανοῇ, φέρει μέν τινα φθόνον βασιλεῖ καὶ πρὸς τὸ μέλλον αἰσχύνην, οὐ μεγάλην δὲ ἐκδικίαν ὧν πεπόνθαμεν. Δοκεῖ δέ μοι τὸν ἅπαξ ὑφ' ἡμῶν ὡρισμένον θάνατον εἰς ἄμυναν καταχρήσασθαι τοῦ τυράννου· καλὸν γὰρ λυπήσαντας αὐτὸν ἔργῳ ποιῆσαι μετανοεῖν, ἔνδοξον καὶ τοῖς ὕστερον ἐσομένοις διήγημα καταλείποντας ὅτι δύο Ἕλληνες ἀδικηθέντες ἀντελύπησαν τὸν μέγαν βασιλέα καὶ ἀπέθανον ὡς ἄνδρες." "Πῶς οὖν" εἶπε Χαιρέας "ἡμεῖς οἱ μόνοι καὶ πένητες καὶ ξένοι τὸν κύριον τηλικούτων καὶ τοσούτων ἐθνῶν καὶ δύναμιν ἔχοντα, ὅσην ἑωράκαμεν,

λυπῆσαι δυνάμεθα; τοῦ μὲν γὰρ σώματος αὐτῷ φυλακαὶ καὶ προφυλακαί, κἂν ἀποκτείνωμεν δέ τινα τῶν ἐκείνου, κἂν ἐμπρήσωμέν τι τῶν ἐκείνου κτημάτων, οὐκ αἰσθήσεται τῆς βλάβης." "Ὀρθῶς ἂν" ἔφη Πολύχαρμος "ταῦτα ἔλεγες, εἰ μὴ πόλεμος ἦν· νῦν δὲ ἀκούομεν Αἴγυπτον μὲν ἀφεστάναι, Φοινίκην δὲ ἐαλωκέναι, Συρίαν δὲ κατατρέχεσθαι. Βασιλεῖ δὲ ὁ πόλεμος ἀπαντήσει καὶ πρὸ τοῦ διαβῆναι τὸν Εὐφράτην. Οὐκ ἐσμὲν οὖν οἱ δύο μόνοι, τοσούτους δὲ ἔχομεν συμμάχους, ὅσους ὁ Αἰγύπτιος ἄγει, τοσαῦτα ὅπλα, τοσαῦτα χρήματα, τοσαύτας τριήρεις. Χρησώμεθα ἀλλοτρίᾳ δυνάμει πρὸς τὴν ὑπὲρ ἑαυτῶν ἄμυναν." Οὔπω πᾶν εἴρητο ἔπος καὶ Χαιρέας ἀνεβόησε "σπεύδωμεν, ἀπίωμεν. Λίκας ἐν τῷ πολέμῳ λήψομαι παρὰ τοῦ δικαστοῦ." 10 11

Ταχέως τοίνυν ὁρμήσαντες ἐδίωκον βασιλέα, προσποιούμενοι ἐθέλειν ἐκείνῳ συστρατεύεσθαι· διὰ γὰρ ταύτης τῆς προφάσεως ἤλπιζον ἀδεῶς διαβήσεσθαι τὸν Εὐφράτην. Κατέλαβον δὲ τὴν στρατιὰν ἐπὶ τῷ ποταμῷ καὶ προσμίξαντες τοῖς ὀπισθοφύλαξιν ἠκολούθουν. Ἐπεὶ δὲ ἦκον εἰς Συρίαν, ηὐτομόλησαν πρὸς τὸν Αἰγύπτιον, λαβόντες δὲ αὐτοὺς οἱ φύλακες ἐξήταζον τίνες εἶεν· σχῆμα γὰρ πρεσβευτῶν οὐκ ἔχοντες ὑπωπτεύοντο κατάσκοποι μᾶλλον. Ἔνθα καὶ παρεκινδύνευσαν, εἰ μὴ εἷς γέ τις Ἕλλην ἐκεῖ κατὰ τύχην εὑρεθεὶς συνῆκε τῆς φωνῆς· ἠξίουν δὲ ἄγεσθαι πρὸς βασιλέα, ὡς μέγα ὄφελος αὐτῷ κομίζοντες. Ἐπεὶ δὲ ἦχθησαν, Χαιρέας εἶπεν "ἡμεῖς Ἕλληνες ἐσμὲν Συρακούσιοι τῶν εὐπατριδῶν. Οὗτος μὲν οὖν εἰς Βαβυλῶνα φίλος ἐμὸς ὢν ἦλθε δι' ἐμέ, ἐγὼ δὲ διὰ [τὴν] γυναῖκα, τὴν Ἑρμοκράτους θυγατέρα, εἴ τινα Ἑρμοκράτην ἀκούεις στρατηγὸν Ἀθη- 2 2 3

4 ναίους καταναυμαχήσαντα." Ἐπένευσεν ὁ Αἰγύπτιος, οὐδὲν γὰρ ἔθνος ἄπυστον ἦν τῆς Ἀθηναίων δυστυχίας, ἣν ἐδυστύχησαν ἐν τῷ πολέμῳ τῷ Σικελικῷ. "Τετυράννηκε δὲ ἡμῶν Ἀρταξέρξης," καὶ πάντα διηγήσατο. "Φέροντες οὖν ἑαυτοὺς δίδομέν σοι φίλους πιστούς, δύο τὰ προτρεπτικώτατα εἰς ἀνδρείαν ἔχοντες, θανάτου καὶ ἀμύνης ἔρωτα· ἤδη γὰρ ἐτεθνήκειν ὅσον ἐπὶ ταῖς συμφοραῖς, λοιπὸν δὲ ζῶ εἰς μόνον τὸ λυπῆσαι τὸν ἐχθρόν.

Μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην, ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι."

5 Ταῦτα ἀκούσας ὁ Αἰγύπτιος ἥσθη καὶ τὴν δεξιὰν ἐμβαλὼν "εἰς καιρὸν ἥκεις" φησίν, "ὦ νεανία, σεαυτῷ τε κἀμοί." Παραυτίκα μὲν οὖν αὐτοῖς ἐκέλευσεν ὅπλα δοθῆναι καὶ σκηνήν, μετ' οὐ πολὺ δὲ καὶ ὁμοτράπεζον ἐποιήσατο Χαιρέαν, εἶτα καὶ σύμβουλον· ἐπεδείκνυτο γὰρ φρόνησίν τε καὶ θάρσος, μετὰ τούτων δὲ καὶ πίστιν, οἷα δὴ καὶ φύσεως ἀγαθῆς καὶ
6 παιδείας οὐκ ἀπρονόητος. Ἐπήγειρε δὲ μᾶλλον αὐτὸν καὶ διαπρεπέστερον ἐποίησεν ἡ πρὸς βασιλέα φιλονεικία καὶ τὸ δεῖξαι θέλειν ὅτι οὐκ ἦν εὐκαταφρόνητος, ἀλλ' ἄξιος τιμῆς. Εὐθὺς οὖν ἔργον ἐπεδείξατο μέγα. Τῷ μὲν Αἰγυπτίῳ τὰ μὲν ἄλλα προυκεχωρήκει ῥᾳδίως καὶ κύριος ἐγεγόνει τῆς Κοίλης Συρίας ἐξ ἐπιδρομῆς, ὑποχείριος δὲ ἦν αὐτῷ καὶ Φοινίκη
7 πλὴν Τύρου. Τύριοι δὲ φύσει γένος εἰσὶ μαχιμώτατον καὶ κλέος ἐπ' ἀνδρείᾳ θέλουσι κεκτῆσθαι, μὴ δόξωσι καταισχύνειν τὸν Ἡρακλέα, φανερώτατον θεὸν παρ' αὐτοῖς καὶ ᾧ μόνῳ σχεδὸν ἀνατεθείκασι τὴν πόλιν. Θαρροῦσι δὲ καὶ [τῇ] ὀχυρότητι τῆς οἰκήσεως.
8 Ἡ μὲν γὰρ πόλις ἐν θαλάσσῃ κατῴκισται, λεπτὴ δὲ εἴσοδος αὐτὴν συνάπτουσα τῇ γῇ κωλύει τὸ μὴ νῆσον

εἶναι· ἔοικε δὲ νηὶ καθωρμισμένῃ καὶ ἐπὶ γῆς τεθεικυίᾳ τὴν ἐπιβάθραν. Πανταχόθεν οὖν αὐτοῖς τὸν πόλεμον ἀποκλεῖσαι ῥᾴδιον· τὴν μὲν πεζὴν στρατιὰν ἐκ τῆς θαλάττης, ἀρκούσης αὐτῇ πύλης μιᾶς· τὸν δὲ ἐπίπλουν τῶν τριηρῶν τείχεσιν, ὀχυρῶς ᾠκοδομημένης τῆς πόλεως καὶ λιμέσι κλειομένης ὥσπερ οἰκίας. 9

Πάντων οὖν τῶν πέριξ ἑαλωκότων μόνοι Τύριοι τῶν Αἰγυπτίων κατεφρόνουν, τὴν εὔνοιαν καὶ πίστιν τῷ Πέρσῃ φυλάττοντες. Ἐπὶ τούτῳ δυσχεραίνων ὁ Αἰγύπτιος συνήγαγε βουλήν. Τότε πρῶτον Χαιρέαν παρεκάλεσεν εἰς τὸ συμβούλιον καὶ ἔλεξεν ὧδε 10

"Ἄνδρες σύμμαχοι, δούλους γὰρ οὐκ ἂν εἴποιμι τοὺς φίλους, ὁρᾶτε τὴν ἀπορίαν ὅτι ὥσπερ ναῦς ἐπὶ πολὺ εὐπλοήσασα ἐναντίῳ ἀνέμῳ λαμβανόμεθα καὶ Τύρος ἡ παγχάλεπος κατέχει σπεύδοντας ἡμᾶς· ἐπείγεται δὲ καὶ βασιλεύς, ὡς πυνθανόμεθα. Τί οὖν χρὴ πράττειν; οὔτε γὰρ ἑλεῖν Τύρον ἔνεστιν, οὔτε ὑπερβῆναι, καθάπερ δὲ τεῖχος ἐν μέσῳ κειμένη τὴν Ἀσίαν ἡμῖν πᾶσαν ἀποκλείει. Δοκεῖ δέ μοι τὴν ταχίστην ἐντεῦθεν ἀπιέναι, πρὶν ἢ τὴν Περσῶν δύναμιν τοῖς Τυρίοις προσγενέσθαι. Κίνδυνος δὲ καταληφθεῖσιν ἡμῖν ἐν τῇ πολεμίᾳ. Τὸ δὲ Πηλούσιον ὀχυρόν, ἔνθα οὔτε Τυρίους οὔτε Μήδους οὔτε πάντας ἀνθρώπους ἐπιόντας δεδοίκαμεν· ψάμμος τε γὰρ ἀδιόδευτος καὶ εἴσοδος ὀλίγη καὶ θάλασσα ἡμετέρα καὶ Νεῖλος Αἰγυπτίους φιλῶν." Ταῦτα εἰπόντος λίαν εὐλαβῶς σιωπὴ πάντων ἐγένετο καὶ κατήφεια· μόνος δὲ Χαιρέας ἐτόλμησεν εἰπεῖν 2

"Ὦ βασιλεῦ, σὺ γὰρ ἀληθῶς βασιλεύς, οὐχ ὁ Πέρσης, ὁ κάκιστος ἀνθρώπων· λελύπηκάς με σκεπτόμενος περὶ φυγῆς ἐν ἐπινικίοις· νικῶμεν γάρ, ἂν θεοὶ θέλωσι, καὶ οὐ μόνον Τύρον ἕξομεν, ἀλλὰ καὶ 3 4

Βαβυλῶνα. Πολλὰ δὲ ἐν πολέμῳ τὰ ἐμπόδια γίνεται, πρὸς ἃ δεῖ μὴ παντάπασιν ἀποκνεῖν, ἀλλ' ἐγχειρεῖν προβαλλομένους ἀεὶ τὴν ἀγαθὴν ἐλπίδα. Τούτους δὲ ἐγώ σοι τοὺς Τυρίους, τοὺς νῦν καταγελῶντας, γυμνοὺς ἐν πέδαις παραστήσω. Εἰ δὲ ἀπιστεῖς, ἐμὲ προθυσάμενος ἀπέρχου· ζῶν γὰρ οὐ κοινωνήσω φυγῆς. Ἂν δὲ καὶ πάντως θέλῃς, ὀλίγους ἐμοὶ κατάλιπε τοὺς ἑκουσίως μενοῦντας· νῶϊ δ' ἐγὼ Πολύχαρμός τε μαχησόμεθα· σὺν γὰρ θεῷ εἰλήλουθμεν."

6 *Ἡδέσθησαν πάντες μὴ συγκαταθέσθαι τῇ Χαιρέου γνώμῃ· βασιλεὺς δὲ θαυμάσας αὐτοῦ τὸ φρόνημα συνεχώρησεν ὁπόσον βούλεται τῆς στρατιᾶς ἐπίλεκτον λαβεῖν. Ὁ δὲ οὐκ εὐθὺς εἵλετο, ἀλλὰ καταμίξας ἑαυτὸν εἰς τὸ στρατόπεδον καὶ Πολύχαρμον κελεύσας τὸ αὐτὸ πρῶτον ἀνηρεύνα εἴ τινες εἶεν*

7 *Ἕλληνες ἐν τῷ στρατοπέδῳ. Πλείονες μὲν οὖν ηὑρέθησαν οἱ μισθοφοροῦντες, ἐξελέξατο δὲ Λακεδαιμονίους καὶ Κορινθίους καὶ τοὺς ἄλλους Πελοποννησίους· εὗρε δὲ καὶ ὡς εἴκοσι Σικελιώτας. Ποιήσας οὖν τριακοσίους τὸν ἀριθμὸν ἔλεξεν ὧδε*

8 *"Ἄνδρες Ἕλληνες, ἐμοὶ βασιλέως ἐξουσίαν παρασχόντος ἐπιλέξασθαι τῆς στρατιᾶς τοὺς ἀρίστους, εἱλόμην ὑμᾶς· καὶ γὰρ αὐτὸς Ἕλλην εἰμί, Συρακούσιος, γένος Δωριεύς. Δεῖ δὲ ὑμᾶς μὴ μόνον εὐγε-*

9 *νείᾳ τῶν ἄλλων᾽ ἀλλὰ καὶ ἀρετῇ διαφέρειν. Μηδεὶς οὖν καταπλαγῇ τὴν πρᾶξιν, ἐφ' ἣν ὑμᾶς παρακαλῶ, καὶ γὰρ δυνατὴν εὑρήσομεν καὶ ῥᾳδίαν, δόξῃ μᾶλλον ἢ πείρᾳ δύσκολον. Ἕλληνες ἐν Θερμοπύλαις τοσοῦτοι Ξέρξην ὑπέστησαν. Τύριοι δὲ οὐκ εἰσὶ πεντακόσιαι μυριάδες, ἀλλὰ ὀλίγοι καὶ καταφρονήσει μετ' ἀλαζονείας, οὐ φρονήματι μετ' εὐβουλίας χρώμενοι.*

Γνώτωσαν οὖν πόσον Ἕλληνες Φοινίκων διαφέρουσιν. Ἐγὼ δὲ οὐκ ἐπιθυμῶ στρατηγίας, ἀλλ' ἕτοιμος ἀκολουθεῖν ὅστις ἂν ὑμῶν ἄρχειν θέλῃ· πειθόμενον γὰρ εὑρήσει, ἐπεὶ καὶ δόξης οὐκ ἐμῆς ἀλλὰ κοινῆς ὀρέγομαι." 10

Πάντες ἐπεβόησαν "σὺ στρατήγει βουλομένων."

Ἔφη "Στρατηγῶ καὶ τὴν ἀρχήν μοι ὑμεῖς δεδώκατε· διὰ τοῦτο πειράσομαι πάντα πράττειν, ὥστε ὑμᾶς μὴ μετανοεῖν τὴν πρὸς ἐμὲ εὔνοιάν τε καὶ πίστιν ᾗ ἠρημένους. Ἀλλ' ἔν τε τῷ παρόντι σὺν θεοῖς ἔνδοξοι καὶ περίβλεπτοι γενήσεσθε καὶ πλουσιώτατοι τῶν συμμάχων, εἴς τε τὸ μέλλον ὄνομα καταλείψετε τῆς ἀρετῆς ἀθάνατον καὶ πάντες [ὑμνήσουσιν] ὡς τοὺς μετὰ Ὀθρυάδου τριακοσίους ἢ τοὺς μετὰ Λεωνίδου, οὕτως καὶ τοὺς μετὰ Χαιρέου ἀνευφημήσουσιν." 11

Ἔτι λέγοντος πάντες ἀνέκραγον "ἡγοῦ," καὶ πάντες ὥρμησαν ἐπὶ τὰ ὅπλα.

Κοσμήσας δὲ αὐτοὺς ὁ Χαιρέας ταῖς καλλίσταις πανοπλίαις ἤγαγεν ἐπὶ τὴν βασιλέως σκηνήν. Ἰδὼν δὲ ὁ Αἰγύπτιος ἐθαύμασε καὶ ἄλλους ὁρᾶν ὑπελάμβανεν, οὐ τοὺς συνήθεις, ἐπηγγείλατο δὲ αὐτοῖς μεγάλας δωρεάς. "Ταῦτα μὲν" ἔφη Χαιρέας "πιστεύομεν· σὺ δὲ ἔχε τὴν ἄλλην στρατιὰν ἐν τοῖς ὅπλοις καὶ μὴ πρότερον ἐπέλθῃς τῇ Τύρῳ, πρὶν κρατήσωμεν αὐτῆς καὶ ἀναβάντες ἐπὶ τὰ τείχη καλῶμεν ὑμᾶς." "Οὕτως" ἔφη "ποιήσειαν οἱ θεοί." Συνεσπειραμένους οὖν ὁ Χαιρέας ἐκείνους ἤγαγεν ἐπὶ τὴν Τύρον, ὥστε πολὺ ἐλάττονας δόξαι· καὶ ὡς ἀληθῶς

ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

καὶ τὸ μὲν πρῶτον οὐδὲ καθεωρῶντο ὑπὸ τῶν πολε-
μίων· ὡς δ' ἐγγὺς ἦσαν, βλέποντες αὐτοὺς οἱ ἀπὸ
τῶν τειχῶν ἐσήμαινον τοῖς ἔνδον, πᾶν μᾶλλον ἢ πο-
4 λεμίους εἶναι προσδοκῶντες. Τίς γὰρ ἂν καὶ προσ-
εδόκησε τοσούτους ὄντας ἐπὶ τὴν δυνατωτάτην πόλιν
παραγίνεσθαι, πρὸς ἣν οὐδέποτε ἐθάρρησεν ἐλθεῖν
οὐδὲ πᾶσα ἡ τῶν Αἰγυπτίων δύναμις; ἐπεὶ δὲ τοῖς
τείχεσιν ἐπλησίαζον, ἐπυνθάνοντο τίνες εἶεν καὶ τί
5 βούλοιντο. Χαιρέας δὲ ἀπεκρίνατο "ἡμεῖς Ἕλληνες
μισθοφόροι παρὰ τοῦ Αἰγυπτίου τὸν μισθὸν οὐκ
ἀπολαμβάνοντες ἀλλὰ καὶ ἐπιβουλευθέντες ἀπο-
λέσθαι πάρεσμεν πρὸς ὑμᾶς, μεθ' ὑμῶν ἀμύνεσθαι
6 θέλοντες τὸν κοινὸν ἐχθρόν." Ἐμήνυσέ τις ταῦτα
τοῖς ἔνδον καὶ ἀνοίξας τὰς πύλας προῆλθεν ὁ στρα-
τηγὸς μετ' ὀλίγων. Τοῦτον πρῶτον Χαιρέας ἀπο-
κτείνας ὥρμησεν ἐπὶ τοὺς ἄλλους,

τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὦρνυτ' ἀεικής.

ἄλλος δ' ἄλλον ἐφόνευεν, ὥσπερ λέοντες εἰς ἀγέλην
βοῶν ἐμπεσόντες ἀφύλακτον· οἰμωγὴ δὲ καὶ θρῆνος
κατεῖχε τὴν πόλιν ἅπασαν, ὀλίγων μὲν τὸ γινόμενον
7 ὁρώντων, πάντων δὲ θορυβουμένων. Καὶ ὄχλος ἄτα-
κτος ἐξεχεῖτο διὰ τῆς πύλης, βουλόμενος θεάσασθαι
τὸ συμβεβηκός. Τοῦτο μάλιστα τοὺς Τυρίους ἀπώ-
8 λεσεν. Οἱ μὲν γὰρ ἔνδοθεν ἐξελθεῖν ἐβιάζοντο, οἱ
δὲ ἔξω παιόμενοι καὶ κεντούμενοι ξίφεσι καὶ λόγχαις
εἴσω πάλιν ἔφευγον, ἀπαντῶντες δ' ἀλλήλοις ἐν στε-
νοχωρίᾳ πολλὴν ἐξουσίαν παρεῖχον τοῖς φονεύουσιν.
Οὔκουν οὐδὲ τὰς πύλας δυνατὸν ἦν κλεῖσαι, σεσω-
ρευμένων ἐν αὐταῖς τῶν νεκρῶν.

9 Ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ μόνος ἐσω-
φρόνησε Χαιρέας· βιασάμενος γὰρ τοὺς ἀπαντῶντας

καὶ εἴσω τῶν πυλῶν γενόμενος ἀνεπήδησεν ἐπὶ τὰ τείχη δέκατος αὐτὸς καὶ ἄνωθεν ἐσήμαινε καλῶν τοὺς Αἰγυπτίους, οἱ δὲ λόγου θᾶττον παρῆσαν καὶ Τύρος ἐαλώκει. Τύρου δὲ ἁλούσης οἱ μὲν ἄλλοι πάν- 10
5 τες ἐώρταζον, μόνος δὲ Χαιρέας οὔτε ἔθυσεν οὔτε ἐστεφανώσατο. "Τί γάρ μοι ὄφελος ἐπινικίων, ἂν σύ, Καλλιρρόη, μὴ βλέπῃς; οὐκέτι στεφανώσομαι μετ' ἐκείνην τὴν γαμήλιον νύκτα. Εἴτε γὰρ τέθνηκας, ἀσεβῶ, εἴτε καὶ ζῇς, πῶς ἑορτάζειν δύναμαι
10 δίχα σοῦ, κατακειμένης ἂν ἐν τοιούτοις;"

Βασιλεὺς δὲ ὁ Περσῶν διαβὰς τὸν Εὐφράτην 11
ἔσπευδεν ὡς τάχιστα τοῖς πολεμίοις συμμίξαι. Πυθόμενος γὰρ Τύρον ἑαλωκέναι περὶ Σίδωνος ἐφοβεῖτο καὶ τῆς ὅλης Συρίας, ὁρῶν τὸν πολέμιον ἀντί-
15 παλον ἤδη. Διὰ τοῦτο ἔδοξεν αὐτῷ μηκέτι μετὰ πά- 12
σης τῆς θεραπείας ὁδεύειν, ἀλλ' εὐζωνότερον, ἵνα μηδὲν ἐμπόδιον ᾖ τῷ τάχει. Παραλαβὼν δὲ τῆς στρατιᾶς τὸ καθαρώτατον τὴν ἄχρηστον ἡλικίαν αὐτοῦ κατέλιπε μετὰ τῆς βασιλίδος καὶ τὰ χρήματα καὶ τὰς
20 ἐσθῆτας καὶ τὸν πλοῦτον τὸν βασιλικόν. Ἐπεὶ δὲ 13
πάντα θορύβου καὶ ταραχῆς ἐπέπληστο καὶ μέχρις Εὐφράτου τὰς πόλεις κατειλήφει ὁ πόλεμος, ἔδοξεν ἀσφαλέστερον εἶναι, τοὺς καταλειπομένους εἰς Ἄραδον ἀποθέσθαι.

25 Νῆσος δέ ἐστιν αὕτη ἀπέχουσα τῆς ἠπείρου στα- 5
δίους τριάκοντα, παλαιὸν ἱερὸν ἔχουσα Ἀφροδίτης. Ὥσπερ οὖν ἐν οἰκίᾳ, μετὰ πάσης ἀδείας αἱ γυναῖκες ἐνταῦθα διῆγον. Θεασαμένη δὲ Καλλιρρόη τὴν Ἀφρο- 2
δίτην, στᾶσα καταντικρὺ τὸ μὲν πρῶτον ἐσιώπα καὶ
30 ἔκλαεν, ὀνειδίζουσα τῇ θεῷ τὰ δάκρυα· μόλις δὲ ὑπεφθέγξατο "ἰδοὺ καὶ Ἄραδος, μικρὰ νῆσος ἀντὶ τῆς μεγάλης Σικελίας καὶ οὐδεὶς ἐνταῦθα ἐμός. Ἀρ- 3

κεῖ, δέσποινα. Μέχρι πότε με πολεμεῖς; εἰ καὶ ὅλως σοι προσέκρουσα, τετιμώρησαί με· εἰ καὶ νεμεσητὸν ἔδοξέ μοι τὸ δυστυχὲς κάλλος, ὀλέθρου μοι γέγονεν αἴτιον. Ὃ μόνον ἔλιπέ μου ταῖς συμφοραῖς, ἤδη καὶ
4 πολέμου πεπείραμαι. Πρὸς τὴν σύγκρισιν τῶν παρ- 5
όντων ἦν μοι καὶ Βαβυλὼν φιλάνθρωπος. Ἐγγὺς ἐκεῖ Χαιρέας ἦν. Νῦν δὲ πάντως τέθνηκεν· ἐμοῦ γὰρ ἐξελθούσης οὐκ ἂν ἔζησεν. Ἀλλ' οὐκ ἔχω παρὰ
5 τίνος πύθωμαι τί γέγονε. Πάντες ἀλλότριοι, πάντες βάρβαροι, φθονοῦντες, μισοῦντες, τῶν δὲ μισούντων χείρονες οἱ φιλοῦντες. Σύ μοι, δέσποινα, δήλωσον εἰ Χαιρέας ζῇ." Ταῦτα λέγουσα ἔτι ἀπῄει· ἐπιστᾶσα δὲ Ῥοδογύνη, Ζωπύρου μὲν θυγάτηρ, γυνὴ δὲ Μεγαβύζου, καὶ πατρὸς καὶ ἀνδρὸς Περσῶν ἀρίστων ** αὕτη δὲ ἦν ῆ Καλλιρρόῃ ἀπαντήσασα 15
πρώτη Περσίδων, ὅτε εἰς Βαβυλῶνα εἰσῄει. **
6 Ὁ δὲ Αἰγύπτιος ἐπειδήπερ ἤκουσε βασιλέα πλησίον ὄντα καὶ παρεσκευασμένον κατὰ γῆν καὶ κατὰ θάλασσαν, καλέσας Χαιρέαν εἶπε "τὰ μὲν πρῶτά σου τῶν κατορθωμάτων ἀμείψασθαι καιρὸν οὐκ ἔσχον· 20
σὺ γάρ μοι Τύρον ἔδωκας· περὶ δὲ τῶν ἐξῆς παρακαλῶ, μὴ ἀπολέσωμεν ἕτοιμα ἀγαθά, ὧν κοινωνόν
7 σε ποιήσομαι. Ἐμοὶ μὲν γὰρ ἀρκεῖ Αἴγυπτος, σοὶ δὲ γενήσεται κτῆμα Συρία. Φέρ' οὖν σκεψώμεθα τί ποιητέον· ἐν ἀμφοτέροις γὰρ τοῖς στοιχείοις ὁ πόλε- 25
μος ἀκμάζει. Σοὶ δὲ ἐπιτρέπω τὴν αἵρεσιν, εἴτε τῆς πεζῆς θέλεις στρατηγεῖν εἴτε τῆς ναυτικῆς δυνάμεως.
8 Οἶομαι δὲ οἰκειότερόν σοι εἶναι τὴν θάλασσαν· ὑμεῖς γὰρ οἱ Συρακούσιοι καὶ Ἀθηναίους κατεναυμαχήσατε. Σήμερον δὲ ἀγών ἐστί σοι πρὸς Πέρσας τοὺς 30
ὑπὸ Ἀθηναίων νενικημένους. Ἔχεις τριήρεις Αἰγυπτίας, μείζονας καὶ πλείονας τῶν Σικελικῶν· μίμη-

σαι τὸν κηδεστὴν Ἑρμοκράτην ἐν τῇ θαλάσσῃ." Χαιρέας δὲ ἀπεκρίνατο "πᾶς ἐμοὶ κίνδυνος ἡδύς· ὑπὲρ σοῦ δὲ ἀναδέξομαι τὸν πόλεμον καὶ πρὸς τὸν ἔχθιστόν μοι βασιλέα. Δὸς δέ μοι μετὰ τῶν τριηρῶν καὶ τοὺς 9
τριακοσίους τοὺς ἐμούς." "Ἔχε" φησὶ "καὶ τούτους καὶ ἄλλους, ὅσους ἂν θέλῃς." Καὶ εὐθὺς ἔργον ἐγένετο ὁ λόγος· κατήπειγε γὰρ ἡ χρεία. Καὶ ὁ μὲν Αἰγύπτιος ἔχων τὴν πεζὴν στρατιὰν ἀπήντα τοῖς πολεμίοις· ὁ δὲ Χαιρέας ναύαρχος ἀπεδείχθη. Τοῦτο 10
ἀθυμοτέρους ἐποίησε τοὺς πεζούς, ὅτι μετ' αὐτῶν οὐκ ἐστρατεύσατο Χαιρέας, καὶ γὰρ ἐφίλουν αὐτὸν ἤδη καὶ ἀγαθὰς εἶχον ἐλπίδας ἐκείνου στρατηγοῦντος. Ἔδοξεν οὖν ὥσπερ ὀφθαλμὸς ἐξηρῆσθαι μεγάλου σώματος. Τὸ δὲ ναυτικὸν ἐπήρθη ταῖς ἐλπίσι 11
καὶ φρονήματος ἐνεπλήσθησαν, ὅτι τὸν ἀνδρειότατον καὶ κάλλιστον εἶχον ἡγούμενον. Ὀλίγον τε ἐπένθουν ἢ οὐδέν, ἀλλὰ ὥρμηντο καὶ τριήραρχοι καὶ κυβερνῆται καὶ ναῦται καὶ στρατιῶται πάντες ὁμοίως, τίς προθυμίαν ἐπιδείξεται Χαιρέᾳ πρῶτος. Τῆς δὲ αὐ- 12
τῆς ἡμέρας καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἡ μάχη συνήφθη. Χρόνον μὲν οὖν πολὺν ἀντέσχεν ἡ πεζὴ στρατιὰ τῶν Αἰγυπτίων Μήδοις τε καὶ Πέρσαις, εἶτα πλήθει βιασθέντες ἐνέδωκαν. Καὶ βασιλεὺς δὲ ἔφιππος διώκων** Σπουδὴ δὲ ἦν τοῦ Αἰγυπτίου καταφυγεῖν εἰς Πηλούσιον, τοῦ δὲ Πέρσου θᾶττον καταλαβεῖν· τάχα δ' ἂν καὶ διέφυγεν, εἰ μὴ Διονύσιος ἔργον θαυμαστὸν ἐπεδείξατο. καὶ ἐν τῇ συμβολῇ 13
ἠγωνίσατο λαμπρῶς, ἀεὶ μαχόμενος πλησίον βασιλέως, ἵνα αὐτὸν βλέπῃ, καὶ πρῶτος ἐτρέψατο τοὺς καθ' αὑτόν· τότε δὲ τῆς φυγῆς μακρᾶς οὔσης καὶ

9 post τοῦτο: πρότερον

συνεχοῦς ἡμέραις τε καὶ νυξίν, ὁρῶν ἐπὶ τούτοις λυπούμενον βασιλέα "μὴ λυποῦ" φησίν, "ὦ δέσποτα· κωλύσω γὰρ ἐγὼ τὸν Αἰγύπτιον διαφυγεῖν, ἂν μοι
14 δῷς ἵππεῖς ἐπιλέκτους." Ἐπήνεσε βασιλεὺς καὶ δίδωσιν· ὁ δὲ πεντακισχιλίους λαβὼν συνῆψε σταθ- 5
μοὺς δύο ἡμέρᾳ μιᾷ, καὶ νυκτὸς ἐπιπεσὼν τοῖς Αἰγυπτίοις ἀπροσδόκητος πολλοὺς μὲν ἐξώγρησε, πλείονας δὲ ἀπέκτεινεν. Ὁ δὲ Αἰγύπτιος ζῶν καταλαμβανόμενος ἀπέσφαξεν ἑαυτὸν καὶ Διονύσιος τὴν κεφα-
15 λὴν ἐκόμισε πρὸς βασιλέα. Θεασάμενος δὲ ἐκεῖνος 10
"ἀναγράψω σε" εἶπεν "εὐεργέτην εἰς τὸν οἶκον τὸν ἐμὸν καὶ ἤδη σοι δίδωμι δῶρον τὸ ἥδιστον, οὗ μάλιστα πάντων αὐτὸς ἐπιθυμεῖς, Καλλιρρόην [γυναῖκα]. Κέκρικε τὴν δίκην ὁ πόλεμος. Ἔχεις τὸ κάλλιστον ἆθλον τῆς ἀριστείας." Διονύσιος δὲ προσεκύ- 15
νησε καὶ ἰσόθεον ἔδοξεν ἑαυτόν, πεπεισμένος ὅτι βεβαίως ἤδη Καλλιρρόης ἀνήρ ἐστι.

6 Καὶ ἐν μὲν τῇ γῇ ταῦτα ἐπράσσετο· ἐν δὲ τῇ θαλάσσῃ Χαιρέας ἐνίκησεν, ὥστε μηδὲ ἀντίπαλον αὐτῷ γενέσθαι τὸ πολέμιον ναυτικόν· οὔτε γὰρ τὰς 20
ἐμβολὰς ἐδέξαντο τῶν Αἰγυπτίων τριηρῶν, οὔτε ὅλως ἀντίπρῳροι κατέστησαν, ἀλλὰ αἱ μὲν εὐθὺς ἀνετράπησαν, τὰς δὲ καὶ πρὸς τὴν γῆν ἐξενεχθείσας ἐξώγρησεν αὐτάνδρους· ἐνεπλήσθη δὲ ἡ θάλασσα
2 ναυαγίων Μηδικῶν. Ἀλλ' οὔτε βασιλεὺς ἐγίνωσκε 25
τὴν ἧττανταν ἐν τῇ θαλάσσῃ τῶν ἰδίων οὔτε Χαιρέας τὴν ἐν τῇ γῇ τῶν Αἰγυπτίων, ἐνόμιζε δὲ ἑκάτερος κρατεῖν ἐν ἀμφοτέροις. Ἐκείνης οὖν τῆς ἡμέρας, ἧς ἐναυμάχησε, καταπλεύσας εἰς Ἄραδον ὁ Χαιρέας τὴν μὲν νῆσον ἐκέλευσε περιπλέοντας ἐν κύκλῳ παραφυ- 30
λάττειν, ὡς αὐτῆς ἀποδώσοντας λόγον τῷ δεσπότῃ.
3 Κἀκεῖνοι τοὺς μὲν εὐνούχους καὶ θεραπαινίδας καὶ

πάντα τὰ εὐωνότερα σώματα συνήθροισαν εἰς τὴν ἀγοράν, αὕτη γὰρ εὐρυχωρίαν εἶχε. Τοσοῦτο δὲ ἦν τὸ πλῆθος, ὥστε οὐ μόνον ἐν ταῖς στοαῖς, ἀλλὰ καὶ ὑπαίθριοι διενυκτέρευσαν. Τοὺς δὲ ἀξιώματός τι μετ- 4
5 ἔχοντας εἰς οἴκημα τῆς ἀγορᾶς εἰσήγαγον, ἐν ᾧ συνήθως οἱ ἄρχοντες ἐχρημάτιζον. Αἱ δὲ γυναῖκες χαμαὶ ἐκαθέζοντο περὶ τὴν βασιλίδα καὶ οὔτε πῦρ ἀνῆψαν οὔτε τροφῆς ἐγεύσαντο· πεπυσμέναι γὰρ ἦσαν ἑαλωκέναι μὲν βασιλέα καὶ ἀπολωλέναι τὰ Περσῶν
10 πράγματα, τὸν δὲ Αἰγύπτιον πανταχοῦ νικᾶν.

Ἡ νὺξ ἐκείνη καὶ ἡδίστη καὶ χαλεπωτάτη κατέ- 5
σχεν Ἄραδον. Αἰγύπτιοι μὲν γὰρ ἔχαιρον ἀπηλλαγμένοι πολέμου καὶ δουλείας Περσικῆς, οἱ δὲ ἑαλωκότες Περσῶν δεσμὰ καὶ μάστιγας καὶ ὕβρεις καὶ σφα-
15 γὰς προσεδόκων, τὸ φιλανθρωπότατον δέ, δουλείαν· ἡ δὲ Στάτειρα ἐνθεῖσα τὴν κεφαλὴν εἰς τὰ γόνατα Καλλιρρόης ἔκλαεν· ἐκείνη γάρ, ὡς ἂν Ἑλληνὶς καὶ πεπαιδευμένη καὶ οὐκ ἀμελέτητος κακῶν, παρεμυθεῖτο μάλιστα τὴν βασιλίδα. Συνέβη δέ τι τοιοῦτον. 6
20 Αἰγύπτιος στρατιώτης, ὁ πεπιστευμένος φυλάττειν τοὺς ἐν τῷ οἰκήματι, γνοὺς ἔνδον εἶναι τὴν βασιλίδα, κατὰ τὴν ἔμφυτον θρησκείαν τῶν βαρβάρων πρὸς τοὔνομα τὸ βασιλικὸν ἐγγὺς μὲν αὐτῇ προσελθεῖν οὐκ ἐτόλμησε, στὰς δὲ παρὰ τῇ θύρᾳ κεκλεισμέ-
25 νῃ· "Θάρρει, δέσποινα" εἶπε, "νῦν μὲν γὰρ οὐκ οἶ- 7
δεν ὁ ναύαρχος ὅτι καὶ σὺ μετὰ τῶν αἰχμαλώτων ἐνταῦθα κατεκλείσθης, μαθὼν δὲ προνοήσεταί σου φιλανθρώπως· οὐ μόνον γὰρ ἀνδρεῖος, ἀλλὰ καὶ γυναῖκα ποιήσεται· φύσει γάρ ἐστι φιλογύναιος."
30 Ταῦτα ἀκούσασα ἡ Καλλιρρόη μέγα ἀνεκώκυε καὶ τὰς τρίχας ἐσπάραττε λέγουσα "νῦν ἀληθῶς αἰχμάλωτός εἰμι. Φόνευσόν με μᾶλλον ἢ ταῦτα

8 ἐπαγγέλλου. Γάμον οὐχ ὑπομένω· θάνατον εὔχομαι. Κεντείτωσαν καὶ καέτωσαν, ἐντεῦθεν οὐκ ἀναστήσομαι· τάφος ἐμὸς ἔσται οὗτος ὁ τόπος. Εἰ δέ, ὡς λέγεις, φιλάνθρωπός ἐστιν ὁ στρατηγός, ταύτην μοι
9 δότω τὴν χάριν· ἐνταῦθά με ἀποκτεινάτω." Λεήσεις αὐτῇ πάλιν ἐκεῖνος προσέφερεν, ἡ δ' οὐκ ἀνίστατο, ἀλλ' ἐγκεκαλυμμένη πεσοῦσα ἐπὶ τῆς γῆς ἔκειτο. Σκέψις προύκειτο τῷ Αἰγυπτίῳ τί καὶ πράξειε· βίαν μὲν γὰρ οὐκ ἐτόλμα προσφέρειν, πεῖσαι δὲ πάλιν οὐκ ἐδύνατο. Διόπερ ὑποστρέψας προσῆλθε τῷ Χαιρέᾳ
10 σκυθρωπός. Ὁ δὲ ἰδὼν "τοῦτο ἄλλο" φησὶν "ἦν. Κλέπτουσί τινες τὰ κάλλιστα τῶν λαφύρων, ἀλλ' οὐ χαίροντες αὐτὸ πράξουσι." Ὡς οὖν εἶπεν ὁ Αἰγύπτιος "οὐδεμιᾷ γέγονε κακόν, δέσποτα· τὴν γὰρ γυναῖκα, ἣν εὗρον ἐν πλαταίαις τεταγμένην, οὐ βούλεται ἐλθεῖν, ἀλλ' ἔρριπται χαμαί, ξίφος αἰτοῦσα καὶ ἀποθανεῖν βουλομένη," γελάσας ὁ Χαιρέας εἶπεν "ὦ πάντων ἀνθρώπων ἀφυέστατε, οὐκ οἶδας πῶς μεθοδεύεται γυνὴ παρακλήσεσιν, ἐπαίνοις, ἐπαγγελίαις, μάλιστα δέ, ἂν ἐρᾶσθαι δοκῇ; Σὺ δὲ βίαν ἴσως
11 προσῆγες καὶ ὕβριν." "Οὔ" φησί, "δέσποτα· πάντα δὲ ταῦτα, ὅσα λέγεις, πεποίηκα ἐν διπλῷ μᾶλλον. Καὶ γάρ σου κατεψευσάμην ὅτι ἔξεις αὐτὴν γυναῖκα,
12 ἡ δὲ πρὸς τοῦτο μάλιστα ἠγανάκτησεν." Ὁ δὲ Χαιρέας "ἐπαφρόδιτος ἄρα" φησὶν "εἰμὶ καὶ ἐράσμιος, εἰ καὶ πρὶν ἰδεῖν ἀπεστράφη με καὶ ἐμίσησεν. Ἔοικε δὲ [τὸ] φρόνημα εἶναι τῆς γυναικὸς οὐκ ἀγεννές. Μηδεὶς αὐτῇ προσφερέτω βίαν, ἀλλὰ ἐᾶτε διάγειν ὡς προῄρηται· πρέπει γάρ μοι σωφροσύνην τιμᾶν. Καὶ αὐτὴ γὰρ ἴσως ἄνδρα πενθεῖ."

Η

Ὡς μὲν οὖν Χαιρέας ὑποπτεύσας Καλλιρρόην Διονυσίῳ παραδεδόσθαι, θέλων ἀμύνασθαι βασιλέα πρὸς τὸν Αἰγύπτιον ἀπέστη καὶ ναύαρχος ἀποδειχθεὶς ἐκράτησε τῆς θαλάσσης, νικήσας δὲ κατέσχεν Ἄραδον, ἔνθα βασιλεὺς καὶ τὴν γυναῖκα τὴν ἑαυτοῦ καὶ πᾶσαν τὴν θεραπείαν ἀπέθετο καὶ Καλλιρρόην, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. Ἔμελλε δὲ ἔργον ἡ τύχη πράττειν οὐ μόνον παράδοξον, ἀλλὰ καὶ σκυθρωπόν, ἵνα ἔχων Καλλιρρόην Χαιρέας ἀγνοήσῃ καὶ τὰς ἀλλοτρίας γυναῖκας ἀναλαβὼν ταῖς τριήρεσιν ἀπαγάγῃ, μόνην δὲ τὴν ἰδίαν ἐκεῖ καταλίπῃ σὺχ ὡς Ἀριάδνην καθεύδουσαν, οὐδὲ Διονύσῳ νυμφίῳ, λάφυρον δὲ τοῖς ἑαυτοῦ πολεμίοις. Ἀλλ' ἔδοξε τοῦτο δεινὸν Ἀφροδίτῃ· ἤδη γὰρ αὐτῷ διηλλάττετο, πρότερον ὀργισθεῖσα χαλεπῶς διὰ τὴν ἄκαιρον ζηλοτυπίαν, ὅτι δῶρον παρ' αὐτῆς λαβὼν τὸ κάλλιστον, οἷον οὐδὲ Ἀλέξανδρος ὁ Πάρις, ὕβρισεν εἰς τὴν χάριν. Ἐπεὶ δὲ καλῶς ἀπελογήσατο τῷ Ἔρωτι Χαιρέας ἀπὸ δύσεως εἰς ἀνατολὰς διὰ μυρίων παθῶν πλανηθείς, ἠλέησεν αὐτὸν Ἀφροδίτη καί, ὅπερ ἐξ ἀρχῆς δύο τῶν καλλίστων ἥρμοσε ζεῦγος, γυμνάσασα διὰ γῆς καὶ θαλάσσης, πάλιν ἠθέλησεν [ἀλλήλοις] ἀποδοῦναι. Νομίζω δὲ καὶ τὸ τελευταῖον τοῦτο σύγγραμμα τοῖς ἀναγινώσκουσιν ἥδιστον γενήσεσθαι· καθάρσιον γάρ ἐστι τῶν ἐν τοῖς πρώτοις σκυθρωπῶν. Οὐκέτι λῃστεία καὶ δουλεία καὶ δίκη καὶ μάχη καὶ ἀποκαρτέρησις καὶ πόλεμος καὶ ἅλωσις, ἀλλ' ἔρωτες δίκαιοι ἐν τούτῳ [καὶ] νόμιμοι γάμοι. Πῶς οὖν ἡ θεὸς ἐφώτισε τὴν ἀλήθειαν καὶ τοὺς ἀγνοουμένους ἔδειξεν ἀλλήλοις λέξω.

Ἐσπέρα μὲν ἦν, ἔτι δὲ πολλὰ τῶν αἰχμαλώτων κατελέλειπτο. Κεκμηκὼς οὖν ὁ Χαιρέας ἀνίσταται, 6 ἵνα διατάξηται τὰ πρὸς τὸν πλοῦν. Παριόντι δὲ αὐτῷ τὴν ἀγορὰν ὁ Αἰγύπτιος ἔλεξεν "ἐνταῦθά ἐστιν ἡ γυνή, ὦ δέσποτα, ἡ μὴ βουλομένη προσελθεῖν, ἀλλ' ἀποκαρτεροῦσα· τάχα δὲ σὺ πείσεις αὐτὴν ἀναστῆναι· τί γάρ σε δεῖ καταλείπειν τὸ κάλλιστον τῶν λαφύρων;" συνεπελάβετο καὶ Πολύχαρμος τοῦ λόγου, βουλόμενος ἐμβαλεῖν αὐτόν, εἴ πως δύναιτο, εἰς ἔρωτα καινὸν καὶ Καλλιρρόης παραμύθιον. "Εἰσέλ- 7 θωμεν" ἔφη, "Χαιρέα." Ὑπερβὰς οὖν τὸν οὐδὸν καὶ θεασάμενος ἐρριμμένην καὶ ἐγκεκαλυμμένην εὐθὺς ἐκ τῆς ἀναπνοῆς καὶ τοῦ σχήματος ἐταράχθη τὴν ψυχὴν καὶ μετέωρος ἐγένετο· πάντως δ' ἂν καὶ ἐγνώρισεν, εἰ μὴ σφόδρα ἐπέπειστο Καλλιρρόην ἀπειληφέναι 8 Διονύσιον. Ἠρέμα δὲ προσελθὼν "θάρρει" φησίν, "ὦ γύναι, ἥτις ἂν ᾖς, οὐ γάρ σε βιασόμεθα· ἕξεις δὲ ἄνδρα, ὃν θέλεις." Ἔτι λέγοντος ἡ Καλλιρρόη γνωρίσασα τὴν φωνὴν ἀπεκαλύψατο καὶ ἀμφότεροι συνεβόησαν "Χαιρέα" "Καλλιρρόη," περιχυθέντες δὲ ἀλ- 9 λήλοις, λιποψυχήσαντες ἔπεσον. Ἄφωνος δὲ καὶ Πολύχαρμος τὸ πρῶτον εἱστήκει πρὸς τὸ παράδοξον, χρόνου δὲ προϊόντος "ἀνάστητε" εἶπεν, "ἀπειλήφατε ἀλλήλους· πεπληρώκασιν οἱ θεοὶ τὰς ἀμφοτέρων εὐχάς. Μέμνησθε δὲ ὅτι οὐκ ἐν πατρίδι ἐστέ, ἀλλ' ἐν πολεμίᾳ γῇ, καὶ δεῖ ταῦτα πρότερον οἰκονομῆσαι 10 καλῶς, ἵνα μηδεὶς ἔτι ὑμᾶς διαχωρίσῃ." Τοιαῦτα ἐμβοῶντος ὥσπερ τινὲς ἐν φρέατι βαθεῖ βεβαπτισμένοι μόλις ἄνωθεν φωνὴν ἀκούσαντες βραδέως ἀνήνεγκαν, εἶτα ἰδόντες ἀλλήλους καὶ καταφιλήσαντες πάλιν παρείθησαν καὶ δεύτερον καὶ τρίτον τοῦτο ἔπρα-

ξαν, μίαν φωνὴν ἀφιέντες "ἔχω σε, εἰ ἀληθῶς εἶ Καλλιρρόη· εἰ ἀληθῶς εἶ Χαιρέας."

Φήμη δὲ διέτρεχεν ὅτι ὁ ναύαρχος εὕρηκε τὴν 11
γυναῖκα. Οὐ στρατιώτης ἔμεινεν ἐν σκηνῇ, οὐ ναύ-
της ἐν τριήρει, οὐ θυρωρὸς ἐν οἰκίᾳ· πανταχόθεν
συνέτρεχον λαλοῦντες "ὦ γυναικὸς μακαρίας, εἱλῆφε
τὸν εὐμορφότατον ἄνδρα." Καλλιρρόης δὲ φανείσης
οὐδεὶς ἔτι Χαιρέαν ἐπῆνεσεν, ἀλλ' εἰς ἐκείνην πάν-
τες ἀφεώρων, ὡς μόνην οὖσαν. Ἐβάδιζε δὲ σοβαρά, 12
Χαιρέου καὶ Πολυχάρμου μέσην αὐτὴν δορυφορούν-
των. Ἄνθη καὶ στεφάνους ἔβαλλον αὐτοῖς, καὶ οἶνος
καὶ μύρα πρὸ τῶν ποδῶν ἐχεῖτο, καὶ πολέμου καὶ
εἰρήνης ἦν ὁμοῦ τὰ ἥδιστα, ἐπινίκια καὶ γάμοι.

Χαιρέας δὲ εἴθιστο μὲν ἐν τριήρει καθεύδειν καὶ 13
νυκτὸς καὶ μεθ' ἡμέραν πολλὰ πράττων· τότε δὲ
Πολυχάρμῳ πάντα ἐπιτρέψας, αὐτὸς οὐδὲ νύκτα πε-
ριμείνας εἰσῆλθεν εἰς θάλαμον τὸν βασιλικόν· καθ'
ἑκάστην γὰρ πόλιν οἶκος ἐξαίρετος ἀποδέδεικται τῷ
μεγάλῳ βασιλεῖ. Κλίνη μὲν ἔκειτο χρυσήλατος, 14
στρωμνὴ δὲ Τυρία πορφυρᾶ, ὕφασμα Βαβυλώνιον.
Τίς ἂν φράσειε τὴν νύκτα ἐκείνην πόσων διηγημά-
των μεστή, πόσων δὲ δακρύων ὁμοῦ καὶ φιλημάτων;
Πρώτη μὲν ἤρξατο Καλλιρρόη διηγεῖσθαι, πῶς ἀνέ-
ζησεν ἐν τῷ τάφῳ, πῶς ὑπὸ Θήρωνος ἐξήχθη, πῶς
ἔπλευσε, πῶς ἐπράθη. Μέχρι τούτων Χαιρέας ἀκούων 15
ἔκλαεν· ἐπεὶ δὲ ἦκεν εἰς Μίλητον τῷ λόγῳ, Καλλιρ-
ρόη μὲν ἐσιώπησεν αἰδουμένη, Χαιρέας δὲ τῆς ἐμ-
φύτου ζηλοτυπίας ἀνεμνήσθη, παρηγόρησε δὲ αὐ-
τὸν τὸ περὶ τοῦ τέκνου διήγημα. Πρὶν δὲ πάντα
ἀκοῦσαι "λέγε μοι" φησὶ "πῶς εἰς Ἄραδον ἦλθες καὶ
ποῦ Διονύσιον καταλέλοιπας καὶ τί σοι πέπρακται
πρὸς βασιλέα." Ἡ δ' εὐθὺς ἀπώμνυτο μὴ ἑωρακέναι 16

Διονύσιον μετὰ τὴν δίκην, βασιλέα δὲ ἐρᾶν μὲν αὐτῆς, μὴ κεκοινωνηκέναι δὲ αὐτῷ μηδὲ μέχρι φιλήματος. "Ἄδικος οὖν" ἔφη Χαιρέας "ἐγὼ καὶ ὀξὺς εἰς ὀργήν, τηλικαῦτα δεινὰ διατεθεικὼς βασιλέα μηδὲν ἀδικοῦντά σε· σοῦ γὰρ ἀπαλλαγεὶς εἰς ἀνάγκην κατ-
17 *έστην αὐτομολίας. Ἀλλ' οὐ κατῄσχυνά σε· πεπλήρωκα γῆν καὶ θάλασσαν τροπαίων." Καὶ πάντα ἀκριβῶς διηγήσατο, ἐναβρυνόμενος τοῖς κατορθώμασιν. Ἐπεὶ δὲ ἅλις ἦν δακρύων καὶ διηγημάτων, περιπλακέντες ἀλλήλοις*

ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.

2 *Ἔτι δὲ νυκτὸς κατέπλευσέ τις Αἰγύπτιος οὐ τῶν ἀφανῶν, ἐκβὰς δὲ τοῦ κέλητος μετὰ σπουδῆς ἐπυνθάνετο ποῦ Χαιρέας ἐστίν. Ἀχθεὶς οὖν πρὸς Πολύχαρμον ἑτέρῳ μὲν οὐδενὶ ἔφη τὸ ἀπόρρητον δύνασθαι*
2 *εἰπεῖν, ἐπείγειν δὲ τὴν χρείαν, ὑπὲρ ἧς ἀφῖκται. Καὶ ἐπὶ πολὺ μὲν ἀνεβάλλετο Πολύχαρμος τὴν πρὸς Χαιρέαν εἴσοδον, ἐνοχλεῖν ἀκαίρως οὐ θέλων· ἐπεὶ δὲ ὁ ἄνθρωπος κατήπειγε, παρανοίξας τοῦ θαλάμου τὴν θύραν ἐμήνυσε τὴν σπουδήν. Ὡς δὲ στρατηγὸς ἀγαθὸς Χαιρέας "κάλει" φησί· "πόλεμος γὰρ ἀναβολὴν*
3 *οὐ περιμένει." Εἰσαχθεὶς δὲ ὁ Αἰγύπτιος, ἔτι σκότους ὄντος, τῇ κλίνῃ παραστὰς "ἴσθι" φησὶν "ὅτι βασιλεὺς ὁ Περσῶν ἀνῄρηκε τὸν Αἰγύπτιον καὶ τὴν στρατιὰν τὴν μὲν εἰς Αἴγυπτον πέπομφε καταστησομένην τὰ ἐκεῖ, τὴν δὲ λοιπὴν ἄγει πᾶσαν ἐνθάδε καὶ ὅσον οὔπω παρέσται· πεπυσμένος γὰρ Ἄραδον ἁλωκέναι λυπεῖται μὲν καὶ περὶ τοῦ πλούτου παντός, ὃν ἐνθάδε καταλέλοιπεν, ἀγωνιᾷ δὲ μάλιστα περὶ Στατείρας τῆς γυναικός."*

4 *Ταῦτα ἀκούσας Χαιρέας ἀνέθορε· Καλλιρρόη δὲ αὐτοῦ λαβομένη "ποῖ σπεύδεις" εἶπε "πρὶν βουλεύ-*

σασθαι περὶ τῶν ἐφεστηκότων; ἂν γὰρ τοῦτο δημοσιεύσῃς, μέγαν πόλεμον κινήσεις σεαυτῷ, πάντων ἐπισταμένων ἤδη καὶ καταφρονούντων· πάλιν δὲ ἐν χερσὶ γενόμενοι πεισόμεθα τῶν πρότερον βαρύτερα."
Ταχέως ἐπείσθη τῇ συμβουλῇ καὶ τοῦ θαλάμου προ- 5
ἦλθε μετὰ τέχνης. Κρατῶν γὰρ τῆς χειρὸς τὸν Αἰγύπτιον, συγκαλέσας τὸ πλῆθος "νικῶμεν, ἄνδρες" εἶπε, "καὶ τὴν πεζὴν στρατιὰν βασιλέως· οὗτος γὰρ ὁ ἀνὴρ τὰ εὐαγγέλια ἡμῖν φέρει καὶ γράμματα παρὰ τοῦ Αἰγυπτίου· δεῖ δὲ τὴν ταχίστην ἡμᾶς πλεῖν, ἔνθα ἐκεῖνος ἐκέλευσε. Συσκευασάμενοι οὖν πάντες ἐμβαίνετε."

Ταῦτα εἰπόντος ὁ σαλπιστὴς τὸ ἀνακλητικὸν εἰς 6
τὰς τριήρεις ἐσήμαινε. Λάφυρα δὲ καὶ αἰχμαλώτους τῆς προτεραίας ἦσαν ἐντεθειμένοι, καὶ οὐδὲν ἐν τῇ νήσῳ κατελέλειπτο, πλὴν εἰ μή τι βαρὺ καὶ ἄχρηστον. Ἔπειτα ἔλυον τὰ ἀπόγεια καὶ ἀγκύρας ἀνῄρουν καὶ 7
βοῆς καὶ ταραχῆς ὁ λιμὴν ἐπεπλήρωτο καὶ ἄλλος ἄλλο τι ἔπραττε. Παριὼν δὲ Χαιρέας εἰς τὰς τριήρεις σύνθημα λεληθὸς τοῖς τριηράρχοις δέδωκεν ἐπὶ Κύπρου πλεῖν, ὡς δῆτα ἀναγκαῖον ἔτι ἀφύλακτον οὖσαν αὐτὴν προκαταλαβεῖν· πνεύματι δὲ φορῷ χρησάμενοι τῆς ὑστεραίας κατήχθησαν εἰς Πάφον, ἔνθα ἐστὶν ἱερὸν Ἀφροδίτης. Ἐπεὶ δὲ ὥρμίσαντο, Χαιρέας, πρὶν 8
ἐκβῆναί τινα τῶν τριηρῶν, πρώτους ἐξέπεμψε τοὺς κήρυκας, εἰρήνην καὶ σπονδὰς τοῖς ἐπιχωρίοις καταγγεῖλαι. Δεξαμένων δὲ αὐτὸν ἐξεβίβασε τὴν δύναμιν ἅπασαν εἰς γῆν καὶ ἀναθήμασι τὴν Ἀφροδίτην ἐτίμησε· πολλῶν δὲ ἱερείων συναχθέντων εἱστίασε τὴν στρατιάν. Σκεπτομένου δὲ αὐτοῦ περὶ τῶν ἑξῆς 9
ἀπήγγειλαν οἱ ἱερεῖς (οἱ αὐτοὶ δέ εἰσι καὶ μάντεις) ὅτι καλὰ γέγονε τὰ ἱερεῖα. Τότε οὖν θαρρήσας ἐκά-

λεσε τοὺς τριηράρχους καὶ τοὺς Ἕλληνας τοὺς τριακοσίους καὶ ὅσους τῶν Αἰγυπτίων εὔνους ἑώρα πρὸς αὐτὸν καὶ ἔλεξεν ὧδε

"Ἄνδρες συστρατιῶται καὶ φίλοι, κοινωνοὶ μεγάλων κατορθωμάτων, ἐμοὶ καὶ εἰρήνη καλλίστη καὶ πόλεμος ἀσφαλέστατος μεθ' ὑμῶν· πείρᾳ γὰρ μεμαθήκαμεν ὅτι ὁμονοοῦντες ἐκρατήσαμεν τῆς θαλάσσης· καιρὸς δὲ ὀξὺς ἐφέστηκεν ἡμῖν εἰς τὸ βουλεύσασθαι περὶ τοῦ μέλλοντος ἀσφαλοῦς· ἴστε γὰρ ὅτι ὁ μὲν Αἰγύπτιος ἀπῄρηται μαχόμενος, κρατεῖ δὲ βασιλεὺς ἁπάσης τῆς γῆς, ἡμεῖς δὲ ἀπειλήμμεθα ἐν μέσοις τοῖς πολεμίοις. Εἶτα οὖν συμβουλεύει τις ἡμῖν ἀπιέναι πρὸς βασιλέα καὶ εἰς τὰς ἐκείνου χεῖρας φέροντας αὐτοὺς ἐμβαλεῖν;"

Ἀνεβόησαν εὐθὺς ὡς πάντα μᾶλλον ἢ τοῦτο ποιητέον.

"Ποῖ τοίνυν ἄπιμεν; πάντα γάρ ἐστιν ἡμῖν πολέμια καὶ οὐκέτι οὐδὲ τῇ θαλάττῃ προσήκει πιστεύειν, τῆς γῆς κρατουμένης ὑπὸ τῶν πολεμίων· οὐ δήπου γὰρ ἀναπτῆναι δυνάμεθα."

Σιωπῆς ἐπὶ τούτοις γενομένης Λακεδαιμόνιος ἀνήρ, Βρασίδου συγγενής, κατὰ μεγάλην ἀνάγκην τῆς Σπάρτης ἐκπεσών, πρῶτος ἐτόλμησεν εἰπεῖν "τί δὲ ζητοῦμεν ποῖ φύγωμεν βασιλέα; ἔχομεν γὰρ θάλασσαν καὶ τριήρεις· ἀμφότερα δὲ ἡμᾶς εἰς Σικελίαν ἄγει καὶ Συρακούσας, ὅπου οὐ μόνον Πέρσας οὐκ ἂν δείσαιμεν, ἀλλ' οὐδὲ Ἀθηναίους." Ἐπῄνεσαν πάντες τὸν λόγον· μόνος Χαιρέας προσεποιεῖτο μὴ συγκατατίθεσθαι, τὸ μῆκος τοῦ πλοῦ προφασιζόμενος, τὸ δὲ ἀληθὲς ἀποπειρώμενος εἰ βεβαίως αὐτοῖς δοκεῖ. Σφόδρα δὲ ἐγκειμένων καὶ πλεῖν ἤδη θελόντων "ἀλλ' ὑμεῖς μέν, ἄνδρες Ἕλληνες, βουλεύεσθε

καλῶς καὶ χάριν ὑμῖν ἔχω τῆς εὐνοίας τε καὶ πίστεως· οὐκ ἐάσω δὲ ὑμᾶς μετανοῆσαι, θεῶν προσλαμβανομένων. Τοὺς δὲ Αἰγυπτίους (πολλοὶ γάρ εἰσιν) οὐ προσῆκεν ἄκοντας βιάζεσθαι· καὶ γὰρ γυναῖκας καὶ τέκνα ἔχουσιν οἱ πλείους, ὧν οὐκ ἂν ἡδέως ἀποσπασθεῖεν. Κατασπαρέντες οὖν εἰς τὸ πλῆθος διαπυνθάνεσθαι ἑκάστου σπεύσατε, ἵνα μόνον τοὺς ἑκόντας παραλάβωμεν." 14

Ταῦτα μέν, ὡς ἐκέλευσεν, ἐγίνετο· Καλλιρρόη δὲ λαβομένη Χαιρέου τῆς δεξιᾶς, μόνον αὐτὸν ἀπαγαγοῦσα "τί" ἔφη "βεβούλευσαι, Χαιρέα; καὶ Στάτειραν ἄγεις εἰς Συρακούσας καὶ Ῥοδογύνην τὴν καλήν;" Ἠρυθρίασεν ὁ Χαιρέας καὶ "οὐκ ἐμαυτοῦ" φησὶν "ἕνεκα ἄγω ταύτας, ἀλλά σοι θεραπαινίδας." Ἀνέκραγεν ἡ Καλλιρρόη "μὴ ποιήσειαν οἱ θεοὶ τοσαύτην ἐμοὶ γενέσθαι μανίαν, ὥστε τὴν τῆς Ἀσίας βασιλίδα δούλην ἔχειν, ἄλλως τε καὶ ξένην γεγενημένην. Εἰ δέ μοι θέλεις χαρίζεσθαι, βασιλεῖ πέμψον αὐτήν· καὶ γὰρ αὕτη μέ σοι διεφύλαξεν ὡς ἀδελφοῦ γυναῖκα παραλαβοῦσα." "Οὐδέν ἐστιν" ἔφη Χαιρέας, "ὃ σοῦ θελούσης οὐκ ἂν ἐγὼ ποιήσαιμι· σὺ γὰρ κυρία Στατείρας καὶ πάντων τῶν λαφύρων καὶ πρὸ πάντων τῆς ἐμῆς ψυχῆς." Ἥσθη Καλλιρρόη καὶ κατεφίλησεν αὐτόν, εὐθὺς δὲ ἐκέλευσε τοῖς ὑπηρέταις ἄγειν αὐτὴν πρὸς Στάτειραν. 3

Ἐτύγχανε δὲ ἐκείνη μετὰ τῶν ἐνδοξοτάτων Περσίδων ἐν κοίλῃ νηί, ὅλως οὐδὲν ἐπισταμένη τῶν γεγενημένων, οὐδ' ὅτι Καλλιρρόη Χαιρέαν ἀπείληφε· πολλὴ γὰρ ἦν παραφυλακὴ καὶ οὐδενὶ ἐξῆν προσελθεῖν, οὐκ ἰδεῖν, οὐ μηνῦσαί τι τῶν πραττομένων. ὡς δὲ ἦκεν ἐπὶ τὴν ναῦν, τοῦ τριηράρχου δορυφοροῦντος αὐτήν, κατάπληξις εὐθὺς ἦν πάντων καὶ τα- 4 5

ραχὴ διαθεόντων, εἶτά τις ἡσυχῇ πρὸς ἄλλον ἐλάλησεν "ἡ τοῦ ναυάρχου γυνὴ παραγίνεται." Μέγα δὲ καὶ βύθιον ἀνεστέναξεν ἡ Στάτειρα καὶ κλάουσα εἶπεν "εἰς ταύτην με τὴν ἡμέραν, ὦ τύχη, τετήρηκας, ἵνα ἡ βασιλὶς ἴδω κυρίαν· πάρεστι γὰρ ἴσως ἰδεῖν
6 οἵαν παρείληφε δούλην." Ἤγειρε θρῆνον ἐπὶ τούτοις καὶ τότε ἔμαθε τίς αἰχμαλωσία σωμάτων εὐγενῶν. Ἀλλὰ ταχεῖαν ἐποίησεν ὁ θεὸς τὴν μεταβολήν· Καλλιρρόη γὰρ εἰσδραμοῦσα περιεπλάκη τῇ Στατείρᾳ "χαῖρε" φησίν, "ὦ βασίλεια· βασιλὶς γὰρ εἶ καὶ ἀεὶ
7 διαμενεῖς. Οὐκ εἰς πολεμίων χεῖρας ἐμπέπτωκας, ἀλλὰ τῆς σοι φιλτάτης, ἣν εὐηργέτησας. Χαιρέας ὁ ἐμός ἐστι ναύαρχος· ναύαρχον δὲ Αἰγυπτίων ἐποίησεν αὐτὸν ὀργὴ πρὸς βασιλέα, διὰ τὸ βραδέως ἀπολαμβάνειν ἐμέ· πέπαυται δὲ καὶ διήλλακται καὶ οὐκ-
8 έτι ὑμῖν ἐστι πολέμιος. Ἀνίστασο δέ, φιλτάτη, καὶ ἄπιθι χαίρουσα· ἀπόλαβε καὶ σὺ τὸν ἄνδρα τὸν σεαυτῆς· ζῇ γὰρ βασιλεύς, κἀκείνῳ σε Χαιρέας πέμπει. Ἀνίστασο καὶ σύ, Ῥοδογύνη, πρώτη μοι φίλη Περσίδων, καὶ βάδιζε πρὸς τὸν ἄνδρα τὸν σεαυτῆς, καὶ ὅσας ἡ βασιλὶς ἂν ἄλλας θέλῃ, καὶ μέμνησθε Καλλιρρόης."

9 Ἐξεπλάγη Στάτειρα τούτων ἀκούσασα τῶν λόγων καὶ οὔτε πιστεύειν εἶχε οὔτε ἀπιστεῖν· τὸ δὲ ἦθος Καλλιρρόης τοιοῦτον ἦν, ὡς μὴ δοκεῖν εἰρω-
10 νεύεσθαι ἐν μεγάλαις συμφοραῖς· ὁ δὲ καιρὸς ἐκέλευε ταχέως πάντα πράττειν. Ἦν οὖν τις ἐν Αἰγυπτίοις Δημήτριος, φιλόσοφος, βασιλεῖ γνώριμος, ἡλικίᾳ προήκων, παιδείᾳ καὶ ἀρετῇ τῶν ἄλλων Αἰγυπτίων διαφέρων. Τοῦτον καλέσας Χαιρέας εἶπεν "ἐγὼ ἐβουλόμην μετ' ἐμαυτοῦ σε ἄγειν, ἀλλὰ μεγάλης πράξεως ὑπηρέτην σε ποιοῦμαι· τὴν γὰρ βασι-

λίδα τῷ μεγάλῳ βασιλεῖ πέμπω διὰ σοῦ. Τοῦτο δὲ 11
καὶ σὲ ποιήσει τιμιώτερον ἐκείνῳ καὶ τοὺς ἄλλους
διαλλάξει." Ταῦτα εἰπὼν στρατηγὸν ἀπέδειξε Δη-
μήτριον τῶν ὀπίσω κομιζομένων τριηρῶν· πάντες
γὰρ ἤθελον ἀκολουθεῖν Χαιρέᾳ καὶ προυτίμων αὐ-
τὸν πατρίδων καὶ τέκνων. Ὁ δὲ μόνας εἴκοσι τριή- 12
ρεις ἐπελέξατο τὰς ἀρίστας καὶ μεγίστας, ὡς ἂν ὑπὲρ
τὸν Ἰόνιον μέλλων περαιοῦσθαι, καὶ ταύταις ἐνεβί-
βασεν Ἕλληνας μὲν ἅπαντας, ὅσοι παρῆσαν, Αἰγυ-
πτίων δὲ καὶ Φοινίκων ὅσους ἔμαθεν εὐζώνους·
πολλοὶ [δὲ] καὶ Κυπρίων ἐθελονταὶ ἐνέβησαν. Τοὺς
δὲ ἄλλους πάντας ἔπεμψεν οἴκαδε, διανείμας αὐτοῖς
μέρη τῶν λαφύρων, ἵνα χαίροντες ἐπανίωσι πρὸς
τοὺς ἑαυτῶν, ἐντιμότεροι γενόμενοι· καὶ οὐδεὶς ἠτύ-
χησεν οὐδενός, αἰτήσας παρὰ Χαιρέου. Καλλιρρόη δὲ
προσήνεγκε τὸν κόσμον ἅπαντα τὸν βασιλικὸν Στα-
τείρα. Ἡ δὲ οὐκ ἐβουλήθη λαβεῖν, ἀλλὰ "τούτῳ" 13
φησὶ "[σὺ] κοσμοῦ· πρέπει γὰρ τοιούτῳ σώματι
κόσμος βασιλικός. Δεῖ γὰρ ἔχειν σε ἵνα καὶ μητρὶ
χαρίσῃ καὶ πατρίοις ἀναθήματα θεοῖς. Ἐγὼ δὲ πλείω
τούτων καταλέλοιπα ἐν Βαβυλῶνι. Θεοί δέ σοι παρέ- 14
χοιεν εὔπλοιαν καὶ σωτηρίαν καὶ μηδέποτε διαζευ-
χθῆναι Χαιρέου. Πάντα πεποίηκας εἰς ἐμὲ δικαίως·
χρηστὸν ἦθος ἐπεδείξω καὶ τοῦ κάλλους ἄξιον. Κα-
λήν μοι βασιλεὺς ἔδωκε παραθήκην."

Τίς ἂν φράσειε τὴν ἡμέραν ἐκείνην πόσας ἔσχε 4
πράξεις, πόσα πάθη διάφορα, εὐχομένων, συντασ-
σομένων, χαιρόντων, λυπουμένων, ἀλλήλοις ἐντολὰς
διδόντων, τοῖς οἴκοι γραφόντων; Ἔγραψε δὲ καὶ
Χαιρέας ἐπιστολὴν πρὸς βασιλέα τοιαύτην

Σὺ μὲν ἔμελλες τὴν δίκην κρίνειν, ἐγὼ δὲ ἤδη νενίκηκα 2
παρὰ τῷ δικαιοτάτῳ δικαστῇ· πόλεμος γὰρ ἄριστος κριτὴς

τοῦ κρείττονός τε καὶ χείρονος. Οὗτός μοι ἀποδέδωκεν οὐ
3 *μόνον τὴν γυναῖκα τὴν ἐμήν, ἀλλὰ καὶ τὴν σήν. Οὐκ ἐμι-*
μησάμην δέ σου τὴν βραδυτῆτα, ἀλλὰ ταχέως σοι μηδὲ ἀπαι-
τοῦντι Στάτειραν ἀποδίδωμι καθαρὰν καὶ ἐν ἀσφαλοῦς μεί-
νασαν βασιλίδα. Ἴσθι δὲ οὐκ ἐμέ σοι τὸ δῶρον ἀλλὰ Καλλιρ-
ρόην ἀποστέλλουσαν. Ἀνταπαιτοῦμεν δέ σε χάριν ἀίγυπτίους
διαλλαγῆναι· πρέπει γὰρ βασιλεῖ μάλιστα πάντων ἀνεξικακεῖν.
Ἔξεις δὲ στρατιώτας ἀγαθοὺς φιλοῦντάς σε· τοῦ γὰρ ἐμοὶ
συνακολουθεῖν ὡς φίλοι παρὰ σοὶ μᾶλλον εἵλοντο μένειν.

4 *Ταῦτα μὲν ἔγραψε Χαιρέας, ἔδοξε δὲ καὶ Καλ-* 10
λιρρόῃ δίκαιον εἶναι καὶ εὐχάριστον Διονυσίῳ γρά-
ψαι. Τοῦτο μόνον ἐποίησε δίχα Χαιρέου· εἰδυῖα γὰρ
αὐτοῦ τὴν ἔμφυτον ζηλοτυπίαν ἐσπούδαζε λαθεῖν.
Λαβοῦσα δὲ γραμματίδιον ἐχάραξεν οὕτως

ΚΑΛΛΙΡΡΟΗ ΔΙΟΝΤΣΙΩι ΕΥΕΡΓΕΤΗι ΧΑΙΡΕΙΝ 15

5 *Σὺ γὰρ εὐεργέτης ἐμός, ὁ καὶ λῃστείας καὶ δουλείας με*
ἀπαλλάξας. Δέομαί σου, μηδὲν ὀργισθῇς· εἰμὶ γὰρ τῇ ψυχῇ
μετὰ σοῦ διὰ τὸν κοινὸν υἱόν, ὃν παρακατατίθημί σοι ἐκτρέ-
φειν τε καὶ παιδεύειν ἀξίως ἡμῶν. Μὴ λάβῃ δὲ πεῖραν μη-
τρυιᾶς· ἔχεις οὐ μόνον υἱόν, ἀλλὰ καὶ θυγατέρα· ἀρκεῖ σοι 20
6 *δύο τέκνα. Ὃν γάμῳ ξεῦξον, ὅταν ἀνὴρ γένηται, καὶ πέμψον*
αὐτὸν εἰς Συρακούσας, ἵνα καὶ τὸν πάππον θεάσηται. Ἀσπά-
ζομαί σε, Πλαγγών. Ταῦτά σοι γέγραφα τῇ ἐμῇ χειρί. Ἔρ-
ρωσο, ἀγαθὲ Διονύσιε, καὶ Καλλιρρόης μνημόνευε τῆς σῆς.

7 *Σφραγίσασα δὲ τὴν ἐπιστολὴν ἀπέκρυψεν ἐν* 25
τοῖς κόλποις καὶ ὅτε ἔδει λοιπὸν ἀνάγεσθαι καὶ ταῖς
τριήρεσι πάντας ἐμβαίνειν, αὐτὴ χεῖρα δοῦσα τῇ
Στατείρᾳ εἰς τὸ πλοῖον εἰσήγαγε. Κατεσκευάκει δὲ
Δημήτριος ἐν τῇ νηὶ σκηνὴν βασιλικήν, πορφυρίδα
8 *καὶ χρυσοϋφῆ Βαβυλώνια περιθείς. Πάνυ δὲ κολα-* 30
κευτικῶς κατακλίνασα αὐτὴν Καλλιρρόη "ἔρρωσό
μοι" φησίν, "ὦ Στάτειρα, καὶ μέμνησό μου καὶ γρά-
φε μοι πολλάκις εἰς Συρακούσας· ῥᾴδια γὰρ πάντα

---

1 post *μοι*: *Καλλιρρόην*

βασιλεῖ. Κἀγὼ δέ σοι χάριν εἴσομαι παρὰ τοῖς γονεῦσί μου καὶ τοῖς θεοῖς τοῖς Ἑλληνικοῖς. Συνίστημί σοι τὸ τέκνον μου, ὃ καὶ σὺ ἡδέως εἶδες· νόμιζε ἐκεῖνο παραθήκην ἔχειν ἀντ' ἐμοῦ." Ταῦτα λέγουσα 9
δακρύων ἐνεπλήσθη καὶ γόον ἤγειρε ταῖς γυναιξίν· ἐξιοῦσα δὲ τῆς νεὼς ἡ Καλλιρρόη, ἡρέμα προσκύψασα τῇ Στατείρᾳ καὶ ἐρυθριῶσα τὴν ἐπιστολὴν ἐπέδωκε καὶ "ταύτην" εἶπε "δὸς Διονυσίῳ τῷ δυστυχεῖ, ὃν παρατίθημι σοί τε καὶ βασιλεῖ. Παρηγορήσατε αὐτόν. Φοβοῦμαι μὴ ἐμοῦ χωρισθεὶς ἑαυτὸν ἀνέλῃ." Ἔτι δὲ ἂν ἐλάλουν αἱ γυναῖκες καὶ ἔκλαον 10
καὶ ἀλλήλας κατεφίλουν, εἰ μὴ παρήγγειλαν οἱ κυβερνῆται τὴν ἀναγωγήν. Μέλλουσα δὲ ἐμβαίνειν εἰς τὴν τριήρη ἡ Καλλιρρόη τὴν Ἀφροδίτην προσεκύνησε. "Χάρις σοι" φησὶν "ὦ δέσποινα, τῶν παρόντων. Ἤδη μοι διαλλάττῃ· δὸς δέ μοι καὶ Συρακούσας ἰδεῖν. Πολλὴ μὲν ἐν μέσῳ θάλασσα, καὶ ἐκδέχεταί με φοβερὰ πελάγη, πλὴν οὐ φοβοῦμαι σοῦ μοι συμπλεούσης." Ἀλλ' οὐδὲ τῶν Αἰγυπτίων οὐδεὶς 11
ἐνέβη ταῖς Δημητρίου ναυσίν, εἰ μὴ πρότερον συνετάξατο Χαιρέᾳ καὶ κεφαλὴν καὶ χεῖρας αὐτοῦ κατεφίλησε· τοσοῦτον ἵμερον πᾶσιν ἐνέθηκε. Καὶ πρῶτον ἐκεῖνον εἴασεν ἀναχθῆναι τὸν στόλον, ὡς ἀκούεσθαι μέχρι πόρρω τῆς θαλάσσης ἐπαίνους μεμιγμένους εὐχαῖς.

Καὶ οὗτοι μὲν ἔπλεον, βασιλεὺς δὲ ὁ μέγας κρα- 5
τήσας τῶν πολεμίων εἰς Αἴγυπτον μὲν ἐξέπεμπε τὸν καταστησόμενον τὰ ἐν αὐτῇ βεβαίως, αὐτὸς δ' ἔσπευδεν εἰς Ἄραδον πρὸς τὴν γυναῖκα. Ὄντι δὲ αὐτῷ 2
περὶ Χίον καὶ Τύρον καὶ θύοντι τῷ Ἡρακλεῖ τὰ ἐπινίκια προσῆλθέ τις ἀγγέλλων ὅτι "Ἄραδος ἐκπεπόρθηται καί ἐστι κενή, πάντα δὲ τὰ ἐν αὐτῇ φέρουσιν

αἱ ναῦς τῶν Αἰγυπτίων·" μέγα δὲ πένθος κατήγγειλε βασιλεῖ, ὡς ἀπολωλυίας τῆς βασιλίδος· ἐπένθουν δὲ [καὶ] Περσῶν οἱ ἐντιμότατοι Στάτειραν πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἕκαστος, ὁ μὲν γυναῖκα, ὁ δὲ ἀδελφήν, ὁ δὲ θυγατέρα, πάντες δέ τινα, ἕκαστος οἰκεῖον· ἐκπεπλευκότων δὲ τῶν πολεμίων ἄγνωστον ἦν διὰ ποίας θαλάσσης.

3 Τῇ δευτέρᾳ δὲ τῶν ἡμερῶν ὤφθησαν αἱ Αἰγυπτίων ναῦς προσπλέουσαι. Καὶ τὸ μὲν ἀληθὲς ἄδηλον ἦν, ἐθαύμαζον δὲ ὁρῶντες, καὶ ἔτι μᾶλλον ἐπέτεινεν αὐτῶν τὴν ἀπορίαν σημεῖον ἀρθὲν ἀπὸ τῆς νεὼς τῆς Δημητρίου βασιλικόν, ὅπερ εἴωθεν αἴρεσθαι μόνου πλέοντος βασιλέως· τοῦτο δὲ ταραχὴν
4 ἐποίησεν, ὡς πολεμίων ὄντων. Εὐθὺς δὲ θέοντες ἐμήνυον Ἀρταξέρξῃ "τάχα δή τις εὑρεθήσεται βασιλεὺς Αἰγυπτίων." Ὁ δὲ ἀνέθορεν ἐκ τοῦ θρόνου καὶ ἔσπευδεν ἐπὶ τὴν θάλασσαν καὶ σύνθημα πολεμικὸν ἐδίδου· τριήρεις μὲν γὰρ οὐκ ἦσαν αὐτῷ· πᾶν δὲ τὸ πλῆθος ἔστησεν ἐπὶ τοῦ λιμένος παρεσκευασμένον εἰς
5 μάχην. Ἤδη δέ τις καὶ τόξον ἐνέτεινε καὶ λόγχην ἔμελλεν ἀφιέναι, εἰ μὴ συνῆκε Δημήτριος καὶ τοῦτο ἐμήνυσε τῇ βασιλίδι. Ἡ δὲ Στάτειρα προελθοῦσα τῆς σκηνῆς ἔδειξεν ἑαυτήν. Εὐθὺς οὖν τὰ ὅπλα ῥίψαντες προσεκύνησαν· βασιλεὺς δὲ οὐ κατέσχεν, ἀλλὰ πρὶν καλῶς τὴν ναῦν καταχθῆναι πρῶτος εἰσεπήδησεν εἰς αὐτήν, περιχυθεὶς δὲ τῇ γυναικὶ ἐκ τῆς χαρᾶς δάκρυα ἀφῆκε καὶ εἶπε "τίς ἄρα μοι θεῶν ἀποδέδωκέ σε, γύναι φιλτάτη; ἀμφότερα γὰρ ἄπιστα καὶ ἀπολέσθαι βασιλίδα καὶ ἀπολομένην εὑρεθῆναι.
6 Πῶς δέ σε εἰς γῆν καταλιπὼν ἐκ θαλάσσης ἀπολαμβάνω;" Στάτειρα δὲ ἀπεκρίνατο "δῶρον ἔχεις με παρὰ Καλλιῤῥόης." Ἀκούσας δὲ τοὔνομα βασιλεὺς

ὡς ἐπὶ τραύματι παλαιῷ πληγὴν ἔλαβε καινήν· βλέψας δὲ εἰς Ἀρταξάτην τὸν εὐνοῦχον "ἄγε με" φησὶ "πρὸς Καλλιρρόην, ἵνα αὐτῇ χάριν γνῶ." Εἶπεν ἡ 7
Στάτειρα "μαθήσῃ πάντα παρ' ἐμοῦ," ἅμα δὲ προήεσαν ἐκ τοῦ λιμένος εἰς τὰ βασίλεια. Τότε δὲ πάντας ἀπαλλαγῆναι κελεύσασα καὶ μόνον τὸν εὐνοῦχον παρεῖναι διηγεῖτο τὰ ἐν Ἀράδῳ, τὰ ἐν Κύπρῳ, καὶ τελευταίαν ἔδωκε τὴν ἐπιστολὴν τὴν Χαιρέου. Βασι- 8
λεὺς δὲ ἀναγινώσκων μυρίων παθῶν ἐπληροῦτο· καὶ γὰρ ὠργίζετο διὰ τὴν ἅλωσιν τῶν φιλτάτων καὶ μετενόει διὰ τὸ παρασχεῖν αὐτομολίας ἀνάγκην, καὶ χάριν δὲ αὐτῷ πάλιν ἠπίστατο ὅτι Καλλιρρόην μηκέτι δύναιτο θεάσασθαι. Μάλιστα δὲ πάντων φθόνος ἥπτετο αὐτοῦ, καὶ ἔλεγε "μακάριος Χαιρέας, εὐτυχέστερος ἐμοῦ."

Ἐπεὶ δὲ ἅλις ἦν τῶν διηγημάτων, Στάτειρα εἶπε 9
"παραμύθησαι, βασιλεῦ, Διονύσιον· τοῦτο γάρ σε παρακαλεῖ Καλλιρρόη." Ἐπιστραφεὶς οὖν ὁ Ἀρταξέρξης πρὸς τὸν εὐνοῦχον "ἐλθέτω" φησὶ "Διονύσιος." Καὶ ἦλθε ταχέως, μετέωρος ταῖς ἐλπίσι· τῶν 10
γὰρ περὶ Χαιρέαν ἠπίστατο οὐδέν, μετὰ δὲ τῶν ἄλλων γυναικῶν ἐδόκει Καλλιρρόην παρεῖναι καὶ βασιλέα καλεῖν αὐτόν, ἵνα ἀποδῷ τὴν γυναῖκα, γέρας τῆς ἀριστείας. Ἐπεὶ δὲ εἰσῆλθε, διηγήσατο αὐτῷ βασιλεὺς πάντα τὰ γεγενημένα. Ἐν ἐκείνῳ δὲ τῷ καιρῷ φρόνησιν Διονύσιος ἐπεδείξατο καὶ παιδείαν ἐξαίρετον. Ὥσπερ γάρ τις κεραυνοῦ πεσόντος πρὸ τῶν 11
ποδῶν αὐτοῦ μὴ ταραχθείη, [[οὕτω]] κἀκεῖνος ἀκούσας λόγων σκηπτοῦ βαρυτέρων, ὅτι Χαιρέας Καλλιρρόην εἰς Συρακούσας ἀπάγει, ὅμως εὐσταθὴς ἔμεινε καὶ οὐκ ἔδοξεν ἀσφαλὲς αὐτῷ τὸ λυπεῖσθαι, σωθείσης τῆς βασιλίδος. Ὁ δὲ Ἀρταξέρξης "εἰ μὲν ἐδυνά- 12

μην" ἔφη, "Καλλιρρόην ἂν ἀπέδωκά σοι, Διονύσιε· πᾶσαν γὰρ εὔνοιαν εἰς ἐμὲ καὶ πίστιν ἐπεδείξω· τούτου δὲ ὄντος ἀμηχάνου, δίδωμί σοι πάσης Ἰωνίας ἄρχειν, καὶ πρῶτος εὐεργέτης εἰς οἶκον βασιλέως ἀναγραφήσῃ." Προσεκύνησεν ὁ Διονύσιος καὶ χάριν ὁμολογήσας ἔσπευδεν ἀπαλλαγῆναι καὶ δακρύων ἐξουσίαν ἔχειν· ἐξιόντι δὲ αὐτῷ Στάτειρα τὴν ἐπιστολὴν ἡσυχῇ δίδωσιν.

13 Ὑποστρέψας δὲ καὶ κατακλείσας ἑαυτόν, γνωρίσας τὰ Καλλιρρόης γράμματα πρῶτον τὴν ἐπιστολὴν κατεφίλησεν, εἶτα ἀνοίξας τῷ στήθει προσετίθει ὡς ἐκείνην παροῦσαν, καὶ ἐπὶ πολὺν χρόνον κατεῖχεν, ἀναγινώσκειν μὴ δυνάμενος διὰ τὰ δάκρυα. Ἀποκλαύσας δὲ μόλις ἀναγινώσκειν ἤρξατο καὶ πρῶτόν γε Καλλιρρόης τοὔνομα κατεφίλησεν. Ἐπεὶ δὲ ἦλθεν εἰς τὸ ΔΙΟΝΤΣΙΩι ΕΤΕΡΓΕΤΗι, "οἴμοι" φησὶν
14 "οὐκέτ' ἀνδρί." Σὺ γὰρ εὐεργέτης ἐμός. "Τί γὰρ ἄξιον ἐποίησά σοι;" Ἤσθη δὲ τῆς ἐπιστολῆς τῇ ἀπολογίᾳ καὶ πολλάκις ἀνεγίνωσκε τὰ αὐτά· ὑπεδήλου γὰρ ὡς ἄκουσα αὐτὸν καταλίποι. Οὕτω κοῦφόν ἐστιν ἔρως
15 καὶ ἀναπείθει ῥᾳδίως ἀντερᾶσθαι. Ἀσπασάμενος δὲ τὸ παιδίον καὶ πήλας ταῖς χερσὶν "ἀπελεύσῃ ποτέ μοι καὶ σύ, τέκνον, πρὸς τὴν μητέρα· καὶ γὰρ αὐτὴ τοῦτο κεκέλευκεν· ἐγὼ δὲ ἔρημος βιώσομαι, πάντων αἴτιος ἐμαυτῷ γενόμενος. Ἀπώλεσέ με κενὴ ζηλοτυπία καὶ σύ, Βαβυλών." Ταῦτα εἰπὼν συνεσκευάζετο τὴν ταχίστην καταβαίνειν εἰς Ἰωνίαν, μέγα νομίζων παραμύθιον πολλὴν ὁδὸν καὶ πόλεων ἡγεμονίαν καὶ τὰς ἐν Μιλήτῳ Καλλιρρόης οἰκήσεις.

6 Τὰ μὲν οὖν περὶ τὴν Ἀσίαν ἐν τούτοις ἦν, ὁ δὲ Χαιρέας ἤνυσε τὸν πλοῦν εἰς Σικελίαν εὐτυχῶς (εἰστήκει γὰρ ἀεὶ κατὰ πρύμναν [ὁ ἄνεμος]) καὶ ναῦς

ἔχων μεγάλας ἐπελαγίζετο, περιδεῶς ἔχων μὴ πάλιν αὐτὸν σκληροῦ δαίμονος προσβολὴ καταλάβῃ. Ἐπεὶ 2 δὲ ἐφάνησαν Συρακοῦσαι, τοῖς τριηράρχοις ἐκέλευσε κοσμῆσαι τὰς τριήρεις καὶ ἅμα συντεταγμένας πλεῖν· καὶ γὰρ ἦν γαλήνη. Ὡς δὲ εἶδον αὐτοὺς οἱ ἐκ τῆς πόλεως, εἶπέ τις "πόθεν τριήρεις προσπλέουσι; μή τι Ἀττικαί; φέρε οὖν μηνύσωμεν Ἑρμοκράτει." Καὶ 3 ταχέως ἐμήνυσε "στρατηγέ, βουλεύου τί ποιήσεις. Τοὺς λιμένας ἀποκλείσωμεν ἢ ἐπαναχθῶμεν; οὐ γὰρ ἴσμεν εἰ μείζων ἕπεται στόλος, πρόδρομοι δέ εἰσιν αἱ βλεπόμεναι." Καταδραμὼν οὖν ὁ Ἑρμοκράτης ἐκ τῆς ἀγορᾶς ἐπὶ τὴν θάλασσαν κωπῆρες ἐξέπεμψε πλοῖον ἀπαντᾶν αὐτοῖς. Ὁ δὲ ἀποσταλεὶς ἐπυνθάνετο πλη- 4 σίον ἐλθὼν τίνες εἶησαν, Χαιρέας δὲ ἐκέλευσεν ἀποκρίνασθαί τινα τῶν Αἰγυπτίων "ἡμεῖς ἐξ Αἰγύπτου πλέομεν ἔμποροι, φορτία φέροντες, ἃ Συρακουσίους εὐφρανεῖ." "Μὴ ἀθρόοι τοίνυν εἰσπλεῖτε" φησίν, "ἕως ἂν γνῶμεν εἰ ἀληθεύετε· φορτίδας γὰρ οὐ βλέπω ναῦς ἀλλὰ μακρὰς καὶ ὡς ἐκ πολέμου τριήρεις, ὥστε αἱ μὲν πλείους ἔξω τοῦ λιμένος μετέωροι μεινάτωσαν, μία δὲ καταπλευσάτω." "Ποιήσομεν οὕτως."

Εἰσέπλευσεν οὖν τριήρης ἡ Χαιρέου πρώτη. 5 Εἶχε δὲ ἐπάνω σκηνὴν συγκεκαλυμμένην Βαβυλωνίοις παραπετάσμασιν. Ἐπεὶ δὲ καθωρμίσθη, πᾶς ὁ λιμὴν ἀνθρώπων ἐνεπλήσθη· φύσει μὲν γὰρ ὄχλος ἐστὶ περίεργόν τι χρῆμα, τότε δὲ καὶ πλείονας εἶχον αἰτίας τῆς συνδρομῆς. Βλέποντες δὲ εἰς τὴν σκηνὴν 6 ἔνδον ἐνόμιζον οὐκ ἀνθρώπους ἀλλὰ φόρτον εἶναι πολυτελῆ, καὶ ἄλλος ἄλλο τι ἐμαντεύετο, πάντα δὲ μᾶλλον ἢ τἀληθὲς εἴκαζον· καὶ γὰρ ἦν ἄπιστον, ὡς ἀληθῶς ἤδη πεπυσμένων αὐτῶν ὅτι Χαιρέας τέθνηκε,

ζῶντα δόξαι καταπλεῖν καὶ μετὰ τοσαύτης πολυτε-
7 λείας. Οἵ τε τοῦ Χαιρέου γονεῖς οὐδὲ προῆσαν ἐκ
τῆς οἰκίας, Ἑρμοκράτης δὲ ἐπολιτεύετο μέν, ἀλλὰ
πενθῶν, καὶ τότε εἱστήκει μέν, λανθάνων δέ. Πάν-
των δὲ ἀπορούντων καὶ τοὺς ὀφθαλμοὺς ἐκτετακό-
των αἰφνίδιον εἰλκύσθη τὰ παραπετάσματα, καὶ
ὤφθη Καλλιρρόη μὲν ἐπὶ χρυσηλάτου κλίνης ἀνακει-
μένη, Τυρίαν ἀμπεχομένη πορφύραν, Χαιρέας δὲ
8 αὐτῇ παρακαθήμενος, σχῆμα ἔχων στρατηγοῦ. Οὔτε
βροντή ποτε οὕτως ἐξέπληξε τὰς ἀκοὰς οὔτε ἀστραπὴ
τὰς ὄψεις τῶν ἰδόντων, οὔτε θησαυρὸν εὑρών τις
χρυσίου τοσοῦτον ἐξεβόησεν, ὡς τότε τὸ πλῆθος,
ἀπροσδοκήτως ἰδὸν θέαμα λόγου κρεῖττον. Ἑρμο-
κράτης δὲ ἀνεπήδησεν ἐπὶ τὴν σκηνὴν καὶ περιπτυ-
ξάμενος τὴν θυγατέρα εἶπε "ζῇς, τέκνον, ἢ [καὶ]
τοῦτο πεπλάνημαι;" "Ζῶ, πάτερ, νῦν ἀληθῶς, ὅτι
σε τεθέαμαι." Δάκρυα πᾶσιν ἐχεῖτο μετὰ χαρᾶς.
9 Μεταξὺ δὲ Πολύχαρμος ἐπικαταπλεῖ [σὺν] ταῖς
ἄλλαις τριήρεσιν· αὐτὸς γὰρ ἦν πεπιστευμένος τὸν
ἄλλον στόλον ἀπὸ Κύπρου διὰ τὸ μηκέτι Χαιρέαν ἄλλῳ
10 τινὶ σχολάζειν δύνασθαι πλὴν Καλλιρρόῃ μόνῃ. Τα-
χέως δὲ ὁ λιμὴν ἐπληροῦτο, καὶ ἦν ἐκεῖνο τὸ σχῆμα
τὸ μετὰ τὴν ναυμαχίαν τὴν Ἀττικήν· καὶ αὗται γὰρ
αἱ τριήρεις ἐκ πολέμου κατέπλεον ἐστεφανωμέναι,
χρησάμεναι Συρακουσίῳ στρατηγῷ· συνεμίχθησαν
δὲ αἱ φωναὶ τῶν ἀπὸ τῆς θαλάσσης τοὺς ἐπὶ γῆς
ἀσπαζομένων καὶ πάλιν ἐκείνων τοὺς ἐκ θαλάσσης,
εὐφημίαι τε καὶ ἔπαινοι καὶ συνευχαὶ πυκναὶ παρ'
ἀμφοτέρων πρὸς ἀλλήλους· ἦκε δὲ καὶ ὁ Χαιρέου
11 πατήρ, λιποψυχῶν ἐκ τῆς παραδόξου χαρᾶς. Ἐπεκε-
λεύοντο δὲ ἀλλήλοις συνέφηβοι καὶ συγγυμνασταί,
Χαιρέαν ἀσπάσασθαι θέλοντες, Καλλιρρόην δὲ αἱ γυ-

ναῖκες. Ἔδοξε δὲ ἔτι καλλίων ἑαυτῆς Καλλιρρόη γεγονέναι, ὥστε ἀληθῶς εἶπες ἂν αὐτὴν ὁρᾶν τὴν Ἀφροδίτην ἀναδυομένην ἐκ τῆς θαλάσσης. Προσελθὼν δὲ Χαιρέας τῷ Ἑρμοκράτει καὶ τῷ πατρὶ "παραλάβετε" ἔφη "τὸν πλοῦτον τοῦ μεγάλου βασιλέως." Καὶ εὐθὺς ἐκέλευσεν ἐκκομίζεσθαι ἄργυρον καὶ χρυσὸν ἀναρίθμητον, εἶτα ἐλέφαντα καὶ ἤλεκτρον καὶ ἐσθῆτα καὶ πᾶσαν ὕλης τέχνης τε πολυτέλειαν ἐπέδειξε Συρακουσίοις καὶ κλίνην καὶ τράπεζαν τοῦ μεγάλου βασιλέως, ὥστε ἐνεπλήσθη πᾶσα ἡ πόλις οὐχ ὡς πρότερον ἐκ τοῦ πολέμου τοῦ Σικελικοῦ πενίας Ἀττικῆς, ἀλλά, τὸ καινότατον ἐν εἰρήνῃ, λαφύρων Μηδικῶν. 12

Ἀθρόον δὲ τὸ πλῆθος ἀνεβόησεν "ἀπίωμεν εἰς τὴν ἐκκλησίαν·" ἐπεθύμουν γὰρ αὐτοὺς καὶ ἰδεῖν καὶ ἀκοῦσαι· λόγου δὲ θᾶττον ἐπληρώθη τὸ θέατρον ἀνδρῶν τε καὶ γυναικῶν. Εἰσελθόντος δὲ μόνου Χαιρέου πᾶσαι καὶ πάντες ἐπεβόησαν "Καλλιρρόην παρακάλει." Ἑρμοκράτης δὲ καὶ τοῦτο ἐδημαγώγησεν, εἰσάγων καὶ τὴν θυγατέρα. Πρῶτον οὖν ὁ δῆμος εἰς τὸν οὐρανὸν ἀναβλέψας εὐφήμει τοὺς θεοὺς καὶ χάριν ἠπίστατο μᾶλλον ὑπὲρ τῆς ἡμέρας ταύτης ἢ τῆς τῶν ἐπινικίων· εἶτα ποτὲ μὲν ἐσχίζοντο, καὶ οἱ μὲν ἄνδρες ἐπῄνουν Χαιρέαν αἱ δὲ γυναῖκες Καλλιρρόην, ὅτε δ' αὖ πάλιν ἀμφοτέρους κοινῇ· καὶ τοῦτο ἐκείνοις ἥδιον ἦν. 7 2

Καλλιρρόην μὲν οὖν ὡς ἂν ἐκ πλοῦ καὶ ἀγωνίας εὐθὺς ἀσπασαμένην τὴν πατρίδα ἀπήγαγον ἐκ τοῦ θεάτρου, Χαιρέαν δὲ κατεῖχε τὸ πλῆθος, ἀκοῦσαι βουλόμενον πάντα τὰ τῆς ἀποδημίας διηγήματα. Κἀκεῖνος ἀπὸ τῶν τελευταίων ἤρξατο, λυπεῖν οὐ θέλων [ἐν] τοῖς πρώτοις καὶ σκυθρωποῖς τὸν λαόν. Ὁ δὲ δῆ- 3

μος ἐνεκελεύετο "ἐρωτῶμεν, ἄνωθεν ἄρξαι, πάντα
4 ἡμῖν λέγε, μηδὲν παραλίπῃς." Ὤκνει Χαιρέας, ὡς
ἂν ἐπὶ πολλοῖς τῶν οὐ κατὰ γνώμην συμβάντων αἰ-
δούμενος, Ἑρμοκράτης δὲ ἔφη "μηδὲν αἰδεσθῇς, ὦ
τέκνον, κἂν λέγῃς τι λυπηρότερον ἢ μικρότερον ἡμῶν·
τὸ γὰρ τέλος λαμπρὸν γενόμενον ἐπισκοτεῖ τοῖς προ-
τέροις ἅπασι, τὸ δὲ μὴ ῥηθὲν ὑπόνοιαν ἔχει χαλεπω-
5 τέραν ἐξ αὐτῆς τῆς σιωπῆς. Πατρίδι λέγεις καὶ γο-
νεῦσιν, ὧν ἰσόρροπος ἡ πρὸς ἀμφοτέρους ὑμᾶς φιλο-
στοργία. Τὰ μὲν οὖν πρῶτα τῶν διηγημάτων ἤδη
καὶ ὁ δῆμος ἐπίσταται, καὶ γὰρ τὸν γάμον ὑμῶν αὐ-
6 τὸς ἔξευξε· ** τὴν τῶν ἀντιμνηστευομένων ἐπιβου-
λὴν εἰς ψευδῆ ζηλοτυπίαν [καὶ ὡς] καιρίως ἔπληξας
τὴν γυναῖκα πάντες ἔγνωμεν καὶ ὅτι δόξασα τεθνά-
ναι πολυτελῶς ἐκηδεύθη, σὺ δὲ εἰς φόνου δίκην
ὑπαχθεὶς σεαυτοῦ κατεψηφίσω, συναποθανεῖν θέ-
7 λων τῇ γυναικί. Ἀλλ' ὁ δῆμός σε ἀπέλυσεν, ἀκούσιον
ἐπιγνοὺς τὸ συμβάν. Τὰ δὲ τούτων ἐφεξῆς, ὅτι Θήρων ὁ τυμβωρύχος νυκτὸς τὸν τάφον διασκάψας Καλλιρρόην ζῶσαν εὑρὼν μετὰ τῶν ἐνταφίων ἐνέθηκε
τῷ πειρατικῷ κέλητι καὶ εἰς Ἰωνίαν ἐπώλησε, σὺ δὲ
κατὰ τὴν ζήτησιν τῆς γυναικὸς ἐξελθὼν αὐτὴν μὲν
οὐχ εὗρες, ἐν δὲ τῇ θαλάσσῃ τῷ πειρατικῷ πλοίῳ
8 περιπεσὼν τοὺς μὲν ἄλλους ληστὰς τεθνεῶτας κατέ-
λαβες ὑπὸ δίψους, Θήρωνα δὲ μόνον ἔτι ζῶντα εἰσή-
γαγες εἰς τὴν ἐκκλησίαν, κἀκεῖνος μὲν βασανισθεὶς
ἀνεσκολοπίσθη, τριήρη δὲ ἐξέπεμψεν ἡ πόλις καὶ
πρεσβευτὰς ὑπὲρ Καλλιρρόης, ἑκούσιος δὲ συνεξέ-
πλευσέ σοι Πολύχαρμος ὁ φίλος, [καὶ] ταῦτα ἴσμεν·

---

18 post ἐφεξῆς: ἡμῖν ἀπάγγειλον

σὺ δὲ ἡμῖν διήγησαι τὰ μετὰ τὸν ἔκπλουν συνενεχθέντα τὸν σὸν ἐντεῦθεν."

Ὁ δὲ Χαιρέας ἔνθεν ἐλὼν διηγεῖτο "πλεύσαντες 9
τὸν Ἰόνιον ἀσφαλῶς εἰς χωρίον κατήχθημεν ἀνδρὸς
Μιλησίου, Διονυσίου τοὔνομα, πλούτῳ καὶ γένει καὶ
δόξῃ πάντων Ἰώνων ὑπερέχοντος. Οὗτος δὲ ὁ παρὰ
Θήρωνος Καλλιρρόην ταλάντου πριάμενος. Μὴ φο- 10
βηθῆτε· οὐκ ἐδούλωσεν· εὐθὺς γὰρ τὴν ἀργυρώ-
νητον αὐτοῦ δέσποιναν ἀπέδειξε, καὶ ἐρῶν αὐτῆς
βιάσασθαι οὐκ ἐτόλμησε τὴν εὐγενῆ, πέμψαι δὲ πά-
λιν εἰς Συρακούσας οὐχ ὑπέμεινεν ἧς ἥρα. Ἐπεὶ δὲ 11
ἤσθετο Καλλιρρόη κύουσαν ἑαυτὴν ἐξ ἐμοῦ, σῶσαι
τὸν πολίτην ὑμῖν θέλουσα, ἀνάγκην ἔσχε Διονυσίῳ
γαμηθῆναι, σοφιζομένη τοῦ τέκνου τὴν γονήν, ἵνα ἐκ
Διονυσίου δόξῃ γεγεννηκέναι, καὶ τραφῇ τὸ παιδίον
ἐπαξίως. Τρέφεται γὰρ ὑμῖν, ἄνδρες Συρακούσιοι, 12
πολίτης ἐν Μιλήτῳ πλούσιος ὑπ' ἀνδρὸς ἐνδόξου·
καὶ γὰρ ἐκείνου τὸ γένος [ἔνδοξον] Ἑλληνικόν. Μὴ
φθονήσωμεν αὐτῷ μεγάλης κληρονομίας.

Ταῦτα μὲν οὖν ἔμαθον ὕστερον· τότε δὲ κατα- 8
χθεὶς ἐν τῷ χωρίῳ Καλλιρρόης εἰκόνα θεασάμενος ἐν
ἱερῷ ἐγὼ μὲν εἶχον ἀγαθὰς ἐλπίδας, νύκτωρ δὲ Φρύ-
γες λῃσταὶ καταδραμόντες ἐπὶ θάλασσαν ἐνέπρη-
σαν μὲν τὴν τριήρη, τοὺς δὲ πλείστους κατέσφα-
ξαν, ἐμὲ δὲ καὶ Πολύχαρμον δήσαντες ἐπώλησαν εἰς
Καρίαν." Θρῆνον ἐξέρρηξεν ἐπὶ τούτοις τὸ πλῆθος, 2
εἶπε δὲ Χαιρέας "ἐπιτρέψατε ἐμοὶ τὰ ἑξῆς σιωπᾶν,
σκυθρωπότερα γάρ ἐστι τῶν πρώτων·" ὁ δὲ δῆμος
ἐξεβόησε "λέγε πάντα." Καὶ ὃς ἔλεγεν "ὁ πριάμε-
νος ἡμᾶς, δοῦλος Μιθριδάτου, στρατηγοῦ Καρίας,
ἐκέλευσε σκάπτειν ὄντας πεπεδημένους. Ἐπεὶ δὲ τὸν
δεσμοφύλακα τῶν δεσμωτῶν ἀπέκτεινάν τινες, ἀνα-

σταυρωθῆναι πάντας ἡμᾶς Μιθριδάτης ἐκέλευσε.
3 Κἀγὼ μὲν ἀπηγόμην· μέλλων δὲ βασανίζεσθαι Πολύχαρμος εἶπέ μου τοὔνομα καὶ Μιθριδάτης ἐγνώρισε· Διονυσίου γὰρ ξένος γενόμενος ἐν Μιλήτῳ, Χαιρέου θαπτομένου παρῆν· πυθομένη γὰρ Καλλιρ- 5
ρόη τὰ περὶ τὴν τριήρη καὶ τοὺς ληστάς, κἀμὲ δόξασα
4 τεθνάναι, τάφον ἔχωσέ μοι πολυτελῆ. Ταχέως οὖν ὁ Μιθριδάτης ἐκέλευσε καθαιρεθῆναί με τοῦ σταυροῦ σχεδὸν ἤδη πέρας ἔχοντα, καὶ ἔσχεν ἐν τοῖς φιλτάτοις· ἀποδοῦναι δέ μοι Καλλιρρόην ἔσπευδε καὶ 10
5 ἐποίησέ με γράψαι πρὸς αὐτήν. Ἀμελείᾳ δὲ τοῦ διακονουμένου τὴν ἐπιστολὴν ἔλαβεν αὐτὸς Διονύσιος· ἐμὲ δὲ ζῆν οὐκ ἐπίστευεν, ἐπίστευε δὲ Μιθριδάτην ἐπιβουλεύειν αὐτοῦ τῇ γυναικί, καὶ εὐθὺς αὐτῷ μοιχείαν ἐγκαλῶν ἐπέστειλε βασιλεῖ· βασιλεὺς δὲ ἀνε- 15
δέξατο τὴν δίκην καὶ πάντας ἐκάλεσε πρὸς αὐτόν.
6 Οὕτως ἀνέβημεν εἰς Βαβυλῶνα. Καὶ Καλλιρρόην μὲν Διονύσιος ἄγων περίβλεπτον ἐποίησε κατὰ τὴν Ἀσίαν ὅλην [θαυμαζομένην], ἐμὲ δὲ Μιθριδάτης ἐπηγάγετο· γενόμενοι δὲ ἐκεῖ μεγάλην ἐπὶ βασιλέως 20
δίκην εἴπομεν. Μιθριδάτην μὲν οὖν εὐθὺς ἀπέλυσεν, ἐμοὶ δὲ καὶ Διονυσίῳ διαδικασίαν περὶ τῆς γυναικὸς ἐπήγγειλε, Καλλιρρόην παραθέμενος ἐν τῷ
7 μεταξὺ Στατείρᾳ τῇ βασιλίδι. Ποσάκις, ἄνδρες Συρακούσιοι, δοκεῖτε, θάνατον ἐβουλευσάμην ἀπε- 25
ζευγμένος τῆς γυναικός, εἰ μή με Πολύχαρμος ἔσωσεν ὁ μόνος ἐν πᾶσι φίλος πιστός; Καὶ γὰρ βασιλεὺς ἠμελήκει τῆς δίκης, ἔρωτι Καλλιρρόης φλεγόμενος.
8 Ἀλλ' οὔτε ἔπεισε οὔτε ὕβρισεν· εὐκαίρως δὲ Αἴγυπτος ἀποστᾶσα** βαρὺν ἐκίνησε πόλεμον, ἐμοὶ δὲ με- 30
γάλων ἀγαθῶν αἴτιον. Καλλιρρόην μὲν γὰρ ἡ βασιλὶς ἐπήγετο, ψευδῆ δὲ ἀκούσας ἀγγελίαν ἐγὼ φήσαν-

τός τινος ὅτι Διονυσίῳ παρεδόθη, θέλων ἀμύνασθαι βασιλέα, πρὸς τὸν Αἰγύπτιον αὐτομολήσας ἔργα μεγάλα διεπραξάμην. Καὶ γὰρ Τύρον δυσάλωτον οὖσαν 9
ἐχειρωσάμην αὐτὸς καὶ ναύαρχος ἀποδειχθεὶς κατεναυμάχησα τὸν μέγαν βασιλέα καὶ Ἀράδου κύριος ἐγενόμην, ἔνθα καὶ τὴν βασιλίδα καὶ τὸν πλοῦτον, ὃν ἑωράκατε, βασιλεὺς ἀπέθετο. Ἐδυνάμην οὖν καὶ τὸν 10
Αἰγύπτιον ἀποδεῖξαι πάσης τῆς Ἀσίας δεσπότην, εἰ μὴ χωρὶς ἐμοῦ μαχόμενος ἀνῃρέθη. Τὸ δὲ λοιπὸν φίλον ὑμῖν ἐποίησα τὸν μέγαν βασιλέα, τὴν γυναῖκα δωρησάμενος αὐτῷ καὶ Περσῶν τοῖς ἐντιμοτάτοις μητέρας τε καὶ ἀδελφὰς καὶ γυναῖκας καὶ θυγατέρας πέμψας. Αὐτὸς δὲ Ἕλληνας τοὺς ἀρίστους Αἰγυ- 11
πτίων τε τοὺς θέλοντας ἤγαγον ἐνθάδε. Ἐλεύσεται καὶ ἄλλος στόλος ἐξ Ἰωνίας ὑμέτερος· ἄξει δὲ αὐτὸν ὁ Ἑρμοκράτους ἔγγονος."

Εὐχαὶ παρὰ πάντων ἐπὶ τούτοις ἐπηκολούθησαν. 12
Καταπαύσας δὲ τὴν βοὴν Χαιρέας εἶπεν "ἐγὼ καὶ Καλλιρρόη χάριν ἔχομεν ἐφ' ἡμῶν Πολυχάρμῳ τῷ φίλῳ· καὶ γὰρ εὔνοιαν ἐπεδείξατο καὶ πίστιν ἀληθεστάτην πρὸς ἡμᾶς· κἂν ὑμῖν δοκῇ, δῶμεν αὐτῷ γυναῖκα τὴν ἀδελφὴν τὴν ἐμήν· προῖκα δὲ ἕξει μέρος τῶν λαφύρων." Ἐπηυφήμησεν ὁ δῆμος "ἀγαθῷ 13
ἀνδρὶ Πολυχάρμῳ, φίλῳ πιστῷ, ὁ δῆμός σοι χάριν ἐπίσταται. Τὴν πατρίδα εὐηργέτηκας· ἄξιος Ἑρμοκράτους καὶ Χαιρέου." Μετὰ ταῦτα πάλιν Χαιρέας εἶπε "καὶ τούσδε τοὺς τριακοσίους, Ἕλληνας ἄνδρας, στρατὸν ἐμὸν ἀνδρεῖον, δέομαι ὑμῶν, πολίτας ποιήσατε." Πάλιν ὁ δῆμος ἐπεβόησεν "ἄξιοι μεθ' ἡμῶν πολιτεύεσθαι· χειροτονείσθω ταῦτα." Ψήφισμα 14
ἐγράφη καὶ εὐθὺς ἐκεῖνοι καθίσαντες μέρος ἦσαν τῆς ἐκκλησίας. Καὶ Χαιρέας ἐδωρήσατο τάλαντον ἑκάστῳ,

τοῖς δὲ Αἰγυπτίοις ἀπένειμε χώραν Ἑρμοκράτης, ὥστε ἔχειν αὐτοὺς γεωργεῖν.

Ἕως δὲ ἦν τὸ πλῆθος ἐν τῷ θεάτρῳ, Καλλιρρόη, πρὶν εἰς τὴν οἰκίαν εἰσελθεῖν, εἰς τὸ τῆς Ἀφροδίτης ἱερὸν ἀφίκετο. Λαβομένη δὲ αὐτῆς τῶν ποδῶν καὶ ἐπιθεῖσα τὸ πρόσωπον καὶ λύσασα τὰς κόμας, καταφιλοῦσα "χάρις σοὶ" φησίν, "Ἀφροδίτη· πάλιν γάρ μοι Χαιρέαν ἐν Συρακούσαις ἔδειξας, ὅπου καὶ παρθένος εἶδον αὐτὸν σοῦ θελούσης. Οὐ μέμφομαί σοι, δέσποινα, περὶ ὧν πέπονθα· ταῦτα εἵμαρτό μοι. Δέομαί σου, μηκέτι με Χαιρέου διαζεύξῃς, ἀλλὰ καὶ βίον μακάριον καὶ θάνατον κοινὸν κατάνευσον ἡμῖν."

Τοσάδε περὶ Καλλιρρόης συνέγραψα.

Χαρίτωνος Ἀφροδισιέως
τῶν περὶ Χαιρέαν καὶ Καλλιρρόην ἡ λόγων
τέλος

ΕΥΣΤΑΘΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΤΟ ΚΑΘ' ΥΣΜΙΝΗΝ ΚΑΙ ΥΣΜΙΝΙΑΝ ΔΡΑΜΑ

Α

1 Πόλις Εὐρύκωμις καὶ τἆλλα μὲν ἀγαθή, ὅτι καὶ θαλάττῃ στεφανοῦται καὶ ποταμοῖς καταρρεῖται καὶ λειμῶσι κομᾷ καὶ τρυφαῖς εὐθηνεῖται παντοδαπαῖς. τὰ δ' εἰς θεοὺς εὐσεβής, καὶ ὑπὲρ τὰς χρυσᾶς Ἀθήνας ὅλη βωμός, ὅλη θῦμα, θεοῖς ἀνάθημα. Προκηρύττει τὰς ἑορτάς, πανηγύρεις ἄγει, θύει τὰ πρόσφορα καὶ 2 Διὶ καὶ τοῖς ἄλλοις θεοῖς. Παρὰ δὴ ταύτῃ τῇ Εὐρυκώμιδι καιρὸς Διασίων καὶ κλῆρος ἐπὶ τοὺς κήρυκας· καὶ τοῦτο γὰρ ἔθος τῇ πόλει καὶ νόμος ἔγγραφος· ἂν καιρὸς πανηγύρεως ἱερᾶς, κλῆρος ἐπὶ τοὺς ἄξυγας τῶν προὐχόντων τῆς πόλεως· καὶ πρὸς ὃν ὁ κλῆρος ἐκπέσοι, κήρυξ στέλλεται τῇ λαχούσῃ, πρότερον ἐστεφανωμένος τῆς δάφνης.

2 Κλῆρος οὖν ἐπ' ἐμὲ καὶ στεφανίτης ἐγώ, κάλλιστέ μοι Χαρίδημε, καὶ κήρυξ ἱερὸς ἐς Αὐλίκωμιν. Πρόειμι τοῦ ἱεροῦ περιεστεμμένος δαφνίνῳ στεφάνῳ τὴν κεφαλήν, ἱερῷ χιτῶνι, ἀρβύλῃ σεμνῇ· δέχεταί με τὸ παρεστὸς προπομπῇ λαμπρᾷ λαμπάδων, κυμβάλων, δᾴδων, προπεμπτηρίων ᾠδῶν, ὅλης ἱερᾶς προπομπῆς. 2 Ὀρθὴ γοῦν ἡ πόλις, καὶ πᾶν τὸ ταύτης περὶ ἐμέ· ὁ μὲν ἀσπάζεται, ὁ δὲ περιπτύσσεται, ἄλλος ὀρχεῖταί μου πρὸ ποδῶν, καὶ κατ' ἄλλον ἄλλος τὸν θρίαμβον ἐξυφαίνει μοι· εἴποις ἂν ἰδὼν ποταμὸν ἐριβρύχην καὶ 3 πολύρρουν περιρρεῖν με τὸν κήρυκα. Ἓν στόμα πάσῃ τῇ πόλει "ὁ κήρυξ Ὑσμινίας, καὶ κήρυξ οὐκ ἐς τυχοῦσαν ἀλλ' ἐς Αὐλίκωμιν."

Ἧκω τοίνυν ἐπ' αὐτήν· τί γὰρ δεῖ τἀν μέσῳ φι- 3
λοσοφεῖν; Ὠγαθέ, ἥκω κήρυξ καὶ δέχομαι παρ' αὐ-
6 τοῖς οὐχ ὡς κήρυξ ἀλλ' ὡς θεός. Ξυντρέχει τὸ πλῆθος,
κοσμοῦσι τὰς ἀγυιάς, μυρρίναις τὴν ὁδόν μοι κατα-
5 πάττουσιν, ὀδμαῖς τὸν ἀέρα θολοῦσι, καταβρέχουσι τὸ
παρεστὸς ῥόδων σταλαγμοῖς· ἐμὲ δὲ περιστᾶσι, καὶ 2
λαμπρόν τινα χορὸν τοιοῦτον ἐλίττουσιν, οἷον καὶ Σω-
κράτην οἱ ξηλωταὶ περιειστήκεσαν· ἐφέλκονταί με
πάντες πρὸς ἑαυτούς, εὐτυχίαν ἡγούμενοι πρὸς ὃν κα-
10 ταλύσαιμι, ὡς ὑπὲρ μεγάλων ἐκ μεγάλης στελλόμενον
κήρυκα. Νικᾷ Σωσθένης, καὶ ἅρμα φέρων ἀνάγει καὶ 3
περὶ τὴν οἰκίαν μετάγει με καὶ φιλοφρονεῖταί με μάλα
φιλοτίμως καὶ περὶ τὸν κῆπον εἰσάγει με.

Ὁ δὲ μεστὸς ἦν χαρίτων καὶ ἡδονῆς, πλήρης φυ- 4
15 τῶν, ὅλος ἀνθέων μεστός· αἱ κυπάριττοι στοιχηδόν,
αἱ μυρρίναι κατὰ στέγην ξυνηρεφεῖς· αἱ ἄμπελοι βο-
στρυχοῦνται τοῖς βότρυσι· τὸ ἴον προπηδᾷ τῶν φύλ-
λων καὶ μετ' ὀδμῆς ὡραΐζει τὴν ὄψιν· τῶν ῥόδων τὸ
μὲν προκύπτει τῆς κάλυκος, τὸ δ' ἐγκυμονεῖται, ἄλλο
9 προκέκυφεν, ἔστι δ' ὃ καὶ πεπανθὲν κατὰ γῆν ἐρρύη·
21 τὸ κρίνον κοσμεῖ τὸν κῆπον, ἡδύνει τὴν ὄσφρησιν, τὸν 2
θεατὴν ἐφέλκεται καὶ πρὸς τὸ ῥόδον ἐρίζει· σὺ δ' ἂν
εἰ δικαστὴς καθίσῃς αὐτῶν, οὐκ οἶδ' ᾧ τὴν νικῶσαν
ἀποχαρίσῃ. Ταῦτ' ἰδὼν τὸν Ἀλκινόου κῆπον ἐδόκουν 3
25 ὁρᾷν, καὶ μῦθον οὐκ εἶχον τὸ παρὰ τοῖς ποιηταῖς σε-
μνολογούμενον πεδίον Ἠλύσιον· δάφνη γὰρ καὶ μυρ-
ρίνη καὶ κυπάριττος καὶ ἄμπελοι καὶ τἆλλα τῶν φυ-
τῶν, ὅσα τὸν κῆπον ἐκόσμει ἢ μᾶλλον ὁ Σωσθένους
ἔφερε κῆπος, ἐφαπλοῦσι τοὺς κλάδους ὡς χεῖρας καὶ
30 ὥσπερ χορὸν ξυστησάμενα κατοροφοῦσι τὸν κῆπον, ἐς 4
τοσοῦτον δὲ τῷ ἡλίῳ παραχωροῦσι προκύψαι περὶ τὴν
γῆν, ἐς ὅσον ὁ ζέφυρος πνεύσας τὰ φύλλα διέσεισεν.

Ἐγὼ δ' εἶπον ἰδὼν "χρυσέαν ἐπλέξω μοι τὴν σειράν, Σώσθενες."

*Φρέαρ ὡσεὶ πήχεις ὠρώρυκτο τέτταρας· ὀφενδόνη τὸ σχῆμα τοῦ φρέατος· κιονοειδὴς αὐλὸς περὶ τὸ μεσαίτατον κέντρου λόγον ἐπέχων πρὸς τὸ τοῦ φρέατος κύκλωμα· λίθος ἦν ὁ αὐλός, καὶ λίθος ἑκατοντάχρους. Ἐκ Θετταλοῦ λίθου φιάλη περὶ τὴν κορυφὴν τοῦ αὐλοῦ, καὶ ἐπὶ ταύτῃ κατάχρυσος ἀετὸς ὕδωρ ἀποπτύων τοῦ στόματος. Ἡ φιάλη τὸ ὕδωρ ἐδέχετο· ὁ ἀετὸς ἐξέτεινε τὸ πτερόν, ὡς δοκεῖν ἐθέλειν λελοῦσθαι τοῖς ὕδασιν. Ἀρτιτόκος αἴξ τοὺς ἐμπροσθίους ὀκλάσασα τῶν ποδῶν πίνει τοῦ ὕδατος· αἰπόλος τῇ θηλῇ παρακάθηται, ψαύει τῶν οὐθάτων· καὶ ἡ μὲν πίνει τοῦ ὕδατος, ὁ δ' ἀμέλγει γάλα λευκόν· καὶ ὅσον αὕτη προσκέχηνε τῷ ποτῷ, ὁ αἰπόλος οὐκ ἀναπεύει τῆς ἀμολγῆς, τὸ δ' ὑπὸ τὴν θηλὴν ποιμενικὸν κισσύβιον οὐκ ἀσφαλῶς ὀχυρωθὲν τὴν περὶ τὸν πυθμένα ὀπὴν οὐκ ἐπέχει τὴν ἐκ τῆς θηλῆς ἐκροήν. Καὶ λαγωὸς τῷ κύκλῳ ξυνεφιζάνει, καὶ τῷ δεξιῷ τῶν ἐμπροσθίων ποδῶν ἀνορύττων ὥσπερ τὸ στόμα πηγὴν ὕδατος ἐκεῖθεν ἀναστομοῖ καὶ ὅλην καταβρέχει τὴν γένυν. Ξυνεπεκάθητο δὲ τῷ φρέατι περὶ τὸ στεφάνωμα καὶ χελιδὼν καὶ ταὼς καὶ περιστερὰ καὶ τρυγὼν καὶ ἀλεκτρυών, ἃ πάνθ' Ἥφαιστος ἐχαλκούργησε καὶ Δαιδάλου χεὶρ ἐτεχνούργησεν. Ὕδωρ ἐξεχεῖτο τῶν χειλέων αὐτῶν, ὃ μετὰ ψόφου ῥέον φωνὴν τοῖς ὄρνισιν ἐχαρίζετο· ἐψιθύριζε καὶ τὰ πέταλα τῶν δένδρων τῷ ζεφύρῳ ἀνακρουόμενα· εἶπες ἂν ἀκούσας ἡδὺ μελίζεσθαι τὰ πτηνά. Τὸ δέ γε καταῤῥέον ὕδωρ διειδὲς ὂν πρὸς τὰς τῶν λίθων χροιὰς μετεβάλλετο. Τὸν τοῦ φρέατος πυθμένα νησιώτης ἐκόσμει λίθος λευκὸς μὲν ἀλλ' ὑπεμελαίνετο κατὰ μέρη· καὶ τὸ μελάνωμα τέχνην

ἀπεμιμεῖτο ζωγράφου, ὡς ἐντεῦθεν δοκεῖν τὸ ὕδωρ κινεῖσθαι διηνεκῶς καὶ κατακυματοῦσθαι καὶ οἷον ἀνακυρτοῦσθαι· τὰ κύκλωθεν ἐκόσμει τοῦ φρέατος λίθος Χῖος ὁ ἐκ Λακαίνης, καὶ Θετταλὸς ἐτέρωθεν, καὶ μέσον πολύχρους τις καὶ οἷον ἑκατοντάχρους, ἐναλλὰξ ἀλλήλοις προσαρμοττόμενοι. Καὶ ἦν θέαμα καινὸν καὶ ὅλον χάριτος καὶ φρέαρ οὕτω ποικίλον καὶ πτηνὰ τὸ ὕδωρ ἐκπτύοντα καὶ Θετταλὴ φιάλη καὶ κατάχρυσος ἀετὸς πηγὴν φέρων ἐν στόματι. 8

Κλῖναι κύκλωθεν στοιχηδόν, οὐκ ἀπὸ ξύλων, οὐκ ἐξ ἐλέφαντος, ἀλλ' ἐκ λίθων λαμπρῶν· Θετταλαὶ τὴν βάσιν, τὰς πλευρὰς Χαλκίτιδι λίθῳ περικοσμούμεναι. Ἡμισφαίρια περὶ τὰς κλίνας ὑπέκειτο· ἃ πάνθ' ὁ τεχνίτης ἐκ Πεντελῆς ἐλάξευσεν ἐς ποδὸς ἀνάπαυλαν· τὰς κλίνας μυρρίναι πανταχόθεν περιέσκεπον εὐφυῶς ἀνατεταμέναι, πρὸς ἀλλήλας ξυνδούμεναι καὶ οἷον πρὸς ὄροφον ἀπευθυνόμεναι. 6

Ταῦτα δὴ ταῦτα μὰ Δί' ὁρῶν ὅλην τὴν ὄψιν ἀπεδίδουν τοῖς θεάμασι καὶ μικροῦ δεῖν ἄφωνος εἱστήκειν· ὁ δὲ Σωσθένης πρός μέ φησιν "ἀπόθου τὸν πρεσβευτήν, ἀπόθου τὸν κήρυκα, ξὺν ἡμῖν ἀνακλίθητι." Ἀποθέμενος οὖν τὸν στέφανον καὶ τὸν κηρύκειον χιτῶνα καὶ τὸ ἱερὸν πέδιλον ἀνακέκλιμαι· ξυνανακέκλιται δέ μοι καὶ Κρατισθένης ἀδελφιδοῦς ἐμός, ἄλλος αὐτὸς (οὕτω γὰρ ἐγὼ τὸν φίλον ὁρίζομαι) ἐξ Εὐρυκώμιδος ξυνεκπλεύσας μοι. Ἀνακεκλίμεθα τοίνυν ἐγώ τε καὶ Κρατισθένης καὶ Σωσθένης καὶ Πάνθεια γυνή. 7

Καὶ τὰ περὶ τροφὰς καὶ τρυφὰς τί δεῖ κατὰ μέρος φιλοκρινεῖν; Ὑσμίνῃ παρθένῳ τῇ θυγατρὶ Σωσθένης οἰνοχοεῖν ἐγκελεύεται· ἡ δ' ἀνεζώσατο τὸν χιτῶνα, ἐγύμνωσε τὼ χεῖρε μέχρις ἀγκῶνος, τὴν περὶ ταύτας 8

ὀθόνην μηρίνθῳ λεπτῇ περὶ τὸν τράχηλον ἀναδήσασα,
καὶ παρακαθίσασα τῇ περιστερᾷ τὰς χεῖρας ἐνίπτετο,
τοῦ στόματος τοῦ πτηνοῦ καθυπουργοῦντος τῷ λει-
2 τουργήματι. Εἶτά τι σκεῦος ἀργυροῦν ἀναλαβομένη
περὶ τὸ ῥάμφος ἄγει τοῦ ἀετοῦ καὶ περὶ μόνην ὀπὴν
ἐπλήρωσεν ὕδατος· οὕτω κατὰ κρουνὸν τὸ ὕδωρ κα-
ἔρρει. Καὶ περὶ τὸ σκεῦος ἐντίθησι τὰ ἐκπώματα καὶ
καταπλύνασα ταῦτα λίαν ἐπιμελῶς τε καὶ φιλοκάλως
3 γίνεται πρὸς τῷ λειτουργήματι. Ἔπιε μὲν οὖν ὁ Σω-
σθένης· οὐκ ἔπειθε γάρ μ' αὐτοῦ προπιεῖν· εἶτα καὶ
ἡ Πάνθεια ξυνέπιεν· ἐμὲ δὲ τρίτον εἶχεν ἡ πόσις.
Ἦκεν οὖν ἡ παρθένος καὶ παραθεμένη μοι τὸ ποτή-
4 ριον "χαίροις" ὑπεψιθύρισεν· ἐγὼ δ' ἀκούσας οὐδὲν
εἶπον, ἀλλ' ἔπιον μεθ' ἡδονῆς ὅσης, ὅτι καὶ τὸ ἔκ-
πωμα μάλα τερπνὸν καὶ τὸ ὕδωρ διειδὲς καὶ ψυχρὸν
καὶ τὸ πόμα μάλα γλυκύ, ὧν τί γένοιτ' ἂν ἡδύτερον
ἀνδρὶ διψῶντι καὶ καυματουμένῳ καὶ ξέοντι; Καὶ μετ'
ἐμὲ Κρατισθένης πίνει τοῦ νέκταρος· οὕτω γὰρ ἐγὼ
τὸν ἐξ Αὐλικώμιδος οἶνον καλῶ.

9 Μικρὸν προσανείχομεν ταῖς τροφαῖς πυκναῖς οὔ-
σαις καὶ πολυτελέσι τὰ μάλιστα· καὶ πάλιν ἐπίνομεν.
Ἦκεν οὖν ἡ παρθένος καὶ ἐπ' ἐμὲ καὶ μάλα βραχείᾳ
φωνῇ "ἔχεις" φησὶν "ἐξ ὁμωνύμου παρθένου τὴν κύ-
λικα" καὶ τὸν πόδα ταύτης ἐπὶ τὸν ἐμὸν ἐπιτέθεικε καὶ
προσεπέθλιβεν ἐφ' ὅσον ἐγὼ τοῦ πόματος ἔπινον·
ἐγὼ δ' ἠρυθριῶν, νὴ τοὺς θεούς, καὶ τάχ' ἂν καὶ
ἀπέσκωψα πρὸς αὐτήν, εἰ μὴ τύχῃ γενέσθαι τὸ πρᾶγμα
2 νενόμικα. Πάλιν οὖν ἐτρεφόμεθα καὶ πάλιν ἐπίνο-
μεν. Ἦκεν ἡ κόρη· κιρνῶσά μοι προύτεινε τὸ ποτή-
ριον, ἐγὼ δ' ἐξέτεινα τὴν χεῖρα λαβεῖν· καὶ τῆς μὲν
κύλικος ἐλαβόμην, ἡ δ' οὐκ ἀπεσπᾶτο τῶν τῆς παρ-
θένου χειρῶν· ἡ γάρ μοι παρθένος καὶ παρετίθετο

τὸ ποτήριον καὶ παρακατεῖχεν αὐτό· καὶ τῷ μὲν σχήματι παρετίθετο, τῇ δ' ἀληθείᾳ κατεῖχεν αὐτό. Ἔρις 3
οὖν ἐν χερσί, καὶ χεὶρ παρθένου κόρης νικᾷ χεῖρα κήρυκος παρθένου. Ἐγὼ δ' αἰσχυνθεὶς τὴν ἧτταν εἶπον
πρὸς τὴν παρθένον γλώττῃ κήρυκος, ἐλευθέρᾳ φωνῇ, παρθένῳ ψυχῇ "οὐ βούλει μοι δοῦναι; τί δ' ἄρα βούλει;" Ἡ δὲ ξυναρπάζει τῷ λόγῳ τὴν χεῖρα τῆς κύλι- 4
κος, ὅλη δ'- ἔντρομος ἐγεγόνει καὶ τὴν παρειὰν ὑπὲρ τὴν φύσιν ἠρυθρίωτο [καὶ] τοὺς ὀφθαλμοὺς ὅλους
ἀφῆκε τῇ γῇ καὶ ἦν ὡς ἐκ κεραυνοῦ βληθεῖσα τινὸς καὶ ὅλην ἐπὶ τοῦ προσώπου φέρουσα τὴν αἰδῶ.

Πάνθεια πρὸς τὴν κόρην ἄγει τοὺς ὀφθαλμούς, 10
ὅλους θυμοῦ, ὅλους ζήλου, καὶ πλήρεις αἵματος· εἰσβάλλει τούτους ἐπὶ τὴν κορυφὴν τῆς παιδός, ἐπὶ τὰς
χεῖρας, ἐπὶ τοὺς πόδας, ἐπὶ τὸν τράχηλον· ὅλην ἔχει τοῖς ὀφθαλμοῖς τὴν κόρην, καθ' ὅλης θυμοῦται, καθ' ὅλης ὀργίζεται· ἐρυθραίνεται τὴν παρειάν, ὠχριᾷ
πάλιν, ὡς τοῦ παντὸς ἐρυθήματος καθ' ὅλου τοῦ τῆς Ὑσμίνης προσώπου καταρρυέντος. Ὁ δέ γε Σωσθέ- 2
νης δριμὺ πρὸς τὴν παρθένον ἰδὼν καὶ αὐτὸς καὶ κινήσας τὴν κεφαλὴν ἐκεῖθεν εὐθὺς ἁφαρπάζει τοὺς ὀφθαλμοὺς καί φησι "Διασίων καιρός· κατατρυφήσωμεν τὰ Διάσια· ὅλοι γενώμεθα τῆς ἑορτῆς, ὅλοι τῆς πανηγύρεως. Ζεὺς παρὰ τῇ τραπέζῃ, καὶ Διὸς 3
[ἡ] τράπεζα, ὅτι καὶ ὁ κήρυξ οὗτος Διὸς" τῇ χειρί με παραδεικνύς. Καὶ ὁ Κρατισθένης ἐγγύς μου παρακαθήμενος πλήττει με σιγῇ τῇ χειρί, τῷ ποδὶ τὸν πόδα προσεπιθλίβει μου καὶ "σίγα" φησί μοι τῷ ψιθυρίσματι. Ἐγὼ δὲ τίς γενοίμην οὐκ εἶχον· ἠρυθρίων, 4

---

17 post παρειάν: ὃ καὶ παράδοξόν μοι δοκεῖ, θυμοῦ τικτόμενον ἔρευθος

ὠχρίων, ἐσίγων, ἐδειλίων, ὑπέτρεμον, ἠσχυνόμην ἐμαυτόν, τὸν Σωσθένην, τὴν Πάνθειαν, τὴν κόρην, τοὺς παρεστῶτας καὶ τὸν ἐμὸν Κρατισθένην. Τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν τράπεζαν ἐπεπήγειν, ἀπαλλαγῆναι ταύτης ηὐχόμην.

11 Ἡ κόρη καὶ πάλιν ἐκίρνα τῷ πατρὶ κελευσθεῖσα, καὶ μετὰ πατέρα Σωσθένην καὶ μετὰ μητέρα Πάνθειαν ἦκε πρός με τὸν κήρυκα. Ὁ δὲ Σωσθένης πρός με φησιν "Τσμινία κήρυξ, πόμα σοι τοῦτο τῆς ἑορτῆς, 2 καὶ πίθι τὸν Διὰ τιμῶν, καὶ χαῖρε. Χαῖρε τρυφῶν, χαῖρε πίνων, χαῖρε κηρύττων Διάσια." Ἐγὼ δ' "ἀντίχαιρε, Σώσθενες" εἶπον, "οὕτω ποικίλως ἡμᾶς φιλοφρονούμενος καὶ πολυτελῶς." Ἡ δὲ κόρη παρίστατο, τῇ μὲν χειρὶ τῇ χειρί μου παρατιθεμένη τὸ ἔκπωμα, τοὺς δ' ὀφθαλμοὺς ὅλους τοῖς ὀφθαλμοῖς μου ξυμπλέ- 3 κουσα. Προτείνω τὴν χεῖρα λαβεῖν, ἡ δὲ τὸν δάκτυλον ἐπιθλίβει μου καὶ θλίβουσα στένει καὶ φύσημα λεπτὸν ὡς ἐκ καρδίας φυσᾷ. Ἐγὼ δ' ἐσίγων τῷ Κρατισθένει πειθόμενος· καὶ οὕτω κατελύετο τὸ ξυμπόσιον.

12 Ἦγον οὖν ἡμᾶς ἐπὶ τὸ δωμάτιον Σωσθένης, Πάνθεια, παρθένος Τσμίνη καὶ θεράπαιναι τρεῖς· ἡ μὲν ἐκ τοῦ φρέατος ὕδωρ ἔφερεν, ἡ δέ τι σκεῦος ἀργυροῦν ἐπ' ὤμων ἀνεῖχεν, ἡ δὲ τρίτη λίνον κατὰ χιόνα λευ- 2 κόν. Ἐπέβημεν τοῦ δωματίου, καὶ Σωσθένης μοι "χαίροις" εἰπὼν ξὺν τῇ Πανθείᾳ ᾤχετο. Ἐγὼ δὲ καὶ Κρατισθένης ἀνακεκλίμεθα περὶ κλίνας ὅτι λαμπρῶς 26 3 ἐσταλμένας καὶ μαλακῶς. Ὑπέθηκε τὸ σκεῦος περὶ τὸν σκίμποδα κλίνης ἐμῆς ἡ τοῦτο κατέχουσα· ἡ ἑτέρα τὸ ὕδωρ ἐπέβαλεν· ἡ δὲ παρθένος Τσμίνη ὀκλάσασα τῷ πόδε καὶ λαβομένη μου τῶν ποδῶν ἐκπλύνει τῷ ὕδατι (καὶ τοῦτο γὰρ τοῖς κήρυξιν ἀφωσίωται)· ξυν-

ἔχει τούτους, κατέχει, περιπλέκεται, θλίβει, ἀψοφητὶ φιλεῖ καὶ ὑποκλέπτει τὸ φίλημα· καὶ τέλος ἀμύττουσα τοῖς ὄνυξι γαργαλίζει με. Ἐγὼ δὲ τἆλλα σιγῶν καὶ 4
φέρων ἄκων ἀνεκάγχασα· ἀνένευσεν ἡ κόρη, καὶ ἀτε-
νῶς ἰδοῦσά με μικρὸν ἐμειδίασε καὶ πάλιν κατένευσε,
κἂν ἐγὼ τοῖς ἔρωσιν οὐκ ἐπένευον· ἀπομάττει μου
τοὺς πόδας, τὸ μάκτρον ἐκ τῶν τῆς θεραπαινίδος ἀνε-
λομένη χειρῶν καὶ "χαίροις" εἰποῦσά μοι "κήρυξ,"
ᾤχετο.

Ἐγὼ δὲ περὶ τὸν ὕπνον ἐτραπόμην εὐθύς, καρη- 13
βαρήσας καὶ τροφῇ καὶ πόσει καὶ πόνοις τοῖς τοῦ κη-
ρύγματος. Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ὁ καλὸς
27 Κρατισθένης ἐξυπνίζει με λέγων "οὐ χρὴ παννύ-
χιον εὕδειν ἄνδρα κήρυκα." Ἐγὼ δ' ἀπεσπώ- 2
μην τῶν ὕπνων, αἰδοῖ καὶ φιλίᾳ πειθόμενος· οἱ δ'
οὐκ ἀπεσπῶντό μου τῶν ὀφθαλμῶν· τροφὴ γὰρ καὶ
πόσις καὶ κόπος ὕπνου πηγή. "Τί δὲ φῄς, ὦ Κρα-
τίσθενες" εἶπον, "τί μου τῶν βλεφάρων τὸν γλυκὺν
ἀποσπᾷς ὕπνον;" Ὁ δὲ τὰ περὶ τὴν τράπεζαν ἐζήτει 8
μαθεῖν καὶ πῶς ἀνεκάγχασα, καὶ τὴν ἐμὴν ἑλοιδόρει
γλῶτταν "γλώσσης τοι" λέγων "θησαυρὸς ἐν
ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης."
Ἐγὼ δὲ πρὸς αὐτὸν "τἆλλα μὲν τοῦ δείπνου, Κρα- 14
τίσθενες, οἶσθα καὶ ξυνανακεκλιμένος ἡμῖν καὶ πί-
νων τοῦ νέκταρος, τὰ δὲ περὶ τὴν κόρην τοιαῦτα.
Πρῶτόν μοι φέρουσα τὸ πόμα "χαίροις" ὑπεψιθύρισε·
δεύτερον "ἐξ ὁμωνύμου παρθένου χειρῶν δέχου" φησὶ
"τὸ ποτήριον," ῥηέμα δὲ καὶ τοῦτο καὶ τὴν ἀκοὴν ὑπο-
κλέπτουσα, ἐς ὅσον δ' ἐγὼ [[τοῦ πόματος]] ἔπινον,
αὐτὴ τῷ ποδὶ τὸν πόδα μου κατεπέθλιβε· τρίτον ἔφερέ
μοι τὸ πόμα καὶ διδοῦσα πάλιν ἐπέχει· ἐγὼ δ' ὅπερ

2 ἀκήκοας εἴρηκα. Τὰ δ' ἐφεξῆς οἶσθα, τὸν τῆς Παρθείας θυμόν, τὴν ὀργὴν τοῦ πατρός, τὴν τῆς κεφαλῆς κίνησιν, τὴν αἰδῶ τῆς παρθένου, τὴν σιγήν, τὴν ἔκπληξιν, τὸ ἐρύθημα, καὶ τἆλλα πάνθ' ὅσα πέπονθεν, ὡς ἐκ κεραυνοῦ βληθεῖσά τινος· πρὸς ἃ δὴ πάντα, νὴ τὸ σεμνὸν τοῦτο κηρύκειον, ἠσχυνόμην αὐτός, καὶ μᾶλλον τὴν σὴν ἐπιτίμησιν, ἥτις με σιγᾶν ἐπε-
3 τρέψατο. Τέταρτον ἐπίνομεν Σωτῆρι Διί, καὶ πάλιν Τσμίνη τὸν ἐμὸν ἐπέθλιβε δάκτυλον. Ταῦτα τὰ τῆς τραπέζης· τὰ δὲ τῆς κλίνης ὁποῖα; Νίπτει μου τοὺς πόδας, περιπλέκεται, θλίβει τοὺς δακτύλους, φιλεῖ καὶ φιλοῦσα κλέπτει τὸ φίλημα καὶ τέλος ἀμύττει τὸ πέλμα μου τοῦ ποδός· ὅθεν, ὡς ἤκουσας, ἀνεκάγχασα."
4 Καὶ ὁ Κρατισθένης "ὦ τῆς εὐτυχίας" ἀνακέκραγε· "παρθένος ἐρᾷ σου, καὶ παρθένος οὕτω καλή· σὺ δ' οὐκ ἀντεράς;" Ἐγὼ δὲ "καὶ τί τοῦτο τὸ ἐρᾶν;" εἶ-
5 ρηκα. Καὶ πάλιν ὁ Κρατισθένης μέγ' ἀνακέκραγεν "Ἡράκλεις, τῆς ἀτοπίας, τῆς ἠλιθιότητος· ἀλλ' ἴλεώς σοι Ἔρως, μήτηρ Ἀφροδίτη καὶ ἴυγγες ἐρωτικαί." Ἐγὼ δὲ "τίνες οὗτοι" πρὸς τὸν Κρατισθένην φημί, "τίς δέ μοι τούτων διδάσκαλος;" Ὁ δέ μοί φησι· "φύσιες ζώων ἀδίδακτοι." Πάλιν οὖν ἐπὶ τὸν ὕπνον ἐτράπημεν.

B

1 Τῇ δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν κῆπον γενόμενοι τοὺς ὀφθαλμοὺς ταῖς χάρισιν ἐτρεφόμεθα, τὴν ἡδονὴν μεθέλκοντες ἐπὶ τὰς ψυχάς· ἦν γὰρ ἀγαθῶν χωρίον ὁ κῆπος καὶ θεῶν δάπεδον καὶ ὅλος χάρις καὶ ἡδονή,

τέρψις ὀφθαλμῶν, καρδίας παραψυχή, παραμυθία ψυχῆς, μελῶν ἄνεσις, ἀνάπαυλα σώματος. Τὰ μὲν οὖν 2
περὶ τὸν κῆπον ὅσα καὶ οἷα· τὸ δέ γε θριγγίον, ἄλλο
τεράστιον, τοσοῦτον αἰρόμενον ὅσον ἀνεπίβατα τὰ τοῦ
34 κήπου τηρεῖν καὶ ὀφθαλμοῖς καὶ ποσί, πάντοθεν κατ-
6 εχαριτοῦτο χειρὶ ζωγράφου σοφῇ.

Παρθένοι τέτταρες ἐγεγράφατο στοιχηδόν. Ἡ 2
πρώτη λαμπρῶς τὴν κεφαλὴν ἐστεφάνωτο. Λίθοι περὶ
τὸν στέφανον μάλα τηλαυγεῖς, πῦρ ἀπαστράπτοντες
10 καὶ φῶς ἀπαυγάζοντες, ὑδάτων μεστοί. Εἴποις ἂν
ἰδὼν μεμίχθαι τὰ ἄμικτα, ὕδωρ καὶ πῦρ, ἐν λίθῳ, καὶ
ἄμφω τερπνὰ καὶ ἄμφω χαρίεντα. Τὸ μὲν κυματοῦ-
ται τῷ ἐρυθήματι, τὸ δ' ἀνταστράπτει· οὕτως ὁ τεχνί-
της ἀκριβῶς τὴν φύσιν τῶν λίθων ἀπεμιμήσατο. Μάρ- 3
15 γαροι περικυκλοῦσι τοὺς λίθους κατὰ χιόνα λευκοί,
σφαιροειδεῖς τὸ σχῆμα, τὸ μῆκος ὑπὲρ τὰς φύσεις αὐ-
τῶν· οἷς ἐγὼ τοὺς ὀφθαλμοὺς ὅλους ἀποδοὺς εἶπον
μετὰ θάμβους καὶ ἡδονῆς "χάλαζα καὶ ἄνθρακες
πυρός." Ὁ δὲ Κρατισθένης (παρῆν γὰρ καὶ αὐτὸς)
20 ἀνεκάγχασέ μου τῇ παραχρήσει τοῦ ῥήματος. Ὁ πλό- 4
καμος εὐφυῶς περὶ τοὺς ὤμους ἥπλωται τῆς παρθέ-
37 νου καὶ βοστρυχοῦται μὲν ὡς εἰκός, ὑποχρυσίζει δὲ τὸ
βοστρύχωμα. Ὁρμίσκος περὶ τὸν τράχηλον τῆς παρ-
θένου ἐξ ἀργύρου μετὰ στιγμάτων χρυσοῦ· ὑακίνθι-
25 νος ὁ πόρπαξ αὐτῷ. Χεῖρες τῇ παρθένῳ λευκαὶ καὶ 5
ὄντως παρθενικαί· ἡ δεξιὰ ταθεῖσα καὶ αὖ κυρτω-
θεῖσα τῆς κεφαλῆς ἥψατο τῷ δακτύλῳ καὶ τοῦ περὶ τὸ
μέτωπον ἄνθρακος· ἡ δέ γε λαιὰ σφαιρίδιόν τι κατέ-
χει περιτερπές. Ὁ δεξιὸς ποῦς ἀσάνδαλος τῇ παρθένῳ· 6
30 τὸν γάρ τοι λαιὸν ἐπεκάλυπτε τὸ χιτώνιον. Ὅλος ὁ

4 post αἰρόμενον: ὕψος

χιτὼν ἀκαλλὴς καὶ οἷον ἀγροικικώτερος· τὸν γὰρ πάντα
κόσμον περὶ τὴν κεφαλὴν τῆς κόρης ὁ τεχνίτης ἐκέ-
νωσε, τὰ δ' ἄλλ' ὡς ἔτυχε κατεπέχρωσεν.
3 Ἡ μετ' αὐτὴν παρθένος καὶ τὴν τάξιν δευτέρα
ὅλη στρατιῶτις πλὴν τοῦ προσώπου, εἰ μή τι καὶ
τοὺς ὀφθαλμοὺς ἀγριωτέρα ἢ κατὰ παρθένον ἰδεῖν.
2 Κόρυς περιαστράπτει τὴν κεφαλὴν καὶ ταύτην κατα-
κοσμεῖ, θυρεὸς τὸ στέρνον, φολιδωτὸς χιτὼν τὸ με-
τάφρενον, μίτρα τὴν ζώνην· τὸν ταρσόν, τὴν χεῖρα
καὶ τἆλλα τῶν μελῶν στρατιωτικῶς κατεπέφρακτο.
3 Ἡ χεὶρ κατὰ δρῦν παχεῖα· οἱ δέ γε δάκτυλοι πρὸς τὸ
παρθενικὸν ἐγεγράφατο. Ἐν ὅσοις τῶν μελῶν ἐγυ-
μνοῦτο, ὅλη παρθένος ἦν ἡ στρατιῶτις· ἐν ὅσοις δὲ
κατεπέφρακτο, ὅλην στρατιῶτιν τὴν παρθένον ἑώρας.
Ἀσπὶς τῇ λαιᾷ τῇ παρθένῳ, εἰ δέ γε βούλει, τῇ στρα-
τιώτιδι· τῇ δ' αὖ ἑτέρᾳ δολιχὸν ἔγχος, γραφεῖον Ἄρεος.
4 Ἡ μετ' αὐτὴν ὅλη παρθένος, ὅλη σεμνὴ τὴν ὄψιν,
τὸ σχῆμα, τὸν χιτῶνα, τὸ πέδιλον· ἐστεφανωμένη
τὴν κεφαλὴν οὐκ ἐκ λίθων κατὰ τὴν πρώτην, οὐκ ἐκ
μαργάρων κατὰ τὴν ἐξ ἀρχῆς, ἀλλ' ὅλοις φύλλοις, ἀλλ'
2 ὅλοις ἄνθεσι. Ῥόδον οὐκ εἶχεν ὁ στέφανος ἢ λαθομέ-
νου τοῦ τεχνίτου ἢ τῶν χρωμάτων ἡττωμένων τῆς τοῦ
ῥόδου βαφῆς. Ὁ πλόκαμος τῇ κόρῃ κατεχεῖτο μικρὸν
3 καὶ αὖ περὶ τὸν στέφανον ἀνεδέδετο. Λευκὴ καλύπτρα
περὶ τὴν κεφαλὴν καὶ τὰ περὶ τὸ μέτωπον κατεκάλυ-
πτεν. Ἀραχνώδης ὁ χιτὼν τῇ παρθένῳ, τὸ χρῶμα
4 λευκός, ποδήρης τὸ σχῆμα καὶ ὅλος πλατύς. Ἡ δεξιὰ
τῶν χειρῶν δεξιῶς ἐπικειμένη τῷ στήθει τὸν ὁμώνυ-
μον κατακαλύπτει μαστόν· οἱ δάκτυλοι τὸν λαιὸν ὅλον
περικαλύπτουσι κατεπικείμενοι καὶ φυλάττοντες (ἅμα-
στον εἴποις ἰδὼν γεγράφθαι τὴν κόρην)· ἡ δ' ἑτέρα
χεὶρ τὸ χιτώνιον ἀνέχει πρὸ τῶν μηρῶν· ὁ γὰρ βορ-

ρᾶς ἐδόκει πνεῖν κατὰ μέτωπον καὶ τὸ πολὺ τοῦ χιτῶνος περὶ τὴν πτέρναν ἐξέχυσεν. Οὕτως ἡ κόρη σεμνὴ καὶ τὸ πνεῦμα θρασὺ καὶ λεπτὸν τὸ χιτώνιον· διὰ γάρ τοι παρθενικῆς ἁπαλόχροος οὐ διάησιν αἰθρηγενέτης βορρᾶς. Ὁ δεξιὸς τῶν ποδῶν περὶ θάτερον στρέφεται καὶ κατεπίκειται καὶ ξυμπλέκεται, μηρὸς ἐν μηρῷ καὶ ὅλος ποῦς ἐν ποδί, ἵνα μὴ τῷ λεπτῷ τοῦ χιτῶνος τὸ σῶμα διαφωτίζηται. Μέλαν τὸ πέδιλον τοῖν ποδοῖν καὶ ἀσφαλῶς ἐσκευασμένον καὶ μὴ κατὰ παρθένον ἠμφιεσμένον.

Ἡ τετάρτη καὶ τελευταία ἐξ ἄρτι ῥαγέντος νέφους 42 ἀπορρυῆναι δοκεῖ καὶ ὡς ἐξ οὐρανοῦ διακύπτει· καὶ ὅλη αἰθέριος, τὸ σχῆμα σεμνή, χαρίεσσα μέντοι τὸ πρόσωπον. Ἐρυθρὸς ὁ χιτών, ἀλλ' ἔχει τι καὶ λευκότητος· εἰ δὲ τοῦ σώματός ἐστι τὸ λευκὸν καὶ διαρρεῖ τὸν χιτῶνα, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν. Θριξὶ πᾶσα τῆς κόρης εὐφυῶς ξυνῆκται πρὸς τὸ μετάφρενον. Τοὺς ὀφθαλμοὺς ὅλους ἔχει πρὸς οὐρανόν. Στάθμη καὶ φλὸξ ταῖν χεροῖν, ἡ μὲν ἐπὶ δεξιά, ἡ δ' ἐπ' ἀριστερά. Τῶ πόδε καὶ μέχρι κνημῶν ἐξέφυγεν ὁ χιτών.

Οὕτω μὲν οὖν εἶχον αἱ γυναῖκες· τὸ δὲ περὶ ταύ- 6
τας δρᾶμα καὶ τίνες αὗται μαθεῖν ἐξητοῦμεν φιλοπονώτερον· γράμματα τοίνυν ὁρῶμεν ὑπὲρ τὰς κεφαλὰς τῶν παρθένων, ἃ πάντ' ἦσαν ἰαμβεῖον ἓν ἐς τέτταρα τετμημένον καὶ ταῖς παρθένοις τὰς κλήσεις ἀφοσιούμενον· τὸ δ' εἶχεν οὕτω

Φρόνησις, Ἰσχύς, Σωφροσύνη καὶ Θέμις.

Ἐντεῦθεν ἐφιλοσοφοῦμεν τὰ τῶν γυναικῶν σχήματα 2
καὶ τὰ μέχρι τοῦ γ' ἐφ' ἡμῖν κατελαμβάνομεν ἀκατάληπτα, τὸν λαμπρὸν στέφανον τῆς πρώτης παρθένου,

28 post τά: περὶ

τοὺς περὶ τὸν στέφανον λίθους, τοὺς μαργάρους, τὸν περὶ τὴν δέρην χρυσόν, τὸν ἄργυρον, τὸν ὑάκινθον, τὸ σχῆμα τῆς κόρης, τὸ σχῆμα τῆς δεξιᾶς μονονοὺ λε-
3 γούσης ὡς ἐνταῦθα τὸν ὅλβον ἔχω περὶ τὴν κεφαλήν, τὸ περὶ τὴν λαιὰν σφαιρίδιον, ὡς ξυνέχει τὸ πᾶν, καὶ τὸ τοῦ χιτῶνος ἀπερικόσμητον, ὡς πάντα πλὴν τῆς κεφαλῆς ἀκοσμήτως ἡ φρόνησις ἔσταλται· τὸ στρατιωτικὸν σχῆμα τῆς μετ' αὐτήν, τὴν ἐν στρατιώτιδι παρθένον, καὶ αὖ τοὐναντίον τὴν ὅλην στρατιῶτιν. τὴν ὅλην παρθένον· ἀνδρεία γὰρ ὡς τῇ φύσει στρα-
4 τιῶτις, καὶ τῇ κλήσει παρθένος· ὅθεν ἐν οἷς μὴ περιφράττοιτο στρατιωτικῶς, ὅλη παρθένος ἐστὶ καὶ κλήσει καὶ σώματι· ἐν οἷς δὲ τὴν ἰσχὺν ὑπαινίττοιτο, ὅλη στρατιῶτις ἡ παρθένος ἐστί· καὶ ὡς ἐν τῇ φύσει τὴν κλῆσιν ὁ ζωγράφος παρεφυλάξατο, οὕτω κἂν τῇ κλήσει τὴν φύσιν ὅλην ὑπεχρωμάτισε· τῆς ἑτέρας καὶ
5 τρίτης τὸν ἐξ ἀνθέων στέφανον, τὸν ἐξ ἀμαράντων φυτῶν, τὴν ξυστολὴν τοῦ πλοκάμου, τὴν καλύπτραν τῆς κεφαλῆς, τὴν περιστολὴν τῶν στέρνων, τὴν φυλακὴν τῶν μαστῶν, τὸν ἐπὶ τῷ μηρῷ μηρόν, τὴν καὶ μέχρι πνεύματος σωφροσύνην, καὶ τἆλλα πάνθ' ὅσα πανευφυῶς ὁ τεχνίτης τῇ φίλῃ μου παρθένῳ προσήρ-
6 μοσε. Περιπτύσσομαί σου τὴν χεῖρα, γραφεῦ· ἀσπάζομαι τὴν γραφίδα· χάριν ὁμολογῶ σοι πρός τε τοῖς ἄλλοις [καὶ] ὅτι μὴ τῷ στεφάνῳ τῆς ὄντως παρθένου τὸ ῥόδον ξυνέπλεξας. Οὐδὲν κοινὸν σωφροσύνῃ καὶ ῥόδῳ αἰσχρῶς βαφέντι κἀκ τῆς αἰδοῦς ἐρυθραινομένῳ
7 τὸ πρόσωπον. Τῆς τετάρτης τὸ διακύπτον ἐξ οὐρανοῦ, τὸ αἰθέριον, τὸ ἀπερικάλυπτον, τὸ λαμπρὸν τοῦ προσώπου, τὰ τῆς δίκης ζυγὰ καὶ τἆλλ' ὁπόσα προσφόρως ὁ τεχνίτης τῇ Θέμιδι προσεφήρμοσε· δικαιοσύνη γὰρ ἐξ οὐρανοῦ διακύπτει καὶ ταλαντεύει τὰς κρίσεις

καὶ πρὸς οὐρανὸν ἀπευθύνει τοὺς ὀφθαλμούς, καὶ οὐδὲν ἀνθρώπινον ἔχει.

49 Μετάγομεν τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν μετὰ τὰς 7
παρθένους γραφὴν καὶ δίφρον ὁρῶμεν ὑψηλὸν καὶ
5 λαμπρὸν καὶ ὄντως βασιλικόν. Κροίσου δίφρος ἐκεῖ-
νος ἢ πολυχρύσου Μυκήνης τυράννου τινός. Ἐν τῷδ' 2
ἐπεκάθητο μειράκιον τερατῶδες, γύμνωσιν παντελῆ
καθ' ὅλου φέρον τοῦ σώματος· πρὸς ὃ βλέπων ἠσχυ-
νόμην αὐτὸς καὶ τοῦ ἔπους ἐμνήσθην ὡς τὸ μὴ
10 φρονεῖν κάρτ' ἀνώδυνον κακόν. Τόξον καὶ 3
πῦρ περὶ τῷ χεῖρε τοῦ μειρακίου, φαρέτρα περὶ τὴν
ὀσφὺν καὶ σπάθη ἀμφίκοπος· τῷ πόδε μὴ κατ' ἄν-
θρωπον ἦσαν τῷ μειρακίῳ, ἀλλ' ὅλον πτερόν· τὰ δέ
γε περὶ τὴν κεφαλὴν οὕτω τερπνὸν τὸ μειράκιον,
15 ὑπὲρ μειράκιον πᾶν, ὑπὲρ πᾶσαν παρθένον, θεῶν
ἄγαλμα, εἴδωλον Διός, ὅλον κεστὸς Ἀφροδίτης, ὅλον
Χαρίτων λειμών, ὅλον ἡδονή. Ἂν Θέτιδος γάμος, ἂν 4
Ἥρα περὶ τὸν γάμον, ἂν Ἀφροδίτη, ἂν Ἀθηνᾶ, ἂν καὶ
τουτὶ τὸ μειράκιον, ἂν Ἔρις ξυγκυκᾷ τὸ ξυμπόσιον,
20 ἂν μῆλον πλάττῃ, ἂν τὸ μῆλον ζητῇ λαβεῖν τὴν κα-
50 λήν, ἂν Πάρις κριτής, ἂν τὸ μῆλον ἆθλον τοῦ κάλ-
λους, ἔχεις τὸ μειράκιον τοῦτο. Καὶ πρὸς τὸν Κρα- 5
τισθένην εἶπον "ὡς ἄρα χεὶρ ζωγράφου καινόν τι
χρῆμα· τὰ ὑπὲρ τὴν φύσιν τερατουργεῖ καὶ πλάττει
25 τὸν λογισμὸν καὶ τὰ πλάσματα τεχνουργεῖ. Εἰ δέ γε
βούλει, φιλοσοφήσωμεν τὸ μειράκιον.

"Ἀγχίθυροι ταῖς ἀρεταῖς αἱ κακίαι, 8
καὶ ταύταις παραπεπήγασι. Πρὸς τοῦτο δὴ
τὸ γνωμάτευμα τὸ μειράκιον ἀναπέπλασται, καὶ
30 τέχνῃ τὸ πλάσμα πρὸς φύσιν μετήγαγεν. Ἔχω σου, 2
τεχνῖτα, τὸ αἴνιγμα, ἔχω σου τὸ δρᾶμα· ἐς αὐτόν
σου βάπτω τὸν νοῦν· κἂν Σφὶγξ γένῃ, Οἰδίπους

ἐγώ· κἂν ὡς ἐκ Πυθικῆς ἐσχάρας καὶ τρίποδος αἰνιγματωδῶς ἀποφοιβάζῃς λοξά, πρόσπολος ἐγώ σοι, καὶ διασαφῶ τὰ αἰνίγματα."

9 Τὰ δ' ἐφεξῆς ὁποῖα; Ὅλος στρατὸς παρειστήκει τῷ μειρακίῳ, ὅλαι πόλεις, χορὸς ξύμμικτος ἀνδρῶν, γυναικῶν, πρεσβυτῶν, γραῶν, μειρακίων, παρθένων. Βασιλεῖς, τύραννοι, δυνάσται, κρατοῦντες γῆς ὡς δοῦλοι παρίστανται οὐκ ἴσα καὶ βασιλεῖ ἀλλ' ἴσα θεῷ, καὶ γυναῖκες δύο ταῖς χερσὶν ἀλλήλας ξυνδούμεναι, τὸ μῆκος ὑπὲρ γυναῖκας, ὑπὲρ τὸν Ἰαπετὸν τὸν χρόνον, καιναὶ τὴν ὄψιν, καιναὶ τὴν ῥυτίδα, 2 καιναὶ τὸ σχῆμα, καιναὶ τὴν χροιάν. Καὶ ἡ μὲν ἡλιοειδὴς καὶ ὅλη λευκή· λευκὴ τὴν τρίχα, λευκὴ τοὺς ὀφθαλμούς, λευκὴ τὸ χιτώνιον, τὸ πρόσωπον, τῷ χεῖρε, τῷ πόδε, τὰ πάντα λευκή· ἡ δ' ἑτέρα τὰ πάντα μέλαινα, καὶ τρίχα καὶ κεφαλὴν καὶ τὸ πρόσω- 3 πον [καὶ] χεῖρας καὶ πόδας καὶ τὸ χιτώνιον. Ἴσαι τὴν ἡλικίαν, διάφοροι τὴν χροιάν· ἴσαι τὴν ῥυτίδα, τὸ γένος διάφοροι· ἡ μὲν γὰρ ὡς ἐξ Ἀχαιΐδος καλλιγύναικος, ἡ δ' ὡς ἐκ κεκαυμένης Αἰθιοπίας. Παρίσταται καὶ πλῆθος πτηνῶν καὶ φέρον ἐλεύθερον τὸ πτερὸν ὡς δοῦλον παρίσταται. Ὅλον γένος Ἀμφιτρίτης νεπόδων δουλογραφεῖται τῷ μείρακι· καὶ θὴρ βασιλεὺς θηρίων μετὰ παντὸς θηρὸς ὁμοδούλως παρίσταται.

10 Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "πῶς οὐ πτερύσσεται τὸ πτηνὸν ἀνέτῳ πτερῷ, ἀλλὰ δουλογραφεῖται καινῶς οὕτω καὶ ὑπὲρ τὴν φύσιν; Θὴρ λέων ὠμηστής, βασιλεὺς θηρίων, δοῦλος τῷ μείρακι καὶ ταῦτα γυμνῷ, ὃν φρίττει καὶ θὴρ καὶ ὅλος ὁπλίτης. 2 Ὄνυξ δὲ ποῦ καὶ βλοσυρὸν ὄμμα καὶ λάσιον στέρνον καὶ πρὸ πάντων τὸ φρικτὸν καὶ ἄγριον βρύχημα;

Φρακτὸν γένος (παρίσταται γὰρ καὶ τοῦτο) καὶ πᾶς
βασιλεύς, πᾶς δυνάστης, πᾶς τύραννος οὐκ ἀρκεῖ
πρὸς μόνον μειράκιον ὅλον γυμνόν; Ἀλλὰ καὶ ἰχθὺς 3
καὶ πᾶς θαλάττιος θὴρ τί μοι φρίττει τοῦ μειρακίου;
Τὸ πῦρ; ἀλλὰ πάλιν ὅλας ἔχει θαλάττας, ὅλον βυ-
θόν, πολέμιον πυρός· τὸ τόξον, τὸ πτερόν; εἶτ' οὐκ
ἀμβλύνεται τῷ βυθῷ; Βαβαί μοι τῶν γυναικῶν, βα- 4
βαὶ τοῦ θαύματος, βαβαὶ τῆς ἡλικίας, βαβαὶ τῶν
ὀρτίδων, βαβαὶ τοῦ σχήματος, τῆς δουλοπρεπείας.
Ὦ Ζεῦ καὶ θεοί, ὡς ἀληθῶς τέρας ἡ γραφή, νοῦ
πλάσμα, καὶ χειρὸς ζωγράφου τεχνούργημα. Ἀλλ' 5
ἴδωμεν, εἰ δοκεῖ, καὶ τὰ ὑπὲρ τὴν τοῦ μειρακίου κε-
φαλὴν γεγραμμένα ἰαμβεῖα οὕτως ἔχοντα

Ἔρως τὸ μειράκιον ὅπλα, πῦρ φέρον,
τόξον, πτερόν, γύμνωσιν, ἰχθύων βέλος."

Καὶ ὁ Κρατισθένης "οὐκέτι σοι τὰ τῶν ἐμῶν 11
ἁμάρτυρα λόγων. Τίς Ἔρως ἠρώτας· ἰδού μοι, βλέ-
πεις αὐτόν· ἀλλ' εὐμενής σοι τὰ ἐς πεῖραν ἵκοιτο."
Ἐγὼ δὲ πρὸς αὐτὸν "σύ μοι τὰ περὶ τὴν γραφὴν φι- 2
λοσόφει καὶ τῇ γραφῇ προσάρμοττε τὸ ἐπίγραμμα", ὁ
δὲ Κρατισθένης "ὁ Ἔρως γυμνός, ὁπλοφόρος, πυρ-
φόρος, τοξότης, πτερωτός· ὅπλα φέρει κατ' ἀνδρῶν,
πῦρ κατὰ γυναικῶν, τόξα κατὰ θηρῶν, κατὰ πτη- 3
νῶν τὸ πτερόν, τὴν γύμνωσιν κατὰ τῶν ἐν θαλάττῃ
καὶ καθ' ὅλης αὐτῆς· ἡμέρα καὶ νύξ, ὡς ὁρᾷς, δου-
λεύει τῷ Ἔρωτι· αὗται γὰρ αἱ γυναῖκες, ἃς σὺ θαυ-
μάζεις ὁρῶν." Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "μὴ δὲ
γιγνώσκοιτό μοι."

Ἦκεν ὁ Σωσθένης, καὶ περὶ τὸ δεῖπνον ἀνακε- 12
κλίμεθα· καὶ πάλιν ἡ παρθένος ἐπὶ τῷ λειτουργή-
ματι, καὶ πάλιν τοὺς ὀφθαλμοὺς ἐπ' ἐμέ, καὶ κατὰ
μέτωπον στᾶσά μου καὶ τὸν τράχηλον ἡμέρα μικρὸν

ὑποκλίνασα καθυποκλέπτει μοι τὸ προσκύνημα καὶ τοὺς δακτύλους ἐπιθεῖσα τῷ χείλει σιγᾶν ἐπιτρέπε-
2 ται. Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "ὁρᾷς; τί ταῦτα;" ὁ δέ μοι "σίγα" φησίν. Ἦκεν ἡ κόρη κιρνῶσα καὶ "χαίροις, συνώνυμέ μοι κήρυξ" ὑπεψιθύρισε· καὶ μετ' ἐμὲ τῷ Κρατισθένει κιρνῶσά φησιν εἴ τι δεῖ φωνὴν ἐκεῖνο καλεῖν τὸ ψιθύρισμα, "ὀφείλω σοι χάριτας."

13 Τροφαὶ καὶ πάλιν περὶ τὴν τράπεζαν, οὐκ ἐξ ἀγρῶν, οὐκ ἐκ θαλάττης ἁπλῶς, ὡς οἶδε τρυφᾶν ἠπειρώτης ἀνὴρ καὶ παράλιος, ἀλλ' ὅσας χεὶρ καὶ τέχνη μαγείρων ἐσκεύασεν, ὡς ἰχθὺς ἐξ ἀγροῦ, καὶ ὡς ἐκ θαλάττης ταῶς· οὕτω πολυτελὲς ἡμῖν τὸ δεῖπνον, οὕτω λαμπρόν, οὕτω χάριεν, ὡς ἡδύνειν καὶ
2 ὀφθαλμοὺς καὶ λαιμόν. Καὶ πάλιν ἐπίνομεν (τροφὴ γὰρ πολυτελεστέρα ζητεῖ καὶ πόσιν ἀνάλογον), καὶ πάλιν ἡ κόρη κιρνῶσα προεκροφεῖ μου τοῦ ποτηρίου, καὶ διδοῦσα πάλιν φησὶ τῇ ξυνήθει φωνῇ "ὡς τὴν κλῆσιν ἐκ τύχης, οὕτως ἐξ ἔρωτος τὴν πόσιν κοινοῦ-
3 μαί σοι." Ἱκανῶς οὖν τῆς τραπέζης κατατρυφήσαντες καὶ τροφαῖς ποικίλαις καὶ παντοδαποῖς καρυκεύμασι καὶ πόσει καὶ πολυειδέσι ποπάνοις λύομεν τὸ συμπόσιον· καὶ ὁ Σωσθένης φησὶν

"νὺξ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι·
καὶ τὰ πρόσφορα τῇ νυκτὶ χαρισώμεθα·" καὶ "χαίροις" εἰπών μοι ξὺν τῇ Πανθείᾳ ᾤχετο.

14 Ἡ γοῦν Τσμίνη προσκόψαι τὸν πόδα καθυποκριθεῖσα καὶ Σωσθένους πατρὸς καὶ μητρὸς Πανθείας μικρὸν ἐλθοῦσα δευτέρα "χαίροις" εἰποῦσα καὶ "πεί-
2 σθητι τῷ πατρὶ" ᾤχετο καὶ αὐτή. Ἐγὼ δὲ καὶ Κρατισθένης ἀνακλιθέντες τὰ περὶ τὸ δεῖπνον καὶ τὴν κόρην ἀνεκοινούμεθα· ὡς προσκυνεῖ με κλέπτουσα τὸ

προσκύνημα· ὡς ἐπιτίθησι τοὺς δακτύλους τῷ στόματι, σιγᾶν ἐπιτρέπουσα· ὡς διδοῦσά μοι τὸ ποτήριον "χαίροις, συνώνυμέ μοι κήρυξ" ὑπεψιθύρισεν: 3
62 ὡς κιρνῶσα προεξερρόφησεν· ὡς εἶπε πάλιν ἐπὶ τῷ δευτέρῳ μου πόματι "καὶ τὴν πόσιν ἐξ ἔρωτος, ὡς καὶ τὴν κλῆσιν ἐκ τύχης κοινοῦμαί σοι"· καὶ τέλος τὸ περὶ τὸν πόδα πλάσμα καὶ τὸ "πείσθητι τῷ πατρί". Καὶ ὁ Κρατισθένης "Ἔρως ὅλην σοι τὴν παρθένον 4
ἐξέκαυσεν, Ἔρως ἐτυράννησεν, ἐρώσης ταῦτα ψυχῆς καὶ γλώττης πυρπολουμένης ἐξ ἔρωτος· σὺ δὲ μέχρι 5
πότε λειποταξίας κριθήσῃ τῷ Ἔρωτι; Ποῖ δὲ καὶ φύγῃς αὐτόν; ἐς οὐρανόν; ἀλλὰ φθάνει σε τῷ πτερῷ· ἐς θάλατταν, ἀποδύσῃ δὲ τὸν χιτῶνα; ὁ δέ σου προαπεδύσατο· κατὰ γῆν; τῷ τόξῳ σε φθάνει. Εἶ- 6
δες τὸν Ἔρωτα; εἶδες τὸ πῦρ, τὰ τόξα, τὴν γύμνωσιν, τὸ πτερόν; Εἶτα σὺ μόνος ἐλεύθερος ἔρωτος; σὺ μόνος;" Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "ἔα με σωφρονεῖν, ὠγαθέ· τοὺς γὰρ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς."
Καὶ σιγήσαντες περὶ τὸν ὕπνον ἐτράπημεν.

Γ

65 Καὶ δή μοι περὶ μέσην τὴν νύκτα κατακοιμωμέ- 1
νῳ ἐνύπνιον ἦλθεν ὄνειρος μάλα φοβερός· ὁρῶ γὰρ περὶ τὸ δωμάτιον εἰσιὸν πλῆθος οὐκ εὐαρίθμητον, ὄχλον ξύμμικτον ἀνδρῶν, γυναικῶν, νεανίσκων,
25 παρθένων· λαμπαδηφόροι πάντες τὴν δεξιάν, τὴν γάρ τοι λαιὰν περὶ τὸ στῆθος εἶχον δουλοπρεπῶς. Καὶ μέσον τὸ περὶ τὸ τοῦ κήπου θριγγίον μειράκιον, 2

τὸν γεγραμμένον Ἔρωτα, τὸν βασιλέα, τὸν φοβερὸν ἐκεῖνον, ἐπὶ χρυσοῦ καὶ πάλιν δίφρου καθήμενον·
3 ὡς ἐκ βροντῆς δέ μοι κατερράγη φωνὴ "πρὸς ἡμᾶς τὸν δυνάστην, τὸν ἐλεύθερον, τὸν μὴ φρίττοντά μου τὸ βέλος, τὸν μὴ φοβούμενον τὸ πτερόν, τὸν λοιδοροῦντα τὸ πῦρ, τὸν αἰσχυνόμενόν μου τὴν γύμνωσιν, τὸν ὡς μειράκιόν με καταμωκώμενον, τὸν ἀσπαζόμενον τὸν ζωγράφον εἰ τὸ ῥόδον βδελύττεται, τὸν τὴν ἐμὴν φίλην Ὑσμίνην αἰσχύναντα, ὃν καὶ ὡς
4 σώφρονα θεοὶ φιλοῦσιν." Ἐγὼ δ' εἰλκόμην ἐλεεινῶς, ὅλος ἔντρομος, ὅλος ἄφωνος, ὅλος νεκρὸς καὶ κατὰ γῆν κείμενος. "Φεῖσαι, βασιλεῦ" ἀκούω φωνῆς, καὶ μικρὸν πρὸς ἐμαυτὸν γεγονὼς καὶ τοὺς ὀφθαλμοὺς ἀνατείνας ὁρῶ τὴν Ὑσμίνην ἐστεφανωμένην ῥόδῳ τὴν κεφαλήν, ῥόδον τῇ δεξιᾷ φέρουσαν, τῇ λαιᾷ τῶν ποδῶν ἐχομένην τοῦ βασιλέως, καὶ "φεῖσαι" λέγουσαν "Ὑσμινίου, φεῖσαι δι' ἐμέ, βασιλεῦ·
5 ἐγώ σοι τοῦτον δουλογραφήσω." Καὶ πρὸς τὴν παρθένον ὁ βασιλεὺς "διὰ σὲ καὶ ὠργίσθην, διὰ σὲ καὶ διαλλάττομαι." Ἡ δ' εὐθὺς λαβομένη μου τῆς χειρὸς ἐξανέστησε, θαρρεῖν ἐπιτρέψασα. Καλεῖ με τοίνυν ὁ βασιλεὺς τῇ χειρὶ καὶ στεφανοῖ μου ῥόδῳ τὴν κεφαλήν· τὸ δὲ παρεστὸς ἅπαν ἠλάλαξεν, ἐκροτάλιζεν,
6 ὠρχεῖτο "ὁμόδουλος Ὑσμινίας" λέγον "ἡμῖν, ὁ Θρασύς, ὁ παρθένος, ὁ τὴν καλὴν Ὑσμίνην αἰσχύνας." Ὁ δὲ βασιλεὺς Ἔρως πρὸς τὴν ἐμὴν Ὑσμίνην εἰπὼν "ἔχεις τὸν ἐραστὴν" ἀπέπτη μου τῶν ὀφθαλμῶν, ὅλος περὶ μέσην μου τὴν καρδίαν πεσών.

2 Ξυναπέπτη δέ μου καὶ ὁ ὕπνος εὐθύς, καὶ τεθορυβημένος ὅλος ἀνεπήδησα τῆς στρωμνῆς καὶ ἤμην ὅλος ἐξεστηκώς, ὅλος ὅλον κατὰ νοῦν ἑλίττων τὸν ὄνειρον. Πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον,

καὶ τὸ ἄσθμα ἐπείχετο, καὶ πρὸς τὸν Κρατισθένην
ἔλεγον "ὦ Κρατίσθενες, ὦ Κρατίσθενες." Ὁ δ' ἀνε- 2
πήδησε τῆς στρωμνῆς, ἐγὼ δὲ πάλιν εἶπον "ὠλώ-
λειν, Κρατίσθενες." Ὁ δ' ἀσανδάλῳ ποδὶ πρὸς τὴν
ἐμὴν ἐπήδησε κλίνην καὶ τῆς δεξιᾶς με χειρὸς
λαβόμενος "τί πάσχεις, ὁ καλὸς Ὑσμινίας" φησίν·
ἐγὼ δ' ἐσίγων. Ὁ δέ μοι δακρύσας πάλιν φησὶν 3
"Ὑσμινία, τί πάσχεις; Ὑσμινία, σιγᾷς;" ἐγὼ δ'
"ὠλώλειν" εἶπον "Κρατίσθενες· Ὑσμίνη μ' ἀπόλλυ-
σιν, Ὑσμίνη με σώζει· ὅλην φαρέτραν Ἔρως ἐξεκέ-
νωσέ μου κατὰ ψυχῆς, ὅλην μου τὴν καρδίαν ἐνέ-
πρησεν. Εἴ σοι παρῆν ἰδεῖν, εἶδες αὐτὸν ξὺν αὐτοῖς 4
ὅπλοις, ξὺν αὐτῇ φαρέτρᾳ, ξὺν ὅλῳ πυρὶ τὴν ἐμὴν
εἰσδύντα ψυχήν. Οὐκέτι Διασίων κήρυξ ἐγώ, οὐκέτι
θεράπων Διός, οὐκέτι παρθένος. Πόλεμος ἐπὶ τὴν
ἐμὴν ἐρράγη καρδίαν ἐξ Ἔρωτος καὶ Διός. Ὁ μὲν 5
οὖν Ζεὺς ὡς ἐξ οὐρανοῦ μεγάλα βροντᾷ καὶ κατα-
βροντᾷ· ὁ δ' ὡς ἀπὸ γῆς ὅλας ἐλεπόλεις κινεῖ καὶ
κατασείει μου τὴν ἀκρόπολιν. Ὁ μὲν ὡς ἐκ νεφέων
ἀστραπηβολεῖ, ὁ δ' ὅλους κρατῆρας πυρὸς ὡς ἀπὸ
γῆς ὑπανάπτει μου. Πόλις ἐγώ, καὶ πόλις Διός· 6
ἀλλ' Ἔρως πολιορκεῖ με καὶ πρὸς ἑαυτὸν ὅλον μεθέλ-
κεται. Διὸς ἐγὼ πηγὴ μεστὴ χαρίτων παρθενικῶν·
ἀλλ' Ἔρως πρὸς πηγὴν Ἀφροδίτης μετοχετεύει με.
Διασίων κήρυξ ἦκον ἐξ Εὐρυκώμιδος, καὶ νῦν 7
Ἀφροδισίων ἐξ Αὐλικώμιδος· ἐκ δάφνης τότε, καὶ
νῦν ἐκ ῥόδων στεφανοῦμαι τὴν κεφαλήν. Τίς οὖν
οὕτω θρασὺς τὴν ψυχήν, στερρὸς τὴν καρδίαν
καὶ τὸ στέρνον σιδήρεος, ὡς καὶ πρὸς μάχην ἀντ-
ἔχειν θεῶν, καὶ ὅλους φέρειν αὐτοὺς πολιορκοῦν-
τας καὶ πλήττοντας; Οὐκ ἔχω σθένειν, Κρατί-
σθενες."

3 Ὁ δὲ "πῶς οὕτω" φησὶν "ἐξ ὅλου παρθένου καὶ κήρυκος Διὸς καὶ ὅλου σώφρονος ὅλον ἀναπνεῖς μοι τὸν Ἔρωτα, μύστης αὐτόματος γεγονὼς καὶ ὅλος διδάσκαλος;" ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "Ἔρως αὐτός με μυσταγωγεῖ, Ἔρως αὐτὸς μεταπλάττει με· χεὶρ Ἔρωτος τὴν ἐμὴν ταύτην κεφαλὴν ἐστεφάνωσε
2 καὶ μετεστεφάνωσε." Καὶ τὰ περὶ τὸν ὕπνον ἐξηγούμην αὐτῷ, τὴν προπομπὴν τοῦ θεοῦ, τὸ ποικίλον τῆς προπομπῆς, τὰς ἐν χερσὶ λαμπάδας, τὸν ἐπὶ δίφρου θεόν, τὸν ἐπ' ἐμὲ θυμόν, τὴν ὡς ἐξ οὐρανοῦ καταρραγεῖσαν φωνήν, τὸν ἐμὸν ἑλκυσμόν, τὴν ἐμὴν πάθησιν, τὴν τῆς Ὑσμίνης φωνήν, τὴν ὑπὲρ ἐμοῦ πρεσβείαν, τὴν τοῦ θεοῦ ξυγγνώμην καὶ ἐπὶ πᾶσι τούτοις
3 τὸν στέφανον. Ὁ δ' "οὐδὲν καινὸν" φησὶ "πέπονθας. Ἐρᾷς· οὐ μόνος ἐρᾷς, ἀλλὰ ξὺν πολλοῖς τῶν βροτῶν· καὶ τὰ πρὸς ἔρωτας εὐτυχεῖς, ἐρωμένην ἔχων οὕτω 74
4 καλὴν καὶ ὅλην ἐρῶσαν καὶ ὑπηρέτην τὸν Ἔρωτα. Καλὸν δέ σοι καὶ ὕπνου τυχεῖν· ὀφθαλμὸς γὰρ ἐξ ἔρωτος ἄγρυπνος ἀνελέγχει ψυχὴν ἐρῶσαν· καὶ ὥσπερ γλῶττα φιλοκέρτομος οὐκ οἶδε κρύπτειν μυστήριον, οὕτως ὀφθαλμὸς ὕπνου στερηθεὶς φωτίζει τὸν ἔρωτα."

4 Ὁ γοῦν Κρατισθένης εὐθὺς ὑπνώττων ἀνέρεγχεν, ἐμοῦ δὲ τοὺς ὀφθαλμοὺς ὁ ὕπνος ἐξέφυγεν
(ἐρωτοβλήτους γὰρ μάλα τι φεύγειν φιλεῖ),
καὶ ἐδόκουν νὴ τοὺς θεοὺς ὅλας ὀρύττεσθαι τὰς πλευράς, καὶ νὴ τὸν Ἔρωτα τὴν στρωμνὴν ἀκάνθινον εἶχον, καὶ ὡς ἐπὶ πυρᾶς ὀπτούμενος πυκνὰ στρεφόμενος ἦν, ὥσπερ τι θῦμα καινὸν ἐξωπτημένος τῷ Ἔρω-
2 τι. Τὴν ἡμέραν ἐπεθύμουν ἰδεῖν· ὠνειροπόλουν τὴν τράπεζαν καὶ τὴν Ὑσμίνην κιρνῶσαν "ἂν θλίψῃ" λέγων "τὸν δάκτυλον, ἀντιθλιβήσεται γενναιότερον. Ἀλλ' ἔθλιψε χθές. Ναὶ θλιβέτω καὶ πάλιν. Ἂν θλίψῃ,

θλιβήσεται· εἰ δ' οὐ θλίψει, θλιβήσεται. Ἂν τὸν πό- 3
δα ἐπιθῇ μου τῷ ποδί, τοῖν ποδοῖν ἐγὼ προσεπιθήσω
77 τὸν ἕτερον· ἂν ᾽ χαίροις᾽ εἴπῃ, ἑκατοντάκις ᾽ χαίροις᾽
ἀκούσει· ἂν τὸ προσκύνημα κλέψῃ, προσκυνηθήσε-
5 ται φανερῶς· ἂν προεκροφῇ μου τοῦ ποτηρίου, ὅλην
ἐκροφήσω τὴν κόρην αὐτός· ἂν ἐπέχῃ τὴν κύλικα, 4
καὶ τὴν χεῖρα ταύτης τῷ ποτηρίῳ ξυνεφελκύσομαι·
ἂν τοὺς πόδας ξυνέχῃ καὶ ξυνέχουσα θλίβῃ καὶ θλί-
βουσα φιλῇ καὶ φιλοῦσα κλέπτῃ τὸ φίλημα, ξυνέξω
10 κἀγὼ καὶ [[ξυνέχων]] θλίψω καὶ θλίβων φιλήσω, πλὴν
οὐχ ὑποκλέψω τὸ φίλημα· ἂν γαργαλίσῃ μου τὸν πό- 5
δα, καταγαργαλίσω τὴν κόρην αὐτός, καὶ πείσω ταύ-
την ἐξ ἡδονῆς ἀνακαγχάσαι καὶ ἔρωτος· ἂν μετὰ τὸ
δεῖπνον ἀλγήσῃ τὸν πόδα, ἂν δευτέρα τοῦ πατρὸς καὶ
15 τῆς μητρὸς ἐξερχομένη μονωθῇ, ἐπιλάβωμαι τοῦ πλη-
γέντος ποδός, καταφιλήσω τὸ τραῦμα, τὴν πληγὴν 6
πολυπραγμονήσω, ξητήσω τὰ πρόσφορα φάρμακα,
κατεπιθήσω ταῦτα, τὴν οὐλὴν καταμαλάξω πᾶσαν
ἰατρικῶς, ἐπιστημονικῶς ἀνερευνήσω καὶ ὅλην ἰά-
78 σομαι. Οὐκέτι τὸν θυμὸν ὑφέξω τοῦ Ἔρωτος, οὐκέτι 7
21 κατονειδισθήσομαι τὸν παρθένον, οὐκέτι τὸν σώφρονα
κατειρωνευθήσομαι καὶ τἆλλ' ὁπόσα νὴ τὸν Ἔρωτα,
πέπονθα. Ἂν τὰ πρόσφορα τῇ νυκτὶ ξητήσῃ, ξυγκοι-
μηθήσομαι τῇ παρθένῳ, καὶ νήδυμον τὸν ὕπνον
25 ἀνακηρύξω ποιητικῶς. Ἤδη δέ μου τοῖς ὀφθαλμοῖς
σπένδεται, καὶ ἤδη κοιμῶμαι."

Ἅμα γοῦν ἐγὼ περὶ τὸν ὕπνον καὶ ἡ κόρη περὶ 5
ἐμέ, καὶ προφθάνει τὴν ἡμέραν καὶ τὸ δεῖπνον ἡ νύξ,
καὶ πάνθ' ὅσα ἐξήτουν ἰδεῖν παθεῖν τε καὶ δρᾶσαι,
30 ταῦθ' ὡς ἐν κατόπτροις τοῖς ὀνείροις καὶ εἶδον καὶ
ἔπαθον· οὐ γάρ μοι καὶ τὸ δρᾶσαι τὸ δαιμόνιον ἐχαρί-
σατο. Ὅλον δεῖπνον ἀναπλάττει μοι τὸ ἐνύπνιον, καὶ 2

ξυνήθως ἐδόκουν ἀνακεκλίσθαι, καὶ τὴν κόρην κιρνῶσαν ὁρῶ. Εἰ μὲν οὖν Σωσθένης καὶ Πάνθεια προύπιον, ἀκριβῶς οὐκ οἶδα νὴ τὸν ἐν ὕπνοις Ἔρωτα· πρὸς ἐμὲ δ' ἦκεν ἡ κόρη κιρνῶσα, καὶ ὅλην αὐτὴν τοῖς ὀφθαλμοῖς μου κατέπινον, ὅλην ἐξερρόφουν, ὅλην
3 πρὸς τὴν ψυχὴν μετεβίβαζον. Ἡ δέ μοι "λάβε" φησὶ 81
"τὸ ποτήριον." Ἐγὼ δὲ πάλιν ἀτενῶς ἑώρων αὐτήν· ἐκτείνω δ' ὅμως τὴν χεῖρα λαβεῖν καὶ τῆς παρθένου θλίβω τὸν δάκτυλον καὶ τὸν πόδα τῷ ποδί μου προσεπιθλίβω "χαίροις" ὑποψιθυρίσας τῇ κόρῃ λεπτὸν καὶ
4 οἷον ἐκείνη προυψιθύριζεν· ἡ δ' οὔτ' ἀντεῖπεν οὔτ' αὖ ἀντέδρασεν, ἀλλ' ὡς ἐξ αἰδοῦς ἠρυθραίνετο. Τροφαὶ ποικίλαι ξυνήθεις περὶ τὴν τράπεζαν· ἐγὼ δ' ὡς ἀληθῶς ἐπείων κατ' ὄνειρον, καὶ ὅλος κατ' ὄνειρον ἐτρεφόμην· τροφὴ δέ μοι καὶ πόσις καὶ ὀφθαλμοῦ καὶ ψυχῆς Ὑσμίνη παρθένος, πρὸς ἣν καὶ μόνην ἀτενέστερον ἔβλεπον.

5 Ἦκε πάλιν ἡ κόρη προτεινομένη τὸ ἔκπωμα· πότου γὰρ ἐκάλει καιρός· ἐγὼ δὲ λαβὼν καὶ μικρὸν ἐκροφήσας τὸ πᾶν ἀντιδέδωκα πρὸς τὴν παρθένον εἰ-
6 πὼν "κοινοῦμαί σοι τὸ ποτήριον." Τέλος εἶχε τὸ δεῖπνον, ὅ μοι καθ' ὕπνους ὄνειρος ἐρωτικῶς ἡτοιμάσατο ἢ μᾶλλον Ἔρως ἐν ὀνείροις ἐσκεύασε. Καὶ ἡμεῖς περὶ 82
τὸ δωμάτιον, καὶ Σωσθένης καὶ Πάνθεια ξυνήθως ἡμῶν ἀπηλλάττοντο· ἐγὼ δὲ καὶ Κρατισθένης ἀνα-
7 κεκλίμεθα. Καὶ δὴ τὴν Ὑσμίνην ὁρῶ περὶ τὴν ἐμὴν κλίνην, ἣν μηδὲν αἰδεσθεὶς ὅλην ἐφέλκομαι τῇ χειρί, καὶ τῇ κλίνῃ παρακαθίζω· Ἔρως γὰρ ἀναιδείας πατήρ. Ἡ δ' αἰδεῖται μὲν ὡς παρθένος καὶ τὴν μὴ πειθομένην τὰ πρῶτα καθυποκρίνεται, νικᾶται δ' ὅμως ὡς παρθένος ἀνδρός, ὅτι καὶ πρὸ τῆς ἐμῆς ταύτης χειρὸς ἐξ Ἔρωτος ἥττηται.

Καὶ ἡ μὲν τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν γῆν ἐπαττά- 6
λευσεν, ἐγὼ δὲ τοὺς ἐμοὺς ὅλους ἐπὶ τὸ τῆς κόρης ἀνε-
σκολόπισα πρόσωπον· ἦν γὰρ πλῆρες φωτός, πλῆρες
χάριτος, πλῆρες ἡδονῆς· ὀφρὺς μέλαινα, ἶρις τὸ σχῆμα
ἢ κατὰ σελήνην μηνοειδής· ὄμμα μέλαν, γοργὸν καὶ 2
μάλα φαιδρόν· ὁ κύκλος αὐτῷ κατὰ μέρος ὠξύνετο·
καὶ ἦν τὸ σχῆμα τοῖς ὀφθαλμοῖς κωνοειδὲς ἢ μᾶλλον
κυκλοειδές· ἡ περὶ τὴν βλεφαρίδα θρὶξ παντελῶς ἐμε-
λαίνετο· καὶ ἦν ὁ τῆς κόρης ὀφθαλμὸς ὄντως Ἔρωτος
κάτοπτρον. Παρειὰ λευκή· τὸ λευκὸν ἄκρατον, ἐς 3
ὅσον οὐκ ἠρυθραίνετο· τὸ μέσον ἐρυθρόν· τὸ ἐρυ-
θρὸν διεσπασμένον καὶ οἷον διεσπαρμένον, οὐχ οἷον
πλάττει χεὶρ καὶ τέχνη βάπτει καὶ νὺξ μαραίνει καὶ
ὕδωρ ἐκπλύνει. Τὸ στόμα ξυμμέτρως διέρρηκται· τὸ
πολὺ τῆς σαρκὸς τῶν χειλέων διέρριπται, καὶ ἄμφω
τὰ χείλη φοινίσσεται. Εἴποις ἂν ἰδὼν ῥόδον ἐκθλῖψαι 4
τὴν κόρην τοῖς χείλεσι. Χορὸς ὀδόντων λευκός, ξυ-
στοιχίαν φέρων εὐάρμοστον καὶ πρὸς τὸ χεῖλος ἀνάλο-
γον, ὡς παρθένοι τοῖς χείλεσιν οἰκουρούμενοι. Ὅλον
τὸ πρόσωπον κύκλος ἀνεπισφαλής· ἡ ῥὶν κέντρου λό-
γον ἐπέχει πρὸς ὅλον τὸ κύκλωμα, καὶ εἰ μὴ φρίττω
τὸν Ἔρωτα καὶ μᾶλλον ἐκ τῆς πείρας, εἶπον ἂν —
ἀλλὰ σιγήσω τὰ ἐφεξῆς, ἵνα μὴ καὶ πάλιν καταβροντήσῃ με τὸ μειράκιον.

Ἅπτομαι τῆς χειρός, ἡ δ' ἐπιχειρεῖ ξυνάγειν 7
ταύτην καὶ περικαλύπτειν ἐς τὸ χιτώνιον· ἀλλ' ὅμως
κἀν τούτῳ νικῶ. Ἐφέλκομαι ταύτην περὶ τὸ χεῖλος, 86
καταφιλῶ καὶ καταδάκνω πυκνά· ἡ δ' ἀντεφέλκεται
καὶ ὅλη ξυστέλλεται. Περιπτύσσομαι καὶ ὅλον τὸν 2
τράχηλον καὶ τὰ χείλη τοῖς χείλεσιν ἐπιτίθεμαι καὶ φι-
λημάτων πληρῶ καὶ καταστάζω τὸν ἔρωτα· ἡ δ' ὑπο-
πλαττομένη ξυναγαγεῖν αὐτὰ δάκνει μου τὸ χεῖλος

3 ἐρωτικῶς καὶ ὑποκλέπτει τὸ φίλημα. Τοὺς ὀφθαλμοὺς κατεφίλησα καὶ ὅλον εἰς τὴν ψυχὴν ἀνιμησάμην τὸν ἔρωτα· ὀφθαλμὸς γὰρ ἔρωτος πηγή. Γίνομαι καὶ περὶ τὸ στέρνον τῆς κόρης· ἡ δ' ἀντέχεται μάλα γενναίως καὶ ὅλη ξυστέλλεται καὶ ὅλῳ σώματι περιτειχί-
4 ξει τὸν μαστὸν ὡς πόλιν ἀκρόπολις, καὶ χερσὶ καὶ τραχήλῳ καὶ πώγωνι τοὺς μαστοὺς καταφράττει καὶ περιφράττει· καὶ κάτωθεν μὲν ἀνέχει τὰ γόνατα, ὡς ἐξ ἀκροπόλεως δὲ τῆς κεφαλῆς ἀκροβολίζει τὸ δάκρυον, μονονοὺ λέγουσα "ἢ φιλῶν μαλαχθῇ μοι τοῖς δάκρυ-
5 σιν ἢ μὴ φιλῶν ὀκνήσεις τὸν πόλεμον." Ἐγὼ δὲ μᾶλλον τὴν ἥτταν αἰδούμενος ἀντέχομαι βιαιότερον καὶ μόλις νικῶ, καὶ νικῶν ἡττῶμαι καὶ ὅλος ἀμβλύνομαι. 89
Ἅμα γὰρ ἡ χεὶρ περὶ τὸν τῆς κόρης μαστόν, καὶ χαυ-
6 νότης ὅλη περὶ τὴν ἐμὴν καρδίαν ἐπέρρευσεν." Ἠλγουν, ἠθύμουν, καινόν τινα τρόμον ἔτρεμον, ἠμβλυνόμην τὴν ὄψιν, ἐμαλθακιζόμην τὴν ψυχήν, τὴν ἰσχὺν ἐχαυνούμην, ἐνωθρευόμην τὸ σῶμα, ἐπείχετό μοι τὸ ἄσθμα, πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον, καί τις ὀδύνη γλυκάζουσα καθυπέδραμέ μου τὰ μέλη καὶ οἷον ὑπεγαργάλισε, καὶ ὅλον με κατέσχεν ἄρρητος ἔρως ἀνεκλάλητος, ἄφραστος· καί τι πέπονθα, νὴ τὸν
7 Ἔρωτα, οἷον οὐδέποτε πέπονθα. Εὐθὺς οὖν ἐξέπτη μου τῶν χειρῶν ἡ κόρη, ἢ μᾶλλον εἰπεῖν οἰκειότερον ἐκεῖναι νωθρῶς οὕτω καὶ μαλακῶς τῆς κόρης ἐξέπεσον· ἐξέπτη δέ μου καὶ ὁ ὕπνος εὐθὺς τῶν ὀφθαλμῶν, καὶ ἠνιώμην νὴ τὸν Ἔρωτα οὕτω καλὸν ἀπολέσας ὄνειρον καὶ τῆς ἐμῆς φίλης Ὑσμίνης ἀποσπασθείς· καὶ ἤθελον πάλιν ὑπνοῦν καί τι πάσχειν ἐρωτικὸν ἐξήτουν, οἷον καθ' ὕπνους ἔπαθον.
8 Ἐπεὶ δ' οὐ ξυνεχωρούμην τῷ Κρατισθένει καὶ τῷ 90
καιρῷ, γίνομαι πάλιν περὶ τὸν κῆπον· πρὸ γὰρ τῆς

θύρας ἦν τοῦ δωματίου. Καὶ ἤμην ὅλος ἐωνημένος τῇ κόρῃ, καὶ ψυχὴν καὶ σῶμα καὶ ὀφθαλμούς, καὶ ὅλος ἐκβεβακχευμένος ἐξ ἔρωτος. Ἥκω τοίνυν περὶ 2
τὸν γεγραμμένον Ἔρωτα· καὶ πρῶτα μὲν προσκυνῶ,
τοῦτο δὴ τὸ δουλοπρεπές, εἶτα καὶ λοιδορῶ τὸν ζω-
γράφον ὅτι μὴ καὶ τὴν Ὑσμίνην τῷ χορῷ τῶν δού-
λων παρθένων ἐγράψατο, παρθένον οὕτω καλήν, οὕ-
τως ὡραίαν, οὕτω πνέουσαν ἔρωτος, οὕτω φιλοῦσαν
τὸν Ἔρωτα καὶ φιλουμένην ἐξ Ἔρωτος· τοὺς ὀφθαλ- 3
μοὺς ὅλους τείνω πρὸς τὴν γραφὴν καί φημι πρὸς
τὸν Ἔρωτα "τῆς ἐξουσίας σού εἰμι, βασιλεῦ. Οὐκέτι
παλινοστήσω πρὸς Εὐρυκώμιδα· οὐκέτι προσπόλοις
Διὸς συνταχθήσομαι· ἔχει με πολίτην Αὐλίκωμις ἐξ
ἐρωτικῶν γραφῶν πολιτογραφούμενον." Καὶ ὁ Κρα- 9
τισθένης "εἶτ' οὐκ αἰδῇ τὸ κηρύκειον; οὐκ αἰδῇ τὰ
93 Διάσια, ὧν κήρυξ ἦλθες ἐπ' Αὐλίκωμιν; οὐκ αἰδῇ
τὸν Θεμιστέα πατέρα τὸν σὸν καὶ τὴν τῶν πολλῶν
ἐτῶν κληροῦχον Διάντειαν; μή μοι δύσερως εἴῃς.
Καλὴ μὲν Ὑσμίνη καὶ λίαν καλή, καὶ νέμεσις οὐδεμία 2
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
ἀλλ' ὁ πατὴρ ἐπὶ σοὶ τὰς ἐλπίδας σαλεύει· σὲ γήρως
ἔχει βακτηρίαν καὶ ψύχους θέρμην καὶ καύματος ξέ-
φυρον. Εἶτ' οὐκ ἐλεεῖς τὴν μητέρα, ἥτις σε πνεῖ καὶ 3
λαλεῖ καί σοι γέγηθε καὶ τῶν τοῦ γήρως κακῶν ἐπι-
λήθεται; μὴ πρὸς θεῶν, Ὑσμινία, μὴ πρὸς Διός, οὗ
κήρυξ ἧκες ἐξ Εὐρυκώμιδος· μὴ πρὸς Ἔρωτος, οὗ
δοῦλος ἐν Αὐλικώμιδι γέγονας. Φεῖσαι πατρὸς πο- 4
λιᾶς· φεῖσαι δακρύων μητρός· φεῖσαι πατρίδος ἡμῶν,
ἡλικιωτῶν, φίλων· φεῖσαι θιάσου λαμπροῦ· φεῖσαι
λαμπρᾶς ἀγορᾶς· φεῖσαι προπεμπτηρίων ᾠδῶν, ἃς ὁ
πατήρ σοι καὶ πατρὶς ξυνεπλέξατο. Ἀναλόγισαι τὸν 5

πατέρα, οἷον οἰμώξεται· ἀναλόγισαι τὴν μητέρα, οἷον
κόψεται, οἷον θρηνήσει, ὄντως ἐλεεινόν, ὄντως ἄγριον 94
καὶ οἷον τρυγῶν ἐπὶ νεοττοῖς ὀλλυμένοις. Οὐ νέκταρ
Ὑσμίνη σοι κατεκέρασεν, οὐκ ἐξ Αὐλικώμιδος οἶνον,
6 ἀλλ' οἷον Ἑλένης λαθικηδὲς φάρμακον. Ἐπελάθου 5
πατρός, μητρός, πατρίδος, ἡλικιωτῶν, ἑταίρων, οὕτω
λαμπρᾶς ἀγορᾶς καί, τὸ δὴ μεῖζον, ἱεροῦ Φιλίου Διός.
Ὦ πάντα κακαὶ γυναῖκες καὶ κατὰ τὸν σοφὸν
ἔσθλ' ἀμηχανώτατοι,
κακῶν δὲ πάντων τέκτονες σοφώτατοι. 10
7 Εἶτ' Ὀδυσσεὺς ἐκεῖνος οὐ κήρυξ ἦν, ἀλλὰ δοῦλος,
ἀλλὰ ξένος, ἀλλὰ πλανώμενος· ὁ δὲ καπνὸν πατρίδος
οὐ μόνον ἐλευθερίας, ἀλλὰ καὶ θεώσεως αὐτῆς τιμι-
ώτερον ἔκρινε· σὺ δ' ἔρωτος πυρὶ καὶ δοῦλος γίνῃ
8 καὶ τὸ σὸν ἀπεμπολᾷς μοι κηρύκειον." Κἀγὼ πρὸς τὸν 15
Κρατισθένην "ἰδοὺ Σωσθένης, καὶ σίγα, μή μου κα-
ταθριαμβεύσῃς τὸν ἔρωτα." Καὶ ὁ Σωσθένης "τὰ μὲν
δὴ πρὸς τὴν ἑορτὴν εὖ διεθέμεθα· καιρὸς δὲ δεῖπνου,
καὶ περὶ τὸ δεῖπνον γενώμεθα."
10 Ἐπὶ τὸν ξυνήθη γοῦν καὶ πάλιν τόπον ἀνακεκλί- 97
μεθα καὶ πάλιν ἐπίνομεν· ὀλίγος γάρ μοι λόγος τρο- 21
φῆς, οὐχ ὅτι πόσις μοι προτιμοτέρα τροφῆς, ἀλλ' ὅτι
μοι παρθένος οἰνοχοεύει, καὶ παρθένος Ὑσμίνη γλυ-
2 κυτέρα καὶ νέκταρος. Καὶ πάλιν Ὑσμίνη κιρνᾷ, καὶ 25
πάλιν ἐραστὴς ἐγώ, καὶ πάλιν ἀνάπτω τὸν ἔρωτα·
ὥσπερ γὰρ ἄνεμος ἐν καλάμοις καὶ χόρτοις ἀνάπτει
πῦρ μαραινόμενον, οὕτως ὀφθαλμὸς ἐν ἐρῶσιν ἀνάπτει
3 τὸν ἔρωτα. Πάλιν Ὑσμίνη πυρπολεῖ με κατὰ ψυχῆς·
πάλιν ὅλους ἐς ἑαυτὴν ἐφέλκεταί μου τοὺς ὀφθαλ- 30
μούς· πάλιν τὸν Ἔρωτα βλέπω, τὰ βέλη φρίττω, τὸ
πῦρ φοβοῦμαι, δειλιῶ τὸ τόξον καὶ τὴν δούλωσιν κατ-
4 ασπάζομαι. Ἡ τράπεζα ποικίλλεται ταῖς τροφαῖς· ἡ

χείρ μοι περὶ ταύτας, ὀφθαλμοὶ πρὸς Ὑσμίνην, καὶ ὁ νοῦς μου πρὸς ἔρωτα· οὕτω μοι τὰ μέλη διέσπασται καὶ τὰ μέρη διέσπαρται· τὸ περὶ τὴν τράπεζαν ποικίλον τοὺς δακτύλους ἐφέλκεται, ἡ πόσις τὰ χείλη, τοὺς ὀφθαλμοὺς τῆς Ὑσμίνης τὸ χαρίεν, καὶ ὁ Ἔρως 98 τὸν νοῦν, ἢ τἀληθέστερον εἰπεῖν, ἅπανθ' ἡ κόρη, καὶ χεῖρας καὶ χείλη καὶ ὀφθαλμοὺς καὶ τὸν νοῦν. Οὕτως ἐγὼ δουλογραφοῦμαι τῷ Ἔρωτι καινήν τινα δούλωσιν καὶ ἣν οὐδεὶς οὐδέπω δεδούλωται, οὐ μόνον σώματος, ἀλλὰ καὶ ψυχῆς.

Δ

Κιρνᾷ μὲν οὖν ἡ κόρη ξυνήθως· ἐγὼ δ' ἀξυνήθως 1 πίνω καὶ πίνων οὐ πίνω καὶ μὴ πίνων πίνω τὸν ἔρωτα. Πίνει μὲν οὖν Σωσθένης καὶ τρίτος ἐγώ, ὅτι μου καὶ ἡ Πάνθεια προύπιε, καὶ πίνων τὸν πόδα θλίβω τῆς κόρης, πόδα κατεπιθεὶς τὸν ἐμόν· ἡ δὲ σιγῶσα τῇ γλώττῃ τῷ σχήματι λαλεῖ καὶ λαλοῦσα σιγᾷ· δάκνει τὸ χεῖλος ἐρωτικῶς καὶ τὴν ἀλγοῦσαν καθυποκρίνεται· 2 ξυνέχει τὴν ὀφρύν, στυγνάζει τὸ πρόσωπον καὶ οἷον ὑποστενάζει λεπτόν· ἐγὼ δ' ἀλγῶ τὴν ψυχὴν ἐκ μό- 101 νου τοῦ σχήματος καὶ τὸν μὲν πόδα τοῦ ποδὸς εὐθὺς ἀφαρπάζω τῆς κόρης, τῇ χειρὶ δ' ἀντιπαρέχω τὸ ἔκπωμα. Περὶ μὲν οὖν τῶν ἐν τῇ τραπέζῃ τρυφῶν 3 Κρατισθένης φιλοσοφείτω καὶ εἴ τις περὶ τὴν τράπεζαν ἕτερος· ἐμοὶ δὲ καὶ τράπεζα καὶ τροφὴ καὶ πόσις καὶ τἄλλ' ὁπόσα περὶ τὴν τράπεζαν Ὑσμίνη παρθένος, ἧς καὶ πάλιν κιρνώσης θλίβω τὸν δάκτυλον· ἡ δ' "ἀλ-

γῶ" καθυποψιθυρίζει λεπτόν· καὶ ἦν τὸ ψιθύρισμα μεστὸν ἡδονῆς καὶ στάζον ἔρωτος.

2 Μετὰ δὴ τρίτον πότον καὶ τέταρτον καὶ πολυτελεῖς τὰς τροφὰς ἐλύετο τὸ συμπόσιον· καὶ ὁ Σωσθένης φησὶν "Ὑσμινία κήρυξ, τρεῖς ταύτας ἄγεις σήμερον ἡμέρας ἐς τὴν ἡμετέραν ἐξ Εὐρυκώμιδος, ἃς ὁ παρ' ἡμῖν νόμος ἐς φιλοφροσύνην καὶ σέβας ἀφοσιοῦ-
2 ται κήρυκος καὶ κηρύγματος· ξυνήθως οὖν καὶ πάλιν ξὺν τῷ καλῷ τούτῳ παιδὶ" (τὸν Κρατισθένην δεικνὺς) "ἀνακλίθητι· τῇ δ' ὑστεραίᾳ τὴν ἐπ' Εὐρυκώ-
3 μιδα βαδιοῦμεν θύσοντες Σωτῆρι Διί." Ταῦτ' εἶπε καὶ ἡμῶν ἀπηλλάγη τὸ ξύνηθες "χαίροις" εἰπών· ἐγὼ δ' ἐδόκουν νὴ τοὺς θεοὺς ἐς Ἅιδου μετακεκλῆσθαι, καὶ ἤδη κρυεροῦ κατὰ τὴν ποίησιν ἐγευόμην Ἀίδαο καὶ πρὸς τὸν Κρατισθένην εἶπον "τί μοί φησι Σωσθένης; Ὑσμίνη περὶ ταυτηνὶ τὴν Αὐλίκωμιν, ἐγὼ δ' εἰς Εὐρύκωμιν; οὐ μὰ τὸν ἐν τῷ κήπῳ θεόν· ξὺν Ὑσμίνῃ θανοῦμαι, ξὺν Ὑσμίνῃ καὶ ζήσομαι."

3 Καὶ τὴν Ὑσμίνην περὶ τὸν κῆπον εἶδον ὅλην σεσοβημένην ἐξ ἔρωτος. Εὐθὺς οὖν ὅλον τὸν κῆπον τοῖς ὀφθαλμοῖς μου ξυναγαγὼν ἢ μᾶλλον ὅλους περὶ τὸν κῆπον κατασκορπίσας αὐτοὺς καὶ ὅλον κατασκοπήσας αὐτὸν καὶ μόνην τὴν Ὑσμίνην ἰδών, ἐγγύς που ταύτης γενόμενος καὶ "χαίροις" εἰπὼν ἐφειλκυσάμην τοῦ
2 χιτωνίου· ἡ δ' ἐσίγα τὰ πρῶτα καὶ μόνον ἀντέτεινεν· ὡς δὲ καὶ χειρὸς ἡπτόμην, "αἰδέσθητι" φησὶ "τὸ κηρύκειον·" ὡς δὲ καὶ φιλεῖν ἤθελον, "αἰδέσθητι μᾶλλον· εἶτ' οὐκ αἰδῇ τὸν ἐκ δάφνης στέφανον" εἶπε "καὶ τὸ ἱερὸν πέδιλον;" ὡς δ' οὐ κατεδυσωπούμην, ἀλλ' ὅλος ἦμην περὶ τὸ φίλημα, "τί δέ σοι κέρδος" εἶπεν
3 "ἐκ τοῦ φιλήματος;" Ἐγὼ δὲ πρὸς τὴν κόρην μεθ' ἡδο-

νῆς

"ἔστιν κἂν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις."
Ἡ δ' ὑποσεσηρυῖα μικρὸν "χθὲς τὸν παρθένον ἐπλάττου" φησίν, "ὑπεκρίνου τὸν σώφρονα, καὶ νῦν καταρρητορεύεις τὸν ἔρωτα." Ἐγὼ δ' οὐδὲν εἰπὼν τὴν 4
χεῖρα φιλῶ καὶ φιλῶν στένω καὶ στένων ἐδάκρυσα.
Ἡ δέ μοι φησὶν "τί τυγχάνεις θρηνῶν;" ἐγὼ δ' ὅτι γλώττῃ μόνῃ τοῦ μέλιτος γεύομαι· σὸς γάρ με Σωσθένης πατὴρ ἐς Εὐρύκωμιν ξυνεφέλκεται. Ἡ δ' "ἀλλὰ κἀμὲ" φησί. Καὶ τὴν χεῖρ' ἀφαρπάξασα μακρὰν ἀπεπήδησεν.

Ἐγὼ δ' ὡς ἐν ὑποπτέρῳ ποδὶ περὶ τὴν κλίνην γε- 4
νόμενος ὑπεκρινόμην ὑπνοῦν· ψόφος γὰρ ἡμᾶς ὡς ἐκ ποδὸς ξυνετάραξεν. Ἦκεν οὖν ὁ Κρατισθένης τῆς ξυνηρεφοῦς ἀναστὰς μυρρίνης εἰς ἣν ἐπεκάθητο, καὶ τὸν πόδα μου θλίβων φησὶν "ἕως πότε τὸν βαθὺν
106 τοῦτον ὕπνον ὑπνοῖς; Ὑσμίνη περὶ τὸν κῆπον, σὺ δ' οὕτως ἀνακεκλιμένος ὑπνοῖς;" καὶ λέγων ἐγέλασεν.
Ἐγὼ δὲ "τί γελᾷς;" εἶπον· ὁ δ' "ὅτι σε ψόφος Θε- 2
ραπαινίδος ποδὸς χειρὸς ἐρωμένης δεσποίνης ἐστέρησε καὶ θήρας οὕτω καλῆς ἀνεμώλιον φόβητρον."
Ἐγὼ δὲ κατεφίλησα τὸν Κρατισθένην εἰπὼν "ξύγκαιρέ μοι, Κρατίσθενες· ξὺν ἡμῖν ἡ παρθένος ἐς Εὐρύκωμιν." Καὶ δὴ περὶ τὸν κῆπον γενόμενος τὴν Ὑσμίνην 3
ἐζήτουν καὶ πάλιν ἰδεῖν· ὡς δ' οὐκ εἶχον ὁρᾶν (ᾤχετο γάρ), ἐνεκαρτέρουν τῷ κήπῳ, τὴν παρθένον ἐνοπτριζόμενος· ὁ δέ γε Κρατισθένης μετάγει μου τοὺς ὀφθαλμοὺς ἐπὶ τὰς ἐν τῷ κήπῳ γραφάς, καὶ μετὰ τὸν ἐμὸν Ἔρωτα τὸν ἐφ' ὑψηλοῦ τοῦ δίφρου καθήμενον ἄνδρας ὁρῶμεν ἀλλοφύλους, ἀλλογλώττους, ἀλλογενεῖς, ὅλους ἄλλους ἐξ ἄλλων καὶ τὸ σχῆμα καὶ τὸ πολίτευμα.

Ὁ μὲν γὰρ στρατιώτης ἦν· στρατιώτης τὸ σχῆμα, 5
στρατιώτης τὸ βλέμμα, στρατιώτης τὸ μέγεθος· ὅλος

στρατιωτικῶς κατεπέφρακτο· τὴν κεφαλήν, τῷ χεῖρε, τὸ μετάφρενον, τὸ μέτωπον, τὸ στέρνον, τὴν ὀσφὺν 109
2 μέχρι ποδῶν· οὕτως ὁ τεχνίτης τὸν σίδηρον ἐς πέταλον ἐξυφήνατο ἢ μᾶλλον ταῖς βαφαῖς τὸν σίδηρον ἐμιμήσατο· οὕτω καὶ μέχρις ὀνύχων αὐτῶν τὸν στρατιώ- 5
3 την κατέφραξε. Φαρέτρα περὶ τὴν ὀσφὺν καὶ σπάθη ἀμφίκοπος· δολιχὸν ἔγχος περὶ τὴν δεξιάν· ἀσπὶς ἐξήρτητο τῆς λαιᾶς· τοῖν δέ γε ποδοῖν οὕτως εὐφυῶς εἶχε καὶ τεχνικῶς, ὡς εἴποις ἰδὼν κινεῖσθαι τὸν ἄνθρωπον. 10

6 Ὁ μετ' αὐτὸν ὅλος ἦν ἀγροικικῶς ἐσταλμένος καὶ ὅλος ποιμήν. Ἀπερικάλυπτον εἶχε τὴν κεφαλήν, ἀκόσμητον τὴν τρίχα καὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος· τῷ χεῖρε μέχρις ἀγκῶνος γυμνώ. Μέχρι γονάτων ὁ ζωγράφος τὸν χιτῶνα κατέχυσε· τὰ δ' ἐφεξῆς ἀφῆκεν 15
2 ἀπερικάλυπτα. Λάσιον τὸ στέρνον τἀνδρὶ καὶ ὅσα τῶν μελῶν οὐκ ἐπεκαλύφθησαν ὡς ἐν χιτῶνι τοῖς χρώμασι· τὸ σκέλος παχὺ καὶ ὄντως κατ' ἄνδρας ἀδρόν. Διδυμοτόκος αἶξ πρὸ τῶν ποδῶν τοῦ ποιμένος ὠδίνουσα
3 γέγραπται· ὁ δὲ γίγας οὗτος ποιμὴν μαιεύει τὴν αἶγα, 110
καὶ τὸ μὲν πρωτότοκον ἔχει, τὸ δ' ὑποδέχεται· καὶ τὴν 21
σύριγγα ποιμενικῶς ἁρμοσάμενος ἐπιτόκιον ᾄδει καὶ οἷον καταδυσωπεῖ τὸν Πᾶνα τὰς αἶγας πυκνῶς εὐτοκεῖν.

7 Εἶτα λειμὼν κατάκομος ἄνθεσι, καί τις ἀνὴρ κατὰ 25
μέλιτταν ἐπὶ τοῖς ἄνθεσιν ἐμετάλλευεν. Οὐ κατὰ φυτηκόμον ἐγέγραπτο, κατ' ἄνδρα δὲ μᾶλλον πολυτελῆ καὶ πολύολβον καὶ ὅλον βλάκα καὶ ὅλον χαρίεντα· ἡ γάρ τοι περὶ τὸ πρόσωπον χάρις αὐτοῦ πρὸς τὸ τοῦ
2 λειμῶνος κάλλος ἀντήριζεν. Ἡ θρὶξ περὶ τοὺς ὤμους 30
ἐξήπλωτο, φιλοτίμως καταβοστρυχουμένη καὶ λίαν ἐπιμελῶς. Ἄνθεσι τὴν κεφαλὴν ἐστεφάνωτο, καὶ ῥόδα

κατεπεχεῖτο τῷ βοστρυχώματι. Ποδήρης ὁ χιτὼν τουτῳὶ καὶ οἷον κατάχρυσος καὶ ὡς ἐξ ἀνθέων κατάστικτος καὶ οἷον ἠνέμωτο. Πλήρεις εἶχε τὰς χεῖρας ἀν- 3
θέων καὶ ῥόδων καὶ τῶν ἄλλων φυτῶν, ὅσα καθη-
δύνει τὴν ὄσφρησιν. Ἐσανδαλοῦτο τὼ πόδε· οὐδὲ γὰρ
113 οὐδὲ τοῦτο τὸ μέρος εἶχεν ἀπερικόσμητον· καὶ ἦν ὁ
λειμὼν τοῖς ἐν ποσὶ σανδάλοις ὡς ἐν κατόπτροις πα-
ραδεικνύμενος· οὕτως ὁ ζωγράφος καὶ μέχρι ποδῶν
καὶ πεδίλου τὸν ἄνδρα κατεχαρίτωσε.

Πεδίον χλοηφόρον μετὰ τὸν κῆπον ὁ τεχνίτης ἐξή- 8
πλωσεν, ἄνδρα δ' ἐν μέσῳ κατεζωγράφησε τ᾽ πάντα
κατ' ἀγρότην ἐσκευασμένον, ἐστεφανωμένον τὴν κεφα-
λὴν οὐκ ἐξ ἀνθέων, οὐκ ἐκ ῥόδων, ἀλλ' ἐκ λίνου λεπτοῦ,
ὃν χεὶρ ὑφαίνει, καὶ τέχνη πλέκει. Τὸν δὲ βόστρυχον 2
οὐδὲ μέχρις ὤμων ὁ τεχνίτης ἐφήπλωσεν, οὐδ' αὐτὸν
ὅλον περικαλύπτειν ἀφῆκε τὸν τράχηλον. Τὸ χιτώ-
νιον ἀκαλλῶς κατ' ἀγρότην ἐσκεύασε καὶ ὅλον ἀγροι-
κικόν. Τῶ πόδε κατ' ἄμφω μέχρι γονάτων ἐγύμνωσε 3
καὶ ἄμφω τὼ χεῖρε πρὸς ἓν ἀφώρισε δρέπανον, ὅτι
καὶ τὸ σχῆμα καὶ τὸ μῆκος ὑπὲρ τὸ δρέπανον. Χόρτον
τίλλειν ὁ γεγραμμένος ἀγρότης ἔργον εἶχεν ἐπιμελέ-
στατον· τοὺς ὀφθαλμοὺς ἐπεπήγει τῷ χόρτῳ, καὶ ὅλος
ἦν πρὸς τῷ λειτουργήματι.

114 Γηπόνος ὁ μετ' αὐτὸν περὶ μέσους κεκυφὼς τοὺς 9
ἀστάχυας δρέπανον ἔχει τῇ δεξιᾷ, τῇ δέ γε λαιᾷ ξυλ-
λέγει τὰ δράγματα· ἀπέχει τοὺς καρποὺς τῶν πόνων,
θερίζει τὰς ἀμοιβὰς τῶν καμάτων καὶ τῶν σπερμάτων
τρυγᾷ τὰ γεώργια. Ἐπικάλυμμα φέρει τῇ κεφαλῇ πί- 2
λον ἀσκητὸν καθ' Ἡσίοδον· οὐ γὰρ γυμνῇ ταύτῃ
δοκεῖ τὴν θέρμην ἀνέχεσθαι. Τὸν πάντα χιτῶνα περὶ

14 post πλέκει: καὶ τόξον ὁ ἀγροτὴς ἔχει

τὴν ὀσφὺν διεζώσατο καὶ τὸ πᾶν τοῦ σώματος πλὴν τῆς αἰδοῦς ἐξεγύμνωσεν.

10 Ὁ μετ' αὐτὸν ἤδη λελουμένος ἐγέγραπτο. Ἀνὴρ πρὸ τῶν πυλῶν εἱστήκει τοῦ βαλανείου, ὀθόνῃ τὴν αἰδὼ περιστέλλων, τὰ δ' ἄλλα φέρων ἀπερικάλυπτα 5
2 πάντως· ἐξ ἱδρῶτος κατερρεῖτο καὶ κατερρέχετο. Εἴποις ἰδὼν ἀσθμαίνειν τὸν ἄνθρωπον καὶ οἷον ἐκλελύσθαι τῷ καύματι· οὕτως ὁ τεχνίτης καὶ τὰς φύσεις
3 αὐτὰς ἀπεμιμεῖτο τοῖς χρώμασι. Τῇ δεξιᾷ τῶν χειρῶν ἔκπωμα κατεῖχε κωνοειδές, ὃ τῷ στόματι φέρων τῆς 10 ὀπῆς ἀνερρόφει τοῦ πώματος· τῇ δ' αὖ γε λαιᾷ τὴν ὀθόνην ἀνεῖχε περὶ τὸν ὀμφαλόν, μή πως ἐκρυεῖσα τὸ 117 πᾶν ἐκκαλύψῃ τοῦ σώματος.

11 Μετὰ δὴ τοῦτον τὸν ἐκ βαλανείου, τὸν λελουμένον, τὸν καυματούμενον ἀνήρ τις ἐγέγραπτο ὅλον 15 ἀνεζωσμένος περὶ τὴν ὀσφὺν τὸ χιτώνιον, ὅλῳ τῷ πόδε γυμνός, καὶ ὅλην οἴνου πηγὴν ἀναστομῶν πρὸ
2 ποδῶν. Τὴν τρίχα πᾶσαν εὐφυῶς ξυνῄκται πρὸς τὸ μετάφρενον. Ἄμπελον ἡ λαιὰ τῶν χειρῶν ἐμιμεῖτο, καὶ βότρυν εἶχε τοῖς δακτύλοις ὡς κλάδοις ἀπαιωρούμενον· ἡ δεξιὰ τὸν βότρυν ἐτρύγα, καὶ τῷ στόματι κατὰ ληνὸν παρετίθετο, καὶ τοῖς ὀδοῦσιν ὡς ποσὶν ἐναπέθλιβε· καὶ ἦν ὁ γεγραμμένος ἀνὴρ ἄμπελος καὶ τρυγητὴς καὶ ληνὸς καὶ οἴνου πηγή.

12 Ὁ μετ' αὐτὸν νεανίσκος νῦν πρώτως ἤνθει τὸν ἴουλον, τὴν κεφαλὴν μὴ φέρων ἀπερικάλυπτον, ἀλλ' ἔκ τινος ἀραχνώδους λίνου περικαλύπτων καὶ τὴν κε-
2 φαλὴν καὶ τὸν βόστρυχον. Λευκὸν αὐτῷ τὸ χιτώνιον, ὃ τὰς χεῖρας ξυνέχει καὶ ταύταις κεκόλληται· καὶ μέχρι δακτύλων ἐκκεχυμένον αὐτῶν στενοῦται μὲν περὶ τὴν ὀσφύν, τὸ δ' ἐφεξῆς ἀνέτως ἐκχεῖται καὶ οἷον ἠνέμω- 118
3 ται. Μέχρι γονάτων ὁ τεχνίτης τοὺς πόδας τῷ νεανί-

σκῳ κατεπεδίλωσεν. Ὁ δ' οἰκίσκους φέρων στρουθῶν πλάττει φυτόν, δόλον πλέκει κατὰ πτηνῶν καὶ περιεργάζεται τὸ πτηνόν· ὅλον λειμῶνα φυτεύει, στρουθοὺς τῷ λειμῶνι παραπετάννυσι, λεπτῇ μηρίνθῳ τούτους ἀντικαθέλκων πυκνά. Τὸν δόλον οὐ ξυνορᾷ 4 τὸ πτηνόν, τὴν μηχανὴν οὐκ οἶδε· βλέπει τὸν λειμῶνα τερπνόν, τοὺς ἐν μηρίνθῳ παραπετομένους στρουθούς, τοὺς ἐν οἰκίσκοις ἡδὺ μελιζομένους καὶ χαρίεν· γίνεται πρὸς τῷ λειμῶνι, πρὸς τοῖς στρουθοῖς, καὶ τῷ δόλῳ ξυνέχεται· ὁ δὲ τὸν δόλον ξυσκευασάμενος ἰξευτὴς ξυνέχει καὶ σφάττει καὶ τῆς εὐηθείας καταγελᾷ.

Μετὰ δὴ ταῦτα ζεῦγος βοῶν ἄροτρον φέρον ἐγέ- 13
γραπτο καί τις ἀνὴρ ἀροτρεύς, ᾧ φαῦλα μὲν ὁ τεχνίτης ὑπέρραψε πέδιλα, φαῦλα δὲ καὶ τἆλλα τὰ περὶ τὸ σῶμα κατεζωγράφησε, φαῦλον τὸν χιτῶνα καὶ ὅλον
121 διερρωγότα (καὶ τοῦτο γὰρ ἐτεχνουργήθη τοῖς χρώμασι), φαῦλον τὸ τῆς κεφαλῆς περικάλυμμα, ἐξ ἐρίου τάχα ξυμπιληθέν. Μέλαν οὐ κατ' Αἰθίοπα κατεχρώ- 2
σθη τὸ πρόσωπον, ἀλλ' οἷον ἥλιος μεταχρώννυσι. Ἡ θριξ ὀλίγη πρὸς τὸ μετάφρενον· τὴν γὰρ πᾶσαν τὸ τῆς κεφαλῆς ἐπεκάλυπτε κάλυμμα· πώγων καθειμένος καὶ ὅλος βαθύς. Ἡ δεξιὰ τῶν χειρῶν ὅλη κατέχει 3
καὶ πρὸς γῆν ἐμβάλλει τὸ ἄροτρον, ἡ δέ γε λαιὰ βουπλῆγα φέρει, γηπόνων ἀνδρῶν γραφεῖον, ὃ βάπτεται μὲν βοῶν αἵματι, καλλιγραφεῖ δὲ τῇ γῇ.

Ὁ μετ' αὐτὸν κατ' αὐτὸν τὸ σχῆμα, τὸν χιτῶνα, 14
τὸ πέδιλον καὶ τὸ τῆς κεφαλῆς περικάλυμμα καὶ ὅσα περὶ τὸ σῶμα· τὸ γάρ τοι σῶμα διήλλακται· τὸ μέλαν τοῦ προσώπου μέλαν μέν, ἀλλ' οὐχὶ κατ' ἐκεῖνον, ὥσπερ οὐδὲ κατὰ τὸν ἐν τῷ κήπῳ γεγραμμένον λευκόν· ἀλλ' ὅσον ἐκείνου μελάντερον, τοσοῦτο τούτου λευκότερον. Ἡ θριξ ἀτάκτως πλὴν μέχρις ὤμων ἐξή- 2

πλωτο· ὁ πώγων μὴ κατ' ἐκεῖνον ἐκκεχυμένος, ἀλλὰ
3 ξυνῆκται καὶ οἷον ξυνέσταλται. Τῆς μὲν τῶν χειρῶν 122
λαιᾶς ἐξῆπται κανοῦν· ἡ δ' αὖ ἑτέρα τὸν ἐν τούτῳ
σῖτον ἐξῆγε καὶ περὶ τὴν γῆν κατεσκόπιζεν· εἰ δὲ
κεκρυμμένα πτηνὰ τοῖς περὶ τὴν γῆν ἐκάθηντο χά- 5
σμασι καὶ εἰ τούτοις ἐσκόπιζεν, ὁ τεχνίτης οὐκ ἀφῆ-
κεν ὁρᾶν.

15 Μετὰ δὴ τούτους νεανίσκος ἐγέγραπτο σφριγῶν
τὸ σῶμα καὶ τὸ βλέμμα θρασύς, ὅλος περὶ θήρας
ἐπτοημένος καὶ κυνηγέσια, ἡμαγμένος τὰς χεῖρας καὶ 10
οἷον θωῦσσων κυσί· χεὶρ γὰρ ζωγράφου καὶ τέχνη
2 κἂν τἆλλα σοφή, φωνῆς ἡττᾶται καὶ μόνην ταύτην οὐκ
οἶδε μιμεῖσθαι τοῖς χρώμασι. Τὸν πάντα βύστρυχον
πρὸς ἓν ξυνῆγε καὶ ξυνεδέδετο· καὶ ὅλον τὸ χιτώνιον
εὐφυῶς ξυγκεκόλληται τῇ σαρκὶ καὶ οἷον ταύτῃ ξυνέρ- 15
3 ραπται, ὃ μέχρι γονάτων ὁ τεχνίτης ἐξέχυσε. Τὰ δ'
ἐφεξῆς μέχρι δακτύλων αὐτῶν διερρωγώς τις πέπλος
ξυνέσφιγγε, καὶ μήρινθος κατὰ κιττὸν ξυνεπλέκετο.
Λαγωὸς τῆς λαιᾶς ἀπηώρητο τῶν χειρῶν· τῇ γάρ τοι
δεξιᾷ τοὺς κύνας ὑπέσαινεν· οἱ δ' ὅλοι πρὸ ποδῶν 125
ἐκυλινδοῦντο τοῦ νεανίσκου καὶ οἷον ξυνέπαιζον. 21

16 Τέλος κρατῆρες πυρὸς ἐγεγράφατο καὶ φλὸξ ὡς
ἀπὸ γῆς μέχρις ἐς αὐτὸν οὐρανόν, ὡς μηδ' ἔχειν μα-
θεῖν εἴτ' ἀπ' αἰθέρος ἐς γῆν ἐκχεῖται τὸ πῦρ εἴτ' ἀπὸ
2 γῆς ἐξῆπται πρὸς οὐρανόν. Καί τις ἀνὴρ ἑκατοντα- 25
πέμπελος παρακάθηται τῇ φλογί, ὅλος ῥυτίς, ὅλος
πολιὰ καὶ τὴν κεφαλὴν καὶ τὸν πώγωνα, διφθέραν
ἐνδεδυμένος ἐκ κεφαλῆς ἐς ὀσφύν, τὰ δ' ἄλλα γυμνός,
3 τὼ χεῖρε, τὼ πόδε καὶ τὸ πολὺ τῆς γαστρός. Ἐκτετα-
μένας εἶχε τὰς χεῖρας καὶ οἷον μεθεῖλκε τὴν φλόγα καὶ 30
μετερρίπιζε καὶ ὅλην μετῆγε πρὸς ἑαυτόν.

17 Ταῦθ' ὁρῶμεν καὶ τοῖς παραδόξοις ἐξεπληττό-

μεθα καὶ τί βούλεται τὰ γεγραμμένα σφόδρ' ἐκμαθεῖν ἐδεόμεθα, καὶ μᾶλλον ὁ Κρατισθένης· ἐμὲ γὰρ ὁ τῆς Ὑσμίνης ἔρως ὅλον μεθεῖλκε πρὸς ἑαυτόν· τὰ δ' ἄλλα πάντα καὶ τὰ περὶ τὸν κῆπον τερπνὰ τερπνά μοι πρὶν
126 Ὑσμίνην ἰδεῖν ἢ μᾶλλον πρὶν Ὑσμίνης ἐκκεκαῦσθαι
6 τῷ ἔρωτι. Ἐγὼ μὲν τοίνυν τοὺς ὀφθαλμοὺς μετάγω 2
περὶ τὸν κῆπον, τὴν Ὑσμίνην ἐνοπτριζόμενος· ὁ δέ γε Κρατισθένης ὑπὲρ τὰς κεφαλὰς τῶν γεγραμμένων ἀνδρῶν ἰαμβεῖον ἐν ὁρᾷ γεγραμμένον· τὸ δ' εἶχεν οὕτω
10 τοὺς ἄνδρας ἀθρῶν τὸν χρόνον βλέπεις ὅλον.

Ἐντεῦθεν κατεφιλοσοφοῦμεν τὰ σχήματα τῶν γε- 18
γραμμένων ἀνδρῶν.

Στρατιώτης ὁ πρῶτος τὸν καιρὸν τοῦ χρόνου παρα- 2
δείκνυσιν, ὅτε πᾶς ἐκστρατεύει στρατιώτης ἀνὴρ ὅλοις
15 ὅπλοις καταφραξάμενος ἑαυτόν.

Ὁ μετ' αὐτὸν αἰπόλος καὶ ἡ αἴξ ἡ παρὰ τοῖς ποσὶ 3
τίκτουσα καὶ σύριγξ οἷον αὐλοῦσα τὸν καιρὸν ἐμφαίνει, καθ' ὃν ποιμὴν ἐκ χειμῶνος ἐξάγει τὸ ποίμνιον καὶ καθ' ὃν τίκτουσιν αἶγες καὶ σύριγξ ἁρμόττεται.

20 Ὁ γεγραμμένος λειμών, ὁ ῥόδοις κομῶν καὶ θάλ- 4
λων τοῖς ἄνθεσιν, ὁ μέσος κατηνθισμένος ἀνὴρ τὸν καιρὸν εἰκονίζει τοῦ ἔαρος.

Τὸ χλοηφόρον γεγραμμένον πεδίον, ὁ τὸν χόρτον 5
τίλλων ἀγρότης τὸν καιρὸν παρίστησιν ἐμφανῶς,
129 καθ' ὃν ὁ χόρτος πεπαίνεται καὶ τὴν ἐκτομὴν ἀπαι-
26 τεῖ.

Ὁ μέσον ἀσταχύων ἀνήρ, ὁ τὸ δρέπανον ἔχων καὶ 6
θερίζων τὸν ἄσταχυν τὸν καιρὸν τοῦ θέρους σοι καταζωγραφεῖ.

30 Ὁ λελουμένος ἀνήρ, ὁ γυμνός, ὁ πίνων, ὁ καυμα- 7
τούμενος τὴν θέρμην ἐμφαίνει σοι τοῦ καιροῦ, τὴν ἐπιτολὴν τοῦ κυνός, ὅθεν τὸ σῶμα καταξηραίνεται.

8 Ὁ τὸν βότρυν τρυγῶν τὸν καιρὸν τῆς τρύγης σοι παριστᾷ καὶ τὸ πεπανθῆναι τοὺς βότρυας.

9 Ὁ μετ' αὐτὸν ἱξευτὴς ὑπαντίττεταί σοι τὸν χρόνον, καθ' ὃν τὰ πτηνὰ τὸν χειμῶνα φρίττει καὶ μεταίρει πρὸς τὸ θερμότερον.

10 Ὁρᾷς τὸν γηπόνον ἐπ' ἄροτρον; Οὗτός ἐστιν ὁ καιρός, ὃν καί τις σοφὸς ἐκ τῶν Ἰλιάδων ἐς ἄροτον ἠκριβώσατο.

11 Ὁ μετ' αὐτὸν σκορπίζων τὸν σῖτον σπορεύς ἐστι καὶ τὸν τοῦ σπόρου καιρὸν καθυπεμφαίνει τῷ ξωγραφήματι.

12 Ὁρᾷς τὸν ἐν μέσῳ κυνῶν νεανίσκον, τὸν τὸν λαγωὸν φέροντα, τὸν τοὺς κύνας καθυποσαίνοντα; Τὸν τῆς θήρας καιρόν σοι παρίστησιν· ἐπεὶ γὰρ ξυνῆκται ταῖς ἀποθήκαις καὶ σῖτος καὶ οἶνος καὶ τἆλλ' ὁπόσα ξυναγαγεῖν ἀγαθόν, ἀλλὰ δὴ καὶ τὰ περὶ τὸ μέλλον ἐξῆς εὖ διετέθη γεωργικῶς καὶ γηπονικῶς, ἀνέσει καὶ θήραις καὶ κυνηγεσίοις καιρὸς ἀφωσίωται.

13 Ὁ πολιὸς οὗτος ἀνὴρ ὁ τῇ ἑστίᾳ ἐμπελαδὸν παρακαθήμενος τὸ δριμὺ τοῦ χειμῶνος καθυπεμφαίνει σοι, οὐχ ἧττον δὲ καὶ τὸ τοῦ γήρως ψυχρόν· ὁ γάρ τοι χειμὼν διὰ κόρης ἀπαλόχροος οὐ διάησι, τροχαλὸν δὲ γέροντα τίθησιν.

19 Οὕτω τοίνυν καταφιλοσοφήσαντες τὴν γραφὴν περὶ τὸ δωμάτιον ἀνεχωροῦμεν· ὕπνου γὰρ ἐκάλει καιρός. Καὶ ὁ μὲν Κρατισθένης περὶ τὴν κλίνην ἐγένετο, ἐγὼ δ' ἐνεκαρτέρουν τῷ κήπῳ, τὴν Ὑσμίνην ἐθέλων ἰδεῖν, καὶ ὅλους πρὸς τὴν πύλην εἶχον τοὺς
2 ὀφθαλμούς· νοῦς γὰρ ἔρωτι τρωθεὶς ὅλον καθ' αὑτὸν ἀναπλάττει τὸν ἔρωτα καὶ τοὺς ὀφθαλμοὺς μετάγει περὶ τὸ πλάσμα καὶ ὅλον ὁρᾶν δοκεῖ τὸ πλαττόμενον· οὕτω πῦρ ἔρωτος πεσὸν ἐς ψυχὴν καὶ τὰς φύσεις 133

αὐτὰς μεταπλάττει καὶ μεθαρμόττεται. Καὶ ὁ Κρα- 3
τισθένης τῆς κλίνης ἀναστὰς μεθέλκεταί με περὶ τὸ
δωμάτιον "νὺξ δ' ἤδη τελέθει" λέγων, "ἀγαθὸν
καὶ νυκτὶ πιθέσθαι."

Ἐγὼ δὲ πρὸς αὐτὸν "νῦν τὰς γραφὰς ὅλας ἀνεμε- 20
τροῦμεν τοῖς ὀφθαλμοῖς, τὰς ἐπιγραφὰς ἑωρῶμεν καὶ
ταύτας ταῖς γραφαῖς προσηρμόττομεν, καὶ θέρει μὲν
καὶ ψύχει καὶ ἔαρι καὶ τοῖς πᾶσιν ἁπλῶς καιρὸς ἀφω-
σίωται, Ἔρως δ' οὐ περιγέγραπται τῇ γραφῇ, οὐ πρὸς
καιρὸν τῇ τέχνῃ μετεχρωμάτισται· πάντως ὅτι παντὶ
καιρῷ μεθαρμόττεται." Ὁ δὲ Κρατισθένης "ἰσχυρῶς 2
σε καταπαγιδεύω τοῖς χείλεσι καὶ τοῖς σοῖς τὴν νικῶ-
σαν ἔχω προβλήμασιν· ἐγγὺς γὰρ ἡ γραφὴ καὶ ἀπα-
ράγραπτος ὁ γραφεύς· θέρει γὰρ καὶ ψύχει καὶ ἔαρι
καιρὸς ἀφωσίωται κατά γε τὴν γραφὴν καὶ τὸν λόγον
τὸν σόν, ἔρωτι δ' οὐδαμῶς· ἂν δ' ὑπὲρ τὰ ἐσκαμμένα 3
πηδᾷ, τυραννὶς τὸ πρᾶγμα· ἂν καταδυναστεύσας πολ-
134 λάκις ἐκράτησε παρ' ἡμῖν, οὐ νόμος τὸ σπάνιον, ἡ γάρ
τοι τοῦ ζωγράφου γραφὶς Ἑρμοῦ τὸ ἀκόντιον· ὅλη
κατεστομωμένη τοῖς ἐκ τῶν γεγραμμένων προβλήμα-
σιν." Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "ἀλλ' αὐταῖς 4
σοι ταῖς τῶν χρωμάτων βαφαῖς ἐκθηλυνθήσεται τὸ
ἀκόντιον· Ἔρως γὰρ προσγέγραπται βασιλεύς, καὶ
πᾶσα φύσις ἀνδρῶν ὡς δούλη παρίσταται, ἄνδρες δὲ
πάντως καὶ οἷς τοὺς καιροὺς ὁ γραφεὺς μεθηρμόσατο·
εἰ γοῦν τὸ πᾶν καὶ καθόλου δουλοῦται τῷ Ἔρωτι, πῶς
τὸ μερικὸν ἐκφύγῃ τὴν δούλωσιν; εἰ δὲ καὶ πᾶν 5
τμῆμα καιροῦ καὶ διάστημα ἐξ ἡμέρας καὶ νυκτὸς ὡς
ἐξ ὕλης τὴν ξύστασιν ἔσχηκεν, αὗται δὲ δουλοῦνται
κατὰ τὴν γραφὴν καὶ τὸ σὸν μυσταγώγημα, εὔδηλον
ὡς καὶ τὸ ἐκ τούτων καὶ δι' αὐτῶν καὶ ὅλον ἐν ὅλαις

αὐταῖς οὐκ ἀποφύγῃ τὴν δούλωσιν, ἀλλ' ἄκον ξυνδουλαγωγηθήσεται."

6 Ταῦτ' εἶπον, καὶ τὸν Κρατισθένην εὐθὺς κατεφίλησα "νικῶ σε" λέγων "Κρατίσθενες·" ὁ δ' "ἔστω, νενίκηκας· γενώμεθα περὶ τὸ δωμάτιον."

21 Καὶ γεγονότες ἀνακεκλίμεθα. Καί τις ψόφος περὶ τὸν κῆπον γενόμενος τῆς κλίνης μ' ἀνέσπασε· καὶ περὶ τὸ φρέαρ τὴν Ὑσμίνην ὁρῶ, πρὸς ἣν κατεπέτασα, καὶ τοῦ ποδὸς ἐμνήσθην τοῦ Ἔρωτος ὅτι μὴ κατ' ἄνθρωπον ἦν ἀλλ' ὅλον πτερόν· καὶ τὸν ζωγράφον τῆς γραφῆς ἐμακάρισα, Ἔρως γὰρ καὶ τοὺς ἐμοὺς τούτους πόδας ἐπτέρωσε· καὶ μηδὲν αἰδεσθεὶς ὅλαις χερσὶ τὴν κόρην κατεφίλησα κατασχών· ἡ δ' ἐξ αἰδοῦς καὶ θάμβους "τί πάσχεις;" ἀνέκραξε· "τῆς ἀναιδείας τοῦ κήρυκος." ἐγὼ δ' "οὐδὲν" εἶπον "ἄλλο πλὴν ἔρωτος τὴν πικρὰν ταύτην καὶ γλυκυτάτην μοι πάθησιν." Καὶ πάλιν κατεφίλουν αὐτήν, καὶ πάλιν ξυνέσφιγγον καὶ ὅλην εἶλκον πρὸς ἐμαυτόν, καὶ πρὸς τὴν ψυχὴν μετεβίβαζον, καὶ τοῖς δακτύλοις κατέθλιβον, καὶ ὅλην κατέδακνον, καὶ ὅλην ἀνερρόφουν τοῖς χείλεσι καὶ

4 ὅλην ὡς κιττὸς ξυνεῖχον κυπάριττον· ξυνεπλεκόμην τῇ κόρῃ, ξυνερριζούμην αὐτῇ καὶ τὴν φύσιν ἐζήτουν κοινώσασθαι καὶ ἤθελον ὅλην καταφαγεῖν καὶ ὅλην αὐτὴν κατερεύγεσθαι· ὅλην ἤγον περὶ τὸ χεῖλος καὶ ὡς ἐκ σίμβλου τοῦ χείλους τῆς κόρης μέλι γλυκάζον ἐτρύγων τοῖς χείλεσιν.

22 Ἡ δέ μοι γενομένη περὶ τὸ στόμα δάκνει μου τὰ χείλη καὶ τοὺς ὀδόντας αὐτῆς ὅλους τοῖς ἐμοῖς κατεφύτευσε χείλεσι· καί μοι περὶ τὴν ψυχὴν ἐβλάστησαν ἔρωτες καὶ γιγάντων παλαμναιότεροι. Ἐγὼ δ' ἀλγήσας ξυνέσχον αὐτὰ καὶ οἷον ἐστέναξα, ἡ δ' "ἤλγησας τὰ χείλη;" φησίν· "ἀλλ' ἤλγησα κἀγὼ τὴν ψυχήν, ὅτε

μοι ταῦτα καὶ σὺ τὸν ἔρωτα προπετῶς ἐπὶ τῆς τοῦ πατρὸς τραπέζης ἐξεφαυλίσατε." Καὶ πρὸς τὴν κόρην 2
ἐγὼ " ἰδού μοι τἄλλα τῶν μελῶν θλιβέσθωσαν· τὰ δέ
μοι χείλη τιμάσθω καθυπουργοῦντά μου τοῖς φιλήμα-
σιν. Εἰ δέ μοι κέντρον φέρεις ὡς μέλιττα καὶ φυλάτ- 3
τεις τὸ σίμβλον καὶ πλήττεις τὸν τοῦ μέλιτος τρυγητήν, ἐγκαρτερήσω τῷ σίμβλῳ, τὸν ἐκ τοῦ κέντρου πόνον ὑφέξω καὶ τρυγήσω τοῦ μέλιτος· οὐ γάρ με στε-
141 ρήσει πόνος γλυκύτητος μέλιτος, ὥσπερ οὐδ' ἄκανθα
ῥόδου τοῦ ῥόδου κωλύσει με." Καὶ πάλιν ἐφίλουν 4
αὐτὴν καὶ πάλιν ξυνέθλιβον καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον· ἡ δ' " ἀλλ' οὐκ ἔσται σοι τοῦτο, νὴ τὴν Ὑσμίνην" φησίν· ἐγὼ δ' " ἀλλ' οὐκ ἀνήσω, νὴ τὸν Ὑσμινίαν" ἀντέλεγον.

Καὶ ἦν ἔρις παρ' ἡμῖν Σωφροσύνης καὶ Ἔρωτος, 23
εἰ μή τις Αἰδὼ τὴν Σωφροσύνην ἐκείνην ἐθέλει καλεῖν· ὁ μὲν γὰρ ὡς ἀπὸ γῆς μοι κρατῆρας ἀνῆπτε πυρός, ἡ 2
δ' ὡς ἐξ οὐρανοῦ τὴν κόρην ἐψέκαζεν· ὁ μὲν ὅλας ἐξεκένου φαρέτρας, ἡ δ' Αἰδὼς τῇ παρθένῳ ἀσπὶς ἑπτα-
βόειος· ὁ μέν μοι τὴν ἐν χερσὶ λαμπάδα κατ' ὀφθαλμῶν ἀνῆψεν ἐρωτικῶς καὶ τὴν φλόγα πρὸς τὴν ψυχὴν μετερρίπιζεν, ἡ δ' ὅλας πηγὰς δακρύων ἐκ τῶν τῆς κόρης ὀφθαλμῶν ἀνεστόμωσεν. Ἀλλ' ὕδωρ Αἰδοῦς 3
Ἔρωτος πῦρ οὐ κατέκλυσεν, ἀλλ' ἤδη στεφανίτης
ἐγώ, καὶ Σωφροσύνης Ἔρως ἐκράτησεν ἄν, εἰ μή τις περὶ τὴν πύλην γενόμενος (τῆς δυστυχίας) τὴν Ὑσμί-
142 νην ἐζήτει. Πρὸς ὃ δὴ σφόδρα καταθορυβηθέντες ἡμεῖς 4
ἀπ' ἀλλήλων ᾠχόμεθα· καὶ ἡ μὲν παρθένος (εἰρήσθω γὰρ καὶ πάλιν παρθένος· οὕτω γὰρ Σωφροσύνῃ δοκεῖ
καὶ δαίμοσιν) ἐπὶ τὸ φρέαρ γέγονε· καὶ ἦν τοῖς περὶ τὸ τοῦ φρέατος στεφάνωμα παρακαθημένη πτηνοῖς καὶ τούτοις προσπαίζουσα.

24 Ἐγὼ δὲ περὶ τὸ δωμάτιον γεγονὼς ἀνεκεκλίμην εὐθὺς καὶ ὅλον τὸν ὑπνοῦντα καθυπεκρινόμην σοφῶς, ἑαυτὸν μεταπλάττων ἐξ αἰδοῦς καὶ φόβου καὶ ἔρωτος. 2 Τὸ κηρύκειον ᾐσχυνόμην, τὸν ἐκ δάφνης στέφανον, τὸ ἱερὸν πέδιλον, τὸν σεμνὸν χιτῶνα καὶ τὰ Διάσια· τὸν Σωσθένην ἐφοβούμην καὶ τὴν Πάνθειαν καὶ ὅλην Αὐλίκωμιν, καὶ μᾶλλον ἐμαυτοῦ τὴν Ὑσμίνην ἠλέουν 3 ἐξ ἔρωτος. Ὁ δὲ καλὸς Κρατισθένης τῆς κλίνης ἀναστὰς καὶ περὶ τὸν κῆπον γενόμενος καὶ μήτε τὴν Ὑσμίνην ἰδὼν μήτε τινὸς περὶ τὴν οἰκίαν ἀκούσας φωνῆς (ἦν γὰρ πάνθ' ὁρῶν τὰ γινόμενα) πρός μ' ἦκε λέγων 4 "μηδέν σοι τοῦ πλάσματος." Ἐγὼ δ' ὅλος ἀνέστην ὑπότρομος· καὶ ὁ Κρατισθένης "τῆς δειλίας τοῦ κήρυκος." Ἐγὼ δ' ὅλος καὶ πάλιν ἤμην ὑπότρομος, καὶ τὴν Ὑσμίνην ἐζήτουν ἰδεῖν λέγων "ὠλώλειν, Κρατίσθενες." Καὶ ὁ Κρατισθένης "σίγα" φησὶ "καὶ περὶ τὸν ὕπνον γενώμεθα·

σοφὸν γάρ ἐστι κἂν κακοῖς ἃ δεῖ φρονεῖν."

25 Κἀγὼ δ' ἐσίγων μέν, ἀλλά μου τοὺς ὀφθαλμοὺς ὁ ὕπνος ἐμίσησε καὶ δυσωπούμενος ἐξέφυγε, καὶ ἦμην ὅλος ἄγρυπνος, ὅλος ὅλας ἀναπλάττων ὑποθέσεις τῷ λογισμῷ καὶ τέλος "οὐκέτι τὴν καλὴν Ὑσμίνην καταφιλήσω, οὐκέτι καταθλίψω τοὺς δακτύλους ἐρωτικῶς, οὐκέτι κατὰ κιττὸν ξυμπλακήσομαι, οὐκέτι νέκταρ, 2 ἀλλὰ κόνδυ πικρίας κατακεράσομαι, οὐκέτι τρυγήσω τοῦ μέλιτος, οὐκέτι τῷ κέντρῳ πληγήσομαι, οὐκέτι ῥοφήσω τὴν κόρην τοῖς χείλεσιν, ἃ πάντα σπουδάξων ἐρωτικῶς ἔπαιζον." Ταῦτ' ἐπλαττόμην ἐς νοῦν, καὶ τὸ δάκρυον κατὰ ποταμοὺς τῶν ὀφθαλμῶν ἐξεχεῖτό μοι καὶ κατακλύσαν τοὺς λογισμοὺς ἐναπέπνιξε καὶ καταμεθύσαν μ' εἰς ὕπνον ἀπήγαγε. 146

Ε

Καὶ δή με κατακοιμώμενον ὅλος χορὸς ὀνείρων 1
περιεστοίχισε καί μοι ξυνέπαιζε καί μεκατέπαιζεν ὅσα
παίζουσιν ὄνειροι. Ὁ μέν μοι τὴν Ὑσμίνην ὑπεζωγρά-
φει ξυμπαίζουσαν, φιλουμένην, φιλοῦσαν, δακνομέ-
νην ἐρωτικῶς, ἀντιδάκνουσαν, ὅλην ξυμπλεκομένην
μοι καὶ καταπλεκομένην ἐξ ἔρωτος· ὁ δέ μοι καὶ ξυν- 2
ανέκλινε ταύτην καὶ στρωμνὴν ἐρωτικῶν χαρίτων
ὑπέστρωσε, φιλημάτων, ναργαλισμάτων, θλίψεων
σαρκῶν, ξυμπλοκῶν χειλέων, περιπλοκῶν χειρῶν, πο-
δῶν ἐμπλοκῶν καὶ τῶν ἄλλων μελῶν· ὁ δέ τις αὐτῶν 3
149 ὅλον βαλανεῖον ἐδημιούργησε καί μοι τὴν Ὑσμίνην
ξυνέλουσε καὶ πάσας ἐρωτικὰς ἐξεκένωσε χάριτας· περὶ
τὸ στῆθος τῆς κόρης ὅλον μου τὸ στόμα ξυνέρραψε τοῖς
ὀδοῦσι δάκνον, τοῖς χείλεσιν ἐκμυζῶν καὶ τῇ γλώττῃ
μεταβιβάζον ἐς τὴν ψυχὴν τὸν λωτόν· ἃ πάνθ' ἡ κόρη
περὶ τὸν ἐμὸν ἀντέπραττε τράχηλον. Καὶ θέλων παί- 4
ξειν ἐρωτικῶς τὸ λουτρὸν ἐξεπύρωσε· καί με καταδι-
ψήσας καὶ τεχνικῶς κατακαύματώσας τοὺς μαστοὺς
τῆς κόρης κρουνούς μοι παρεῖχε γλυκάζοντας· οὓς τῷ
στόματι παραθέμενος τῆς ψυχῆς μου τὸ καῦμα κατέ-
ψυχε, ψυχρὰν ἡδονὴν πηγάζων γλυκυτέραν καὶ νέκτα-
ρος, καὶ τέλος ταῖς ἀλλήλων ὠλέναις ἡμᾶς κατεκοί-
μισεν.

Ἄλλος παστάδα κατέπηξε [καὶ] νυμφοστολήσας 2
ταύτην λαμπρῶς καὶ φιλοτίμως νυμφαγωγήσας καὶ
ξυστεφανώσας μοι τὴν Ὑσμίνην μεγαλοπρεπῶς ξυνε-
κάθισε, καὶ τράπεζαν παρετίθετο καὶ τὸν ὑμέναιον ᾖδε
150 καὶ τοὺς ἔρωτας ἔπλαττε περὶ τὴν τράπεζαν ὀρχουμέ-
νους καὶ παίζοντας ὅσα παίζουσιν ἔρωτες.

2 Ὁ δέ μοι πλάττει τὸν κῆπον παλαμναιότατος ὄνειρος, καὶ τὴν Ὑσμίνην εἰσάγει κἀμὲ τῆς κλίνης ἀνίστησι καὶ περὶ τὴν κόρην ἐξάγει, καὶ καθυπουργεῖ
2 μοι τὸν ἔρωτα. Κἀγὼ τὴν παρθένον ἐφέλκομαι τὰ πρῶτα μὴ θέλουσαν, ξυνέχω, θλίβω, δάκνω, φιλῶ, περιπλέκομαι, καί τι δρᾶν ἐθέλων ἐρωτικώτερον οὐ ξυνεχωρούμην τῇ κόρῃ καὶ πρὸς ἔριν μετάγω τὸν
3 ἔρωτα. Κἂν μέσοις τούτοις ἡ τῆς κόρης μήτηρ ἐφίσταται, καὶ τοῦ πλοκάμου λαβομένη τὴν κόρην ὡς ἐκ λείας ἐφέλκεται λάφυρον, λοιδοροῦσα τῇ γλώττῃ καὶ πλήττουσα τῇ χειρί· ἐγὼ δ' ὥσπερ κατακεραυνωθεὶς
4 ὅλος ἦμην ἐμβρόντητος. Ἀλλ' ὁ πάντων ὀνείρων ἀγριώτατος ὄνειρος οὔτε μ' ἀφῆκεν ἀναισθητεῖν καὶ τὴν τῆς Πανθείας γλῶτταν ἐς Τυρσηνικὴν μετεχάλκευσε σάλπιγγα κατατραγῳδοῦσαν τὰ κατ' ἐμὲ καὶ καταλοιδοροῦσάν μου τὸ κηρύκειον "βαβαὶ τῆς σκη-
5 νῆς, τῆς ὑποκρίσεως" λέγουσαν "Ζεῦ καὶ θεοί· ὁ κή-153 ρυξ, ὁ παρθένος, ὁ τῆς δάφνης ἐστεφανωμένος, ὁ τὰ Διάσια φέρων ἐς Αὐλίκωμιν, ὁ παρ' ἡμῖν ἴσα καὶ θεῷ φιλοτίμως φιλοφρονούμενος, μοιχός, ἀκόλαστος, βιαστής, δεύτερος Πάρις ἐς Αὐλίκωμιν κατασυλᾷ
6 μου τὸν θησαυρόν, ἀνορύττει μου τὸ κειμήλιον. Ἀλλ' ἔχω σε [τὸν] λῃστήν, τὸν τοιχωρύχον, τὸν ἀλιτήριον, τὸν ἀποσυλῶντα τὰ κάλλιστα. Μητέρες ὅσαι παρθενικοὺς θησαυροὺς κατορύττεσθε καὶ περὶ τὴν φυλακὴν ἀγρυπνεῖτε τῶν θησαυρῶν, ἰδοὺ τὸν ἐπίβουλον ἔχω τῷ τῆς δάφνης στεφάνῳ κατακρυπτόμενον, τῷ σεμνῷ χιτῶνι, τῷ ἱερῷ πεδίλῳ καὶ τῷ κηρύγματι, ὅλην ἐνδεδυμένον τὴν λεοντῆν, ὅλην
7 ὑποπλαττόμενον τὴν σκηνήν. Οἷς ὁ γλυκὺς ἀντιπνεύσας τῆς σωφροσύνης ζέφυρος, ἐλέγχει τὸν δόλον, ἀπογυμνοῖ τὸ κρυπτόμενον· καὶ νῦν οὐκέτι κήρυξ

ὁ κήρυξ, ἀλλ' ἅρπαξ, ἀλλὰ λῃστής, ἀλλὰ τύραννος.
154 Λάινον τῷ τυράννῳ τὸν χιτῶνα, γυναῖκες, ἐξυφηνώ- 8
μεθα, καταζωγραφήσωμεν τὴν σκηνήν, τὴν ὑπόκρι-
σιν τεχνουργήσωμεν καὶ στηλιτεύσωμεν τῷ χιτῶνι
τὸν τύραννον, ἵν' ᾖ τοῦτο γυναιξὶ κόσμος, παρθέ-
νοις τεῖχος, καὶ στέφανος Αὐλικώμιδος.

Τί δ'; οὐ γυναῖκες εἶλον Αἰγύπτου τέκνα;
Πολυμήστωρ δ' οὐκ ἐκ γυναικὸς ἐξεκόπη τοὺς ὀφθαλ-
μούς;"

Ταῦτ' εἶπε καὶ στρατὸν καθώπλισε γυναικῶν 5
καὶ παντελῶς κατεβάκχευσε καὶ κατ' ἐμῆς κεφαλῆς
ἐξεστράτευσεν· ἐγὼ δ' ἐξεθαμβήθην ὁρῶν καὶ πρὸς
τὸν Κρατισθένην ἔλεγον "ὠλώλειν, Κρατίσθενες."
Ὁ δέ μου τῇ γλώττῃ καταθορυβηθεὶς ἀνίσταται τῆς 2
στρωμνῆς, πλήττει με τῇ χειρὶ καὶ τὸν μὲν ὄνειρον
τῆς ψυχῆς, τὸν δ' ὕπνον ἀποσπᾷ μου τῶν ὀφθαλ-
μῶν. Ἐγὼ δ' ἐδόκουν νὴ τοὺς θεοὺς ἔτι τὰς γυναῖ- 3
κας ὁρᾶν, καὶ πρὸς τὸν Κρατισθένην ἔλεγον "ἀπο-
λώλαμεν, ἀπολώλαμεν· Πάνθεια στρατεύει, καὶ γυ-
ναῖκες τὸ στράτευμα· Ζεὺς δὲ πρῶτος κατεστρατή-
157 γησεν, οὗ τὸ κηρύκειον κατέψευσμαι." Καὶ ὁ
Κρατισθένης "ἔτι δοκεῖς ὀνειρώττειν μοι" ἐγὼ δὲ 5
πρὸς αὐτὸν

"ἀποπέμπομαι ἔννυχον ὄψιν,"

καὶ τὰ περὶ τοὺς ὕπνους ἐξηγούμην αὐτῷ, ὅσα με κατ-
έπαιζον ὄνειροι, ὅσα με κατεγλύκαινον, ὅσα μου
πρὸς ἡδονὴν κατεπλάττοντο, καὶ τέλος τὸν κῆπον, 2
τὴν Ὑσμίνην, τὴν σωφροσύνην αὐτῆς, τὴν ἐμὴν
βίαν, τὴν ἔριν, καὶ ἐπὶ τούτοις τὴν τῆς Πανθείας
ἐπέλευσιν, τὸν ἑλκυσμὸν τῆς κόρης, τὴν κατ' ἐμοῦ
μηχανήν, τὴν καταδρομήν, τὴν ὕβριν, καὶ ἐπὶ πᾶσι
τὸ τῶν γυναικῶν στράτευμα. "Πρὸς ὃ δὴ σφόδρα 3

καταθορυβηθεὶς τὴν ψυχὴν σὲ τὸν καλὸν Κρατισθένην μετεκαλούμην πυκτά· καὶ δέδοικα μὴ τὸ μέλλον μοι τὸ δαιμόνιον ἐν ὀνείροις ὑπεξογράψῃσεν· εἴδεσται γὰρ τούτῳ προκηρύττειν ἐν ὕπνοις τὰ μέλ-
4 λοντα." Καὶ ὁ Κρατισθένης "μεθημερινή φορ- 5
τίς ἐστιν ὄνειρος· ταῦτά σε καθυπέτρεχεν, ὦ
ὁ περὶ τὴν πύλην ψόφος ὑμᾶς ἀπ' ἀλλήλων διέσπασεν· ἀλλ' ἤδη τὸν Σωσθένην ὁρῶ πρὸς ἡμᾶς ἐρχόμενον σπουδαιότερον." Ἐγὼ δ' "ὠλώλειν" ὑπεφι- 158
θύρισα. 10

6 Ἦκεν ὁ Σωσθένης καὶ περὶ τὴν πύλην τοῦ δωματίου γενόμενος "Ὑσμινία κήρυξ" φησὶν "ἰδού σοι πᾶσα πόλις Αὐλίκωμις πρὸ πυλῶν· πάντες σε ζητοῦσι τὸν κήρυκα· τὴν κεφαλὴν στεφανώθητι, τῷ χιτῶνι καὶ τῷ πεδίλῳ κατακοσμήθητι, ὅλον περιδύ- 15
θητι τὸ κηρύκειον, ἵνα σε καὶ Ποσειδῶν αἰδεσθῇ καὶ
2 πνεῦμα θύσῃ Διὶ μετάγον πρὸς Εὐρύκωμιν." Ἐγὼ
δ' ἀλλὰ κἂν ἐδεδοίκειν, κἂν ἔφριττον, κἂν σχηματισμὸν τὰ τοῦ Σωσθένους εἶχον καὶ ὅλην σκηνήν, ἐνεδυσάμην τὸν κήρυκα· καὶ περὶ τὸν κῆπον γενόμενος 20
χορὸν ὁρῶ παρθένων οὐκ εὐαρίθμητον, ὃν δὴ πάντα
καὶ χιτὼν κατεκύσμει περικαλλὴς καὶ στέφανος ἐκ
3 δάφνης τὴν παρθενίαν παραδεικνύς. Εἶδον οὖν καὶ
νὴ τὸν Ἔρωτα τοῖς ἔργοις αὐτὸν ὁρᾶν ἐδόκουν τὸν
ὄνειρον· καὶ μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀπε- 25
φύσησα, εἰ μὴ τὴν Ὑσμίνην εἶδον ἐν μέσῳ κατὰ σελήνην ἐν ἄστρασι, τἆλλα μὲν κατακεκοσμημένην 161
βασιλικῶς, τὴν δὲ κεφαλὴν ἐκ δάφνης ἐστεφανωμέ-
4 νην παρθενικῶς. Ὅλην τοίνυν ἀτενῶς τὴν κόρην
ἰδὼν καὶ τὴν κεφαλὴν ὑποκλίνας ὑπέκλεψα τὸ προσ- 30
κύνημα· ἡ δὲ καθυποκριθεῖσα τὸν χιτῶνα διακοσμεῖν
ἀντιπροσεκύνησε φανερώτερον καὶ λίαν ἐρωτικὸν

ἐμειδίασε καί μου τὴν ψυχὴν ὅλην ἡδονῆς ἐπλήρωσεν ἀρρήτου καὶ χάριτος, καὶ θάρρους ἐνέπλησεν.

Ἧκω περὶ τὴν πύλην τοῦ κήπου καὶ πᾶσαν ὁρῶ 7
τὴν Αὐλίκωμιν ποικίλην μοι τὴν προπομπὴν ἐξυφαί-
νουσαν ᾠδαῖς, κυμβάλοις, λαμπάσι, παστάσι, ῥόδοις, ἄνθεσιν, ὕμνοις, ἀλαλαγαῖς καὶ πᾶσιν ἄλλοις ὅσα μὴ κήρυξιν ἀλλὰ θεοῖς ἀφωσίωται. Καὶ ἵνα μὴ 2
δοκῶ σοι δοξομανεῖν κατὰ μέρος καταρρητορεύων τῷ λόγῳ τὴν προπομπήν, οὕτω τὴν καλὴν ἐξῆλθον Αὐ-
λίκωμιν, τὴν τῆς Ὑσμίνης πατρίδα, τὴν καλλιγύ-
ναικα, ὡς Ὀλυμπιονίκης καὶ νικήσας τὸ πένταθλον,
162 καί, ἵνα τἀν μέσῳ παρῶ, περὶ τὴν ἐμὴν ἦκον Εὐρύ-
κωμιν.

Καὶ πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν ὄχλος περὶ 8
τὸν κήρυκα, καὶ πάλιν ἔρις ἐν πόλεσι· δοκεῖ γάρ μοι πόλις Εὐρύκωμις πατρὶς ἐμὴ πρὸς αὐτὴν ἐρίζειν Αὐ-
λίκωμιν τὴν τῆς Ὑσμίνης πατρίδα καὶ μὴ παραχω-
ρεῖν τῶν πρωτείων τῆς προπομπῆς. Οὕτω τοίνυν, 2
οὕτω λαμπρῶς, οὕτω φιλοτίμως, οὕτω βασιλικῶς ἐπ' αὐτὸν βωμὸν ἦκω Ξενίου Διός, καί μοι ξυνεί-
πετο πᾶν τὸ ξυνεκπλεῦσαν ἐξ Αὐλικώμιδος. Ἀλλ' 3
οὐμὸς πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια ἐν μέσῳ λαμπρῷ θεάτρῳ καὶ μέσοις ὄχλοις περιχυθέντες με περιπτύσσονται, περιπλέκονται, ξυμπλέκονται, τοῖς ἐξ ἡδονῆς με καταβρέχουσι δάκρυσι καί με περὶ τὸν οἶκον μετάγουσιν.

Ἐγὼ δ' "ἀλλὰ καὶ τὸν Σωσθένην" εἶπον, "ὅτι 9
με λαμπρῶς μάλα καὶ φιλοτίμως ἐς Αὐλίκωμιν ἐφι-
λοφρονήσατο." Πείθεταί μου τῷ λόγῳ πατὴρ Θεμι-
στεὺς καὶ πρὸς αὐτὸν γεγονὼς "χαίροις, Σώσθενες" εἶπε, "καί σοι χάρις [καὶ] Ξενίῳ Διὶ τῆς φιλοφρο-
165 σύνης τοῦ κήρυκος." Καὶ τοῦτον ξὺν ἡμῖν ἐπὶ τὴν 2

ἡμετέραν οἰκίαν μετήγαγε, ξὺν αὐτῇ Πανθείᾳ, ξὺν Ὑσμίνῃ καὶ ξὺν ὅσοι τῷ Σωσθένει πρὸς Εὐρύχωμα ἐξ Αὐλικώμιδος ξυμπεπλεύκασιν· ἥκομεν οὖν περὶ τὴν οἰκίαν, καὶ τράπεζα παρετίθετο, καὶ ἡμεῖς ξυνανε-
3 κλινόμεθα. Ἐκ μὲν οὖν τοῦ μέρους τῆς περὶ τὸν κῆ- 5
πον τῆς τραπέζης πλευρᾶς πατὴρ ἐμὸς Θεμιστεύς, μήτηρ Διάντεια καὶ τρίτος ἐγώ, ὅλον ἀποθέμενος τὸ κηρύκειον· ἐκ θατέρου δὲ Σωσθένης πατὴρ Ὑσμίνης,
4 Πάνθεια μήτηρ· καὶ μετὰ δὴ τὴν μητέρα τὴν Ὑσμί- 10
νην ἡ τάξις ἐκάθισεν· ἐγὼ γοῦν κατ' ἐμαυτὸν τὴν τάξιν ἐπῄνεσα καὶ ταύτης ἐμαυτὸν ἐμακάρισα, τὸ πρᾶγμα κρίνας οἰωνὸν αἰσιώτατον, καὶ ἀπ' αὐτῆς, ὅ φασι, γραμμῆς εὐτυχεῖν ἐδόκουν τὸν ἔρωτα.

10 Πότου γοῦν ἐκάλει καιρός, καὶ παρὰ Σωσθένει καὶ Θεμιστεῖ πατράσιν ἡμῶν ὑπέπαιζεν ἔρις μικρὸν 15
2 οὐχ ὡς παίζουσιν ἔριδες, ἀλλ' ὡς οἶδε παίζειν ἐν γέ- 166
ρουσι φρόνησις. Προπίνει γοῦν Σωσθένης ἡττώμενος καὶ Θεμιστεὺς νικῶν μετ' αὐτόν (νίκη γὰρ παρ' αὐτοῖς ὃ παρ' ἀφρονοῦσιν ἥττα λογίζεται), καὶ μετ' αὐτοὺς αἱ γυναῖκες τιμῶσαι σιγήν, ὅτι καὶ κόσμος ταῖς 20
3 γυναιξὶν ἡ σιγή. Μετὰ γοῦν δὴ τὴν Πάνθειαν καὶ τὴν ἐμὴν μητέρα Διάντειαν ἦκε φέρων ἐπ' ἐμὲ Κρατισθένης τὸ ἔκπωμα· τούτῳ γὰρ ὁ πατὴρ οἰνοχοεῖν ἐγκελεύεται· ἐγὼ δὲ λαβὼν μικρὸν ἐξερρόφησα· εἶθ' ὡς ἐκ μεταμέλου πρὸς τὸν δόντ' ἀντιδέδωκα, κατα- 25
λοιδορήσας αὐτῷ τῆς ἀταξίας καὶ τῆς τῆς εὐταξίας ξυγχύσεως· ἡ γὰρ τάξις τῇ κατὰ μέτωπόν μου παρ-
4 θένῳ προπιεῖν ἐχαρίσατο. Ὁ δὲ πεισθεὶς πρὸς αὐτὴν ἐκόμισε τὸ ποτήριον· ἡ δ' ὅλαις χερσὶν ὑπεδέξατο, κἂν ὡς παρθένος ἄκροις δακτύλοις ἐδέξατο· καὶ τὸν 30
νοῦν ὅλον καταλαβοῦσα τοῦ δράματος εὐχαριστεῖ μοι τῷ σχήματι, μικρὸν τὴν κεφαλὴν ἐρωτικῶς ὑποκλί-

νασα, οἷον κυπάριττος ἀνεμουμένη μικρὸν ἐξ εὐκραοῦς ξεφύρου [λεπτοῦ]· καὶ ἦν τὸ σχῆμα χαρίτων μεστὸν
169 καὶ εἴδωλον Ἔρωτος. Οὕτως ἐκοινούμεθα τὸ ποτήριον, καὶ ἦμεν ὅλοι ξυμπίνοντες καὶ λίαν ἐρωτικῶς
καταπίνοντες· οὕτω τὰ χείλη παραδόξως ἀνακεκράμεθα, ὅλον ἐρώτων ἐρατὸν ὀπὸν ἀμελγόμενοι καὶ ὅλους ἀλλήλους τοῖς ὀφθαλμοῖς μεθέλκοντες ἐπὶ τὰς ψυχάς.

Πότου καὶ πάλιν ἦκε καιρός· καὶ πάλιν Κρατι- 11
σθένης κιρνᾷ, καὶ πάλιν Σωσθένης προπίνει, καὶ μετ' αὐτὸν ὁ πατὴρ καὶ Πάνθεια ξυνήθως καὶ μήτηρ Διάντεια, καὶ μετ' αὐτὴν Ὑσμίνη παρθένος ἔρωτος πνέουσα· ἡ δὲ κατὰ παρθένον ἄκροις δακτύλοις δεξα- 2
μένη τὸ ἔκπωμα καὶ τοῖς χείλεσι παρθενικῶς προσεγγίσασα καὶ μόνον γευσαμένη τοῦ πόματος ὅλον ἀντιδέδωκε τὸ ποτήριον, παρθενικῆς αἰδοῦς καθυπουργησάσης τῷ πλάσματι. Καὶ πρὸς τὸν Κρατισθέ- 3
νην ἐγὼ (οὐδὲ γὰρ οὐδ' ἐμὲ τὸ πλάσμα διέλαθεν, ὅλην ἀτενῶς ὁρῶντα τὴν κόρην, ὅλην εἰκονίζοντα
κατὰ νοῦν καὶ ὅλην ἀναπλαττόμενον· ἐμὲ δ' ἐξεπύ-
170 ρωσε τὸ κηρύκειον καὶ διψηλότατον ἔθηκε) "καί μοι παράσχου τὸ ἔκπωμα." Ὁ δ' ἀλλὰ (τί γὰρ ἄλλο ποι- 4
εῖν ἔμελλε;) παρετίθετο, καὶ νὴ τὸν Ἔρωτα τὴν κόρην ἐδόκουν πίνειν αὐτήν· τὰ χείλη ταύτης κατεφίλουν ἐρωτικῶς καὶ φιλῶν ὑπέκλεπτον τὰ φιλήματα· ὑπηρέτην εἶχον τὸ ἔκπωμα τῆς ἐμῆς φίλης Ὑσμίνης τὰ χείλη διακομίζον μοι. Ἐξερρόφουν τοῦ πόματος 5
καὶ νὴ τοὺς θεοὺς τοιοῦτον ἐς αὐτὴν κατέρρει μου τὴν ψυχήν, οἷον ἐν ὀνείροις ἀπὸ μαστῶν ἐξερρόφησα· καὶ περιεργότερον ὅλον ἔβλεπον τὸ ποτήριον, μή τι τοῦ χείλους τῆς κόρης τῷ χείλει τοῦ ποτηρίου κεκόλληται. Ἡ δ' ὁρῶσά μου καὶ τὸ σχῆμα καὶ τὸ 6

βλέμμα καὶ τὴν μεθ' ἡδονῆς τοῦ πόματος ἀναρρόφησιν ἐρωτικῶς ἐμειδίασε καὶ Χάριτας ὅλας ὡς ἐν κατόπτροις ὑπεζωγράφησε τοῖς ὀφθαλμοῖς καὶ ὅλον τὸν Ἔρωτα.

12 Μετὰ γοῦν δὴ πολυτελεῖς τὰς τροφάς, αἷς μέχρι χειρὸς καὶ στόματος ἐνετρύφων (ὀφθαλμοὺς γάρ μοι καὶ ὅσον αἰσθητικώτερον ἡ παρθένος ἐρωτικῶς ἐξωνήσατο), ὁ Κρατισθένης καὶ πάλιν ἐπὶ τῷ λειτουργήματι καὶ μετὰ πατέρας καὶ μητέρας ἡμῶν ἐπὶ τὴν 2 κόρην ἦκε κιρνῶν· ἡ δ' ἀλλὰ καὶ πάλιν μικρὸν ἐκφήσασα πρὸς τὴν μητέρα φησὶ παρθενικῇ φωνῇ καὶ οἷον ἐκ ξεφύρου πίτυς ὑπεψιθύρισεν ἂν "μῆτερ, οὐκ 3 ἐθέλω πιεῖν." Ἡ δὲ Πάνθεια πρὸς τὸν Κρατισθένην φησὶ "τέκνον, λαβοῦ τὸ ποτήριον," ὁ δ' ἐκ τῶν χειρῶν τῆς κόρης ἀνελόμενος ταῖς ἐμαῖς παρατίθησιν· ἐγὼ δὲ πάλιν ἐδόκουν ὅλην τὴν κόρην λαβεῖν καὶ ὅλην αὐτὴν ἐκροφεῖν· καὶ εἶχον τὸ ἔκπωμα φιλημάτων γέμον καὶ διακομίζον φιλήματα, καὶ κατεφίλησα 4 τὰ φιλήματα. Καὶ ἦν μοι νέκταρ τὸ πόμα, οἷον Ἀφροδίτη κιρνᾷ καὶ πίνουσιν Ἔρωτες, τὸ δ' ἔκπωμα κάτοπτρον ὅλην αὐτὴν τὴν κόρην ξὺν αὐταῖς χάρισι ξὺν αὐταῖς ἡδοναῖς μεταβιβάζον μου περὶ τὴν ψυχήν.

13 Καὶ μετὰ πολυτελεῖς τὰς τροφὰς καὶ πόσεις καὶ τἄλλ' ὁπόσα κοσμοῦσι ξυμπόσια κατελύετο τὸ ξυμπόσιον· καὶ πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια Σωσθένην καὶ Πάνθειαν καὶ τὴν καλὴν Ὑσμίνην ἐπὶ τὸ δωμάτιον ἄγουσιν, ὃ τούτοις ἀφώριστο· καὶ οὕτως ἀπ' ἀλλήλων ᾠχόμεθα, μητρὸς ἐμῆς Διαντείας περιπλακείσης τῇ κόρῃ καὶ φιλημάτων πληρωσάσης τὸ

8 post ἐξωνήσατο: καὶ ταύτῃ δουλεύουσιν

πρόσωπον. Ἐγὼ δ' ἀλλ' ἐφθόνουν τὴν μητέρα καὶ 2
νὴ τοὺς θεοὺς τὴν φύσιν ἐξήτουν ἀλλάξασθαι· ἐπεὶ
δὲ τοῦτο μὴ παρῆν, τὰ χείλη τῆς μητρὸς κατεφίλησα
καταφιλῶν τεχνικῶς τῆς κόρης τὸ πρόσωπον, καὶ εἶ-
χον τὴν μητέρα καθυπουργοῦσαν ἐς ἔρωτα καὶ μετα-
κομίζουσάν μοι φιλήματα. Περὶ μὲν οὖν δὴ πατρὸς 3
ἐμοῦ καὶ μητρὸς ἀκριβῶς οὐκ οἶδα πῶς περὶ τὴν παρ-
θένον εἶχον καὶ πῶς αὐτῆς ἀπηλλάττοντο· ἐγὼ δὲ
μόνοις ἀπεσπώμην ποσί· τὴν γάρ μου ψυχὴν καὶ
[[τοὺς]] ὀφθαλμοὺς καὶ τὸν νοῦν ὡς παρακαταθήκην
ἀφῆκα τῇ κόρῃ καὶ οἷον ἐχέγγυον.

Καὶ περὶ τὴν κλίνην γενόμενος μυρίοις κατετυ- 14
177 ραννούμην τοῖς λογισμοῖς, τὴν ψυχὴν ἐπολιορκούμην
καὶ τῶν ὀφθαλμῶν ἡρπαζόμην τὸν ὕπνον ὡς λάφυ-
ρον. Τὴν Αὐλίκωμιν τῆς φιλοξενίας ἐθαύμαζον, ἣ 2
καὶ μέχρι ποδῶν ἐπεκτείνει τὸ ξένιον· "παρ' ἡμῖν
δ' οὐδὲ μέχρι χειρῶν, οἷς βωμὸς Ξενίου Διός, οἷς
ἑορτὴ τὰ Διάσια. Ἵνα τί γὰρ μὴ κἀγὼ πλύνω τοὺς 3
πόδας τῆς κόρης, ὡς αὐτὴ τοὺς ἐμοὺς φιλοτίμως κατ-
ἐπλυνεν; ἵνα τί μὴ κατ' ἐκείνην φιλήσω κἀγὼ καὶ
θλίψω καὶ καταμαλθακίσω ταύτην ἐρωτικῶς ὅσα με
τότε κατεμαλθάκισεν;"

Οὕτω κατετυραννούμην ἐξ ἔρωτος, καὶ τὸ πολὺ 4
τῆς νυκτὸς λογισμοῖς παρεμετρούμην ἐρωτικοῖς· καὶ
ὕπνον εἶχον καὶ ἡδονὴν τὰ περὶ τὴν κόρην διασκοπεῖν
ἀγρύπνως. Ἀλλ' ὁ κόπος εἰς ὕπνον ἀνθεῖλκε τοὺς
ὀφθαλμούς, καὶ ἦν ἀγὼν παρ' ἐμοὶ καὶ κόπου καὶ
ἔρωτος· οἱ δ' ὀφθαλμοί μου μέσον ὡς πόλις πολιορ-
κουμένη. Ὁ μὲν οὖν βαρὺς κόπος τὸν ὕπνον ὡς ἐκ 5
μηχανῆς τινὸς ἐπὶ τοὺς ὀφθαλμοὺς ἠκροβόλιζεν, ὁ δ'
178 ἔρως τοῖς ἀλλεπαλλήλοις τῶν ἐννοιῶν ὅλους καταφρα-
ξάμενός μου τοὺς ὀφθαλμοὺς πρὸς τοὺς ἀκροβολισμοὺς

ἀπεμάχετο, καὶ κόπος μετὰ πολλὰς κονίστρας ἐκράτησε καὶ τὴν νίκην ὑπέκλεψεν, ὡς ἐξ ὀπῆς τινὸς ὕπνον λεπτὸν τοῖς ὀφθαλμοῖς ἐμβαλών.

15 Περὶ δὲ τὴν τρίτην φυλακὴν τῆς νυκτὸς πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια ξὺν Σωσθένει καὶ Πανθείᾳ καὶ τοῖς ὅσοι τούτοις ἐξ Αὐλικωμίδος εἵποντο περὶ τὸν βωμὸν ξὺν αὐτοῖς ἐγένοντο θύμασι, θύσοντες Σωτῆρι Διὶ καὶ τὰ πρόσφορα λειτουργήσοντες· Τσμίνη δὲ μόνη περὶ τὸ δωμάτιον καταλέλειπται, ὅτι μὴ προσῆκον παρθένοις ἀνδρῶν ἐναντίον 2 χωρεῖν. Ἐγὼ δ' (οὐδὲ γὰρ ἠγνόησα τὸ γινόμενον) περὶ τὴν κλίνην ἐγενόμην τῆς κόρης εὐθὺς καὶ κοιμωμένην αὐτὴν κατεφίλησα, ἡ δ' ἐκπλαγεῖσα τῷ παραδόξῳ τοῦ πράγματος τῆς στρωμνῆς ἀνεπήδησε "βαβαὶ τοῦ θαύματος" λέγουσα. Κἀγὼ ξυνέσχον εἰπών 3 "μὴ δέδιθι, δέσποινα· Τσμινίας ἐγώ·" καὶ λέγων πάλιν ἐφίλησα. Ἡ δ' ἀλλὰ ποῦ μοι πατὴρ καὶ μήτηρ ἔξήτει μαθεῖν· ἐγὼ δ' "εἰς βωμὸν Ξενίου Διός, ὡς 4 θύσωσιν" εἰρηκα· "ἡμεῖς δ' οὐ θύσομεν Ἔρωτι; Θύσωμεν πάντως καὶ παρθενίαν αὐτὴν καὶ ὅλους αὐτούς." Καὶ περιπλακεὶς τὴν κόρην καὶ ταύτην καταφιλῶν ἀνεκλίθην ἐρωτικῶς.

16 Ἡ δ' ἀντεφίλει μέν, ἀλλ' ὡς παρθένος ἐξ αἰδοῦς ὑπέκλεπτε τὰ φιλήματα. Ἐγὼ δ' ἐφίλουν ἐρωτικώτερον καὶ τοῖς ὀδοῦσι δάκνων τροφὴν ἐτρεφόμην ἐρω- 2 τικήν, οἵαν Ἀφροδίτη τοῖς ἐρασταῖς παρατίθεται. Ἡ δ' ὑπεστέναξε λεπτὸν ἀφροδίσιον, καὶ τὸ λεπτὸν ἐρωτικὸν ὑποστέναγμα ὅλην ἡδονὴν ἐς αὐτήν μου μέσην 3 ἐστάλαττε τὴν ψυχήν. Ὅλην ἀνεπλεκόμην τὴν κόρην ὡς ἄμπελον, καὶ τοὺς ὁμφακίζοντας τῶν βοτρύων ἐκθλίβων τῷ στόματι νέκταρ ἐξερρόφουν τοῖς χείλεσιν, οἷον ἀποθλίβουσιν ἔρωτες· καὶ τοῖς δακτύλοις ἁπέ-

θλιβον καὶ τοῖς χείλεσιν ἔπινον, ἵνα τὸ πᾶν ὡς εἰς
182 πίθον ψυχὴν τὴν ἐμὴν ἐκθλιβῇ μοι τοῦ νέκταρος·
οὕτως ἀκόρεστος ἐγὼ τρυγητής. Ἡ δ' ἀντεφίλει καὶ 4
κατεφίλει με καὶ κατὰ κιττὸν ἀνεπλέκετο· καὶ οὕτως
5 ἡμᾶς μυρίαι περιεχόρευον Χάριτες. Μετὰ γοῦν δὴ
συχνὰς περιπλοκὰς καὶ φιλήματα καὶ τἆλλ' ὁπόσα
παίζειν διδάσκουσιν Ἔρωτες, ὅλον ἐπεχείρουν καταρ-
ροφῆσαι τὸν ἔρωτα καὶ μηκέτι παίζειν ἀλλὰ σπουδά-
ζειν ἐρωτικῶς, ὡς μὴ κορῶναι κρώξοιεν ἐν ἀνε-
10 πιξέστῳ τῷ δώματι.
Ἡ δ' ἀλλὰ καὶ λίαν ἀντέτεινε καὶ χερσὶ καὶ ποσὶ 17
καὶ γλώττῃ καὶ δάκρυσιν "Ὑσμινία" λέγουσα "φεῖσαι
παρθενίας ἐμῆς· μὴ πρὸ τοῦ θέρους ἐκτίλῃς τοὺς
ἀστάχυας· μὴ τὸ ῥόδον τρυγήσῃς πρὸ τοῦ προκύψαι
15 τῆς κάλυκος, μὴ τὴν σταφυλὴν ὀμφακίζουσαν, μή
πως ἀντὶ νέκταρος ὄξος ἐκθλίψῃς ἐξ ὄμφακος. Σὺ 2
θερίσεις τὸν ἄσταχυν, ἀλλ' ὅταν λευκανθῇ σοι τὸ
λήιον· σὺ τὴν ῥοδωνιὰν ἀπανθίσεις, ἀλλ' ὅταν πε-
πανθὲν τὸ ῥόδον προκύψῃ τῆς κάλυκος· σὺ τὴν στα-
20 φυλὴν τρυγήσεις, ἀλλ' ὅταν ἴδῃς τὸν βότρυν ὑπερ-
185 περκάσαντα. Ἐγώ σοι φύλαξ ἀκοίμητος, ἀπαρεγχεί- 3
ρητος αἱμασιὰ καὶ φραγμὸς ἀνεπίβατος. Τί σοι κέρ-
δος ἀποσυλῆσαί με τὸ σεμνόν; Παρθένος ἦκον εἰς
Εὐρυκώμιδα· τί σοι κέρδος ἀπάρθενον παλινοστῆσαί
25 με πρὸς Αὐλίκωμιν; Ἐρῶ σου, κήρυξ, οὐχ ὑποκρύ- 4
πτω τὸν ἔρωτα· βάλλομαι τὴν ψυχήν, τὸ βέλος ὁμο-
λογῶ· πυρπολοῦμαι τὰ σπλάγχνα καὶ τὸ πῦρ οὐκ ἀρ-
νήσομαι· πλὴν οὐχὶ καὶ προδώσω τὰ κάλλιστα· τὴν
παρθενίαν φυλάξω καί σοι ταύτην παραφυλάξομαι."
30 Ταῦτ' ἔλεγεν ἡ κόρη καὶ κατὰ ποταμοὺς κατεκέ- 18
νου τὰ δάκρυα. Ἐγὼ δὲ πρὸς αὐτὴν "ἐπὶ σοὶ βίβλῳ
κατεμυήθην τὸν Ἔρωτα· διὰ σὲ Φιλίου Διὸς ἀντηλ-

λαξάμην Ἔρωτα τύραννον· διὰ σὲ δοῦλος ἐξ ἐλευθέ-
2 ρου γεγένημαι. Οὐδέν μοι πατρίς, οὐ πατήρ, οὐ μή-
τηρ, οὐ θησαυρός, ὃν μοι πολὺν ἀπεθησαύρισεν ὁ
πατήρ, οὐδ' ἄλλο τῶν ὄντων οὐδέν· ξὺν σοὶ θανοῦ-
μαι." Καὶ περιπλακεὶς αὐτὴν κατεφίλησα, καί μου
τῶν ὀφθαλμῶν ἀπέρρει τὸ δάκρυον, καὶ περιπλακέν-
τες τοῖς δάκρυσιν ἐβρεχόμεθα. 186

19 Καὶ μεθ' ἱκανὸν Ὑσμίνη μου τοὺς ὀφθαλμοὺς
κατεφίλει καὶ φιλοῦσά φησιν "Ὑσμινία, τοῦτό σοι λοί-
σθιον φίλημα· ἐγὼ γὰρ ξὺν πατρὶ καὶ μητρὶ μετὰ
τρίτην ἡμέραν παλινοστήσω πρὸς Αὐλικώμιδα· σὺ
δ' ἔσῃ πρὸς Εὐρύκωμιν πατρίδα τὴν σήν, καί σοι
2 κόρην ἑτέραν ὁ πατὴρ ἐς γάμον ἀγάγηται· καὶ σὺ μὲν
θύσεις τοὺς γάμους, τῆς σῆς φίλης ταύτης Ὑσμίνης
λαθόμενος καὶ φιλημάτων ἐρωτικῶν καὶ τῶν ἄλλων
τούτων περιπλοκῶν, ὧν πάντων ἐς κενὸν ὡς ἐν ὀνεί-
3 ροις κατετρυφήσαμεν· ἐγὼ δ' οὐδ' εἰν Ἀίδαο λή-
σομαι φιλίας τῆς σῆς, Ὑσμινία γλυκύτατε, καί σοι
φυλάξω τὴν παρθενίαν ἀπαρεγχείρητον· οὐδὲ γὰρ
οὐδ' αὐτοῦ Διὸς φίλημα τοῖς σοῖς κατεπιθήσω φιλή-
μασιν, οὐ μὰ τὸν φοβερὸν Ἔρωτα, ὅς με ταῖς σαῖς
ταύταις χερσὶν ὡς ὄρνιν παρέθετο."

20 Ταῦτ' εἶπε καὶ περὶ τὸ στέρνον τοὐμὸν ὅλον κατ-
επιθεῖσα τὸ πρόσωπον κατέβρεχέ με τοῖς δάκρυσιν.
Ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη παρθένε, μέλημα ἐμόν, 189
φῶς ἐμῶν ὀφθαλμῶν, πηγή μοι στάζουσα μέλιτος, 26
ὄμβρε χαρίτων· σὺ μὲν φιλοῦσα λοίσθιον λέγεις τὸ
φίλημα· ἐγὼ δ' ὁ σὸς ἐραστὴς καὶ δοῦλος ἐξ ἔρωτος
ξὺν σοὶ θανοῦμαι καί σοι τὴν παρθενίαν ἀντιφυλάξο-
2 μαι· οὐκ ἀποσυληθήσῃ ταύτην. Οὐκ ἐξουσία πατρός, 30
οὐ μητρὸς πειθὼ ἐς γάμον ἀγάγωνται, οὐδ' εἰ τὴν
Ἀφροδίτην ἀγάγωνται, οὐ μὰ Δία, πατέρα θεῶν

πάντων, οὗ κήρυξ ἦκον ἐς Αὐλίκωμιν, πατρίδα τὴν σήν, καὶ δοῦλος τῶν σῶν χαρίτων ἐς τὴν ἐμὴν ταύτην Εὐρύκωμιν ἀνθυπέστρεψα." Καὶ δὴ τῆς ἡμέρας διαγελώσης καταφιλήσας τὴν κόρην ἐξῆλθον τοῦ δωματίου καὶ περὶ τὴν ἐμὴν ἐγενόμην κλίνην ὡς ἐν ὑποπτέρῳ ποδὶ καὶ τοῖς ὕπνοις ἐσπεισάμην εὐθύς, ὡς εἰ περὶ τὴν κλίνην εὗρον αὐτούς. 3

ς

190 Ὁ μὲν οὖν ἐμὸς πατὴρ Θεμιστεὺς ξὺν Σωσθένει καὶ μητράσιν ἡμῶν ἐπανῆκον ἐκ τοῦ βωμοῦ Ξενίῳ Διὶ τὰ πρόσφορα θύσαντες· καί μοι Διάντεια μήτηρ περὶ τὴν κλίνην γενομένη τὴν ἐμὴν ἐξυπνίζει με λέγουσα "τέκνον Ὑσμινία, καιρὸς ἀρίστου, σὺ δ' οὐκέτι τὸν ὕπνον ἀπώσῃ τῶν ὀφθαλμῶν; ἀνάστηθι καὶ περὶ τὸ δεῖπνον γενώμεθα· σὸς γὰρ πατὴρ Θεμιστεὺς ἀνακέκλιται ξὺν Σωσθένει καὶ τοῖς ὅσους τὸ δεῖπνον καλεῖ." Ξὺν αὐτῇ γοῦν μητρὶ περὶ τὴν τράπεζαν γεγονότες ξυνήθως ἀνακεκλίμεθα· καὶ πάλιν Ὑσμίνη μου κατὰ μέτωπον ὅλον τοῖς ὀφθαλμοῖς ἐναποστάζου- 193σά μοι τὸν ἔρωτα. Ἐγὼ γοῦν ἀτενῶς τὴν κόρην ἰδὼν καὶ περὶ τὴν τράπεζαν κεκυφὼς αὐτὴν προσεκύνησα, καθυποκλέπτων ἐρωτικῶς τὸ προσκύνημα· ἡ δ' ἀνθυπέκλεψεν, ὡς εἰκός, τὸν τράχηλον παρθενικῶς ὑποκλίνασα. Τροφαῖς πολυτελέσιν ἡ τράπεζα ξυνήθως κατακεκόσμηται, καὶ Κρατισθένης κιρνᾷ. Σωσθένης προπίνει, Θεμιστεὺς μετ' αὐτόν, καὶ ξυνήθως ἡμεῖς. Καὶ ὁ Σωσθένης φησὶ "σὺ μὲν ἡμᾶς φιλοφρο- 1 2 3 2

νούμενος, Θεμιστεῦ, Ξενίῳ Διὶ τὴν φιλοφροσύνην, οὐχ ἡμῖν ἀφωσίωσας· καί σε τῆς οὕτω λαμπρᾶς τραπέζης καὶ τῆς ἄλλης πολυτελοῦς δεξιώσεως Ζεὺς πατὴρ ἀντιδεξιώσαιτο, φιλότιμόν σοι δεῖπνον ἑτοιμασάμενος ἐν Ἠλυσίῳ πεδίῳ καὶ μακάρων νήσῳ, ξυναναkεκλιμένῳ τοῖς ἥρωσιν. Ἐγὼ δέ σε καταδυσωπῶ ξὺν ἡμῖν γενέσθαι πρὸς τὴν ἡμετέραν Αὐλίκωμιν, ξὺν αὐτῇ Διαντείᾳ καὶ τῷ καλῷ τούτῳ κήρυκι" (τῇ χειρὶ με παραδεικνύς)· "Ὑσμίνης γὰρ τῆς ἐμῆς ταύτης φίλης παιδὸς θῦσαι τοὺς γάμους βουλόμεθα. Καιρὸς δ' ἡμῖν τῆς τῶν γάμων τελετῆς ἀφωσίωται τὰ Διάσια, ἃ νῦν δὴ θύοντες ἐπαναζεύξομεν εἰς Αὐλίκωμιν, εἰ δοκεῖ Σωτῆρι Διί. Παῖς δ', ᾧ γε τὰ τῆς ἐμῆς ταύτης Ὑσμίνης λέκτρα προσαφωσίωται, ξυμπατριώτης ἐξ Αὐλικώμιδος ὑπερχειλῆ τὸν τῆς εὐδαιμονίας τριπλοῦν κρατῆρα κεκερακώς· τὰς μὲν δὴ ψυχικὰς ἀρετὰς ἀπαράμιλλος, τὰ δὲ περὶ τὸ σῶμα πρὸς τὴν ψυχὴν ἐρίζει καὶ φιλονεικεῖ μὴ δεύτερα φαίνεσθαι· τὰ δ' ἐκτὸς τῇ ψυχῇ καὶ τῷ σώματι συγκέχυται καὶ οἷον συγκέκραται. Τοιοῦτον ἐγὼ τὸν γάμον τῇ φίλῃ μου ταύτῃ παιδὶ καὶ Ζεὺς πρότερον ἀφωσίωσεν· εἰ δέ μοι καὶ σὺ ξυνεκπλεύσεις ἐς Αὐλίκωμιν ξὺν Ὑσμινίᾳ καὶ τῇ τούτου μητρί, εὐτυχεστέρους ἡγοῦμαι τοὺς γάμους."

194 195 196

'Ὁ δ' ἐμὸς πατὴρ Θεμιστεὺς "νῦν Διὸς" φησὶ "τράπεζα καὶ Διασίων καιρός, καὶ τῷ καιρῷ καὶ τῇ τραπέζῃ τὰ πρόσφορα θύσωμεν· τὰ δ' ἄλλα Διὸς ἐν γούνασι κεῖται."

3 Ταῦθ' ὁ Σωσθένης, ταῦθ' ὁ πατήρ· ἐγὼ δὲ νὴ τοὺς θεοὺς ὅλῳ τῷ νῷ τὴν αἴσθησιν ξυναφήρημαι, καὶ ἦμην ὡς ἀνδριὰς ἐπὶ τῆς τραπέζης καθήμενος, ὅλος ἀναίσθητος καὶ τοὺς ὀφθαλμοὺς ἔχων ἀτενῶς ἐπὶ τὸ τῆς κόρης βλέποντας πρόσωπον· ἡ δὲ παρθένος

197

δακρύων πληρωθεῖσα τοὺς ὀφθαλμοὺς καὶ τὴν παρειὰν συλλαβοῦσα τῇ δεξιᾷ ξυνέσπα τὰς ὀφρύας καὶ πικρὸν ὑπεστέναζε καὶ πρὸς τὴν Πάνθειάν φησι "γλυκεῖα μῆτερ, ἀλγῶ τὴν κεφαλήν". Ἡ δὲ πρὸς αὐτὴν "γενοῦ περὶ τὸ δωμάτιον." Εὐθὺς οὖν ἐξανέστη τῆς τραπέζης καὶ περὶ τὸ δωμάτιον γέγονει. Ἡ γοῦν μοι μήτηρ πρὸς τὴν Πάνθειάν φησι "τίς τὴν καλὴν ταύτην κόρην ἐβάσκηνεν;" ἡ δ' "ἡ γλῶττα" φησὶ "τοῦ πατρός, ὅτι γάμων ἐμνήσθη τῆς κόρης, οὓς μέχρι καὶ δεῦρο μὴ μαθεῖν τὴν κόρην ἐφυλαττόμεθα· παρθένος γάρ ἐστι καὶ σεμνή."

Τὰ δ' ἐφεξῆς τῆς τραπέζης ἀναισθήτως εἶχον· ὡς γὰρ ἔκ τινος ἀστραπηβόλου σκηπτοῦ τῶν τοῦ Σωσθένους ῥημάτων ὅλην ἀπερράγην τὴν κεφαλήν. Εἰ μὲν οὖν ἔφαγον, ἀκριβῶς νὴ τὴν φοβερὰν τοῦ Σωσθένους οὐκ οἶδα φωνήν. Ὁ δὲ καλὸς Σωσθένης ὁ παρ' ἡμῖν τὸν γάμον κηρύττων τῆς θυγατρὸς καὶ πάλιν φησὶν "ἱκανῶς τῆς τραπέζης ἡμῖν, Θεμιστεῦ, ἅλις τοῦ πότου καὶ τῶν περὶ τὴν τράπεζαν ποικίλων τροφῶν· εἰ δὲ βούλει, καὶ περὶ τὸν ὕπνον γενώμεθα· ἡ γὰρ δὴ νὺξ καὶ πάλιν ἡμᾶς ξυγκαλεῖται περὶ τὸν βωμὸν καὶ τὰ θύματα."

Οὕτως οὖν κατελύετο τὸ ξυμπόσιον, κἀγὼ τῇ ξυνήθει μοι κλίνῃ ξυνήθως ἀνακλιθεὶς ὅλους εὐθὺς ἡρπαζόμην παρὰ τῶν ὕπνων τοὺς ὀφθαλμοὺς καὶ ἤμην ὑπνῶν, τῷ παραδόξῳ τὴν ψυχὴν καταθορυβηθεὶς τοῦ ἀκούσματος καὶ ὅλον τῇ θλίψει τὸν νοῦν καταβαπτισθείς. Πάλιν οὖν ὁ ξυνήθης τῶν θυμάτων καιρός, καὶ πάλιν Θεμιστεύς μοι πατὴρ καὶ μήτηρ Διάντεια ξὺν Σωσθένει καὶ Πανθείᾳ περὶ τὸν βωμὸν διανυκτερεύουσι· καὶ πάλιν ἐγὼ κλίνης τῆς ἐμῆς ἀναστὰς περὶ τὴν κλίνην ἦκω τῆς κόρης, ἣν ὁ καλὸς

Σωσθένης ἐς αὐτὴν Αὐλίκωμιν ἐνυμφεύσατο, καὶ 201
3 πάλιν τὴν κόρην φιλῶ. Ἡ δ' ὅλην τὴν στρωμνὴν
καταβρέχει τοῖς δάκρυσιν· ἐγὼ δὲ πάλιν λέγω φιλῶν
"Ὀσμίνη, τί πάσχεις;" ἡ δ' "ἡ γλῶττα" φησὶ "τοῦ
πατρός μ' ἀπόλλυσιν." 5
6 Ἐγὼ δὲ πρὸς αὐτὴν "σὺ τὰ περὶ τὸν ἐμὸν ἐνω-
πτρίζου γάμον καὶ κόρην ἑτέραν κατεμνηστεύου μοι·
καὶ ἀμνηστίας ἐκρινόμην σοι τῶν πολλῶν τούτων
ἐρωτικῶν χαρίτων, ὧν ὑπερχειλές μοι κεκέρακας τὸ
2 ποτήριον· ἐγὼ δ' ἀλλ', ὦ γλυκυτάτη παρθένε, γλυ- 10
κυτέρα καὶ μέλιτος, θεούς σοι διεμαρτυράμην αὐ-
τοὺς μὴ καταψεύσασθαί σου τὸν ἔρωτα, μὴ κατα-
προέσθαι σου τὴν φιλίαν, μηδ' ὁτιοῦν τῶν ὄντων
3 ἀγάπης τῆς σῆς ἀνταλλάξασθαι· ἀλλὰ νῦν σὸς πατήρ,
ὁ σεμνὸς τὰ πάντα Σωσθένης, ἐς Αὐλίκωμιν ἐπή- 15
ξατό σοι παστάδα, ἕδνα πολλά σοι προσαφώρισε, καὶ
νυμφίον ἡτοίμασε, καί σε νυμφαγωγήσει λαμπρῶς,
4 καὶ φιλοτίμως νυμφοστολήσει. Ἐγὼ δ' ὁ σὸς ἐραστὴς
(οὐδὲ γὰρ αἰσχύνομαί σου τὸν ἔρωτα) παρθενικῷ
στεφάνῳ τὴν κεφαλὴν ἀναδήσομαι καὶ παρὰ Περσε- 202
φόνῃ καὶ τοῖς ἐν Ἅιδου φιλοτίμως καὶ πολυτελῶς 21
νυμφαγωγηθήσομαι λαμπράν μοι παστάδα πηξαμέ-
5 νοις παρθενικήν· σὺ δ' ἀφιλίας ἐρωτικῆς κριθήσῃ,
χάρισιν ἐρωτικαῖς κατηγορουμένη καὶ στίγμασι τού-
τοις, ἃ πάντ' ἐξ ἐμῶν καὶ χειρῶν καὶ χειλέων καθ' 25
6 ὅλου φέρεις τοῦ σώματος. Καὶ σὲ μὲν Πλοῦτος κατα-
κοσμήσει πολυτελῶς, ἐμὲ δὲ Πλούτων νυμφαγωγήσει
περιφανῶς. Ἀλλ' ὦ φιλημάτων ἐκείνων, ὧν εἰς κε-
νὸν ἐτρυφήσαμεν· ὦ θλίψεων σαρκῶν, αἷς μάτην
7 κατωδυνήθημεν· ὦ ξυμπλοκῶν καὶ περιπλοκῶν, αἷς 30
ἀνωφελῶς ἐνεπλάκημεν· ὦ κακῶς ἰδόντες ὀφθαλμοὶ
καὶ διὰ τοῦτο θρηνοῦντες ἀγέλαστα. Ἄϋτη μοι χεὶρ

ὑπηρέτησε πρὸς ἔρωτα, καὶ νῦν καθυπηρετήσει πρὸς φάσγανον, ὃ κατ' ἐμῆς ταύτης ὠθήσω ψυχῆς."

Ταῦτ' εἶπον, καὶ τὴν κόρην περιπλακεὶς κατε- 7
φίλησα "ὄντως σοι" λέγων "τοῦτο λοίσθιον φίλημα·
τέλος δέχει δὴ τῶν ἐμῶν προσφθεγμάτων.
Καὶ σὺ μὲν ἐς Αὐλίκωμιν πατρίδα τὴν σὴν ἐπὶ λαμ- 6
πρῷ νυμφίῳ παλινοστήσεις νύμφη λαμπρά, καὶ σοὶ
τὸν ὑμεναῖον βασιλικῶς κατεπάσονται, ἐγὼ δ' ἐς
Ἅιδου φοιτήσω καὶ ὅλον χορὸν Ἐριννύων συναγαγὼν
ὅλον κατατραγῳδήσω μου τὸ δυστύχημα· καὶ σοὶ 2
μὲν ὁ καλὸς Σωσθένης ἐπιθαλάμιον ᾄσει, ἐμοὶ δ' ὁ
πατὴρ ἐπιτύμβιον· ὁ μὲν σὸς πατὴρ ἐπὶ σοί, γλυκεῖα
νύμφη, γλυκὺ μελῳδήσει μελῴδημα, ὁ δ' ἐμὸς ἐλεει-
νὸς Θεμιστεὺς ἐπὶ νεκρῷ παιδὶ γοερὸν ἀνακρούσε-
ται· ὁ μὲν ᾆσμα χορεύσει γαμήλιον, ὁ δ' ἐμὸς ἀθλιώ-
τατος πάντων πατὴρ ἐλεεινὸν μονῳδήσει καὶ πικρὸν
ἐξιτήριον."

Ταῦτ' ἔλεγον καὶ τὴν κόρην ὅλην τοῖς δάκρυσιν 8
ἔβρεχον· ἡ δ' "ὤλεσάς με" φησὶν "Ὑσμινία γλυκύ-
τατε. Σύ μοι πατρὶς καὶ πατὴρ καὶ μήτηρ καὶ πα-
στὰς καὶ νυμφίος καὶ δεσπότης ἐξ ἔρωτος· ἀλλ' (ὦ
τήνδε μου γλῶτταν ἐπέχει τὸ δάκρυον) μή σοι στόμα
πατρὸς τὰς περὶ τὸ στόμα τοῦτο τοὐμὸν ὅλας ἐρωτι-
κὰς καταδαίσεται χάριτας, ἃς εἰς κενὸν ἡμεῖς ἐρω- 2
τικῶς κατεπαίζομεν· μή σοι τὸ μέλι τρυγήσει τοῦ
στόματος, ὃ μάτην ἡ φιλεργὸς ἐγώ σοι κατεπόνησα
μέλιττα· μὴ οὕτω παμφάγον ἔσται σοι στόμα πατρός,
ὡς τοσαῦτα καταφαγεῖν ἀφροδίσια, ὅσα μάτην ἡμεῖς
κατεπαίζομεν ἢ μᾶλλον ἐν ἡμῖν κατέπαιζον Ἔρω-
τες. Ὑσμινία, σὺ τὴν σὴν ταύτην Ὑσμίνην ἐρω- 3
τικῶς κατεκήπευσας· σύ μοι καὶ φραγμὸν περιέθου
τῷ κήπῳ, μὴ χεὶρ ὁδοιποροῦντος τρυγήσῃ με. Θα-

νεῖν ἐθέλεις, ἀλλὰ ξυναποτίθημι τῷ λόγῳ καὶ τὴν ψυχὴν καὶ ξυνθανοῦμαί σοι, ὥσπερ καὶ ζῶντι ξυ-
4 ζήσομαι. Καὶ δὴ ξυμπλέκομαί σοι καὶ περιπλέκομαι καὶ τὸ ζώσιμον ὅλον κοινοῦμαί σοι, ὥσπερ καὶ τὸ θανάσιμον ζητῶ ξυμμερίσασθαι." Καὶ λέγουσα ξυνεπλέκετο καὶ ξυμπλεκομένη μοι πηγὰς δακρύων εἶχε τοὺς ὀφθαλμούς καὶ ὅλον με κατεπέκλυζεν.
9 Ἐγὼ δ' "εἰ βούλει" φημὶ "καὶ τῆς ἐμῆς Εὐρυκώμιδος καὶ τῆς σῆς Αὐλικώμιδος ἀποβάντες ἐφ' ἑτέραν μετάρωμεν, καὶ πατρίδας καὶ τεκόντας καὶ θησαυροὺς καὶ τἆλλα τὰ κατ' οἴκους λαμπρὰ φιλίας ἐρωτικῆς καὶ τοῦ ξυνοικεῖν ἀλλήλοις ἀνταλλαξώ-
2 μεθα. Ἔρως δ' ἡμῖν ἔσται καὶ πατρὶς καὶ τοκεῖς καὶ τὰ κατ' οἴκους πολυτελῆ καὶ τροφὴ καὶ πόσις καὶ ἔνδυμα." Ἡ δ' ὡς ἐς παστάδα κατακεκλιμένη βασιλικήν, ὑπολαβοῦσά φησιν "ἔχεις με τὴν σὴν
3 Ὑσμίνην καὶ μετακόμιζε· ξὺν σοὶ θανοῦμαι." Καὶ τῆς κλίνης ἀναστᾶσα ξυνείπετο, μᾶλλον δ' ἐφείλκετό με προτρέχουσα, ἐγὼ δ' "ἀλλ' οὐκέτι" φημὶ "διακεκόσμηται τὰ τοῦ πράγματος," ἡ δ' ἀλλ' οὐκ
4 ἤθελεν ἀποσπασθῆναί μου τῶν χειρῶν. Μόλις οὖν ὅλους θεοὺς αὐτῇ διαμαρτυράμενος τῶν τῆς Ὑσμίνης ἀπεσπάσθην χειρῶν καὶ περὶ τὴν ἐμὴν ἐγενόμην κλίνην, τὸ πρᾶγμα διασκοπῶν. Ἐπεὶ δ' ὑπνοῦν οὐ ξυνεχωρούμην τοῖς πράγμασιν, ἀναστὰς τῆς κλίνης καὶ λαμπρῶς διακοσμησάμενος ἐς ἱερὸν ἀφικόμην Ξενίου Διός, ὅπου καὶ Θεμιστεύς μοι πατὴρ καὶ μήτηρ Διάντεια καὶ Σωσθένης καὶ Πάνθεια προσανεῖχον τοῖς θύμασι.
10 Μετὰ γοῦν ⟦δὴ⟧ πολλὰ τῶν θυμάτων, ἃ καὶ πατὴρ ἐμὸς καὶ Σωσθένης ἐσπείσαντο, Σωσθένης καὶ Πάνθεια ὅλας ἐς οὐρανὸν τὰς χεῖρας ἀράμενοι καὶ

θερμὰ τῶν ὀφθαλμῶν καταστάζοντες δάκρυα "Ζεῦ πάτερ" ἔλεγον, "ἐπιθαλάμιόν σοι τοῦτο τὸ θῦμα ὑπὲρ ἡμετέρας Ὑσμίνης παιδός, ἧς ἤδη τοὺς γάμους τελέσαι βουλόμεθα." Ταῦτ' ἔλεγον καὶ θύματα τῇ πυρᾷ 2
κατετίθεντο· μέγας δ' ἀετὸς ἐκ νεφῶν ἀνακλάγξας καὶ μετὰ ῥοίζου καταχυθεὶς ἥρπασέ τε τὸ θῦμα καὶ τοὺς περὶ τὸν βωμὸν συνετάραξεν. Ὁ μὲν οὖν δὴ Σωσθένης ὅλος ἦν ἐκπεπληγμένος καὶ ἐνεὸς ἑστώς· ἡ δέ γε Πάνθεια κατὰ γῆν πεσοῦσα καὶ τὴν πολιὰν 3
ἀμφοτέραις τίλλουσα καὶ ψιλοῦσα τὴν κεφαλὴν "Ζεῦ πάτερ, φεῖσαι πολιᾶς ταύτης ἐμῆς" ἔλεγε, "φεῖσαι
213 νεότητος θυγατρός· αὕτη μοι παραμύθιον, αὕτη μοι παραψυχή, αὕτη μοι τοῦ γένους ἐλπίς· ταύτῃ γέγηθα καὶ τῶν τοῦ γήρως κακῶν ἐπιλήθομαι· ἀπ' ἐμᾶς 4
οὖν ἀπ' ἐμᾶς ταύτης παιδὸς τὸν ἀπαίσιον τοῦτον ὄρνιν πέμψον. Ζεῦ Πάτερ, μή μου τοὺς ὀφθαλμοὺς ἐκκόψῃς· μή μου τὸν λύχνον σβέσῃς· μή μου πρόρριζον τὸν ἄσταχυν ἐκτίλῃς· μή μοι τοῦ γένους παντὸς ἀποκείρῃς τὸν βόστρυχον. Ὦ δειλαία μῆτερ ἐγώ, 5
δειλαία τῶν θυμάτων, δειλαία τῶν οἰωνῶν· καλλίπαις ἦκον ἐξ Αὐλικωμίδος, πατρίδος ἐμῆς, καὶ νῦν ἀθλιόπαις ἐν Εὐρυκώμιδι. Ὡς παρθένον τὴν ἐμὴν Ὑσμίνην ἐνυμφοστόλησα, καὶ νῦν ὡς νεκρὰν ἀποδύρομαι καὶ ζῶσαν θρηνῶ. Ὑσμίνη μοι φῶς ἀπερ- 6
ρύης τῶν ὀφθαλμῶν· οὐκ ἐπιθαλάμιον, ἀλλ' ἐπιθανάτιον ᾄδω σοι· οὐκ ἐπιγαμηλίους, ἀλλ' ἐπιτυμβίους σπένδομαί σοι χοὰς καὶ κατὰ τὴν παροιμίαν ἄνθρακας εὑρίσκω τοὺς θησαυρούς."

Ταῦτ' ἔλεγεν ἡ Πάνθεια καὶ τὸν βωμὸν ἐπλήρου 11
θρήνων καὶ κωκυτῶν, τὴν παρειὰν αὐλακίζουσα, διαρ-
214 ρήσσουσα τὴν ἐσθῆτα, λίθῳ πλήττουσα τὸ στέρνον καὶ τὴν κεφαλὴν καταράσσουσα. Τὸ μὲν οὖν δὴ πολὺ 2

πλῆθος (οὐδὲ γὰρ ἀπὸ δρυός, οὐδ' ἀπὸ πέτρης) τοῖς τῆς Πανθείας κατεθρύπτετο καὶ θρήνοις καὶ στεναγμοῖς, καὶ ἦν ἐξ ἀνδρῶν καὶ γυναικῶν ξύμμικτος ἡ βοή· αἱ μὲν γὰρ δὴ γυναῖκες τῇ Πανθείᾳ ξυνεθρήνουν καὶ ξυνεκόπτοντο, οἱ δ' ἄνδρες ἐξεπλήττοντό τε καὶ κατεπλήττοντο· καὶ οἱ μὲν ἀπαίσιον κατεφιλοσόφουν τὸν οἰωνόν, οἱ δ' αἰσιώτατον· ἦσαν δὲ καὶ παρ' οἷς τὸ πρᾶγμα τυχηρὸν ἐλογίζετο· οὕτω μὲν οὖν τὸ πλῆθος ὡς καὶ τὴν γλῶτταν καὶ τὴν γνώμην εἶχον ξύμμικτον καὶ διάφορον. Μήτηρ δέ μοι Διάντεια ξὺν πατρὶ Θεμιστεῖ τὴν Πάνθειαν περιχυθέντες περὶ τὴν ἡμετέραν μεθεῖλκον οἰκίαν, καὶ ταῦτα μὴ θέλουσαν· ἐγὼ δὲ καὶ Κρατισθένης (παρῆν γὰρ καὶ αὐτὸς) τὸν Σωσθένην μεθείλκομεν καὶ περὶ τὴν οἰκίαν γεγόναμεν καὶ πρὸ τῶν πυλῶν τὴν Ὑσμίνην δακρύουσαν εὕρομεν· προδραμοῦσα γάρ τις παιδίσκη ταύτην τὸ πᾶν ἀνεδίδαξε. Καὶ πάλιν θρῆνος ἦρτο καὶ κωκυτός· 217 ἡ μὲν γὰρ δὴ μήτηρ ὡς ἐπὶ θυγατρὶ θανούσῃ τὸν θρῆνον ἐξήγειρεν, ἡ δέ γε θυγάτηρ ἐπὶ μητρὶ θρηνούσῃ πικρὸν ἀντωδύρετο. Καί μοι πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια περὶ τὸ δωμάτιον τὰς γυναῖκας εἰσάγουσι, τὸν κοπετὸν κατευνάζοντες.

12 Ἐγὼ δὲ καὶ Κρατισθένης περὶ τοὐμὸν γεγονότες δωμάτιον τὰ μετὰ τὴν Αὐλίκωμιν ἐκοινούμεθα· ὡς ἐπὶ τὸ δεῖπνον κατὰ μέτωπόν μου τὴν Ὑσμίνην ἡ τάξις ἐκάθισεν, ὡς ἔγωγε τὸ πόμα λαβὼν καὶ μόνον ἐγγίσας τοῖς χείλεσι πρὸς τὸν δόντ' ἀντιδέδωκα, τὴν 2 Ὑσμίνην εἰπὼν ὀφείλειν μου προπιεῖν, ὡς ὁ Κρατισθένης (οὗτος γὰρ ἐξ ἐπιταγῆς τοῦ πατρὸς ᾠνοχόευε) πρὸς τὴν Ὑσμίνην ἐκόμισεν, ὡς ὅλαις ἡ κόρη τοῦτο χερσὶν ὑπεδέξατο, ὡς ηὐχαρίστησε τῷ σχήματι, ὡς ἐπὶ [[τῷ]] δευτέρῳ πόματι Κρατισθένης τῇ κόρῃ μου προ-

κιρνᾷ, ὡς αὕτη μικρὸν ἐκροφήσασα τὸ πᾶν ἀντιδέ-
218 δωκε, κἀγὼ τὸν διψῶντα σχηματισάμενος τῶν τοῦ 3
Κρατισθένους μεθειλκυσάμην χειρῶν τὸ ποτήριον, καὶ
τἆλλ' ὁπόσα ξυμπίνοντες ἐρωτικῶς κατεπαίζομεν· τὴν
5 τῶν πατέρων καὶ τῶν μητέρων ἡμῶν πρὸς τὸν βωμὸν
ἐπὶ θύμασιν ἀναχώρησιν, καὶ τὰ περὶ τὴν κλίνην τῆς
κόρης ἡμέτερα παίγνια, καὶ τὰς ξυνθήκας ὅσας ἐρωτι- 4
κῶς ξυνεθέμεθα, τὴν ἐπὶ τῷ δευτέρῳ δείπνῳ τοῦ Σω-
σθένους γλῶτταν ὡς θύσει τοὺς γάμους τῇ θυγατρί,
10 ὡς τὸν ἐμὸν πατέρα κἀμὲ πρὸς αὐτοὺς γάμους ἐπὶ τὴν
Αὐλίκωμιν προσανεκαλέσατο, τὴν ἡμετέραν ἐπὶ τῷ
παραδόξῳ τοῦ ῥήματος ἔκπληξιν, καὶ τἆλλ' ὁπόσα περὶ 5
τὴν τράπεζαν, τὴν ἐπὶ δευτέροις τούτοις θύμασι τοῦ
Σωσθένους καὶ τῆς Πανθείας πρὸς τὸν βωμὸν ἀγρύ-
15 πνησιν, τὴν μόνωσιν τῆς παρθένου, τὰ περὶ τὴν κλί-
νην ταύτης ἡμέτερα δάκρυα, καὶ τέλος τὰς ξυνθήκας
ἃς ξυνεθέμεθα θεοὺς αὐτοὺς διαμαρτυράμενοι.

Καὶ ὁ Κρατισθένης "αἰσιώτατόν σοι τὸν οἰω- 13
221 νὸν προμαντεύομαι, τῷ δ' ἐπ' Αὐλικώμιδος τῆς Ὑσμί-
20 νης νυμφίῳ καὶ λίαν ἀπαισιώτατον. Εἰ γοῦν καὶ Ζεὺς
αὐτὸς τὴν ἁρπαγὴν ὑπαινίττεται καὶ οἷον ταύτην
κατεπισκήπτει σοι, τί μέλλεις; τί δ' ἀναδύῃ;" ἐγὼ 2
δὲ πρὸς αὐτὸν "ἐν ξυμφοραῖς κατὰ τὴν τραγῳδίαν φί-
λοι σαφέστατοι· καί μοι διασκόπησον τὰ τοῦ πράγ-
25 ματος." Καὶ ὁ Κρατισθένης "ἐγώ σοι καθυπηρετήσω
τῷ δράματι·" καὶ "χαίροις" εἰπών μοι περὶ τὴν δια-
σκευὴν τοῦ πράγματος ᾤχετο· κἀγὼ περὶ τὸ δωμά-
τιον γέγονα.

Ἔνθα μοι πατὴρ καὶ μήτηρ ξὺν Σωσθένει καὶ Παν- 14
30 θείᾳ καὶ τῇ κόρῃ τὰ περὶ τὸν βωμὸν καὶ τὸ θῦμα διε-
λογίζοντο, καὶ τῆς παρθένου πρὸς τὴν μητέρα λεγού-
σης ἀκήκοα "ἱκανά σοι, μῆτερ, κατευνάσαι τῆς ψυχῆς

τὸ κλυδώνιον τὰ παρὰ Θεμιστέως καὶ Διαντείας εἰρη-
2 μένα σοι, μὴ πιθανότητος ἀλλ' ἀληθείας ἐχόμενα· σὺ
δ' ἵνα τί καὶ πάλιν οὕτως ὕλη γίνῃ τοῦ πράγματος καὶ
ὅλην σεαυτὴν καταθρύπτεις τοῖς ὀδυρμοῖς; Ζεὺς ἀνα-
νεύει τὸν γάμον, οὐ βούλεται νυμφαγωγηθῆναί με· 5
3 τοῦτο φῆς τὸν ἀετὸν ὑπαινίττεσθαι. Τῆς τοῦ Διὸς 222
προμηθείας, τῆς τούτου φιλανθρωπίας. Σὺ δ' εἰ βού-
λει νυμφαγωγηθῆναί με καί μοι τελεσθῆναι τὸν γά-
μον, ἀπαίσιον. Τί, μῆτερ, θρηνεῖς ἐφ' οὕτω καλῷ
4 Διὸς οἰωνῷ;" Καί μοι πατὴρ Θεμιστεὺς τὴν παρθέ- 10
νον ἐπῄνεσε λέγων "εὖγέ σοι τῆς ξυνέσεως, κόρη, καὶ
τῆς γλώττης ὑπέρευγε" καὶ πρὸς τὸν Σωσθένην φη-
σὶν "εἰ δοκεῖ, γενώμεθα καὶ περὶ τὴν τράπεζαν· Δια-
σίων καιρός, σεβασθῶμεν τὴν ἑορτήν, ἵν' ᾖ καὶ Ζεὺς
5 ἡμῖν εὐμενέστερος. Μετάσχωμεν τροφῆς, ξυμμετάσχω- 15
μεν ὕπνου· ἤδη καὶ νύξ, ἐγγὺς ὁ τῶν θυμάτων και-
ρός, ἐπὶ τὸν βωμὸν ἡμᾶς ξυγκαλούμενος." Ἡ δὲ Πάν-
θειά φησιν "οὐκέτι γένωμαι περὶ τὸν βωμόν, οὐ θῦμα
6 θύσω λαμπρὸν ὑψιπέτῃ ἀετῷ· ἅλις μοι τῶν θυ-
μάτων, ἅλις μοι τῶν θρήνων, κόρος μοι τῆς ἀπευ- 20
κταίας ταύτης οἰωνοσκοπίας· κἂν ὁ θηριώδης ἐκεῖνος
ἀετὸς καὶ ἀπαίσιος οὐκ ἐκορέσθη τοῖς θύμασιν, οὗτος
ἀετὸς ἐκεῖνος, ὃς Προμηθέως ὀρύττει πλευράν, ὃς 225
ὅλον ἦπαρ κατέφαγε καὶ τὴν ἐμὴν ὅλην ταύτην γα-
στέρα παντελῶς κατορώρυχε καὶ τὰ σπλάγχνα κατε- 25
7 δηδόκει μου." Καὶ ὁ Σωσθένης "μὴ τὴν γλῶτταν
προπετῶς οὕτω κίνει καὶ ἀναιδῶς, μή σοι καὶ Ζεὺς
χολωθῇ. Πεισθῶμεν τῷ Θεμιστεῖ." Καὶ πρὸς τὸν
Σωσθένην ἡ Πάνθειά φησι

"σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν 30
ὀργῆς τε θρασύτητα μὴ 'πίπλησσέ μοι·
ὅλα γὰρ τὰ σπλάγχνα μου καταπίμπραμαι."

Μετὰ γοῦν δὴ πολλὰ τὰν μέσῳ τράπεζα παρ' ἡμῖν 15
αὐτοσχέδιος ἐς τὸ δωμάτιον, τὰ δὲ περὶ τροφὰς καὶ πόσεις ἀφιλότιμα καὶ λίαν ἀνέορτα. Παρὰ δὴ μέσῃ ταύτῃ τῇ τραπέζῃ πάλιν ὁ καλὸς ἦκε Κρατισθένης καὶ ξὺν
5 ἡμῖν κατεκλίθη κατὰ γῆν καὶ κατὰ λίθους, οἷς μάλα τηλαυγέσιν ἐκεκόσμητο τὸ δωμάτιον. Καὶ τέλος τὰ 2
περὶ τὴν τράπεζαν καὶ τὸ δεῖπνον ἐλάμβανεν, εἴ γε δεῖ τράπεζαν καὶ δεῖπνον ἐκεῖνα καλεῖν· καὶ πάλιν ἐμὸς πατὴρ Θεμιστεὺς πρὸς τὴν Πάνθειάν φησιν " ὡς
226 μήτηρ μὲν σύ, καὶ μήτηρ φιλόπαις, οὐχ ἧττον δὲ καὶ
11 καλλίπαις (εἰρήσθω γὰρ τἀληθές), οὐκ ἀρνήσομαι· ὡς δὲ καὶ γυναιξὶ δεινὸν κατὰ τὴν τραγῳδίαν αἱ δι' ὠδίνων γοναί, ὅλαι μητέρες ξυμμαρτυρήσουσιν· ὅτι δ' ἁπλοῦς ὁ λόγος τῆς ἀληθείας ἔφυ, 3
15 οἴδασι πάντες καὶ σύ. Ἐπὶ γοῦν σῇ θυγατρὶ νυμφαγωγουμένῃ πάντως τὰ θύματα τέθυται, ἃ πάντα Διὸς ἀετὸς ἀνηρείψατο. Εἰ μὲν οὖν ἀπαίσιος ὁ ἀετὸς καὶ τὸ σημεῖον οὐκ ἀγαθόν, οὐκ ἀκριβὴς οἰωνοσκόπος ἐγώ· εἰ δ' ἀπαισιώτατόν σοι τὸ πρᾶγμα δοκεῖ καὶ
20 ὄντως ἐστὶν ἀπαισιώτατον, τοῦτο μᾶλλον ἡμῖν αἰσιώτατον· εἰ μὲν γὰρ μετὰ τὸν νυμφῶνα τὸ θῦμα, καὶ 4
Ζεὺς ἀνανεύει τοὺς γάμους καὶ τῷ ἀετῷ τὴν ἀνάνευσιν ὑπαινίττεται, οὐκ ἄκαιρόν σοι τὸ δάκρυον· τῷ γάρ τοι Ἐπιμηθεῖ τὸ μεταμέλειν ἀνωφελῶς ἀφωσίω-
25 ται· εἰ δέ σοι πρὸ τοῦ γάμου τὸ θῦμα, καὶ ζητεῖς τὸ 5
μέλλον μαθεῖν, καὶ Ζεὺς οὐκ ἐπιτρέπει τοὺς γάμους,
229 καὶ λίαν εὐμενής σοι τῆς προμηθείας θεός, καὶ περὶ τὸ θυγάτριον εὐτυχεῖς, τί γοῦν ἐφ' οὕτω καλῷ Διὸς οἰωνῷ θρῆνον ἐγείρεις καὶ κωκυτόν, εὐχαριστήριόν
30 τι μᾶλλον θῦμα περιφανὲς ὀφείλουσα Σωτῆρι Διὶ καὶ σῶστρα ταύτης τῆς σῆς θυγατρός; Μὴ γοῦν τῷ ὀυ-

σαμένῳ σε καὶ κλύδωνος καὶ πυρὸς ἀδικίαν ἐπεγκαλέσῃς, ὅτι σοι τὸ ζῆν ἐχαρίσατο."

16 Μόλις οὖν τοῖς τοῦ πατρὸς τούτοις λόγοις πεισθεῖσα Πάνθεια καὶ μικρὸν ἀνενεγκοῦσα τῆς οἰμωγῆς ἀνακεκλίσθαι ξυνέθετο καὶ πάλιν ἐπαγρυπνῆσαι τοῖς θύμασιν, καὶ οὕτως ἀπ' ἀλλήλων ᾠχόμεθα. Ὁ γοῦν Κρατισθένης ξὺν ἐμοὶ γενόμενος περὶ τὸ δωμάτιον, πρός μέ φησιν "οὐκέτι σοι καιρὸς ἀναβολῆς· πάντα γάρ σοι Ζεὺς ξὺν ἡμῖν εὖ διέθετο, καὶ ναῦς ἡτοίμασται περὶ Συρίαν ἀπαίρουσα· καί μοι ξένος πάτριος Σύριος, ὃς ὑμᾶς ξεναγωγήσει καὶ φιλοτίμως καθυποδέξεται." Καὶ πρὸς τὸν Κρατισθένην ἐγὼ "εἴπερ οὐ κατέψευσαι τὴν φιλίαν καὶ τὸν σὸν Ὑσμινίαν φιλεῖς καὶ ἄλλον κρίνεις σαυτόν, ξυνεκπλεύσεις ἡμῖν." Ὁ δέ μοί φησιν "ἐμοὶ δ' οὔποτε κατὰ νοῦν γέγονε μὴ ξυνεκπλεῦσαι, μὴ ξυμπονῆσαι, μὴ ξυμπαθεῖν καὶ ὑπερπαθεῖν· χάρις δ' ἔστω σοι, τὸ μηκέτι πρὸς ἀναβολὰς χωρεῖν μοι τοῦ πράγματος." Ἐγὼ δὲ πρὸς αὐτὸν "σὺ μὲν εἰ βούλει γενοῦ μοι περὶ τὴν θάλατταν καὶ τὰ περὶ τὴν ναῦν διακόσμησον· ἐγὼ δ', ἡνίκα θυμάτων καιρὸς καὶ Σωσθένης καὶ Πάνθεια περὶ τὸν βωμὸν καὶ τὰ θύματα ξὺν τοκεῦσιν ἐμοῖς, περὶ τὴν κόρην γενόμενος τὸ πᾶν ἐκκαλύψω τοῦ δράματος. Σὸν δ' ἔργον ἔσται διασκοπεῖν τὸν καιρὸν καὶ ἡμᾶς περὶ τὸν λιμένα καὶ τὴν ναῦν ξυγκαλέσασθαι."

17 Ὁ μὲν οὖν δὴ Κρατισθένης ἐξῆλθε τοῦ δωματίου, ἐγὼ δ' ὅλος ἐπὶ τὴν κλίνην ἀνακλιθεὶς ὅλας εἶχον λογισμῶν θαλάττας ἐπικλυζούσας μου τὴν ψυχήν, καὶ ὡς ναῦς ἐν σάλῳ κατεκυματούμην καὶ κλύδωνι· ἠνιώμην, ἔχαιρον, ἐδειλίων, ἐθάρρουν, ὅλος ἦμην ἡδονῆς 233 καὶ φόβου μεστός· τὸ μὲν γὰρ ἐπιτυχεῖν σφόδρα μου

κατέσαινε τὴν ψυχήν, τὸ δ' ἀποτυχεῖν καὶ λίαν κατέσειεν.

Ἐν μέσοις δὴ τούτοις τοῖς κύμασιν, ἐν ὅλαις θα- 18
λάτταις καὶ κλύδωσιν ὕπνος μου τοῖς ὀφθαλμοῖς πε-
ρικέχυται, καὶ πλῆθος οὐκ εὐαρίθμητον ὁρῶ περὶ τὸ
δωμάτιον νεανίσκων καὶ παρθένων ἐστεφανωμένων
ῥόδῳ τὰς κεφαλάς, ταῖς χερσὶ ξυνδουμένων ἀλλήλους
κατὰ σειρὰν καὶ μέλος ᾄδόντων οἷον Σειρῆνες ἄδουσι·
καὶ ἦν τὸ μέλος Ἔρωτος ὕμνος καὶ Ἀφροδίτης ἐγκώ-
μια· τὸ δ' ἆσμα καθ' ὑμέναιον ἤδετο καὶ οἷον ἐπὶ
παστάσιν ᾄδουσιν Ἔρωτες. Τὸ μὲν οὖν δὴ πλῆθος ἦδε 2
τὸ μέλος, καί μοι τὴν ψυχὴν ἡδονῆς ἐπλήρου καὶ χά-
ριτος ἐρωτικῆς, καὶ ἤμην ὅλος ὡς ἐκβεβακχευμένος
ἐξ ἔρωτος. Ἐν μέσῳ [[δὴ]] τούτῳ τῷ ξυμμίκτῳ χορῷ 3
τῷ λαμπρῷ τῷ χαρίεντι, ἐν μέσοις στεφάνοις, ἐν μέ-
σαις ᾠδαῖς, ἐν μέσοις ἐρωτικοῖς μελῳδήμασιν ὁρῶ καὶ
234 πάλιν ἐκεῖνον τὸν ἐφ' ὑψηλοῦ τοῦ δίφρου καθήμενον
Ἔρωτα βασιλικῶς ἐσταλμένον καὶ τὴν Ὑσμίνην τῆς
χειρὸς μεθελκόμενον· ἐγὼ δ' ὅλος ἐξεθαμβήθην ἰδών.
Ὁ δέ μοί φησιν "Ὑσμινία, ἰδοὺ τὴν Ὑσμίνην ἔχεις," 4
καὶ τὴν χεῖρα ταύτης τῇ δεξιᾷ μου χειρὶ παραθεὶς
ἀπέπτη μου τῶν ὀφθαλμῶν, καὶ τοὺς ὕπνους ξυμ-
μεθελκόμενος.

Z

Οὕτω μὲν οὖν μοι τὴν Ὑσμίνην Ἔρως παρέσχετο, 1
καὶ μεθ' ὕπνους ἄλην ἐδόκουν ἔχειν αὐτήν, καὶ ὅλον

---

13 post ὅλος: ἔρως

ἑώρων τὸν Ἔρωτα. Ἐπεὶ δὲ καὶ θυμάτων καιρός, καὶ πάλιν Σωσθένης καὶ Πάνθεια ξὺν τῇ μητρί μου καὶ πατρὶ Θεμιστεῖ, τὴν περὶ τὸν βωμὸν ἐστέλλοντο καὶ τὰ θύματα· καὶ περὶ τὴν Ὑσμίνην πάλιν ἐγὼ θύσων
2 ὅλον ἐμαυτὸν ἢ θῦμα τὴν Ὑσμίνην λαβεῖν * *. Καὶ πάλιν φιλῶ ξυμπλεκόμενος καὶ πάλιν ἀντιφιλοῦμαι 237
καταπλεκόμενος καὶ πρὸς τὴν κόρην φημὶ "Ἔρως τῇ χειρί μου ταύτῃ σε παρατίθησι, καὶ Ζεὺς σὴν ἁρπαγὴν ὑπαινίττεται." Ἡ δέ μοι φησι "σὺ δ' οὔτε Διὸς αἰνίγμασι πείθῃ καὶ τὴν ἐξ Ἔρωτος παρακαταθήκην
3 οὐκ ἐθέλεις τηρεῖν. Εἶδες τὸ θῦμα, τὸν ἀετόν· σὺ δὲ τὸν Δία βούλει κατὰ μέτωπον στῆναί σου καὶ κατὰ στόμα λαλῆσαί σοι;" Καὶ πρὸς τὴν παρθένον ἐγὼ "νῦν ἐν ὀνείροις εἶδον τὸν Ἔρωτα τῇ χειρί σε κατέχοντα καὶ πρὸς τὴν ἐμὴν ταύτην παρατιθέμενον δεξιάν." Ἡ δέ μου τὴν δεξιὰν κατεφίλησεν, ἐγὼ δὲ καὶ τὴν ἑτέραν αὐτῆς· καὶ ἦμεν πάλιν καταφιλοῦντες ἐρωτικῶς.

2 Ἡ δέ μοι κόρη φησὶν "καλὰ μέν, Ὑσμινία, καὶ τὰ φιλήματα, καὶ λίαν καλὰ καὶ γέμοντα χάριτος, ἀλλ' ἤδη πέρας ἔχει τὰ θύματα, καὶ πάλιν Ὑσμίνη πρὸς Αὐλίκωμιν· πρὸς δὲ ταυτηνὶ τὴν Εὐρύκωμιν ὁ καλὸς Ὑσμινίας μοι σύ, ὁ τῶν χαρίτων λειμών, τὸ τῶν
2 ἐρώτων σίμβλον, ὁ τῆς σῆς Ὑσμίνης δεσπότης. Ἀλλ', ὦ φῶς ἐμῶν ὀφθαλμῶν, ὦ καρδίας παραψυχὴ καὶ 238
ψυχῆς παραμύθιον, μή σοι λήθης πόμα κεράσῃ μὴ χρόνος, μὴ πραγμάτων μεταβολαί, μή, τοῦτο δὴ τὸ καὶ θανάτου πικρότερον, παρθένος ἐξ Εὐρυκώμιδος." Καὶ πάλιν ἐφίλει καὶ πάλιν ἐδάκρυεν.

3 Ἐγὼ δ' ὅλην περιπλακεὶς τὴν κόρην καὶ ὅλην καταφιλήσας ἐρωτικῶς "τὸν Κρατισθένην" εἶπον "οὐκ ἀγνοεῖς, τὸν ξυνεκπλεύσαντά μοι πρὸς τὴν πατρίδα

τὴν σὴν τὴν Αὐλίκωμιν. Οὗτός μοι ξυμπατριώτης, ἀδελφιδοῦς ἐμός, ἄλλος αὐτός." Ἡ δέ μοί φησι "καὶ καθυπηρέτησα τούτῳ καὶ τῇ χειρὶ ταύτῃ κεκέρακα." "Οὗτος δ'" ἐγὼ πρὸς αὐτὴν "καὶ ναῦν ἡτοίμασε καὶ τὰ περὶ τὴν ἡμετέραν φυγὴν διεκόσμησε, καὶ ξυνεκπλεύσει οὗτος ἡμῖν καὶ ὅλῳ καθυπηρετήσει τῷ δράματι." Καὶ ἡ κόρη τὸ στόμα μου κατεφίλησε λέγουσα "καταφιλῶ σου τὸ στόμα, καὶ τὴν γλῶτταν ἀσπάζομαι τὴν καλήν μοι ταύτην ἀγγελίαν ἀγγέλλουσαν."

241 Καὶ πάλιν πρὸς τὴν παρθένον ἐγὼ "ἰδοὺ καὶ Ζεὺς καὶ μέγας Ἔρως αὐτὸς τῇ χειρί μου ταύτῃ σε παρατίθησι· τί γοῦν μὴ τὸν βότρυν τρυγῶ πεπανθέντα καὶ ὅλον ὑπερπερκάσαντα; τί μὴ τὸν ἄσταχυν θερίζω κεκυφότα πρὸς γῆν;" καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον, καὶ ὅλος ἤμην ἐπὶ τῷ ἐγχειρήματι θλίβων, φιλῶν, ξυμπλεκόμενος, θρασυτέραν ἔχων τὴν χεῖρα καὶ τἄλλα πράττων ὅσα καθυπηρετοῦσι πρὸς ἔρωτα. Τὴν δ' Ὑσμίνην οὐκ ἔπειθον "οὐ πείσεις, οὐδ' ἢν πείσῃς με" λέγουσαν, "οὐδὲ γὰρ κλέψω τὸν γάμον, ὃν μοι Ζεὺς ἐχαρίσατο."

Ταῦθ' ἡμεῖς ἐρωτικῶς ἐμαχόμεθα καὶ παίζοντες ἐσπουδάζομεν· καὶ ὁ Κρατισθένης περὶ τὴν πύλην γενόμενος "Ὑσμινία" φησίν· ἐγὼ δὲ πρὸς τὴν κόρην "ὁ Κρατισθένης" φημί· τὴν γὰρ ἀκοὴν ὅλην εἶχον ἀπηωρημένην τῆς τοῦ Κρατισθένους φωνῆς· καὶ ὀφθαλμοὶ μέν μοι καὶ χεῖρες πρὸς τὴν παρθένον, ὁ δέ γε
242 νοῦς πρὸς αὐτόν. Καὶ ξὺν τῇ παρθένῳ τῆς κλίνης ἀνέστημεν ἐξ αἰδοῦς καὶ χαρᾶς· καὶ περὶ τὴν πύλην γενόμενοι "χαίροις" τῷ Κρατισθένει φαμέν· ὁ δ' "οὐχ ἕδρας" φησὶ "καιρός· περὶ τὸν λιμένα γενώμεθα, τῆς νεὼς ἐπιβῶμεν, ἀποβῶμεν τῆς Εὐρυκώμιδος."

6 *Ταῦτ' εἶπε καὶ κατήρχετο τῆς ὁδοῦ, καὶ ἡμεῖς ξυνειπόμεθα. Καὶ δὴ περὶ τὸν λιμένα γενόμενοι καὶ τὰς χεῖρας ὅλας πρὸς αὐτὸν ἀνατεινάμενοι τὸν λαμπρὸν οὐρανὸν "Ζεῦ πάτερ" ἐλέγομεν, "σοὶ καὶ τοῖς σοῖς αἰνίγμασι καθυπείκοντες ταύτην στελλόμεθα.*

2 *Σὸς παῖς ἡμᾶς Ἔρως πολιορκεῖ καὶ πατρίδων ἡμῶν ἐφέλκεται λάφυρον. Σὺ δ', ὦ Πόσειδον, ἐκ μεταφρένου πνεῦσον, μὴ κατὰ μέτωπον· μὴ πρὸς πνεῦμα πανεύδιον ἀντιπνεύσῃς Διός, μὴ πρὸς Ἔρωτος ξέφυρον, οἷς ἡμεῖς εὐκραῶς περὶ τὸν λιμένα γεγόναμεν."*

7 *Ταῦτ' εἰπόντες καὶ τῆς νεὼς ἐπιβάντες, ἐξ οὐρίας ἐπλέομεν· ὁ γὰρ δὴ τὰ πρῶτα γλυκὺς Ποσειδῶν ὅλος ἀπὸ πρύμνης ἐξέπνευσε καὶ τὸ ἱστίον κατακυρτώσας καὶ πτερώσας τὴν ναῦν μεθ' ἡδονῆς ἡμᾶς μετεκόμιζεν.*

2 *Ἐγὼ δ' εἶχον κλίνην τὴν ναῦν καὶ στρωμνὴν τῆς παρθένου τὰ γόνατα καὶ ὅλος ἀνακλιθεὶς οὕτως ἡδέως ὕπνωττον ὡς οὐδέποτε, νὴ τὸν Ἔρωτα· ἡ δέ μοι παρθένος κατεπιθεῖσα τὸ στόμα καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς χείλεσιν ἀψοφητὶ κατεφίλει με, καὶ ἦν ἡ ναῦς παρ' ἡμῖν καὶ παστὰς καὶ κλίνη καὶ στρωμνὴ καὶ δω-*

3 *μάτιον. Οὕτως Ἔρως εἰς ψυχὴν ἐμπεσὼν καὶ ὅλην καταδουλώσας αὐτὴν τῶν μὲν ἄλλων πάντων πείθει καταφρονεῖν, ὅλην δὲ πρὸς ἑαυτὸν μεθαρμόττεται.*

8 *Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δ' ὑπὲρ γῆν ὁ ἥλιος γέγονε καὶ νὺξ οὐδαμοῦ, πνεῖ Ποσειδῶν κατὰ μέτωπον καὶ ὅλος ἐκ πρῴρας ἡμῖν καταντίκρυς ἀντιπνεῖ, καὶ ὅλην τὴν ναῦν φιλονεικεῖ καταδῦσαι*

2 *τοῖς κύμασι καὶ ὅλην εἰς βυθὸν ἀγαγεῖν ξὺν αὐτοῖς πλωτῆρσι, ξὺν αὐτῷ φόρτῳ, ξὺν αὐτοῖς σίμβλοις Ἔρωτος, ἃ μεστὰ μέλιτος ἐρωτικοῦ τὴν καλὴν εἶ-*

3 *χεν Ὑσμίνην καὶ τὸν Ὑσμινίαν ἐμέ, κἂν Ποσειδῶν ἀντὶ μέλιτος ἀψινθίου πληροῦν ἀντεμάχετο. Ἀλλ'*

ὦ κλύδωνος ἐκείνου καὶ ναυαγίου διπλοῦ. Ἡμὲν ναῦς ταῖς τῶν πνευμάτων ἀντιπνοίαις κατερριπίζετο καὶ τοῖς κύμασιν ἐπεκλύζετο, καὶ ἡμεῖς πάντες καὶ πρὸ τοῦ βυθοῦ τὴν ψυχὴν ἀπεφυσῶμεν τοῖς κύμασι καὶ ἤδη ταύτην ἀπετιθέμεθα.

Ἡ δέ μοι παρθένος ὅλην ἑαυτὴν ἀπαιωρήσασα τοῦ 9
τραχήλου μου, ὀδυνηρότερον ἄλλο καὶ βιαιότερον ἐξήγειρέ μοι κλυδώνιον, ὅλας θαλάττας δακρύων ἐκκενοῦσα τῶν ὀφθαλμῶν καὶ ὅλον με κατακλυδωνίζουσα καὶ τῇ γλώττῃ καὶ τῇ περιπλοκῇ καὶ τοῖς δάκρυσιν "Ὑσμινία" λέγουσα, "σῶσον Ὑσμίνην τὴν σήν· 2
249 πνεῦμα θρασὺ τῆς σῆς χειρὸς ἀφαρπάζει με· ἀπηνὲς πνεῦμα σήν με λαμπάδα ταύτην ἐρωτικὴν ἀποσβέννυσι· μέγα κῦμα θαλάττης πῦρ ἐρωτικὸν ἐπικλύσαι φιλονεικεῖ. Οὐ πατήρ, οὐ μήτηρ, οὐ πατρίς, οὐ τὰ 3
κατ' οἶκον λαμπρὰ σῆς με φιλίας ἐστέρησε, καὶ νῦν πνεῦμα καὶ κῦμα τῆς σῆς χειρὸς ἀφαρπάζει με. Ἔρως ἡμᾶς ἀλλήλοις ἐδουλογράφησε, καὶ Ζεὺς ἐν θύμασι τὴν ἁρπαγὴν ὑπηνίξατο· ὁ δέ γε θρασὺς καὶ ἄγριος Ποσειδῶν ὄρη κυμάτων ἐγείρει καὶ πρὸς αἴνιγμα Διὸς ἀντιπνεῖ καὶ ὅλον δουλογραφεῖον ἐρωτικὸν ἐκπλύνει τοῖς κύμασιν. Ἔφυγον τὸν πατέρα, τὸ δὲ ναυάγιον 4
οὐκ ἐξέφυγον· ἔλαθον τὴν μητέρα, σὲ δέ, Πόσειδον, οὐ διέλαθον. Ἀλλ', ὦ μῆτερ, νῦν προσφορώτατόν σοι τὸ δάκρυον· παρθένος τῶν σῶν ἀπεσυλήθην χειρῶν, καὶ παρθένος ἐς Ἅιδου μετακομίζομαι. Τοῦτό σοι καὶ 5
ὁ ἀετὸς ὑπηνίττετο. Ναῦς μοι παστὰς καὶ κῦμα θάλαμος καὶ πνεύματος ἦχος ὑμέναιος καὶ ἡ νύμφη παρθένος ἐγώ. Ἀλλ' ὦ καινῆς ταύτης παστάδος, ὦ γάμου 6
πικροῦ, ὦ φυγῆς ἀθλίας ἡμῶν. Καπνὸν φεύγοντες ἐς πῦρ ἐμπεπτώκαμεν, καὶ πυρὶ τυραννούμενοι θαλάτταις κατακλυζόμεθα. Ὦ τύχης ἡμῖν ἀπηνὲς πνευ-

σης καὶ ἄγριον καὶ θανατούσης ἡμᾶς καὶ πυρὶ καὶ τοῖς ὕδασι."

10 Ταῦτ' ἔλεγεν ἡ κόρη, καὶ τοὺς μὲν ὀφθαλμοὺς 250
πρὸς τὰ τῆς θαλάττης εἶχεν ἐρίζοντας κύματα, τὴν δὲ
γλῶτταν πρὸς τὸν βιαιότατον ἦχον τοῦ πνεύματος, 5
καὶ πρὸ κλυδωνίου καὶ βυθοῦ καὶ θαλάττης ὅλην μου
2 κατεκλυδώνιζε τὴν ψυχήν. Ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσ-
μίνη παρθένε (ταύτην γάρ σοι τὴν κλῆσιν τὸ δαιμό-
νιον ἐχαρίσατο), ἐς κενὸν ἡμῖν καὶ φυγὴ καὶ τἆλλ'
3 ὁπόσα μάτην ἐμελετήσαμεν· ἐμὲ δ' ὄντως Ἔρως κατ- 10
έπαιζε, καὶ τοὺς ὀνείρους, οὓς μοι κατέπλαττεν, ὄν-
τως ὀνείρους ὁρῶ καὶ ὕπνους σαφεῖς· ὅλους γὰρ κρα-
τῆρας πυρός, οὓς ἐς αὐτήν μου μέσην καρδίαν ἐξ-
4 έκαυσε, κῦμα θαλάττης κατασβέσαι φιλονεικεῖ. Ἀλλὰ
κἂν ὅλας θαλάττας ἐξερεύξωμαι, οὐ κατασβέσω τὴν 15
φλόγα, ἣν περὶ τὴν ἐμὴν ταύτην ψυχὴν Ἔρως ἐξ ὕλης
Ὑσμίνης ἀνέφλεξε. Καὶ ξυμπλακήσομαί σοι, παρθένε,
καὶ τοῖς κύμασι ξυστεφανωθήσομαι, ὑγράν σοι πα-
5 στάδα πηξάμενος. Ἴσως καὶ Ποσειδῶν ἐλεήσει τὴν
ξυμπλοκήν. Ὄντως ναῦς αὕτη νεκροπομπὸς ἐς Ἅιδου 253
μετακομίζουσα, ὄντως παστὰς Ἀφροδίτης καὶ Περ- 21
σεφόνης νυμφῶν, ὄντως μυθευομένη Σειρήν."

11 Ἡ δέ μοι κόρη φησὶ "παρὰ μητρὸς κατεπεγείρε-
ταί μοι τὸ κλυδώνιον· χεῖρες μητρὸς ἐς οὐρανὸν αἰ-
ρόμεναι πρὸς βυθὸν ὠθοῦσιν ἡμᾶς καὶ ὅλους κατα- 25
2 ποντίζουσιν. Ὦ γλῶττα μητρὸς ἡμᾶς κατακλύζουσα,
ὦ χεῖρες ἐκείνης ὅλας θαλάττας ταύτας ταράττουσαι,
ὦ ζέσις ψυχῆς ἐκείνης τὰς ἡμετέρας ταύτας παντελῶς
καταψύχουσα· ἤδη γὰρ Ἅιδαο κατὰ τὴν ποίησιν
3 γευόμεθα κρυεροῦ. Ἀλλ', ὦ μῆτερ, ἐπίσχες τὴν 30
γλῶτταν, ἵνα καὶ Ποσειδῶν τὸ κλυδώνιον· ξύσχες
τὰς χεῖρας, ἵνα τῶν κυμάτων ἀπολυθῶμεν ἡμεῖς·

φεῖσαι τῶν ἡμετέρων ψυχῶν· ** [ἵνα] στῆσον τὸ δάκρυον, ἵν' ἐξάξῃς ἡμᾶς ἀπὸ ζάλης, ἀπὸ κυμάτων, ἀπὸ σάλου καὶ κλύδωνος." Καὶ πρός μέ φησιν "ἰδού μοι τὰ τῶν συνθηκῶν πέρας δέχεται· ξὺν σοὶ θανοῦμαι, τοῦτό μοι παραμύθιον· οὕτω μοι καὶ τὸ ζῆν ποθεινὸν καὶ τὸ θανεῖν οὐκ ἀνέραστον. Οὕτω μὲν οὖν ἡμεῖς καὶ πρὸ τοῦ θανάτου ξυναποθνήσκομεν καὶ τὰς ψυχὰς πρὸς Ἅιδην μεταβιβάζομεν καὶ παρθένους φυσῶμεν αὐτάς, ἐλευθέρας ἐξ ἀρετῆς καὶ δούλας ἐξ ἔρωτος καὶ δοχεῖα μεστὰ τῶν ἔρωτος." 254

Ὁ δέ γε κυβερνήτης φησὶν "ἄνδρες ξυμπλωτῆρες, ἄνδρες ξυγκλυδωνιζόμενοι καὶ ξυναποθνήσκοντες, τὸ πνεῦμα θρασύ, τὸ κῦμα πυκνὸν καὶ μέχρι νεφῶν ἀνυψούμενον· τὸ ἱστίον διέρρηκται, τὸ σκάφος ὑδάτων θαλάττης μεστόν, ἐμοὶ δ' οὐκέτι σθένος ἀντέχειν πρὸς τοσοῦτον ὄγκον θαλάττης καὶ βιαιότατα κύματα καὶ πνευμάτων ἀντίπνοιαν. Ἅλις μοι τῶν ναυαγημάτων· ὅλος καθ' ἡμῶν Ποσειδῶν. Τί μὴ κατὰ τὸν νηίτην νόμον χοὰς ἱκετηρίους σπενδόμεθα καὶ τὸ θῦμα κληρούμεθα;"

Ταῦθ' ὁ κυβερνήτης ἔλεγε καὶ λέγων ἐδάκρυεν, ἡμεῖς δ' ἐπὶ τὸν κλῆρον, κακῷ τὸ κακὸν θεραπεύσοντες. Καὶ κλῆρος ἐπὶ τὴν Ὑσμίνην θανάτου, καὶ καινὸν πῦρ καὶ ἱερεὺς καὶ βωμὸς αὐτοσχέδιοι· ἡ θάλαττα πῦρ καὶ τὸ κῦμα βωμὸς καὶ ἱερεὺς ὁ καλὸς κυβερνήτης, ὁ τὸν νηίτην νόμον τιμῶν, θῦμα δ' (ἀλλὰ μή μοι, καρδία, ῥαγῇς) Ὑσμίνη παρθένος, ἣν ὅλην ξυμπλακεὶς καὶ περιπλακεὶς ὁ πολύτλας ἐγὼ πρὸς τὸν τοῦ σκάφους κατέδυν πυθμένα. 257

Ὁ δέ γε Κρατισθένης κατεδυσώπει τὸ ναυτικὸν

19 post σπενδόμεθα: καὶ κλῆρος ὁ νόμος

"φείσασθε" λέγων "κάλλους παρθενικοῦ καὶ νεότητος·" ἀλλ' ἡ κατὰ τὴν τραγῳδίαν καὶ πυρὸς κρείττων ἀναρχία ναυτικὴ μικροῦ δεῖν καὶ τὸν Κρατισθένην παρεδίδου τοῖς κύμασι καὶ τὴν Ὑσμίνην
2 ἀπέσπα μου τῶν χειρῶν. Ὁ δέ γε κυβερνήτης ἐν ἀλλοτρίαις φιλοσοφῶν ξυμφοραῖς ἀπεφοίβαζε "καὶ Χρυσηὶς ἀπεσπᾶτο χειρῶν Ἀγαμέμνονος βασιλέως· ἀλλὰ καὶ μῆνις Ἀπόλλωνος ἐμαλάττετο, καὶ λοιμοῦ στρατὸς ἀπηλλάττετο· τοίνυν καὶ ταύτην ἡμεῖς τῷ ἡμετέρῳ θεῷ καταθύσωμεν καὶ ὅλην τοῖς κύμασι καταδύσωμεν καὶ ψυχὰς ἡμετέρας ἀπὸ κλύδωνος σώ- 258
σωμεν."
14 Ταῦθ' ὁ μεγαλίστωρ κυβερνήτης ἐφ' ὑψηλοῦ καθήμενος ἐρρητόρευεν· ἀλλ' οὐκ ἀπεσπᾶτό μου τῶν χειρῶν ἡ παρθένος, "ἢ τὰν ἢ ἐπὶ τὰν" γνωμα-
2 τευομένου μου κατὰ Λάκαιναν· καὶ ἦν ὅλος ἄρης ἡ ναῦς καὶ κλύδων πολυειδής. Ὁ μὲν δὴ τῆς θαλάττης σάλος ἐφιλονείκει τὴν ναῦν ἐς βυθὸν καὶ πυθμένα θαλάττης καταγαγεῖν, τὸ δέ γε ναυτικὸν ἐκ τοῦ πυθμένος τοῦ σκάφους καὶ χειρῶν τούτων ἐμῶν τὴν κόρην
3 μεθείλκετο· αἱ δέ μου χεῖρες κατὰ τὴν Ἀβραδάτου τῇ κόρῃ ξυνείποντο, καὶ ὅλος ἐγὼ ξυμμεθειλκόμην τοῖς ἕλκουσι καὶ κατεδυσωποῦμην ξυμπαραδοῦναί με τῷ βυθῷ καὶ ξυνθῦσαι τοῖς κύμασιν. Οἱ δ' ἐλεοῦντες ἐπείθοντο, ἢ μᾶλλον ἠλέουν μὴ πείθοντες· ἀλλ' ὁ τὰ πάντα σοφὸς κυβερνήτης καὶ πάλιν κατεφιλοσόφει, καὶ πάλιν κατερρητόρευε "Ποσειδῶν" λέγων "τὴν κόρην ζητεῖ· ἐπὶ ταύτην ὁ κλῆρος· αὕτη θῦμα καὶ λύτρον τῶν ἡμετέρων ψυχῶν· ἀποσπασθήτω τῶν τού- 261

15 post ἐπὶ τάν: ἐν ἀσπίδι

261 του χειρῶν, διαρραγήτω τῶν ὠλενῶν, παραδοθήτω τῷ βυθῷ καὶ τοῖς κύμασιν."

Ἡ τοίνυν παρθένος ἀποσπᾶταί μου τῶν χειρῶν, 15
ἀποδύεται τὸν χιτῶνα καὶ ταῖς τοῦ κυβερνήτου χερσὶ
5 γυμνὴ παρατίθεται· ὁ δὲ τὰ πάντα σοφὸς καὶ κυβερνήτης καὶ ἱερεὺς καὶ θύτης καινὸς τὴν κόρην λαβὼν καὶ ὅλους τοὺς ὀφθαλμοὺς τοῖς κύμασιν ἐμβαλὼν "τοῦτό 2
σοι θῦμα, δέσποτα Πόσειδον, καὶ λύτρον" εἰπὼν
(ἀλλὰ μή μοι τὸ τῶν ὀδόντων ἔρκος ἐκφύγῃς, ψυχὴ)
10 τῆς νεὼς τὴν κόρην ἐξεσφενδόνησε καὶ ὅλην ἀφῆκε τοῖς κύμασιν· ἐγὼ δ' ὅλην τὴν φωνὴν καὶ αὐτὴν τὴν ψυχὴν ξυναφῆκα τῇ κόρῃ καὶ ὅλην τὴν ναῦν ἐφιλονείκουν κατακλύσαι τοῖς δάκρυσιν "Ὑσμίνη" λέγων "Ὑσμίνη."

15 Ἡ δ' ὅλον ὥσπερ καταπιοῦσα τὸν κλύδωνα καὶ 16
ὅλας ἐξερευξαμένη θαλάττας καὶ ὥσπερ τις ἄμπωτις ὅλους ἀνέμους καταρροφήσασα νηνεμίαν τῇ θαλάττῃ παρέσχε καὶ γαλήνην ἐκ σάλου καὶ κλύδωνος· ἐμὴν
262 δὲ ψυχὴν ὅλην κατεκύκα καὶ ὅλην ἐτάραττε· καὶ τὸ
20 μὲν δὴ ναυτικὸν ξὺν τῷ κυβερνήτῃ γλυκάζον ἔαρ ἐδρέποντο καὶ ἡδονῆς ποτήριον ἔπινον ἐξ οὗτω πικροτάτου καὶ σάλου καὶ χειμῶνος καὶ κλύδωνος· ἐγὼ δὲ κόνδυ 2
πικρίας καὶ ἀψινθίου θαλάττας ὅλας ἐμπεπωκὼς καὶ ὅλας τοῦ στόματος ἐκκενῶν καὶ αὐτῶν ὀφθαλμῶν ὅλην
25 ἤμην κατακλυδωνίζων τὴν ναῦν, καὶ ἄλλον σάλον ἐγείρων καὶ δεύτερον κλύδωνα· ὃ δὴ μὴ φέρων ὁ κυβερνήτης, ἀλλ' οἰωνὸν οὐκ ἀγαθὸν τὸν θρῆνον ἡγούμενος, περὶ τὴν χέρσον ἄγει τὴν ναῦν καί με τῆς νεὼς ἐξεφόρτωσεν.

30 Ἐγὼ δὲ τῇ ψάμμῳ καὶ τῇ θαλάττῃ παρακαθήμε- 17
νος ὅλην ἐξετραγῴδουν τὴν ξυμφοράν, χοὰς ἐπιτυμβίους τῇ κόρῃ κατασπενδόμενος, "Ὑσμίνη" λέγων

Ὑσμίνη, φῶς ἀπορρινέν μου τῶν ὀφθαλμῶν, ὄρνις
ἀποπτᾶσά μου τῶν χειρῶν (ὦ ναναγίου πικροῦ καὶ
κλύδωνος ἐλεεινοῦ, ὦ γαλήνης μοι πικροτέρας καὶ
κλύδωνος), σὺ μὲν ἁπήχθης τῷ σάλῳ καὶ τῷ ῥοθίῳ
τοῦ κλύδωνος, ἐμοῦ δὲ κατεβάπτισας τὴν ψυχὴν ὅλαις
θαλάτταις κωκυτῶν περικλύσασα· καὶ σὺ μὲν παρ-
θένον ψυχὴν ἐφύσησας, ὅλη στεφανωθεῖσα τοῖς ὕδα-
σιν, ἐμοῦ δὲ τὴν κεφαλὴν καὶ τὴν ψυχὴν ἐλεεινῶς
ἐστεφάνωσαν ὀδύναι καὶ γόοι καὶ δάκρυα· θάλαμός
σοι καὶ τάφος ἡ θάλαττα καὶ θαλαμηπόλος ἐγώ· ἀλλ'
3 οὐκ ἐπιθαλάμιον ᾄσω σοι, οὐκ ἐπικροτήσω γαμήλιον,
ἀλλ' ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ πικρὰς ἐπιθανατίους
πλέξω σοι τὰς ᾠδὰς καὶ ὅλον χόρον Νηρηίδων ξυγ-
καλεσάμενος ὅλον κατατραγῳδήσω μου τὸ δυστύ-
4 χημα. Ὦ κῦμα θαλάττης ὅλην μου καταπικραῖνον
τὴν αἴσθησιν, ὦ κλύδων ὅλον νυμφῶνα καὶ νύμφην
αὐτὴν κατεπικλύσας τοῖς κύμασιν. Ὦ δυστυχημάτων
ἐμῶν, ὦ τύχης ὅλης ἀντιπνεούσης ἡμῖν, ὦ φαρέτρας
5 ἐκείνης, ἣν μοι κατὰ καρδίας Ἔρως ἐκένωσε. Φεῦ
ἀφροδισίου πυρός, οὗ μοι κρατῆρας ὅλους Ἔρως
ἀνῆψε κατὰ ψυχῆς. Ἀλλ', ὦ βασιλεῦ Ἔρως, πάν-
των θεῶν βιαιότερε, ὦ ψυχὰς κατατυραννῶν, ὦ βέλος
πέμπων καὶ τοῖς ὀφθαλμοῖς ξυνεφελκόμενος τὰς ψυ-
χάς, ὦ σπλάγχνα φλέγων καὶ ὅλας καρδίας καταπιμ-
πρῶν· ὦ βασιλεῦ ὀνείρων, εἰ δ' οὐχὶ πάντων, ἀλλὰ
μόνον ψευδῶν, οὗτος ὁ θρασὺς ἐλέγχει σε Ποσειδῶν.
6 Ὁπλίτην εἶδόν σε, καὶ τοῖς βέλεσι τέτρωμαι· πυρφό-
ρον, καὶ ὅλην τὴν ψυχὴν καταπέφλεγμαι· πτερωτόν,
7 καὶ τὸ πτερὸν οὐκ ἐξέφυγον. Ἀλλ' ἤδη σοι καιρὸς
καὶ τῇ γυμνώσει τοῦ σώματος χρήσασθαι καθ' ὅλης
Ἀμφιτρίτης καὶ Ποσειδῶνος αὐτοῦ· οὗτοι τὴν παρα-
καταθήκην, ἣν μοι παρέθου, βασιλεῦ, σεσυλήκασι,

τὴν σὴν Ὑσμίνην, ἣν μοι παρέθου ταύτῃ τῇ δεξιᾷ· οὗτοί μοι τὸν Θησαυρὸν ἐληίσαντο· σὺ δ' ἀλλ' ἀπό- 8
θου τὰ τόξα καὶ τὸ πῦρ καὶ τὸ πτερόν· εἰ δὲ μὴ βούλει, περίθου καὶ κατάβηθι πρὸς βυθὸν καί μοι τὴν
5 Ὑσμίνην ἀνάγαγε, τὴν Ὑσμίνην, ἧς μόνης ἐπιμνησθεὶς ὅλα πυρπολοῦμαι τὰ σπλάγχνα καὶ ὅλην τὴν
269 ψυχὴν κατακαίομαι. Ἀλλ' ὦ τῶν ἐν ὀνείροις ἐκείνων 9
τερπνῶν, τῶν φιλημάτων, τῶν ξυμπλοκῶν, τῶν περιπλοκῶν καὶ τῶν ἄλλων πάντων ἐρωτικῶν. Βαβαὶ
10 τῶν ὀνείρων, οἷς ἡνδραπόδισμαι. Ὄνειροι πάντως καὶ ὕπνοι καὶ ὄντως κατάγελως. Ὦ Ζεῦ θεῶν ἀληθέστατε, ὄντως σὸς οἰωνὸς ἐκεῖνος ἀπαισιώτατος ὅλον μοι τὸ μέλλον τοῦτο καθαρῶς αἰνιττόμενος· ἰδοὺ γὰρ Ὑσμίνη παρθένος ἐλεεινῶν μοι τούτων χει-
15 ρῶν βιαίως ἀπέσπασται. Ἀλλ', ὦ κόρη, τῶν ξυνθη- 10
κῶν σοι κατέψευσμαι· ξὺν σοὶ τεθνάναι καὶ θεοὺς αὐτοὺς διεμαρτυράμην σοι καί σοι τοῦτο τὸ θανάσιμον ξυμμερίσασθαι· νῦν δὲ σὲ μὲν σκότος καλύπτει καὶ κῦμα πρότερον ἐλεεινῶς κατεπέκλυσεν, ἐγὼ δὲ φῶς
20 ὁρῶ, καὶ τοῖς κύμασι παρακάθημαι. Σὺ μὲν πρὸς 11
Ἅδην, ἐγὼ δὲ πρὸς γῆν· μέμυκέ σου τὸ στόμα, τὸ σίμβλον τοῦ μέλιτος, τὸ δ' ἐμὸν τοῦτο στόμα πλατυνθὲν ἐξ ὀδύνης κατατραγῳδήσει σοι τὸν ἐξιτήριον καὶ ὡς ἐκ κέντρου σῆς μελίττης πληγὲν φλεγμαίνει τοῖς
25 πάθεσι· καὶ σὺ μὲν ἀμνηστίας ἴσως ἐπεγκαλέσεις
270 ἡμῖν, ἡμεῖς δέ σου τὴν μνήμην ὥσπερ ξυμψυχώσαντες ἑαυτοῖς ξὺν αὐτῇ ψυχῇ καὶ ταύτην φυσήσομεν, ἢ μᾶλλον καὶ μέχρις Ἅδου ξυγκαταγάγωμεν καὶ μέχρι τοῦ τῆς λήθης κρατῆρος αὐτοῦ θρηνοῦντες πικρόν,
30 ἐλεεινόν, ἀναπόνιπτον."

Ταῦτ' ἔλεγον, καί μου τῶν ὀφθαλμῶν ἀπέρρει 12

τὸ δάκρυον καὶ κατὰ θάλατταν ἐξεχεῖτο καὶ πυκνῶς κατεκυματοῦτο καὶ ὅλον με κατεπέκλυζεν.

18 Ἐν μέσοις δὴ τούτοις ὕπνος καθὼν ἐμπίπτει μου τοῖς ὀφθαλμοῖς καί με πρὸς ἑαυτὸν ὅλον ἐφέλκεται· καὶ πάλιν Ἔρως ἐφίσταται διὰ νυκτὸς ὑπνουμένῳ μοι. 5

2 Καὶ ἦν Ἔρως ὄντως ἐκεῖνος ὁ γεγραμμένος ἐν Αὐλικώμιδι, καί μοί φησιν "Τσμινία, χαίροις·" ἐγὼ δ' "ἀλλ' οὐ χαρτὰ πάσχω· τὴν γάρ μου παρακαταθήκην, ἣν ταῖς χερσί μου ταύταις παρέδου, τὴν σὴν Τσμίνην καὶ παρθένον ἐμήν, οὗτος ὁ θρασὺς Ποσειδῶν 10 ἐλεεινῶν τούτων ἐμῶν ἀγρίως ἁφαρπάζει χειρῶν, ὅλην κυκήσας θάλατταν, ὅλον ἐγείρας κλυδώνιον. 273

3 Ἀλλ', ὦ βασιλεῦ Ἔρως, ὅλον σοι γένος Ἀμφιτρίτης εἶδον δουλογραφούμενον καί σου φρίττον τὴν γύμνωσιν. Ὦ βασιλεῦ, ἐκ βυθοῦ καὶ θαλάσσης τὴν Τσμίνην ἀνάγαγε, παρθένον οὕτω καλήν, οὕτως ὡραίαν, οὕτω πένουσαν ἔρωτος καί σοι δουλογραφουμένην 4 καί με δουλογραφοῦσαν τὸν ἐραστήν. Σοῖς τετρωμένοι βέλεσι, βασιλεῦ, πατρίδων ἡμῶν μετανάσται γεγόναμεν· σῷ πυρποληθέντες τὰ σπλάγχνα πυρί, 20 βασιλεῦ, νύκτας ὅλας ἀύπνους ἰαύσαμεν· σῇ δυνάμει θαρρήσαντες, βασιλεῦ, θαλάττης ἐπέβημεν, πελάγους κατετολμήσαμεν. Ἀλλ' ὦ τῆς σῆς δυναστείας εἶτ' οὖν ἐμῆς δυστυχίας. Ὅλον Ποσειδῶν ἐγείρει κλυδώνιον, ὅλον θυμὸν κατὰ θαλάττης κενοῖ, ὅλην 25 τὴν ναῦν φιλονεικεῖ καταβαπτίσαι τοῖς κύμασι, καὶ τὴν Τσμίνην (ἧς φεῖσαι, βασιλεῦ Ἔρως) ὅλῃ θρασείᾳ χειρὶ (βαβαὶ) τούτων ἐμῶν ἀθλίων ἁφαρπάζει χειρῶν. Ἀλλ', ὦ πάντων Ἔρως κρατῶν, τὴν Τσμίνην παράσχου μοι, τὴν Τσμίνην, ἣν αὐτὸς ἐδώρησάς μοι." 30

19 Ὁ δ' ἐπτερύξατο τοῖν ποδοῖν καὶ κατὰ μέσα πε- 274

λάγη γενόμενος ἐμπίπτει τοῖς κύμασι καὶ χωρεῖ πρὸς βυθὸν καὶ μετ᾽ οὐ πολύ μοι πάλιν ἐφίσταται τὴν Ὑσμίνην ἀνέχων πρὸ τῶν χειρῶν καὶ ὡς ἐκ θαλάττης ὑγρὰν καὶ λελουμένην ταῖς Χάρισι, καὶ ταῖς ἐμαῖς ταύταις χερσὶ παρατίθεται· ἐγὼ δ᾽ ὡς τὴν Ὑσμίνην λαβὼν ὑφ᾽ ἡδονῆς ἐξανέστην τῶν ὕπνων· τὰ δ᾽ ἦσαν πάντα καὶ πάλιν ὄνειροι δουλεύοντες Ἔρωτι.

Η

Οὕτω μὲν οὖν μεθ᾽ ἡδονῆς καὶ χαρᾶς ἀναστὰς τῶν 1
ὕπνων ὅλοις τοῖς ὀφθαλμοῖς τὴν Ὑσμίνην ἐζήτουν
ἰδεῖν, ἡ δ᾽ ἦν οὐδαμοῦ· πλῆθος δ᾽ ὁρῶ παρὰ τῇ ψάμμῳ, πλῆθος δ᾽ οὐκ εὐαρίθμητον Αἰθιόπων, ἀγρίων ἀνδρῶν, οὓς ἰδών, νὴ τὴν πικρὰν τῶν ἐμῶν δυστυχημά-
277 των θάλατταν, ὅλος ἐξανέστην εὐθὺς καὶ ἤθελον ὄναρ ἰδεῖν· τὸ δ᾽ ὕπαρ ἦν· ὁρῶσι γάρ με καὶ μεθέλκονται τῶν τριχῶν καὶ περὶ τὴν τριήρη βαρβαρικῶς ὥσπερ τι θήραμα φέρουσι (παρῆν γὰρ ὥσπερ ἀπηωρημένη τῆς γῆς ἐν παττάλοις καὶ πείσμασι) καὶ περὶ τὸν τῆς τριήρους καταγαγόντες πυθμένα τῇ κώπῃ παρακαθίζουσιν. Ἐπεὶ δ᾽ ἀπέβησαν τῆς γῆς, ὅλα ξυναγάγόντες τὰ πείσματα κώπαις πτεροῦσι τὴν ναῦν, ὅσας αἱ τριήρεις αὐχοῦσι πυκνάς· καὶ περὶ λιμένα γενόμενοι νήνεμον καὶ λίαν εὐάγκαλον ἐλλιμενίζουσι τὴν τριήρη· καὶ μικρὸν μετασχόντες τροφῆς καὶ ποτοῦ (τὰ δ᾽ ἦσαν ἄρτος καὶ ὕδωρ τούτοις ἐπιφερόμενα) πρὸς ὕπνον ἐτράπησαν, περὶ πρῴραν καὶ πρύμνην ἀνυστάκτους ἀφοσιωσάμενοι φύλακας.

Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ἀναστάντες 2

τῶν ὕπνων κώπαις πάλιν πτεροῦσι τὴν ναῦν καὶ τοῦ
λιμένος ἐξάγουσι· καὶ περί τι γεγονότες πολίχνιον καὶ
σιγῇ τὴν ναῦν προσορμίσαντες καὶ τῶν χειρῶν ταῖς 278
μὲν λαιαῖς ἀσπίδας λαβόμενοι, ταῖς δ' αὖ ἑτέραις
δεξιῶς σπασάμενοι φάσγανα καὶ ὅλους ἑαυτοὺς τοῖς
ὅπλοις καταφραξάμενοι, ὡς μέλλιτται κηρίον, ὅλον
2 ἐπεκύκλωσαν τὸ πολίχνιον. Καὶ θροῦν ἐγείραντες
βαρβαρικόν τε καὶ ἄσημον, ἀόπλοις ὑπλῖται, κοιμωμέ-
νοις ἄγρυπνοι κατεπέθεντο σφάττοντες, ἁρπάζοντες
ὡς θῆρες ἀγρίως, ἅπαν κατασπαραττόμενοι τὸ πολί-
χνιον καὶ πᾶν τὸ προστυχὸν καταληιζόμενοι ξὺν
αὐταῖς γυναιξί, ξὺν αὐταῖς παρθένοις, ξὺν αὐτοῖς
νεανίσκοις, ἀνδράσιν, ὅσους μὴ πρὸς Ἅιδην βαρβα-
3 ρικὴ μετεβίβασε μάχαιρα. Περὶ γοῦν δὴ τὴν τριήρη
πᾶν τὸ λησθὲν ξυναγαγόντες οἱ πειραταὶ καὶ τούτοις
κατεπιβάντες καὶ συνεπιβάντες αὐτοὶ μακρὰν τοῦ λι-
μένος ἀπέβησαν.

3 Καὶ περὶ μέσα πελάγη γενόμενοι καὶ ὡς ἐν θε-
μελίοις τοῖς καλωδίοις ὅλην τὴν τριήρη καταπηξάμε-
νοι τὰ σκῦλα μερίζονται· τούτων δ' ὅσον ἐν ἀνδρά- 281
σιν, ὅσον ἐν νεανίσκοις, ὅσον ἐν παρθένοις καὶ γυ-
ναιξίν, ἀπεδύετο τὸν χιτῶνα καὶ ἦν ἀπερικάλυπτον
καὶ μέχρις αἰδοῦς καὶ γύμνωσιν καθόλου φέρον τοῦ
2 σώματος. Ὁ μὲν οὖν δὴ πυθμὴν τῆς τριήρους τοὺς
νεανίσκους καὶ τοὺς ἄνδρας ἐδέχετο, τὰς δέ γε γυναῖ-
κας αἰσχύνη καὶ βαρβαρική τις ἀσέλγεια· παρθένοις
γὰρ οὐκ οἶδ' ὅπως ἢ τίνι νόμῳ βαρβαρικῷ καὶ χιτὼν
διερρωγώς τις ἐπεδιδύσκετο καὶ χεὶρ αὐθάδης οὐκ
ἐπετίθετο οὔτέ τι βαρβαρικὸν ἐπὶ ταύταις αἰσχρῶς
κατεπράττετο.

4 Οὕτω τοίνυν τὰ μὲν περὶ τὰς γυναῖκας αἰσχρῶς,
τὰ δ' ἄλλ' ἀκόσμως οἱ βάρβαροι διακοσμησάμενοι

περὶ τὸ δεῖπνον ἐτράπησαν· καὶ ἦν ἡ τράπεζα τούτοις πολυτελής, οὐχ ὡς πρὸ μικροῦ βαρβαρικὴ καὶ παντε-
282 λῶς ἀφιλότιμος. Τοῖς μὲν οὖν ἀνδράσιν, ὡς εἴρηται, 2
τῆς τριήρους ὁ πυθμὴν ἀφωσίωται, ταῖς δέ γε παρθέ-
νοις ὁ περὶ τὴν πρῴραν τόπος ἀφώρισται· αἱ γάρ τοι
γυναῖκες τοῖς βαρβάροις αἰσχρῶς περὶ τὸ δεῖπνον συν-
ανεκλίθησαν. Μετὰ γοῦν δὴ πολυτελεῖς, ὡς εἴρηται, 3
τὰς τροφὰς καὶ τὴν αἰσχρὰν ἐκείνην καὶ ὅλην αἵματος
τράπεζαν τοὺς μὲν νεανίσκους (ὀλίγοι δ' οὗτοι) ταῖς
κώπαις παρακαθίζουσιν· ὅσοι δ' ὑπερβεβήκασι τού-
τους (βαβαὶ τῆς τῶν βαρβάρων ἀμειλίκτου ψυχῆς)
ξίφους γεγόνασι παρανάλωμα, καὶ τὰς κεφαλὰς ἐλεει-
νῶς εἰς θάλατταν ἐξεσφενδονήθησαν· αἱ δέγε γυναῖ-
κες αἰσχρῶς τοῖς βαρβάροις συνανεκλίθησαν· καὶ ἦν
ἡ τριήρης πανδοχεῖον πλῆρες αἰσχρότητος καὶ συμπό-
σιον αἵματος.

Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δὲ νὺξ 5
οὐδαμοῦ (ἥλιος γὰρ ὑπὲρ γῆν) καὶ τὸ ζητούμενον φῶς
ἡμῖν προσεγέλα καὶ ἦν ἡμέρα τὸ φῶς, ὡς ἐκ παστά-
δος ἀνέστη τὸ βάρβαρον, καὶ ἦν ὅλον μεθύον ταῖς
ἡδοναῖς καὶ βαρβάρῳ φωνῇ καταγλωτταλγοῦν καὶ οἷον
διαλεγόμενον. Μετὰ γοῦν δὴ πολύν τινα θροῦν, ὅσον
τὸ ναυτικὸν ἐγείρει, καὶ μᾶλλον εἰ βάρβαρον, ᾠδή τις
ἀλλόθρους καὶ ἄσημος ἱστίῳ λευκῷ τὴν τριήρη κατ-
επεκόσμησε, καὶ τὸ πνεῦμα πνεῦσαν ἐκ πρύμνης ὅλον
285 τὸ ἱστίον ἐκύρτωσε, καὶ ἦν ἡ τριήρης ὡς ἵππος εἰς
πεδίον κροαίνουσα.

Καὶ ἵνα τἀν μέσῳ παρῶ, ὅσα τὸ βάρβαρον κατ- 6
εκώμαζεν, ὅσα ταῖς γυναιξὶν ἀπηναιδεύετο, καὶ τἆλλ'
ὁπόσα βαρβαρικῶς καὶ ἀσέμνως ἐστέλλετο, εὐφόρῳ τῷ
πνεύματι περὶ τὴν Ἀρτύκωμιν ἐγενόμεθα καὶ πλῆ-
θος ἐξ Ἀρτυκώμιδος ὁρῶμεν περὶ τὴν ἤπειρον. Καὶ 2

μετὰ δὴ πολλὰς τὰς σπονδάς, ἃς οἶδε τὸ βάρβαρον σπένδεσθαι καὶ ὅσας πειραταὶ πρὸς ἠπειρώτας βαρβαρικῶς διαλλάττονται, δέχεται μὲν ἡ τριήρης ὁμήρους τινάς, ἡ δ' ἤπειρος τὸν τῆς τριήρους φόρτον, ὅσον ἐκ τοῦ πολιχνίου τὸ βάρβαρον ἐλήϊσατο· καὶ ἦν περὶ τὴν ψάμμον πανήγυρις αὐτοσχέδιος. Ὅσον μὲν οὖν ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καὶ χιτωνίσκοις καὶ τοῖς ἄλλοις, ὅσα βαρβαρικὴ καταλήξεται χείρ, τῆς τριήρους ἐξεφορτοῦτο καὶ ὅλον διεπιπράσκετο· τὸ δ' ὅσον τῆς λείας ἐν ἀνθρώποις ἦν, οὐ μετεκομίσθη περὶ τὴν ἤπειρον, ἀλλ' ἐν αὐτῇ τῇ τριήρει κατεπιπράσκετο. 286

Καὶ γυναικῶν μὲν καὶ νεανίσκων αἰχμαλώτων ἡμῶν ὀλίγος τοῖς ἐξ Ἀρτυκώμιδος λόγος ἢ μᾶλλον οὐδείς, τὸ πᾶν δ' ἐκεχήνει περὶ τὴν τῶν παρθένων κτῆσιν· αἱ δ' ἦσαν πολλοῦ τοῖς βαρβάροις τιμώμεναι καὶ πολλοῦ τοῖς ἐξ Ἀρτυκώμιδος κτώμεναι, μετὰ μέντοιγε τόξου καὶ πηγὴν τῆς Ἀρτέμιδος, ἣν Ἀρτύκωμις φέρει Ῥῆνον ποταμὸν Κελτικόν. Ἱερὸν γὰρ ἐν Ἀρτυκώμιδι περιφανὲς τῆς Ἀρτέμιδος, οὗ μέσον χρυσοῦν Ἀρτέμιδος εἴδωλον, τόξον τεῖνον ταῖν χεροῖν, τοῖν δέ γε ποδοῖν πηγὰς βλύζον κατὰ ποταμὸν ῥεούσας ἐριβρύχην καὶ πολυχεύμονα. Ταύτας δὴ τὰς πηγὰς ἀνακαχλάζειν εἴποις ἰδών· ἃ δή, καὶ τόξον καὶ πηγή, παρθένον ἐλέγχουσι καὶ παρθενικὴν ἀποσύλησιν· εἰ γάρ τις περὶ παρθένον διψυχεῖ καὶ ζητήσει τὸν ἔλεγχον, ἐπὶ τὴν πηγὴν τὴν παρθένον ἐμβάλλουσι, [τῆς] δάφνης αὐτὴν στεφανώσαντες. Εἰ μὲν οὖν ἡ τὴν πηγὴν εἰσδῦσα παρθένος τὴν παρθενίαν οὐκ ἔψευσται καὶ τὸ σεμνὸν οὐκ ἀποσεσύληται, τὸ τόξον Ἄρτεμις οὐ τείνει, τὸ ὕδωρ ἠρεμεῖ, καὶ ἡ παρθένος κούφως τοῖς 289 ὕδασι φέρεται, τῷ τῆς δάφνης στεφάνῳ κατακεκο-

σμημένη τὴν κεφαλήν· εἰ δ' Ἀφροδίτης πνεῦμα παρ- 5
θενικὴν λαμπάδα κατέσβεσε καὶ λαθὼν Ἔρως ὅλην
τὴν παρθενίαν ὑπέκλεψε, τείνει τὸ τόξον Ἄρτεμις,
παρθένος θεός, κατὰ τῆς μὴ παρθένου, τῆς ἐψευσμέ-
νης αὐτήν, καὶ βάλλειν δοκεῖ κατὰ τῆς κεφαλῆς· ἡ
δὲ φρίττει τὸ βέλος καὶ τὴν κεψαλὴν τοῖς ὕδασιν ὑπο-
κρύπτεται, καὶ τὸ ὕδωρ ἀνακαχλάζον ἀφαιρεῖται τὸν
στέφανον. Πᾶν οὖν ὅσον τοῖς βαρβάροις ἐδασμολο- 6
γήθη παρθενικόν, ἐκ δάφνης στεφανωθὲν τῇ πηγῇ
κατεβάπτετο· καὶ ὅσον μὲν οὐ κατέδυ τὴν κεφαλήν,
ὅσον οὐκ ἀφῃρέθη τὸν στέφανον, ἠργυρολογήθη πολ-
λοῦ· ὅσον δὲ τὴν παρθενίαν κατέψευστο, τὴν τριήρη
κατεκληρώσατο καὶ ταῖς γυναιξὶ συνηρίθμητο, καὶ
χρυσοῦ χαλκὸν ἀντηλλάξατο, τοῦ τῆς δάφνης παρθε-
νικοῦ στεφάνου παστάδα βαρβαρικήν.

290 Οὕτω μὲν οὖν εἶχε τὰ περὶ τὴν Ἀρτύκωμιν, καὶ 8
οὕτω τῆς τριήρους ἐξεφορτώθη τὰ λάφυρα· καὶ πά-
λιν ἡ τριήρης τοῖς ξυνήθεσι κατεπτεροῦτο πτεροῖς,
καὶ πάλιν τὸ βάρβαρον ἐφ' ἑτέραν ἐστέλλετο· καὶ
ἡμεῖς δοῦλοι βαρβάρων ἐξ ἐλευθέρων εἱλκόμεθα.
Περὶ δὲ τρίτην ἡμέραν ἐπί τινα λιμένα καταίρομεν 2
ἕτερον, καὶ τὴν τριήρη περὶ τὴν ἤπειρον μεθελκυσάν-
των ἡμῶν καὶ ὅλην ταύτην ἐξαψαμένων τοῖς πείσμασιν
ὅλον τῆς νεὼς ἐξέπτη τὸ βάρβαρον καὶ περὶ τὴν ψάμ-
μον ἐγένετο καὶ τὰς γυναῖκας ξυμμεθειλκύσατο καὶ
ὅλην σκηνὴν ἐγγὺς κυμάτων ἐπήξατο καὶ λαμπρὰν
ἡτοιμάσατο τράπεζαν. Καὶ μετὰ δὴ πολλὰς τὰς τρο- 3
φὰς καὶ πόσεις καὶ βαρβαρικά τινα παίγνια καὶ τἄλλ'
ὁπόσα βαρβαρικῶς καὶ ἀσέμνως ταῖς γυναιξὶ κατεχρή-
σατο, ξὺν αὐταῖς γυναιξὶ πρὸς ὕπνον ἐτράπη τὸ βάρ-
βαρον, ὅλαις ἡδοναῖς καταβαπτισθὲν τὴν ψυχὴν καὶ
ὅλοις καταμεθυσθὲν τοῖς ἔρωσιν.

9 Οὕτω μὲν οὖν εἶχε τὸ βάρβαρον· ἡμεῖς δ' ἐκ πυθ- 293
μένος τοῦ σκάφους τῇ μέθῃ τῶν βαρβάρων θαρρήσαντες ἑαυτοὺς ἀνηγάγομεν, καὶ μυρίοις κατετραυνούμεθα λογισμοῖς ἢ τῆς τριήρους ἀποβῆναι περὶ τὴν ἤπειρον ἢ ξὺν αὐτῇ τριήρει τὰς χεῖρας τῶν βαρβάρων φυγεῖν ἢ τοῖς ὅπλοις Ἑλληνικῶς καθοπλίσασθαι, ὅσα τριήρης φέρει πολλά, καὶ τοῖς βαρβάροις κατεπιθέσθαι
2 καὶ νικᾶν ἢ πίπτειν μαχομένους [ἡμᾶς]. Ταῦθ' ἡμεῖς, καὶ στρατὸς ὁπλίτης περὶ τὴν ἤπειρον τοῖς βαρβάροις κατεπιτίθεται, ὅλοις ὑπνοῦσιν, ὅλοις καταβεβακχευμένοις ἐξ οἴνου καὶ ἔρωτος· καὶ τὸ μὲν βάρβαρον ἅπαν ἄλλο κατεληίζετο, ἡμεῖς δ' Ἑλληνικὴν βαρβαρικῆς δουλείας ἀντηλλαττόμεθα, καὶ δοῦλοι πάλιν ἐκ δούλων γεγόναμεν, καὶ βαρβάροις δεσπόταις ὄντες ὁμόδουλοι καὶ αὐτοῖς δεσπόταις ξυναιχμαλωτιζόμενοι ὁμο-
3 γλώττοις Ἕλλησιν ἐδουλογραφούμεθα. Καὶ περὶ μέσην ἀγορὰν καὶ πόλιν Δαφνήπολιν, πόλιν Ἀπόλλωνος ἱερὰν στρατηγὸς καὶ στρατὸς ἐφ' ἡμῖν θριαμβεύει 294
τὰ ἐπινίκια, καὶ ἡ πόλις κροτεῖ καὶ ἀλαλάζει χαρμόσυνα· καὶ πάντες ἡμεῖς ἡ λεία, τὸ λάφυρον, ἐλεεινῶς
ἐφειλκόμεθα μέχρις Ἀπόλλωνος ἱεροῦ, ὃ δὴ θαῦμα φέρει πόλις Δαφνήπολις.

0 Ἅμα γοῦν τὸ πᾶν περὶ τὸν βωμόν· κἀγὼ τοὺς πόδας περιχυθεὶς τοῦ θεοῦ καὶ ὅλους πλύνων τοῖς δάκρυσι "σὺ στῆσον," Ἄπολλον" εἶπον," τὸν κλύδωνα, ξυμπαθὲς εὔδιον ἀντιπνεύσας τοῖς ἐμοῖς δυστυχήμασι. Διὸς κήρυξ σοῦ πατρὸς ἧκον ἐξ Εὐρυκώμιδος ἐς Αὐλίκωμιν, ἐκ δάφνης ταύτης τῆς σῆς τὴν ἐμὴν ταύτην ἀθλίαν στεφανωθεὶς κεφαλήν· ἀλλ' Ἔρως σὸς ἀδελφὸς ῥόδοις ταύτην ἀντεστεφάνωσεν· οὗτός μοι τὴν παρθενίαν ἐσύλησεν ἢ μᾶλλον ἐρωτικῶς ἀντηλλάξατο, Ὑσμίνην παρθένον ἀθλίαις ταύταις ἀντιπαρα-

θείς μοι χερσίν, ἣν καὶ Ποσειδῶν παρθένον ἀνήρπασεν ἐξ ἐμῶν τούτων ἀθλίων χειρῶν καὶ μέσης ψυχῆς, ὅλῳ πνεύματι πνεύσας, ὅλῃ θαλάττῃ καὶ
297 κλύδωνι. Σὺ δέ μοι στῆσον τὸν κλύδωνα καὶ τὴν 3
Ὑσμίνην παράθου μοι τῇ χειρί, ἣ κἀμὲ πρὸς αὐτὴν Ὑσμίνην ὅλον μετάγαγε. Δοῦλος ἀντ' ἐλευθέρου γεγένημαι καὶ τρίδουλος ἀντὶ κήρυκος, Ἔρωτι δουλογραφηθεὶς τὰ πρῶτα, καὶ βαρβάροις τούτοις τὸ δεύτερον, καὶ τρίτον τοῖς ἐκ τῆς σῆς ταύτης Δαφνηπόλεως Ἕλλησι."

Ταῦτ' ἔλεγον καὶ τοῖς αἰχμαλώτοις ξυνεφειλκόμην περὶ δάφνην καὶ τρίποδα· καὶ χρησμός με καὶ κλῆρος πάλιν δουλογραφεῖ· καὶ πάλιν δοῦλος καὶ τρίδουλος ἐγώ, καὶ τῷ δεσπότῃ περὶ τὴν οἰκίαν μεθέλκομαι, ᾧ χρησμὸς καὶ κλῆρος τὴν ἐμὴν ἐχαρίσατο δούλωσιν. Ἡ δέ μοι δεσπότις φησὶ 2

"τίς πόθεν εἶς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;" ἐγὼ δ' ἀλλ' "ὦ δέσποινα, δοῦλος σός· τὰ δ' ἄλλα ξητοῦσα μαθεῖν ὅλον δρᾶμα ζητεῖς καὶ ὅλον τραγῳδημα. Παράδειγμα Τύχης ἐγώ, νερτέρων σκιά, δαιμόνων παίγνιον, Ἐριννύων τράπεζα." Καὶ λέγων 3
298 τοὺς ὀφθαλμοὺς ἐπεπήγειν τῇ γῇ καὶ ὅλην τοῖς δάκρυσιν ἔβρεχον· ἡ δ' "ἀλλ' ἐπίσκηπτε" λέγουσα, "μὴ φείσῃ μηδενός, ἀλλὰ πάντ' ἐκκάλυπτε λέγων." Ἐμοῦ δ' ἐπέλιπεν ἡ φωνή, καὶ ἡ γλῶττα ἐπείχετο, καί μου τῶν ὀφθαλμῶν κατὰ ποταμοὺς ἀπέῤῥει τὸ δάκρυον. Ὁ δέ μου δεσπότης (παρῆν γὰρ καὶ αὐτὸς) "καιρὸς ἀρίστου" φησίν, "ἀνακλιθῶμεν ἐπὶ τὸ δεῖπνον, καὶ περὶ τράπεζαν καὶ μέσας τροφὰς τῇ γλώττῃ τοῦ δούλου καιρὸν χαρισώμεθα."

---

8 post τούτοις: τοῦτο

12 *Τοίνυν παρετίθετο τράπεζα, καὶ οἱ δεσπόται μὲν*
ἀνεκλίνοντο, ἐγὼ δὲ παρειστήκειν δουλοπρεπῶς· καὶ
πάλιν ἡ δεσπότις πρός μέ φησιν "ἰδού σοι καιρὸς
κατὰ μέρος ἡμῖν τῇ γλώττῃ καταξωγραφῆσαι τὰ σά."
2 *Ἐγὼ δὲ καὶ μόνον ἐπιμνησθεὶς ἐλεεινὸν ἐβρυχησά-*
μην ἐγκάρδιον, πολλὰ δὲ τῶν ὀφθαλμῶν κατέσταξα
δάκρυα "φείσασθε" λέγων, "δεσπόται, δυστυχημά-
των ἐμῶν, μὴ τὴν τράπεζαν εἰς κοπετὸν μεταβάλω
καὶ πένθους ὑμῖν κρατῆρα κεράσωμαι." Καὶ λέγων
οὐκ ἔπειθον καὶ μὴ πείθων
"αἰαῖ, τὸ δοῦλον ὡς κακὸν πεφυκέναι" 301
φημί,
"τολμᾷ δ' ἃ μὴ χρὴ τῇ βίᾳ νικώμενον.
13 *Ἐμοὶ πατρὶς πόλις Εὐρύκωμις, πατὴρ Θεμιστεὺς καὶ*
μήτηρ Διάντεια· εἰ δ' εὐτυχοῦντες, εἰ τὰ πρῶτα
φέροντες τῶν ἐν Εὐρυκώμιδι, οὐκ ἐμόν ἐστι λέγειν.
Καιρὸς Διασίων τῇ πόλει, καὶ πανήγυρις λαμπρὰ
τὰ Διάσια· ἐγὼ δὲ δάφνῃ στεφανωθείς, χιτῶνι κα-
τακοσμηθείς, ἀρβύλῃ σεμνῇ, καὶ ὅλον περιδυθεὶς
2 *τὸ κηρύκειον κήρυξ ἦκον ἐς Αὐλίκωμιν. Καί μου τὸν*
στέφανον Ἔρως ἐσύλησεν, Ὑσμίνῃ παρθένῳ περι-
καλλεῖ Σωσθένους θυγατρὶ τὰ πρῶτα τῶν ἐπ' Αὐ-
λικώμιδος φέροντος ἀγκίστρῳ χρησάμενος· καὶ δοῦ-
λος Ἀφροδίτης εἰς τὴν ἐμὴν Εὐρύκωμιν ἀνθυπέ-
3 *στρεψα ξὺν αὐτῇ παρθένῳ καὶ τῷ ταύτης πατρί. Τὰ*
δ' ἐφεξῆς ὁποῖα; Σωσθένης πατὴρ Ὑσμίνης ἐν μέσῃ
τραπέζῃ καὶ δείπνῳ πολυτελεῖ γάμον ἕτερον κηρύττει
τῆς θυγατρός, ὃν ἡδέως φεύγοντες ἡμεῖς πικρῶς 302
ἁλισκόμεθα, εἰς πῦρ ἐκ καπνῶν ἐμπεσόντες κἀξ ὄμ-
βρων εἰς θάλατταν. Ναῦς ὑπηρέτις ἡμῖν τῇ φυγῇ,
πρὸς ἣν Ποσειδῶν ἀντιπνεῖ· καὶ θῦμα ζητεῖ, καὶ τὸ
θῦμα κληρούμεθα, καὶ ἦν ὁ κλῆρος ἐπὶ τὴν Ὑσμίνην

πεσών. Ἡ δέ μου τῶν χειρῶν ἐλεεινῶς ἐκσπασθεῖσα 3
κατὰ κυμάτων ὠθεῖται, καὶ τὸ μὲν ναυτικὸν ἐξάγει
ταύτην τοῦ κλύδωνος, ἐμὲ δ' εἰς μέσας θαλάττας ἐμ-
βάλλει καὶ κλύδωνα καὶ θρῆνον καὶ κωκυτόν· ὃ δὴ
μὴ φέρον τὸ ναυτικὸν τῆς νεὼς περὶ τὴν χέρσον ἐκ-
σφενδονᾷ με, καὶ τὸ βάρβαρον τοῦτο τὸ νῦν ξυναιχ-
μάλωτον αἰχμάλωτον ἄγει με· ὅθεν ἐκ σῆς ταύτης
πάλιν ᾐχμαλωτίσθην χειρός, δοῦλος ἐκ δούλου γενό-
μενος καὶ τρίδουλος ἀντὶ κήρυκος."

Ταῦτ' ἔλεγον καὶ κατεβρεχόμην τοῖς δάκρυσιν· 14
ἡ δέ μοι δεσπότις φησὶν "ὅλον δρᾶμα τὰ κατὰ σὲ καὶ
ὄντως τραγῳδημα· τὰ δ' εἰς δεσπότας ἡμᾶς εὐτυχεῖς."
Ἐγὼ δ' "ὅτι δεσπότας ἔχω μᾶλλον δυστυχῶ" πρὸς 2
τὴν δέσποιναν ἔλεγον·

"ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ."

Καὶ ὁ δεσπότης φησὶν "εἰ μέν σοι πατρὶς περιφανὴς 3
καὶ γένος λαμπρὸν καὶ τὰ κατ' οἴκους πολυτελῆ, νῦν
τούτων ἔχεις οὐδέν· δοῦλος γὰρ εἶ καὶ δοῦλος ἡμῶν·
εἰ δὲ καὶ σωφροσύνης καὶ παρθενίας Ἀφροδίτην ἀντ- 4
ηλλάξω καὶ Ἔρωτα, εἰ δὲ καὶ στεφάνων ἐκ δάφνης
παρθενικῶν στέφανον ἐκ ῥόδων ἐρωτικόν, μὴ σύ γε
τὸ ἀπὸ τοῦδε· ἀλλὰ κτῆσαι τὸ σῶφρον καὶ τὸ φιλό-
σωφρον ἀγάπησον, ἵνα μὴ τὴν σωφροσύνην ἐξ ἔργων
μάθῃς αὐτῶν
καὶ χεῖρα κτήσῃ δεσπότου διδάσκαλον."

Ταῦθ' ὁ δεσπότης· ἐγὼ δ' ἐσίγων καὶ τοὺς 15
ὀφθαλμοὺς εἶχον ὁρῶντας εἰς γῆν καὶ ὅλους δακρύων
μεστούς. Καὶ οὕτω πέρας τὰ τῆς τραπέζης ἐδέχετο·
καὶ ὁ τῶν Διασίων κήρυξ Ὑσμινίας ἐγώ, ὁ τῆς δά-
φνης στεφανωθείς, ὁ λαμπρῶς τὸ πρῶτον πλεύσας ἐξ
Εὐρυκώμιδος, ὁ περὶ τὴν Αὐλίκωμιν βασιλικῶς ἐφ' 2

ἅρματος ἱππασάμενος, ὁ πολυτελῶς ἐπὶ τῆς τοῦ Σωσθένους λαμπρᾶς τραπέζης ἀνακλιθείς, ἐπὶ δουλικῆς τραπέζης νῦν ἀνακέκλιμαι σὺν ὁμοδούλων χορῷ καὶ τὰ τῶν δούλων ὑπηρετῶ καὶ ὅλος δοῦλός εἰμι καὶ ὅλην δουλείαν ἐνδέδυμαι καὶ ὅλην δουλοπρέπειαν ὑποκρίνομαι, ὅλον ἀποδυθείς, ὦ Ζεῦ καὶ θεοί, τὸ κηρύκειον καὶ ὅλον τὸ ἐλεύθερον.

3 Οὕτω μὲν οὖν εἶχε τὰ κατ' ἐμέ, καὶ οὕτως ἐδούλευον· ἀλλ' οὐδ' ἐν μέσοις οὕτω δεινοῖς Ὑσμίνης λήθην παρθένου φίλης ἐμῆς ἔπαθον, οὐ νὴ τὸν φοβερὸν Ἔρωτα, τὴν τοσούτων δυστυχημάτων πηγήν.

16 Ὁ τῶν Διασίων ἦκε καιρός· καὶ κἂν Δαφνήπολις οὐ τιμᾷ τὰ Διάσια, κἂν οὐκ ἄγῃ πανήγυριν, ἀλλ' ἔμ' οὐ διέλαθε, καὶ τὴν μνήμην ἀνῆψε καὶ τὸν θρῆνον ἐξήγειρεν· ἀλλ' ἤ μοι Τύχη καὶ τούτων ἐφθόνη-
2 σεν. Ἐθρήνουν, ἀλλὰ τὸν θρῆνον ὑπέκλεπτον· ἐδάκρυον, καὶ τοὺς ὀφθαλμοὺς ὑπεκρυπτόμην τῶν δεσποτῶν· τὴν ψυχὴν εἶχον καὶ φωνὴν καὶ γλῶτταν καὶ δάκρυα. Δοῦλος ὁ κήρυξ ἐλεεινολογούμενος ὅλην ἀνεπλαττόμην τῷ νῷ τὴν Εὐρύκωμιν, τὴν Αὐλίκωμιν, τὸ κηρύ-
21 κειον, τὸν τοῦ Σωσθένους κῆπον, τὸ περὶ τὸν κῆπον
3 φρέαρ, τὰ παρὰ τούτῳ πτηνά, τὸν κατάχρυσον ἀετόν, τὴν φιάλην καὶ πάντ' ἐκεῖνα τὰ κατ' αὐτό, τὴν Ὑσμίνην κιρνῶσαν, ἐρωτικῶς μοι προσπαίζουσαν, τοῖς ποσί μου ξυμπαίζουσαν, ταῖς κύλιξι καταπαίζουσαν, καὶ τἄλλ' ὁπόσα τότε (βαβαὶ τῶν ὡς ἐν ὀνείροις ἐρωτικῶν ἡδονῶν) κατεπαίζομεν· καὶ ἐπὶ πᾶσι τούτοις
4 "Ὑσμίνη μοι φίλη" λεπτὸν ἐψιθύριζον. Οἷς μέσοις ἡ δεσπότις αἴφνης ἐφίσταται καί μοί φησι "τί τοσοῦτον καταβαπτίζῃ τοῖς δάκρυσιν; ἰδού σοι παρίσταται· ἔχεις Ὑσμίνην ἐμέ, δέσποιναν σὴν καὶ δούλην ἐξ ἔρωτος." Ἐγὼ δ' οὐδὲν εἰπὼν εὐθὺς ἀπεπήδησα, καὶ μό-

νης Ὑσμίνης ἐτίμων τὸν ἔρωτα, καὶ ὅλην ἐνωπτριξόμην αὐτήν.

Ὅσα μὲν οὖν μοι ξυνέπαιζεν ἡ δεσπότις ἐρωτικῶς καὶ κατεπετίθετο ξυνεχῶς καὶ ὅσα παρὰ τῷ δεσπότῃ κατελοιδόρει μου καὶ ὅσα με κατηπειλεῖτο καὶ χειρὶ καὶ γλώττῃ καὶ κεφαλῇ, οὐ τῆς ἐμῆς ἂν εἴη ταῦτα γλώττης λαλεῖν, ἵνα μὴ λαθὼν Ἔρως τῇ γλώττῃ καταπορνεύσῃ μου τὴν ψυχὴν ἢ καὶ τὴν γλῶτταν αὐτήν, ἣν Ὑσμίνῃ φυλάξω παρθένῳ μεστὴν χαρίτων ἐρωτικῶν καὶ μέλιτος Ἀφροδίτης, οὗ κατακόρως ἡμεῖς τῇ γλώττῃ μόνῃ κατετρυφήσαμεν. 17

Καιρὸς οὖν ἑορτῆς, καὶ λαμπρὰ πανήγυρις Δαφνηπόλει, καὶ παρθένου Δάφνης φυγὴ τὰ τῆς ἑορτῆς καὶ φύσις ὁμωνύμου φυτοῦ, καὶ ἐπὶ πᾶσιν Ἀπόλλωνος ἑορτὴ καὶ πανήγυρις· παρθένος γὰρ ἡ Δάφνη καὶ παρθένος καλή. Ταύτης Ἀπόλλων ἐρᾷ, καὶ ἡ παρθένος φρίττει τὴν ξυμπλοκὴν τοῦ θεοῦ καὶ ἀνανεύει τὸν ἔρωτα· τὴν Γῆν δυσωπεῖ, ἡ δ' ἐλεεῖ τὴν κόρην καὶ φεύγουσαν κρύπτει καὶ παρθένον τηρεῖ καὶ φυτὸν ὁμώνυμον ἀντιδίδωσιν· Ἀπόλλων τοῦ φυτοῦ στεφανοῦται καὶ παραμυθεῖται τὸν ἔρωτα. Παρὰ γοῦν δὴ τῇ δάφνῃ βωμὸς καὶ πόλις ὁμώνυμος· Ἀπόλλωνος ὁ βωμός, καὶ ἡ πόλις Δαφνήπολις. 18 2 3

Ταῦτα δὴ ταῦτα ** πανήγυρις Δαφνηπόλει, καὶ κήρυκες στεφανῖται χρησμῷ λαμβάνοντες τὸ κηρύκειον. Ἀπόλλων χρησμοδοτεῖ καὶ κήρυκα τὸν ἐμὸν δεσπότην ἀνηγόρευσε καὶ κήρυκα λαμπρὸν ἐς Ἀρτύκωμιν· ὁ δὲ στεφανοῦται τῆς δάφνης, διὰ μέσης ἀγορᾶς πομπεύει λαμπρῶς, διὰ μέσου θριαμβεύει θεάτρου. Καὶ πλῆθος περὶ τὸν κήρυκα, καὶ προπομπὴ λαμπρὰ καὶ ποικίλη, καὶ τἆλλ' ὁπόσα κἀμὲ κατέπαιζε τὸ κηρύκειον· ὧν πάντων μεμνημένος ἐγὼ μέσῳ λαμπρῷ 19 2

θεάτρῳ καὶ λαμπρᾷ τελετῇ πλήρει χαρίτων καὶ ἡδονῆς θρήνων ἐπληρούμην καὶ κωκυτῶν, καὶ ὡς ἐν κεραυνῷ τῇ μνήμῃ τὴν ψυχὴν ὅλην κατεκεραυνοβολούμην πυκνά. Οὕτω τοίνυν, οὕτω λαμπρῶς, οὕτω πολυτελῶς καὶ φιλοτίμως ὁ κήρυξ καὶ δεσπότης ἐμὸς περὶ τὴν οἰκίαν ἐγένετο, δάφνης ἐστεφανωμένος, χιτῶνι κεκοσμημένος λαμπρῷ καὶ πεδίλῳ σεμνῷ. Μετὰ γοῦν δὴ τὴν λαμπρὰν ἐκείνην πομπήν, ἣν καγώ ποτε (βαβαὶ τῆς τύχης) ἐπόμπευον εἰς Εὐρύκωμιν, ὁ κήρυξ ξὺν αὐτῇ μου δεσποίνῃ περὶ λαμπρὰν ἀνακέκλιται τράπεζαν, δάφνης τὴν κεφαλὴν ἐστεφανωμένος καὶ κήρυξ ὢν ἐκ κορυφῆς καὶ μέχρι ποδῶν.

Περὶ δὲ μέσην τράπεζαν ἡ δεσπότις φησὶ "κήρυξ, σὴν μὲν ταύτην κεφαλὴν Ἀπόλλων λαμπρῶς ἐστεφάνωσε, κήρυκά σε λαμπρὸν στειλάμενος ἐς Ἀρτύκωμιν καὶ κήρυκα λαμπρᾶς Ἀπόλλωνος ἑορτῆς· καί σοι τὰ περὶ τὴν ὁδὸν εὖ διάθοιτο· δοῦλος δ' οὗτος ἡμῶν, ὃν αἰχμή σοι καὶ γενναία χεὶρ ἐλήισατο, μή σοι ξυνέψοιτο πρὸς Ἀρτύκωμιν· δοκεῖ γάρ μοι καὶ τῷ νῷ συνετός, καὶ τῇ γλώττῃ σοφὸς καὶ ὅλον ξυνέχων τὸ ἐπισκύνιον καὶ ξυνεχῶς θρηνῶν καὶ κοπτόμενος· δέδοικα γοῦν μή τί σοι νεανιεύσηται τῶν οὐκ ἀγαθῶν, ὅτι καὶ τὸ δοῦλον τοῖς δεσπόταις πολέμιον."

Καὶ ὁ δεσπότης φησὶν "ἀλλὰ κατὰ τὴν τραγῳδίαν

χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται."

Ἡ δ' "ἀλλὰ 'χρηστοῖς' φησὶν ἡ τραγῳδία· ὁ δὲ καὶ κήρυξ γεγονέναι τερατολογεῖ καὶ γένος καὶ πατρίδα λαμπρολογεῖ καὶ ἄλλ' ἄττα πολλὰ λαμπρῶς καταγλωττολῄεῖ."

Καὶ ὁ δεσπότης πρός μέ φησιν "εἰ κήρυξ, ὡς εἴρηκας, γέγονας, οὕτω δὴ καὶ σὺ κατ' ἐμὲ τὴν κε-

φαλὴν ἐστεφάνωσας." Ἐγὼ δ' "ἀλλὰ σύ μοι, δέσποτα κήρυξ, φεῖσαι γλώττης ἐμῆς οὕτω προπετῶς κινουμένης καὶ ἀναιδῶς. Ἀληθῶς καὶ τοὺς πόδας 2
κεκόσμημαι καὶ ποδήρη χιτῶνα τουτουὶ λαμπρότερον περιβέβλημαι, ὅτι καὶ κήρυξ Διὸς πατρὸς ἀνδρῶν τε θεῶν τε· σὺ δέ μοι σύγγνωθι, δέσποτα." Καὶ πρὸς τὴν δεσπότιν ὁ δεσπότης φησὶν "ἴσως ποτ' 3
ἦν κήρυξ οὗτος ἐλεύθερος ὤν, καὶ βάρβαρος χεὶρ εἰς δουλείαν μετήγαγε· τύχη γὰρ τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία. Εἰ γοῦν μοι ξυνέψοιτο πρὸς τὴν Ἀρτύκωμιν, ἴσως οὐκ ἀσυντελὴς ἔσται μου τῷ κηρύγματι." Ταῦτ' εἶπε καὶ τῆς τραπέζης ἀνέστη 4
318 καὶ πρὸς τῷ λειτουργήματι γέγονε. Καὶ πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν λαμπρὰ προπομπή, καὶ πάλιν πανήγυρις, καὶ πάλιν ᾠδαί, καὶ τἆλλ' ὁπόσα κοσμοῦσι τοὺς κήρυκας.

Θ

Οὕτω τοίνυν, οὕτω λαμπρῶς τὴν πρὸς τὴν Ἀρ- 1
τύκωμιν ἐστελλόμεθα. Καὶ περὶ ταύτην ὁ κήρυξ ἐγένετο, καὶ πάλιν λαμπρὰ προπομπή, καὶ πάλιν ὄχλος καὶ θρίαμβος, κόσμος ἀγυιῶν, καλλωπισμὸς ἀγορῶν, παρθένων στεφάνωμα· περὶ γὰρ δὴ τοῦτο τὸ μέρος Ἀρτύκωμις εὐτυχεῖ, παρθενίαν τιμῶσα καὶ βωμὸν Ἀρτέμιδος παρθένου κόσμον ἔχουσα κεφαλαῖον. Κυμ- 2
βάλων πλῆθος καταθέλγον τὴν ἀκοήν, παστάδων καλλωπισμὸς ἡδύνων τοὺς ὀφθαλμούς, ῥόδων σταλαγμοὶ καὶ πᾶς εὐώδης καπνὸς εὐφραίνων τὴν ὄσφρησιν
321 καὶ πλῆθος ῥητόρων λαμπρὸν ὑφαῖνον τὸν εἰσιτήριον.

2 Ὁ μὲν οὖν δὴ δεσπότης ἡμῶς ἐν μέσῃ ταύτῃ λαμπρᾷ προπομπῇ καὶ ποικίλῳ θριάμβῳ καὶ πολυτελεῖ καὶ οἷον Ἀπόλλων αὐτὸς ἐθριάμβευσεν ἅν, μακρὰ βιβὰς ὤδευεν, οἷον ὑπερνεφέλῳ τῷ ὀχήματι, ὑφὺν
2 ἐπαίρων μέχρις ἐς αὐτὸν οὐρανόν· ἐμὲ δ' ἡ μνήμη μέχρις ἐς αὐτὸν Ἅδου κατῆγε πυθμένα καὶ τοὺς ὀφθαλμοὺς ἐπλήρου δακρύων ἐς αὐτήν μου μέσην σταζόν-
3 των ψυχήν. Οἱ τῆς Ἀρτυκώμιδος προύχοντες ζητοῦσι ξενίσαι τὸν κήρυκα, καὶ ὅλον ἕκαστος πρὸς ἑαυτὸν ἀνθέλκεται καὶ μεθέλκεται, καὶ καινή τις ἔρις καὶ φιλοξενίας ἀγών· εἶποι τις ἰδὼν

ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.

3 Σώστρατος νικᾷ τὸν ἀγῶνα καὶ ἅρμα φέρων ἀνάγει καὶ περὶ τὴν οἰκίαν μετάγει τὸν κήρυκα καὶ φιλοφρονεῖται τοῦτον φιλοτιμότατα, ὅσα καὶ Σωσθένης Τσμινίαν ἐμὲ πλὴν Τσμίνης πολυτελῶς ἐφιλοφρονήσατο· ἃ πάντα μέσης ἥπτετό μου ψυχῆς, καὶ λήθης
2 ἠύχόμην κρατῆρα πιεῖν. Ὅλον ὁ κήρυξ ἀπετίθετο τὸ 322
κηρύκειον, καὶ τράπεζα πολυτελὴς παρετίθετο, καὶ παρθένος Ῥοδόπη Σωστράτου θυγάτηρ οἰνοχοεύει, καλὴ μὲν κατὰ παρθένον ἁπλῶς, πρὸς δέ γε τὴν ἐμὴν ἐκείνην Τσμίνην ὡς πρὸς Ἀφροδίτην μιμώ, ὡς πρὸς ἐλέφαντα κώνωψ, ὡς ἀστὴρ πρὸς φωσφόρον τοῦτον τὸν γίγαντα. Τρυφαὶ ποικίλαι περὶ τὴν τράπεζαν, ὅσαις οἶδε καὶ Σωσθένης φιλοφρονεῖσθαι τοὺς κήρυκας.

4 Ἐπὶ δὴ τούτοις πᾶσιν ὀφθαλμὸς ἥλατό μευ ὁ δεξιός, καὶ ἦν μοι τὸ σημεῖον ἀγαθὸν καὶ τὸ προμάντευμα δεξιώτατον. Εἰ μὲν οὖν ὁ τῆς Ἀρτυκώμιδος οἶνος ἡδὺς κατὰ τὸν τῆς Αὐλικώμιδος, οὐκ οἶδα
2 νὴ τοὺς θεούς· Σώστρατος δ' οὐκ ἔσχε κατὰ Σωσθένην Τσμίνην οἰνοχοεύουσαν, ὅθεν ἠττᾶται Σωσθένους, καί μου τὸ κηρύκειον τοῦ δεσπότου τοσοῦτον

φιλοτιμότερον, ὅσον καὶ δυστυχέστερον. Μετὰ γοῦν 3
δὴ τὰς ἐν τῇ τραπέζῃ τρυφὰς καὶ τὸ τοῦ ξυμποσίου
πολυτελὲς καὶ λίαν φιλότιμον Ῥοδόπη κιρνᾷ κρατῆρα
τῆς ἑορτῆς. Ὁ μὲν οὖν δὴ κήρυξ καὶ τῇ τύχῃ δεσπό-
325 της ἐμὸς ἐφ' οὕτω πολυτελοῦς τραπέζης ἀνακεκλιμέ-
6 νος λαμπρῶς ἔπινεν, ὡς οἶμαι, μεθ' ἡδονῆς, ἐγὼ δ'
ὁ ποτὲ κήρυξ, ὁ λαμπρᾶς ἐπανακεκλιμένος τραπέζης,
ὁ τῷ Σωσθένει φιλοτίμως φιλοφρονούμενος, ὁ τὴν
Ὑσμίνην ἔχων οἰνοχοεύουσαν, ἣν καὶ μόνον ἰδεῖν εὐτυ-
10 χές, ἔργα τὰ τῶν δούλων ὑπέχω καὶ ὅλος δοῦλός εἰμι·
καὶ εἰ μὴ κατελύετο τὸ ξυμπόσιον, τάχ' ἂν ὅλος ὑπ' 4
ἄλγους κατερράγην αὐτός. Ἀλλ' ὁ κήρυξ ἀναστὰς
τῆς τραπέζης ἐπὶ τὸ δωμάτιον γέγονε, καὶ περὶ κλί-
νην λαμπρὰν μαλακῶς ἀνακέκλιται, ἅαν κάμοί ποτε
15 Σωσθένης ὑπέστρωσεν.

Ἡ τοῦ Σωστράτου θυγάτηρ κατὰ τὴν ἐμὴν Ὑσμί- 4
νην ἦκε τοὺς πόδας ἐκπλῦναι τοῦ κήρυκος, καὶ τρεῖς
παιδίσκαι παρείποντο καθυπηρετοῦσαι τῷ λειτουργή-
ματι. Ἔνιπτε μὲν οὖν ἡ Ῥοδόπη, ἐγὼ δὲ τὰ περὶ 2
20 τοὺς ἐμοὺς ἀναλογιζόμενος πόδας ἔκ τε χειρῶν καὶ
χειλέων τῆς ἐμῆς ἐκείνης Ὑσμίνης χαριεντίσματα
πνεῦμά τι μέγα καὶ λίαν ὀδυνηρὸν ἐξ ἐμῶν μέσων
326 ἐγκάτων ἀνέσπασα καὶ δακρύων ἐπληρώθην τοὺς
ὀφθαλμούς· καὶ θεραπαινὶς ἡ τῶν ποδῶν τὸ μάκτρον 3
25 ἀνέχουσα πρὸ χειρῶν μικρὸν ὑπεστέναξεν, ὥσπερ
μιμουμένη τὸ τῆς ἠχοῦς ὑστερόφωνον, καὶ οἷον Ὑσμίνη
λεπτὸν ὑπεστέναξεν, ὅτε τῷ ποδί μου τὸν πόδα ταύ-
της ἐπὶ τῆς τοῦ Σωσθένους τραπέζης ἐπέθλιψα. Εἶδον
οὖν ἀτενῶς εἰς αὐτὴν καὶ νὴ τὴν Ἀφροδίτην τὴν
30 Ὑσμίνην ἐδόκουν ὁρᾶν· ἡ δ' ἀντέβλεπεν ἀτενέστερον.

Ἐπεὶ δ' ἡ τοῦ Σωστράτου θυγάτηρ ἀπονιψαμένη 5
τοὺς πόδας τοῦ κήρυκος ᾤχετο, καὶ αἱ θεραπαινίδες

παρείποντο,. ξυνῴχετο ταύτῃ καὶ ἦν ὡς Ὑσμίνην
2 ἑώρων αὐτός. Ἐγὼ δ' ὅλην τὴν νύκτα κατετυραννού-
μην τοῖς λογισμοῖς "ἆρ' ἦν Ὑσμίνη;" λέγων πρὸς
ἐμαυτόν· "ἀλλ' ἐκ χειρῶν ἀπεσπάσθη τούτων ἐμῶν,
καὶ χερσὶ κυβερνήτου δημίου πρὸ τούτων ἐμῶν ἐλεει-
3 νῶν ὀφθαλμῶν ἐξεσφενδονήθη τοῖς κύμασιν. Ἀλλὰ
Ζεύς, ἀλλ' Ἔρως τὴν κόρην ἐρρύσαντο, καὶ πάντως
ἔχει ταύτην Αὐλίκωμις· οὐδὲ γὰρ ἐπὶ κακῷ καὶ δου-
4 λείᾳ ταύτην ἐσώσαντο." Ταῦτα κατ' ἐμαυτὸν ἔλεγον
καὶ ὅλην αὐτὴν ἀνεπλαττόμην τῷ νῷ καὶ λογισμοῖς
ποικίλοις ὅλην τὴν νύκτα παραμετρούμενος τῆς στρω-
μνῆς ἀνέστην, μηδὲ μέχρι βλεφάρων τοῖς ὕπνοις
σπεισάμενος.

6 Ἡμέρα γοῦν καὶ τοῖς κατὰ νύκτα κακοῖς μεῖζόν
μοι προσεπιτίθεται τὸ κακόν, καὶ κατὰ διαδοχήν μοι
τὸ δυστυχές. Πάλιν Ὑσμινίας ἐγὼ τὰ τῶν δούλων ὑπέ-
χω καὶ πάλιν δουλεύω καὶ ὅλος δοῦλος καὶ τρίδουλος·
δοῦλος Ὑσμίνης ἐξ Ἔρωτος, δοῦλος λογισμῶν ἐκ τῶν
2 ὀφθαλμῶν καὶ δοῦλος ἐκ τύχης τοῦ κήρυκος. Τράπεζα
καὶ πάλιν πολυτελής, καὶ πάλιν ὁ κήρυξ τῷ Σωστράτῳ
ξυνανακλίνεται· καὶ πάλιν Ῥοδόπη κιρνᾷ, καὶ πάλιν
κατ' ἐμῆς ψυχῆς ἡ μνήμη στρατεύεται καὶ ταύτην
ὅλην πολιορκεῖ καὶ πρὸς τὴν Αὐλίκωμιν ἄγει [καὶ]
πρὸς τὴν Ὑσμίνην μεθέλκεται καὶ ὅλον ἀναπλάττει
μοι τὸ κηρύκειον.

7 Ἐν μέσοις [δὴ] τούτοις τῇ δεσπότιδι ἡ παιδίσκη
καὶ πάλιν ὑπηρετεῖ, καὶ πάλιν ἐγὼ τὴν παιδίσκην
ὁρῶ, καὶ πάλιν τὴν Ὑσμίνην βλέπειν δοκῶ· ἡ δ'
ἀτενέστερον ἀντιβλέπει μοι καὶ τοὺς ὀφθαλμοὺς πλη-
2 ροῦται δακρύων. Ἐγὼ δ' ὑπεκστὰς τῆς τραπέζης
δάφνῃ παρακαθίζω ξυνηρεφεῖ (ἐγγὺς γὰρ παραδεί-
σου τὰ τῆς τραπέζης ὁ Σώστρατος ἡτοιμάσατο) καὶ

δακρύων τοὺς ὀφθαλμοὺς πληρωθεὶς καὶ βύθιον στενάξας ἐλεεινὸν "φεῖσαί μου, Ζεῦ" εἶπον· "στῆσόν μου τὴν μακρὰν πλάνην, τὸν βαρύν μοι κλύδωνα καταπράυνον. Ἰδού με καὶ πάλιν καταπαίζουσιν οἱ δαί- 3
μονες· πλάττουσι τὴν Ὑσμίνην, κοσμοῦσιν ἐρωτικῶς, ἱστῶσί μου κατὰ μέτωπον καί με κατατυραννοῦσι καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς λογισμοῖς." Ταῦτ' ἔλεγον 4
καί τις ἐπιστᾶσά μοι παιδίσκη φησὶν "ἐξ Ὑσμίνης παρθένου σῆς ἐρωμένης καὶ νῦν ἐμῆς ὁμοδούλου τοῦτό σοι τὸ ἐπιστόλιον," καί μου τῇ χειρὶ παραθεῖσα δρομαίως ᾤχετο. Τοῦτο δ' ἐγὼ λαβὼν ἀνέπτυξα ξύντρομος· τὸ δ' εἶχεν οὕτως

333 ΤΣΜΙΝΗ ΠΑΡΘΕΝΟΣ ΤΣΜΙΝΙΑι ΤΩι ΕΡΑΣΤΗι 8
ΧΑΙΡΕΙΝ.

*Ὑσμινία Θεμιστείδη, ἴσθι ὡς Ὑσμίνην τὴν σὴν δελφὶν Θαλάττης ἐρρύσατο, καὶ πηγὴ καὶ τόξον Ἀρτέμιδος, παρθένου θεᾶς, παρθένον σοι ταύτην παρεφυλάξαντο· σὺ δὲ μὴ λήθην νοσήσῃς μήτε τῶν ἐπ' Αὐλικώμιδος, τῆς ἐμῆς πατρίδος, πολ- 2
λῶν χαρίτων ἐρωτικῶν, μήτε τῶν ἐπ' Εὐρυκώμιδος, πατρίδος τῆς σῆς, μήθ' ὅτι διὰ σὲ καὶ πατρίδος καὶ τεκόντων καὶ τῶν κατ' οἶκον λαμπρῶν πάντων κατεφρόνησα, Θαλάττης καὶ κυμάτων κατετόλμησα, διὰ σὲ Θανάτου γευσαμένη πικροῦ καὶ 3
τέλος αἰχμάλωτος καὶ δούλη νῦν, ὡς ὁρᾷς, καὶ ἐπὶ πᾶσι τὴν παρθενίαν ἀπαρεγχείρητος· καὶ νῦν ὁμόδουλος ἐπὶ Δαφνήπολιν ξυνεκπλεύσω σοι. Ἔρρωσο, καὶ τὰς ξυνθήκας ἀπαρεγχειρήτους τηρῶν σωφρόνως ἀντιπαρθένευε.*

*Οὕτω μὲν οὖν εἶχε τὸ ἐπιστόλιον, οὗ πιστεύειν 9
τοῖς γράμμασιν οὐ ξυνεχωρούμην τοῖς πράγμασι, καὶ τοῖς πράγμασι πιστεύειν ἐθέλων οὐ ξυνεχωρούμην τοῖς γράμμασι· τὸ μὲν γὰρ δὴ γράμμα πείθειν ἐμά-*
334 *χετο τὴν παιδίσκην Ὑσμίνην εἶναι καὶ τῆς Ὑσμίνης τὸ ἐπιστόλιον· ὅλον γὰρ δρᾶμα τὸ καθ' ἡμᾶς ἀνεπλάττετο· τὸ δὲ τοῦ πράγματος καινὸν καὶ ὑπέρμεγα οὐ ξυνεχώρει μοι πιστεύειν τῷ γράμματι. Διὸς οὖν καὶ 2*

τρὶς τὴν ἐπιστολὴν ἀναγνοὺς καὶ ὅλην καταφιλήσας αὐτὴν ἐξανέστην τῆς δάφνης, καὶ περὶ τὴν τράπεζαν γεγονὼς τὴν ὡς Ὑσμίνην παιδίσκην ἀτενέστερον ἔβλεπον καὶ ὅλην περιεργαζόμην αὐτήν· ἡ δ' ἀντιβλέπουσα τοὺς ὀφθαλμοὺς ἐπληροῦτο δακρύων.

10 Καὶ οὕτω κατελύετο τὸ ξυμπόσιον. Καὶ κήρυξ ὁ δεσπότης ἐμὸς ξὺν δούλοις ἡμῖν ἐπὶ τὸ δωμάτιον γέγονεν, Ὑσμίνη δ' ὡς δούλη τῇ Ῥοδόπῃ ξυνείπετο·
2 καὶ οὕτω πάλιν ἀπ' ἀλλήλων ᾠχόμεθα. Καὶ πάλιν πυκνοὶ λογισμοὶ τὴν ψυχήν μου κατεμερίζοντο, καὶ πάλιν ἀναπτύξας τὸ γράμμα κατὰ Λάκαιναν κύνα καὶ νοῦν καὶ λέξιν ἀνώρυττον καὶ ὅλον κατιχνηλάτουν
3 τὸ ἐπιστόλιον. Ὁ μὲν οὖν δὴ κήρυξ καὶ δεσπότης ἐμὸς ἀνακεκλιμένος κλίνῃ λαμπρᾷ καὶ μαλακῶς ἐσταλμένῃ καὶ ὅλος κατὰ κήρυκα ὢν καὶ μέχρι κλίνης αὐ- 337
τῆς τοῖς ὕπνοις ἐσπείσατο· ἐγὼ δὲ ξὺν ὁμοδούλοις κατὰ δοῦλον ἀνακλιθεὶς κατὰ γῆν τοῖς λογισμοῖς οὐ ξυνεχωρούμην ὑπνοῦν, καὶ ἦν μοι τὰ τῆς νυκτὸς ὡς ἡμέρα πρὸς ὕπνον καὶ γρήγορσιν.

11 Τῇ δ' ὑστεραίᾳ ὅλον ὁ κήρυξ περιθέμενος τὸ κηρύκειον καὶ ὅλος κήρυξ γενόμενος ἐπὶ τὸ ἱερὸν ἐγένετο τῆς Ἀρτέμιδος· ἐγὼ δὲ περὶ τὸ δωμάτιον καταλέλειμμαι, καὶ τῇ πύλῃ παρακαθίσας καὶ τὴν ἐπιστολὴν ἀναπτύξας ὅλους τοῖς γράμμασι κατεπεπήγειν τοὺς ὀφθαλμοὺς καὶ ὅλον τὸ γράμμα τοῖς δάκρυσιν
2 ἔπλυνον· ἡ δὲ τοῦ Σωστράτου θυγάτηρ Ῥοδόπη περὶ τὸν κῆπον γενομένη (πρὸ γὰρ τῆς πύλης ἦν, ᾗ παρεκαθήμην αὐτὸς) καί με βρεχόμενον ἰδοῦσα τοῖς δάκρυσι καὶ οἷον κατελεήσασα "τί πάσχεις, τέκνον;" φησίν. Ἐγὼ δ' "οὐδὲν ἄλλο, δέσποινα" πρὸς αὐτήν," ἢ δοῦλος ἐξ ἐλευθέρων εἰμί, καὶ δούλιον ἦμαρ
3 βλέπων πάσχω κακῶς." Ἡ δέ μοι καὶ γένος ἐξήτει

μαθεῖν καὶ πατρίδα καὶ ὅπως δοῦλος ἐξ ἐλευθέρου γεγένημαι. Κἀγὼ πρὸς αὐτὴν "ἀλλὰ προτρέχει μοι τῆς φωνῆς ὀδυρμὸς καὶ προπηδᾷ τοῦ λόγου τὸ δάκρυον, δέσποινα, καὶ κατεπικλύζει μου τὴν γλῶτταν καὶ κατακλυδωνίζει μου τὴν ψυχὴν καὶ ὅλην ἐπέχει μου τὴν φωνήν· καὶ θέλει μὲν ἡ γλῶττα λαλῆσαι καὶ τὸ ξυμβὰν διηγήσασθαι, ἐπέχεται δὲ ὑπὸ τῆς πικρίας, τῷ γὰρ τοῦ πάθους τυραννεῖται δεσμῷ. Εἰ γὰρ τὴν ἐν κακῷ τύχην ἐθέλεις ἰδεῖν, ὅλος ἐν σώματί σοι παρίσταμαι, ὅλον ἐνδεδυμένος τὸ δυστυχές, καὶ πρὸς ὅλην ἀπευκταίαν τύχην μεταπλασθεὶς καὶ στήλη δυστυχίας γενόμενος."

Ἡ δέ γε Ῥοδόπη μᾶλλον ἐξήτει τὰ κατ' ἐμὲ καὶ οἷον κατεδυσώπει ταῦτα μαθεῖν. Κἀγὼ πρὸς αὐτὴν "Εὐρύκωμίς μοι πατρίς, πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια, τἆλλα μὲν εὐτυχεῖς, πλὴν ἐμοῦ τούτου παιδός, ὃν Ἔρως καὶ Τύχη καὶ Ποσειδῶν ἐξ εὐτυχοῦντος δυστυχῆ, δοῦλον ἐξ ἐλευθέρου καὶ τρίδουλον ἀντὶ κήρυκος φέρουσι. Διασίων καιρὸς καὶ κήρυξ ἐγώ, καὶ κήρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν. Ὅπως μὲν οὖν με κατέπαιζε τὸ δαιμόνιον, λαμπρὰς μοι προπομπὰς ὑφαῖνον καὶ θριάμβους πολυτελεῖς, περιττὸν ἂν εἴη καὶ λέγειν. Κήρυξ ἐς Αὐλίκωμιν ἥκω, καὶ τῷ Σωσθένει φιλοφρονοῦμαι, ἀνδρὶ τὰ πρῶτα τῶν ἐπ' Αὐλικώμιδος φέροντι. Τῷ δ' ἦν παρθένος θυγάτηρ, μαίευμα Χαρίτων, Ἀφροδίτης κεστός, δέλεαρ ἐρωτικὸν καὶ παγὶς Ἔρωτος ἄφυκτος. Ταύτῃ δὴ ταύτῃ τῇ θυγατρὶ τοῦ Σωσθένους ὅλῃ ξυνανεκράθην ἐρωτικῶς, κἂν οὐδέν τι τῆς παρθενίας ἐλυμηνάμεθα. Γάμον ἕτερον ὁ πατὴρ κηρύττει τῆς θυγατρός, ὃν δὴ μηδὲ μέχρις αὐτῆς ἀκοῆς ἀνεχόμενοι φεύγομεν καὶ τὸν γάμον ὠνούμεθα. Ναῦς ὑπηρετεῖ τῇ φυγῇ,

καὶ Ποσειδῶν ἐν κλύδωνι καὶ χὰρ κακοῦ κυβερνήτου
τὴν καλὴν ἐκείνην παρθένον ἁθλίων τούτων ἁρπάζει
χειρῶν."

13 Ταῦτ' εἶπον καὶ ὅλος ὀλιγωθεὶς τὴν ψυχὴν καὶ
ὅλος ἄφωνος γενόμενος κατὰ γῆν ἔλεειν ὡς ἐπεπτώκειν· 5
αἱ δὲ περὶ τὴν Ῥοδόπην περιχυθεῖσαί με καὶ ὅλον
ξυσχοῦσαί με καὶ περὶ τὸ δοράτιον ἁρμοσθεῖσαί με
περὶ τὴν τοῦ δεσπότου μου κλίνην τοῦ κήρυκος ἀπε- 3ε
2 κλίνουσι· καὶ ἡ Ῥοδόπη τῇ κλίνῃ παρακαθίσασα ἅπτε-
τό μου τῶν χειρῶν, ἐπεμάττετο τοὺς ἱδρῶτας, ἐδά- 10
κρυεν, ὅλον ἐκοινοῦτό μοι τὸ δυστύχημα, τὴν ψυχὴν
ἀνεκτᾶτό μου τὰς ῥίνας μυσζουσα, ἠγράν μοι χεῖρα
κατεπετίθει τῷ στέρνῳ καί μοι τὸ περικάρδιον ἔψυχε.
3 Καὶ τέλος τὰς θεραπαινίδας καταβοησάμενος πλὴν
τῆς ὡς παιδίσκης Ὑσμίνης, καὶ ὅλον ξυναγαγοῦσά 15
με κατεφίλησε καὶ φιλήσασα δακρύων ἐπλησθη τοὺς
ὀφθαλμοὺς καὶ στενάξουσα βύθιον "ὦ Τύχη" φησὶ
4 "μεταπλάττουσα τὰν βίῳ καὶ φύσεις ἀλλάττουσα· ὦ
παῖ Διός, τύραννε Ἔρως, ψυχὰς κατατυραννῶν, τὸ
ἐλεύθερον ἀφαιρούμενος καὶ τὴν δουλείαν ἀντιδι- 20
δούς," καί μου τὴν κλῆσιν ἐξήτει μαθεῖν· ἐγὼ δ'
ἀλλ' "ὦ δέσποινα, καὶ ταύτην τὸ δαιμόνιον προσαφ-
5 ῆρηται· οὐδὲ γὰρ οὐδ' αὐτῆς ἐφείσατό μοι τῆς κλή-
σεως, ἀλλ' ὡς ἐξ ἐλευθέρου δοῦλον εἰργάσατο καὶ
τὸ πικρὸν τῆς δουλείας τοῦτῆς ἐλευθερίας ἀντιδέδωκε 25
μέλιτος καὶ σκότος φωτὸς ἀντεισήγαγεν, οὕτω καὶ 345
κλήσεως Ἑλληνικῆς βαρβαρικήν μοι κλῆσιν ἀντεπιτέ-
θεικεν, Ἀτράκην ἀνθ' Ὑσμινίου μετακαλέσαν με·
καὶ νῦν ὅλος δοῦλός εἰμι καὶ κλήσει καὶ πράγματι."
14 Ταῦτ' εἶπον καὶ τὴν ὡς παιδίσκην Ὑσμίνην 30
ὁρῶ ὅλην καταθρηνοῦσαν καὶ ὅλην καταδακρύουσαν.
Καὶ ἡ Ῥοδόπη "τί πάσχεις, παιδίσκη;" φησίν. Ἡ δ'

"αὐτοκασίγνητός μοι" φησὶν "ὁ νεανίσκος, ὦ δέσποινα," καὶ περιπλακεῖσά με κατεφίλει καὶ ὅλον με ξυνεπλέκετο. Κἀγὼ δ' ἀντεφίλουν περιπλακεὶς "Τσμίνη" λέγων "κασίγνητε," ἡ δ' "αὐτοκασίγνητε," καὶ πάλιν ἐφίλει με. Μόλις οὖν ἡμεῖς ἀλλήλων ἀπηλλάγημεν, τὸ πλάσμα πιστούμενοι· καὶ ἡ Ῥοδόπη ξυνανεπλάκη μοι καὶ κατεφίλησε λέγουσα "φιλῶ σε τῆς στοργῆς, καὶ τῆς φιλαδελφίας ἀσπάζομαι." 2

Παιδίσκη δέ τις περὶ τὸ δωμάτιον γενομένη φησὶ 3
"σὸς πατήρ, δέσποινα, Σώστρατος καὶ κήρυξ δεσπό-
346 της τοῦδε τἀνδρὸς ἐπανήκουσι τοῦ βωμοῦ." Ἡ μὲν οὖν Ῥοδόπη περὶ τὸν κῆπον ἐγένετο, τῆς ὡς ἐμῆς ἀδελφῆς Τσμίνης καὶ δούλης αὐτῆς ἑπομένης δουλοπρεπῶς. Ἐκ δὲ τῆς κλίνης ἐγὼ κατὰ γῆν καὶ κατὰ λίθους, ὡς εἰκός, κατακέκλιμαι.

Ἦκεν ὁ δεσπότης, ἀνέστην ἐγώ· καὶ ὁ μὲν τὰ 15
τῶν δεσποτῶν, ἐγὼ δὲ τὰ τῶν δούλων ὑπέχω. Τράπεζα καὶ πάλιν πολυτελής, καὶ πάλιν ὁ κήρυξ καὶ δεσπότης ἐμὸς ἐπὶ τὴν τράπεζαν, καὶ πάλιν ὑπὸ τὸν δεσπότην ὁ δοῦλος ἐγὼ καὶ ὅλος ὑπὸ τὸν κήρυκα. Καὶ πάλιν ἡ Ῥοδόπη κιρνᾷ, [καὶ] πάλιν ἐγὼ τῇ δάφνῃ παρακαθίζω. Καὶ χαίρω μὲν τὴν Τσμίνην ὡς Τσμίνην ὁρῶν, 2
ἀλλ' ὀδυνῶμαι τὴν ψυχὴν καὶ ὅλον πολιορκοῦμαι τὸν νοῦν καὶ λογισμοῖς ποικίλοις καταμερίζομαι, οἷς μέσοις ἡ τοῦ Σωσθένους θυγάτηρ, ἡ τῆς Ῥοδόπης ἐκ τύχης δούλη κἀμοῦ δεσπότις ἐξ ἔρωτος καὶ νῦν ἐκ πλάσματος ἀδελφή, Τσμίνη, τὸ φῶς μοι τῶν ὀφθαλμῶν, ἣν ἐμοὶ Ἔρως ἐδουλογράφησεν εἰς Ἀρτύκωμιν, ἧκει περὶ
349 τὴν δάφνην, ἐγγύς μου παρακαθίζει, ἀνυποστόλως φιλεῖ, φιλοῦσα γελᾷ καὶ γελῶσά φησιν "ὡς ἀδελφόν σε φιλῶ καὶ ὡς ἐραστὴν περιπλέκομαι· ἀλλ' 3
οὐκ ἐμόν σοι τοῦτο τὸ φίλημα· οὐχ ὡς ἐξ ἐρωμένης

ἐμοῦ πρὸς ἐμὸν ἐραστὴν οὐδ' ὡς ἐξ ἀδελφῆς πρὸς κασίγνητον, ἐκ δούλης δὲ πρὸς δεσπότιδος ἐραστήν.
4 Ἐρᾷ σου Ῥοδόπη, δεσπότις ἐμή· μαστροπὸς ἐγώ, καὶ ἐπιστολιμαῖον τὸ φίλημα· σὺ δέ μοι μὴ τύχαις ἀντιμετρήσῃς τὸν ἔρωτα, μὴ τὴν ἐλευθερίαν μεταδιώκων τῷ τῆς ἐλευθέρας Ῥοδόπης ἔρωτι δουλωθῇς, μὴ δουλωθῇς τὴν ψυχὴν φεύγων δούλωσιν σώματος, μή μου τῆς σῆς Ὑσμίνης ἀποβουκολήσῃς τὸν ἔρωτα· εἰ γάρ μου τὸ τοῦ προσώπου κάλλος ἀπερρύη κατὰ ῥόδον Λοκρόν, ἀλλά μοι τὸ τῆς παρθενίας κάλλος ἀμάραντον· κἂν δουλεύω τῷ σώματι, κατ' οὐδὲν τῆς ψυχῆς ἐλυμηνάμην τὸ ἐλεύθερον· εἰ δὲ καὶ δούλη διὰ σὲ καὶ πρὸ δούλης αἰχμάλωτος καὶ πρὸ τῆς τῶν βαρβάρων χειρὸς ἐξεσφενδονήθην εἰς θάλατταν, οὐ τῆς ἐμῆς ἂν εἴη γλώττης ταῦτα λαλεῖν."
16 Ταῦτά μοι περιπαθῶς Ὑσμίνη ξὺν δάκρυσιν ἔλεγεν· ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη" καὶ λέγων ἐφίλησα καὶ φιλήσας ἐδάκρυσα καὶ δακρύσας "Ὑσμίνη" πάλιν φημί, "δοῦλος ἐγὼ διὰ σέ· καὶ χαίρω κοινούμενός σοι τὸ δούλιον, ὅτι σοι καὶ τὸ ἐλεύθερον ἐκοινωσάμην ἐρωτικῶς· καὶ δοῦλος ξὺν Ὑσμίνῃ θανεῖν εὐξαίμην ἢ μετὰ Ῥοδόπης ἐλεύθερος ἀπαθανατίζεσθαι. 2 Τίς δέ σε βυθοῦ καὶ θαλάττης ἀνήγαγε; τίς σε περὶ ταυτηνὶ μετήγαγε τὴν Ἀρτύκωμιν;" Ἡ δ' ἀλλ' "οὐ τοῦ νῦν ἐστι ταῦτα καιροῦ· Ὑσμίνη δ' ἐγὼ καὶ ζῶσα, κἂν αἰχμάλωτος διὰ σὲ καὶ δούλη νῦν, ὡς ὁρᾷς· 3 ἡ δέ μου δεσπότις, κἂν δεσπότις ἐστίν, ἀλλ' ἔπαθεν ἐρωτικῶς καὶ δούλη σοι πρὸς ἔρωτα γέγονε καί μοι τὰ τοῦ πάθους θαρρεῖ, δούλης Ὑσμίνης σε τὸν ἀδελφὸν Ὑσμινίαν ἐρωτικῶς ζητοῦσα· καὶ δεσπότις οὖσα δουλεύει τοῖς Ἔρωσι."
17 Ταῦτ' εἶπε καὶ πάλιν ἐφίλει με καὶ πάλιν "οὐκ

353 ἐμά σοι ταῦτα" φησὶ "τὰ φιλήματα, Ῥοδόπης δὲ τῆς ἐμῆς δεσποίνης, ᾗ δουλοπρεπῶς καθυπηρετῶ, διακομίζω σοι τὰ φιλήματα." Κἀγὼ πρὸς αὐτὴν "ὄντως Ὑσμίνη μοι σύ· καταφιλῶσου τὰ χείλη, κἂν ὁμοδούλου, κἂν ἀδελφῆς, κἂν ἐρωμένης ὦσι· καὶ φιλῶ τὰ φιλήματα, πλὴν οὐχ ὡς Ῥοδόπης φιλήματα, ἀλλ' ὡς ταύ- 2
της [τῆς] Ὑσμίνης, ἣν μοι Ζεὺς ἐμνηστεύσατο, ἣν βασιλεὺς Ἔρως παρέθετό μου ταύτῃ τῇ δεξιᾷ, ἣν Ποσειδῶν ἀπεσπάσατο, καὶ νῦν πάλιν Ἔρως ἀντιπαρατίθησι βασιλεύς. Ῥοδόπη δ' ἐρρέτω καὶ ὁ Ῥοδόπης ἔρως καὶ εἴ τινα παρθένον ἄλλην ἐν Ὑσμινίᾳ τούτῳ τῷ σῷ καταπαίζουσιν Ἔρωτες."

Ἡ δέ μοί φησι "κἂν μὴ φιλῇς, κἂν ἀπαναίνῃ τὸν 18
ἔρωτα, κἂν τὰς ξυνθήκας τηρῇς, ἀλλὰ πλάττου μοι τὸν φιλοῦντα καὶ τὸν ἐραστὴν ὑποκρίνου μοι· καὶ ἴσως οὐκ εἰς κενὸν ἡμῖν οὐδ' ἀσυντελῆ τὰ τοῦ πλάσματος προσγενήσεται· εἰ μὴ γὰρ οὐδὲν ἕτερον, ἀλλ' ἀνυποστόλως, ὡς δούλῃ, ξυνομιλήσω σοι, ὡς ἀδελφῇ
354 ξυμπλακήσομαι καὶ ὡς μαστροπὸς διακομίσω σοι τὰ φιλήματα." Ἐγὼ δὲ πρὸς αὐτὴν "ὡς οὐ καταψεύσο- 2
μαί σου τὸν ἔρωτα καὶ τὰς πολλὰς ἐκείνας ξυνθήκας ἀπαρεγχειρήτους παραφυλάξομαι, θεοὶ ἐπιμάρτυρες ἔστων· ἰδοὺ δὲ καθυπηρετῶ σοι τῷ πλάσματι καὶ τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν δὲ σὸν ἐραστὴν ὑποπλάττομαι καὶ τὸν τῆς Ῥοδόπης ἐραστὴν καταπλάττομαι. Σὺ δὲ διακόμιζέ μοι φιλήματα καὶ εἴ 3
τι τούτων ἐστὶν ἐρωτικώτερον ἕτερον· ἐγὼ δ' ἐν σοῖς τούτοις χείλεσι καὶ ὅσοις ἄλλοις τρυγᾶται βότρυς ἐρωτικὸς τὴν Ῥοδόπην φιλήσω καὶ ὅλην ταύτην κατατρυγήσω τὴν ἄμπελον, τῆς σῆς ταύτης Ὑσμίνης τὴν παρθενίαν φυλάττων ἀσύλητον καὶ μέχρι φιλημάτων ἀπαρεγχείρητον." Καὶ περιπλακεὶς καὶ ὅλην τὴν

Ὑσμίνην καταχιλῶν" οὐ σοὶ ταῦτα" λέγω" δίδομι τὰ φιλήματα. τῇ δὲ σῇ δεσποίνῃ Ῥοδόπῃ τοῖς σοῖς τούτοις χείλεσι μεταπέμπομαι."

19 Ἡ δ' ὡς μετακομίσουσα τῆς δάφνης ἀπέδρα- 357
με καὶ περὶ τὴν Ῥοδόπην ἐγένετο καὶ ἦν καταν-
θυρίζουσα. Κἀγὼ τῆς δάφνης ἀνέστην, πρότερον καταμακαρίσας αὐτήν, δάφνην ὁρμαίζων ὄντως χρυσῆν, Ἀπόλλωνος σπέρμα, ὠδίνημα γῆς, μνῆμην Ἀφρο-
2 δίτης καὶ παραμυθίαν Ἔρωτος. Ἡ μὲν οὖν Ῥοδόπη τὴν Ὑσμίνην εἶχε μέσον ὅρον πρὸς ἔρωτα καὶ μέσῃ ταύτῃ ξυνάγειν ἐδόκει τὸν ἔρωτα, ἐγὼ δ' ὅλον ἔρωτα εἶχον αὐτῆς, καὶ περὶ μέσην μου τὴν ψυχὴν τὸν τῆς Ὑσμίνης ὅλον ξυνήγαγον ἔρωτα.

20 Οὕτω μὲν οὖν μοι τὰ τῆς τραπέζης εἶχεν ἐρωτικῶς, καὶ οὕτω κατελύετο τὸ ξυμπόσιον. Καὶ κήρυξ μὲν ὁ δεσπότης ἐμὸς περὶ τὸ δωμάτιον γέγονε καὶ ἦν ἀνακεκλιμένος καὶ τοῖς ὕπνοις ὡς ἐκ πολυτελοῦς τρα-
2 πέζης εὐθὺς κατεσπένδετο. Ἐγὼ δὲ περὶ τὸν κῆπον ἐγεγόνειν· καὶ πάλιν Ὑσμίνη καθυπηρετεῖ τῇ δεσποίνῃ πρὸς ἔρωτα, καὶ πάλιν ἦκε περὶ τὸν τῆς δεσπότι- 359
δος ἐραστήν· πάλιν τὸν ἀδελφὸν περιπλέκεται, πάλιν φιλεῖ, πάλιν μαστροπεύει, πάλιν διακομίζει φιλήμα- 358
3 τα. Κἀγὼ δ' ἀντιφιλῶ, περιπλέκομαι, τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν τῆς Ῥοδόπης ἐραστὴν κατασχηματίζομαι, καὶ ἀντιπέμπω φιλήματα, τὴν Ὑσμίνην ὡς δούλην ὑπηρετοῦσαν ἔχω καὶ ὅλον φανερῶς καθυποκλέπτω τὸν ἔρωτα.

21 Ἡ δέ μοί φησιν "ἐκ Ῥοδόπης δεσποίνης ἐμῆς τοῦτό σοι τὸ ἐπιστόλιον" καὶ τῇ χειρί μου παρέθετο· ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη, σὲ μόνην δεσπότιν ἐξ Ἔρωτος κέκτημαι· σοῖς μόνοις ἔρωσι πέπεμαι, σοὶ γραφίδι δεδουλογράφημαι καὶ δοῦλος Ἔρωτος γίνο-

μαι, καί μοι τὸ δουλογραφεῖον γλυκύπικρον, ἀναπόνιπτον· σοὶ νίτρῳ τὸ κηρύκειον ἀπονένιμμαι· σοὶ τοιχωρύχῳ τὴν παρθενίαν ὅλην ἀποσεσύλημαι· ἐλεπόλει σοὶ τὴν πατρίδα πᾶσαν ξὺν αὐτοῖς τοκεῦσιν ἀφῄρημαι· τοίνυν αἰχμάλωτος καὶ δοῦλος νῦν, ὡς ὁρᾷς· ἃ πάντα χαίρω πάσχων, ὅτι σε τὴν ἐμὴν Ὑσμίνην Ἔρως μοι πάλιν ἐξ Ἅιδου καινῶς ἀνεσώσατο. Τὸν δέ γε πρὸς Ῥοδόπην ἔρωτα καὶ μέχρι πλάσματος ὀκνῶ καὶ σκηνῆς· σοὶ γάρ, Ὑσμίνη, μόνῃ καὶ χάρισι σαῖς ὅλους ἐχαρισάμην τοὺς ὀφθαλμούς." Ἡ δέ μοί φησι "κἂν ἔρωτος γέμῃ σοι τὰ φιλήματα, κἂν ὡς σίμβλον φέρῃς τὸ στόμα, κἂν στάξῃ μοι μέλιτος, ἀλλ' οὐ γλώττῃ μόνῃ τὸν ἔρωτα σέβομαι, ὅτι καὶ κέρδος μισῶ ξημίας μοι πρόξενον· σὺ μὲν γὰρ ἐκ κήρυκος κἀξ ἐλευθέρου δοῦλος καὶ δυστυχής· ὅτι δὲ δούλη κἀγώ, τοῦτο πάντως ὁρᾷς· εἰ δ' ἐξ ἐλευθέρων, εἰ δ' ἐξ εὐτυχῶν, σῆς γλώττης ἔσται τοῦτο λαλεῖν. Ῥοδόπη δὲ δεσπότις ἐμὴ καὶ σώζειν δυναμένη καὶ τὴν ἐλευθερίαν ἀποχαρίσασθαι."

Κἀγώ φημι πρὸς αὐτὴν "κἂν φύσει τὸ θῆλυ θερμότερον, κἂν φύσει τρεπτόν, ἀλλὰ κατὰ τὴν τραγῳδίαν ὅταν

ἐς εὐνὴν ἡδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα."

Ἡ δ' ἀλλὰ μικρὸν ὑποσεσηρυῖα τὴν παρειὰν "μακάριόν μοι" φησὶ "τὸ τῶν ἀνδρῶν ἄτρεπτον καὶ πρὸς ἔρωτος θέρμην ψυχρότερον.

Τί δή με λυπεῖ τοῦθ', ὅταν λόγῳ θάνω,
ἔργοις δὲ σωθῶ κἀξενέγκωμαι κλέος;"

I

1 Ταῦτα δὴ ταῦτ' εἶπε περιπαθῶς καὶ περιπλακεῖσά με κατεφίλησεν "Ὑσμινία" λέγουσα, "σῶσον Ὑσμίνην τὴν σὴν καὶ πρὸ ταύτης σὲ τὸν ἐμὸν Ὑσμινίαν," καὶ πάλιν ἐφίλει με καὶ φιλοῦσα κατεδυσώπει με "πείσθητι" λέγουσα "καὶ τὸν ἐραστὴν ὑποκρίθητι, μή μοι δοκῇς ὑποκρίνεσθαι τῷ μὴ θέλειν ὑποκεκρίσθαι τὸν ἔρωτα." Πείθομαι τοίνυν καὶ ἀναπτύσσω τὸ ἐπιστόλιον· τὸ δ' εἶχεν οὕτως

ΡΟΔΟΠΗ ΠΑΡΘΕΝΟΣ ΣΩΣΤΡΑΤΟΥ ΘΥΓΑΤΡΙ ΥΣΜΙΝΙΑι ΤΩι ΕΡΑΣΤΗι ΧΑΙΡΕΙΝ.

Ὑσμινία, ὡς μὲν εὐδαίμων ἐγὼ καὶ πατρίδι καὶ γένει καὶ τοῖς ἄλλοις ὅσοις θεωρεῖται τὸ εὐδαιμον, ἐκ πολλῶν ἔχεις μαθεῖν, μᾶλλον δ' αὐτά σοι παριστῶσι τὰ πράγματα· ὡς δ' ὅλον τὸν τῆς παρθενίας θησαυρὸν καὶ μέχρις αὐτῶν ὀφθαλμῶν ἐφυλαξάμην ἀπαρεγχείρητον, Ἀρτέμιδος πηγὴ καὶ τόξον ἐλεγχός 2 μοι σαφέστατος. Σὺ δὲ καὶ δοῦλος ὢν (ἀλλὰ μή μοι νεμέσα τῷ ῥήματι) πηγαῖς Ἀφροδίτης ὅλην μου κατεπέκλυσας τὴν ψυχὴν καὶ βέλεσιν ἐρωτικοῖς κατετόξευσας· κἂν γοῦν παρθένος ἐγώ, κἂν εὐτυχής, κἂν περίδοξος, ἀλλὰ πάντα ταῦτα σῆς φιλίας ἐρωτικῆς ἀνταλλάττομαι καὶ πατρίδος ταύτης ἐμῆς περιφα- 366
3 νοῦς Ἀρτυκώμιδος τὴν σὴν ἣν οὐκ εἶδον Εὐρύκωμιν, ἐλευθερίαν σοι χαριζομένη ἐξ ἀδροῦ βαλαντίου καὶ χειρὸς ταύτης ἐμῆς, ἣ τὴν ἐπιστολὴν ἐγχαράττει σοι. Ὑσμίνην δέ, παιδίσκην ἐμὴν καὶ σὴν ἀδελφήν, ἐλευθέραν ἔχεις ἐκ τούτου τοῦ γράμματος, τὸν τῆς Ῥοδόπης γάμον δουλείας ἀνταλλαττόμενος. Ἔρρωσο.

3 Οὕτω τοίνυν ἔχουσαν ἀναγνοὺς τὴν ἐπιστολὴν πρὸς τὴν Ὑσμίνην φημὶ "ὅσα σοι δοκεῖ πρὸς χάριν Ῥοδόπης εἰπεῖν, ὡς ἐξ ἐμῆς ταῦτα φάθι φωνῆς. Εἰ δὲ καὶ φιλεῖσθαι ζητεῖ, καταφίλησον, καὶ μετάθου φιλήματα ὅσα τῶν ἐμῶν τούτων χειλέων ἔχεις πολ- 2 λὰ στόματι παρατεθειμένα τῷ σῷ· εἰ δ' οὐ μόνοις ἀρκεῖται φιλήμασιν οὐδ' ἐν χείλεσι παραμυθεῖται τὸν

ἔρωτα, κατα δὲ τὰς τῶν φοινίκων θηλείας πτόρθον ἐξ ἄρρενος φοίνικος περὶ μέσην αὐτὴν ζητεῖ τὴν ψυχήν, καταπράξομαί σοι καὶ τοῦτο τῇ Ῥοδόπῃ διαπεμπόμενος."

Ταῦτα πρὸς τὴν Ὑσμίνην ἐγώ, καὶ πάλιν περι- 4
369 πλακεὶς αὐτὴν κατεφίλησα. Καὶ ἡ μὲν περὶ τὴν Ῥοδόπην ἐξέδραμεν, ἐγὼ δ' εἰσέδραμον περὶ τὸ δωμάτιον καὶ δουλικῶς κατακλιθεὶς περὶ γῆν ἐσπεισάμην τοῖς ὕπνοις, πεισθεὶς τῇ νυκτί. Καὶ πάλιν καθ' ὅλους 2
αὐτοὺς τὴν Ὑσμίνην ἐδόκουν ὁρᾶν καὶ ταύτῃ ξυνέπαιζον· ὥσπερ γὰρ νοῦς πεινῶντος ἄρτον φαντάζεται καὶ ὕδωρ ὄνειροι τῷ διψῶντι, οὕτως ἐρώσῃ ψυχῇ πάντα πρὸς ἔρωτα μεταπλάττεται, καὶ διαλογισμοὶ καὶ τὰ καθ' ὕπνους φαντάσματα. Παρῆκεν ἡ νύξ, 3
ὕπνοι παρείποντο τῇ νυκτὶ καὶ τοῖς ὕπνοις ὄνειροι· καὶ πάλιν ἦκε τὸ φῶς, καὶ τὸ γλυκὺ τῆς ἡμέρας ἐγέλασε· τῆς στρωμνῆς ἀνέστην ἐγώ, περὶ τὸν δεσπότην ἐγενόμην καὶ ἤμην ὑπηρετῶν.

Ἐφίσταται Σώστρατος καί φησιν "ἰδού σοι, κή- 5
ρυξ, πᾶσα πόλις Ἀρτύκωμις πρὸ πυλῶν ξυνεκπλεῦσαι ζητοῦσά σοι πρὸς Δαφνήπολιν· σὺ δέ μοι περιδύθητι τὸ κηρύκειον καὶ ὅλος κήρυξ γενοῦ." Στεφανοῦται
370 τὴν κεφαλὴν ὁ κήρυξ, τῷ χιτῶνι καὶ τῷ πεδίλῳ κατακοσμεῖται, καὶ ὅλον περιθέμενος τὸ κηρύκειον ἔξεισι
τοῦ δωματίου. Καὶ πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν 2
ὀρχεῖται τὸ πλῆθος καὶ τὸν προπεμπτήριον λαμπρὸν ὑφαίνει τῷ κήρυκι, οἷον καὶ τὸν εἰσιτήριον· πολυτελῆ προυξύφηνε· καὶ ἵνα τἀν μέσῳ παρῶ, τῆς νεὼς ἐπιβάντες ἐκεῖθεν ἀπέβημεν καὶ περὶ τὴν Δαφνήπολιν
ἐγενόμεθα.

Ὁ μὲν οὖν δὴ κήρυξ καὶ δεσπότης ἐμὸς ξὺν τοῖς 6
ἐξ Ἀρτυκώμιδος ξυνεκπλεύσασιν ἐπὶ τὸν τοῦ Δαφνίου

βωμὸν κατὰ τὸ εἰθισμένον τοῖς κήρυξι γέγονεν· ἐγὼ
δὲ ξὺν ὅσοι τῷ κήρυκι ξυνεπλεύσαμεν περὶ τὴν οἰκίαν
2 τοῦ δεσπότου γεγόναμεν· καὶ πάλιν ἡ δεσπότις ἐπ'
ἐμὲ τὸν δοῦλον οἰστρηλατουμένη καὶ οἷον ἐκβεβακ-
χευμένη τοῖς ἔρωσιν· ὅθεν ἀναιδῶς περιπλακεῖσά με
3 φιλεῖν ἀπεμάχετο. Ἐγὼ δ' ὅλον ἐξ αἰδοῦς κατεκαλ-
ψάμην τὸ πρόσωπον, καὶ ᾐσχυνόμην νὴ τοὺς θεούς
καὶ τὴν κατατυραννοῦσάν με δέσποιναν καὶ τὴν δού-
4 λην Ὑσμίνην καὶ τὴν σωφροσύνην αὐτήν. Ἀλλ' ἡ δε- 373
σπότις ἐφείλκετό με τοῦ χιτωνίου· ἐγὼ δ' ὁ δοῦλος οὐ
μεθειλκόμην ἑλκόμενος, ἀλλ' ὅλος ἀντέτεινον· καὶ ἦν
ἀγὼν παρὰ δεσποίνῃ καὶ δούλῳ καινός· ὁ μὲν γὰρ δὴ
δοῦλος ἐγὼ τὴν σωφροσύνην ἐλευθέραν ἐφιλονείκουν
τηρεῖν, ἡ δέ μου δεσπότις κατεδουλοῦτο τοῖς Ἔρωσι
5 καὶ ὅλον ἤθελεν ἀπεμπολῆσαι τὸ ἐλεύθερον. Ἀλλά
τις ἐπανῆκεν ἐκ τοῦ βωμοῦ καί φησιν "ὁ δεσπότης, ὦ
δέσποινα·" καὶ ξὺν τῷ λόγῳ περὶ τὴν πύλην ὁ δεσπό-
της ἐγένετο, τῶν δὲ ταύτης χειρῶν ὡς ἐκ βαρβάρων
ἀπηλλαττόμην αὐτός. Καὶ τοῦ ἔπους ἐμνήσθην καὶ
τοῦτο προσφόρως κατὰ τὴν τραγῳδίαν ἔλεγον

"ὦ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
βλέπουσιν εἰς πρόσωπα τῶν ξυνευνετῶν."

7 Ἦκεν ὁ κήρυξ· ξυνείπετο Σώστρατος καὶ θυγά-
τηρ Σωστράτου τῇ τῆς Ὑσμίνης ἀνεχομένη χειρί. Φι-
λοτιμοτάτη παρετίθετο τράπεζα· λαμπρῶς ὁ κήρυξ
καὶ πολυτελῶς ἀνεκλίνετο, πρότερον ὅλον ἀποδυθεὶς 374
τὸ κηρύκειον, καὶ ἡ δεσπότις ἀναιδῶς κατεφίλει τὸν
κήρυκα καὶ τούτῳ ξυνανεκλίνετο, καὶ Σώστρατος Ῥο-
2 δόπῃ ξυνανεκλίνετο. Καὶ ἦν τὸ δεῖπνον πολυτελές·
καὶ δεσπόταις μὲν ἐμοῖς καὶ Σωστράτῳ, τῷ τῆς Ῥοδό-
πης πατρί, δοῦλος Ὑσμινίας ἐγὼ κιρνᾶν ἐγκελεύομαι·
Ὑσμίνη δὲ τῇ Ῥοδόπῃ πρὸς πόσιν ὑπηρετεῖ, ἵνα μηδὲ

μέχρι κύλικος καὶ χειρὸς τὸ σεμνὸν τῆς παρθενίας κα-
ταμολύνηται. Οὕτως ἐρωτικῶς ἡμεῖς ἀνεκράθημεν 3
καὶ τὸ φίλιον ὅλον ἐκοινωσάμεθα, ὡς κοινώσασθαι καὶ
τὸ δούλειον καὶ πρὸς ἓν καθυπηρετῆσαι λειτούργημα.

Ἡ μὲν οὖν ἐμὴ δεσπότις τοῖς Ἔρωσι δουλογραφη- 8
θεῖσα τῇ κύλικί μοι προσέπαιζε καὶ κατέπαιζεν, ἢ
μᾶλλον αὐτὴν ἐν ἐμοὶ καὶ κύλιξιν αὐταῖς κατέπαιζον
Ἔρωτες· νῦν μὲν γὰρ ἐπέθλιβέ μου τὸν δάκτυλον, νῦν 2
δ' ὅλην μου τὴν χεῖρα τῇ κύλικι ξυνεφείλκετο καὶ
ἄλλ' ἄττα κατέπαιζεν ἢ τοῖς Ἔρωσι κατεπαίζετο· ὧν
377δὴ πάντων ὡς ἐκ πυρὸς φεύγων αὐτὸς Ὑσμίνῃ τῇ
ξυνοινοχοευούσῃ ξυνέπαιζον, τῶν τῆς δεσποίνης παι-
γνίων τὰ τῆς δούλης ἀνταλλαττόμενος· οἷς ἡ Ῥοδόπη 3
ξυνένευε, καὶ τῇ δούλῃ παίζειν ἐπένευε καὶ οἷον διὰ
ταύτης ἐδόκει παίζειν αὐτή· πρὸς ἃ δὴ βλέπων αὐτὸς
τὴν Ῥοδόπην μᾶλλον δούλην εἶχον Ὑσμίνης· ὡς καὶ
καθυπηρετοῦσαν εἰς ἔρωτα· καὶ οὕτως ἐν παιδιαῖς, ἐν
ἔρωσιν, ἐν πολυτελέσι τρυφαῖς κατελύετο τὸ ξυμπό-
σιον, καὶ ἡμῖν ἐλύετο τὰ τοῦ λειτουργήματος.

Ἡ μὲν οὖν Ὑσμίνη τῇ Ῥοδόπῃ παρείπετο καὶ 9
ταύτῃ ξυνῳχετο, καὶ ἄμφω γεγόνασι περὶ τὸ δωμά-
τιον, ὃ τῷ Σωστράτῳ δεσπότης ἐμὸς ἀφωσίωσε, λαμ-
πρῶς καὶ πολυτελῶς διακοσμησάμενος· ἐγὼ δὲ ξὺν 2
ὁμοδούλων χορῷ περὶ τὸ τῶν δούλων ἐγενόμην δω-
μάτιον, καὶ ἤμην ξυγκατακεκλιμένος τοῖς δούλοις καὶ
ξυνδειπνῶν καὶ τέλος ὑπνῶν. Περὶ δὲ τρίτην φυλα- 3
κὴν τῆς νυκτὸς Σώστρατος ξὺν Ῥοδόπῃ καὶ δεσπό-
ταις ἐμοῖς περὶ τὸν βωμὸν διανυκτερεύουσιν, Ὑσμίνη
378δὲ κἀγὼ τοῖς δεσπόταις κατὰ δούλους ἑπόμενοι ξὺν
αὐτοῖς δεσπόταις περὶ τὸν βωμὸν καὶ τρίποδα καὶ
δάφνην γεγόναμεν.

Θροῦς ἦν ἐν βωμῷ καὶ ἄσημος βοὴ καὶ ξύμμικτος

θόρυβος, καὶ θρῆνος ἦρτο καὶ κωκυτός· Θεμιστεὺς δέ μοι πατὴρ καὶ Σωσθένης, Ὑσμίνης πατήρ, τῶν θρήνων ἐξάρχουσιν, αἱ δέ γε μητέρες ἡμῶν καὶ λίθον, ὅ φασι, τὸν ἀπὸ γραμμῆς κινοῦσι πρὸς δάκρυον,
2 τί μὲν οὐ λέγουσαι, τί δ' οὐ πράττουσαι τῶν ὅσα πρὸς οἶκτον ἐφέλκουσι, τῶν ὅσα κινοῦσι πρὸς ἔλεον, ἐλεεινὰ τὸ σχῆμα, τὴν γλῶτταν ἐλεεινότεραι, ἀλκυόνος πολυπενθέστεραι, ἀηδόνος θρηνητικώτεραι, αὐτῆς Νιόβης μιμούμεναι τὸ πολύδακρυ, πρὸς θρῆνον ἐρίζουσαι, καὶ ἄμφω νικῶσαι καὶ ἄμφω νικώμεναι, ἄμφω διαρρήσσουσαι τὰς ἐσθῆτας, ἄμφω τὰς παρειὰς αὐλακίζουσαι, ἄμφω καταπαταγοῦσαι τὰ στέρνα, ἄμφω τὸν τῆς κεφαλῆς ἀποκειρόμεναι βόστρυχον πενθίμῳ κουρᾷ καὶ ἄμφω κόνιν καταπαττόμεναι. Ἡ μὲν γὰρ δὴ μήτηρ ἐμὴ "Ἄπολλον, Ἄπολλον" ἐβόα περιπαθῶς,381
οἷον κορυβαντιῶσα τοῖς θρήνοις καὶ καταβεβακχευμένη τοῖς δάκρυσιν, "ὠλώλειν, Φοῖβ' Ἄπολλον· τοῦ
5 παντός μοι γένους ἀπεκειράμην τὸν βόστρυχον. Λειμών μοι παῖς εὐανθής, καὶ φυτηκόμος ἐγώ· ἀλλ' ὅλον αὐτὸν ξὺν αὐτοῖς φυτοῖς, ξὺν αὐτοῖς ἄνθεσιν ἀπεσυ-
6 λήθην ἐλεεινῶς. Πηγή μοι στάζουσα μέλιτος ὁ καλὸς ἐκεῖνος παῖς, ἣν ὅλην ἀφῄρημαι· καὶ αὖος ὅλη γεγένημαι καὶ ἀψινθίου σίμβλον εἰμί, ὅλη καταπικραν-
7 θεῖσα τῇ ξυμφορᾷ. Εὐάγκαλός μοι λιμὴν Ὑσμινίας ὁ παῖς, κἀγὼ δ' ὡς ναῦς ἐν λιμένι νηνεμίαν ἦγον καὶ ἤμην ἀκύμαντος· νῦν δ' ὁ λιμὴν οὐδαμοῦ, κἀγὼ δ' ἡ ναῦς ἐν πελάγει μέσῳ κατακλυδωνιζομένη τοῖς
8 κύμασιν. Ἥλιον εἶχον τὸν παῖδα, καὶ νῦν τοῦ παιδὸς κρυβέντος ἀνήλιος ἡ μήτηρ ἐγώ, καὶ Κιμμερίαν τῆς ποτέ μοι πανηλίου πολυηράτου ἐκείνης Εὐρυκώμιδος
9 ἀνταλλάττομαι. Ἀστὴρ μοι παῖς ἐκεῖνος περιφανής, ἀλλ' ἀπεκρύβη, καὶ νὺξ ἀφεγγὴς τὴν μητέρα με κατ-382

ἐκάλυψε. Φῶς ἦν μοι παῖς ἐκεῖνος, ἀλλ' ἀπεσβέσθη, καὶ νῦν ἐν σκότει πορεύομαι. Ζεύς, σὸς πατήρ, Ἄπολ- 10
λον, δάφνης στεφανώσας αὐτὸν κήρυκα πέμπει λαμπρὸν ἐς ὀλλυμένην Αὐλίκωμιν· καὶ ἦν μοι τὸ μακά-
5 ριον τῇ μητρὶ μέχρις ἐς αὐτὸν οὐρανόν, νῦν δέ μοι τὸ δυστυχὲς μέχρις ἐς αὐτὰς Ἅδου πύλας. Φυγὰς ὁ κή- 11
ρυξ, ὁ δεσπότης δραπέτης, ὁ παρθένος αἰχμάλωτος Ἔρωτος· καὶ ἐπὶ πᾶσιν ἅπαις ἐγὼ θρηνῶ τὸν παῖδα, καὶ τὴν μητέρα μᾶλλον καταθρηνῶ. Ἀλλ', ὦ παῖ
10 καὶ κήρυξ καὶ δέσποτα, πῶς σε θρηνήσω; πῶς σε καταστεφανώσω τοῖς δάκρυσιν; Ὡς νεκρόν; ἀλλ' 12
ἴσως Ζεὺς τῇ μητρί μοι ταύτῃ τῇ σῇ τὸν παῖδα παρεφυλάξατο, καὶ ξῇς μὲν ἴσως, ἀλλ' ἴσως αἰχμάλωτος, καὶ δουλεύεις βαρβάροις ὁ φιλέλλην, ὁ κήρυξ, ὁ δε-
15 σπότης πολλῶν. Ἀλλ', ὦ τρίπους καὶ δάφνη καὶ ἐπὶ 13
πᾶσιν Ἄπολλον χρησμῳδέ, δέξαι μου ταύτας [[τὰς]]
385 χοὰς καὶ ἐπὶ τούτοις καὶ πρὸ τούτων τὸ δάκρυον, καὶ τὰ περὶ τὸν παῖδά μοι χρησμοδότει, καὶ εἴη μοι τὸ χρησμῴδημα μὴ ἀπευκταῖον, ἀλλ' εὐκταιότατον.
20 Ἄπολλον ἀκερσεκόμη, τὴν ἐμὴν ἐλεεινῶς κεκαρμένην 14
ἐλέησον κεφαλήν· Δάφνι' Ἄπολλον, Ὑσμινίου φεῖσαι παιδός, σῆς δάφνης λαμπρῶς ποτὲ περιεστεμμένου τὴν κεφαλὴν καὶ νῦν τὴν ἐμὴν ταύτην οἰκτρὰν κεφαλὴν Ἅδου κυνέῃ κατακαλύπτοντος."

25 Ταῦτα δὴ ταῦτα Διάντεια μήτηρ ἐμὴ καὶ λίαν 11
ἐλεεινῶς κατετραγῴδει, καὶ κατὰ θάλατταν κατεκυματοῦτο τοῖς δάκρυσι καὶ ὅλον τὸ ἱερὸν κατεπέκλυζεν· ἡ δέ γε τῆς ἐμῆς Ὑσμίνης μήτηρ Πάνθεια πικρὸν ἀντωδύρετο "οἴμοι, τέκνον Ὑσμίνη" λέγουσα
30 ξυνεχῶς, "ὄλωλάς μοι τούτων ἀθλίων χειρῶν καί με τὴν σὴν μητέρα διώλεσας. Ὡς ὄρνις εὔπτερος ἐπτε- 2
ρύξω, καί μου τούτων ἐλεεινῶν ἀπέπτης χειρῶν. Ἀλλ'

ὦ πτερύξεως ἐκείνης ἀγρίας, ἣ μου τὸν λίχνον ἀπέσβεσε. Θάλαμός μοι σὺ καὶ χάλκεος παρθενών· ἀλλ' οἴμοι, τέκνον Ὑσμίνη, ξὺν αὐτῷ θαλάμῳ, ξὺν αὐτῷ πορ-
3 θενῶνι σὲ τὴν παρθένον ἁφήρημαι. Ὑψικόμος κυπάριττος Ὑσμίνη μοι σύ, ἣν περὶ μέσην ἑκηπευσάμην
ψυχήν, λιπαίνουσα δρόσῳ περιστερῇ καὶ τοῖς ἄλλοις
καλοῖς· ἀλλ' ἐξ Εὐρυκώμιδος πνεύσας τυφὼν ἀνέ-
4 σπασε πρόρριζον. Οὐ κήρυξ ἦν ἐκεῖνος, ἀλλ' ἄγριος θήρ, ὃς τὴν ἐμὴν Ὑσμίνην ἐλεεινῶν τούτων χειρῶν καὶ μέσων ἁφήρπασεν ἀγκαλῶν· ὅλον μου τὸ καμάριον ἀπεσύλησεν, ἐθέρισέ μου τὸν ἄστάχυν, τὸν βό-
5 τρυν ἐτρύγησε καὶ τὴν ῥοδωνιὰν ἀπηνθίσατο. Στεφανίτης ἐκεῖνος ὁ θὴρ ἦκεν εἰς Λιλίκωμιν, καί μου τὴν κεφαλὴν ἁφῆκεν ἀπερικόσμητον, ἀφελόμενός μου τὸν στέφανον· ὅλον τὸν παρθένον ἐσχημάτισατο καὶ
6 τὴν ἐμὴν παρθένον δολίως ξυνεφείλκυσατο· βέλος ἔπεμψέ μοι κατὰ ψυχῆς. καὶ νῦν ἐς βάθος ἐδύνωμαι τὰ σπλάγχνα· κηφὴν ἐξ Εὐρυκώμιδος ἀπηνὴς τὴν ἐμὴν ἀνεῖλεν Ὑσμίνην, τὴν γλυκεῖάν μου μέλιτταν,
7 καί μου τὴν ψυχὴν ὅλην ἀφυνθίας ἐπλήρωσε. Μέγας ἄγριος ἀετὸς τὰς ἐπὶ σοὶ θυσίας, θυγάτριον, ἐξ αὐτῶν μου χειρῶν καὶ μέσης πυρᾶς ἀνηρείψατο, καὶ ἦν μοι τὸ σημεῖον οὐκ ἀγαθὸν καὶ τὸ προμάντευμ' ἀπαισιώτατον. Καὶ νῦν ἐς ἔργον ἀπέβη τὰ τοῦ Διὸς οἰωνίσματα. Πηγή μοι γλυκάζουσα σύ, τὸ πικρόν μοι τοῦ γήρως καταγλυκάζουσα· ἀλλ' ὀχετηγός τις ἐξ Εὐρυκώμιδος εἰς ἑτέραν ἀμάραν μετάγει σε, καὶ ἡ ψυχή μου διψᾷ σε, καὶ ὡς καλίρρουν πηγὴν ἐπιζητεῖ σε τὸ
9 στόμα μου. Ἀλλ', ὦ τέκνον Ὑσμίνη, πῶς σε θρηνήσω; πῶς ἐλεεινῶς ἀποκλαύσομαι; Ὡς νεκράν; ἀλλὰ ποῦ τέθαψαι γῆς; τίς σε τάφος καλύπτει καὶ ὅλην τὴν τῶν χαρίτων κατακαλύπτει πηγήν; Ἀλλ' ἐφείσατό

σου τῆς νεότητος θάνατος, καὶ τίς ἔχει σε τόπος ἐθέλω μαθεῖν τὴν ἐμὴν Ὑσμίνην, τὴν παρθένον, τὴν καλλιπάρθενον. Ἀλλ' ὁ τύραννος ἐκεῖνος, ἀλλ' ὁ θρασύς, ἀλλ' ὁ τὸ κηρύκειον καταπαίζων, καὶ ὅλον κατεψευσμένος αὐτὸ τὴν σὴν παρθενίαν σεσύληκεν.

6 Ὦ δεινῆς ἀωρίας, ὦ δυστυχίας ἐμῆς, ὦ φυλακῆς ἀφυλάκτου, ὦ δολίου θηρὸς ἐκείνου δολίως κλέπτοντος καὶ ἀγρίως ἁρπάζοντος. Ἀλλ', ὦ λαλοῦσα πηγὴ καὶ πρόμαντι δάφνη καὶ τρίπους καὶ ἐπὶ πᾶσι Φοῖβ' 10 Ἄπολλον, δέξαι μου ταύτας ἀθλίας χοάς, ἃς σπένδεταί σοι Πάνθεια, μήτηρ ἀθλία, ὑπὲρ Ὑσμίνης, ἀθλίας παιδός."

Ταῦθ' αἱ μητέρες περιπαθῶς καὶ λίαν ὀδυνηρῶς ἀπωδύροντο· οἱ δέ γε πατέρες ὀδυνηρότερον ξυνεπή- 15 χουν καὶ ξυνεκόπτοντο "ὦ παῖδες, ὀλώλατε" λέγοντες, "ἡμεῖς δ' ὑμῖν ξυνολώλαμεν. Ἔρως ἐστράτευσε καθ' ὑμῶν καὶ τὰς ὑμῶν καρδίας ἐπολιόρκησεν· Ἔρως τὴν ἐν ὑμῖν πορφύραν τῆς παρθενίας ἐσύλησε, καὶ κατὰ κόχλον ἡμεῖς ἀπηράχθημεν· Ἔρως τὴν ὑμε- 20 τέραν ῥοδωνιὰν ἀπηνθίσατο καὶ τὰς ὑμετέρας ψυχὰς ὅλας ἐνέπρησε καθ' αἱμασιάν· Ἔρως ἀφροδισίῳ πυρὶ τὴν τῆς νεότητος θέρμην ὑμῶν ἐξεπύρωσε καὶ γεραιὰ σπλάγχνα πατέρων ἡμῶν ἐς βάθος κατέκαυσε καὶ ἡμᾶς ἀπηνθράκωσεν. Ἔρως ὁ Διὸς παῖς ἐκστρατεύει κατὰ τοῦ πατρὸς ἐν μέσῃ πανηγύρει Διός, ἐν μέσῃ τελετῇ καὶ Διασίοις αὐτοῖς, καὶ λάφυρον ἁρπάζει τὸν κήρυκα, τὴν παρθενίαν ληίζεται καὶ ὅλον τὸν παρθενῶνα πολιορκεῖ καὶ τὰς ἡμετέρας ὅλας κατασκυλεύει ψυχάς. Ἐκ δάφνης ταύτης, Ἄπολλον, δάφνης τῆς σῆς, τὰς τῶν παίδων ἡμῶν κατεστεφανώσαμεν κεφαλάς· ἀλλ' Ἔρως ταύτας ἀπεστεφάνωσε καὶ σποδῷ τὰς τῶν πατέρων ἡμῶν κατεστεφάνωσε κεφαλάς.

6 Ἄπολλον, Ἄπολλον, τὰς ἡμετέρας ταύτας ἐλέησον πολιὰς καὶ τοῖς πατράσι ξυμμετάσχου κατὰ πατραλοίου παιδός· δέξαι ταύτας ἱκετηρίους χοάς, ἃς σπένδονταί σοι πατέρες ὑπὲρ παίδων ὀλλυμένων οἰκτρῶς ἐν ἔαρος ἀκμῇ, ἐν ἀτρυγήτῳ λειμῶνι καὶ μέσῃ νεότητι."

13 Ταῦθ' οἱ πατέρες, ταῦθ' αἱ μητέρες ἡμῶν· τὸ δέ γε παρεστὸς ἅπαν ἤλγησε τὴν ψυχήν, δακρύων ἐπληρώθη τοὺς ὀφθαλμούς, ἐκώκυσεν ὀλολύγιον. Ἐγὼ δὲ περὶ τὴν Ὑσμίνην ἐλθὼν μεθειλκυσάμην αὐ- 394
την τῆς χειρὸς "Ὑσμίνη" λέγων, "ὁρᾷς;" ἡ δ' "ἀλλ
2 οὐ περιπτυξόμεθα τὰς μητέρας;" φησίν. Ἐγὼ δ' "ἀλλ' ἐπίσχες" εἶπον, "ἐγκαρτερήσωμεν τῷ χρησμῷ." Καὶ δὴ καχλάζει τὸ ὕδωρ, ὁ τρίπους ἠχεῖ, δάφνη μαντικὴ κατασείεται καὶ οἷον ὅλη κατανεμοῦσθαι δο-
3 κεῖ. Ἐνθουσιῶσιν οἱ πρόσπολοι, καὶ Φοῖβος μαντεύεται καὶ χρησμοδοτεῖ καὶ φοιβάζει καὶ καταφοιβάζει τὰ μέλλοντα· καὶ ἦν ὁ χρησμὸς τοὺς παῖδας ἡμᾶς τοῖς τοκεῦσιν ἀποδιδοὺς καὶ κατεπισκήπτων τὸν γάμον· πρὸς ὃ δὴ φρίττει τὸ παρεστός, αἱ μητέρες θρηνοῦσιν ἐξ ἡδονῆς, οἱ πατέρες ὀρχοῦνται πρὸ τοῦ βωμοῦ, καὶ
4 ἡμεῖς ταῖς χερσὶν ἀλλήλους ξυνδούμενοι πρὸ τῶν τοῦ Φοίβου ποδῶν κυλινδούμεθα. Περιτρέχουσιν ἡμᾶς αἱ μητέρες, ἁρπάζουσι, ξυμπλέκονται, περιπλέκονται, φιλοῦσι, θρηνοῦσι καὶ ξυνέχουσιν ἀναπόσπαστα· καὶ μεθ-
5 έλκονται τοὺς παῖδας ἡμᾶς οἱ πατέρες ἑτέρωθεν, ὅλην ἡμῖν ξυμμεριζόμενοι τὴν ψυχήν. Παιανίζουσι χαρι- 397
στήρια, ὑμνοῦσιν εὐχαριστήρια, κροτοῦσι σωτήρια· χαίρει τὸ πλῆθος, εὐλογεῖ τὸν Ἀπόλλωνα, καὶ τῆς δάφνης ἡμεῖς στεφανούμεθα.

14 Κήρυξ δ' ὁ ποτὲ δεσπότης ἐμὸς καὶ Σώστρατος Ῥοδόπης πατὴρ ἡμῖν ἐπιτίθενται· διαρρήσσουσι τοὺς στεφάνους, ἀφειδῶς τὴν γλῶτταν προπέμπουσιν,

ἀπαίσια κινοῦσιν αὐτήν· τὸν ἱερέα κακολογοῦσι καὶ 2
δημηγοροῦσι τὰ καθ' ἡμᾶς, ὡς ἐκ βαρβαρικῶν χειρῶν
ἡμᾶς ἀπεσπάσαντο νόμῳ στρατιωτικῷ δουλογραφη-
θέντας αὐτοῖς· ὁ δέ γε στεφανῶν ἡμᾶς ἱερεύς φησι
πρὸς αὐτοὺς "εὖγε τῆς νομοθεσίας ὑμῶν, ὡς δουλα-
γωγεῖτε τοὺς Ἕλληνας· ὑπέρευγε τῆς εὐσεβείας, ὡς
δουλογραφεῖτε τοὺς κήρυκας. Ἀπόλλων χρησμοδοτεῖ 3
καὶ τοῖς ἐλευθέροις ἀφοσιοῦται τὸ ἐλεύθερον, οἷς νό-
μος Ἑλλήνων πρότερον καὶ φύσις αὐτὴ τὴν ἐλευθε-
ρίαν ἀπεχαρίσατο· ἀντιχρησμοδοτεῖτε δ' ὑμεῖς, ἀν-
τινομοθετεῖτε τοὺς ἐλευθέρους καταδουλούμενοι."
398 Οἱ δ' "οὐχ ἡμεῖς" φασὶν "ἀντινομοθετοῦμεν, ἀλλ' 4
αἰχμὴ καὶ νόμος τούτους ἐδουλογράφησε στρατιωτι-
κός." Καὶ δὴ μεθεῖλκον ἡμᾶς, ἡμεῖς δ' οὐκ ἀπε-
σπώμεθα τῶν τοῦ Φοίβου ποδῶν.

Καὶ πάλιν αἱ μητέρες ἐθρήνουν, οἱ πατέρες κατ- 15
εδυσώπουν καὶ γλώττῃ καὶ δάκρυσι· καὶ ὁ ἱερεὺς
ταῖς χερσὶν ἀπεμάχετο καὶ πείθειν οὐκ ἔχων ἀπεστε-
φανώθη τὴν κεφαλήν, ἀπεδύσατο τὸν χιτῶνα καὶ
τὴν ἀρβύλην ἀπέθετο καὶ ἀναβὰς ἐπ' ὀκρίβαντος
Στεντόρειον πρὸς τὸ πλῆθός φησι "τί μάτην ὁ πολὺς 2
ἄνθρωπος ἐπὶ τὸν τοῦ Δαφνίου ξυντρέχεις βωμόν; τί
καταδυσωπεῖς τὸν Ἑκηβόλον χρησμοδοτεῖν; Ἔχεις τοὺς
σεμνούς σοι τούτους νομοθέτας χρησμοδοτήσοντας.
Ὦ Φοῖβ' Ἄπολλον, ἄλις σοι τῶν προμαντευμάτων,
ἄλις σοι τῶν στεφανωμάτων." Πρὸς ἃ δὴ τὸ πλῆθος 3
καταθορυβηθὲν θρασύνεται κατὰ τῶν ἁρπαζόντων
ἡμᾶς· οἱ δ' εὐθὺς τῶν τοῦ Φοίβου ποδῶν ἐφάπτονται
ξὺν ἡμῖν, ὡς τὸν περὶ ψυχῆς τρέχοντες, καταδυσω-
401 ποῦσι τὸν ἱερέα, ἱλάσκονται τὸν Ἀπόλλωνα "σύγ-
31 γνωθι" λέγοντες "Ἄπολλον, καὶ φρενὸς καὶ γλώττης
ἡμῖν," ἡμᾶς ἐλευθέρους ἀνακηρύττουσι, τὰς ἑαυτῶν

ἐλευθερῶσαι ζητοῦντες ψυχάς. Στεφανούμεθα πάλιν ἡμεῖς, ἐλευθερίαν ἐπιγραφόμεθα καὶ τοῖς τοκεῦσιν ἀποδιδόμεθα· οἱ δ' ὅλοι πληρωθέντες ἡδονῆς καὶ χαρᾶς, σῶστρα θύουσιν ὡς ἐπ' ἀναβιοῦσι παισίν, ᾄδουσιν ἀναγώγια καὶ χορεύουσιν ἐπινίκια. Ξυνορχούμεθα τούτοις ἡμεῖς καὶ παιανίζομεν ἐλευθέριον ἡλίκον οἷον ἐράσμιον.

16 Καλεῖ καὶ δείπνου καιρός, καὶ τῷ ἱερεῖ ξενιζόμεθα, καὶ ἦν τὸ δεῖπνον φιλοτιμότατον. Ἡ μὲν οὖν Τσμίνη τοὺς ὀφθαλμοὺς αὐτῆς ἐξ αἰδοῦς ἀφῆκε τῇ γῇ, καὶ ταῖς τροφαῖς οὐ προσανεῖχεν οὐδὲ μέχρι χειρῶν αὐτῶν· ἐγὼ δ' ὡς τις Ὀλυμπιονίκης ἐξ ἡδονῆς καὶ χαρᾶς ὀφθαλμοὺς μὲν καὶ χεῖρας εἶχον ἐπὶ τὴν τράπεζαν, στόμα δὲ καὶ λαιμὸν ἐχαρισάμην τοῖς βρώμασι,
2 καὶ ὅλῳ τῷ νῷ τὸν γάμον ἐπωπτριζόμην αὐτόν. Μετὰ γοῦν δὴ ποικίλας καὶ πολυτελεῖς τὰς τροφάς, ὁ ἱερεὺς ἀναστὰς τῆς τραπέζης καὶ τὸν χιτῶνα διαζωσάμενος 402
καὶ γυμνώσας τὼ χεῖρε πρὸς πότον ἡμῖν ὑπηρέτησε
3 "τοῦτο πόμα" λέγων "Σωτῆρος Ἀπόλλωνος." Πίνουσι μὲν οὖν οἱ πατέρες ἡμῶν καὶ μετ' αὐτοὺς αἱ μητέρες "χάρις σοι" λέγοντες, "Ἄπολλον, τῆς καλῆς ταύτης παρακαταθήκης, ἣν παρακατέθου τοὺς παῖ-
4 δας ἡμῖν." Καὶ μετ' αὐτοὺς ἡμῖν ἐκοινώσατο τὸ ποτήριον "Ἀπόλλων" λέγων "ὑμῖν κοινοῦται τὸ πόμα, ὃς καὶ τὸν γάμον ἐπισκήπτει χρησμοδοτῶν, δωρεῖται τὸ ἐλεύθερον καὶ ὅλον κοινοῦται τὸ ζώσιμον."

17 Ταῦτ' εἰπὼν ξυνανεκλίθη καὶ πάλιν "ἡμῖν" φησίν, "Τσμινία νυμφίε (ταύτην γάρ σοι τὴν κλῆσιν Ἀπόλλων φοιβάζων ἀπεχαρίσατο), μὴ φείσῃ λέγων τὰ καθ' ὑμᾶς ἀρχῆς ἀπ' ἄκρης καὶ μέχρις αὐ-
2 τῆς τελευτῆς." Ἐγὼ δὲ πρὸς αὐτὸν "ὅλους ἀνάπτεις μοι κρατῆρας πυρὸς καὶ μυρμηκιάν μοι τραγῳδημά-

τῶν ἀναστομοῖς." Ὁ δ' "ἀλλὰ μὴ φείσῃ μοι" φησὶ πρὸς Ἀπόλλωνος μηδενός, πρὸς ἐλευθερίας αὐτῆς καὶ νυμφῶνος, ὅν σοι λαμπρὸν Ἀπόλλων ἐνυμφοστόλησεν." Ἐγὼ δὲ πρὸς αὐτὸν "σύγγνωθι, δέσποτα· ὅλην γὰρ ἐξ αἰδοῦς κατατεθορυβημένος εἰμὶ τὴν ψυχὴν καὶ ὅλον τεταραγμένος τὸν νοῦν· ἐς νέωτα δέ σοι τὰ τῆς διηγήσεως ἀποταμιεύσομαι." 3

Πείθω τὸν ἱερέα, καὶ λύεται τὸ συμπόσιον, καὶ ἡμεῖς γινόμεθα περὶ τὰ δωμάτια· Θεμιστεῖ γάρ μοι πατρὶ καὶ μητρὶ Διαντείᾳ κἀμοὶ δωμάτιον ἓν ὁ ἱερεὺς ἀφωσίωσε καὶ κλίνας τρεῖς περὶ τοῦτο λαμπρὰς ὑπεστρώσατο, αἷς ἡμεῖς ἀνακλιθέντες πρὸς ὕπνον ἐτράπημεν· Σωσθένει δὲ καὶ Πανθείᾳ καὶ τῇ τούτων Ὑσμίνῃ παιδὶ δωμάτιον ἕτερον. Καὶ οὕτως ἡμεῖς ἀπ' ἀλλήλων γενόμενοι τὴν νύκτα παρεμετρήσαμεν. 18 2

ΙΑ

Τῇ δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν βωμὸν γενόμενοι, δάφνης ἐστεφανωμένοι τὰς κεφαλὰς ἐπανηγυρίζομεν ἐλευθέρια, ἐπαιανίζομεν ἐπινίκια, ἐπεκροτοῦμεν σωτήρια, ὅλας ἑκατόμβας Ἀπόλλωνι θύοντες· τὸ δέ γε πλῆθος, ὅσον εἶχεν οὐκ εὐαρίθμητον ὁ βωμός, πρὸς ἡμᾶς εἶχε τοὺς ὀφθαλμοὺς καὶ τοῖς δακτύλοις παρεσημαίνετο· καὶ ἦν τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν ἡμᾶς ἀνὰ πᾶσαν γλῶτταν διήγημα κείμενον, καὶ ἦν Ἀπόλλων ἐφ' ἡμῖν εὐλογούμενος. 1 2

Πάλιν οὖν ἀρίστου καιρός, καὶ πάλιν δεῖπνον ὁ ἱερεὺς λαμπρὸν ἑτοιμάζεται, καὶ πάλιν ἡμᾶς φιλοφρονεῖται πολυτελῶς. Ἐπεὶ δὲ πέρας εἶχε τὰ τῆς τραπέζης, ὁ τὸ δεῖπνον ἑτοιμασάμενος ἱερεὺς τὰ καθ' ἡμᾶς 2

ξητεῖ καὶ πάλιν μαθεῖν καὶ ἦν ἀμεταθέτως ἐγκείμε- 409
2 νος· ἐγὼ δ' ἀλλὰ κἂν ἠσχυνόμην, κἂν ὤκνουν, κἂν
ἔφριττον, ἀλλ' ἄκων ἀπεδυσάμην πρὸς τὴν διήγησιν,
καὶ ἡ φωνή μου ἐπέλειπε καὶ ἡ γλῶσσα ἐπείχετο· ἄρ-
χομαι δ' ὅμως λεπτῇ τῇ φωνῇ 5
3 "Πατὴρ μέν μοι Θεμιστεὺς οὗτος, καὶ μήτηρ Δι-
άντεια, οὓς σὺ ξενίζεις φιλοτιμότατα, πόλις δ' Εὐ-
ρύκωμίς μοι πατρίς, παρ' ἣ βωμὸς Ξενίου Διὸς καὶ
τελετὴ τὰ Διάσια. Καὶ κήρυξ ἐγὼ κληρούμενος τὸ
κηρύκειον, καὶ κήρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐ- 10
2 λίκωμιν στεφανοῦμαι τῆς δάφνης. Ἵκω περὶ τὴν
κληρωθεῖσάν μοι πάντως πολυτελῶς, ὅτι καὶ Διὸς τὸ
κηρύκειον καὶ Διασίων ὁ κήρυξ ἐγώ. Τῷ Σωσθένει
ξενίζομαι τουτῳί, πολυτελῶς ὑποδέχομαι, φιλοφρονοῦ-
3 μαι λαμπρῶς. Εἰσάγει με περὶ τὸν κῆπον· ἐν μέσῳ 15
τούτῳ τὰ τῆς τραπέζης μοι παρατίθεται, ἐγγύς μοι τοῦ
λειμῶνος τὰ τῆς στρωμνῆς ἑτοιμάζεται· Ὑσμίνη ταύτῃ
τῇ θυγατρὶ Σωσθένης οὗτος ὁ ταύτης πατὴρ οἰνοχο- 410
εῖν ἐγκελεύεται· ἡ δ' οἰνοχοεύει τῷ πατρὶ πειθομένη.
4 Τέλος ἔχει τὰ τῆς τραπέζης, καὶ νίπτει μου τοὺς 20
πόδας Ὑσμίνη, παρθένους πόδας παρθένοις χερσίν.
Ἀνακλίνομαι τῇ στρωμνῇ κατὰ παρθένον, ἀνέτως
2 τοῖς ὕπνοις σπενδόμενος. Ἀνίσταμαι μεθ' ἡμέραν,
γίνομαι περὶ τὸν κῆπον, θαυμάζω τοῦτον τῆς τῶν
φυτῶν ξυστοιχίας καὶ τῶν ἄλλων καλῶν, περὶ τὸ τοῦ 25
κήπου θριγγίον μετάγω τοὺς ὀφθαλμοὺς καὶ μετὰ δή
τινας γραφὰς θρόνον χρυσοῦν γεγραμμένον ὁρῶ, μειρά-
κιον ἐπὶ τῷ θρόνῳ γυμνόν, ὁπλοφόρον, πυρφόρον,
3 τὼ πόδε πτερωτόν, χαρίεν τὸ πρόσωπον. Τούτῳ δὴ
τούτῳ τῷ μειρακίῳ δουλοπρεπῶς παρειστήκεσαν βα- 30
σιλεῖς, δυνάσται καὶ τύραννοι, θῆρες καὶ θηρῶν βα-
σιλεῖς, ἅπαν γένος πτηνῶν, ἅπαν γένος θαλάττης,

καὶ φασματώδεις δύο γυναῖκές τινες, ὑπὲρ γυναῖκας τὸ μῆκος, τὴν ῥυτίδα πέμπελοι καὶ τριπέμπελοι. Ἡ 4
μὲν λευκὴ τὰ πάντα, τὸ πρόσωπον, τὴν τρίχα καὶ
413 τὸ χιτώνιον, χεῖρας καὶ πόδας καὶ τἆλλα τοῦ σώμα-
5 τος· ἡ δὲ τὰ πάντα μέλαινα, τὴν ὄψιν, τὰς χεῖρας,
καὶ μέχρι ποδῶν ἐκ κεφαλῆς, καὶ μέχρις ὀνύχων αὐ-
τῶν. Ἃ δὴ κατεθορυβήθην ἰδὼν καὶ νοῦ πλάσμα 5
καὶ τέχνης ζωγράφου τὴν καινὴν ταύτην ἐλογιζόμην
γραφήν. Ἀλλ' ἦν ὑπὲρ τὴν τοῦ μειρακίου κεφαλὴν
10 ἰαμβεῖα Ἔρωτα λέγοντα τὸν γεγραμμένον εἶναι, τὸν
ἐπὶ δίφρου καθήμενον, πάντων κρατοῦντα βασιλι-
κῶς. Ἐγὼ δ' οὐ μόνον ἐκακολόγησα τὴν γραφήν, 6
ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν Ἔρωτα σωφρόνως ἀπέ-
σκωψα.

15 Ὁ δ' ἐφίσταται διὰ νυκτὸς ὑπνουμένῳ μοι καὶ 5
τὰ μεθ' ἡμέραν κατονειδίζει με· καὶ τέλος ἐμπίπτει
μου τῇ ψυχῇ καὶ ξυνδουλογραφεῖ με τοῖς δούλοις
αὐτοῦ, ἀντὶ κήρυκος ἀντὶ παρθένου πρὸς ὅλον ἐρα-
στὴν μεταπλάττων με· καὶ τῇ χειρί μου ταύτῃ τῇ 2
20 δεξιᾷ τὴν Ὑσμίνην ταυτηνὶ παραθεὶς ἀπέπτη μου
τῶν ὀφθαλμῶν, ξυμμεθελκυσάμενος καὶ τοὺς ὕπνους
414 καὶ τὴν παρθενίαν καὶ τὸ κηρύκειον. Καὶ ἦμην ἐρα- 3
στὴς ὁ κήρυξ, καὶ ὁ παρθένος ἀπάρθενος ὅλην κατε-
πόρνευον τὴν Ὑσμίνην καὶ ὀφθαλμοῖς καὶ γλώττῃ καὶ
25 νεύματι, μεταπλάττων καὶ ταύτην εἰς Ἔρωτα. Καὶ 4
οὕτως ἐξ Αὐλικωμιδος παλινοστῶ πρὸς Εὐρύκωμιν,
ὅλῳ τῷ τῆς Ὑσμίνης δουλογραφούμενος ἔρωτι· ἡ δ'
ἀλλ' οὐδ' αὐτὴ πῦρ καὶ πτερὸν καὶ τόξον ἐξέφυγεν
Ἔρωτος καὶ γλῶτταν ἐμὴν πιθανολογοῦσαν ὅσα παι-
30 δεύουσιν Ἔρωτες.

Ἤρων οὖν Ὑσμίνης (εἰ δ' ἀντηρώμην αὕτη λε- 6
γέτω) καὶ τὸν γάμον ἀλλήλοις ἐμνηστευόμεθα· ὃν κλέ-

ψαι θέλων αὐτὸς (εἰρήσθω γὰρ ταληθὲς) οὐ ξυνεχω-
2 ρούμην τῇ κόρῃ. Σωσθένης οὗτος ὁ ταύτης πατὴρ ἐν
μέσῃ τραπέζῃ καὶ δείπνῳ πολυτελεῖ γάμον ἕτερον κη-
ρύττει τῆς θυγατρός, ὃν δὴ ζητοῦμεν φυγεῖν, καὶ τῇ
φυγῇ καθυπηρετεῖ Κρατισθένης καὶ ναῦς, ἧς ἐπιβάν-
τες τῆς ἐμῆς ἀπέβημεν Εὐρυκώμιδος. Εὐφόρου τυγ-
χάνομεν πνεύματος καὶ χαίρομεν φεύγοντες.

7 Ἀλλὰ κυκᾷ τὴν θάλατταν Ποσειδῶν, ἴσα καὶ 417
ὄρεσιν ἐγείρει τὰ κύματα, τὴν ναῦν καταδῦσαι φιλο-
νεικεῖ, λύτρον ὁ κυβερνήτης τυθῆναι νομοθετεῖ. 10
Κληρούμεθα τοῦτο, καὶ ἦν ὁ κλῆρος, φεῦ, ἐπὶ τὴν
Ὑσμίνην πεσών. Ἐκσφενδονᾶται τοίνυν ἐπὶ τὴν θά-
λατταν, καὶ νηνεμίαν εὐθὺς τῇ θαλάττῃ χαρίζεται.
2 Τὸ δ' ἐφεξῆς ἀναβιοῦσαν ταύτην ὁρῶ, πῶς δ', οὐκ
οἶδα νὴ τὸ φρικτὸν ἐκεῖνο κλυδώνιον, νὴ τὸν Ποσει- 15
δῶνα καὶ τὴν πικρὰν δουλείαν, νὴ τὸν Ἀπόλ-
3 λωνα καὶ τὸ τῆς ἐλευθερίας γλυκύ. Ἐγὼ δ' ὅλην τὴν
ναῦν κατεκύκων τοῖς ὀδυρμοῖς καὶ τοῖς δάκρυσι κατ-
επέκλυζον· ὃ μὴ φέρων ὁ κυβερνήτης μηδ' ὅλον τὸ
ναυτικόν, μετάγουσι περὶ τὴν ψάμμον τὸ σκάφος καί 20
με τῆς νεὼς ἀποτίθενται. Κἀγὼ δ' ὡς ἐν κενηρίῳ τῇ
ψάμμῳ τὰς τῶν δακρύων χοὰς κατεσπενδόμην τῇ κόρῃ.

8 Καὶ τριήρης αἴφνης ἐφίσταται, πλήρης βαρβά-
ρων, ἀγρίων ἀνδρῶν, οἳ κατὰ θῆρας ἀπηνῶς μοι
κατεπιτίθενται, ἀγρίως αὐτῶν ἐφέλκονταί με τῶν 418
τριχῶν, εἰσάγουσι περὶ τὴν τριήρη καὶ τῇ κώπῃ πα- 26
2 ρακαθίζουσι. Καὶ μετὰ δεῖπνον βαρβαρικὸν ἐκεῖθεν
ἀπαίρουσι καὶ κατεπιτίθενταί τινι πολιχνίῳ καὶ τοῦ-
το καταληίζονται καὶ σκύλων πληροῦσι τὴν ναῦν.
3 Τοὺς μὲν οὖν δὴ νεανίσκους ταῖς κώπαις παρακαθί- 30
ζουσι, τοὺς δ' ὑπεραναβεβηκότας αὐτοὺς ἔργον μα-
χαίρας τεθείκασι καὶ τῇ θαλάττῃ παραδεδώκασιν

(οὐκ εὐαρίθμητον γὰρ ὅσον ἐν ἀνθρώποις ἡ βάρβαρος χεὶρ ἐκ τοῦ πολιχνίου κατελήισατο), ὅσον δ' ἐν γυναιξίν, ἀκολάστως ἐχρήσαντο· ταῖς παρθένοις γὰρ οὐδὲ μέχρις ἁφῆς βαρβαρικῶς ἐνεανιεύσαντο.

Καὶ οὕτω περὶ τὴν Ἀρτύκωμιν ἐγενόμεθα, καὶ 9
τὸ βάρβαρον βαρβαρικάς τινας σπονδὰς ἐσπείσατο
τοῖς ἐξ Ἀρτυκώμιδος· καὶ οὕτω πλὴν ἀνθρώπων πᾶν
ἐξεφορτώθη τὸ λησθέν. Τὸ μὲν οὖν ἐν παρθένοις
ἐξ ἀνθρώπων ἡμῶν ἠργυρολογήθη πολλοῦ, πρότερον
τῇ τῆς Ἀρτέμιδος ἐμβεβλημένον πηγῇ· ἡμῶν δὲ νεα-
421 νίσκων καὶ γυναικῶν λόγος οὐδεὶς τοῖς ἐξ Ἀρτυκώ-
μιδος. Καὶ πάλιν ἡ τριήρης εἶχεν ἡμᾶς, ἣν λύσαντες 2
τοῦ λιμένος ἐξάγομεν καὶ πρὸς λιμένα μετάγομεν ἕτε-
ρον, ὅπου τὸ βάρβαρον τὴν τριήρη τοῖς πείσμασι κατα-
πηξάμενον περὶ τὴν ἤπειρον γέγονε καὶ τὰς γυναῖκας
ξυμμεθειλκύσατο. Μετὰ γοῦν δὴ πολυτελεῖς τινὰς 3
τροφὰς καὶ πόσεις, ἃς ἐξ Ἀρτυκώμιδος ἡ τριήρης
εἶχε πολλάς, ἀσέμνως ταῖς γυναιξὶ τὸ βάρβαρον κατ-
εχρήσατο καὶ τοῖς ὕπνοις ἐσπείσατο, καταβεβακχευ-
μένον καὶ οἴνῳ καὶ ἔρωτι. Ἐν μέσοις δὴ τούτοις 4
ὕπνοις καὶ ἔρωσιν ἢ μᾶλλον ἀκολάστῳ γνώμῃ βαρ-
βαρικῇ τὸ τῆς Δαφνηπόλεως ταύτης ἐφίσταται στρα-
τιωτικόν, ὑπνοῦσι τοῖς βαρβάροις κατεπιτίθεται, ξυν-
έχει τούτους, σφάττει, καταληίζεται καὶ ἡμᾶς αὐτοῖς
ξυλληίζεται. Ἐπὶ δὴ τούτοις καὶ ἐφ' ἡμῖν ἐν μέσῃ 5
ταύτῃ τῇ πόλει πομπεύει τὸ στρατιωτικὸν καὶ τέλος
ἡμᾶς χρησμῷ καταδουλοῦται καὶ κλήρῳ καταμερίζε-
ται. Δουλογραφοῦμαι πάλιν ἐγώ, καὶ δούλειος κα-
422 λεῖ με ζυγὸς ἐς ταυτηνὶ τὴν Δαφνήπολιν.

Ἀλλ' ἦκει καιρὸς ὁ παρών, καιρὸς Ἀπόλλωνος 10
ἑορτῆς· καὶ λαμπρὰ τελετὴ τὰ τῆς ἑορτῆς καὶ πανή-
γυρις· καὶ κληροῦται κήρυξι τὸ κηρύκειον, καὶ

δεσπότης ἐμὸς ὁ χθές μοι τὸν τῆς ἐλευθερίας διαρρηξάμενος στέφανον κήρυξ ἐς Ἀρτύκωμιν στέλλεται.
2 Γίνεται περὶ τὴν κληρωθεῖσαν· ἕπομαι τῷ δεσπότῃ κατὰ δοῦλον ἐγώ. Φιλοφρονούμεθα τῷ Σωστράτῳ, τῷ τῆς Ῥοδόπης πατρί, τῷ χθὲς ἀφελομένῳ τὸν
3 τῆς Ὑσμίνης στέφανον. Ταύτης δὲ τῆς Ῥοδόπης δούλην τὴν Ὑσμίνην ὁρῶ, τὸν ἀδελφὸν ὑποκρίνομαι· ἡ δ' ὅλην μου τὴν ἀδελφὴν κατασχηματίζεται, καὶ φιλοῦμεν ὁρώσης καὶ Ῥοδόπης αὐτῆς. Εἰ δ' ἦρα μου Ῥοδόπη καὶ τὴν ἐμὴν ἀδελφὴν ταύτην Ὑσμίνην καὶ δούλην αὐτῆς ὑπηρέτιν ἔσχε πρὸς ἔρωτα Ὑσμίνη λε-
4 γέτω. Τὰ δὲ περὶ τὸν βωμὸν σὺ μᾶλλον οἶδας ἡμῶν ἀκριβέστερον, τὰ τῶν μητέρων δάκρυα, τὴν τῶν πατέρων γλῶτταν ἐλεεινολογουμένην τὰ καθ' ἡμᾶς, τὸν χρησμόν, τὴν τῶν παίδων ἀνεύρεσιν, τὸν τῆς ἐλευθερίας στέφανον, τὴν στεφάνωσιν, τὴν ἀποστεφάνωσιν, τὴν σὴν μακαρίαν ἐκείνην φωνὴν καὶ βοήν, τὸν τῆς ἐλευθερίας ἡμέτερον στέφανον, καὶ τἆλλ' ὁπόσα περὶ τὸν μέγαν τοῦτον τῆς ἐλευθερίας βωμόν."

11 Ταῦτ' εἰπόντι "χαίροις" ὁ ἱερεύς μοί φησι καὶ πρὸς τὴν Ὑσμίνην μετάγει τοὺς ὀφθαλμοὺς "παρθένε" λέγων "Ὑσμίνη, τὰ μὲν δὴ περὶ τουτονὶ τὸν νυμφίον τὸν σὸν ἔχω μαθὼν ἀπὸ γλώττης αὐτοῦ· σὺ δέ μοι τὴν μηνοειδῆ σελήνην ὁλοκύκλωσον, ἵν' ὁλό-
2 φωτον εἴη μοι τὸ διήγημα." Ἡ δὲ πρὸς αὐτὸν "φεῖσαι γλώττης ἐμῆς, πρὸς Ἀπόλλωνος Σωτῆρος·

γλώσσης γάρ τοι παρθενικῆς αἰδὼς προκάθηται· μηδὲ γὰρ οὕτω πάντολμος εἶην, ὡς τὸν πατέρα μὴ φρίττειν καὶ τὴν μητέρα περιφρονεῖν· σιγὴ γὰρ παρθένοις κόσμος καὶ γλώττης φειδώ."

2 Ταῦτα μὲν οὖν ἡ κόρη μετ' αἰδοῦς πρὸς αὐτόν· ὁ δὲ τὰ πάντα καλὸς ἱερεὺς "παρθένε τέκνον" φησίν,

426 "'Απόλλων σοι μὲν ἐλευθερίαν χαρίζεται καὶ τὸν καλὸν τοῦτον Τσμινίαν ἐπινυμφεύει σοι· σὺ δ' οὐδ' αὐτὸ δὴ τὸ κατὰ σὲ δρᾶμα θύσεις 'Απόλλωνι, ἵν' εἴη τὸ διήγημα διαιωνίζον καὶ φθίνον τὸ τερατούργημα, ὃ μέγας οὗτος 'Απόλλων οὕτω καινῶς ἐφ' ὑμῖν φοιβάζων τερατουργεῖ;" Ἡ δ' ἐσίγα καὶ μόνον 3 ἐδάκρυεν· ὁ δέ γε Σωσθένης ἀτενῶς ἰδὼν πρὸς αὐτὴν καὶ δεινὸν τοῖς ὄμμασιν καὶ βλοσυρῶς αὐτὴν ὑποβλέπων " οὐ γλώττης σιγὴ" φησὶν " τῆς σωφροσύνης ὅρος ἐστίν, ἀλλ' ἔργων κοσμιότης καὶ ἤθους εὐπρέπεια. Σοὶ δ' αἰδὼς μὲν οὐκ ἦν πραττούσῃ κακῶς, 4 εἰπεῖν δ' αἰσχύνῃ. 'Εμοὶ δ' εὐκταιότατον, "Απολλον, αἰδεῖσθαι ταύτην πράττειν μᾶλλον ἢ λαλεῖν." Πρὸς ἃ δὴ νὴ τοὺς θεοὺς ἠρυθρίων αὐτὸς καὶ ὀλίγου δεῖν ἐπεφραττόμην τὰ ὦτα, καὶ ἄλλος ἤμην Πρωτεὺς μυρίοις τοῖς χρώμασιν ἀλλαττόμενος, πάνυ γε δυσχεραίνων τοῖς σκώμμασι τοῦ πατρός. Πρὸς ὃν ὁ ἱερεὺς 5 " πέπαυσο, Σώσθενες, μὴ καὶ ἀναστῆναι πείσῃς τὴν κόρην· αἰδὼς γὰρ παῖς ἐλέγχων ἐστί, πρᾶξις δ' οὐκ 429 ἔτεκεν αὐτήν." Καὶ πρὸς τὴν παρθένον φησὶ " μὴ 21 φείσῃ μοι λέγουσα."

Ἡ δὲ περιρρεομένη πυκνοῖς ἱδρῶσι καὶ δάκρυσι 13 καὶ τῇ γλώττῃ διαμαρτάνουσα καὶ τὴν φωνὴν παρακοπτομένη τῷ ἄσθματι καὶ ὅλους τοὺς ὀφθαλμοὺς ἀτενῶς τῇ γῇ προσερείδουσα " τὰ μὲν δὴ μέχρι νεὼς καὶ θαλάττης καὶ κλύδωνος εἴρηται" φησὶ " τῷδε τἀνδρί· ἐπεὶ δ' ἐξεσφενδονήθην εἰς θάλατταν, δελφὶν ἐπὶ 2 νώτου με δέχεται, τοῖς κύμασι κυβιστῶν καὶ ὅλος κούφως νηχόμενος· ἐγὼ δ' ἐπενηχόμην μὲν γυμνὴ τῷ θηρὶ καὶ τοῖς κύμασιν ἐκυκώμην καὶ πρὸς τὴν

8 post ομμασιν: ἐμβαλὼν

Θάλατταν ἰλιγγίων καὶ πρὸς τὸν τοῦ θηρὸς φόβον
3 *τὴν ψυχὴν ἐσπαραττόμην αὐτήν· εἶχον ὡς σωτῆρα*
τὸν θῆρα καὶ τὸν ὑπηρέτην ἐλογιζόμην ἐχθρόν·
ἔφριττον τὸν σωτῆρα, τὸν ἐχθρὸν ἐφίλουν, καὶ ὡς
4 *μὲν σωτῆρι ξυνεπλεκόμην αὐτῷ· ἐπεὶ δὲ θὴρ ὁ σω-*
τήρ, ἐζήτουν φυγεῖν· ἀλλ' οὐκ ἐθάρρουν τοῖς κύμασι,
καὶ ἤμην κατακλυδωνιζομένη καὶ λογισμοῖς καὶ κύ-
μασι καὶ θηρί.
14 *Ἐπεὶ δ' ἤδη τὴν ψυχὴν ἀπεφύσων τοῖς κύμασι,* 42
καὶ δὴ μειράκιον ἐφίσταταί μοι γυμνὸν ἐπὶ δελφῖνος
ἑστός, καὶ χεῖρά μοι προτείνει καὶ λαβὸν ἐπὶ τὴν χέρ-
σον ἐξάγει με, καὶ πτερυξάμενον τοῖν ποδοῖν (ἦν
γὰρ πτερωτὸν τὼ πόδε) ἀπέπτη μου τῶν ὀφθαλμῶν.
2 *Ἐγὼ δ' ἀλλ' 'ὦ μῆτερ' παρακαθημένη τοῖς κύμασιν*
'ὦ μῆτερ μῆτερ' ξὺν δάκρυσιν ἔλεγον. Μετὰ γοῦν
δή τινας ἡμέρας, ὧν ἀκριβῶς οὐκ οἶδα τὸν ἀριθμόν,
ναῦν τινὰ παραθέουσαν ὁρῶ, πρὸς ἣν ἐκτείνω τὼ
χεῖρε, τῷ σχήματι δυσωπῶ, καὶ παρακαλῶ τῇ φωνῇ.
3 *Ταύτην ἄγουσιν οἱ πλωτῆρες περὶ τὴν γῆν καί με τῆς*
χέρσου λαμβάνουσι καὶ παρατίθενται τῇ νηί· καὶ πά-
σχουσι τὴν ψυχήν, διερρωγός τι ῥάκος ἐπιδιδύσκουσι
καὶ τροφήν μοι ξυμπαθῶς παρατίθενται, ὅλον κοι-
νούμενοι τὸ δυστυχές.
15 *Τὴν νύκτα γοῦν ὅλην οὐρίῳ πλέοντες πνεύ-*
ματι, ἔτι μικρὸν ὑποφαινομένης τῆς γῆς, οὐ
σφόδρα βιαίως ἠγόμεθα· ἡλίου δ' ἀνίσχοντος
τὸ κῦμα ηὐξάνετο, καὶ ὁ ἄνεμος ἐπεδίδου, 433
2 *καὶ κατερράγη τὸ κέρας. Καὶ ὁ κυβερνήτης ἐζήτει*
τὴν γῆν, ἐκφεύγων τὸν κλύδωνα· ἀλλ' ἔλαθεν εἰς
πῦρ ἐμπεσὼν ἐκφυγὼν τὸν καπνόν· ἅμα γὰρ τῇ γῇ
προσορμίζει τὴν ναῦν καὶ θηρσὶν ἀνθρώποις ἡμᾶς
3 *παραδίδωσιν· ἦν γὰρ παρὰ τῷ λιμένι τριήρης καὶ*

παρὰ τῇ ψάμμῳ πλῆθος ἀνδρῶν τοὺς ὀφθαλμοὺς ἀγρίων, μεμελανωμένων τὰς ὄψεις, παλαμναιοτάτων τὰς χεῖρας, θηρίων ὅλων μᾶλλον ἢ ἀνδρῶν, οἳ ξυνέχουσι πάντας ἡμᾶς καὶ σφάττουσι τοὺς ἄνδρας ἀνηλεῶς καὶ χαίρουσι τῷ θηράματι· ἐμὲ δ' οὐκ οἶδ' ὅπως περὶ τὸν τοῦ σκάφους πυθμένα κατάγουσι, ποδοκάκην ἐνθέντες μου τοῖς ποσί. Καὶ μεθ' ἡμέραν ἐκείνην ἐστείλαντο τὴν ὀθόνην, παραδόντες τὸ σκάφος τῷ πνέοντι· καὶ δι' ὅλης ἐκείνης νυκτὸς ἐφερόμεθα προσηνῶς εὐδίῳ τῷ πνεύματι· ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος, καθορῶμεν τὴν γῆν, καὶ πόλις παρὰ τῇ γῇ. 4 5

Ἀποβάντες οὖν τῆς τριήρους οἱ πειραταὶ καὶ τοῖς πολίταις σπεισάμενοι ἐξάγουσι τὸν φόρτον τοῦ σκάφους, κἀμὲ ξυνεξάγουσι καὶ περί τινα μετάγουσί με πηγὴν καὶ δάφνης με στεφανώσαντες ἐπιρρίπτουσι τοῖς ὕδασι, καὶ μεθ' ὥραν πάλιν ἐξάγουσι καὶ δουλογραφοῦσί με τῇ Ῥοδόπῃ, μεθ' ἧς τὸν μέγαν τοῦτον βωμὸν τῆς ἐλευθερίας κατέλαβον, δέσποιναν ἔχουσα ταύτην ἐκ θαλάττης καὶ τύχης καὶ δουλογραφείου βαρβαρικοῦ." 16 434 2

Ταῦτα καὶ τῆς ἐμῆς Ὑσμίνης εἰπούσης τέλος τὸ δεῖπνον ἐδέχετο, καὶ τοῖς ὕπνοις ὡς ἐκ πολυτελοῦς τραπέζης εὐθὺς ἐσπεισάμεθα. Ἐπεὶ δὲ νὺξ οὐδαμοῦ (ἦλιος γὰρ ὑπὲρ γῆν), καὶ ἡμεῖς τῶν ὕπνων ἀπεσπώμεθα καὶ στρωμνῆς ἀνέστημεν ἕκαστος. Ἐπεὶ δὲ πέρας ἔλαβε καὶ τὰ τῆς ἑορτῆς, ἀπαίρομεν ἐκ Δαφνηπόλεως ἐς Ἀρτύκωμιν, ὡς χρυσὸν ἐν πυρὶ τὴν Ὑσμίνην ἐν πηγῇ καὶ τόξοις ἀργυρογνωμονήσοντες. 17 2

Περὶ τὴν πηγὴν γινόμεθα τῆς Ἀρτέμιδος, καὶ πᾶσα πόλις καὶ κώμη ξὺν ἡμῖν ξυντρέχει. Καὶ τὸ τῆς Ἀρτυκώμιδος γίνεται πρὸς τῇ πηγῇ πρὸς τοῖς τόξοις, τὴν 3

Ὑσμίνην ἐστεφανωμένην ὁρᾷ, τὴν Ἄρτεμιν καταδυσ- 437
ωπεῖ, ἐλεεῖ τὴν κόρην, περὶ τὴν παρθένον διψυχεῖ,
4 ἀπιστεῖ τῇ σεμνότητι, καὶ φρίττει τὸν ἔλεγχον. Ἐγὼ
δ' εἱστήκειν ὁρῶν τὸ τόξον καὶ τὴν πηγὴν καὶ τὸν
στέφανον, ὅλους ἔχων τοὺς ὀφθαλμοὺς πρὸς τὴν κό- 5
ρην· καὶ βλέπων ἐδάκρυον καὶ ὅλην τὴν ψυχὴν κατε-
5 πολιορκούμην τοῖς λογισμοῖς. Ὑσμίνη μοι στεφανοῦ-
ται, τὸ παρεστὸς ἀλαλάζει· ἐμβάλλεται τῇ πηγῇ, τὸ
πλῆθος σιγᾷ, καὶ θροῦς οὐδαμοῦ· τὸ τόξον ἠρεμεῖ,
τὸ ὕδωρ ἀτρεμεῖ, καὶ ἡ παρθένος κούφως τοῖς ὕδασιν 10
6 ἐπινήχεται· χαίρει τὸ πλῆθος, ἐξ ἡδονῆς ὀρχεῖται, χα-
ρίεν κροτεῖ καὶ ἀλαλάζει σωτήρια καὶ "παρθένος ἡ
κόρη" κηρύττει Στεντόρειον· ἐγὼ δ' ὅλην ὑφ' ἡδο-
νῆς ἐκκέχυμαι τὴν ψυχήν.

18 Ἐκβάλλεται τῆς πηγῆς ἡ παρθένος (οὐ διψυχήσει 15
γὰρ ἔτι περὶ τὴν κλῆσιν οὐδείς), ἡ μήτηρ αὐτὴν περι-
πτύσσεται, τῷ πατρὶ μεθ' ἡδονῆς εὐλογεῖται καὶ περὶ
τὴν Ἄρτεμιν γίνεται, ἐπιστεφανοῦται τὸ ἐπινίκιον
"ἡ παρθένος παρθένος· περὶ τὴν κόρην οὐκ ἔστιν ὁ 438
2 διψυχῶν." Καὶ οὕτως ἐξ Ἀρτυκώμιδος γινόμεθα περὶ 20
τὴν Αὐλίκωμιν καὶ θύομεν τοὺς γάμους πολυτελῶς
ἐν μέσῳ τῷ τοῦ Σωσθένους κήπῳ, ἐν ἐκείνῃ πολυτε-
λεῖ τραπέζῃ καὶ φρέατι, οἷς πρῶτον ἐρωτικὴν πα-
στάδα κατεπηξάμεθα.

19 Ὀρθὴ γοῦν πᾶσα πόλις Αὐλίκωμις, ὑμνοῦσα κρο- 25
τοῦσα χαίρουσα, ὀρχουμένη πρὸ τῆς παστάδος, πρὸ
τοῦ νυμφῶνος, πρὸ τῶν νυμφίων ἡμῶν, ᾠδὴν ὑμέ-
ναιον ᾄδουσα, ἐπιθαλάμιον ἀλαλάζουσα καὶ λαμπρὸν
2 ἀγαλλομένη γαμήλιον. Τίς οὖν οὕτω καὶ τὴν μοῦσαν
ἡδὺς καὶ τὴν φωνὴν μεγαλόφωνος καὶ τὴν γλῶτταν 30

---

4 post ὁρῶν: περὶ

ἀττικευομένην ἔχων ὡς τὰ πολλὰ καὶ κομψευομένην ὑπόσεμνα, ὡς καταζωγραφεῖν τῷ λόγῳ τοὺς γάμους καὶ ὅλους αὐτοὺς διαγράφεσθαι; Θεῶν ἦν ὄντως 3 ἐκείνη παστάς, Ἥρας γάμος, Ἀφροδίτης νυμφών. Ἐγὼ δ' ἔχαιρον οὕτω λαμπρῶς καὶ λίαν φιλοτίμως νυμφοστολούμενος, καὶ μᾶλλον ὅτι καὶ τὴν Ὑσμίνην Ἔρως ξυνενυμφοστόλησέ μοι πολυτελῶς, βασιλικῶς 441ξυνεκάθισε καὶ μεγαλοπρεπῶς μοι ξυνεστεφάνωσεν. Ἀλλ' ηὐχόμην πέρας τὰ τῆς τραπέζης εὑρεῖν καὶ νὴ 4 τὸν Ἔρωτα τὴν ἡμέραν ἐμίσησα τὴν νύκτα ζητῶν, καὶ τὸ τῆς κωμῳδίας μικρὸν ὑπαλλάξας ὑπεψιθύρισα "ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆματῆς ἡμέρας ὅσον." Οὕτω μὲν οὖν μοι τὰ τῶν γάμων καὶ ὑπὲρ τὴν 20 Ὁμήρου μεγαλοφωνίαν, ὑπὲρ πᾶσαν μοῦσαν, ὑπὲρ πᾶσαν γλῶτταν κατεστομωμένην ῥητορικῶς. Ἀλλ', ὦ Ζεῦ, οὔ κήρυξ ἦκον ἐς ταυτηνὶ τὴν Αὐλίκωμιν, ὦ τύραννε Ἔρως, οὐ δοῦλος ἐξ Αὐλικώμιδος ταύτης ἐς τὴν ἐμὴν ἐπανῆκον Εὐρύκωμιν, ὦ Πόσειδον ὁ ταυ- 2 τηνὶ τὴν Ὑσμίνην λύτρον λαβών, ὦ μέγ' Ἄπολλον ἐλευθερίαν ἡμῖν χαρισάμενος, ὦ τόξον Ἀρτέμιδος καὶ πηγὴ τὴν παρθένον ἐλέγχουσα, μὴ βυθὸς ἀμνηστίας κατεπικλύσῃ τὰ καθ' ἡμᾶς, μὴ ῥυτίς, μὴ χρόνος μακρός, μὴ λήθης κρατὴρ ἐν Ἅδου κιρνώμενος. Ἀλλ', ὦ Ζεῦ, εἰ τὸ τῶν Διοσκούρων θαυμάζων 21 φιλάδελφον ἐν οὐρανῷ τὴν μνήμην φυλάττεις ἀθάνα-442τον, ὑπὲρ ἐκείνους ἡμῖν τὸ φιλάδελφον ὅλον κοινωσαμένοις τὸ ζώσιμον. Εἰ τὸν πολὺν Ἡρακλῆν τῶν 2 πολλῶν ἐλεήσας ἐκείνων δρόμων καὶ περιδρόμων ἐν οὐρανῷ τὴν μνήμην ἀπαθανατίζεις αὐτῷ, ἡμεῖς οὐκ αἰχμάλωτοι καὶ δοῦλοι καὶ πλανῆται καὶ ἐπὶ πᾶσι τὴν παρθενίαν ἀπαρεγχείρητοι; Ἀλλ' εἰ κατέψευσμαι τὸ 3 κηρύκειον καὶ Ἔρωτα παῖδα Διὸς ἀντηλλαξάμην πα-

τρός, καὶ Ζεὺς οὐ καταστερίσει τὰ καθ' ἡμᾶς καὶ τὴν ἐν οὐρανῷ μνήμην οὐκ ἐπινεύσει χαρίσασθαι, σὺ δ' ἀλλ', ὦ Πόσειδον, εἰ τὸν Ἴκαρον ἐλεεῖς καὶ σώζεις
4 τούτῳ τῇ θαλάττῃ τὴν μνήμην ἀθάνατον τῷ πελάγει τὴν κλῆσιν ἐξ αὐτοῦ χαριζόμενος, ἡμῖν οὐ περισώσεις τὴν μνήμην ἐξ ἡμετέρων ἐκείνων τεράτων κλῆσιν τῇ θαλάττῃ δωρυμένος καὶ τὰ καθ' ἡμᾶς ἐν ὕδατι καταζωγραφῶν καὶ μέχρις ἐσχάτων τηρῶν ἀναπόνιπτα; Ναὶ ναὶ πάντως. Ἀλλ' αἰδῇ τὴν ἧτταν καὶ δέδοικας μὴ τὰ καθ' ἡμᾶς καταζωγραφῶν στηλογραφήσῃς τὰ κατὰ σοῦ.

Σὺ δ', ὦ Γῆ μῆτερ, εἰ τὴν Δάφνην φεύγουσαν ἐλεεῖς καὶ κρύπτεις καὶ σώζεις καὶ φυτὸν ὁμώνυμον αὐτομάτως γεννᾷς εἰς μνήμης ξυντήρησιν, εἰ τὸν Ὑάκινθον ἐξ ὁμωνύμου φυτοῦ φυλάττεις ἀθάνατον,
2 ἡμῖν οὐ ξυντηρήσεις τὴν μνήμην, φυτὰ δ' οὐκ ἀναδώσεις ὁμώνυμα, στήλας ἀθανάτους τῶν καθ' Ὑμίνην ταύτην καὶ τὸν Ὑμινίαν ἐμέ, ὅλον δρᾶμα τὸ καθ' ἡμᾶς τοῖς φυτοῖς καταζωγραφοῦσα καὶ καταστηλιτεύουσα καὶ τοῖς μεθ' ἡμᾶς φυλάττουσα τὴν μνήμην ἀθάνατον; Ἀλλ' ἐννοσίγαιος ὁ Ποσειδῶν, ἀλλ' ἐνοσίχθων, καὶ καταβρυχήσεταί σε, μῆτερ, λεόντειον, καὶ κατακυκήσει σε τὴν μητέρα στηλογραφοῦσαν τὰ καθ' ἡμᾶς καὶ τὴν ἐξ Ἔρωτος καταφαυλίζουσαν ἧτταν αὐτοῦ· φιλομήτωρ δ' ἐγώ, καὶ τιμῶ τὴν μητέρα καὶ
4 κήδομαι τῆς μητρός. Τοίνυν εἰ Ζεὺς οὐ καταστερίσει τὰ καθ' ἡμᾶς, εἰ Ποσειδῶν οὐ καταστηλογραφήσει τοῖς ὕδασιν, εἰ Γῆ μὴ καταφυτουργήσει τοῖς φυτοῖς καὶ τοῖς ἄνθεσιν, ἀλλ' ὡς ἐν ἀμαράντοις ξύλοις καὶ λίθοις ἀδάμασιν Ἑρμοῦ γραφίδι καὶ μέλανι καὶ γλώττῃ πῦρ πνεούσῃ ῥητορικὸν τὰ καθ' ἡμᾶς στηλογραφηθήσεται, καί τις τῶν ὀψιγόνων καταρρητο-

ρεύσει ταῦτα καὶ ὡς ἀθανάτῳ στήλῃ τοῖς λόγοις ἀνδριάντα χαλκουργήσει κατάχρυσον.

Ὅσον μὲν οὖν ἐν ἀνθρώποις ἐρωτικώτερον, τῶν 23
πολλῶν ἐρωτικῶν χαρίτων ἡμᾶς ἀποδέξεται, καὶ ὅσον παρθενικὸν καὶ σεμνότερον, τῆς σωφροσύνης ἀγάσεται· ὅσον δ' ἐκ τύχης αἰχμάλωτον καὶ δοῦλόν ἐστι, 2
καὶ οὕτω τῆς ἐλευθερίας ἡμᾶς ἀποδέξεται καὶ θάρσος λάβῃ κατὰ ψυχήν· ὅσον δὲ ξυμπαθέστερον, ἐλεήσει τῶν δυστυχημάτων ἡμᾶς, καὶ οὕτως ἡμῖν ἔσται τὰ τῆς μνήμης ἀθάνατα. Ἡμεῖς δὲ καταχαριτώσομεν 3
τὴν γραφὴν καὶ ὅλην τὴν βίβλον κατακοσμήσομεν καὶ χάρισιν ἐρωτικαῖς καὶ τοῖς ἄλλοις ὅσα βίβλους κοσμοῦσι καὶ τοὺς λόγους κατακαλλύνουσι· κλῆσις δ' ἔστω τῇ βίβλῳ τὸ καθ' Ὑσμίνην δρᾶμα καὶ τὸν Ὑσμινίαν ἐμέ.

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΥΡΟΥ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

ΤΩΝ ΚΑΤΑ ΡΟΔΑΝΘΗΝ ΚΑΙ ΔΟΣΙΚΛΕΑ

ΒΙΒΛΙΑ Θ

A

Ἤδη τὸ τετράπωλον ἡλίου δίφρον
τὴν γῆν διελθὸν εὐδρόμῳ περιδρόμῳ
ταύτην ὑπελθὸν ἐγνόφου τὴν ἑσπέραν,
λιπὸν σκοτεινὸν τὸν καθ' ἡμᾶς ἀέρα,
καὶ ναῦς τριήρης ληστρικῆς ναυαρχίας
πρώτη προπηδήσασα παντὸς τοῦ στόλου
ἐλλιμενίζει τῆς Ῥόδου τῷ λιμένι·
καὶ τοῖς ἐπ' ἀκτῆς ἐμβαλοῦσα χωρίοις
ἐβόσκετο ξύμπαντα τὸν πέριξ τόπον·
οἱ βάρβαροι γὰρ ἐξιόντες αὐτίκα
βότρυς ἐπάτουν καὶ κατέκλων ἀμπέλους,
τὰς φορταγωγοὺς ἐξεπίμπρων ὁλκάδας,
τὸν φόρτον ἁρπάσαντες ἐκ τούτων μέσων
καὶ τοὺς ἐν αὐταῖς συνεπίμπρων ναυτίλους.
p. 5 (ed. Gaulm.) Ἄλλου κεφαλὴν ἐξέκοπτεν ἡ σπάθη,
ἄλλος διχῇ τέτμητο πανθήκτῳ ξίφει,
ἄλλου ταλαίνης καρδίας κατηυστόχει
βέλος τιναχθὲν ἐκ παλάμης βαρβάρου,
ἄλλους ἀνῄρει τῆς μαχαίρας τὸ στόμα
εἰς λαιμὸν αὐτὸν ἐμπεσὸν κτήνους δίκην.
Οὕτως ἐκείνων τῶν ἀπηνῶν βαρβάρων
καταστρεφόντων τοὺς παραλίους τόπους
ὁ ληστρικὸς πᾶς ἦλθεν εἰς Ῥόδον στόλος.
Κενὰς δὲ τὰς ναῦς ἐκλιπόντες αὐτίκα
καὶ πάντες ἄρδην εἰσιόντες τὴν πόλιν
λείαν Μυσῶν ἔθεντο ταύτην, ὡς λόγος·

τῶν γὰρ κατοίκων οὓς μὲν ἔκτεινε ξίφος,
οὓς δὲ προαπέκτεινε τοῦ ξίφους φόβος
(οἱ μὲν τρέμοντες βαρβάρων πικρὰς χέρας
ἔρριπτον αὐτοὺς εἰς φάραγγας, εἰς νάπας,
κρεῖττον κρίνοντες ζημιοῦσθαι τὸν βίον
ἢ λῃστρικῇ γοῦν ἐμπεσεῖν ἀστοργίᾳ)·
ἄλλους δὲ δεσμήσαντες ἐκ τῶν αὐχένων
κλοιοῖς σιδηροῖς ἐσφυρηλατημένοις
καὶ χεῖρας ἐκδήσαντες ἐξοπισθίους
δούλους προῆγον ἀθλίως τοὺς ἀθλίους·
μεθ' ὧν Δοσικλῆς καὶ Ῥοδάνθη παρθένος
6 χειρὶ συνεδέθησαν ὠμοῦ βαρβάρου.
Ἦν οὖν τὸ κάλλος τῆς κόρης χρῆμα ξένον,
ἄγαλμα σεπτόν, εἰκόνος θείας τύπος,
εἰς εἶδος Ἀρτέμιδος ἀπεξεσμένον.
Μίμημα λευκῆς χιόνος τὸ σαρκίον·
παντὸς μέλους σύστοιχος ἀλληλουχία,
ἄλλου πρὸς ἄλλο δεξιῶς κολλωμένου
καὶ παντὸς εἰς πᾶν εὐφυῶς ἡρμοσμένου.
Ὀφρὺς φυσικῶς εὖ γεωμετρουμένη
εἰς εὐφυᾶ μίμησιν ἡμικυκλίου·
ὑπόγρυπος ῥὶς καὶ κόρη μελαντάτη.
Κύκλοι παρειῶν αὐτόθεν γεγραμμένοι,
τέτταρες ἀμφοῖν, τῇ μιᾷ πάντως δύο,
ὧν τοὺς μὲν ἐκτὸς καὶ συνεκτικωτέρους
τῆς χιόνος φαίη τις ἂν ἀποσπάδα,
τοὺς δ' ἐντὸς αὐτῶν ὥσπερ ἠνθρακευμένους
ἐκ τῶν ἐνόντων αὐτοκαύστων ἀνθράκων.
Στενὸν κομιδῇ καὶ κατάσφικτον στόμα·
ἀγκών, βραχίων, ἁρμονία δακτύλων
ἐκ φυσικοῦ ξεστῆρος ἀπεξεσμένη·
θέσις σφυρῶν εὔτακτος, ὡς ποδῶν βάσις·

τὸ βάθρον εἶπεν ἄν τις ὡς πρὸς τὴν στέγην·
καὶ τἆλλα σεμνά, καὶ καλὴ πᾶσα πλάσις.
Οὕτως ἀρίστη τὴν θέαν ἡ παρθένος,
ὡς καὶ τὸν ἀγρεύσαντα λῃστὴν Γωβρύαν,
θεὰν ὑποπτεύσαντα τὴν ἡγρευμένην,
δεσμῶν ἁπάντων ἐκλιπεῖν ἐλευθέραν,
τρέσαντα πάντως οὐκ ἀνεύλογον φόβον,
μή που θεά τις συνδεθῇ τῶν ἐν Ῥόδῳ,
ὑποκριθεῖσα τὴν βροτησίαν πλάσιν.
Οὕτω τὰ θαυμάσια τῶν θεαμάτων
καὶ βαρβαρικὸν συγκατασταλλει θράσος,
ψυχὴν δὲ λῃστοῦ πρὸς κατάπληξιν στρέφει.
Ἡ μὲν στρατιὰ τοὺς ἁλόντας ἐν Ῥόδῳ
ὁμοῦ Δοσικλεῖ καὶ Ῥυδάνθῃ τοῖς νέοις
εἰς τὰς τριήρεις ἐμβαλοῦσα τῷ τότε
καὶ φορτίδα πλήσασα φόρτου χρυσίου
εἰς τὴν ἑαυτῶν ἀνταπῆλθε πατρίδα,
καὶ τὸν στρατάρχην καὶ στολάρχην Μιστύλον
κύκλωθεν ὑμνήσασα καὶ περιστάδην
καὶ τοὺς ἁλόντας αἰχμαλωσίας νόμῳ
εἱρκταῖς περικλείσασα ταῖς μυχαιτέραις
εἰς τοὺς ἑαυτῆς ἀνταπήλθοσαν δόμους
καὶ συντετηκὸς τῷ κόπῳ τὸ σαρκίον
στρωμναῖς προσανέπαυσαν ὥσ δὲ καὶ πότοις.
Τί γοῦν τὸ πλῆθος τῶν συνεγκεκλεισμένων;
Ὕπνωττον (οἷον ὕπνον, ὡς κακὸν λίαν),
εἰς γῆν κατακλιθέντες ὡς οἷα κλίνην·
νὺξ γὰρ τὸ πᾶν κατέσχε δύντος ἡλίου.
Οὐ μὴν Δοσικλῆς ἀλλὰ πολλὰ δακρύσας
"ὦ δυσμενὴς" ἔκραξεν "ἀγρία τύχη,
ποῦ με προάγεις; εἰς τί με στήσεις τέλος;
ἄποικον εἰργάσω με τῆς γειναμένης,

φυγήν με κατέκρινας ὡς δὲ καὶ πλάνην,
ἀπεξένωσας συγγενῶν, γνωστῶν, φίλων,
μητρὸς ποθεινῆς, προσφιλοῦς φυτοσπόρου·
καί με ξυνέσχε δυσμενὴς πάλιν τόπος,
καὶ βάρβαρος χεὶρ κυριεύει μου πάλιν,
ἔχω δὲ τὴν γῆν ἀντὶ μαλακῆς κλίνης.
Καὶ ταῦτα μικρά, τῶν δ' ἐς αὔριον χάριν
λίαν κατασπᾷ τὴν ἐμὴν ψυχὴν φόβος,
τὴν αἱμοχαρῆ καρδίαν τῶν βαρβάρων
καὶ τὴν ἀπηνῆ λῃστρικὴν ἀστοργίαν
καὶ τὸ δριμὺ πρόσωπον ἐνθυμουμένην.
Ἰδὼν γὰρ ἴσως τὴν κόρην ὁ λῃστάναξ
ἔρωτος εὐθὺς ὑποδέξεται φλόγα
καὶ πῦρ ἀνάψει λάβρον ἐν τῇ καρδίᾳ,
βιάσεται δὲ τὴν Ῥοδάνθην εἰς γάμον.
13 Κἂν μὲν τύχῃ, θάνατος εἰς Δοσικλέα
ἢ βαρβαρικῷ θανατούμενον ξίφει
ἢ τῆς ἑαυτοῦ παλάμης ἀντιστάσει·
εἰ δ' οὐ τύχῃ, θάνατος εἰς τὴν παρθένον·
θερμὸν γάρ ἐστιν εἰς ἔρον τὸ βάρβαρον,
κἂν μὴ τύχῃ, πρόχειρον εἰς φονουργίαν.
Κἀγὼ μὲν ἴσως καρτερήσω τὴν βίαν,
κἂν δεσμά, κἂν κόλασιν ἐκ ῥαβδισμάτων
παθεῖν κελεύῃ δυσμενῶς ὁ Μιστύλος
τὸν αἰχμάλωτον ἄθλιον Δοσικλέα·
ἀνὴρ γάρ εἰμι καὶ μάχαις συνετράφην
καὶ μυρίους ἤθλησα πολλάκις μόθους·
ἀλλ' ἡ Ῥοδάνθη πῶς ὑποίσει τὸν πόνον
γυνὴ θαλάμῳ καὶ τρυφαῖς εἰθισμένη,
σὰρξ ἁπαλή, πρόχειρος εἰς πᾶσαν νόσον,
εἰ καὶ μικρᾷ γοῦν αἰκίᾳ παρεμπέσοι;
Τοιαῦτα πάσχεις, ὦ Ῥοδάνθη παρθένε,

τοιαῦτα πάσχεις τοῦ Δοσικλέος χάριν·
ἐν γῇ καθεύδεις, καὶ λιμῷ τετηγμένη
ὅμως Δοσικλῆν ὑπάγεις ὑπὸ στόμα·
καλεῖς δὲ πυκνὰ τῇ καθ' ὕπνους ἐμφάσει,
καὶ τοὺς ὀνείρους ἀξιοῖς ὕειν μίαν
φέρειν ἐν ὕπνοις τὴν θέαν Δοσικλέος.
Ἐγὼ παρέσχον ἐμπεσεῖν σε, παρθένε,
μοίραις πονηραῖς καὶ παλαμναίαις τύχαις·
καὶ πῶς τὸν ἐχθρὸν ἀγαπᾷς Δοσικλέα;
Οὕτως ἀποιμώξοντι τῷ νεανίᾳ
ἐφίσταται παῖς ἀγαθὸς τὴν ἰδέαν,
οἶμαι προληφθεὶς καὶ προεγκεκλεισμένος.
Καὶ δὴ προσείπων καὶ καθεσθεὶς πλησίον
Κράτανδρος αἰχμάλωτος Ἕλλην ἐκ Κύπρου
"παύθητι" φησὶ "τῶν στεναγμῶν, ὦ ξένε·
ἐπίσχες ὀψὲ τὰς ῥοὰς τῶν δακρύων,
ἀποξενωθεὶς τῆς ἐνεγκούσης φέρε·
ἔχεις γὰρ ἡμᾶς συναπεξενωμένους.
Ληστῶν ἀπηνῶν ἁρπαγῇ κατεσχέθης·
πάντες κατεσχέθημεν ὅπλοις βαρβάρων.
Οἰκεῖς φυλακήν· συμπεφυλακίσμεθα.
Πάντως δὲ πάντως ἡ κακῶν κοινωνία
φέρει παρηγόρημα τῷ πεπονθότι,
ἐλαφρύνει δὲ τοῦ πόνου τὴν φροντίδα
καὶ τῆς ὀδύνης τὴν κάμινον σβεννύει,
ὕδωρ ἐπιστάξασα παραμυθίας.
Ἄφες τὸ πενθεῖν καὶ τὸ μακρὰ δακρύειν
(θηλυπρεπὴς γὰρ ἡ ῥοὴ τῶν δακρύων)
καὶ τὰς σεαυτοῦ δυστυχεῖς τύχας λέγε·
εἴποις γὰρ αὐτὰς ἀνδρὶ δυστυχεστέρῳ."
"Ἕλλην, θεοὶ σωτῆρες, οὗτος ὁ ξένος,
Ἕλλην;" Δοσικλῆς εἶπεν "ἀλλ' ὦ μοι ξένε

σὺ τὰς σεαυτοῦ προφθάσας μᾶλλον λέγοις·
λέγων γὰρ ἴσως ἐξεώσεις τὸν πόνον
καὶ κουφιεῖς με τῶν μακρῶν στεναγμάτων."
"Οὐκ ἂν φθάνοιμι τὰς ἐμὰς λέγειν τύχας"
ἔλεξεν ὁ Κράτανδρος ἀνθυποφθάσας.
"Ἐγώ, Δοσίκλεις, Κύπρον ἔσχον πατρίδα,
φυτοσπόρον Κράτωνα, μητέρα Στάλην.
Ἐγειτνία μοι παρθένος Χρυσοχρόη
Ἀνδροκλέος παῖς καὶ θυγάτηρ Μυρτάλης.
Ἤλων ἐκείνης (οὐ γὰρ αἰσχύνη λέγειν
πρὸς ταυτοπαθῆ, πρὸς ποθοῦντα, πρὸς νέον),
ἁλοὺς δὲ τὴν ἐνοῦσαν ἐν στέρνοις φλόγα
δήλην καθιστῶ τῇ κόρῃ δι' ἀγγέλου.
Ἤκουσεν ἡ παῖς, καὶ προσέσχε τῷ λόγῳ
καί μοι κατηγγύησεν αὐτῆς τὸν γάμον.
Ὡρισμένης οὖν συντεθείσης ἑσπέρας,
καθ' ἣν ὑπελθὼν τὸν θάλαμον τῆς κόρης
λόγους παράσχω καὶ δεδέξομαι λόγους,
ἐπεὶ προσῆλθον τῇ πύλῃ τῆς εἰσόδου,
18 κεκλεισμένας μὲν ἀνέῳξα τὰς θύρας,
ξύλινον αὐτῶν ἐκτινάξας μοχλίον,
προβὰς δὲ πρὸς τοὔμπροσθεν ἡσύχῳ ποδὶ
ἔσπευδον ἐλθεῖν ἀμφὶ τὴν Χρυσοχρόην.
Ἀλλ' οὐ λέληθα τὴν φυλάκισσαν Βρύαν·
τὸν δεσπότην γὰρ εὐθέως Ἀνδροκλέα
μακραῖς λαλαγαῖς ἐξεγείρει τῆς κλίνης
καὶ τοὺς ἑαυτῆς δυσμενεῖς συνοικέτας
καὶ τὸν συλητὴν εὐθὺς ἐκπεφευγότα
λαβεῖν ἐφώρμων καὶ κτανεῖν ξύλοις λίθοις.
Ὁ μὲν ῥόπαλον ταῖν χεροῖν ἐξημμένος
ἦ θατέραν γοῦν τὴν θυρῶν παραστάδα,
ὁ δ' ἐξορύξας ἦ σπαράξας τὸν δόμον

καὶ χειροπληθῆ ταῖν χεροῖν ἄρας λίθον,
τοῖς προστυχοῦσι πάντες ἐξωπλισμένοι
τῷ νυκτοκλέπτῃ τὴν βίαν ἐπεκρότουν.
Καὶ τοῦ Κρατάνδρου μηδαμοῦ τετευγμένοι
(ὡς ὤφελον γε, καὶ τί γάρ μοι ξῆν ἔτι;)
κατευστοχοῦσι δυστυχῶς τῆς παρθένου.
Ἡ γὰρ πονηρὰ παλάμη τοῦ Λητίου
Κράτανδρον ἐλπίσασα τὴν Χρυσοχρόην
ἀνεῖλε, φεῦ φεῦ, ἀθλίως τὴν ἀθλίαν,
μακρῷ διαθρύψασα τὴν κάραν λίθῳ.
21 Λύχνου δ' ὑπαυγάσαντος εἰς τὴν οἰκίαν
καὶ τῶν παρόντων ἐκπλαγέντων τὴν θέαν
(καὶ πῶς γὰρ οὐκ ἔκπληξιν ἔσχον καὶ φόβον
οἱ τὴν ἑαυτῶν ἀνελόντες δεσπότιν;)
οἱ πάντες εὐθὺς συμμιγῆ φωνὴν μίαν
ἔκραξαν ἠλάλαξαν ἐκπεπληγμένοι,
καὶ τὸν τεκόντα τὴν κόρην Ἀνδροκλέα
ἄπνουν ἐκάλουν τὴν θυγατέρα βλέπειν,
ἐπιγράφοντες τῷ Κρατάνδρῳ τὸν φόνον.
Καὶ γοῦν ὁ πατὴρ τὴν στολὴν ἐρρηγμένος
καὶ τῆς κεφαλῆς τὴν κόμην κεκαρμένος
καὶ τὴν κορυφὴν τῇ κόνει πεπασμένος
καὶ τὴν παρειὰν ἐγκατεσπαραγμένος
καὶ τὸ πρόσωπον πενθίμως ἐσταλμένος
οἰκτρᾶς κατῆρχεν ἄθλιος τραγῳδίας
'ὤμοι' λέγων 'θύγατερ, ὤμοι παιδίον
οὕτως ἀώρως ἐκ μέσου μετηρμένον·
ὦ τέκνον, ὦ γέννημα πατρὸς ἀθλίου,
ἀπῆλθες ἔνθεν δυσμενοῦς φθόνῳ τύχης
ἀνύμφος, ἀστόλιστος, οὐδὲ παστάδας
εἶδες γαμικάς, οὐδ' ὁ σὸς φυτοσπόρος
ἀνῆψεν ἐν σοὶ νυμφικὴν δᾳδουχίαν,

οὐδ' ἦρξεν ᾠδῆς εὐφυῶς γαμηλίου·
22 ἀλλ' ἐτρυγήθης τοῦ προσώπου τὴν χάριν
ἔαρος ἄκμάζοντος, οὐδὲ τὴν τρύγην
ἔμεινεν ἐλθεῖν ἡ βροτοφθόρος τύχη.
Ὦ μητρὸς ὡράισμα, πατρὸς καρδία,
ὦ δένδρον εὔχρουν, εὐπρεπές, κάλλος μέγα,
κενῶς ὑπανθοῦν, ὡραϊσμένον μάτην·
τίς ἄγριος θὴρ, τίς θρασυβρέμων λέων
λόχμης προελθὼν καὶ προκύψας ἐξ ὄρους,
τρίχας δὲ φρίξας καὶ σιμώσας αὐχένα,
ταχὺ φθάσας ἄκαρπον ἐξέκοψέ σε;
Ἐγὼ μὲν ἀτέλεστον εἶχον ἐλπίδα
ὑπὸ σκιὰν σὴν παῦλαν ἐξευρηκέναι,
σκέπης δὲ τυχεῖν ὑπὸ σοῖς καλοῖς κλάδοις·
νῦν δ' ἀλλὰ ταῦτα δυστυχῶς μετετράπη
καὶ τὴν πονηρὰν ἀλλαγὴν μετηλλάγη.
Κἂν μὲν φυσικὸς τῆς τελευτῆς ὁ τρόπος,
ἢ τὴν ἐρυγὴν τὴν κινητικωτάτην
ἔθου πατρικαῖς γνησίαις ἐπ' ἀγκάλαις,
ᾤμωξα πάντως (πῶς γὰρ οὐ πατὴρ φίλος
φίλης θυγατρὸς καὶ μόνης ὁρῶν μόρον;),
ἀλλ' εἶχεν ἡμῖν καὶ τέλος τὸ δάκρυον,
καὶ μέτρον ἂν δέδωκα ταῖς ἀλγηδόσι·
τῷ γὰρ φυσικῷ καὶ συνήθει τοῦ πάθους
25 εὗρον παρηγόρημα τῶν στεναγμάτων·
νῦν δ' ἡ τελευτὴ τῆς ἐμῆς Χρυσοχρόης
θεσμῶν μέν ἐστι φυσικῶν ἀλλοτρία,
ξένη δὲ παντάπασι τοῦ κοινοῦ νόμου.
Ποῦ σὸν τὸ κάλλος τοῦ προσώπου, παρθένε;
Ἡ μὲν κεφαλὴ τῷ λίθῳ συνετρίβη,
μελαίνεται δὲ τῇ ῥοῇ τῶν αἱμάτων
τὸ κάλλος, ἡ πρόσοψις, ἡ σεμνὴ πλάσις,

ἡ δὲ βρότειος ἰδέα παρηλλάγη.
Ὦ δυσμενὴς Κράτανδρε, πάντολμον θράσος,
ἄσπονδε λῃστά, θηριώψυχος φύσις,
ὦ πῶς ἀνῄρεις τηλικαύτην παρθένον
σκαιῶς πονηρῶς αὐθαδῶς ἀκαρδίως;
Ἐγὼ δὲ θάμβος καὶ κατάπληξιν τρέφω
πῶς γοῦν ὁ πέτρος οὐ στραφεὶς ὀπισθίως,
αἴσθησιν οἷον φυσικὴν δεδεγμένος,
ἔκτεινε τὸν βαλόντα δικαίᾳ κρίσει,
ἀλλ' αὐθαδῶς ἔψαυσε τῆς Χρυσοχρόης;
Σὺ μὲν συλητὰ καὶ φονευτὰ τῆς κόρης,
ἔνδικον εἰς τοὔμπροσθεν ὑπέλθῃς φόνον,
ἐπὰν τὸ πένθος ὡς προσῆκον δακρύσω
καὶ συγκαλύψω τῷ τάφῳ τὴν παρθένον
(οὐ γὰρ συλήσειν ἰσχύσεις καὶ τοὺς νόμους
ἢ τοὺς κρίνοντας συμπατάξεις ἐν λίθῳ),
ἀποκτονῶς δὲ τὴν ἐμὴν θυγατέρα
βολῇ πονηρᾷ δυσμενεστάτου λίθου
λίθοις παταχθεὶς οἰκτρὸν ἐκπνεύσεις, τάλα.'
Οὕτω στένοντος ἐκ βάθους Ἀνδροκλέος
ἐπηκροώμην τῆς στυγνῆς τραγῳδίας,
κρύβδην ὑφεστὼς ἐξόπισθεν τῆς θύρας.
Ἀντιστραφεὶς οὖν εἰς τὸ πατρῷον πέδον,
ῥίψας ἐμαυτὸν κύμβαχον κατὰ κλίνης
καὶ πικρὸν οἷον ἀλαλάξας ἐκ βάθους
ἀντετραγῴδουν τῷ τεκόντι τὴν κόρην
'ὤμοι' λέγων 'ἄγαλμα σεπτὸν παρθένου,
ὦ κάλλος οἷον καὶ θεοὺς ἐφελκύσει
καὶ τῶν ἀφ' ὕψους ἀντύγων ἀντισπάσει,
ἔλξει δὲ πάντως εἰς τὸν οἰκεῖον πόθον·
οἴχῃ πρὸ καιροῦ, παρθένε Χρυσοχρόη,
λιποῦσα νεκρὸν τὸν Κράτανδρον ἐν βίῳ·

οἴχῃ, καλὸν θέαμα τοῖς θεωμένοις
καὶ χρηστὸν οἰώνισμα τοῖς βλέπουσί σε.
Τέθνηκας, ὤμοι, καὶ παρῆλθες πρὸ χρόνου·
καὶ ταῦτα (βαβαὶ τῆς ἀπανθρώπου τύχης)
29 ἡμεῖς ἀφορμὴ τοῦ φόνου σου, παρθένε.
Τοῦ δυσμενοῦς γὰρ καὶ πονηροῦ Λῃστίου
ἡμᾶς ἀπειλήσαντος ἀποκτιννύειν
προήρπασας σὺ τὸν λιθόβλητον φόνον,
στερρῶς ὑπερθνήσκουσα τοῦ ποθουμένου.
Ὤμοι, πάτερ δύστηνε δυστήνου κόρης,
ἐγὼ τὸ σὸν γέννημα, τὴν σὴν παρθένον
ζωῆς ἀπεστέρησα καὶ φίλου βίου.
Ἐπεγκάλει μοι τῆς θυγατρὸς τὸν φόνον·
πρὸς βῆμα συγκάλει με καὶ ζήτει κρίσιν
ἕλκων μεθέλκων εἰς δόμους δικασπόλων,
ποινὴν ἀπαιτῶν τὴν δοκοῦσαν τοῖς νόμοις.
Δοκεῖ δὲ πάντως, ὡς προέφθασας λέγων,
τὸν τοῖς λίθοις βαλόντα βληθῆναι λίθοις.
Στέργοιμ' ἂν αὐτὸς τὸν φόνον τὸν ἐκ λίθων,
ἐπεὶ λίθῳ τέθνηκεν ἡ Χρυσοχρόη·
ἡ χεὶρ μόνον με Λῃστίου φονευέτω,
ἡ δυσμενῶς κτείνασα καὶ τὴν παρθένον.
Μηδὲ βραδύνῃς ἐγκαλεῖν μοι τὸν φόνον·
σπεύδω γὰρ ἐλθεῖν ἔνθα καὶ Χρυσοχρόη.
Ἐπεὶ τὰ δεσμὰ τῆς γάμου κοινωνίας
Κράτανδρον οὐκ ἔμιξε τῇ σῇ παρθένῳ,
κἂν γοῦν θάνατος μιξάτω τοὺς ἀθλίους
30 ἕνωσιν οἰκτρὰν δυστυχοῦς κοινωνίας.'
Καὶ ταῦτα μὲν τοσαῦτα καὶ τούτων ἄχρι·
ἤδη δ' ἐς αὐτὴν ἡμερῶν τὴν ἐννάτην
ὁ τῆς θανούσης δυστυχὴς φυτοσπόρος
λύσας τὸ πένθος, συσταλεὶς τῶν δακρύων

εἰς βῆμα χωρεῖ καὶ δικασπόλων δόμον
καὶ συγκαλεῖ με τὸν φονευτὴν εἰς κρίσιν.
Καὶ συνιόντων τῶν μερῶν ἑκατέρων
(ἐμοῦ μὲν ἔνθεν καὶ Κράτωνος καὶ Στάλης,
ἐναντίον δὲ Μυρτάλης, Ἀνδροκλέος),
πρῶτος πρὸ πάντων Ἀνδροκλῆς οὕτω λέγει
Ἄνδρες δικασταί, τοῦ καλοῦ συνήγοροι,
δίκης σύνεδροι καὶ θεῶν παραστάται,
καλὸν μὲν ἦν μοι, ναὶ καλὸν καὶ συμφέρον
βιοῦν καθ' αὑτὸν εἰς τὸν ἅπαντα χρόνον·
τὸ γὰρ σιωπᾶν καὶ στέγειν ἐμὰς τύχας
δημηγορικῶν ὑπερέκρινον λόγων·
οὐχ ὡς ἄτιμον τοὔργον ὑπολαμβάνων
(τί γὰρ γένοιτ' ἂν ὀλβιώτερον δίκης;),
τὴν δ' ἐμπλακεῖσαν τῇ δίκῃ στωμυλίαν
φευκτὴν μισητὴν ἐβδελυγμένην κρίνων.
Ἐπεὶ δ' ὁ πεσσὸς τῆς κακοσχόλου τύχης
ἄλλως κυλισθεὶς καὶ στραφεὶς ἐναντίως
33 ἤνεγκεν ἡμᾶς ἀμφὶ τὰ βδελυκτέα
καὶ πρὸς τὸ βῆμα συγκαλεῖ καὶ τὴν κρίσιν
ἄκοντας ἐλθεῖν τοὺς ἀπραγμονεστάτους,
ἰδοὺ παρέστην εἰς τὸ βῆμα καὶ λέγω.
Ἦν μοι θυγάτηρ τοὔνομα Χρυσοχρόη,
καλὴ μὲν εἶδος, ναὶ καλὴ καὶ παρθένος,
ἤδη δὲ πρὸς θάλαμον ἡτοιμασμένη
καὶ πρὸς γάμον καὶ ζυγὸν ηὐτρεπισμένη.
Ταύτην ὁ λῃστὴς οὑτοσὶ κτείνει λίθῳ
νύκτωρ ὑπελθὼν τὴν ἐμὴν κατοικίαν.
Νῦν οὖν πάρεστι, καὶ δότω τὰς εὐθύνας
οὗ δυσσεβῶς ἥμαρτεν εἰς ἡμᾶς φόνου.
Δώσει δὲ πάντως τὸν λιθόβλητον μόρον,
λίθῳ βαλὼν ἄθλιος ἀθλίαν κόρην.

Ἐγὼ μὲν οὖν ὥρμησα ταῦτα φαμένου
συνηγορῆσαι τῷ κατηγόρου λόγῳ
καὶ καθ' ἑαυτοῦ μαρτυρῆσαι τὸ δράμα·
ἀλλ' ὁ Κράτων μοι τὸν λόγον προαρπάσας
'ἄνδρες' μετεῖπεν 'εὐσεβεῖς δικασπόλοι,
εὐθὲς νομίζω, συνδοκοῦν καὶ τοῖς νόμοις,
ἐπακροᾶθαι τῶν μερῶν ἑκατέρων
ᾧ τὸ κρίνειν ἔδωκεν ἡ θεία κρίσις,
καὶ τὴν δοκοῦσαν ὕστερον ψῆφον φέρειν.
Νῦν οὖν λαβόντες τοὺς λόγους Ἀνδροκλέος
καὶ τοὺς ἐμοὺς δέξασθε καὶ κρίνατέ με.
Ὁ μὲν φονευτής, ὡς δοκοῦν Ἀνδροκλεῖ,
ἐμῆς προήχθη δυστυχοῦς ἐξ ὀσφύος,
εἰς ἄχρι καὶ νῦν εὐγενῆ ζήσας βίον,
φόνων καθαρὸν καὶ συλημάτων ξένον
καὶ παντὸς αἰσχροῦ καὶ βδελυκτοῦ τοῖς νόμοις·
ἤ τίς κατηγόρησεν αὐτῶν τοιάδε;
Ἐπεὶ δ' ὁ σεμνὸς Ἀνδροκλῆς, ὁ γεννάδας,
ὁ τὴν σιωπὴν καὶ τὸν ἤρεμον βίον
στέργων ἀγαπῶν καὶ πλέον τοῦ μετρίου,
πολλοὺς καθ' ἡμῶν ἐξερεύγεται λόγους,
χείλη πετανυὺς καὶ διαίρων τὸ στόμα
καὶ τῆς σιωπῆς ὥσπερ ἐκλελησμένος,
καὶ τῷ Κρατάνδρῳ πλαστὸν ἀγγέλλει φόνον
καὶ συκοφαντεῖ τοὺς κακῶν ἐλευθέρους,
τὸ πῦρ παρέστω καὶ κρινάτω τὴν δίκην,
καὶ ψῆφον ἡμῖν ἐντελῆ παρασχέτω·
μαρτύρομαι γὰρ τὴν ἐλεγκτρίαν φλόγα
καὶ τὴν Σελήνην, τὴν θεάν, τὴν παρθένον,
ὡς ἐκτὸς ὁ Κράτανδρος ἐστὶ τοῦ φόνου.
Ὅμως παρελθέτωσαν οἱ νεωκόροι,
τὸ πῦρ ἀναψάτωσαν ἑπταπλασίως.

Ἰδοὺ Κράτανδρος εἰς μέσην βήτω φλόγα·
37 κἂν μὲν συλητὴς ἐστι καὶ μιαιφόνος,
ἔργον γενέσθω τοῦ πυρὸς καὶ θνησκέτω
(μισῶ γὰρ υἱὸν ἂν ἀλῶ φονουργίας)·
εἰ δ' οὐ φονευτής, ἀφλόγιστος ἐξίτω.'
Ταῦτα κραταιῶς ἐμβοήσας ὁ Κράτων
καλῶς λέγειν ἔδοξε τοῖς δικασπόλοις·
τὴν οὖν πυρὰν καύσαντες οἱ νεωκόροι
ἐλθεῖν ἐς αὐτὴν τὸν φονευτὴν ἠξίουν.
Ἐπεὶ δὲ καὶ προῆλθον εἰς μέσην φλόγα,
τὸ πῦρ πατῶν ἄκαυστος ἐντὸς ἱστάμην."
"Καινόν τι τοῦτο καὶ τεράστιον λέγεις"
ἔφη Δοσικλῆς, "εἰ τὸ πῦρ ᾐδημένον
ὡς μὴ φόνον δέδρακας, οὐκ ἔφλεξέ σε."
"Οὐ τῆς καμίνου, τῆς θεοῦ δὲ τὸ δράμα"
Κράτανδρος εἶπεν· "ὡς δὲ μὴ πέπονθά τι,
ἔδραν λαβὼν καὶ θάρσος εὐθὺς ὁ Κράτων
'ὁρᾶτε' φησὶν 'εὐσεβεῖς δικασπόλοι,
ὅπως τὸ πῦρ ἔκρινεν εὐθεῖαν κρίσιν
καὶ τὸν καθαρὸν τῆς φονουργίας νέον
ἄκαυστον ἀφλόγιστον ἔνδυθεν φέρει,
τὸν συκοφάντην ὥσπερεὶ κατακρίνον.'
Πρὸς ταῦτα κράξας συμμιγῆ φωνὴν μίαν
ὁ συμπαρεστὼς ὄχλος ἀμφὶ τὴν κρίσιν
38 τὸν συκοφάντην Ἀνδροκλῆν κατηγόρουν,
ἡμᾶς περικροτοῦντες εὐφήμοις λόγοις.
Οὕτω λυθέντος τοῦ τότε ξυνεδρίου
ἦλθον μετὰ Κράτωνος εἰς τὴν οἰκίαν·
καὶ μὴ στέγων ζῆν καὶ βιοῦν σὺν Κυπρίοις
ἐξ οὗ τὸ κάλλος ἔσβετο Χρυσοχρόης,
πόρρω μετελθεῖν καὶ φυγεῖν διεσκόπουν.
Καὶ γοῦν κατελθὼν εἰς θάλατταν ἑσπέρας

καὶ φορταγωγὸν εὐθὺς εὑρὼν ὁλκάδα
λύουσαν ἄρτι τοὺς ἐπὶ πρῴρας κάλως,
ἐμβὰς ἐν αὐτῇ τὴν φυγὴν ἐστελλόμην.
Ἤδη δ' ὑπερκύπτοντος ἀπὸ τῶν κάτω
καὶ ταῖς ἑαυτοῦ λαμπρύνοντος λαμπάσιν
ἄκρας κορυφὰς τῶν ὀρῶν τοῦ φωσφόρου,
ἐγγὺς παρελθὼν ὁ στόλος τῶν βαρβάρων
φόρτου μετ' αὐτοῦ καὶ σὺν αὐτοῖς ἀνδράσι
τὴν δυστυχῶς πλέουσαν εἶλεν ὁλκάδα,
ἔχων προσυληθέντα μυρία σκάφη·
στραφεὶς δὲ τηνικαῦτα πρὸς τὴν πατρίδα
καὶ τοὺς ἁλόντας ἐν μέσῳ κλείσας ξόφῳ
(τὸν κοινὸν ἀμφοῖν τοῦτον οἰκίσκον λέγω)
εἰς δευτέραν γοῦν ἁρπαγὴν ἀντετράπη.
Τοσαῦτα τἀμά, συμφυλακίτα ξένε·
41 σὺ δ' ἀλλὰ τὰς σὰς ἀνταπάγγειλον τύχας."
"Οὐ νῦν" Δοσικλῆς εἶπε "καιρός μοι λέγειν·
ἀλλ', εἰ δοκεῖ, κάμψαντες εἰς γῆν τὰ σκέλη
ὕπνῳ τὸ μακρὸν κουφιοῦμεν τῶν πόνων·
ἐσμὲν γὰρ ᾠδὰς εἰς τρίτας ἀλεκτόρων."
Ὁ μὲν Δοσικλῆς καὶ Κράτανδρος οἱ ξένοι
κλιθέντες εἰς γῆν μαλακὴν οἷα κλίνην
ὕπνου μετέσχον ἄχρις αὐγῆς ἡλίου·
ὁ Μιστύλος δὲ (τοῦτο γὰρ ὁ λῃστάναξ)
ἕωθεν ἐκβὰς τῆς φίλης κατοικίας
τοὺς αἰχμαλώτους τοὺς πεφυλακισμένους
ἄγειν κελεύει τοῖς ὑπ' αὐτὸν βαρβάροις.
Τὴν οὖν φυλακὴν εἰσιὼν ὁ Γωβρύας
ἅπαντας αὐτοὺς ἐκτὸς εὐθὺς ἐξάγει
καὶ τῷ βασιλεῖ Μιστύλῳ παριστάνει·
ὁ λῃστάναξ δὲ τὸν Δοσικλέα βλέπων
καὶ τὴν Ῥοδάνθην εὐθέως μεταβλέπων

οὐκ εἶχεν οἷον ἐκπλαγήσεται πλέον·
ἄμφω γὰρ ἦσαν ἀγαθὼ τὴν ἰδέαν.
καταπλαγεὶς δὲ τοῦ προσώπου τὴν χάριν
"ταύτην μὲν" εἶπε "τὴν καλὴν συζυγίαν
καὶ τουτονί" Κράτανδρον ὑποδεικνύων
"εἰς τὴν φυλακὴν ἀντίπεμψον, Γωβρύα·
δώσω γὰρ αὐτοὺς τοῖς θεοῖς νεωκόρους.
42 *Τοῦτον δὲ τὸν κλαίοντα τὸν γηραλέον*
(κλαίει δὲ πάντως τὴν σφαγὴν ὑποτρέμων)'
δείξας Στρατοκλῆν "πέμψον εἰς τὴν πατρίδα,
ἐλευθερώσας δουλικῆς πικρᾶς τύχης.
Τοὺς τέτταρας δὲ τοὺς κεκυφότας κάτω,
οὓς ἡ θέα δείκνυσιν εἶναι ναυτίλους,
κτανὼν δὸς αἷμα τοῖς θεοῖς πεπωκέναι.
Τοὺς γὰρ προνοίᾳ τῶν θεῶν σεσωσμένους
καὶ τὴν ἑαυτῶν ἀνταπελθόντας πόλιν
θύειν τὰ σῶστρα τοῖς σεσωκόσι πρέπει·
θεοῖς δὲ πάντως τοῖς θαλαττίοις φίλον
αἷμα προπίνειν ναυτίλων ἁλιπλόων.
Ἄλλοι δὲ πάντες εἰ μὲν ἐκ φυτοσπόρων
ἢ γοῦν ἀδελφῶν ἢ φιλοστόργων τέκνων
λυθῶσιν, ἐλθέτωσαν εἰς τὰς πατρίδας
ἢ δουλικῆς γοῦν πειραθήτωσαν τύχης."
Οὕτω κελεύσας Μιστύλος τῷ Γωβρύᾳ
εἰς τὸν μερισμὸν τῶν σκύλων μετετράπη
καὶ μνᾶς ἑκάστῳ δὶς χαρίζεται δέκα,
αὐτὸς πρὸ πάντων τετράκις λαβὼν τόσας·
ἐν γὰρ μερισμοῖς τοῦτον εἶχε τὸν νόμον.
Καὶ πᾶν ἄγαλμα τῶν θεῶν τῶν ἐν Ῥόδῳ
εἰς τῆς Σελήνης τὸν νεὼν ἀνθιδρύει.
45 *Ὁ γοῦν Στρατοκλῆς προσταγῇ τοῦ Γωβρύου*
τὴν ἀπάγουσαν εἰς τὸν οἶκον ἑστάλη,

καὶ τῶν ἀτυχῶν ἡ τετρακτὺς ναυτίλων
θνήσκει σφαγεῖσα τῷ ξίφει τοῦ Γωβρύου,
πρῶτον προδακρύσασα πικρῷ δακρύῳ
τοὺς πατέρας, τὰ τέκνα, τὰς ὁμοζύγους.
Ὁ μὲν γὰρ ἐξώμωξεν ἄθλιον βρέφος,
μικρὸν νεογνὸν καὶ γεγαλακτισμένον·
ἄλλος δὲ τὸν τεκόντα τὸν γηραλέον
ἔκλαυσεν ὠλόλυξεν, οἰμώξας μέγα·
ὁ δ' οἰκτρὸν ἐθρήνησε τὴν ὁμευνέτιν,
καλὴν νεαροῦ νυμφίου νύμφην νέαν.
Ναυσικράτης δὲ καρτερῶς ἀδακρύτως
εἰς τὴν σφαγὴν ἔσπευδεν ὥσπερ εἰς πότον,
τοῦτο προσειπὼν ἱλαρᾷ τῇ καρδίᾳ
"Χαίροιτε δεῖπνα καὶ πότοι τῶν ἐν βίῳ
καὶ τῶν τραπεζῶν ἡ πολυτελεστέρα·
πλησθεὶς γὰρ ὑμῶν εἰς κόρον Ναυσικράτης
κάτεισιν εἰς Ἅιδος ἄσμενος δόμον
καὶ τῶν θανόντων ἱστορήσει τοὺς πότους,
ἐπόψεται δὲ νεκρικὰς εὐωχίας."
Ἔλεξεν οὕτως καὶ τὸν αὐχένα κλίνας
"ὦ δεῦρο" φησὶ "Γωβρύα, σπάθιζέ με·
ἰδοὺ πρόχειρος εἰς σφαγὴν Ναυσικράτης."
καὶ δὴ προτείνας τὴν σπάθην ὁ Γωβρύας
ἔκτεινεν οἰκτρῶς τὸν καλὸν Ναυσικράτην.
Οἱ γοῦν παρόντες τοῖς τελουμένοις τότε
πάντες κατεπλήττοντο τὸν τεθνηκότα
καὶ τὴν ἀκατάπληκτον αὐτοῦ καρδίαν.
Ὁ δὲ Κράτανδρος οὐκ ἄνευ Δοσικλέος
οὐδ' αὐτὸς ἐκτὸς τῆς ποθουμένης κόρης
εἰς τὴν φυλακὴν ἀνταπήλθοσαν πάλιν.
Καὶ δὴ Κράτανδρος φησὶ πρὸς Δοσικλέα
"τῶν μὲν καθ' ἡμᾶς τοῖς θεοῖς φροντιστέον·

ναὶ γάρ, Δοσίκλεις, τοῖς θεοῖς πάντως μέλοι·
σὺ δ' ἀλλὰ τὰς σὰς ἡμῖν ἀγγέλλοις τύχας,
διδοὺς τελευτὴν τῷ προϋπεσχημένῳ."
"Κλαυθμοὺς μέν, οἶδα, καὶ ῥοὰς τῶν δακρύων
ἡμᾶς ἀπαιτεῖς, συννεωκόρε ξένε"
ἔφη Δοσικλῆς οὐκ ἀδάκρυτον λόγον·
"τῶν γὰρ παλαιῶν εἰς ἀνάμνησιν φέρεις·
ὅμως (τί γὰρ πάθωμεν αὐτοῦντος φίλου;)
ἐντεῦθεν ἀρχὴν ἡ διήγησις λάβοι.

B

Ἄρτι προσήπλου τὰς ἑαυτοῦ λαμπάδας
ὁ λαμπρὸς ἀστὴρ εἰς μέσην τὴν ἡμέραν
ἡμεῖς δὲ τὸν Ῥόδιον ἀγχοῦ λιμένα
εὔπλως παραπλεύσαντες εὐφόροις τύχαις
(οὕτω νομισθὲν καὶ κριθὲν τοῖς ναυτίλοις)
τὴν ναῦν παρωρμίσαμεν εἰς τὸν λιμένα
μικροῦ παρ' αὐτὸ συνθρυβεῖσαν τὸ στόμα
καὶ συρραγεῖσαν καὶ βυθισθεῖσαν κάτω.
Τὰ μὲν γὰρ ἔνδον ἀσφαλῆ τοῦ λιμένος·
οὐ κυμάτων θροῦς, οὐ λόφοι καὶ χάσματα
(τούτων ἐκείνοις ἀντεπεξηγερμένων
πυκνῇ ταραχῇ καὶ συχνῇ μετακλίσει,
καὶ τῶν λόφων μὲν ἀντιχασματουμένων,
τῶν χασμάτων δὲ τοὔμπαλιν λοφουμένων),
οὐδ' ἀντέγερσις πνευματων αντιθροων
δινεῖ τὸ ῥεῖθρον καὶ κυκλοῖ τὰς ὁλκάδας·
μόνη δὲ πάντως ἡ πύλη τῆς εἰσόδου
στενὴ κομιδῇ καὶ κατάφρακτος λίθοις.

Μόγις μία τις τῶν μεγίστων ὁλκάδων
ἄψαυστος ἔλθοι καὶ περάσοι τὴν θύραν.
Ἡμῖν μὲν οὖν εὔορμον ἦλθε τὸ σκάφος,
κακῶν ἀθιγὲς ὑγιὲς σεσωσμένον,
τοῦ ναυτιλάρχου τῇ τέχνῃ Στρατοκλέος·
καὶ τοίνυν ἐξάψαντες ἐκ πρῴρας κάλως,
στερραῖς δὲ δεσμήσαντες αὐτὴν ἀγκύραις
ἄνιμεν εὐθὺς εἰς Ῥόδον, ναύτας δύο
μόνους λιπόντες φυλακὴν τῆς ὁλκάδος.
Ὁ δὲ Στρατοκλῆς τῆς νεὼς ὁ προστάτης
ἄγει μὲν ἡμᾶς εἰς φίλου συνεμπόρου,
ἔξω δὲ λιπὼν τῆς πύλης αὐτὸς μόνος
εἰσῆλθεν ἐντὸς καὶ προσεῖπε τὸν φίλον·
ἑκστὰς δ' ἐκεῖνος τῷ δυσέλπτῳ τῆς θέας
ἀντιπροσεῖπε τὸν φίλον Στρατοκλέα
καὶ τῷ τραχήλῳ γνησίως προσεπλάκη
καὶ 'χαῖρέ μοι, κάλλιστε τῶν συνεμπόρων'
εἰπὼν ἐρωτᾷ 'σώζεταί σοι τὰ βρέφη,
53 καλὲ Στρατόκλεις; ὑγιὴς ἡ Πανθία;'
Εὔνους κυβερνᾷ τὴν ἐμὴν ζωὴν τύχη,
ἄριστε Γλαύκων' ὁ Στρατοκλῆς ἀντέφη,
'καὶ πᾶσιν ἄλλοις δεξιῶς ἐπιβλέπει·
ὁ παῖς δέ μοι τέθνηκεν Ἀγαθοσθένης
θάνατον οἰκτρὸν συμπεσούσης τῆς στέγης.'
Ἔλεξε ταῦτα καὶ στενάξας ἐκ βάθους
θερμοὺς σταλαγμοὺς ἐστάλαττε δακρύων,
ἐλθὼν ἐς ἀνάμνησιν Ἀγαθοσθένους.
Εἰς αὔριον μὲν τῷ θανόντι παιδίῳ
κοινῇ σὺν ἡμῖν' εἶπεν ὁ Γλαύκων 'θύσεις
χοάς, ἀπαρχὰς δακρύων, κερασμάτων·
νῦν δ' ἀλλὰ δεῦρο συγκάλει τοὺς συμπόρους
κοινῇ μετασχεῖν τῆς παρ' ἡμῖν ἑστίας,

κοινῇ φάγεσθαι τῶν παρόντων ἁλάτων.'
Τούτους ἐκεῖνος συμπεραίνει τοὺς λόγους
καὶ τὴν γυναῖκα συγκαλεῖ Μυρτιπνόην
'γύναι' λέγων, 'πρόστηθι τῆς πανδαισίας,
τίθει τράπεζαν εἰς τὸν ὕπαιθρον δόμον,
κάλει δὲ φαγεῖν τοὺς φίλους Στρατοκλέους.'
Εἰσήλθομεν γοῦν τῷ λόγῳ Μυρτιπνόης.
'Αλλ' ἡ Ῥοδάνθη καὶ λιμαγχονουμένη
οὐκ ἦλθεν ἐντὸς ἐντροπῆς ἀντιστάσει,
54 νεύσει δὲ χειρὸς συγκαλεῖ με καὶ λέγει
'ἄνερ, γινώσκεις τὴν ἐμὴν σαφῶς τύχην
(καλῶ γὰρ ἄνδρα τὸν φίλον Δοσικλέα,
ὃν μοι συνῆψαν οὐ γάμοι καὶ παστάδες,
οὐ νυμφικὴ σύζευξις, οὐ μία κλίνη,
οὐ τῆς ἐπ' ἀμφοῖν συμπλοκῆς αἱ συνδέσεις,
σχέσις δὲ σεμνὴ καὶ πόθος πάθους δίχα
καὶ δεσμὸς ἁγνὸς σωμάτων ἀσυνδέτων),
ἄνερ, γινώσκεις τὴν ἐμὴν σαφῶς τύχην·
ἐγὼ γάρ εἰμι καὶ γυνὴ καὶ παρθένος
καὶ παντὸς ἀνδρὸς ὄψιν εὐλαβουμένη,
πλέον δὲ πολλῷ τοῦ σαφῶς ἀλλοτρίου,
μή πού τις ἡμᾶς ἐμπαθέστερον βλέποι
κόραις πονηραῖς δυσγενῆ θεωρίαν·
πῶς οὖν, Δοσίκλεις, εἰσιοῦσα τὴν θύραν
τόσων μετ' ἀνδρῶν συμφάγω γυνὴ μία;'
''Ως εὖ γέ σοι γένοιτο τῆς ὁμιλίας'
μικρὸν διασχὼν εἶπα 'σεμνὴ παρθένε·
διδοῖς γὰρ ἡμῖν τοῦ πόθου τὰς ἐγγύας
ὀρθὰς ἐναργεῖς ἀσφαλεῖς πεπηγμένας,
καὶ τὰς πονηρὰς ἐξάγεις ὑποψίας.
Νῦν δ' ἀλλὰ δεῦρο τοῦ φαγεῖν (τί γὰρ πάθῃς;)
ἐπείπερ ἡμᾶς εἰσκαλεῖ Μυρτιπνόη.

57 Ἄλλως δὲ καὶ σὺ ταῖς τρυφαῖς εἰθισμένη
καὶ τῶν τραπεζῶν ταῖς πολυτελεστέραις
πῶς ἀτροφήσεις εἰς ὅλην τὴν ἡμέραν,
καὶ ταῦτα λύπῃ καὶ κόπῳ καὶ ναυτίᾳ
τὴν σάρκα τὴν κάτισχνον ἐκτετηγμένη;
Εἰσήλθομεν γοῦν τῆς κόρης πεπεισμένης.
Ἰδὼν δὲ πάντας εἰσιόντας ὁ Δρύας,
Γλαύκωνος υἱός, εὐσταλὴς νεανίας,
ʽχαίροιτεʼ φησὶν ʽοἱ φίλοι Στρατοκλέους,
καὶ δεῦρο συγγεύοισθε κοινῶν ἁλάτων.ʼ
Εἰπὼν δὲ πάντας εἰς τὸ κηπίον φέρει,
ὅπου φαγεῖν ἔταξεν ἡ Μυρτιπνόη.
Καὶ γοῦν ὁ Γλαύκων ἐξαναστὰς τῆς κλίνης
ἡμᾶς προσειπὼν ἠξίου καθισμάτων.
Ἄνω μὲν αὐτὸς εἰς κορυφαῖον θρόνον
ὁμοῦ καθεσθεὶς τῷ φίλῳ συνεμπόρῳ·
εὐθὺς δ' ὑπ' αὐτοὺς δεξιὰ Μυρτιπνόη,
καὶ δὴ μετ' αὐτὴν ἡ Ῥοδάνθη, καὶ τρίτη
Μυρτιπνόης παῖς, παρθένος Καλλιχρόη·
τὰ δ' ἔνθεν ἡμεῖς ὑπὸ τὸν Στρατοκλέα,
ἐγὼ μετ' αὐτόν, καὶ κατωτέρω Δρύας·
τρίτος δ' ὑφ' ἡμᾶς ναυτίλος Ναυσικράτης.
Οὕτω μὲν εἶχε τῆς καθέδρας ἡ θέσις·
58 καὶ πάντες εἱστιῶντο λαμπροῖς σιτίοις,
ὑπὸ Στρατοκλεῖ λιγυρῶς κεκραγότες,
ᾠδῆς ἀγαθῆς ἐμμελῶς ἡγουμένῳ.
Εὐθὺς δ' ἀναστὰς τοῦ πότου Ναυσικράτης
ὄρχησιν ὠρχήσατο ναυτικωτέραν.
Ἄλλοις μὲν ἡδὺ τὸ Στρατοκλέος μέλος,
ἐμοὶ δὲ καλὸν τῆς Ῥοδάνθης τὸ στόμα·
καλὸν δὲ καὶ τὸ φθέγμα τοῦ Στρατοκλέος,
ὡς εἰς Ῥοδάνθης ἀκοὴν ἀφιγμένον.

Ἄλλοις δ' ἐραστὸν τῆς μελῳδίας πλέον
τὸ στρέμμα καὶ λύγισμα τοῦ Ναυσικράτους·
ἀγροικικὸν μὲν (τί γὰρ ἦ Ναυσικράτους;)
οὐ μὴν γελώτων ἐνδεὲς καὶ χαρίτων·
ἐμοὶ δὲ καλὴ τῆς Ῥοδάνθης ἡ χρόα.
Ἄλλοι τὸν οἶνον ηὐλόγουν τὸν ἐν Ῥόδῳ,
ὡς ἡδὺν εἰς ὄσφρησιν, ἡδὺν εἰς πόσιν·
ἐγὼ δὲ τοῦτον ηὐλόγησα πολλάκις
ὡς εἰς Ῥοδάνθης πλησιάζοντα στόμα,
ἢ καὶ τὸ κόνδυ μακαριστὸν ὠόμην
ὡς τῆς Ῥοδάνθης τοῦ καλοῦ χείλους θίγον.
Τί μοι τὰ πολλὰ καὶ τί μοι μακρὸς λόγος;
ἐξηλοτύπουν τῷ κυπέλλῳ πολλάκις
τῶν τηλικούτων θιγγάνοντι χειλέων.
61 Ἄλλοις ποθεινὸς ὁ Δρύας καλὸς νέος
πρώτοις ἰούλοις τὴν γένυν περιστέφων,
λευκὸς τὸ χρῶμα, χρυσοειδὴς τὴν τρίχα,
ὦμους ἐς αὐτοὺς καθιεὶς τοὺς βοστρύχους,
καὶ τἆλλα σεμνὸς καὶ καλὸς τὴν ἰδέαν·
ἐμοὶ δὲ καλὸς ὁ Δρύας ἐκ τοῦ θρόνου
ἀντιπροσωπῶν τηλικαύτῃ παρθένῳ.
Ἄλλοι δὲ τὸν Γλαύκωνα καὶ Μυρτιπνόην
θαυμασίους ἔφασκον ὡς φιλοξένους·
ἐμοὶ δὲ θαυμάσιος ἡ συζυγία,
ὅτι ξενίζει τηλικαύτην παρθένον.
Τόσην τὸ δεῖπνον εἶχε τὴν θυμηδίαν.
Ἀλλ' ὁ προσηνὴς μειρακίσκος ὁ Δρύας
ἁλοὺς ἔρωτι τῆς Ῥοδάνθης ἀδίκῳ
βάκχον προπηδᾷ καὶ κρατῆρα λαμβάνει,
λαρὸν δὲ κιρνᾷ τοῖς ξένοις πιεῖν πόμα.
Εἰς οὖν Ῥοδάνθην ἐμμανῶς ἀφιγμένος
διδοῖ προπιὼν τὸν κρατῆρα τῇ κόρῃ·

ἡ παρθένος δὲ γνοῦσα τὴν σκαιωρίαν
ἀποστρέφει μὲν τῷ Δρύαντι τὸν σκύφον,
σοφίζεται δὲ δυσπαθοῦσαν καρδίαν.
Ταῦτα δράσαντος καὶ παθόντος τοῦ νέου
'τοὺς εὐγενεῖς μείρακας' ὁ Γλαύκων λέγει,
62 ὡς ἂν λάθῃ Δρύαντος ἡ παροινία,
'φίλε Στράτοκλες, ποῖ κομίζεις καὶ πόθεν;
καὶ τίνος εἰσὶ πατρίδος, τίνος γένους;'
'Αὐτοὶ λέγοιεν' ὁ Στρατοκλῆς ἀντέφη
'τίνες; πόθεν; ποῖ; καὶ τύχην καὶ πατρίδα.'
Καὶ δὴ πρὸς ἡμᾶς ἀντικάμψας τὸν λόγον
'λέγοιτε' φησὶ 'τὰς ὑμῶν τύχας, ξένοι,
ἀνδρὸς καλοῦ Γλαύκωνος ἀκροωμένου.'
Πρὸς ταῦτα μικρὸν συμπεδήσας τὸ στόμα,
δριμὺ στενάξας 'ὦ Στρατόκλεις' ἀντέφην,
'ἦ ποῦ τὸ δεῖπνον, τὴν χαρὰν καὶ τὸν γέλων,
ἐπὶ στεναγμοὺς ἀξιοῖς ἐπιστρέφειν;
ἦ που τὸ καλὸν κόνδυ τῶν κερασμάτων
πλήσειν ἀπείρων δακρύων ἐπιτρέπεις;'
Τούτους ὁ Γλαύκων τοὺς λόγους ὑποφθάσας
'λέγοις τὰ σαυτοῦ καὶ τὰ τῆς κόρης λέγοις,
τέκνον Δοσίκλεις' εἶπε, 'μακρὰ δακρύσας·
πικρὰς γὰρ ὡς ἔοικεν ἀγγελεῖς τύχας.'
Καὶ τοίνυν ἔνθεν τοῦ λέγειν ἀπηρχόμην
''Αβυδός ἡμῖν ἡ πατρίς, Γλαύκων φίλε.
Πατὴρ ἐμοὶ Λύσιππος υἱὸς Εὐφράτου,
65 μέγας στρατηγός, τῇ δὲ παρθένῳ Στράτων·
μήτηρ ἐμοὶ Φίλιννα, τῇ κόρῃ Φρύνη.
Ταύτην ὁ πατὴρ ὁ προλεχθεὶς ὁ Στράτων
ἔσωθεν ἐγκέκλεικε μικροῦ πυργίου,
ὡς ἂν δύσοπτος ἀρρένων χωρὶς μένῃ,
οὐδ' ἐκτὸς ἐλθεῖν τῆς φυλακῆς ἠξίου,

εἰ μὴ ῥυπανθὲν τῆς κόρης τὸ σαρκίον
ἔχρηζε λουτροῦ καὶ ῥοῆς καθαρσίου.
Ταύτην μὲν οὕτως ἠσφαλίζετο Στράτων,
ὡς ἂν ἐραστοῦ λίχνον ὀφθαλμὸν φύγῃ·
οὐ μὴν φυγεῖν ἴσχυσε τὸν Δοσικλέος.
Ὡς γὰρ τυχηρὰν ἤνυόν ποτε τρίβον
ἤδη κλινούσης εἰς τέλος τῆς ἡμέρας,
εἶδον Ῥοδάνθην πρὸς τὸ λουτρὸν ἠγμένην
ὑπὸ προπομποῖς, ὑπ' ὀπαδοῖς μυρίοις.
Ἰδὼν προσῆλθον καὶ προσελθὼν ἠρόμην
τὰς ἀκολούθους· τίς; τίνων ἡ παρθένος;
καὶ τὸν Στράτωνα μανθάνω καὶ τὴν Φρύνην.
Καὶ γοῦν σπαραχθεὶς ὡς βέλει τὴν καρδίαν
(ἔγνων γὰρ αὐτῷ τῷ λόγῳ τὴν παρθένον,
πάλαι περὶ Στράτωνος ἠκουτισμένος
ὡς εὐτυχήσοι παγκάλην θυγατέρα)
ἄπειμι πληγεὶς εἰς τὸν οἰκεῖον δόμον
καὶ τοῦ Λυσίππου (νὺξ γὰρ ἦν) κοιμωμένου
λιπὼν τὸ δεῖπνον, τὸν κρατῆρα, τὸν πότον,
στρωμνὴν μετῆλθον ὡς ἀφυπνώσων τάχα·
ἀλλ' ὕπνος οὐκ ἦν ταῖς κόραις ἐνιζάνων,
οὐδ' ἡ θυρωρὸς τῆς ἐποπτρίας θύρας
νὺξ ἠσφάλιζε τὰς ἐμὰς βλεφαρίδας·
ἀλλὰ λογισμῶν ἐμβολαῖς ἀντιρρόπων
αὐτὸς κατ' αὐτὸν ἐμμανῶς ἀνθιστάμην,
καὶ μὴ προσόντων δυσμενῶν στρατευμάτων
εἰς γοῦν ἑαυτὸν τὴν μάχην ἀντεκρότουν.
Καλὴ Ῥοδάνθη, ναὶ καλὴ καὶ παρθένος·
σεμνὸν τὸ συγκίνημα τῶν βαδισμάτων,
ὀρθὸν τὸ μῆκος, εὐσταλές, προηγμένον,
ὡς ἀναδενδράς, ὡς κυπάριττος νέα.
Καλὴ Ῥοδάνθη· τοῦ καλοῦ πόσος πόθος.

69 Ἐρῶ Ῥοδάνθης (τί ξένον;) καλῆς κόρης·
ποθῶ Ῥοδάνθην· εὐγενὴς ἡ παρθένος·
θυγατέρα Στράτωνος ἀνδρὸς ὀλβίου,
ἀνδρὸς μεγίστου, καὶ θυγατέρα Φρύννης
σεμνῆς γυναικός, εὐπρεποῦς καὶ κοσμίας·
κάλλος ποθῶ, μέγιστον ἀνθρώποις καλόν·
θεῖον τὸ κάλλος καὶ θεόσδοτος χάρις.
Τίς τυφλὸς οὕτω, τίς σεσύληται φρένας,
τίς ἀχάριστος εἰς θεῶν θείαν χάριν,
ὡς μὴ τὸ κάλλος καὶ σέβειν καὶ λαμβάνειν;
Εἴθε ξυνῆλθον εἰς λόγους τῇ παρθένῳ·
εἴθε προήχθη τὴν ἐμὴν σχοῦσα σχέσιν
λόγον παρασχεῖν καὶ λαβεῖν ἄλλον λόγον·
εἴθε θρυαλλὶς τῶν ἐν ἡμῖν ἀνθράκων
τὴν τῆς Ῥοδάνθης ἐξανῆψε καρδίαν.
Ἦ που πέπονθε καὶ Ῥοδάνθη πολλάκις,
ἀγχοῦ παραστείχοντα προσβλέψασά με,
καθὼς ἐγὼ πέπονθα τῇ θεωρίᾳ;
ἦ που πόθου ζώπυρον ἐν σπλάγχνοις τρέφει
ἢ καὶ συναντήσαντα καὶ βλέψαντά με
οὐκ ἠξίωσε κἂν μόνης ψιλῆς θέας,
ἀνάξιον κρίνασα τῆς θεωρίας;
Καίτοι καλοῖν μὲν τοῖν γενοῖν ἡ παρθένος·
ἀλλ' οὐδ' ἐμοὶ γοῦν δυσκλεᾶ τὰ τοῦ γένους.
70 Καλὸς μέν, οἶδα, καὶ μέγιστος ὁ Στράτων,
πλούτῳ κομῶν, ἔντιμος ἐν συνεδρίῳ
καὶ τῇ πόλει μέγιστος εἰς συμβουλίαν·
ἀλλ' οὐ Λύσιππος εἰς γένος γέρας τύχην
ἐν δευτέρῳ Στράτωνος, ἀλλ' οὐδὲ Φρύννης
μήτηρ ἐμὴ Φίλιννα δυσγενεστέρα.
Μὴ γὰρ τοσοῦτον ὁ χρόνος κατισχύσοι,
ὡς καὶ Λυσίππου τὰς τόσας στρατηγίας

καὶ τοὺς τοσούτους ἐν τύσαις μάχαις κόπους
οὕτω ταχινῶς ἐξαλείψειν ἐκ μέσου,
λήθης δὲ βυθῷ καὶ φθορᾷ συμποντίσαι.
Καλὴ μέν ἐστι τῆς Ῥοδάνθης ἡ χρόα·
οὐκ ἀφελεῖν γὰρ οὐδὲ προσθεῖναι δέοι
ἐκ τῆς ἀρίστης ἀρτίας διαρτίας·
καλῶς γὰρ αὐτὴν καὶ κεκανονισμένως
ἐσχημάτισεν ἡ γεωμέτρις φύσις.
Ἀλλ' οὐδ' ἐμοὶ πρόσωπον ἠσβολωμένον,
οὐδὲ ξένη τις καὶ δυσέντευκτος πλάσις·
ἄλλως τε κάλλος ἀνδρικὸν σταθηρότης,
ἀλκὴ κραταιά, πρὸς μάχας εὐανδρία,
ἄτρεστος ἰσχύς, δεξιὰ θαρραλέα,
ἔπαλξις ἀπτόητος εἰς μάχης στόμα,
73 αἵμασιν ἐχθρῶν πορφυρωθεῖσα σπάθη,
ξίφος κορεσθὲν δυσμενεστέρου κρέως.
Εἰ γοῦν κατ' ἄνδρα τις τὰ τοῦ κάλλους κρίνει,
ὡραῖον ἂν μάθοι με τὴν θεωρίαν·
πολλαῖς γὰρ ἤδη ταῖς μάχαις καὶ πολλάκις
πολλοὺς στεφάνους εὐκλεῶς ἐδεξάμην.
Βέβρωκε πολλῶν δυσμενῶν πολλὰ κρέα
τὸ χαλκοβαφὲς τῆς μαχαίρας μου στόμα
καὶ ῥεῖθρα πολλῶν ἐκπέπωκεν αἱμάτων,
πολλῶν ἐνετρύφησε βαρβάρων φόνοις.
Ἐν ναυμάχοις ἤθλησα πολλὰ πολλάκις
καὶ χερσομάχοις ἀντεταξάμην ὅσοις.
Οἶδα στρατηγεῖν, οἶδα τάττειν ὁπλίτας,
λόχους ἐφιστᾶν καὶ παρατρέχειν λόχους,
τάφρους ὀρύττειν καὶ περιστέλλειν πόλεις,
φράττειν δὲ τάφρους καὶ καταστρέφειν πόλεις,
στρατοὺς συνιστᾶν καὶ στρατοὺς ἀνατρέπειν,
τειχῶν κατασπᾶν ἐξοχὰς ὑπερλόφους,

τειχῶν ἀνιστᾶν ἐξοχὰς ἐρριμένας,
ἄγειν δὲ μοχλούς, συντρίβειν δὲ πυργία,
καὶ πάντας ἁπλῶς τῆς στρατηγίας λόγους,
τὸν πατέρα σχὼν εὐφυᾶ παιδοτρίβην.
Ἱκανὰ ταῦτα καὶ Στράτωνα καὶ Φρύνην
πεῖσαι παρασχεῖν εἰς γάμου κοινωνίαν
74 νύμφην Ῥοδάνθην τῷ Δοσικλεῖ νυμφίῳ.
Εἰ δ' οὐ θελήσει τὴν συναφὴν ὁ Στράτων,
ποίαν ἐφεύρω τοῦ πυρὸς τούτου δρόσον;
Ἢ που τὸν οἶκον αὐθαδῶς τῆς παρθένου
νύκτωρ ὑπελθὼν συγκροτήσω τὴν βίαν;
Καὶ πῶς ἀέλπτως ἐμπεσὼν κοιμωμένῃ
οὐκ ἂν ταράξω καὶ θροήσω την κόρην,
ῥήξοι δὲ φωνήν, καλέσοι δὲ τὴν Φρύνην,
ἡ δὲ Στράτωνα, καὶ τὸν ὄχλον ὁ Στράτων,
καὶ τὸν βιαστὴν συλλάβοι Δοσικλέα;
Ἢ συλλαβεῖν μὲν ῥᾳδίως οὐκ ἰσχύσει,
ὑπαγγελεῖ δὲ τῷ Λυσίππῳ τὴν βίαν,
πλήσοι δὲ θυμοῦ καὶ πρὸς ὀργὴν ὀτρύνοι.
Καὶ κερδανῶ μὲν τοῦ τεκόντος τὸν χόλον,
ἀπελπιῶ δὲ καὶ Ῥοδάνθης τὸν γάμον.
Πάσχεις τι καὶ σύ, γλυκερά μοι παρθένε;
πάσχεις δι' ἡμᾶς; ἀλγύνῃ τὴν καρδίαν;
ἀντιφλογίζῃ τοῖς πόθου πυρεκβόλοις;
77 ὑπνοῦ στερίσκῃ, τὴν τροφὴν οὐ προσδέχῃ;
τὰ σπλάγχνα πιμπρᾷ; τὸν ποθοῦντα δακρύεις;
καλεῖς Δοσικλῆν καὶ φέρεις ὑπὸ στόμα;
ἢ κἂν βιῶμεν ἀγνοεῖς, ὦ παρθένε;
Εἰ μὲν τὰ πικρὰ τῶν ἐρώτων κεντρία
ἀτραυμάτιστος εἰς τὸ πᾶν ἐκφυγγάνεις
καὶ παντὸς ἀνδρὸς εὐλαβῇ θεωρίαν,
περιφρονεῖς δὲ τῶν ἐρώτων τοὺς λόγους,

ἀπαξιοῖς δὲ τὴν σχέσιν καὶ τὸν πόθον,
μισεῖς δὲ πᾶσαν ἀρρένων ὁμιλίαν,
78 τλητὸν τὸ κακόν, οὐ γὰρ εἰς Δοσικλέα·
ἔχει Δοσικλῆς τοὺς συνεβδελυγμένους·
εἰ δ' ἄλλον ἡμῶν ἀκρίτως ὑπερτίθῃς,
ὦ καὶ σεαυτῆς ἠγγυήσω τὸν γάμον,
ἢ λῦσον ἡμῖν τὰς πρὸς αὐτὸν ἐγγύας,
ἢ γοῦν Δοσικλῆς θανατᾷ· τὸ γὰρ ξίφος
σπλάγχνων κατ' αὐτῶν ἐμβαλῶ καὶ καρδίας.'

Τοιαῖσδε πολλαῖς ἐνθυμημάτων ζάλαις
ἐγὼ ταραχθεὶς καὶ πνοαῖς ἀντιπνόοις
ὡς ναῦς ἀνερμάτιστος ἐν κλυδωνίῳ,
τοιοῖσδε πολλοῖς ἀντιπαλαίσας λόγοις
ᾠδὰς ἐς αὐτὰς δευτέρας ἀλεκτόρων
81 ἔλαθον ὀψὲ καὶ πρὸς ὕπνον ἐτράπην·
ἡ γὰρ περιττὴ συρροὴ τῶν φροντίδων
σκότον καταρραίνουσα τῶν ἄνω τόπων
καὶ στυγνὸν ἄνω δημιουργοῦσα γνόφον
καὶ νύκτα πολλὴν καὶ βαθύσκιον ζόφον
καὶ τοῦ λογισμοῦ συνθολοῦσα τὰς κόρας
φιλεῖ τὰ πολλὰ καὶ τὸν ὕπνον εἰσφέρειν,
καὶ τοῦτον οὐκ ἄτρεστον, οὐ πτοίας δίχα.
τῶν πραγμάτων γὰρ καὶ λόγων τῶν ἐν φάει
εἴδωλα πολλὰ καὶ φάσεις νυκτιχρόους
ἡ νὺξ ἀναπλάττουσα καὶ σκιὰς μόνας
πλαστογραφοῦσα δακτύλῳ σκιαγράφῳ
φέρει τὸ φάσμα τῇ καθ' ὕπνους ἐμφάσει·
οἷον κἀγὼ πέπονθα τῷ τότε χρόνῳ.
Αὐτὴν γὰρ εὐθὺς καὶ καθ' ὕπνους τὴν κόρην
εἶδον Ῥοδάνθην καὶ συνῆλθον εἰς λόγους·
εἶπον τὸ θερμὸν τῆς πρὸς αὐτὴν ἀγάπης
καὶ τὴν ἐνοῦσαν ἐξεγύμνωσα σχέσιν·

ἔγνων ἐπ᾽ αὐτοῖς καὶ γελῶσαν τὴν κόρην,
καί μοι τὸ μειδίαμα σύμβολον μέγα
ἔδοξε τοῦ μένοντος ἐν στέρνοις πόθου.
Οὕτω παρηγορεῖ με τοῖς ἐνυπνίοις
ἡ νὺξ κατοικτείρασα τῶν παθημάτων.
82 Παρῆλθεν ἡ νὺξ καὶ μετῆλθεν ἡμέρα·
κἀπεὶ διαστὰς τῶν φίλων ὀνειράτων
οὐκ εἶδον οὐδὲν τῶν τέως ὁρωμένων
(νυκτὸς γὰρ ἦν ἄθυρμα καὶ παίζων ὕπνος
καὶ μειδιῶν ὄνειρος εἰς νόθους πόνους)
καὶ τοῦ πυρὸς πιμπρῶντος αὐτὴν καρδίαν
οὐκ εἶχον εὑρεῖν μηδαμῆ τινὰ δρόσον,
κόλπῳ πρὸς αὐτῷ μητρικῷ πεσὼν μέσῳ
᾽ὦ μῆτερ᾽ εἶπον ᾽μῆτερ ἠγαπημένη,
σῶσον τὸν υἱὸν τὸν φίλον Δοσικλέα,
σῶσον Δοσικλῆν· εἰ δὲ μὴ σώσειν θέλεις,
θανουμένου κήδευε χερσὶ γνησίαις·
μαρτύρομαι γὰρ τῶν ἐρώτων τὴν χάριν
καὶ τῆς Ῥοδάνθης τὴν ἐμοὶ φίλην θέαν,
ὡς εἰ στερηθῶ μητρικῆς εὐσπλαγχνίας,
σπλάγχνων κατ᾽ αὐτῶν εἰσβιβάσω τὸ ξίφος.᾽
Πρὸς ταῦτα δακρύσασα μητρῴᾳ σχέσει
85 (γυνὴ γὰρ ἂν ἕτοιμος εἰς τὸ δακρύειν,
μήτηρ πρόχειρος εἰς τὸ πολλὰ δακρύειν)
᾽τέκνον Δοσίκλεις᾽ εἶπεν, ᾽εὐφήμως λέγων
θάρρει· πέρας γὰρ τοῦ κατὰ γνώμην λάβοις.
Ἐγὼ δὲ τυχὸν καὶ προέγνων τὸν λόγον·
ἐρᾷς Ῥοδάνθης, ἧς τὸ κάλλος ὀμνύεις,
ἐρᾷς Ῥοδάνθης, ἣν ἐγέννησε Φρύνη,
ἣν ὁ Στράτων ἤνεγκεν εἰς φῶς ἡλίου.᾽
᾽Ὦμοι προφήτης᾽ ἦν δ᾽ ἐγὼ ᾽μητρὸς λόγος.
Ταύτης ἐρῶ, Φίλιννα, ταύτην εἰς γάμον

ζητῶ σε λαβεῖν· εἰ γὰρ οὐ ταύτην λάβω,
ἄνυμφος εἰς Ἅιδος εἰσέλθω δόμους.'
Οὐκ, ἀλλὰ ταῦτα καὶ Στράτωνι καὶ Φρύνῃ,
τέκνον Δυσίκλεις' εἶπεν, 'ἀγγελεῖν ἔχω.
Δώσει δὲ πάντως ὁ Στράτων νόμοις γάμον
νύμφην Ῥοδάνθην τῷ Δυσικλεῖ νυμφίῳ.
Οὐ γὰρ Λύσιππος οὐδ' ὁ πατὴρ Εὐφράτης
ἐν δευτέρῳ Στράτωνος ἐστὶν εἰς γένος·
τυχὸν δὲ κἀμὲ δευτέραν πολλῷ Φρύνης
οὐκ ἂν κρίνοι τις ἀρρεπὴς δικασπόλος.'
Ἔλεξε καὶ Χάρισσαν, εὔτονον οἰκέτην,
ἐπὶ Στράτωνα καὶ Φρύνην στειλαμένη,
αἰτεῖ παρ' αὐτῶν τῆς Ῥοδάνθης τὸν γάμον
κατεγγυῆσαι τῷ Δυσικλεῖ νυμφίῳ.
Ἀπῆλθεν ἡ παῖς καὶ προσειποῦσα Φρύνην
(Στράτων γὰρ ἀπῆν εἰς τρύγην τῶν ἀμπέλων)
καὶ μηνύσασα τῆς Φιλίννης τὸν λόγον
πικρῶν μετῆλθεν ἄγγελος μηνυμάτων.
'Στράτων γὰρ' εἶπεν 'εἰς τελευτὴν τοῦ τρύγους
υἱῷ Λεάρχου τῷ νέῳ Πανολβίῳ
κατηγγύησε τῆς Ῥοδάνθης τὸν γάμον.'
Ὡς τοίνυν ἡμάρτησα τῆς πρώτης τρίβου,
εἰς δευτέραν γοῦν μηχανὴν ἐτραπόμην.
Ἡ μηχανὴ τίς ἦθελον μὲν μὴ λέγειν
ἐρυθριώσης τῆς Ῥοδάνθης τῷ λόγῳ,
ἐρῶ δ' ὅμως· καὶ σὺ δέ, καλὴ παρθένε,
μή μοι παροργίζοιο τοῦ λόγου χάριν·
τὸν γὰρ ξενιστὴν οὐ παραγκωνιστέον
αἰτοῦντα μαθεῖν τὰς ἐμὰς καὶ σὰς τύχας.
Πρὸς τοὺς ἐμοὺς ἄπειμι συγκυνηγέτας,
νέους ἀγαθοὺς καὶ φιλεῖν εὖ εἰδότας,
καί 'μοι συναρήξατε πρὸς μέγαν μόθον'

εἰπὼν ἐρωτήσασιν αὐτοῖς τὸν μόθον
δηλῶ Ῥοδάνθην καὶ Στράτωνα καὶ Φρύνην,
λέγω τὸ φίλτρον, μηνύω τὴν ἀγάπην,
τοὺς τῆς Φιλίννης ἱκετηρίους λόγους.
89 Τούτους ὑποφθάσαντες αὐτοὶ τοὺς λόγους
῾καλῆς᾽ ἔφασαν, ῾μὰ θεούς, ναὶ παγκάλης
κόρης ἑάλως· ἀλλὰ θάρρει τὸν γάμον·
ἠτισποτοῦν γὰρ ἐστὶ κἀξ οἵων ἔφυ,
ἡμεῖς Δοσικλεῖ τῷ φίλῳ τὴν παρθένον
ἐκδῶμεν, ὡς βούλοιτο, πρὸς κοινωνίαν,
ἢ τοῦ Στράτωνος καὶ Φρύνης πεπεισμένων
ἢ λῃστρικῆς γοῦν παλάμης ἀντιστάσει.᾽
῾Ναὶ ναί, συναρήξατε, συγκυνηγέται,
κἂν τῷ παρόντι τῆς κόρης κυνηγίῳ᾽
πρὸς τοὺς ἀγαθοὺς ἦν δ᾽ ἐγὼ νεανίας·
῾νέοι γὰρ ὄντες οὐδ᾽ ὑμεῖς πόθου φλόγα
εἰς ἄχρι καὶ νῦν ἰσχύσατε συσβέσαι·
εἰ δ᾽ ἄχρι καὶ νῦν, εἰς τὸ μέλλον γοῦν φόβος·
ἔρως γὰρ ἀλκὴν ἀνυπόστατον φέρει.
Γέρων μέν ἐστι, κἂν σοφίζηται βρέφος·
ὀργίζεται δέ, κἂν δοκῇ γελᾶν τάχα·
γελῶν δὲ πέμπει τῶν βελῶν τὰς ἐντάσεις·
τόξον γάρ ἐστιν εὐφυῶς ἐξημμένον·
90 μέσης κατ᾽ αὐτῆς εὐστοχεῖ τῆς καρδίας.
Παίζων φλογίζει· πῦρ γὰρ εἰς χεῖρας φέρει·
πιμπρᾷ μὲν ὀστᾶ, συμφρύγει δὲ καρδίας·
πεξὸς βαδίζει καὶ πτερούμενος τρέχει·
κυκλοῖ δὲ πάντα καὶ φθάνει πᾶσαν φύσιν,
νηκτῶν, πτερωτῶν, θηρίων, κτηνῶν γένη.᾽
῾Παύου, Δοσίκλεις, ὧν μάτην λέγεις λόγων᾽
ἔφασαν οὗτοι· ῾μὴ γίνου δημηγόρος·
ἀπρόσφορος γὰρ ἄρτι φιλοσοφία.

'Αλλὰ σκοπῶμεν ἐμφρόνως τὸ πρακτέον.'
Σκοπουμένοις οὖν τοῦτ' ἔδοξε συμφέρον,
μηδὲν φάναι Στράτωνι τοῦ γάμου πέρι
(εἰ γὰρ ἀποστέρξειε τυχὸν τὸν λόγον,
μάλιστα φρουρήσειε τὴν θυγατέρα),
ἀλλ' εἰς τὸ λουτρὸν ὡς ἔθος προηγμένην
93 ἄκουσαν ἢ θέλουσαν αὐτὴν ἁρπάσαι.
Ὃ καὶ τελευτὴν εἶχεν ὕστερον χρόνῳ.
Τῆς γὰρ Ῥοδάνθης εἰς τὸ λουτρὸν ἠγμένης
οἱ μὲν προπηδήσαντες ἀσχέτῳ θράσει
γυμναῖς μαχαίραις τοὺς προπόμπους ἐθρύουν·
καὶ πάντες ἅρδην συνταραχθέντες τότε,
συνεμπεσούσης ἀπροόπτου τῆς μάχης,
κύκλῳ διεσπάρησαν εἰς τὰς ἀμφόδους.
Μόνος μόνῃ γοῦν ἐντυχὼν τῇ παρθένῳ
καὶ γῆς ἀνηρκὼς καὶ λαβὼν ὑπ' ἀγκάλην
κατῆλθον εἰς θάλατταν, ὡς εἶχον τάχους,
καὶ ναῦν ἀναπλέουσαν ἐμβὰς αὐτίκα
τὴν τοῦ παρόντος ἐμπόρου Στρατοκλέος
ἀπέπλεον, γῆν ἐκλελοιπὼς γνησίαν.'
'Θεῶν λέγεις πρόνοιαν' ὁ Γλαύκων ἔφη,
'ἣ σοι προηντρέπιξε καὶ τὴν ὁλκάδα.
ὡς μὴ βραδύνῃς καὶ κατάσχετος γένῃ.'
'Εὐθὺς δὲ πάντες οἱ συνεργοὶ καὶ φίλοι
94 πάντες πρὸς αὐτὸν' ἦν δ' ἐγὼ 'τὸν λιμένα,
'σώζοισθε' φασὶ 'καὶ φιλανθρώποις τύχαις
ὑπὸ προπόμποις ἀνύοιτε τὴν τρίβον.
Ἐντυγχάνοιτε καὶ ξενισταῖς ἡμέροις·
ἔρως δὲ θάλποι καὶ πόθου θεία δρόσος
ὑμῶν δροσίζοι τὴν φίλην συζυγίαν,
καὶ μηδὲν ὑμῖν ἐμποδὼν παρεμπέσοι.
'Καλοί, Δοσίκλεις' αὖθις ὁ Γλαύκων ἔφη,

'καλοί, Δοσίκλεις, ἦσαν οἱ νεανίαι.
Τοιούσδε κἀγώ, Ζεῦ πάτερ, σχοίην φίλους.'
'Πρὸς ταῦτά φησι καὶ 'Ροδάνθη τοιάδε'
ἐγὼ μετεῖπον συνεχίζων τὸν λόγον
καὶ πρὸς τὸν εἰρμὸν τὴν διήγησιν φέρων
'ἀντευκτικοὺς εἰποῦσα τῷ δοκεῖν λόγους,
μᾶλλον μὲν οὖν δεικνύντας ἀγάπης φλόγα,
ἣν εἰς Δοσικλῆν ἐν μυχῷ ψυχῆς τρέφει,
'σώζοισθε λῃσταὶ τῶν καλῶν λῃστευμάτων
καὶ συντελεσταὶ τῶν ἐμῶν βουλευμάτων,
φίλοι βιασταὶ τῆς ἐμοὶ φίλης βίας,
καλοὶ τύραννοι τῆς καλῆς τυραννίδος.'
'Ὡς εὖ γέ σοι γένοιτο τῶνδε τῶν λόγων·
ἔρον γὰρ ἐγκάτοικον ἐν σπλάγχνοις μέσοις
ὑπογράφουσιν' ἦν δ' ἐγὼ τῇ παρθένῳ.
97 Καὶ τοίνυν ἀπάραντες ἐκ τῆς 'Αβύδου,
ἥλιον εἰς τέταρτον ἐκπεπλευκότες
πάριμεν ὧδε καὶ μετὰ Στρατοκλέος
δειπνοῦμεν ἁβρῶς ὑπὸ σοί, Γλαύκων φίλε.'
Οὕτως ὑπῆλθε τὴν διήγησιν τέλος,
κἀκεῖνος ὑψοῦ τὰς παλάμας τανύσας
'Ζεῦ πάτερ' εἶπε 'καὶ θεῶν γερουσία,
ὑμεῖς κυβερνᾶτε τούτους τοὺς νέους
καὶ τῷ πόθῳ νέμοιτε παῦλαν αἰσίαν.'
Γλαύκων μὲν εἶπε ταῦτα δακρύσας ἅμα·
φιλόξενος γὰρ καὶ φιλογνώμων ἔφυ
καὶ συμπαθὴς ἄνθρωπος ἐν κακοῖς νόθοις·
τῆς δὲ τραπέζης ἐκ μέσου μετηγμένης
ἡμεῖς μετηνέχθημεν ὀψὲ τοῦ πότου.

Γ

98 Πάντας μὲν ἄλλους τοῦ πότου πεπαυμένους
ὕπνος μαλακὸς συγκατέσχεν ἀθρόως·
φιλεῖ γὰρ οἶνος εἰ πίνοιτο πλησμίως
εἰς ὕπνον εὐθὺς τὸν πεπωκότα τρέπειν,
ἀχλὺν περιττὴν τοῖς βλεφάροις ἐγχέων
καὶ νύκτα ποιῶν εἰς μέσας τὰς ἡμέρας.
Καὶ τοῦτο πάντως ἀρρεπεῖ ξυγοστάτῃ
τῆς φύσεως δώρημα καὶ θεῶν χάρις.
Εἰ γάρ τις ἦν ἄγρυπνος ἐκβὰς τοῦ πότου
καὶ τῆς ἑορτῆς τοῦ θεοῦ Διονύσου,
φρενιτιᾶν ἔδοξεν ἀφραίνων μέγα,
ἅτε σκοτισθεὶς τὸ φρονοῦν καὶ τὸ κρίνον
ἐκ τῆς ἐνοίνου τῆς δυσώδους ἀτμίδος
101 εἰς τὴν κεφαλὴν ὑπερατμιδουμένης,
καὶ συνθολούσης τοῦ λογισμοῦ τὰς κόρας·
λυμαντικὸν γὰρ εἰς τὸ πᾶν ἀμετρία.
Ἅπας μὲν ἄλλος εἰς τὸν ὕπνον ἑτράπη,
οἴνῳ βιασθεὶς τῷ τυραννικωτάτῳ·
Ναυσικράτης δὲ καὶ καθευδήσας τότε,
ὅμως ἐῴκει φασματούμενος πίνειν,
τὴν δεξιὰν μὲν ὑπάγων ὑπὸ στόμα
ὡς οἷα κόνδυ δεξιῶς ὠρεγμένην,
συνεκροφῶν δὲ τὸ πλέον τοῦ σιέλου·
οἶνον γὰρ ὑπώπτευεν ἐκροφᾶν τάχα,
οἶμαι καθ' ὕπνους ἔμφασιν πότου βλέπων
καὶ τῆς φιάλης τῆς ὑπερχειλεστάτης,
ὡς μηδ' ἐπ' αὐτῶν τῶν ἐν ὕπνοις φασμάτων
οἴνου στερεῖσθαι καὶ μέθης Ναυσικράτην.
Καὶ κείμενος δὲ πρὸς μέσῳ κλινιδίῳ
ἔπαιζεν ἀντίλοξα κάμπτων τοὺς πόδας,

ὀρχήσεως εἴδωλα τῆς ἐν ἡμέρᾳ
ἐκ τῶν ἐν ὕπνοις δεικνύων κινημάτων."
"Γελᾶν, Δοσίκλεις, ἐν κακοῖς ἔπεισί μοι"
Κράτανδρος εἶπεν, "ἂν τὸ φίλτρον τῆς μέθης
οὕτω κατεκράτησε τοῦ Ναυσικράτους,
ὡς καὶ ῥοφᾶν ἐκεῖνον ἐκ τοῦ σιέλου,
οἶνον ῥοφᾶν δοκοῦντα μηδ' ἡσθημένον
ὡς σιέλου κύπελλον οὐκ οἴνου πίνει."
"Οὐ καινὸν οὐδέν, οὐ τεράστιον λέγω·
ὁ σίελος γὰρ τοῦ καλοῦ Ναυσικράτους'
ἔφη Δοσικλῆς "οἶνος ἦν ἀναβρύων
ὡς οἷον ἀσκοῦ τῆς ἐκείνου κοιλίας.
Οὕτω μὲν ὠνείρωττεν οὗτος τὸν πότον·
ἐγὼ δ' ὀρέξας δεξιὰν τῇ παρθένῳ
καὶ συλλαβὼν ἔξειμι τοῦ δωματίου,
ἀφεὶς ἐκεῖ δειπνοῦντα τὸν Ναυσικράτην·
προβὰς δὲ μικρὸν ἱστόρουν τὰς ἀμπέλους
καλὸν τελούσας χρῆμα τοῖς θεωμένοις.
Ἰδὼν ἔφης ἂν εὐφυῶς οὐδ' ἀσκόπως
ὡς τηλικαύτας ἀμπέλους τίκτειν ἔδει
τὸν τηλικοῦτον οἶνον· αἱ γὰρ μητέρες
τὰς ἐμφερεῖς φέρουσι μορφὰς τοῖς τέκνοις.
Ὡς δὲ προῆλθον εἰς μέσας τὰς ἀμπέλους
(συνηρεφεῖς δὲ παντάπασιν οἱ κλάδοι
τῇ καταπύκνῳ συνοχῇ τῶν φυλλάδων,
ὡς καὶ τὸν ἐγγὺς σφαλερῶς δεδορκέναι),
τότε ξυνῆλθον εἰς λόγους τῇ παρθένῳ.
Ἐξ οὗ γὰρ αὐτὴν ἁρπάσας Ἀβυδόθεν
φυγὴν τοσαύτην καὶ πλάνην ἐστειλάμην,
οὐκ εἶπον οὐδέν, οὐκ ἐδεξάμην λόγον,
ἀνδρῶν ἀγνώστων ὁρμαθῷ συνεμπλέων.
Τότε προήχθην καὶ φιλῆσαι τὸ στόμα

καὶ προσπλακῆναι τῷ τραχήλῳ γνησίως·
ὡς δ' οὖν μετασχὼν γλυκερῶν φιλημάτων
ᾔτουν φανῆναι καὶ γυναῖκα καὶ κόρην,
ἐπίσχες ἄρτι κἀκ μύνων φιλημάτων
ἡμᾶς γινώσκοις' ἀνταπεκρίνατό μοι,
οὕτω νομισθὲν καὶ θεοῖς τοῖς πατρίοις.
Ἑρμῆς γὰρ αὐτός, ὢν σοφὸς λιθοξόος
λιθοξοήσας, ὡς ὁ τεχνίτης νόμος,
ἔστησεν εἰς Ἄβυδον ἐν προαυλίοις,
νύκτωρ ἐπιστὰς τῇ καθ' ὕπνους ἐμφάσει
ὁ τῆς Ῥοδάνθης καὶ Δοσικλέους γάμος'
ἔλεξεν εἰς Ἄβυδον ἐκλείσθη μέσην,
θεῶν προνοίᾳ τῶν ἐκεῖ κεκλεισμένος.'
Ἡμεῖς μὲν εὐθὺς ἄχρι γοῦν φιλημάτων
φθάσαντες εἰς Γλαύκωνος ἤλθομεν δόμους
καὶ (νὺξ γὰρ ἦν) ὑπνοῦμεν ἐν τῷ κηπίῳ.
Τῇ δ' ὑστεραίᾳ τὸν νεὼν τόν ἐν Ῥόδῳ
πάντες κατειλήφαμεν ὀρθίῳ δρόμῳ,
χοὰς ἐπισπείσοντες Ἀγαθοσθένει.
Κριὸς μὲν οὖν ὠπτᾶτο καὶ μόσχος νέος
ἐν τοῖς προθύροις τοῦ νεὼ τεθυμένος·
ὁ δὲ Στρατοκλῆς ἦρξατο θρηνῳδίας.
106 Ἔκειρεν ἄκραν τῷ θανόντι τὴν κόμην,
θερμῶν δὲ πηγὰς ἐστάλαξε δακρύων
καὶ τὴν θανὴν ὤμωξεν Ἀγαθοσθένους
καὶ τὴν ταφὴν ἔκλαυσε τοῦ φίλου βρέφους.
Γλαύκων δὲ πᾶσιν ἠρεμεῖν ἐπιτρέπων,
λαβὼν φιάλην ἀκράτου πληρεστάτην
καὶ τῶν θυσιῶν τὸ κρέας διαρράνας
ὦ τέκνον' εἶπε τοῦ φίλου Στρατοκλέος,
κύημα καλὸν τῆς ἀγαθῆς Πανθίας,
οὕτως ἀώρως ἐξαλειφθὲν ἐκ μέσου

καὶ τὰς πατρῴας ἐξαλεῖψαν ἐλπίδας,
ταύτας θανόντι τὰς χοὰς τέθυκά σοι,
τούτων ταφέντι τῶν κρεῶν ἀπηρξάμην.'
Ἔλεξε ταῦτα καὶ χαμαὶ κλίνας γόνυ,
ἡμῶν μετ' αὐτοῦ συγκαθεσθέντων τότε,
πρῶτος πρὸ πάντων γεύεται μὲν τοῦ κρέως,
προεκπίνει δὲ καὶ φίλων κερασμάτων·
γευσάμενος δὲ τοῦ κρατῆρος, τοῦ κρέως,
φαγεῖν ἅπασι καὶ πιεῖν ἐπιτρέπει.
Τῶν οὖν θυσιῶν εὐαγῶς τελουμένων
ἡ βάρβαρος χεὶρ εἰσιοῦσα τὴν Ῥόδον
γυμναῖς μαχαίραις καὶ σπάθαις χαλκοστόμοις
ἄλλους μὲν ἐσπάθιζε τῶν ἐγχωρίων,
οἰκτρῶς κατασφάττουσα τοὺς τρισαθλίους,
ἄλλους [δ'] ἐδέσμει δυστυχῶς ζωγρουμένους.
109 Εἰς τὸν νεὼν [δὲ] προσβαλὼν ὁ Γωβρύας
(οἶδας, φίλε Κράτανδρε συμφυλακίτα,
τοῦ λῃστάνακτος Μιστύλου τὸν σατράπην,
τὸν σκληρὸν εἰπεῖν, τὸν δριμὺν τὴν ἰδέαν,
τὸν αἱμοχαρῆ, τὴν δρακοντώδη κάραν,
τὸν σήμερον κτείναντα τὸν Ναυσικράτην)
θύοντας ἡμᾶς ὁμμαδὸν συλλαμβάνει,
δεσμεῖ δὲ τὸν Γλαύκωνα, τὸν Στρατοκλέα,
ἡμᾶς σὺν αὐτοῖς καὶ σὺν ἡμῖν τὴν κόρην.
Καὶ νῦν ἔχει με τῆς φυλακῆς τὸ στόμα
καὶ τὴν Ῥοδάνθην, ὡς ὁρᾷς, τὴν παρθένον·
ὁ δὲ Στρατοκλῆς εἰς τὸν οἶκον ἑστάλη,
Γλαύκων δὲ (φεῦ φεῦ, τῆς ἀπανθρώπου τύχης)
θνήσκει φονευθεὶς τῷ φόβῳ πρὸ τῆς σπάθης,
μὴ κερδάνας τι τῶν φιλοξενημάτων.
Ὁ Ζεὺς γὰρ ὁ Ξένιος ὑπνώττων τάχα
θανεῖν ἀφῆκε τὸν ξενιστὴν ἀθλίως·

εἰ μή τις εἶποι τῶν θεῶν θείαν χάριν
δοθεῖσαν αὐτῷ τῶν ξενισμάτων χάριν
τὸ τὸν φυσικὸν φυσικῶς θανεῖν μόρον
καὶ μὴ προϊδεῖν βαρβάρου πικρὰν χέρα
μέλλουσαν οἰκτρῶς συντεμεῖν τὸν αὐχένα."
Οὕτω Δοσικλῆς τοῦ λόγου πεπαυμένος,
τροφῆς μετέσχεν οὐκ ἄνευ τῆς παρθένου,
συνόντος ἀμφοῖν καὶ Κρατάνδρου τοῦ ξένου.
Οὕτω τὰ πολλὰ συμφορῶν κοινωνία
οἶδε ξυνάπτειν τοὺς σαφῶς ἀλλοτρίους,
καὶ ῥᾷον ἂν γένοιτο καρτερὸς πόθος
καὶ φίλτρον ἀκράδαντον ἐν λύπαις μέσαις
ἢ τῶν τραπεζῶν ταῖς πολυτροφωτέραις
καὶ τῶν κρατήρων τοῖς ὑπερχειλεστέροις.
Ὑποδράμοι γὰρ οὐκ ἀνεύλογος φύβος
μή που φίλοι γίγνοιντο τοῦ πότου πλέον
καὶ τὴν τρυφὴν στέργοιεν οὐχὶ τὸν φίλον
οἱ τὸν πόθον γεισοῦντες ἐν μέσαις μέθαις
σαθροῖς θεμέθλοις εὐδιαστροφωτέροις
καὶ τῶν ἐν ἅμμῳ παιδικῶν ἀθυρμάτων
στέγασμα πιστεύοντες ἀγάπης μέγα.
Οἱ μὲν τοσαῦτα τῷ πρὸς ἀλλήλους λόγῳ,
μικρὸν καθυφιέντος αὐτοῖς τοῦ πόνου·
ὁ Μιστύλου δὲ σατράπης ὁ Γωβρύας
ἰδὼν Ῥοδάνθην ἐντρανεστέραις κόραις,
καταπλαγεὶς δὲ τοῦ προσώπου τὴν χάριν
καὶ συμπλοκῆς ἔρωτα δυσγενεστέρας
θερμῶς ἐρασθείς, ὡς νόμος τοῖς βαρβάροις,
πέπονθεν ἐντὸς εἰς μέσην τὴν καρδίαν.
Προσέρχεται δὲ Μιστύλῳ τῷ δεσπότῃ,
ἐφάπτεται δὲ τοῖν ποδοῖν καθημένου
καὶ δάκρυ θερμὸν ἐκχέας τῶν ὀμμάτων

"ὦ λῃστάναξ" ἔλεξεν, "εὐτυχὲς δόρυ,
τὸν σὸν γινώσκεις σατράπην τὸν Γωβρύαν
πολλαῖς ἐναθλήσαντα πολλάκις μάχαις,
πολλὰς κατασκάψαντα δυσμενῶν πόλεις,
πολλὰς καταστρέψαντα ναῦς ἀντιπλόους
καὶ τοὺς ἐν αὐταῖς ἀνελόντα ναυμάχους,
πληγέντα πολλὰ καὶ μεμωλωπισμένον
καὶ σάρκα πᾶσαν ἐκτετραυματισμένον.
Νῦν οὖν προσελθὼν Μιστύλῳ τῷ δεσπότῃ
ἐφάπτεταί σοι τοῖν ποδοῖν καὶ δακρύει,
μίαν ἀπαιτῶν ἀντὶ πάντων τὴν χάριν.
Τὴν αἰχμάλωτον τὴν πεφυλακισμένην,
ἣν σὺ προϊξὰ τοῦ προσώπου θαυμάσας
κατηγγυήσω τοῖς θεοῖς νεωκόρον,
αἰτῶ παρασχεῖν εἰς γάμου κοινωνίαν.
Ἐγὼ γὰρ αὐτὴν συγκατέσχον ἐν Ῥόδῳ·
χειρῶν ἐμῶν λάφυρον ἐστὶν ἡ κόρη,
σπάθης ἐμῆς ἅρπαγμα καὶ σκῦλον ξίφους.
Τὰς εἴκοσι μνᾶς ἀντιδώσω, Μιστύλε,
οὐδ' ἄλλο κερδάναιμι τῶν συλημάτων·
μόνην λάβοιμι τὴν Ῥοδάνθην εἰς γάμον."
Πρὸς ταῦτα μικρὸν συμπεδήσας τὸ στόμα
καὶ συγκατασχὼν τοὺς λόγους ὁ λῃστάναξ
"πρόχειρος" εἶπεν "εἰς δόσεις ὁ Μιστύλος
εἴπερ τις ἄλλος τοῖς ἑαυτοῦ σατράπαις,
πλέον δὲ πάντων τῷ καλῷ πάντων πλέον·
καλὸς δὲ μᾶλλον τῶν ἁπάντων Γωβρύας,
καὶ παντὸς αὐτὸν προκρίνοιμι σατράπου·
οὐ μὴν λογισθῇ καὶ θεῶν μοι βελτίων.
Εἰ τοίνυν ἄλλῳ σατράπῃ τὴν παρθένον
φθάσας κατηγγύησα, καλὲ Γωβρύα,
εἶτ' αὐτὸς ἐλθὼν ἀνταπήτεις τὴν χάριν,

δέδωκα πάντως τὴν Ῥοδάνθην ἀσμένως,
ἐκ τοῦ λαβεῖν φθάσαντος ἐξαπουσπάσας·
καίτοι τὸ πρᾶγμα δυσφόρως ἤνεγκεν ἂν
ὁ κρὶν λαβὼν κἄπειτα κλαπεὶς τὴν κόρην·
ἀλλ' οὐδὲν ἡμῖν εἰ θλίβοιτο σατράπης
ἐφ' οἷς θεραπεύοιμεν ἀρχισατράπην·
ἐπεὶ δὲ τοῖς σώζουσιν ἡμᾶς ἐν μάχαις
Θεοῖς δέδωκα τὴν κόρην νεωκόρον,
πῶς οὐκ ἂν εἴη δυσερὲς τὸ πρακτέον,
εἰ τοῦ νεὼ μὲν ἐκσπάσω τὴν παρθένον,
δώσω δὲ θνητῷ πρὸς γάμου κοινωνίαν;
117 πῶς δ' οὐκ ἄν, εἰ γίγνοιτο καθάπερ λέγεις,
Θεοὶ παροργίζοιντο τοῖς τελουμένοις;
Κἂν μὲν γὰρ ἄλλοις ἀνομῶμεν, Γωβρύα,
πάρεισιν ἡμῖν οἱ θεοὶ ποινηλάται·
ἂν δὲ πρὸς αὐτοὺς εἰσφέροιμεν τὴν βλάβην,
τλητὴν ἂν ἡγήσαιντο τὴν ἀδικίαν;
Οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ καὶ πολλῷ πλέον
ἡμᾶς καταβλάψαιεν ἠσεβηκότας·
ἀδικίας γὰρ ἀσέβεια κακίων,
ὅσον θεοῖς μὲν ἀσεβεῖν λέγοιτό τις,
ἀδικία δὲ πρὸς βροτοὺς ἀνατρέχει.
Κομψεύσομαί τι τῷ παρόντι μοι λόγῳ.
Τοὺς ἀσεβοῦντας ἀδικεῖν πάντως βία·
εἴη γὰρ ἀσέβειά τις ἀδικία·
τοὺς δ' ἀδικοῦντας ἀσεβεῖν τίς ἡ βία;
Εἰς σαυτὸν ἔλκων ἐξερεύνα τὸν λόγον.
Σοὶ προφθάσας δέδωκα τὴν ζητουμένην·
μετῆλθεν ἄλλος, ἀνταπῄτει τὴν χάριν,
ἐν δευτέρῳ σου καὶ χαμερπὴς τὴν τύχην
ὅσον θεῶν σὺ δευτερεύεις, Γωβρύα,
ἐγὼ δὲ τὴν δέησιν εἰσεδεξάμην

καὶ τὴν κόρην δέδωκα τῷ ξητοῦντί με,
τοῦ σοῦ θαλάμου δυστυχῶς ἀναρπάσας·
118 ἐκαρτέρησας εὐφόρως τὴν αἰσχύνην; 225
ἤνεγκας ἂν τὴν ὕβριν; Οὐ μὰ τὴν Δίκην,
ἀλλ' εἰς ἄμυναν τοῦ κακοῦντος ἐτράπου
καὶ πάντα πάντως συγκεκίνηκας κάλων,
ὡς ἂν τὸν ὑβρίσαντα καὶ βλάψαντά σε
ταῖς ἀντιποίνοις ὑβριοῖς κωμῳδίαις. 230
Σὺ γοῦν γεηρὸς καὶ φθορᾶς τελῶν μέρος
τὴν ὕβριν οὐκ ἤνεγκας οὐδὲ τὴν βλάβην·
θεοὶ δὲ πῶς στέρξαιεν ἂν τὴν αἰσχύνην,
ὧν τῇ θελήσει σύνδρομον καὶ τὸ σθένος;
οἷς οὐ δεήσει συμμάχων οὐδὲ χρόνου, 235
εἰς τὴν ἄμυναν τῶν λελοιδορηκότων;
Φλέξοι γὰρ αὐτοὺς πῦρ κατηγμένον κάτω
ἢ γοῦν ἔνυγρος πλησμονὴ κατακλύσοι.
Ἄλλως δὲ καὶ σὺ μαρτυρήσεις τῷ λόγῳ
ὡς ὑπὲρ εὐνὴν ἀνδρικὴν ἡ παρθένος 240
καὶ συγκατοικεῖν τοῖς θεοῖς ἐπαξία."
"'Ἀλλ' οὐκ ἔδωκας τοῖς θεοῖς τὴν παρθένον"
ἀπεκρίνατο Γωβρύας τῷ Μιστύλῳ·
"ἡ μὲν γὰρ οἰκεῖ τῆς φυλακῆς τὸν ζόφον,
θεοὶ δὲ ναὸν ἔσχον εἰς κατοικίαν· 245
καίτοι προσῆκε τοὺς θεῶν νεωκόρους
ἐγχωριάζειν τοῖς ναοῖς καὶ προσμένειν,
121 εἰ μὴ τὸν οἶκον τῶν κατακρίτων λέγεις
οἴκημα σεπτὸν τῶν θεῶν, θεῖον τόπον."
Πρὸς ταῦτα φησὶ Μιστύλος μεταφθάσας 250
"ὄντως ἀμαθῶς ἀντέλεξας, Γωβρύα·
ὑπεσχόμην γὰρ τοῖς θεοῖς τὴν παρθένον·
κἂν χερσὶν αὐτῶν οὐκ ἔδωκα τὴν χάριν,
τύρβης διασπώσης με πολλῶν φροντίδων·

φαίη δὲ πάντως τὴν ὑπόσχεσιν δόσιν
ἀνὴρ ἐχέφρων καὶ φρενῶν ἐπιστάτης,
ἂν εἰς θεοὺς γίγνοιτο τοὺς σωτηρίους.
Σὺ δ' ἀλλ' ἔοικας καὶ λαβὼν τὴν παρθένον
καὶ πυρσὸν ἅψας νυμφικῆς δᾳδουχίας
καὶ παστάδων ἔσωθεν ἐγκαθιδρύσας
τὸ μὴ παρασχεῖν ἐγκαλεῖν τῷ Μιστύλῳ,
ἐφ' ᾧπερ ἐβράδυνεν ἡ συνουσία·
καίτοι δέδωκε προφθάσας ὁ Μιστύλος,
καὶ Γωβρύας εἵληφε τὴν ἐρωμένην."
Οὕτως ἁμαρτὼν τῆς ποθουμένης κόρης
ἐξ ἱκετικῆς προσβολῆς ὁ σατράπης
ἄλλην ὁδὸν τέτραπτο λῃστρικωτέραν
καὶ Γωβρύᾳ πρέπουσαν, αἰσχρῷ βαρβάρῳ·
νύκτωρ γὰρ ἔγνω συγκροτήσας τὴν βίαν
καὶ μὴ θελούσῃ συμμιγῆναι τῇ κόρῃ.
122 Τὴν οὖν φυλακὴν εἰσδραμὼν παραυτίκα
καὶ πλησιάσας τῇ Ῥοδάνθῃ κειμένῃ
"ὦ χαῖρε, γύναι" φησὶν "ἀνδρὸς Γωβρύου,
ὦ δεῦρο τὸν σὸν ἄσπασάι με νυμφίον
καὶ μὴ ταραχθῇς τὴν ἐμὴν συνουσίαν·
ἀλλ' εὐχαρίστει τοῖς θεοῖς καὶ ταῖς τύχαις,
αἵ σε ξυνῆψαν τῷ μεγίστῳ σατράπῃ.
Οὐ γὰρ παρεῖδον ὁ κρατήσας ἐν Ῥόδῳ
καὶ τοῖς ἑαυτοῦ συγκατασχὼν δακτύλοις
ἄλλῳ πενιχρῷ καὶ ταπεινῷ βαρβάρῳ
τὴν τηλικαύτην ἐκδοθῆναι παρθένον."
Ἔλεξεν οὕτω καὶ χαμάζε κυπτάσας
ὧρμα φιλῆσαι τῆς Ῥοδάνθης τὸ στόμα.
Ἀλλ' ἡ κόρη φυγοῦσα τὴν τυραννίδα
καὶ τὸν βιαστὴν ἐκλιποῦσα Γωβρύαν
καὶ τῇ παλάμῃ τοῦ παλαμναίου κυνὸς

συνεκλιποῦσα τοῦ χιτῶνος τὸ πλέον
εἰς τὸν Δοσικλῆν ὡς τάχος μετατρέχει,
πλησθεῖσα πολλῆς ταραχῆς τὴν καρδίαν,
καὶ "σῶσον" εἶπεν "ἐκ τυράννου βαρβάρου,
σῶσον, Δοσίκλεις, τὴν φίλην σοι παρθένον·
ἀπόσπασόν με λῃστρικῆς τυραννίδος.
Ἀπώλεσάς με· σπεῦσον, ἢ μὴν ᾠχόμην."
Ὁ τοίνυν ὕπνος ταῖς κόραις Δοσικλέος
χρόνιος ὀψὲ καὶ μόγις προσιξάνων,
τότε θροηθεὶς τῇ βοῇ τῆς παρθένου
πολλῷ μετέπτη καὶ μετῆλθεν ὡς τάχος.
Ἀνεὶς Δοσικλῆς τὰς πύλας τῶν ὀμμάτων
καὶ γοῦν ἀναστὰς τῆς χαμαιστρώτου κλίνης
(ἡ γῆ γὰρ ἦν μίμημα τοῦ κλινιδίου
ὑπνοῦντι μικρὸν τῷ καλῷ Δοσικλέι)
μακρὰ θροηθεὶς ἀντέφη τῇ παρθένῳ
"ὤμοι Ῥοδάνθη, τί πτοῇ; λέγοις, λέγοις.
Ἰδοὺ Δοσικλῆς, μήνυσόν μοι τὴν μάχην.
Ἧ που καθ' ὕπνους καὶ φάσεις ὀνειράτων
καινοὺς κατοπτεύσασα φασμάτων τύπους,
ὁποῖα πολλὰ νὺξ παραπλάττειν θέλει
ἐν τῇ κατ' αὐτὴν τῶν ὀνείρων ἐμφάσει,
ἐξεθροήθης τὴν δυσέντευκτον πλάσιν,
ἐμορμολύχθης τὴν θέαν ὡς τὰ βρέφη;
Τί τοῦτο; παῦσαι. Τί θροῇ τὴν καρδίαν;
Τὸ πλάσμα φάσμα καὶ σκιᾶς ψευδὴς τύπος,
κἂν ὡς τὰ πολλὰ τὰς ἀνάνδρους καρδίας
φιλεῖ ταράττειν τῇ ξένῃ παραπλάσει.
Εἰ δ' ἄχρι δεῦρο τὴν θέαν ὑποτρέμεις,
νῦν γοῦν ἀναστῶ καὶ παραρτύσω μάχην
καὶ νυκτομαχήσαιμι τοῖς ἐνυπνίοις
καὶ τοῖς ὀνείροις ἐντινάξω τὴν σπάθην."

Ὁ μὲν Δοσικλῆς ταῦτα τῇ ποθουμένῃ·
ὁ Μιστύλου δὲ σατράπης ὁ Γωβρύας
καὶ δευτέρας γοῦν ἀστοχήσας ἐλπίδος
σιγῶν μετῆλθεν εἰς τὸν οἰκεῖον δόμον,
οἶμαι πτοηθεὶς μὴ φανὲν τῷ Μιστύλῳ
ποινηλατηθῇ τῇ προσηκούσῃ κρίσει
ὡς ἐμπαροινῶν τοῖς θεῶν νευκόποις·
καὶ μὴ μελήσας συγκινοῦντος τοῦ πάθου
πρὸς ἀτραποῦ τέτραπτο καὶ τρίτης τρόπον.
Τὸν γὰρ Δοσικλῆν, ὡς ἀδελφὸν τῆς κόρης,
ὑποδραμεῖν ἔσπευσε λαθραίοις λόγοις,
ὡς ἂν δι' αὐτοῦ τῆς ἐρωμένης τύχῃ.
Ὦ παμμάταιος καὶ παράφρων καρδία,
ἂν εἰ προδοῦναι τὴν ἑαυτοῦ παρθένον
ὁ σατράπης ἤλπιζε τὸν Δοσικλέα.
Ἀλλ' ἠπάτησε τῆς θέας ἡ ταυτότης
τὸν βάρβαρον· καὶ τοίνυν ἐλθὼν ἐγγύθεν
τοιούσδε φησὶ τῷ Δοσικλεῖ τοὺς λόγους
"Σοὶ μέν, Δοσίκλεις, τῆς θέας ἡ λαμπρότης
τὴν εὐγένειαν τοῖν γενοῖν μαρτύρεται,
κρείττω δὲ πολλῷ τῆς ὁρωμένης τύχης
129 τρανῶς παριστᾷ καὶ σαφῶς ὑπογράφει·
καὶ τοῦ προσώπου τὴν ὑπανθοῦσαν χάριν
κήρυκα λαμπρόφθογγον ὡσπερεὶ φέρεις
τῆς εἰς Ῥοδάνθην συγγενοῦς κοινωνίας·
οἷς γὰρ τὸ κάλλος ἐμφερεῖς ἔχει τύπους,
οἷς ταυτοειδεῖς τῶν προσώπων αἱ πλάσεις,
τούτοις γένοιτ' ἂν καὶ γένους ἡ ταυτότης.
Οὕτω μὲν οὖν σε συγγενῆ τῇ παρθένῳ
ἔγραψεν ἡμῖν ζωγράφου τινὸς δίκην
ἡ σοι προσοῦσα τοῦ χαρακτῆρος χάρις.
Οὐκ ἀγνοεῖς δὲ τάχα που καὶ Γωβρύαν

δυνάμενον τὰ πάντα παρὰ Μιστύλῳ
καὶ παντὸς ἄλλου τῶν ὑπ' αὐτὸν βελτίω,
τιμὴν δὲ κερδαίνοντα μυρίαν ὅσην.
Εἰ γοῦν μίαν μοι καὶ μόνην δώσεις χάριν,
τὴν συγγενῆ σου τὴν συνεγκεκλεισμένην
πεῖσαι συνελθεῖν καὶ συναφθῆναι γάμῳ,
πολλῷ μεγίστην ἀντιδέξῃ τὴν χάριν·
τὴν παῖδα γάρ σοι τὴν καλὴν τοῦ Μιστύλου
κατεγγυῶμαι καὶ θεοὺς τοὺς πατρίους
προβάλλομαι νῦν μαρτυροῦντας τῷ λόγῳ
ὡς ἡ Καλίππη γαμετὴ Δοσικλέος,
ἂν ἡ Ῥοδάνθη γαμετὴ τοῦ Γωβρύου.
Καὶ τίς γένοιτ' ἂν εὐτυχέστερος γάμος
ἢ τίς μεγαλόδοξος οὕτω νυμφίος,
ὡς ὁ ξυναφθεὶς τῇ θυγατρὶ Μιστύλου;
Οἵα γάρ ἐστι τὴν θέαν ἡ παρθένος.
Ἦ μὴν ἀδελφοῦ τῆς Ῥοδάνθης ἀξία.
Οἷον τὸ κάλλος τοῦ χαρακτῆρος φέρει.
Ἦ μὴν προσῆκον τῷ Δοσικλεῖ νυμφίῳ.
Τούτοις προσεννόησον ὄγκον ἀξίας,
τύχης ἔπαρσιν, ἀργύρου, χρυσοῦ βάρος,
οἷς οἱ τυχόντες ἀρχικῶν κηδευμάτων
ὑπερφέρουσι τῶν χαμαιρριφεστέρων."
Τούτους Δοσικλῆς ὑπακούσας τοὺς λόγους,
μικρὸν περισχὼν τὴν ἀπόκρισιν λέγει
" καλῶς μὲν ἡμῶν ἐστοχάσω, Γωβρύα,
καὶ τὴν ἀδελφὴν εὐφυῶς ἔγνως φύσιν
ἐκ τῆς ἀδελφῆς τῶν χαρακτήρων θέας.
Ἐγὼ δ' ἐμαυτοῦ συννοῶ μὲν τὴν τύχην,
οὐκ ἀγνοῶ δὲ δοῦλος ὢν τοῦ Μιστύλου,
ἀνάξιος δὲ τῇ Καλίππῃ νυμφίος·
αἰσθάνομαι δὲ καὶ παροικῶν ἐν ξένῃ.

Ἀνὴρ γὰρ αἰχμάλωτος εἰς ὕψος τόσον
οὐκ ἄν ποτ' ἀρθῇ καὶ μεταπτῇ τὴν τύχην,
ὡς καὶ μετασχεῖν ἀρχικῶν κηδευμάτων,
133 ἅπαν ὑπερπτὰς ἀξίωμα σατράπου.
Ἐμοὶ μὲν οὖν ἄχαρις οὕτως ἡ χάρις·
τὴν δ' οὖν ἀδελφὴν τὴν ἐμὴν τὴν παρθένον
πείσω συνελθεῖν εἰς γάμον σοι, σάτραπα·
πλὴν ἀλλὰ μὴ νῦν τὴν ὑπόσχεσιν θέλε.
Ἐπεὶ γὰρ ἡ τεκοῦσα καὶ θρεψαμένη
τέθνηκεν, ὤμοι, καὶ παρῆλθεν ἐκ βίου,
κρατεῖ δ' ἐφ' ἡμῶν τῇ πόλει νόμος γέρων,
πενθεῖν τελευτήσαντα τὸν φυτοσπόρον
τὰ τέκνα πεντήκοντα μέχρις ἡλίων,
κάτασχε σαυτὸν εἰς δεκάτην ἡμέραν·
αὐτὴ γὰρ ἡμῖν συμπεραίνει τὸν νόμον,
καί σοι μετ' αὐτὴν ἐγγυῶμαι τὸν γάμον."
Τούτων ἀκούσας τῶν λόγων ὁ Γωβρύας
δυοῖν παθοῖν μετῆλθεν ἐν μεταιχμίῳ.
Ὁ μὲν βραδυσμὸς ἐστρόβει τὴν καρδίαν·
τῶν ἡμερῶν γὰρ τὰς τεθείσας ἐν μέσῳ
ζωῆς ὅλης ἔκρινε καὶ βίου χρόνον·
ἡ δ' ἐλπὶς ἐξέκοπτε τὴν ἀθυμίαν.
Τῆς γοῦν φυλακῆς ἐξιόντος Γωβρύου
εὐθὺς Δοσικλῆς προσδραμὼν τῇ παρθένῳ
καὶ σὺν στεναγμῷ δάκρυον καταρράνας
καὶ πικρὸν οἷον ἐκβοήσας ἐκ βάθους
134 "ὦ τῆς ἐμῆς" ἔλεξε "λύχνε καρδίας
καὶ φάρμακόν μοι τῶν πόνων τῶν ἀτρύτων,
ὦ μοι συναιχμάλωτε, συμφυλακίτι,
ὦ μέχρι φωνῆς τοῦ Δοσικλέος γύναι·
φυγεῖν μὲν εἵλου τὴν σεαυτῆς πατρίδα,
ἀπεστερήθης συγγενῶν, συμπαρθένων,

φίλων ἀδελφῶν, τοῦ Στράτωνος, τῆς Φρύνης,
ξένας πόλεις δέδορκας ἐν μακρᾷ πλάνῃ
(ἢ μηδὲ τὴν σήν· πῶς γὰρ ἠσφαλισμένη;),
ἑκαρτέρησας λῃστρικὴν τυραννίδα,
καὶ μέχρι καὶ νῦν μυρίους στέγεις πόνους,
οἰκεῖς φυλακῆς ἐξοφωμένον στόμα,
εἰς γῆν καθεύδεις τὴν κατάψυχρον κλίνην,
στερῇ τὰ πολλὰ καὶ πιτυρίου τρύφους·
πλὴν οὖν μεθ' ἡμῶν καὶ δι' ἡμᾶς, παρθένε,
τὸν λιμὸν ἔτλης, τὴν φυγὴν καὶ τὴν πλάνην·
καὶ νῦν ὁ λῃστὴς Γωβρύας ὁ σατράπης
ἡμῶν διαρρήγνυσι πικρῶς τὸν πόθον,
οἰκτρῷ μερισμῷ δυσμενῶς διασπάσων,
καὶ τὴν Ῥοδάνθην εἰς ἑαυτὸν λαμβάνει·
βιάζεται δὲ καὶ τυραννεῖ τὸν γάμον,
δι' ὃν Δοσικλῆς καὶ πλανήτης καὶ ξένος
δεσμοῖς καθεκτὸς καὶ πεφυλακισμένος.
137 Οὕτω κατηγγύησεν ἡμῖν τὸν γάμον
Ἑρμῆς ὁ παμμέγιστος ἐξ ὀνειράτων;
Τοιοῦτον ἦλθε τῶν ὀνειράτων τέλος;
Εἴθε πλέουσαν δυστυχῶς Ἄβυδόθεν
πόντου σε βυθὸς συγκατέσχεν ἀγρίου,
ἢ γοῦν διεχρήσατο καὶ σὲ Γωβρύας,
ὅταν κατεσκύλευε τὴν ὅλην Ῥόδον
καὶ τῶν κατοίκων ἐσκύλευε τὸ πλέον,
καὶ μὴ κατασχὼν ζῶσαν ἐζώγρησέ σε,
σώζων ἑαυτῷ καὶ προμεμνηστευμένος
τὴν οὐχ ἑαυτοῦ, τοῦ μόνου Δοσικλέος,
σωτὴρ πονηρός, ἀθλίαν σωτηρίαν.
Οἰκτρὸν μὲν οἰκτρὸν ταῖς κόραις Δοσικλέος
ἰδεῖν Ῥοδάνθην εἰς βυθὸν κατηγμένην,
εἰς τὴν ἀχανῆ τῆς θαλάττης γαστέρα,

λαχοῦσαν ὑγρὸν καὶ καταῤῥυτον τάφον
ἢ γοῦν σφαγεῖσαν καὶ θανοῦσαν ἐκ ξίφους·
οἰκτρὸν δὲ μᾶλλον καὶ θαλάττης καὶ ξίφους,
ἂν ζῶσα, φεῦ φεῦ, ἐξ ἐμῆς χειρὸς μέσης
ἑλχθῇς σπαραχθῇς καὶ διάσπασιν πάθῃς
καὶ πρὸς συναφὴν ἐκδοθῇς τῷ Γωβρύᾳ,
ὁρῶντος, ὤμοι, ταῦτα καὶ Δοσικλέος.
Εἰ μὲν γὰρ ἐκπέπτωκας εἰς πόντου στόμα,
138 ἂν ἐκ μαχαίρας ἐσφάγης χαλκοστόμου,
πάντως ἂν εἶχον συμπαθεῖν σοι, παρθένε,
ῥίψας ἐμαυτὸν εἰς θαλάττης καρδίαν,
ἢ τὸ ξίφος γοῦν ἐμβαλὼν ἐπ' ἐγκάτοις·
νῦν δ' ἀλλ' ἐγὼ μὲν ἐκθανοῦμαι καὶ πάλιν,
πρὶν ὄψομαί σε συνιοῦσαν εἰς γάμον
τῷ παγκακίστῳ βαρβάρῳ τῷ Γωβρύᾳ,
αὐτὸς καθ' αὑτοῦ καὶ κατὰ σπλάγχνων μέσων
τὰ προστυχόντα τῶν ξιφῶν ἀκοντίσας.
Οὐ φείσομαι γὰρ τῆς ἐμαυτοῦ καρδίας,
κἂν χεὶρ ἐμοὶ ξῇ, κἂν βίῳ μένῃ ξίφος.
Σὺ δὲ ξυνέλθῃς εἰς γάμον τῷ βαρβάρῳ
καὶ σατραπικὴν ἀντεφυπνώσεις κλίνην
καὶ τῶν στολισμῶν ἐνδυθῇς τοὺς καλλίους,
χρυσῷ βρίθοντας, μαργάρῳ πεπασμένους,
καὶ πάντα πράξεις ὡς ἀρέσκει Γωβρύᾳ·
Δοσικλέος γὰρ οὐδ' ἀνάμνησιν λάβῃς
καὶ τῆς ἐνόρκου τῆς πρὸς αὐτὸν ἐγγύης·
ἡ γὰρ περιττὴ τῆς τύχης εὐδοξία
ὀγκοῦσα τὸν νοῦν τῶν χαλιφρονεστέρων
λήθην τὰ πολλὰ τῶν προλαβόντων φέρει,
λικμῶσα πάντων τῶν φθασάντων πραγμάτων
ἐκ τῆς ἄλωνος τῶν φρενῶν τὰ φορτία.
141 Κεραύνιε Ζεῦ, ἀστραπηφόρον κράτος

καὶ τῶν ἐνόρκων ἐγγυῶν ἐπιστάτα,
σὺ δ' ἀλλὰ τούτων καρτερήσεις δρωμένων;
Οὐ τῆς χαλάζης ἐντινάξεις τοὺς λίθους;
οὐ τῶν κεραυνῶν τὰς πυροπτέρους φλόγας;
οὐκ ἐξανοίξεις οὐρανοῦ πᾶσαν θύραν,
φθερεῖς δὲ τὴν γῆν καὶ τὸ πᾶν κατακλύσεις
ὅλαις θαλάσσαις ὑετοῦ διαβρέχων,
σεισμῷ δὲ μακρῷ συνταράξεις τὴν κτίσιν;"
Τούτοις Δοσικλῆς τοῖς λόγοις κεχρημένος
ἔρραινε πικρὰ ῥεῖθρα θερμῶν δακρύων,
καὶ συγκατασχεῖν τὴν τραγῳδίαν θέλων
ὅμως ἀνηρέθιστο καὶ πάλιν λέγειν,
ὑποφλέγοντος τοῦ πάθους τὴν καρδίαν.
Ἡ παρθένος δὲ συνδεθεῖσα τὸ στόμα
καὶ γλωττοδέσμην ὥσπερεὶ δεδεμένη
ἔστεργε μακρὰν δυστυχῶς ἀφωνίαν·
φιλεῖ γὰρ ἀνύποπτον εἰσπεσὸν πάθος
καὶ ταραχὴ δύσελπτος ἐξ αἰφνιδίου
ἐκστατικόν τι τῶν φρενῶν πεφυκέναι
καὶ συνδετικὸν τῶν λογικῶν ὀργάνων·
μεθύσκεται γὰρ ἡ παθοῦσα καρδία
καινοπρεπὲς πιοῦσα καὶ ξένον μέθυ.
142 Μόγις δ' ἀνανήψασα τῆς καινῆς μέθης
καὶ τὸν ῥυέντα νοῦν ἀναλεξαμένη
καὶ γλῶτταν ὥσπερ καὶ λόγον λελυμένη
"παῦσαι, Δοσίκλεις, τῶν στεναγμάτων" ἔφη
"καὶ τὴν ἀφορμὴν τοῦ πάθους φράσον φθάσας."
"Σπεύδει συνελθεῖν εἰς γάμον σοι Γωβρύας"
ἔφη Δοσικλῆς οὐκ ἀδάκρυτον λόγον·
"κἀμοὶ δέ, φεῦ φεῦ, τῆς θυγατρὸς Μιστύλου
ἀντεγγυᾶται τὸν γάμον, πικρὰν χάριν.
Τίς γὰρ χάρις, κάκιστε λῃστῶν Γωβρύα

(ἰδοὺ γὰρ εἰς σὲ τὸν λόγον μετατρέπω,
κἂν μακρὰν ἡμῶν, ἀγριώτατε, στρέφῃ),
εἰ τῆς ἐμῆς με παρθένου διασπάσεις,
ἄλλην δέ μοι ὁᾷς δωρεὰν ἀλλοτρίαν;
Σφάττεις με πικρῶς καὶ καταγγέλλεις γάμον.
Τί τοῖς θανοῦσι συντελεῖν ἔχει γάμος;
Μίαν Δοσικλεῖ καὶ μόνην δίδου χάριν·
μὴ τῆς Ῥοδάνθης δυσμενῶς διασπάσῃς."
"Ἐγὼ μὲν" ἀντέλεξεν εὐθὺς ἡ κόρη
"(θεοὶ δὲ πάντως ἀκροῶνται τῶν λόγων)
ἢ σοὶ φυλαχθῶ καρτερῶς τηρουμένη
ἢ τῷ ξίφει γοῦν, οὐ γὰρ ἂν τῷ Γωβρύᾳ.
Σοῦ δ' ἀλλὰ χάριν οὐ βραχὺν τρέμω τρόμον,
μή που συναφθεὶς τῇ θυγατρὶ Μιστύλου
τῆς αἰχμαλώτου μηδὲ μικρὰ φροντίσῃς."
Τοιοῦτον εἶπεν ἡ Ῥοδάνθη τὸν λόγον
καὶ τὸ πρόσωπον τοῦ φίλου Δοσικλέος
ἐκ τῶν ῥεόντων ἐξεμόργνυ δακρύων
ὡς χειρομάκτρῳ τῷ χιτῶνι χρωμένη,
καὶ βραδέως μὲν πλὴν ἐπέσχε τοῦ γόου.

Δ

Οὕτω μὲν οὗτοι τὸν πρὸς ἀλλήλους πόθον
λόγοις ἐπεσφράγιζον ἀλληλεγγύοις·
τῆς δ' ὑστεραίας ἐνδυθεὶς καλὸν φάρος,
λευκόν, ποδῆρες, ἱερεῖ τινὶ πρέπον,
καὶ σὺν ἑαυτῷ τοὺς νεωκόρους ἄγων
φύλλοις πίτυος καὶ δάφνης ἐστεμμένους

ὥρμα πρὸς αὐτὸν τὸν νεὼν ὁ Μιστύλος,
τοῖς ἀθανάτοις ἱερώσων τοὺς νέους·
ἀλλ' ὁ Βρυάξου σατράπης Ἀρταξάνης
ἐλθὼν πρὸς αὐτὸν προσταγῇ τοῦ δεσπότου
ἀνατρέπει τὰ πάντα καὶ διαστρέφει.
Ἐπεὶ γὰρ αὐτὸν τὸν μέγαν Ἀρταξάνην
ἤκουσεν ἐλθεῖν ὁ στολάρχης Μιστύλος,
149 εὐθὺς μὲν ἐστείλατο τὴν ὀπισθίαν,
καθειργνύει δὲ τοὺς νεωκόρους πάλιν,
αὐτὸς δ' ἐπ' ὀκρίβαντος εἰς θρόνον μέγαν
ὑψοῦ καθεσθεὶς καὶ τιτανῶδες βλέπων,
τῆς σατραπικῆς στρατιᾶς εἰς τὸν θρόνον
ἱσταμένης κύκλωθεν εὐφυεῖ στάσει,
καλεῖν κελεύει τὸν σταλέντα σατράπην.
Καὶ γοῦν ἐκάλουν καὶ παρῆν Ἀρταξάνης,
πρὸ τοῖν ποδοῖν δὲ τοῦ στολάρχου Μιστύλου
κλίνας ἑαυτοῦ τὴν κάραν ὁ σατράπης
ἐπιστόλιον μικρὸν ἐσφραγισμένον
τῷ βασιλεῖ δίδωσιν εἰς χεῖρας μέσας·
ὁ δ' αὖθις ἀντέδωκεν αὐτὸ Γωβρύᾳ,
ὡς ἂν ἀναγνῷ τῶν παρόντων ἐν μέσῳ.
Τὰς γοῦν σφραγῖδας ἐξελὼν ὁ Γωβρύας
τὸ γράμμα πᾶσιν εἰς ἐπήκοον λέγει

ΑΝΑΞ ΒΡΤΑΞΗΣ ΒΑΣΙΛΕΥΣ ΠΙΣΣΗΣ ΜΕΓΑΣ
ΧΑΙΡΕΙΝ ΒΑΣΙΛΕΙ ΤΩι ΜΕΓΑΛΩι ΜΙΣΤΤΑΛΩι.

Οἷος μὲν οἷος ὁ Βρυάξης Μιστύλῳ
καὶ πῶς τὰ θεσμὰ τῆς πρὸς αὐτὸν ἀγάπης
φρουρεῖν διεσπούδακεν, εἴπερ ἄλλο τι,
ἄλλοις τε πολλοῖς εἰ θελήσεις ἂν μάθοις
καὶ μᾶλλον οἷς μοι τῆς τύχης δωρουμένης
150 μόνῳ μὲν ἄρχειν ἄλλα δὲ θραύειν κράτη
οὐκ ἠθέλησα τῆς τύχης μοι τὴν χάριν
καὶ μέχρι τοῦ σοῦ, Μιστύλε, φθάσαι κράτους.

Ἀλλ' ἰδίαν κέκρικα τὴν δυσκλησίαν,
εἰ σκῆπτρα τὰ σὰ πρὸς καθαίρεσιν πέσοι.
Μὴ γὰρ κρατοίην οἷς κρατῶ τῶν φιλτάτων,
μηδ' εὐτυχοίην οἷς καθαιρῶ Μιστύλου,
μηδ' εὐπορίην ἐξ ἁπανθρώπων πόρων,
βλάπτων ἐμαυτὸν οἷς φίλου βλάβην θέλω,
συλῶν ἐμαυτὸν οἷς συλῶ τὰ Μιστύλου.
Ἐγὼ μὲν οὕτω τὸν πόθον φρουρεῖν θέλω,
καὶ θεσμοφύλαξ εἰμί σοι τῆς ἀγάπης·
σὺ δ' ἀλλὰ ταύτην εἰς τὸ πᾶν ἀναιρέεις.
Ὄρους παλαιούς, ὡς ὁρῶ, περιτρέπων
λύεις τὰ θεσμὰ καὶ τὰ δεσμὰ τοῦ πόθου
καὶ πρὸς μαχησμὸν συγκαλεῖς ἄκοντά με.
Ἡ γὰρ ἀτεχνῶς οὐ μάχην παραρτύεις,
εἰ τὴν καθ' ἡμᾶς ἐξαποσπάσας πόλιν
καὶ τῆς ἐρ' ἡμὲν ἁρπάσας ἐξουσίας
οὓς μὲν συνέσχες τῶν φυλάκων ἀθρόως
ὡς οἷον ἐχθρούς, οὓς δ' ἀπέκτεινας ξύσει;
Καίτοι τὸ Ῥάμνον ὡς ἐμὴ πάντως πόλις
καί μοι προσῆγε τοὺς φόρους ἐτησίως
καὶ τὸν Βρυάξην εἶχε δεσπότην μόνον
οὐκ ἀγνοεῖν φαίημεν ἄν σε, Μιστύλε.
Ἢ γοῦν πρὸς ἡμᾶς ἀντίπεμψον τὴν πόλιν
καὶ τοὺς ἁλόντας λῦσον ὑψὲ δεσμίους,
καὶ πάλιν ἡμῶν ἀρχέτω τὰ τοῦ πόθου,
ἢ γοῦν Βρυάξην κατὰ σοῦ κινῶν μάθε,
πάντως δὲ πάντως ὡς τὸ Ῥάμνον τὴν πόλιν
καὶ τοὺς ἁλόντας στρατιώτας ῥύσομαι,
τυχὸν δὲ καὶ σὰς συνυφαρπάσω πόλεις.
Τὸ τῆς δίκης γὰρ ὅμμα τῆς πανοπτρίας
ἄγρυπνόν ἐστιν οὐδὲ μικρὰ καμμύει
καὶ τοῖς ἀδικήσασιν ἄγριον βλέπει,
ἀεὶ συνεργοῦν τοῖς παρηνομημένοις.
Ἔρρωσο τηρῶν ὑγιᾶ τὴν ἀγάπην.

Οὕτω διῆλθε τὴν γραφὴν ὁ Γωβρύας.
Ὁ ληστάναξ δὲ καὶ στολάρχης Μιστύλος
τὸ μὲν θροηθεὶς τοῦ Βρυάξου τοῖς λόγοις,
τὸ δὲ χολωθεὶς καὶ θυμῷ περιζέσας

(βαρβαρικῆς γὰρ ὡς τὰ πολλὰ καρδίας
ἄμφω κρατεῖν πέφυκεν ὀργὴ καὶ φόβος)
καὶ τῇ μὲν ὀργῇ πρὸς θρασεῖς ὁρμῶν λόγους,
τῇ δειλίᾳ δὲ συστολὴν πάσχων πάλιν,
ἔμεινε σιγῶν οὐ βραχύν τινα χρόνον,
154 δυοῖν λογισμοῖν ἐνσχεθεὶς ἀντιῤῥόποιν,
οὐκ εἶχε δ' οἷον ἐξερεύξεται λόγον.
Καθῆστο γοῦν ἄναυδος εἰς πολὺν χρόνον
χροιᾶς περιττᾶς τὴν θέαν ἠλλαγμένος,
καὶ ταῖς ἔσωθεν ψυχικαῖς κινήσεσι
καὶ τῇ περιττῇ τῶν παθῶν μετακλίσει
μορφούμενός πως καὶ συνεξηλλαγμένος,
καὶ δεῖγμα τῆς ἔσωθεν εἰς ψυχὴν ζάλης
τὴν ἐκτὸς εἰς πρόσωπον ἐμφαίνων ζάλην.
Αἰδούμενος μὲν τοὺς ἑαυτοῦ σατράπας,
φοβούμενος δὲ τοῦ Βρυάξου τὸ κράτος
τὴν ὄψιν ἐστύγναζε, τὸν χροῦν ὠχρία
τοὔμπαλιν ἐντὸς συστολὴν πεπονθότα·
χολούμενος δὲ καὶ θυμῷ πεφλεγμένος
ὅλος μέλας ἦν ἐμπαθῆ μελανίαν·
αἱ γὰρ χόλαπτοι καὶ θυμόφλεκτοι φλόγες
τὴν αἱματηρὰν οἷον ἐξώπτων φύσιν.
Τοσαῦτα πάσχων τηνικαῦτα Μιστύλος,
ὅμως περισχὼν τὸν θυμὸν καὶ τὸν φόβον
καὶ κυριεύσας τῶν παθῶν ἑκατέρων
(ψυχὴν γὰρ εἶχεν ἀκλινῆ στερεμνίαν,
τὰ πολλὰ κἂν ἔπασχε βάρβαρον πάθος)
"τὸν μὲν Βρυάξου σατράπην Ἀρταξάνην"
ἔφη "λαβὼν σύ, Γωβρύα, σὺ μὲν τέως
φιλοφρόνησον καὶ μακροῦ μόχθου βάρος
λῦσον τραπέζῃ καὶ καταστρώσει κλίνης·
εἰς αὔριον δὲ συλλαβὼν ἀντιγράφους

λαβὼν μετέλθοι πρὸς τὸν αὐτοῦ δεσπότην."
Ὁ μὲν τοσαῦτα φάμενος πρὸς Γωβρύαν
σκυθρωπάσας μέν, ἐξανέστη δ' οὖν τέως
τῶν ἐντὸς ἐντὸς εἰσδραμὼν ἀνακτόρων·
Ἀρταξάνην δὲ λαμβάνει μὲν Γωβρύας,
καθιζάνει δὲ σατραπικοῖς ἐν δώμοις
πρὸς τηλικούτων εἰσδοχὴν τεταγμένοις
καὶ τοῖς ὑπ' αὐτὸν ἐγκελεύει βαρβάροις
ἱστᾶν κρατῆρα καὶ τράπεζαν εἰσάγειν.
Καὶ συγκαθεσθεὶς Γωβρύας Ἀρταξάνῃ
ἐνετρύφων μὲν ταῖς τρυφαῖς οἱ σατράπαι,
ἐνετρύφων δὲ τοῖς κρατῆρσιν εἰς πλέον.
Ἦν οὖν τὸ δεῖπνον τῆς γλυκύτητος γέμον
καὶ πρὸς τὸ θαυμάσιον ἡτοιμασμένον·
προύκειτο μὲν γὰρ ὀπτὸς ἀρνὸς ἐν μέσῳ.
Ἐπεὶ δὲ τοῦτον συλλαβὼν Ἀρταξάνης
ὧρμα διαιρεῖν καὶ διασπᾶν ὡς φάγοι,
προύκυπτον ἐκτὸς ἐκ μέσης τῆς γαστέρος
στρουθοὶ νεογνοὶ καὶ πτέρυξιν ἠρμένοι
ὑπερπετῶντες τὴν κάραν τοῦ σατράπου.
Ἀρταξάνης οὖν ἦλθεν εἰς θάμβος μέγα·
τὸν Γωβρύαν δὲ λαμβάνει πλατὺς γέλως
ἐφ' οἷς τέθηπε τὴν θέαν Ἀρταξάνης·
μικρὸν δ' ἐπισχὼν τὸν πλατὺν τοῦτον γέλων
"ὁρᾷς" ἔλεξε, "παμμέγιστε σατράπα,
τοῦ δεσπότου μου τὴν δύναμιν Μιστύλου,
ὡς ἐξαμείβειν ἰσχύει καὶ τὰς φύσεις,
καιναῖς ἀμοιβαῖς καὶ τροπαῖς πολυτρόποις
τρέπων ἕκαστα καὶ μεθιστῶν ὡς θέλει.
Ὁρᾷς τὸν ἀρνὸν ὡς κυΐσκει στρουθία,
τῆς φύσεως μὲν ἀγνοήσας τὸν νόμον
ὡς πτηνὸν ὄρνιν πτηνὸς ὄρνις ἐκκύει,

ὑπηρετῶν δὲ τῇ κελεύσει Μιστύλου
ἀρνὸς πετεινὰ βλαστάνει τῶν ἐγκάτων.
Τί δ'; οὐχὶ θαῦμα καὶ τὸ πῦρ φέρει μέγα,
ὅπως τὸν ἀρνὸν ἀνθρακῶσαν, ὡς βλέπεις,
ἔσωθεν ἐλθεῖν εὐλαβῶς ὑπεστάλη,
μή που λυμανθῇ τὸ πτερὸν τοῖς στρουθίοις;
Καὶ γὰρ τοσοῦτον καὶ τὸ πῦρ οἶδε φλέγειν
ὅσον μόνον βούλοιτο Μιστύλος φλέγειν·
πλέον δὲ πιμπρᾶν τῆς φλογὸς δωρουμένης,
ὅμως ἐκεῖθεν εὐλαβῶς ὑποστρέφει,
οἷον δεδοικὸς μὴ κατὰ γνώμην φλέγοι,
ἃ τῷ βασιλεῖ μὴ κατὰ γνώμην φλέγειν.
Ὁρᾷς, ἄριστε σατραπῶν Ἀρταξάνη,
τοῦ δεσπότου μου τοῦ μεγίστου τὸ κράτος,
πῶς ἐξαμείβει καὶ τυραννεῖ τὰς φύσεις,
ψυχρὰν δὲ ποιεῖ τοῦ πυρὸς τὴν οὐσίαν
ψιλῇ κελεύσει κἀκ θελήσεως μόνης·
ὡς ἀρνοφυῆ δεικνύει τὰ στρουθία,
ἀρνοὺς δὲ ποιεῖ στρουθοπάτορας ξένους,
καὶ μήτραν ἀρτίφλεκτον ἐξωπτημένην
βρεφῶν ἀκαύστων, ἐμβρύων καταπτέρων
γεννήτριαν δείκνυσιν ἐκ μόνου λόγου,
ἃ φύσις οὐκ ἔγνωκεν οὐδέ τις λόγος
πλάττων παριστῶν τῇ τεραστίῳ πλάσει.
Ἦ που κελεύσας κἂν μέσαις τυχὸν μάχαις
καὶ στρατιώτας ἄνδρας, ἀδροὺς ὁπλίτας
σπάθαις σὺν αὐταῖς καὶ μετ' αὐτῶν ἀσπίδων
γεννήτορας δείξειε πολλῶν σκυλάκων,
καὶ γαστέρας θώραξιν ἠσφαλισμένας
ἐγκυμονεῖν πείσειεν ἔμβρυα ξένα,
ἔλκων μεθέλκων τῇ θελήσει τὰς φύσεις."
"Μὴ μὴ πρὸς αὐτῆς τῆς τραπέζης, Γωβρύα"

Ἀρταξάνης ἔλεξε, "μὴ πρὸς τοῦ πότου,
ᾧ με ξενίζει δαψιλῶς ὁ Μιστύλος
ὁ πάντα ποιῶν καὶ μεθιστῶν, ὡς λέγεις,
μὴ τὴν ἐμὴν γοῦν κοιλίαν διευρύνῃ
ἡ τοῦ μεγάλου προσταγὴ βασιλέως,
ὡς ἐκτεκεῖν σκύλακας, αἴσχιστα βρέφη·
μὴ τῶν γυναικῶν τὴν ἐπάρατον τύχην
καὶ τοὺς ὑπαλγύνοντας ἐν τόκοις πόνους
ἀνδρὶ στρατάρχῃ δυστυχῆ δώσει χάριν.
Ποῦ γὰρ παρ' ἡμῖν καὶ γάλακτος ἐκχύσεις,
εἴ που δεήσει φυσικῷ πάντως λύγῳ
γάλακτος ὁλκοῖς ἐκτραφῆναι τὰ βρέφη;
Ἄλλως δὲ καὶ πῶς τὴν τοσαύτην αἰσχύνην
ἀνὴρ στρατάρχης κατερήσειν ἰσχύσει
ἐγκυμονῶν ἄθλιος ἄθλια βρέφη;"
Πρὸς ταῦτα φησὶ Γωβρύας μεταφθάσας
"παῦσαι, μέγιστε σατράπης, Ἀρταξάνη,
θεοὺς ἀτεχνῶς λοιδορῶν τοὺς ὀλβίους
οἷς αἰσχύνην φῂς ἀρρένων οὐ μετρίαν
τὸ μήτραν αὐτοὺς ἐμβρυοτρόφον φέρειν.
Εἴπερ γὰρ ὁ Ζεύς, τῶν θεῶν ὁ βελτίων,
ὁ γῆν ἀνασπῶν καὶ τὸ πᾶν περιτρέπων
βάθρων μετ' αὐτῶν καὶ σὺν αὐταῖς κρηπίσι
καὶ τοῦ κεραυνοῦ τῶν βελῶν ὁ τοξότης
ἔμβρυον ἀρτίφλεκτον εἰς μηρὸν μέσον
ἡμιτελεσφόρητον ἐρράπτειν θέλει
καὶ ζωπυρηθὲν ἐξάγει πρὸς ἡμέραν,
καὶ μητρικόν τι καὶ γυναικῶδες πάθος
ὁ τῶν Τιτάνων βασιλεὺς ὑποστέγει,
εἰ τὴν Ἀθηνᾶν ἐκ κεφαλῆς ἐκκύει
ξίφει ῥαγείσης καὶ διχασθείσης μέσον,
πῶς αἰσχύνην φαίημεν ἀνδρῶν γηίνων

ἃ τοῖς θεοῖς τίμια τοῖς οὐρανίοις;
157 Σὺ δ' ἀλλὰ μηδὲν ἐλπίσαις πεπονθέναι
φίλος καθεστὼς τοῦ μεγίστου Μιστύλου."
Ἀρταξάνης μὲν ἀλλὰ μὴν καὶ Γωβρύας
τοιοῖσδε πολλοῖς ἠσχολοῦντο τοῖς λόγοις,
ὁ Γωβρύας μὲν ἐκφοβῶν Ἀρταξάνην
καὶ κρυφίως πως ἐγγελῶν φοβουμένῳ,
Ἀρταξάνης δὲ τοὺς λόγους ὑποτρέμων.
Ἀλλ' ἀντεπελθὼν τῇ κελεύσει Γωβρύου
ὁ θαυματουργὸς εἰς μέσον Σατυρίων
ἔπαυσεν ἀμφοῖν τοὺς λόγους τοῖν σατράπαιν·
ἐξῆπτο μὲν γὰρ ἠκονημένην σπάθην,
ἐγυμνίτευε μέχρις αὐτῆς ὀσφύος·
τὸ δ' ἔνθεν ἐνδέδυτο ποικίλον φάρος,
βαφαῖς περιττῶς εὐβαφῶς κεχρωσμένον.
Μικρός τις ἦν, κάτισχνος, ἠσβολωμένος,
κόμην δὲ καὶ γένειον ἐξυρημένος
καὶ μορμολύττων ὡς τὰ πολλὰ τὰ βρέφη·
καὶ πάντες εἰς γέλωτα συγκινῶν μέγαν
Ἅδης ἀμειδὴς οὗτος εἱστήκει μόνος.
Ἐπεὶ δ' ἐπέλθοι καὶ παρασταίη μέσον
Ἀρταξάνου βλέποντος ἐντρανεστέρως,
εἰς γυμνὸν ὤθει τὸν τράχηλον τὴν σπάθην,
καὶ κρουνὸς ἐξέβλυζεν εὐθὺς αἱμάτων,
158 καὶ νεκρὸς εἰς γῆν ἄθλιος Σατυρίων
κεῖται πρὸ πάντων ἐκλελυμένος φρένας.
Ἀρταξάνης οὖν ἦλθεν ἐγγὺς δακρύων
καὶ πικρὸν ἐστέναξεν ἐκ ψυχῆς βάθους
τὴν τοῦ Σατυρίωνος αὐτοχειρίαν·
ἀλλ' ἐξαναστὰς τῆς καθέδρας Γωβρύας
καὶ τῷ τυχὸν θανόντι μικρὸν ἐγγίσας
"ἄνθρωπε" φησίν, "ἐξανάστα καὶ βίου·

κέλευσμα τοῦτο τοῦ μεγίστου Μιστύλου."
Ἐγείρεται γοῦν εὐθέως Σατυρίων
καὶ τὴν συνήθη ταῖν χεροῖν ἄρας λύραν
τοὺς σατράπας ἔτερπε τῇ λυρῳδίᾳ,
τοιαῦτα πολλὰ μουσικώτερον λέγων

"Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Ὦ χαῖρε χαῖρε, παμμέγιστε Μιστύλε,
ἄναξ κραταιέ, δυσμενῶν καθαιρέτα.
Σοὶ Ζεὺς ὁμιλεῖ καὶ θεῶν γερουσία·
σὺ τῇ μεγίστῃ Παλλάδι συνεσθίεις.
161 Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σὲ γῆ πτοεῖται καὶ τὸ πῦρ ὑποτρέμει·
ὑπηρετεῖ σοι τῆς θαλάττης τὰ πλάτη·
Ἅδης ὁ πικρὸς ἐκ φάρυγγος παμφάγου
ὅλους Σατυρίωνας ἐξαναπτύει.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σὺ τῇ κελεύσει τὰς φύσεις μετατρέπεις·
στρουθῶν μὲν ἀρνοὺς δεικνύεις φυτοσπόρους,
στρουθοὺς δὲ ποιεῖς ἐκγόνους τῶν ἀρνίων,
καὶ τὴν φλέγουσαν τοῦ πυρὸς ψύχεις φύσιν.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Τῇ σῇ τριήρει τῆς θαλάττης τὴν ῥάχιν
μέγας Ποσειδῶν ὑπτίαν πετανύει·
Δήμητρα τὴν ἤπειρον ὑποστρωννύει,
Ἄρης δέ σοι δίδωσιν ἀλκὴν ἐν μάχαις.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σοὶ γῆ χλοάζει, σοὶ κομᾷ φυτῶν φύσις·
162 σοὶ δένδρον ἀνθεῖ, σοὶ τέθηλεν ὁ στάχυς·
σοὶ σπαργανοῖ μὲν ἄμπελος βότρυν μέγαν,
οἶνον δὲ βότρυς ἐκκύει τεθλιμμένος.

Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σοὶ τῶν μετάλλων ἡ πολύχρυσος χάρις,
σοὶ τῶν διαυγῶν μαργάρων ἡ στιλπνότης,
σοὶ νῆμα Σηρῶν, σοὶ λινόκλωστον φάρος,
σοὶ πᾶν ὑπουργεῖ, σὲ τρέμει πᾶσα κτίσις.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σοὶ θὴρ ὀρεινός, σοὶ πέδον κτηνοτρόφον,
σοὶ πτηνὸς ὄρνις, σοὶ φύσις θαλαττία,
σοὶ μικρὸς ἰχθύς, σοὶ τὸ κητῶον γένος,
σοὶ πῦρ, ἀήρ, γῆ, σοὶ γοναὶ τῶν ὑδάτων.
165 Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σοὶ πήγνυται χάλαζα, σοὶ νιφὰς ῥέει,
σοὶ σφίγγεται κρύσταλλος εἰς φύσιν λίθου·
σοὶ πλῆθος ὄμβρου, σοὶ ψέκασμα, σοὶ δρόσος,
σοὶ χιόνος λεύκασμα, σοὶ νέφος μέλαν.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σοὶ λειοκύμων ἡ θάλαττα δείκνυται·
σοὶ ταῖς πλεούσαις ἐξαπλοῦται φορτίσι·
σοὶ πόντος εἴκει, σοὶ μετέστραπται κλύδων,
σοὶ κῦμα βρῦχον ἡμερώτερον τρέχει.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Σοὶ βοῦς ἀροτρεύς, σοὶ προβάτων ἀγέλαι,
σοὶ Κρῆσσα κύων, ἵππος ἐξ Ἀραβίας,
γένος καμήλων, πάρδαλις, ταῦρος, λέων,
σοὶ γῆ, θάλαττα, νῆσος εἰσφέρει φόρους.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Ὦ χαῖρε καὶ σύ, τρισμέγιστε Γωβρύα,
166 τῶν σατραπῶν ὕπατε τῶν τοῦ Μιστύλου,
αἵμασιν ἐχθρῶν πορφυρουμένη σπάθη,
νοῦς ἀκαταπτόητος ἐν μέσαις μάχαις.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Ὦ χαῖρε καὶ σὺ τοῦ Βρυάξου σατράπα,

τοῦ δεσπότου μου συμπότα τοῦ Γωβρύου,
ὁ τοῦ Σατυρίωνος ἐκπεπνευκότος
δάκρυ σταλάξας ἐκ φίλων βλεφαρίδων.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου.
Χαῖρε τράπεζα καὶ τρισευδαίμων πότος
καὶ νέκταρ ἄλλο καὶ θεῶν δεῖπνος νέος·
ὦ χαῖρε καὶ σύ, μουσικωτάτη λύρα,
καὶ τῆς λυρικῆς τεχνίτα, Σατυρίων.
Ἥλιε, διφρεῦ ἅρματος πυροτρόχου."

Οὕτως ὁ καλὸς εἰς λύραν Σατυρίων
πλαστῶς φονευθεὶς καὶ πεσὼν ψευδὴς νέκυς,
αὖθις δ' ἀναστὰς τῇ κελεύσει Μιστύλου
(τῇ δραματικῇ συνδοκοῦν ὑποκρίσει)
καὶ τὴν ἀρίστην ἐμμελῶς κρούσας λύραν,
ᾄσας δὲ καὶ χαρίεν ᾄσματος μέλος,
πιὼν δὲ μεστὸν ἀκράτου σκύφον μέγαν
τοῦ συμποσίου ταχέως ἀπηλλάγη.
Ὁ Γωβρύου δὲ συμπότης Ἀρταξάνης
169 οἴνῳ περιττῷ καὶ μέθης ἐπιβρίσει
τὸν νοῦν σαλευθεὶς καὶ παρακεκρουμένος,
λαβὼν φιάλην ἀκράτου πληρεστάτην
λέληθεν ὕπνῳ συσχεθεὶς πρὶν ἐκπίῃ·
φιλεῖ γὰρ ὕπνος συνομαρτεῖν ταῖς μέθαις
καὶ συγγενής πώς ἐστι τοῖς μακροῖς πότοις.
Αὐτὸς μὲν οὖν ὕπνωττεν ἐμβεβρεγμένος,
ὁ δὲ κρατὴρ ἔρριπτο καὶ συνεθρύβη,
ὑπεκδραμών πως τὴν ἀναίσθητον χέρα.
Ἀλγεῖ θρυβέντος τοῦ κρατῆρος Γωβρύας
καὶ συμφορὰν τὸ πρᾶγμα μυρίαν κρίνει·
καλὸν γὰρ ἦν θέαμα τοῖς θεωμένοις

καὶ τὴν πόσιν παρεῖχε γλυκερωτέραν.
Ὕλη μὲν ὑπέστρωτο σάπφειρος λίθος,
ὃν εὐφυής τις καὶ σοφὸς λιθοξόος
λιθοξοήσας καλλιτέχνῳ δακτύλῳ
τὸν σχηματισμὸν ἀντέθηκεν ἡλίκον.
Μάθοις ἂν αὐτόν, εἰ μαθεῖν ἔχεις πόθον,
εἰς τὰς τριήρεις ἐντρανέστερον βλέπων.
Στενὸν γὰρ εἶχε καὶ κατάσφικτον πλάτος,
μῆκος δὲ μακρὸν καὶ προεκτεταμένον·
κύκλῳ δ' ἐπ' αὐτὸ τῆς φιάλης τὸ στόμα
ἥπλωτο χρυσὸς ἐσφυρηλατημένος·
ἡ δ' ἀντίπλευρος τοῖν μεροῖν ἀμφοῖν θέσις
ἔξεστο καλῶς τῷ σοφῷ λιθοξόῳ
καὶ μυρίας δέδεκτο μορφὰς εἰκόνων.
Ἑώρακας γὰρ ἐμπελάσας ἐγγύθεν
τῇ μὲν σταφυλάς, ὡς ἐν ἀμπέλοις μέσαις,
καλὰς πεπείρους εὐθαλεῖς πλησιρράγους
καὶ τὸν τρυγητὸν ὥσπερ ἐκκαλουμένας,
τῇ δὲ τρυγῶντας ἄνδρας οἷον ἐμπνόους,
τὰς σταφυλὰς κόπτοντας ἐκ τῶν ἀμπέλων
καὶ καλαθίσκοις ἐντιθέντας εὐπλόκοις,
οὓς λυγινοὺς εἴκαζες ἄν, οὐ πετρίνους.
Ἰδὼν ἂν ἐζήτησας, οἶμαι, καὶ βότρυν,
τρύγος νομίζων, οὐ γραφὴν τρύγους βλέπειν·
τοσοῦτον ἀπέξεστο καλῶς ἡ λίθος.
Ἄλλοι θλίβοντες τὰς ῥάγας τῶν βοτρύων
τὸν οἶνον ἐξίκμαζον εἰς ληνὸν μέσην·
πλεξάμενοι δὲ τοὺς ἑαυτῶν δακτύλους
χορὸν συνίστων, λιθινοὶ χοροστάται.
Ἔφης ἂν αὐτοὺς ἐντρανέστερον βλέπων
ᾄδειν ἀληθῶς εὐφυᾶ τραγῳδίαν,
καί που συνελθεῖν καὶ συνεμπλέξαι χέρα

καὶ συγχορεύσειν ἔσχες ἂν σφοδρὸν πόθον.
Ἄλλοι τὸν οἶνον ἐν σμικροῖς κεραμίοις
βάλλοντες ἀντέβαλλον εἰς νέους πίθους.
Διόνυσος δὲ τοῦ τρύγους ὁ προστάτης
πίθου νεαροῦ προσκαθιζήσας στόμα
Βάκχαις σὺν αὐταῖς καὶ μετ' αὐτῶν Σατύρων
ἔπαιζεν ὥσπερ τὰ πρέποντα τῷ τρύγει.
Ῥάγας γὰρ ἐκσπῶν ἔκ τινος τῶν βοτρύων
τοὺς Σατύρους ἔπληττεν ἁπαλῷ βέλει·
οὗτοι δὲ κατέπιπτον ὡς βεβλημένοι,
ὁ μὲν κρατῶν τὴν χεῖρα τμηθεῖσαν τάχα,
τῷ πτυέλῳ δὲ τὴν τομὴν περιχρίων,
ὡς ἂν δι' αὐτοῦ τὴν συνούλωσιν λάβῃ,
ὁ δὲ προσουρῶν τοῦ ποδὸς τῷ δακτύλῳ,
ᾧ τῆς ῥαγὸς τὸ κροῦμα φλεγμονὴν ἔδω·
γέλως δ' ἐπ' αὐτοῖς τῷ Διονύσῳ μέγας.
Εἴ που δὲ καὶ τὸ σχῆμα καὶ τὴν ἰδέαν,
καὶ τὴν πρόσοψιν τοῦ θεοῦ μαθεῖν θέλεις,
ὁποῖος ἀπέξεστο τῷ λιθοξόῳ,
παῖς ἦν νεαρός, ἀγαθὸς τὴν ἰδέαν,
ἔρευθος ἀνθῶν ἐκ μέσων σιαγόνων,
οὐχ ὡς φυσικόν, ἀλλ' ὁποῖον ἐκ μέθης.
Κόραις ἐῴκει, τὴν γένυν οὐκ ἐχνόα·
ἱμάντι συνέσφικτο χρυσῷ τὴν κόμην
αὖραις ὑποσκιρτῶσαν ἁπαλοπνόοις.
Ὑγρὸν τὸ χεῖλος ὥσπερ ἀπὸ φιάλης,
πάντη. σεσηρός, μηδαμῆ συνιζάνον.
Ὁ πέπλος εἰς γόνατον ἀνεζωσμένος,
οἷος προσήκει ληνοβάτοις ἀνδράσι.
Ἡ χεὶρ ἀσυγκάλυπτος ἀγκῶνος μέχρι,
ὡς οἷον ἀνδρὸς εἰς τρύγος πονουμένου.
Ἔπαιζεν οὗτος καὶ μικρὸν μεθιζάνων

καὶ κλημάτων ἕλικας εὐπλόκως πλέκων
φύλλοις σὺν αὐτοῖς καὶ μετ' αὐτῶν βοτρύων
ἔστεπτο λαμπρῷ τῷ στεφάνῳ τὴν κάραν.
Αἱ δ' ἄρα Βάκχαι τοὺς ἑαυτῶν δακτύλους
πλεξάμεναι κύκλωθι καὶ χοροστάδην
ἐῴκεσαν κάλλιστον ἐξᾴδειν μέλος
καὶ τὸν θεὸν δὴ συγχορεύσειν ἠξίουν.
Ἡ μέν τις ἐδέδρακτο τοῦ χιτωνίου,
τὸν συγχορευτὴν ἔνθεν ἐκκαλουμένη·
ἄλλη μαλακῶς τῆς πυγῆς εἰλημμένη
τὸν μειρακίσκον ἀντέσυρεν ἠρέμα·
ἄλλη δὲ φιλήματι μαλακωτέρῳ
ὑφεῖλκεν αὐτὸν εἰς μέσον χοροῦ στόμα.
Ὡς δ' αὐτὸς ἀντέβαινε τῇ τυραννίδι,
μία τις ἁρπάσασα λάθρα τὸ στέφος
καὶ πρὸς μέσον ῥίψασα τοῦ χοροῦ κύκλον
177 ἄκοντα τοῦτον ἐξεγείρει τοῦ πίθου
καὶ συγχορευτὴν δεικνύει τῶν Μαινάδων.
Οὕτως ἐναπέξεστο πρὸς κάλλος τόσον
ἡ συνθρυβεῖσα φιάλη τοῦ Γωβρύου.
Ἀρταξάνης δὲ τῷ νέφει τῷ τῆς μέθης
ὡς οἷα νεκρὸς ἐνσχεθεὶς τάλας τάλας,
ἀχθεὶς φοράδην εἰς κλίνην ἐπερρίφη,
καὶ μακρὸν ἀφύπνωττεν ὡς θανὼν ὕπνον.
Ὁ Μιστύλος δὲ συγκαλεῖ μὲν Γωβρύαν,
πυνθάνεται δὲ τῆς ἐπιστολῆς χάριν
καὶ πῶς Βρυάξῃ τῷ μεγίστῳ γραπτέον·
καὶ δόξαν ἀμφοῖν, Μιστύλῳ καὶ Γωβρύᾳ,
γέγραπτο ταῦτα λίαν ἐσκοπημένως·

ΧΑΙΡΕΙΝ ΒΡΤΑΞΗι ΤΩι ΜΕΓΙΣΤΩι ΜΙΣΤΤΛΟΣ, ΑΝΑΞ ΜΕΓΑΣ ΑΝΑΚΤΙ ΠΙΣΣΑΙΟΥ ΣΤΟΛΟΥ.
Τὴν εἰς σε πάντως ἐξ ἐμοῦ θερμὴν σχέσιν

οὐκ ἀγνοεῖ τις, κἂν σεσύληται φρένας·
εἴ που δὲ πυθάνοιο καὶ τῶν ἐν σκότῳ,
κἀκεῖθεν αὐτὸ μανθάνειν γένοιτό σοι.
Καὶ σύμβολον φαίνοιτο τραὺς τοῦ πόθου
αἱ μυριάδες τῶν παρ' ἡμῖν σημάχων
εἰς σὲ σταλεῖσαι πανταχοῦ καὶ πολλάκις.
Σὺ δ', ὡς ἔοικε, τὴν σχίσιν καὶ τὸν πόθον
178 τούτῳ περατοῖς καὶ περιγράφειν θέλεις,
τῷ τὰς ὑφ' ἡμᾶς ἐξαποσπάσαι πόλεις
καὶ σοὶ παρασχεῖν ἀνελευθερώτατα
καὶ σμικρύναι μὲν τὴν ἐμὴν ἐξουσίαν,
τὸ σὸν δὲ μᾶλλον ἀντεπαυξῆσαι κράτος·
ὅπερ φόβου φαίνοιτο σημεῖον πλέον,
ἀλλ' οὐ τραὺν γένοιτο σύμβολον πόθου,
ψυχῆς δ' ἀγεννοῦς, οὐ φιλούσης καρδίας,
γνώμης ταπεινῆς, ἀνελευθέρου τρόπου,
ἤθους σαφῆς ἔνδειξις εὐηθεστάτου.
Καὶ πῶς γὰρ οὐκ ἂν ἀφρονέστατα δράσω,
μόχθῳ μὲν αὐτὸς συγκατασχὼν τὴν πόλιν,
καὶ χερσομάχων στρατιαῖς καὶ ναυμάχων
ἑλὼν τὸ Ῥάμνον, καὶ φόνων οὐ μετρίων
βίᾳ πολίχνην μίαν ἀντικερδάνας
καὶ ζημιωθεὶς τὸν μέγαν μοι σατράπην,
τὸν τοῦ στρατοῦ φύλακα, τὴν στερρὰν χέρα,
εἶτα προδιδοὺς ἀφίλου φίλτρου χάριν
τὰ τῶν πόνων ἔπαθλα, τὴν μίαν πόλιν;
Καίτοι τὸ Ῥάμνον εὖ γινώσκει Μιστύλος
ὡς οὐ Βρυάξης εἶχεν, ἀλλὰ Μιτράνης·
ἐχθρὸς δὲ πάντως Μιστύλος τῷ Μιτράνῃ
καὶ γῆς κατεκράτησε δυσμενεστέρας.
181 Εἰ τοίνυν ἡμῖν ἐγκαλεῖν βούλοιτό τις,
δίκαιός ἐστιν ἐγκαλεῖν ὁ Μιτράνης·
ὁ δὲ Βρυάξης οὐδὲν ἠδικημένος
πλαστογραφεῖν ἔοικε τὴν ἀδικίαν.
Πῶς δ' οὐκ ἂν εἴη καρδίας κακοσχόλου
καὶ παντελῶς τὸ φίλτρον ἐξομνυμένης
πύλεις ἀπαιτεῖν καὶ τόπους ἀλλοτρίους
ἢ μὴ διδόντας ἐγκαλεῖσθαι πρὸς μάχην;

Εἰς σαυτόν, εἰ βούλοιο, κάμψας τὸν λόγον
ἔνθεν τὰ σαυτοῦ συλλογίζου καὶ βλέπε.
Χιλιόναυν ὥπλισας ἐκ πόντου στόλον,
στρατὸν συναγήγερκας ἀνδρῶν ναυμάχων,
ἤθροισας ἁδρὰν χερσομάχων ἀσπίδα,
σπάθην περιττήν, μυριόστομον δόρυ,
μάχην συνῆξας, ὡς τὸ Ῥάμνον συλλάβῃς,
πολλοὺς ἀπ' ἀμφοῖν ταῖν χεροῖν εἶδες φόνους,
σπάθην καθημάτωσας, ἔχρανας δόρυ,
ἐπορφύρωσας δεξιὰν ἀνδροκτόνον
βαφῇ πονηρᾷ πορφυρᾶς αἱμοχρόου,
εἶδες φονευθὲν τοῦ στρατοῦ σου τὸ πλέον,
εἶτα τὸ Ῥάμνον μυρίοις ὅσοις πύνοις
ἐπεκράτησας αὐτὸς ὡς ἄναξ ὅλων,
τόσας ἀνατλὰς συμφορῶν ἐπιβρίσεις·
182 μετῆλθον αὐτός, ἀνταπήτουν τὴν πόλιν
καὶ πρὸς τὸ δοῦναι φιλίαν προυβαλλόμην·
εὐγνωμόνως ἂν ἠκροάσω τῶν λόγων;
ἔδωκας ἂν τὸ Ῥάμνον ἐζητηκότι
καὶ τοὺς μεσιτεύοντας ᾐδέσθης πόθους;
Οὐκ ἔστιν εἰπεῖν, ἂν ἀληθεύειν θέλῃς.
Σὺ τοίνυν οὐκ ἂν ἀντέδωκας τὴν πόλιν,
ἀλλ' ἀντέθηκας οὕσπερ ἀνέτλης πόνους,
τὸν μόχθον ἠρίθμησας, εἶπας τοὺς φόνους.
Ἐγὼ δὲ μηδὲν ἀντιλέξας τῷ λόγῳ
οὕτω προχείρως ἀντιδώσω τὴν πόλιν;
Οὐκ εἰς τοσοῦτον μικρόφρων ὁ Μισεύλος.
Τί δ' οὐχὶ καὶ πᾶν, ὦ Βρυάξη, τὸ κράτος
ἡμᾶς ἀπαιτεῖς φιλίας κενῆς χάριν;
Ἐγὼ μὲν οὐκ ἂν τῆς ἐμῆς ἐξουσίας
ἑκὼν μέρος τι, κἂν μικρόν, παρασπάσω·
βίᾳ δὲ τυχὸν καὶ μάχης τυραννίδι
κἂν πᾶν συληθῶ, μικρός ἐστί μοι λόγος.
Οὗτος γάρ ἐστι τῆς ἐμῆς γνώμης ὅρος,
τῆς γῆς κρατοῦντα, κἂν πολύπλεθρος τύχῃ,
185 κἂν μῆκος ἴσως εὐπερίγραπτον φέρῃ,
ἑκόντα μηδὲν μηδαμοῦ ταύτης μέρος
τινὶ προδοῦναι, τῷ δὲ τῆς τύχης νόμῳ

καὶν πᾶσαν ἁρπάζοιτο, γενναίως ἥριν·
μένει γὰρ ἀνέγκλητος, ἂν ἄκων πάθῃ.
Ἔρρωσο, τοὺς σοὺς μὴ παρατρέχων ὅρους.

Τοιαῦτα γράψας τῷ Βρυάξῃ Μιστύλος, 505
τὸ γράμμα δεσμοῖς ἐμπεδοῖ σφραγισμάτων,
Ἀρταξάνῃ δὲ τῷ μεγάλῳ σατράπῃ
μόγις ἀνανήψαντι τῆς μακρᾶς μέθης
εἰς χεῖρας ἐνθεὶς καὶ προσειπὼν γνησίως
καὶ χρυσίον δοὺς τοῦ βάρους οὐ μετρίου 510
ἐπὶ Βρυάξην ἀντιπέμπει τὸν μέγαν.

E

Ὁ μὲν λαβὼν τὸ γράμμα καὶ τὸ χρυσίον
εἰς τὴν ἰδίαν ἀντανέπλει πατρίδα·
ὁ δὲ προληφθεὶς τῷ λόγῳ ληστοκράτωρ
(ἔγνως ἀκούσας πολλαχοῦ τὸν Μιστύλον)
ἔφη πρὸς αὐτὸν τὸν μέγιστον σατράπην 5
(οἶμαι πτοηθεὶς οὐκ ἀνεύλογον φόβον,
μὴ συγκροτήσας ὁ Βρυάξης τὴν μάχην
οὕτως ἀέλπτως ἀπροόπτως ἐμπέσοι
καί που κρατήσοι μὴ προητοιμασμένων)
τὸν πρῶτον αὐτοῦ σατράπην, τὸν Γωβρύαν, 10
πρὸς τὰς ὑπ' αὐτὸν ἀντιπέμψασθαι πόλεις
ὅπως ἐκεῖθεν συγκαλῆται συμμάχους,
εἰς ἓν συνελθεῖν εὖ παρεσκευασμένους,
τοῦτο προγιγνώσκοντας ἀκριβεστάτως
ὡς οὐκ ἂν ἀδώρητος αὐτοῖς ἡ μάχη. 15
Ἐδυσφόρησε τῇ κελεύσει Γωβρύας,
τὴν αὔριον γὰρ εἶχεν ὡς τεταγμένην

τὸν τῆς Ῥοδάνθης ηὐτυχηκέναι γάμον.
Τέως δὲ πεισθεὶς τῷ λόγῳ τοῦ δεσπότου,
τὰ καθ' ἑαυτὸν οὐκ ἀκίνδυνα βλέπων,
εἴ που παραιτήσαιτο καὶ παραδράμοι,
ἔσπευδε ποιεῖν τὴν κέλευσιν ὡς τάχος.
Περιτρέχων οὖν τὰς πέριξ πάσας πόλεις
τὴν ἐκ Βρυάξου προσδοκωμένην μάχην
τοῖς πᾶσιν ἀπήγγελλε κηρύττων μέγα
"Οἱ συμμαχοῦντες τῷ κρατοῦντι Μιστύλῳ,
τὰ τῆς μάχης σκέπτοισθε καὶ πρὸ τῆς μάχης·
στολῇ περιφράττοισθε σιδηρενδύτῳ,
ὤμων ἁπαρτᾶσθε καὶ τὰς ἀσπίδας,
σμήχοιτε καλῶς καὶ σπάθας χαλκοστόμους
καὶ τὴν κεφαλὴν ὁπλίζοιτε τῷ κράνει,
ὡς ἂν ἀπαντήσοιτε τοῖς ἐναντίοις.
Ὁ γὰρ Βρυάξης οὐδὲν ἠδικημένος
χωρεῖ καθ' ἡμῶν, μυρίον κινεῖ στόλον,
ἵππον δὲ πολλὴν ἀντιπέμπει χερσόθεν.
Δούλους μὲν ὄντας συμμαχεῖν τοῖς δεσπόταις
νόμος φυσικὸς εὐσεβῶς ἐπιτρέπει·
ὑμῖν δὲ φιλότιμος ὢν ὁ δεσπότης
παρεγγυᾶται καὶ πολὺ χρυσοῦ βάρος."
Οὕτως ἀνῆπτεν εἰς μάχην πρὸ τῆς μάχης
τοὺς τοῦ κρατοῦντος συμμάχους ὁ Γωβρύας.
Ὁ δὲ Βρυάξου σατράπης Ἀρταξάνης
εἰς Πίσσαν ἐλθὼν τὴν ἑαυτοῦ πατρίδα
διδοῖ Βρυάξῃ τὴν γραφὴν τοῦ Μιστύλου.
Ἐπεὶ δὲ τάνδον ὁ Βρυάξης ἐκμάθοι,
λυττᾷ τι δεινόν, εἰσκαλεῖ τοὺς σατράπας,
τοὺς χερσομάχους ἀλλὰ καὶ τοὺς ναυμάχους·
ἕλκει δὲ τὰς ναῦς εἰς μέσον πόντου στόμα,
καὶ πικρὸν οἷον κατὰ Μιστύλου βρύχων

κινεῖ κατ' αὐτοῦ μυρίαν τὴν ἀσπίδα.
Οὕτως ἑτοιμάζοντος αὐτοῦ τὴν μάχην
Ἀρταξάνης ἔλεξεν ἔντρομον λόγον
"παῦσαι, Βρυάξη, τὴν κενὴν κινῶν μάχην
καὶ καθ' ἑαυτοῦ συλλέγων τὴν ἀσπίδα,
ἣν συλλέγειν βούλοιο κατὰ Μιστύλου.
Ἄφες τὸ μακρὸν βρύγμα, τὸν μέγαν χόλον,
μὴ συρραγείσης τῆς μάχης ἀντιστάδην
αἰσχρῶν βρεφῶν γένοιο πικρὸς ἐγκύμων,
τοὺς ἀνδρικοὺς δὲ ζημιούμενος πόνους
τὰς τῶν γυναικῶν ἀντικερδάνῃς τύχας,
γεννῶν γαλουχῶν ἐξ ἀνίκμων μαστάδων.
193 Ἢ τὴν δύναμιν ἀγνοεῖς τοῦ Μιστύλου,
ὡς τῇ θελήσει τὰς φύσεις μετατρέπει
καὶ δουλαγωγεῖ τῇ κελεύσει τὴν κτίσιν;
Ἐγὼ μὲν αὐτοῦ τὸ κράτος κατεπλάγην·
εἶδον γὰρ εἶδον ἐκ μυχαιτέρου τόπου
νέκυν ἀναδραμόντα καὶ λυροκράτην,
ἐπεὶ θελήσοι καὶ κελεύσοι Μιστύλος·
εἶδον δὲ πάλιν τῆς τραπέζης ἐν μέσῳ
ἀρνειὸν ὀπτὸν στρουθοπάτορα ξένον
καὶ μήτραν ἀρτίφλεκτον ἄφλεκτον τόκον
τελεσφοροῦσαν καὶ κατάπτερα βρέφη."
Τούτων ἀκούσας ὁ Βρυάξης τῶν λόγων
"ἀλλ' ἠγνόουν" ἔλεξεν, "ἀρχισατράπα,
οὕτω πενιχροὺς μορμολυκείων τύπους
ὑποτρέμοντα καὶ σκιὰς Ἀρταξάνην
καὶ δειλιῶντα παιγνίων ψευδεῖς πλάσεις,
ἃ μηδ' ἂν αὐτῶν τῶν βρεφῶν κατισχύσοι,
συλῶμενον δὲ τὰς φρένας καὶ νοῦν ὅλον
γελωτοποιῶν καὶ μαγείρων ἀπάταις.
Ἐγὼ μὲν (ἀλλ' ἄνωθεν ἴλεων βλέποις,

Θεῶν ἁπάντων ὀλβία γερουσία,
καὶ χεῖρα πέμποις τῇ μάχῃ συνεργάτιν)
τὸν παντοποιὸν καὶ τρέποντα τὰς φύσεις
194 καὶ θαυματουργόν, ὡς δοκοῦν Ἀρταξάνῃ, 85
νεκροὺς ἀνιστᾶν καὶ φύσεις τρέπειν μάθω,
ἂν νεκρὸς οἰκτρὸς ἐξ ἐμῆς πεσὼν σπάθης
ἑαυτὸν αὐτὸς ἐξαναστήσῃ πάλιν."
Ἔλεξε ταῦτα καὶ τὸν ἅπαντα στόλον
εἰς ταὐτὸν εἰς ἓν ὁμμάδην ἠθροισμένον 90
λαβὼν ἀπέπλει δυσμενὲς βρύχων μέγα.
Ἦν οὖν ἰδέσθαι τοῦ στόλου προηγμένου
ὅλην μέλαιναν τῆς θαλάττης τὴν ῥάχιν,
ἐκ τῆς ἐπ' αὐτῇ τῶν νεῶν μελανίας
οὕτως ἐκείνην ὡσπερεὶ κεχρωσμένην. 95
Ὁ Σμυρνόθεν δὲ καὶ σοφὸς στιχογράφος
ἁλὸς πολιῆς τῶν ἐπῶν λέγων μέσον
ψευδῶς ἂν ὑπώπτευτο τοῖς πολλοῖς γράφειν
τοῖς τὸν τότε χροῦν τῆς ἁλὸς δεδορκόσι,
λέγειν δὲ καλῶς εἰ λέγοι πόντος μέλας. 100
Τῇ δ' ἄρα κώπῃ τῶν τοσούτων ὁλκάδων
ἡ γραῦς θάλαττα ξυλίνοις ὡς δακτύλοις
ὑγρὰς παρειὰς ὥσπερ ἐρραπισμένη
κλαίειν ἐῴκει τῇ βοῇ καὶ τῷ κτύπῳ·
θυμουμένη δὲ καὶ τὸν ἀφρὸν ἐκπτύειν 105
βιάζεται τάχιστα σὺν τοῖς κωπίοις.
Ἐπεὶ δ' ἐς αὐτὰς τὰς πόλεις τοῦ Μιστύλου
ὁ τοῦ Βρυάξου πλησίον φθάσοι στόλος,
εὐθὺς Βρυάξης ἀνιὼν ἐπ' ἀσπίδα
197 κάτωθεν ἀνδρῶν χερσὶν ἐστηριγμένην 110
καὶ τοὺς πατοῦντας ἀντερείδουσαν πόδας
ἔλεξε ταῦτα, τῶν νεῶν ἠθροισμένων
καὶ κύκλον ὥσπερ εὐφυᾶ μιμουμένων,

ἐξ οἵα κέντρου τοῦ κρατοῦντος ἡρμένου
"Ἄνδρες στρατάρχαι, θρέμματα στρατηγίας,
μάχης ἐρασταί, στρατιῶται γενάδαι,
τῆς ἀρείκῆς ἀρετῆς ἐπιστάται,
σπάθης τρόφιμοι, συγγενεῖς τῆς ἀσπίδος
καὶ τῆς Ἐννοῦς τῆς φίλης φίλα βρέφη,
οἷα μὲν ὑμῖν εἰς μάχας εἰανδρία,
οἷα δὲ τόλμα καὶ πόση θράσους χάρις,
μάρτυς ἀληθὴς ὁ προβὰς ἅπας χρόνος.
Μὴ γὰρ τοσοῦτον τῆς Βριάξου καρδίας
λήθη κρατήσοι καὶ καλῶν ἀμνηστία,
ὡς τῆς τοσαύτης τῶν ἐμῶν στρατηγίας
καὶ τῆς περιττῆς ἐν μάχαις εὐανδρίας
καὶ τῶν ἁλόντων ὑφ' ὑμῶν πολιχνίων
καὶ τῶν πεσόντων κατὰ γῆς πυργωμάτων
καὶ τῶν σχεθεισῶν ἐν θαλάττῃ φορτίδων
φόρτου μετ' αὐτοῦ καὶ σὺν αὐτοῖς ναυτίλοις
ἀμνημονήσειν, δυσγενοῦς γνώμης πάθος.
Πλὴν ἀλλὰ μὴ φύσημα μηδ' ὄγκον μέγαν
198 ἐκ τῆς φθασάσης σχόντες εὐετηρίας
καταφρονεῖτε τῆς ἐνεστώσης μάχης,
ἀρκοῦντος ὥσπερ τοῦ προλαβόντος κράτους·
μᾶλλον μὲν οὖν μαθόντες ἀκριβεστέρως
ἐκ τῶν φθασάντων οἷον ἡ νίκη καλόν,
σπεύδοιτε πάλιν εἰς τὸν ἀντίον πόνον,
εἰς ἀντίληψιν τοῦ καλοῦ προηγμένοι.
Ἢ πῶς ἂν οὐ μαίνοισθε καινὴν μανίαν,
καλὸν μὲν εἶναι τὸ κρατεῖν ἐν ταῖς μάχαις
ἐκ τῆς φθασάσης ἐκδιδαχθέντες τύχης,
εἶτα τρέχοντες τοῦ καλοῦ πορρωτέρω;
Παντὸς μὲν ἂν γίγνοιτο πράγματος κόρος,
κόρος τραπέζης καὶ τρυφῆς, κόρος πότου,

κόρος λυρικῆς μουσικῆς μελῳδίας,
ὀρχήσεως δὲ τῆς ἀμύμονος κόρος.
Ἤδη τις ἔσχε θυμικῆς φλογὸς ζέσιν,
ὀργῆς δὲ πῦρ ἀνῆψεν ἐν τῇ καρδίᾳ
δούλου παροργίσαντος ἐξ ἀταξίας
ἢ παραπικράναντος ἐκ ῥᾳθυμίας,
καὶ τῶν ἐν αὐτῷ θυμικῶν πυρεκβόλων
σπινθηριώντων ἐν μέσῃ τῇ καρδίᾳ
κατεξανέστη πῦρ λαλῶν καὶ πῦρ πνέων·
καὶ ῥάβδον ἁδρὰν ἐν χεροῖν ἐξημμένος
201 καὶ τὸν παροινήσαντα πολλὰ ῥαβδίσας
ὅμως ἐπαύθη, κἂν μόγις, τῶν μαστίγων
καὶ βραδέως μὲν ἔσχε δ' οὖν ὀργῆς κόρον.
Παντὸς μὲν οὖν λάβοι τις, ὡς ἔφην, κόρον
κόρον δὲ νίκης καὶ τροπῆς ἐναντίων
ἀνὴρ ἐραστὴς τῶν καλῶν οὐκ ἂν λάβοι·
ἦ γὰρ ἑαυτῷ τοῦ καλοῦ φθονεῖν ἔχοι.
Ἄνδρες μαχηταὶ συντραφέντες τοῖς ὅπλοις,
μή, κἂν πενιχρὸς ὁ στρατὸς τοῦ Μιστύλου,
ὅμως χαλάσοι τὴν ὑμῶν προθυμίαν
ὑπαμβλυνεῖ δὲ τῆς μαχαίρας τὸ στόμα,
δείξει δ' ἐπ' αὐτῆς τῆς μάχης νωθεστέρους,
μόνοις βρυχηθμοῖς ὥσπερ ὑπωπτευκότας
ὅλους θροήσειν τοὺς ἐναντιουμένους.
Μᾶλλον μὲν οὖν, θούρια Παλλάδος βρέφη,
τούτων χάριν δίκαιον, ὡς ἐμὴ κρίσις,
στῆναι κραταιῶς καὶ κροτῆσαι τὴν μάχην,
τοῦτο φρονοῦντας ἐμφρονεστέρᾳ κρίσει
ὡς εἰ μὲν ἡττήσοιτε, μικρὸς ὁ κρότος
(τί γὰρ μέγα τρόπαιον ἢ ποῖον γέρας
μικρὸς πενιχρὸς εὐαρίθμητος στόλος
μετατροπωθεὶς ἐκ τοσούτων ναυμάχων;)·

εἰ δ' ἄρα τὴν μέλαιναν (ἀλλ' ἀποτρέποις
ἐκ τῶν Βρυάξου καρτερῶν στρατευμάτων,
Ἄρες κραταιὲ καὶ Τύχη νικηφόρε)
ἡμᾶς ἐνεγκεῖν δυστυχῶς συνεμπέσῃ,
πολλὴν ὑποτλαίητε πάντως αἰσχύνην,
στρατὸς μυρίος, δυσαρίθμητος στόλος,
μικρᾷ τραπέντες στρατιᾷ, μικρῷ στόλῳ.
Μὴ γοῦν κἂν ἐστιν ἀσθενὴς ὁ Μιστύλος,
καταρραθυμήσοιτε τῆς φίλης μάχης·
ἀρχαϊκὸς γὰρ καὶ παλαίτερος λόγος
κροτεῖν παραινεῖ τὴν μάχην ταῖς ἐμπίσιν
ὡς οἷα τοῖς λέουσι τοῖς παναλκέσι.
Τί τοῦτο δηλοῦν ἀσφαλεστέρᾳ φράσει;
Μὴ πρὸς πενιχρὸν συγκροτοῦντας τὴν μάχην
νωθεστέρως πως συγκροτεῖν μηδ' ἐκλύτως,
μή που λάθοιμεν κατατετροπωμένοι
ἐκ τῶν παρ' ἡμῖν καταπεφρονημένων
καὶ μακρὸν ὀφλήσαιμεν ἀξίως γέλων.
Ἄλλως τε καὶ τίς τὸν στρατὸν τοῦ Μιστύλου
φαίη πενιχρόν, τίς δὲ μικρὸν τὸν στόλον;
Ἐγὼ μὲν αὐτὸν καὶ μέγαν καὶ γεννάδα
φαίην ἂν εἰδὼς πολλαχοῦ καὶ πολλάκις
νικηφόρον φανέντα πολλαῖς ἐν μάχαις
καὶ μυρίους μὲν εὐτυχοῦντα ναυμάχους
καὶ χερσομάχων δυσαρίθμητον στίφος,
πολλοῖς δ' ἐπιπρέποντα καλοῖς σατράπαις.
Ἡμῖν δέδοικα τὴν παρεστῶσαν μάχην,
τὸν στρατὸν εἰδὼς καὶ στόλον τοῦ Μιστύλου·
τύχῃ δὲ θαρρῶν καὶ θεῶν συνεργίᾳ
καὶ τῇ τιμωρῷ τῶν κακοτρόπων Δίκῃ
κινῶ πεποιθὼς κατὰ Μιστύλου δόρυ.
Πλὴν ἀλλὰ τὰ τρόπαια τῶν ἐναντίων,

ἡ τόλμα καὶ τὸ θράσος, ἡ σταθηρότης,
μὴ τῆς ἐν ὑμῖν εἰς μάχας εὐανδρίας
καὶ τοῦ περιττοῦ πρὸς παράταξιν κράτους
δείξωσιν ὑμᾶς ὥσπερ ἐκλελυμένους,
μηδὲ πτοεῖσθαι τὸν στρατὸν τοῦ Μιστύλου
πείσωσιν ὑμᾶς ὡς περιττόν, ὡς μέγαν.
Ὁ γὰρ Βρυάξης τοὺς ἑαυτοῦ συμμάχους
τόσον πτοεῖσθαι τοὺς ἐναντίους θέλει,
ὡς τὴν περιφρόνησιν ἐκβεβληκέναι·
περιφρονεῖν δὲ πάλιν αὐτοὺς εἰς τόσον
ὅσον τὸ δεινὸν τοῦ φόβου φυγεῖν πάθος,
νικῶντας ἅμφω τῇ δι' ἀλλήλων μάχῃ·
ἐμφύλιον φαίη τις αὐτὴν εὐστόχως.
Ἄνδρες μαχηταί, θρέμματα στρατηγίας,
κἂν μηδὲν ἄλλο, μὴ μυριόναυν στόλον,
206 μὴ στρατὸν ἀδρόν, μὴ δυσάριθμον δόρυ
εἶχε Βρυάξης ὡς συνεργὰ τῇ μάχῃ,
μηδ' ἄλλο μηδὲν ἀντιλήψεως μέρος,
ἡ τῶν θεῶν χείρ, ἡ μάχαιρα τῆς Δίκης
οὐκ ἀμυνεῖται τὸν παρηνομηκότα
καὶ τὸν παρασπάσαντα τὴν ἐμὴν πόλιν
καὶ τῶν φυλάκων οὓς μὲν ἐξωγρηκότα
καὶ πρὸς φυλακῆς ἐμβιβάσαντα στόμα,
οὓς δ' ἐκ μαχαίρας λῃστρικῆς χαλκοστόμου
εἰς ἕσχατον τάρταρον, εἰς βαθὺ σκότος
ῥίψαντα πικρῶς καὶ κακοτρόπῳ τρόπῳ;
Ἄνδρες μαχηταί, δεξιοὶ στρατηγέται,
τέμνουσα κώπη καὶ σπάθη κωπηλάτις,
ἄμφω πρὸς ἄμφω δεξιῶς ἡρμοσμένα,
ἀμφίβιον στράτευμα, χερσοναυμάχοι,
πῇ μὲν καθ' ὑγρὰν εἰς μέσον πόντου στόμα,
πῇ δ' ἀμφὶ χέρσον συγκροτοῦντες τὴν μάχην,

ὡς ἂν δεήσῃ τῷ τόπῳ καὶ τῷ χρόνῳ.
Παῖδες Βρυάξου καὶ φίλοι καὶ σύμμαχοι
(καλῶ γὰρ υἱοὺς καὶ φίλους καὶ συμμάχους
δεικνὺς τὰ δεσμὰ τῆς ἐς ὑμᾶς ἀγάπης),
ἂν ὁ Βρυάξης εἶχεν ὑμᾶς μισθίους,
ἂν δεσπότης ἦν, ἀλλὰ μὴ φυτοσπόρος,
209 οὐκ ἂν ἐπεσπεύσατε τοῦ μισθοῦ χάριν,
μάχην παραρτύοντες ἐξ ἐναντίας,
καταδραμεῖν μὲν δυσμενῶν πάντας τόπους,
παρασπάσαι δὲ καὶ λαβεῖν ὅλας πόλεις,
νίκης δὲ σεμνὴν ἐνδυθῆναι πορφύραν,
ζωγροῦντες ἢ τέμνοντες ἐχθρῶν αὐχένας,
καὶ ταῦτα κερδαίνοντες οὐδὲν οὐδέπω
ἐκ τῶν παρ' ὑμῶν ἐσκυλευμένων τότε·
οὐ γὰρ ἑαυτοῖς, τῷ δὲ μισθωσαμένῳ
τὸ πᾶν ἐφεῖται φυσικῷ λαβεῖν λόγῳ.
Ἐπεὶ δὲ πᾶσαν πατρικὴν εὐκληρίαν
οἱ παῖδες ὑμεῖς κερδανεῖν μέλλοιτέ μοι,
πῶς οὐκ ἂν εἴη καρδιῶν κακοφρόνων
αὐτοὺς ἑαυτοὺς τῶν καλῶν στερεῖν θέλειν,
καὶ μὴ σταθηρᾷ καὶ προθύμῳ καρδίᾳ
χωρεῖν κατ' ἐχθρῶν καὶ κροτεῖν στερρὰν μάχην,
καὶ τὴν πατρῴαν λαμβάνειν ἐξουσίαν,
ἄλλας ἐπ' ἄλλαις προσπορίζοντας πόλεις,
ὡς ἂν ἐπαυξάνοιτε τὴν κληρουχίαν;
Τὸ δὲ στρατιᾶς δυσμενοῦς ἀλλοτρίας
τὰς ἡμεδαπὰς λωποδυτούσης πόλεις
ἡμᾶς καθεύδειν ἐν μέσοις κλινιδίοις
πόσης ἂν εἴη μανίας, πόσης νόσου;
210 Ἰαταταὶ τὸ πάθος ὡς θηλυφρόνων.
Ἄνδρες τρόφιμοι τῆς φιλοκτόνου μάχης,
στρατὸς παλαιστὴς καὶ τραφεὶς ὑπ' ἀσπίδι,

μία κρατείτω παρ' ὑμῖν γνώμης θέσις,
μιᾶς δὲ βουλῆς σύμφρονος καὶ συμπνόου
γίγνοισθε πάντες ἐν συναφῇ καρδίας,
μηδ' ἄλλος ἄλλης, καὶ διάστασις μέσον.
Οὐδεὶς γὰρ ἄλλος τοῖς ἐναντίοις πόθος
ἢ στασιάζειν τοὺς ἐναντιουμένους,
τοὺς σὺν ἐκείνοις ἀντεπεξηγερμένους,
αὐτοὺς καθ' αὑτῶν ὥσπερ ἐξωπλισμένους.
Στάσις δὲ πάντως καὶ διάστασιν φέρει·
διάστασις δὲ συγγενὴς ἀντιστάσει·
ἀντίστασις δὲ ταὐτόν ἐστι καὶ μάχη·
μάχης δὲ νίκη καὶ τροπὴ θυγατέρες.
Εἰ γοῦν καθ' αὑτῶν συγκροτοῦμεν τὴν μάχην,
νικῶμεν αὐτοὶ καὶ πάλιν νικώμεθα.
Οὖ τίς γένοιτ' ἂν ἀθλιώτερος πόνος;
Τί δ' ἄλλο κατεύξαιτο Μιστύλου στόλος
τῆς τοῦ Βρυάξου μυρίας ναυαρχίας
ἢ τοῦτο πάντως; Ἀλλ' ἀποτρέποις, Ἄρες,
ἡμῶν καθ' ἡμῶν συγκροτούντων τὴν μάχην,
αὐτοὺς καθῆσθαι καὶ πλατὺν γελᾶν γέλων
213 κἄτα κρατήσειν ὡς ἀπαλαμνεστάτων
γυμναῖς παλάμαις· οὐ γὰρ ἂν μετὰ ξίφους
λάβωσιν ἡμᾶς τοῖς μετ' ἀλλήλων πόνοις
ἤδη καμόντας καὶ προκατειργασμένους.
Ἵν' οὖν ἀποτρέποιτο ταῦτα μακρόθεν,
μία κρατείτω παρ' ὑμῖν γνώμης θέσις.
Ἢ πῶς ἂν οὐ πάσχοιτε μανικὸν πάθος
αὐτοὶ καθ' αὑτῶν ὥσπερ ἐξωπλισμένοι
καὶ τῆς ἑαυτῶν σαρκὸς οὐ πεφεισμένοι
καὶ γνήσια σπεύδοντες ἐσθίειν μέλη,
τοῖς δαιμονῶσιν οἷον ἐξεικασμένοι
καὶ καθάπερ σῦς ἐκ δρυμοῦ πηδῶν μέγας

καὶ θηραγρευταῖς δεξιοῖς ἐντυγχάνων,
ἄλλου παρεμπήξαντος ἄκρον τὸ ξίφος,
ἔσω διωθεῖ καὶ κατὰ σπλάγχνων μέσων,
αὐτὸς μανικῶς ἀντιβαίνων τῷ ξίφει,
καὶ πικρὰν αὑτῷ τὴν σφαγὴν παραρτύει,
θρασὺς μαχητὴς εἰς τὸν οἰκεῖον φόνον,
οὕτω καθ' αὑτῶν ἀκονῶντες τὴν σπάθην;
Ἄνδρες, κἂν ἡμῖν ἡ θεῶν ἐξουσία
δοίη τὰ κρείττω συμμαχούσης τῆς Δίκης,
κἂν ἐγκρατεῖς γένοισθε τῶν τοῦ Μιστύλου,
μὴ πρὸς λαφύρων ἁρπαγὴν ὡρμηκότες
214 χάνοιτε λίχνον ἐκφαγεῖν ἠπειγμένοι,
μὴ συγκατασπάσοιτε τὴν ἀγκιστρίδα
(τὸν κρυπτὸν οὕτω καὶ τομὸν φόνον λέγω).
Πολλοὺς γὰρ οἶδα πολλαχοῦ καὶ πολλάκις
μικροὺς ἀνάνδρους ἀφελεῖς ἐν ταῖς μάχαις,
εἶτα κρατοῦντας τῶν ἐναντίων δόλῳ·
πρὸ γὰρ ἑαυτῶν ἐκτιθέντες εἰς μέσον
σκευῶν τὰ πολλά, βρωμάτων, ἐνδυμάτων,
ἔκτειναν οἰκτρῷ τοὺς ἐναντίους φόνῳ
ἐπεισπεσόντας ἀπροόπτῳ τῷ δρόμῳ.
Οὕτω τὰ πολλὰ τῶν θαλαττίων γένη
ἀσπαλιεὺς ἄνθρωπος ἀγρεύειν ἔχει,
τροφὴν προδεικνὺς καὶ παρεγκρύπτων φόνον.
Αἰσχρὸν μὲν ἁπλῶς τοὺς Βρυάξου συμμάχους
ἔργον γενέσθαι τῆς ἐναντίας σπάθης·
αἰσχρὸν δὲ μᾶλλον ἂν σκυλεύοντες πόλιν
συνεκθάνοιτε τῇ λαφυραγωγίᾳ.
Ἵν' οὖν ἐφ' ὑμᾶς μή τι τῶν δεινῶν ῥέποι,
μὴ πρὸς λαφύρων ἁρπαγὴν μηδεὶς ῥέποι·
εἰς ἁρπαγὴν γὰρ αὐτὸς ἠσχολημένος
χώραν παράσχοι τοῦ φυγεῖν τῷ Μιστύλῳ

κἀντεῦθεν ἡμῶν τὴν σπάθην ἀποδράναι,
ὑποφθερεῖ δὲ τὸ σκυλεύειν τὸν χρόνον
217 εἰς ἐντρύφησιν τῶν παρεσκυλευμένων,
πάθῃ δὲ πάντως ἐκ φρενῶν ἐλαφρίας
μωροῦ κυνηγοῦ καὶ παράφρονος πάθος,
ὃς πλῆθος εὑρὼν οὐκ ὀλίγον περδίκων
κἀκ τῶν τοσούτων συλλαβὼν μίαν μόνην
ἐξῆπτε πυρὰν ὡς ἂν ὀπτήσας φάγοι·
ἅπαν μὲν οὖν τὸ πλῆθος ἐκπτὰν αὐτίκα
τὰς χεῖρας ἐκπέφευγε τοῦ κυνηγέτου·
τὴν γὰρ φυγὴν εὗρηκεν εὐμαρεστάτην,
τούτου κατεσθίοντος ἣν φθάσας λάβοι·
αὐτὸς δὲ τὸν πρέποντα τῇ θήρᾳ χρόνον
εἰς μῶρον ἔργον ἀναλώσας ἀφρόνως
οὐδὲν τὸ κέρδος ἔσχε τῆς κυνηγίας.
Ἢ πῶς ἂν οὐ δόξοιτε καὶ μεμηνέναι,
τὰ σφῶν ἑαυτῶν ἁρπάσαντες ὡς νόθα;
Ἡμῶν γὰρ ἂν γένηται τὰ τοῦ Μιστύλου,
ἂν ἡ τύχη δῶ τὸ κρατῆσαι Μιστύλου.
Ἄνδρες, κἂν (ἀλλ' ἔχοιεν, ὀλβία Δίκη,
οἱ τοῦ Βρυάξου σύμμαχοι τὰ βελτίω)
σχῶμεν τὸ χεῖρον ἐγκοτούσης τῆς Τύχης,
κἂν ἦτταν αἰσχρὰν ἠρεμούσης τῆς Δίκης
καὶ μὴ τὰ κρείττω τῶν θεῶν κοιμωμένων,
μὴ πρὸς φυγὴν δέψοιτε, μηδ' ὀπισθίαν
218 δράμοιτε τρίβον ἐξ ἀνάνδρου καρδίας,
μηδ' ἀντεπαλλάξοισθε δυσγενεῖ κρίσει
σφαγῆς ἀγαθῆς δυσκλεᾶ σωτηρίαν,
ζωὴν πονηρὰν εὐκλεεστέρου φόνου.
Κρεῖττον γὰρ ἡμῖν ἂν διχασθῶμεν μέσον,
ἂν συντριβῶμεν, ἂν ἐνέγκωμεν φόνου,
ἔργον φανέντες τῆς ἐναντίας σπάθης,

ναὶ κρεῖττον ἡμῖν ἐν μέσῃ πεσεῖν μάχῃ
τόξων μετ' αὐτῶν καὶ σὺν αὐταῖς ἀσπίσιν
ἢ ξῆν τραπέντας καὶ φυγόντας ἐκ μέσου·
τὸ μὲν γὰρ ἔστιν ἀνδρικῆς εὐτολμίας,
θανεῖν πρὸ τέκνων καὶ πεσεῖν πρὸ πατρίδος,
τὸ δ' ἀντικλίναι πρὸς φυγὴν τὰς ἡνίας,
τὰ δ' ὅπλα ῥίψαι καὶ δραμεῖν παλινδρόμως
ψυχῆς ἀνάνδρου καὶ γυναικωδεστέρας.
Ἄλλως τε καὶ τίς ἐκφυγόντας τὴν μάχην
κατεγγυᾶται συμφυγεῖν καὶ τὸν φόνον,
καὶ πανταπάντως τὸν στόλον τοῦ Μιστύλου
αὐτοῦ μενεῖν ἥσυχον ἐν τῇ πατρίδι,
φεύγουσιν ἡμῖν ὑπανέντα τὸν πλόον,
μηδ' ἐκδιῶξαι καὶ λαβεῖν τοὺς φυγάδας
καὶ πάντας ὑγρῷ προσκατακρύψαι τάφῳ;
Ἢ καὶ περιττὸν τοῦτο τοῖς ἐναντίοις·
221 φόβος γὰρ ἡμᾶς καὶ πρὸ Μιστύλου φθάσας
θανὴν πρὸ θανῆς καὶ πρὸ τοῦ ξίφους φόνον
δοίη, σπαθίζων ὥσπερεὶ ταῖς ἐλπίσιν.
Ἵν' οὖν ἀποτρέποιτε ταῦτα μακρόθεν,
μὴ πρὸς φυγὴν ῥέψοιτε δυσγενεῖ τρόπῳ.
Εἰ μὲν γὰρ ἐξῆν τὴν θανὴν πεφευγέναι
καὶ τὴν τελευτὴν εἰς τὸ πᾶν ἀποδράναι
ἄληκτον ὥσπερ εὐτυχήσαντας βίον,
κἀνταῦθα φαῦλον τὴν μάχην ἐκφυγγάνειν·
τίς γὰρ πτοηθῇ τὴν τελευτήν, εἰπέ μοι,
ζωὴν ἄληκτον εὐτυχήσας ἐκ τύχης;
Ὅμως γένοιτ' ἂν τοῦ πάθους συγγνωστέος.
Ἐπεὶ δὲ κἂν φύγοιμεν ἐκ μέσης μάχης,
οὐκ ἐξὸν ἡμῖν τὴν θανὴν ἀποδράναι,
τί μὴ τελοῦμεν τὴν ἀναγκαίαν τύχην,
ἡμῶν ἑαυτῶν φιλοτιμίαν τάχα;

Καὶ τὴν τελευτὴν φυσικῶς ὡρισμένην
κἂν γοῦν ὑποκλέπτοιμεν εὐκλεεστέραν,
καλὸν φυγόντας τῆς μαχαίρας τὸ στόμα
αὔξην παρασχεῖν τῷ βίῳ καὶ τῷ χρόνῳ;
Ἀλλ' αἰσχρὸν αἰσχρὸν αἰσχύνην ὀφλισκάνειν
καὶ ξῆν ἐν ὕβρει καὶ βιοῦν γελωμένους.
Ἄνδρες, τὸ πᾶν μοι τοῦ σποποῦ καὶ τοῦ λόγου
222 *τοῦτο ξυνάγει, πρὸς πέρας τοῦτο βλέπει·*
μὴ τῦφον ἡμᾶς, μὴ κόρον νίκης ἔχειν·
φεύγειν περιφρόνησιν ὡς δὲ καὶ φόβον·
μισεῖν πρὸς αὐτοῖς τὰς μετ' ἀλλήλων στάσεις·
μήτε κρατοῦντας προσχανεῖν τοῖς λαφύροις,
μήτε τραπέσθαι πρὸς φυγὴν ἡττωμένους."
Ταῦτα Βρυάξης τοῖς ὑπ' αὐτὸν ναυμάχοις
κοινῶς ἐπειπών, εὐφυὴς δημηγόρος,
ἐπεὶ τελευτήσειεν ὁ ξύμπας λόγος,
τῇ δεξιᾷ μὲν ἀκράτου λαβὼν σκύφον,
ἄλλον δὲ μεστὸν ὕδατος θαλαττίου,
ὕψωσεν ἄμφω· πρὸς δὲ πόντον ἐγχέας
"Πόσειδον" εἶπε "καὶ θεοὶ θαλάττιοι,
ἄναξ Πόσειδον, βασιλεῦ ἁλικράτορ,
ὁ πόντον ὑψῶν τὸν πλατὺν καὶ τὸν μέγαν
τῆς σῆς τριαίνης τῷ τανυσμῷ καὶ μόνῳ
καὶ πάλιν ἱστῶν καὶ κατάγχων τὴν ζάλην,
τύπτων δὲ τὴν θάλατταν ἀγριουμένην
ὡς οἷα ῥάβδῳ τοῦ θυμοῦ σου τῷ τρόπῳ
καὶ δουλαγωγῶν τὰς πνοὰς τῶν ἀνέμων
(οὗ γὰρ θέλεις πνέουσιν· οὗ δὲ μὴ θέλεις,
δουλοπρεπῶς στέργουσι τὴν ἡσυχίαν),
ναύαρχος ἐλθὲ τοῦ Βρυάξου τῷ στόλῳ,
225 *τοῖς ναυμάχοις δὲ Μιστύλου ποινηλάτης,*
τοῦ νῦν χεθέντος ἐκροφήσας ἀκράτου."

Τοσαῦτά φησι, τοῖς γε μὴν κωπηλάταις
κινεῖν κελεύει τὰς τριήρεις ὡς τάχος,
ὡς ἂν παρ' αὐτὴν τὴν πόλιν τοῦ Μιστύλου
φθάσαιεν ἀπρόοπτα μηδ' ἐγνωσμένοι
ἄελπτον ἐμπέσοιεν εἰς μέσον νέφος
καὶ νύκτα δοῖεν τοῖς ἐναντιουμένοις
καὶ σφῶν κατεργάσαιντο μυρίον φόνον.
Ὡς δὲ προῆλθεν ὁ στόλος πρὸς τὰ πρόσω
καὶ τὴν ἐκεῖθεν εἰδυσαν ναυαρχίαν
ἱσταμένην ἔνοπλον εὐτάκτῳ στάσει,
οὐ μικρὸς αὐτοὺς ἀνθυπέδραμε τρόμος
ὧν ἐλπίδα τρέφοιεν ἡμαρτηκότας.
Ἦν γὰρ ἰδέσθαι τὰς τριήρεις Μιστύλου
πολλὰς μὲν ὡς μάλιστα καὶ καλὰς λίαν,
τὸν δὲ στολισμὸν οἷον ἐστολισμένας·
ὅσον γὰρ αὐταῖς οὐκ ἐβαπτίσθη κάτω,
ἀλλ' ὑπερέπλει τῆς θαλάττης τὴν ῥάχιν,
ἐκ δευτέρου ζωστῆρος ἄχρι καὶ τρίτου
πίλοις κατεσκέπαστο ναστοῖς παχέσι,
βουλῆς σοφῆς εὕρημα καὶ στρατηγίας,
ὡς ἂν τὰ πλεῖστα τῶν τεταμένων βελῶν
226 ἐκεῖ περικλώθοιντο μηδ' εἰς τὸ πρόσω
ἔχοιεν ἐλθεῖν καὶ βαλεῖν τοὺς ἐν μέσῳ,
ἀλλ' ἠρεμοῖεν ἐμπαρέντα τοῖς πίλοις.
Ἄνω δ' ἐπ' αὐτῶν τῶν τεθειμένων πίλων
πληθὺς παρῃώρητο μακρῶν ἀσπίδων,
καὶ τοῦτο βουλῆς ἀνδρὸς εὐεπηβόλου.
Ἀνὴρ γὰρ ἀμφοῖν ἀσπίδων ἑστὼς μέσος
πλήττειν ἐκεῖθεν εἶχε τοὺς ἐναντίους,
αὐτὸς δ' ἔσωθεν εἰσιὼν τῶν ἀσπίδων
ἀτραυμάτιστος ἀβλαβὴς ἐφεστάναι·
τύπον γὰρ εἶχεν ἡ θέσις τῶν ἀσπίδων,

οἷον τὰ τειχῶν ἄκρα καὶ τῶν πυργίων,
ἀφ' ὧν ὀιστεύουσιν ἄνδρες τοξόται·
τειχῶν ὀδόντας ταῦτα τὸ πλῆθος λέγει.
Ταύτην μὲν εἶχον αἱ τριήρεις τὴν θέσιν·
κύκλῳ δὲ τὸν σύμπαντα Μιστύλου στόλον
πληθὺς μεγίστων ἐστεφάνου φορτίδων·
ὑπόστενον δὲ παρανοίξασαι στόμα
χώραν παρεῖχον ἐξόδου τοῖς ναυμάχοις·
τὸ δ' ἐκτὸς αὐτῶν καὶ πρὸς ἀκταῖς χωρίον
πολὺς παρειστήκεισαν ἐσμὸς ἱππέων.
Ταῦτα Βρυάξης καὶ τὰ τοιαῦτα βλέπων
καὶ τὴν ἐκεῖθεν στρατιὰν ὑποτρέσας
229 καὶ δειλίαν σχὼν ἀντὶ τοῦ πρώτου θράσους,
γραφὴν παρασχὼν Ἀρτάπῃ τῷ σατράπῃ
(Ἀρταξάνης γὰρ οὐ παρῆν ἐν τῷ στόλῳ·
σὺν χιλίᾳ γὰρ χερσομάχων ἀσπίδι
ἔσταλτο πεζῇ συγκροτήσων τὴν μάχην)
εἰς Μιστύλον πέπομφε τὸν βασιλέα.
Τῆς δὲ γραφῆς ἡ λέξις αὕτη τυγχάνει
Ἐχρῆν με πρώτως, Μιστύλε, γράψαντά σοι
καὶ τὴν ἐφ' ἡμᾶς φάμενον παροινίαν,
ὅπως τὸ Ῥάμνον τὴν ἐμὴν λαβὼν πόλιν,
σπονδὰς δὲ λύσας καὶ νόμους παρασπάσας,
τοὺς φύλακας δὲ συγκατασχὼν ἀθρόως
οὓς μὲν τέτμηκας οὓς δὲ δεσμήσας ἔχεις
(ὡς μὴ λέγειν δύναιο, κλέπτων τὴν δίκην,
ἄγνοιαν εἶναι τῆς μάχης τὴν αἰτίαν·
μὴ γὰρ Βρυάξου τὴν πόλιν συνειδέναι),
μὴ δευτέρου γοῦν προσδεηθῆναι λόγου,
ἀλλ' ἣν ἀφῃρέθημεν ἐκ μάχης πόλιν
μάχῃ λαβεῖν καὶ μᾶλλον, εἰ δυναίμεθα,
πλείω παρασπᾶν τῶν προπαρεσπασμένων·
ἐπεὶ δὲ φίλτρου πολλαχοῦ καὶ πολλάκις
δεσμὰ συνῆψε τῷ Βρυάξῃ Μιστύλον,

καὶ δευτέρων νῦν ἄρχομαι μηνυμάτων·
ἢ γοῦν πρὸς ἡμᾶς ἀντίπεμψον τὴν πόλιν
καὶ τοὺς ἀλόντας λῦσον οὐδὲ δεσμίους,
ἢ τὴν στρατιὰν ἡττημένην βλέπεις.

Ταύτην ἀναγνοὺς τὴν γραφὴν ὁ Μιστύλος
οὐδὲν μὲν ἀντέγραψεν, ἀλλ' ἀπεκρίθη
πρὸς τὸν Βρυάξου σατράπην τὸν Ἀρτάπην
"Ὡς εὐστόχως ἂν τὴν ἐμὴν γνώμην μάθοι
ὁ δεσπότης σου καὶ φίλος μοι, σατράπα,
εἴ μου τὸ γράμμα τὸ πρὸ μικροῦ τοῦ χρόνου
σταλὲν διέλθοι καὶ διελθὼν ἐκμάθοι."
Ἐπείπερ ἀκούσειε τούτων τῶν λόγων,
ἐπὶ Βρυάξην Ἀρτάπης ἀντεστράφη,
καὶ πᾶν τὸ ῥηθὲν μηνύσας τῷ δεσπότῃ
πίμπλησιν ὀργῆς τὴν ἐκείνου καρδίαν·
καὶ τάχ' ἂν ἐκρότησεν εὐθὺς τὴν μάχην
ὑπερφλέγοντος τοῦ θυμοῦ τὴν καρδίαν,
εἰ μὴ τὸ νυκτὸς ἀνθυποφθάσαν σκότος
ταῖς ἀποθήκαις ἐγκέκλεικε τὰ ξίφη.
Καὶ γοῦν ἐφησύχαζεν ἐν ταῖς ὁλκάσιν,
ἕως ὑπερτέλλουσαν ἡμέραν ἴδοι.

5

Ὁ μὲν γίγας ἥλιος ἄρτι τῶν κάτω
ἄνω τὸν ἀκάμαντα δίφρον ἐλκύσας
τὸν ὑπὲρ ἡμᾶς ὑπερίππευε δρόμον,
ὁ δὲ Βρυάξης ἐξαναστὰς τῆς κλίνης
θεῶν προεμνήσατο τῶν θαλαττίων
καὶ τῶν ἐφ' ὕψους Ἄρεος καὶ Παλλάδος.

Εὐξάμενος δὲ πρὸς μάχης χωρεῖ στόμα
καὶ τοὺς κυβιστητῆρας ἄνδρας γεννάδας,
οὓς εὖ κυβιστᾶν εἶχεν ἐξησκημένους,
λαβεῖν σιδηρᾶς ἐν χεροῖν λέγει σφύρας
(μικράς γε μὴν μάλιστα, μή που τῷ βάρει
καὶ σφᾶς ἐκείνους συγκατασπῷεν κάτω)
καὶ δύντας εἰς θάλατταν ἐν λαθριδίῳ,
234 ὡς ἀφανὲς τὸ σκέμμα τοῖς ἐχθροῖς μένοι,
ὑποδραμεῖν μὲν τὰς τριήρεις Μιστύλου,
τὰ γεῖσσα δὲ σφῶν κρυπτάδην διασπάσαι,
ὡς ἂν χεθέντων ἔνδοθεν τῶν ὑδάτων
ἐκ τῶν ἐκεῖθεν σχισμάτων καὶ σπασμάτων
τοῖς ἔνδον ὑγρὸς εὐτρεπισθείη τάφος.
Οἱ γοῦν κυβιστητῆρες αὐτῷ τῷ λόγῳ
τῇ προσταγῇ παρέσχον αἴσιον πέρας·
ὁ δὲ Βρυάξης συγκινήσας τὸν στόλον,
ἐπεὶ κατὰ πρόσωπον ἦν τῷ Μιστύλῳ,
στερρὰν ἐκεῖθεν τὴν μάχην ἀντεκρότει.
Τὰ πρῶτα μὲν δὴ καὶ κατ' ἀρχὰς τῆς μάχης
τὸ κρεῖττον εἶχεν ὁ στόλος τοῦ Μιστύλου·
τρεῖς γὰρ τριήρεις συλλαβὼν ὁ Γωβρύας
ἐκ τῆς ἐκεῖθεν δυσμενοῦς ναυμαχίας
ὅπλων μετ' αὐτῶν καὶ σὺν αὐτοῖς ναυμάχοις
μικροῦ γ' ἂν ἐτροποῦτο τοὺς ἐναντίους
καὶ πρὸς φυγὴν ἔκλινεν αὐτοὺς ἀθρόαν·
ἀλλ' οἱ κυβιστητῆρες οὓς εἶπον φθάσας
τὰς ναῦς ὑποδραμόντες αὐταῖς ταῖς σφύραις
καὶ τὴν κάτωθεν ἁρμογὴν λελυκότες
ἄελπτον εἰργάσαντο τοῖς πολλοῖς φόνον·
οἱ μὲν γὰρ εἱστήκεισαν ἀντισυστάδην
237 σπάθαις σιδηραῖς προσκροτοῦντες τὴν μάχην,
ὑγρόστομον δὲ σφᾶς κατέσφαζε ξίφος.

Ἴιν οὖν ἰδεῖν θέαμα δακρύων γέμον
καὶ μεστὸν οἴκτου συμπαθοὺς καρδίᾳ·
ὁ μὲν γὰρ εὐπάλαμνος ἀνὴρ τοξότης
λαβὼν τὸ τόξον, τὴν δὲ νευρὰν ἑλκύσας,
πρὶν ἂν προτείνῃ τὴν βολὴν τάλας τάλας,
ἄωρος ἦκτο καὶ πρὸ τῆς εἱμαρμένης
εἰς τὴν ἄπληστον τῆς θαλάττης γαστέρα
τόξου μετ' αὐτοῦ καὶ σὺν αὐτῷ τῷ βέλει,
μηδ' αὐτὸ κἂν γνοὺς ὅστις αὐτὸν ἁρπάσοι.
Ἄλλος βαρεῖαν ἐν χεροῖν ἄρας λίθον,
πρὶν ἂν προπέμψῃ καὶ βάλῃ κατασκόπως,
βέβλητο τρισδείλαιος ὑγρᾷ σφενδόνῃ,
μηδὲ βραχὺν γοῦν προφθάσας φάναι λόγον.
Ὁ Μιστύλου δὲ σατράπης ὁ Γωβρύας,
οὗ μνημονεύω πολλαχοῦ μοι τοῦ λόγου,
"ὤμοι Ῥοδάνθη" μικρὸν οἷον κραυγάσας
"ὡς οἴχομαί σοι καὶ συνοίχονται γάμοι"
ψυχὴν συνεξέρρηξεν αὐτῷ τῷ λόγῳ.
Οὕτω βιαιότατον ἐν κακοῖς ἔρως,
ὅταν ἐπιπτὰς εἰς μέσην τὴν καρδίαν
ἐκεῖ πανημέριος ἐμμένειν θέλῃ
καὶ πανυχίζειν δυσμενεῖς πανυχίδας·
238 πάντων γὰρ αὖτη, συμπεσόντων πραγμάτων,
καταφρονοῦσα, καὶ θανάτου καὶ ξίφους,
ὅλην ἑαυτήν, κἂν ἀφέλκηται βίᾳ,
ὅλης ἀναρτᾷ τῆς ἐρωμένης θέας.
Σχεδὸν μὲν οὖν ἅπαντες οἱ τοῦ Μιστύλου
ἢ γοῦν τὸ πλεῖστον τοῦ στόλου τέως μέρος
ἅλμην πιόντες ἐξαπῆλθον τοῦ βίου,
ψυχὰς συνεξεμοῦντες οἷς πεπώκεσαν.
Οὕτω τὸ λεῖπον τῆς σταθηρᾶς ἰσχύος
ἡ πληρότης πίμπλησι τῆς εὐβουλίας,

καὶ λῷστόν ἐστιν ἀσθενὴς βουληφόρος
ἢ καρτερὸς τὸ σῶμα μὴ βουληφόρος.
Τούτοις μὲν οὖν τοιοῦτο τοῦ βίου τέλος
(τοῦ γὰρ λόγου τὸ σῶμα συνεχιστέον,
οἷον διχασθὲν τῇ παρεμπτώσει μέσου)·
μέρος δὲ μικρόν, οἷς ἐπ' ἀκταῖς ἡ στάσις,
συχνοῖς ἑρετμοῖς, δυστυχεῖς κωπηλάται,
τὸν ἐν θαλάττῃ θάνατον πεφευγότες,
ἔλαθον ἐξ ὧν ἐξέφυγον ἀρκύων
τούτοις παρέντες ἀμφὶ τὴν χέρσον μέσην·
ὁ γὰρ Βρυάξου σατράπης Ἀρταξάνης
πεζῇ προσελθὼν τῇ πόλει τοῦ Μιστύλου
ἔκτεινε τοὺς φυγόντας ἐξ ὑγροῦ τάφου.
241 Οὕτως ἄφυκτός ἐστιν ἡ πεπρωμένη.
Κἂν σοι τὸ νῆμα τοῦ βίου τμηθὲν φθάσοι,
οὐκ ἂν βιῷης, κἂν μακρὸν δράμῃς δρόμον·
κἂν που φύγῃς θάλατταν, ἡ χέρσος πέλας,
κἂν γῆν, ἀὴρ πάρεστι· πανταχοῦ θέοι.
Ὁ δυστυχὴς δὲ ταῦτα Μιστύλος βλέπων,
σταθεὶς ἄνωθεν τοῦ κέρως τῆς ὁλκάδος,
γυμνὴν μάχαιραν ἐν χεροῖν ἐσπασμένος,
βαθὺ στενάξας καὶ δριμὺ κράξας λέγει
"Μιστύλε, πολλοῖς πολλαχοῦ καὶ πολλάκις
ταῖς χερσὶ ταύταις τὸν φόνον κατειργάσω·
ἐπεὶ δὲ νῦν θεῶν σε καὶ τύχης φθόνος
προύδωκεν ἤδη τοῦ Βρυάξου τῇ σπάθῃ,
μὴ καρτέρει γοῦν ἐκ νόθου θανεῖν ξίφους,
ἡ σὴ δὲ χεὶρ σε καὶ σπάθη φονευέτω·
μὴ γὰρ τὸν ἐχθρὸν ὑπεροψίας λόγους
δοίης λαλῆσαι μηδ' ἀκοῦσαι τὸν πέλας
ὡς τῆς μαχαίρας τῆς ἐκείνου τὸ στόμα
κατευστοχήσοι τοῦ τραχήλου Μιστύλου."

Ἔλεξε ταῦτα καὶ κατ' αὐτῶν ἐγκάτων
τὴν ἰδίαν ὤθησεν αὐτίκα σπάθην,
πικρὰν ἑαυτῷ τὴν σφαγὴν ὑπαρτύσας.
Οὕτω λαβούσης τῆς μάχης τὰ τοῦ τέλους,
242 οἱ συμμαχοῦντες τῷ Βρυάξῃ ναυμάχοι
αὐτῷ βασιλεῖ καὶ σὺν αὐτοῖς σατράπαις
κενὰς λιπόντες τὰς ἑαυτῶν ὁλκάδας
πεζῇ προσῆλθον τῇ πόλει τοῦ Μιστύλου,
πάντας τε καθέξοντες ἄνδρας ἀθρόως
καὶ δουλαγωγήσοντες αὐτὴν τὴν πόλιν,
ὡς οἷα γυμνὴν δεσπότου καὶ συμμάχων.
Ἦν οὖν ἰδέσθαι τοὺς νεὼς συλωμένους,
τοὺς ἀνδριάντας τῶν θεῶν ῥιπτουμένους,
ἡρωϊκοὺς πίνακας ἐξηλειμμένους,
οἴκων ἁλώσεις, τῶν ἐνοικούντων φόνους,
θρήνους γυναικῶν, κλαυθμυρισμοὺς παιδίων.
Ὥρχειτο πληθὺς τῶν πικρῶν Ἐριννύων,
ἐπετραγῴδουν τοῖς κακοῖς οἱ Τιτάνες,
ἔπαιζε Παλλάς, εἶχεν ἡδονὴν Ἄρης.
Ἔτρωγεν ὠμὰ τὸ ξίφος πολλὰ κρέα,
ἔπινεν ἡ μάχαιρα πηγὰς αἱμάτων.
Λέκτρα σχεδιασθέντα, παρθένων φθόρος,
θάλαμος ἐν γῇ καὶ χαμαίστρωτον λέχος.
Διχῇ διερρήγνυτο γαστὴρ ἐγκύμων·
ἔρριπτεν ἐκτὸς νεκρὰ νεκρὸν τὸ βρέφος.
Ἔκλαυσεν υἱὸν πρεσβύτης πατὴρ νέον,
ἔκλαυσεν υἱὸς μητέρα γραῖαν νέος.
245 Οὐκ οἴκτος οὐδείς, οὐ γέροντος, οὐ βρέφους,
οὐ τῶν ἐν ἄνθει τῆς μέσης ἡλικίας·
Ὤμωξεν ἀνὴρ τὴν ὁμόζυγον βλέπων
ἄκουσαν εἰς τὰ λέκτρα τυραννουμένην.
Αἱ πλούσιαι γυναῖκες (ὦ πικρᾶς τύχης)

χεῖρας συνετέτμηντο τοῖς δακτυλίοις·
ἡ δυσπραγοῦσα πλοῦτον ηὐπόρει ξένον,
τὸ σῶμα κερδαίνουσα· κἂν οὐκ εἰς τέλος
οὐκ ἦν λαθεῖν οὐ δοῦλον οὐδὲ δεσπότην·
κοινὴ τύχη τὰ πάντα καὶ κοινὸς νόμος.
Πολλοὺς τραχήλους εἶλκεν ἅλυσις μία·
μήτηρ, πατήρ, παῖς, τέκνα, νύμφη, νυμφίος,
νεανίας, ἔφηβος, ἀκμήτης, γέρων,
πλουτῶν, προσαιτῶν, δεσπότης, ὑπηρέτης,
νοσῶν, ὑγιής, εὐτυχῶν, οὐκ εὐτυχῶν,
δούλη, κυρία, παρθένος, γραῖς, νέα
ἤγοντο πάντες ἐξ ἑνὸς καλωδίου.
Εἶεν· τί δέ; ζωγροῦσι καὶ Δοσικλέα
αὐτῇ Ῥοδάνθῃ· πῶς γὰρ ἦν ζωγρεῖν μόνον
τὸν εἰς τὰ πάντα τῇ κόρῃ συνημμένον;
Ἐπεὶ δὲ κρατηθεῖεν οἱ νεανίαι
καὶ συνδεθεῖεν τοὺς ἁπαλοὺς αὐχένας,
ἤχθοντο μὲν τὰ πλεῖστα· πῶς γὰρ οὐκ ἔδει
246 ἄλλοις ἀπ' ἄλλων δεσπόταις δουλουμένους,
καὶ ταῦτα (βαβαὶ) βαρβάροις ἐκ βαρβάρων,
καὶ τὰς ἀδήλους ἐνθυμημένους τύχας;
Ἀλλ' εἶχον εἰς κούφισμα τῆς ἀχθηδόνος
οἱ μὴ γαμικῇ συνδεθέντες ἁλύσει
τὸ συνδεθῆναι δουλικῇ κἂν ἁλύσει·
εἶχον παρηγόρημα καὶ τὸ Γωβρύου
συνεκλιπόντος τῷ βίῳ καὶ τὴν βίαν.
Ἤλγει Δοσικλῆς, ἐστάλαττε δάκρυον,
οὐ τὰς ἑαυτοῦ δυστυχεῖς θρηνῶν τύχας,
ἀλλὰ Ῥοδάνθης τῆς ἐρωμένης κόρης
τὸν τρυφερὸν τράχηλον ἐν δεσμῷ βλέπων·
ἤλγει Ῥοδάνθη, θρῆνον ἐθρήνει μέγαν
ὁρῶσα δεσμηθέντα τὸν Δοσικλέα.

Ἁπλῶς ἑαυτῶν ὥσπερ ἐκλελησμένοι
ἀλληλοπενθεῖς ἦσαν ἡ συζυγία,
ἡ μὲν Δοσικλῆν, χὥδε Ῥοδάνθην κλάων.
Ἦκτο ξὺν αὐτοῖς καὶ Κράτανδρος ὁ ξένος,
οἷς συμπεφυλάκιστο συνειλημμένος.
Ἤγοντο πάντες ἀμφί που τὸν λιμένα.
Ἐπεὶ δὲ καὶ φθάσαιεν ἀρχοῦ τὸν τόπον,
διχῇ διαιρεῖ τοὺς ἁλόντας Ἀρτάπης,
καὶ τῶν μὲν ἀνδρῶν ὁλκάδα πληροῖ μίαν
249 καὶ τῶν γυναικῶν ἀτέραν πάλιν μίαν.
Ταύτην Δοσικλῆς τὴν διαίρεσιν φθάσας
"ἀλλ' ἄν με" φησὶ "τῆς ἀδελφῆς παρθένου
ταύτης διαρπάσειας, ἀρχισατράπα,
ἐγὼ τὸ δρᾶμα τῆς ἐμῆς λύσω τύχης,
βαλὼν ἐμαυτὸν εἰς μέσον πόντου στόμα."
Ἔλεξε ταῦτα, καί τις ἐστὼς πλησίον
βάρβαρος ὠμὸς νηλεὴς μέγας γίγας
κατὰ προσώπου τὸν καλὸν παίσας νέον
ἄκοντα ῥίπτει πρὸς μέσην τὴν ὁλκάδα.
Ἡ γοῦν παρειὰ πλήττεται Δοσικλέος,
σπαράττεται δὲ τῆς Ῥοδάνθης καρδία·
ὁ μὲν γὰρ εἰς πρόσωπον, ἡ δ' εἰς καρδίαν
τὴν πληξιν ἔσχε, καὶ τὸ δάκρυον βλύσαν
ὅμως ἐπέσχε, μὴ τὸν ἐν στέρνοις πόθον
δεῖξαν κακοῦ γένοιτο τυχὸν αἰτία.
Ἀπέπλεον μὲν ἡ ζυγὰς τῶν ὁλκάδων,
νεκρὰν φέρουσαι τὴν ζυγάδα τῶν νέων,
ἡ μὲν Ῥοδάνθην, ἡ δὲ τὸν Δοσικλέα.
Ὡς γάρ τι σῶμα συνεχὲς πνοὴν ἔχον
(ἄνθρωπον ἐννόησον, ἵππον, βοῦν, κύνα)
ξίφει διχασθὲν καὶ μερισθὲν εἰς μέσον
ἀμφοῖν νεκροῦται τοῖν μεροῖν (καὶ πῶς γὰρ οὔ,

τοῦ συνεχοῦς τμηθέντος εἰς τομὰς δύο;
οὐ γὰρ καθάπερ ἐκ φυτοῦ τμηθεὶς κλάδος
εἰς αὖθις ἐκτέθηλε καὶ ψυχὴν ἔχει,
οὕτως ἔχοιεν αἱ κατ' αἴσθησιν φύσεις·
ἀλλ' εἰ τέμοις βοῦν εἰς μέσας τομὰς δύο,
ζωὴν ἂν αὐτῶν αὐτίκα συνεκτέμοις),
οὕτω κἀκείνοις ἡ διάζευξις τότε
νέκρωσις ἦν ἄντικρυς, ὦ πικρᾶς τύχης.
Ἀπέπλεον μέν, ὡς ἔφην, αἱ φορτίδες
ὑπὸ προπόμποις ἀνέμοις εὐθυπνόοις.
Νὺξ δευτέρα μετῆλθε, καὶ θρασὺς νότος
δριμὺς προελθὼν ἐκ μέσης μεσημβρίας
κυρτοῖ μὲν εὐθὺς τῆς θαλάττης τὴν ῥάχιν,
ὑψοῖ δὲ ταύτης κυμάτων πολλοὺς λόφους,
καὶ χάσμα τοῦ κάτωθε μέχρι πυθμένος.
Ὁ μὲν Ποσειδῶν ἠρέθιζε τὸν νότον,
τὸν πόντον ἀντήγειρεν ὁ θρασὺς νότος,
τὰς ναῦς ὁ πόντος, αἱ δὲ ναῦς τοὺς ἐν μέσῳ·
κλύδωνα κοινὸν καὶ ζάλην εἶχον μίαν
οἱ ναυλοχοῦντες, ἡ θάλαττα, τὰ σκάφη.
Ἐπερρυχᾶτο τῆς θαλάττης τὸ στόμα·
ἀντερρυχᾶτο τῶν πλεόντων τὸ στόμα.
Ἐποτνιῶντο πάντες οὐκ ἀδακρύτως·
κοινῇ θεοκλυτοῦντες ἐν κοινῷ πάθει
253 ἐποτνιῶντο· τὸν δὲ τῆς τύχης φθόνον
οὐκ ἦν ἰδέσθαι καθυφέντα τῆς ζάλης.
Μία γὰρ ἀμφοῖν ὧν ἔφαμεν φορτίδων
(ἡ τῆς Ῥοδάνθης τῆς ταλαίνης παρθένου)
τινὶ προσαραχθεῖσα μυχίῳ πέτρᾳ
συνθρύπτεται μέν, τὸν δὲ φόρτον ἐξάγει.
Ἅπαν γὰρ εὐθὺς τῶν γυναικῶν τὸ στίφος,
ὅσας τὸ πικρὸν ἐμπεφόρτιστο σκάφος,

τὸν πόντον εὗρε (φεῦ πάθους) κοινὸν τάφον
ἐκτὸς Ῥοδάνθης (ὦ θεῶν οἰκτος μέγας),
ἀφ' ὧν προμεμνήστευτο τῷ Δοσικλέι.
Τεμαχίου γὰρ τῆς νεὼς δραξαμένη
κούφως ὑπερπέπλευκε τὴν τύσην ζάλην,
ὡς οἷα κέλλης ἐμβεβῶσα τῷ ξύλῳ.
Ἐπεὶ δὲ μακρὸν ὑπερεκπλεύσοι τόπον,
μικρὰν λαβούσης παῦλαν ἤδη τῆς ζάλης,
ἐντυγχάνει μὲν ἐμπορικαῖς ὁλκάσι
τὴν ἀμφὶ Κύπρον εὐθύ που στειλαμέναις,
καὶ τὴν ἑαυτῆς λιπαρεῖ σωτηρίαν
ἐκ τῶν ἐν αὐταῖς ἐμπλεόντων ἐμπόρων.
Ἀλλ' οἳ δυσωπηθέντες αὐτὸν τὸν λόγον
ἀνελκύουσιν ἐκτὸς αὐτὴν αὐτίκα
καὶ πνεύματος τυχόντες εὐφορωτέρου
τὴν νῆσον εἰσέπλευσαν ἡμέρας τρίτης·
καὶ τὰς παρ' αὐτῶν ἐμπορευθείσας ὕλας,
στολάς, λίθον, μάργαρον, εὐώδη ξύλα,
ὅσα πρὸς Ἰνδῶν καὶ πρὸς Ἀλεξανδρέων,
χρυσοῦ ταλάντων οὐ μικρῶν πεπρακότες
τέλος διδοῦσι καὶ Κράτωνι τὴν κόρην
τῷ τοῦ Κρατάνδρου δυστυχεῖ φυτοσπόρῳ
ὤνιον εἰς μνῶν χρυσίνων τριακάδα.
Ἡ μὲν Ῥοδάνθη ταῦτα καὶ δούλην τύχην
ἔστεργε καὶ φῶς δοῦλον ἀντ' ἐλευθέρου·
ποία δὲ φωνὴ καὶ τίς ἀνθρώπου λόγος
εἰπεῖν τὸ πένθος ἀρκέσει Δοσικλέος;
Ὡς γὰρ παρῆλθε τῆς θαλάττης ὁ κλόνος,
τῶν πνευμάτων ἔωθεν ἐστορεσμένων,
αὐτὸς δὲ κύκλῳ τὰς βολὰς τῶν ὀμμάτων
θαμὰ προπέμπων καὶ πέριξ περιβλέπων
τὴν συμπλέουσαν οὐ κατεῖδεν ὁλκάδα,

τὸ ναυάγιον ἐνθυμηθεὶς εὐθέως
"Ὤμοι Ῥοδάνθη" μακρὸν οἰμώξας λέγει,
"Ὤμοι Ῥοδάνθη, κλῆσις ἠγαπημένη·
τοιοῦτό σοι τὸ τέρμα τῶν ἐμῶν πόθων;
τοιοῦτό σοι τὸ κέρδος ὧν ἔτλης πόνων;
θάλαμος ὑγρὸς καὶ κατάρρυτον λέχος,
257 ὑδαρὰ παστὰς καὶ θαλάττιος γάμος
καὶ πόντος οἶκος καὶ μετ' ἰχθύων βίος;
Οὐ γὰρ τὸ πικρὸν ἱλεώσω τῆς τύχης
δὶς αἱχμαλωτισθεῖσα παρὰ βαρβάρων,
πόδας δεθεῖσα, χεῖρας, αὐτὸν αὐχένα,
γῆς πατρικῆς ἄποικος, ἠρημωμένη,
φίλου δὲ πατρὸς καὶ φίλης μητρὸς ξένη.
Οὐ ταῦτα τὴν ἄπληστον αὐτῆς γαστέρα
ἔπλησεν, οὐκ ἔδωκε τῷ λαιμῷ κόρον,
ἀλλὰ χανοῦσα λίχνον ἐξ ἀπληστίας
ὅλην ἀναιδῶς συγκατερρόφησέ σε,
τῶν δραμάτων ῥήξασα τὸν πολὺν τόμον.
Κατέσχον ἡμᾶς λῃστρικαὶ χεῖρες δύο,
ἐχθρὸς Βρυάξης, ἄλλος ἐχθρὸς Μιστύλος·
ἀλλ' ἐλπὶς ὑπέδραμεν, ἀλλ' ἔθαλψέ με
ἐλεύθερον φῶς ὀψὲ γοῦν δεδορκέναι,
τοῦ δουλικοῦ τεθέντος ἐκποδὼν νέφους·
νῦν δ' ἀλλ' ὁ πικρὸς ἐχθρός, ἡ σκαιὰ φύσις,
ἡ βάρβαρος θάλαττα, τὸ σκληρὸν γένος,
καινῇ φυλακῇ δυσμενῶς ἔκλεισέ σε,
καιναῖς δὲ δεσμῶν πλεκτάναις ἔδησέ σε,
ἐξ ὧν λυθῆναι πᾶσα δυσελπιστία.
Ὤμοι Ῥοδάνθη, ποῦ τὸ τῆς ἥβης ἔαρ,
258 ἡ κυπάριττος τῆς καλῆς ἡλικίας,
τὸ τῆς παρειᾶς καὶ τὸ τοῦ χείλους ῥόδον,
ὁ τῶν πλοκάμων κιττός, ἡ ξένη χάρις,

ὁ τὴν κορυφὴν ὡς πλατάνιστον πλέκων;
Ποῦ σοι τὰ κρίνα τῶν καλῶν φιλημάτων,
ποῦ σώματος τὰ μύρτα, σαρκὸς ἡ χλόη,
τὸ τῶν βλεφάρων ἄνθος; Ὤμοι, παρθένε,
μαραίνεται τὸ μῆλον, ᾗ ῥοιὰ φθίνει,
φυλλορροεῖ τὰ δένδρα, πίπτει τὰ κρίνα·
εἰς γῆν ὁ καρπός, ἡ χάρις παρερρύη,
τοῦ μετοπώρου προφθάσαντος τὸν χρόνον.
Ὤμοι, τὸ σὸν δὲ σῶμα δεῖπνος ἰχθύων,
ἡ σὴ δὲ σὰρξ τράπεζα τῶν ἐναλίων.
Ὡς ζηλότυπος ἡ φύσις τῶν ἀνέμων.
Ζέφυρος Ὑακινθον ἀποκτιννύει,
καὶ τὴν Ῥοδάνθην ἄρτι βασκήνας Νότος.
Ἔμελλες, ὡς ἔοικεν, αἰσχρὲ Γωβρύα,
θανὼν συνελθεῖν τῇ Ῥοδάνθῃ πρὸς γάμον,
ἧς ζῶν τυχεῖν ἔσπευδες, ἀλλ' ἐπεσχέθης,
ταῖς συμφοραῖς μου προσγελώσης τῆς Τύχης.
οἷς γὰρ θανάτου κοινὸν ἔσχετε τρόπον,
Οἷς κοινὸν εἰλήχειτε θανόντες τάφον,
κοινὰς δὲ κεκλήρωσθε τὰς νυμφοστόλους,
261 τὴν πνιγμονήν, τὸ κῦμα, τὰς Νηρηίδας,
εὐδαιμονεῖς κἀνταῦθα, λῃστὰ Γωβρύα·
ἀλλ' οὐ κρατήσεις τῶν ἐρώτων εἰς τέλος,
ἐμοῦ φθανόντος τὴν Ῥοδάνθην ὡς τάχος·
γνώσῃ δὲ μᾶλλον οἷον ἀκραιφνὴς πόθος,
καὶ ζηλοτύπου καρδίας ἰσχὺν μάθοις.
Σὺ μέν, Ῥοδάνθη παρθένε, χρυσῇ κόρῃ,
ὀφθαλμὲ καὶ φῶς καὶ πνοὴ Δοσικλέος,
θαμὰ συνείλκου ταῖς ῥοπαῖς τῶν κυμάτων,
τῶν ἀνέμων δὲ ταῖς πνοαῖς ἀντεπνέου,
εἰς ὕψος αἰθέριον ἀνασπωμένη,
κατηγμένη δὲ μέχρις αὐτοῦ πυθμένος

ὡς ἂν τὸ πνεῦμα καὶ τὸ κῦμα συμφέρῃ,
ἐκεῖθεν ἔνθεν ῥᾳδίως στρωφωμένη·
καί που Δοσικλῆν εἶλκες ὑπὸ τὸ στόμα,
τὸν δυσμενῆ καλοῦσα πρὸς σωτηρίαν·
καὶ τῶν παλαιῶν ἀνεμίμνησκες λόγων
καὶ τὰς ἐνόρκους ἐξεφώνεις ἐγγύας,
εἰ μὴ τὸ κῦμα σὸν κατέφραττε στόμα.
Ἐγὼ δ' ὁ πικρὸς (ποῦ γὰρ ἂν εἶχον βλέπειν
τοιοῦτον, ὦ Ζεῦ καὶ θεοὶ πάντες, πάθος;
τίς γὰρ προέγνω καὶ προεῖπε τὰς τύχας;
ἢ τίς προειπὼν εἶχεν ἀληθὴς δοκεῖν;
262 ψυχὴ γὰρ ἀνδρὸς γνησιώτερον πόθον
ἔχουσα πρός τι πρᾶγμα καὶ σφοδρὰν σχέσιν
εἴωθε τοὺς λέγοντας ὃν θέλει λόγον
δοκεῖν ἀληθεῖς, τοὺς δ' ἅπαν τοὐναντίον
ἐχθρούς, ἀπειθεῖς, δυσμενεῖς, ψευδογράφους)
σιγῶν ἐκείμην (τῆς μεγαλοψυχίας),
οὐδὲ πρὸς αὐτοὺς τοὺς λόγους ἠρυθρίων,
ἀφεὶς δὲ παλαίειν σε τῇ ζάλῃ μόνην
δείλαιος ἡσύχαζον ἐν τῇ φορτίδι,
ὡς εἰ δι' ἄλλον, οὐχὶ τὸν Δοσικλέα,
ἔστεργες οὓς ἔστεργες ἀτλήτους πόνους.
Ὦ τερπνότης, ὦ κάλλος, ὦ θεῶν χάρις.
Ἐγὼ φονεὺς σός, οὐ φονεὺς σὸς ὁ κλύδων.
Τί γὰρ φίλης γῆς καὶ φίλης κατοικίας
καὶ συγγενοῦς αἵματος ἐξέκλεψά σε;
τί δ' εἰς ξένην γῆν καὶ ξένην κατοικίαν
καὶ λῃστρικὴν δύσνοιαν ἐξέπεμψά σε;
Οὐ γὰρ συνῄδειν τὰς κακοσχόλους τύχας;
οὐ γὰρ συνῄδειν ὡς ὁδίταις μὲν λόχοι
καὶ λῃστρικὴ χείρ, τοῖς πλέουσι δὲ κλύδων
καὶ πειρατικὸς ἀντεπεμβαίνει στόλος;

Τί γοῦν συνειδὼς τὰς τροπὰς τῶν ἐν βίῳ
ἐπὶ ξένην γῆν δυσμενῶς ἤνεγκά σε,
τῶν συγγενικῶν ἀγκαλῶν ἀνασπάσας;
Ἔθαλψαν ἡμᾶς οὐκ ἀγεννεῖς ἐλπίδες
τὴν ἐξ Ἀβύδου πρὸς Ῥόδον στειλαμένους,
γάμους καραδοκοῦντας ἐν τόποις νόθοις,
κοίτας ὀνειρώττοντας ἐν χώραις ξέναις
καὶ λέκτρα καὶ γάμητρα φασματουμένους·
ἠῦφρανεν ἐλπισθεῖσα γαστὴρ ἐγκύμων,
ἔτερψε καλὰ προσδοκώμενα βρέφη,
ἐπήσσομεν μέλλουσαν ἁβρὰν παστάδα,
ἐπλάττομεν μηδ' ὄντα καρπὸν ὀσφύος,
ψευδῆ τρυφὴν τρυφῶντες· οὐ γὰρ εἰς τέλος
ἐλθεῖν ἀφῆκεν ὁ φθόνος τὰς ἐλπίδας.
Τὴν γὰρ θάλατταν ἔσχες ἀντὶ παστάδος,
τῶν κυμάτων τὸν βόμβον ἀντὶ τυμπάνων,
τῶν ἀστραπῶν τὸ φέγγος ἀντὶ λαμπάδων,
τὸν τῶν ὑγρῶν κοίρανον ἀντὶ νυμφίου·
νύμφη δὲ σὺ καὶ δεῖπνον (ὦ πικροῦ γάμου),
τροφὴ τεθεῖσα τοῖς τροφῇ τεθειμένοις.
Καλῶς ἀπηλαύσατε τοῦ θυγατρίου,
μῆτερ Ῥοδάνθης καὶ πάτερ, Φρύνη, Στράτων·
καλὴν συνεπήξασθε γάμου παστάδα,
καλὸν συνεπλέξασθε τῇ κόρῃ στέφος,
λαμπρὰν ὑπεξήψατε τὴν δαδουχίαν·
τοιούτων ἀπώνασθε τῶν φυλαγμάτων.
Εἶδες τελευτὴν τῶν θεοκλυτημάτων
ὧν εἰς θεοὺς ἔπεμψας, ἄθλιε Στράτων·
ἑώρακας τὴν παῖδα πρὸς μέσοις γάμοις
καὶ τῆς θυγατρὸς τὴν στεφάνην ἡσπάσω,
ὃ πρῶτον εὔχους φιλοτέκνοις πατράσιν·
ἑώρακας καὶ παῖδα τῆς παιδός, Φρύνη,

καὶ τοῦ γένους λείψανον ἔσχες ἐν βίῳ.
Ὦ φροῦδα πάντα καὶ κενὸς μόνος λόγος.
Χανὼν ὁ πόντος ἐκροφᾷ τὰς ἐλπίδας.
Οὕτως ἀληθεῖς οἱ θεόρρητοι λόγοι,
τὸ δ' Ἑρμαϊκὸν οὐ διέψευσται στόμα, 395
εἰπὸν Ῥοδάνθης καὶ Δοσικλέος γάμον.
Τοιγὰρ τίνος λαλοῦντος εἰσακουστέον;
τίνος λαλιὰν ἀκριβῆ λογιστέον
ἢ τέρμα δοῦναι τῷ λόγῳ πιστευτέον,
ἐπεὶ θεοὶ ψεύδοιντο τὰς ὑποσχέσεις, 400
οἱ τῆς ἀληθοῦς ἐγγύης ἐπιστάται;
Τίς δ' οὐκ ἂν ἐκτρέποιτο πρὸς ψευδεῖς λόγους,
ὡς ἐμφερὴς γίγνοιτο τοῖς ἀθανάτοις;
Ὦ χάσμα πόντου καὶ θαλάττης καρδία,
οὐκ αἰσθάνῃ μὲν οὐδαμῶς; ἐχρῆν δέ σε 405
κἂν γοῦν Ῥοδάνθης αἰσθάνεσθαι κειμένης
269 καὶ χρῆμα τηλικοῦτον (ὡς καλὸν λίαν)
μὴ τῷ σεαυτῆς πυθμένι συγχωννύναι.
Εἶεν· σὺ μὲν τέθνηκας ἤδη παρθένε,
τὸν σὸν Δοσικλῆν ἐκλιποῦσα τῷ βίῳ· 410
οὐ μὴν Δοσικλῆς ἐκλιπεῖν δύναιτό σε,
ἀλλ' εἴπερ αἰσθάνοιο κἀπὶ τοῖς κάτω,
συννανυαγοῦντα σὴν χάριν κἀμὲ βλέπε."
Ἔλεξε ταῦτα καὶ "κορέσθητι Φθόνε"
ἀνακραγὼν ὥρμησε κατὰ κυμάτων· 415
καὶ τάχ' ἂν ἀπώνατο τοῦ σφοδροῦ θράσους
θανὴν ἑτοίμην καὶ τελευτὴν ἀθρόαν,
εἰ μὴ Κρατάνδρῳ τῆς ῥοπῆς ἐπεσχέθη
καὶ χερσὶν ἀντιστάντι καὶ πειθοῖ λόγων.
"Τί γάρ, Δοσίκλεις, ὑπ' ἀδήλοις ταῖς τύχαις 420
οὕτως προδήλως ἐκθανεῖν σπεύδεις;" ἔφη.
"Ἢ πρὸς θεῶν ὑπόσχες οἷς λέγω λόγον.

Εἰ τῆς Ῥοδάνθης τῷ βίῳ τηρουμένης
εἰς πόντον αὐτὸς ῥιψοκινδύνως πέσοις,
ἔξεστιν αὖθις ἀναδῦναι τῶν κάτω
καὶ συμβιῶναι καὶ συνελθεῖν τῇ κόρῃ
καὶ χάσμα τηλικοῦτον (ὦ θεοὶ πόσον)
ὑπεκδραμόντα τὸν σκότον διαδράναι,
θεσμῶν νεκρικῶν ἐκποδὼν τεθειμένων;
270 *Οὐκ ἐστιν ἅπαξ ἐκλιπόντας τὸν βίον,*
εἰς χοῦν πεσόντας, ἐμμιγέντας τοῖς κάτω,
λίμνην διαπλεύσαντας Ἀχερουσίαν,
λήθης κοτύλην ἐκροφήσαντας μίαν
καὶ Κωκυτοῦ πιόντας ἢ Στυγὸς σκύφον
ἰδεῖν ὑπαυγάζουσαν αὖθις ἡμέραν.
Εἰ δ' ἄρα καὶ τέθνηκεν ἡ σὴ παρθένος
(κείσθω γὰρ οὕτω καὶ διδόσθω τῷ λόγῳ),
τί δὴ παρ' αὐτὸ τὴν τελευτὴν ἀσπάσῃ;
Ἔκκοψον ἄκραν τῇ θανούσῃ τὴν κόμην,
σπεῖσον πικρὸν δάκρυον ἐκ βλεφαρίδων,
ῥῆξον τὸ χιτώνιον, οἴμωξον μέγα,
ῥίψον σεαυτὸν κατὰ γῆς ἐπὶ στόμα,
θὲς εἰς κορυφήν, ἂν δοκῇ σοι, καὶ κόνιν·
ἀνδρὸς γὰρ οὐδὲ ταῦτα, πλὴν φορητέα
ψυχῆς ἁλούσης ἐξ ἐρωτοληψίας.
Ταὐτὸν κἀγὼ πέπονθα ταύταις ταῖς πάθαις.
Κόρης ἑάλων εὐγενοῦς καὶ παρθένου
273 *(ἔχεις ἐγνωκὼς ἐξ ἐμοῦ Χρυσοχρόην)·*
τέθνηκεν ἡ παῖς συνθρυβεῖσα τὴν κάραν·
ἔκλαυσα τὴν θανοῦσαν ὡς ἐχρῆν κλάειν,
ἀπεξενώθην συγγενοῦς συναυλίας,
φίλων, φίλης γῆς, μητροπατρῴου γένους·
οὐ μὴν θανάτῳ τὴν κόρην ἠμειψάμην.
Εἰ μὲν γὰρ ἦν αἴσθησις ἐν τεθνηκόσιν

ἢ γνῶσις ὧν πράττοιμεν ἡμεῖς ἐν βίῳ
ἢ νοῦς ἀμυδρὸς ἢ ψιλὸς μόνος λόγος,
συγγνωστὸς ἂν ἦς ἐκθανὼν ὑπὲρ φίλης·
ἐπεὶ δ' ἀναισθητοῦσιν οἱ πεπτωκότες
καὶ πανταπάντως ἀγνοοῦσι τὸν βίον,
λύπην, νόσον, δάκρυον, οἰμωγήν, πόνον,
σπονδάς, ἀπαρχάς, βουθυτημάτων κρέα,
θρήνους ἀδελφῶν, μητέρων οἰκτροὺς γόους,
φόνους ἐραστῶν, τὰς θαλάττας, τὰ ξίφη,
ποῖον τὸ κέρδος τοῦ φόνου γίγνοιτό σοι;
Μεμπτὸς μὲν οὖν σὺ τοῦ μικροψύχου θράσους,
κἂν δῶμεν ὡς τέθνηκεν ἡ σὴ παρθένος·
ἐγὼ δ' ἄρα πρόμαντις εἰμί σοι, ξένε,
τοῦ ζῆν Ῥοδάνθην καὶ βιοῦν, καλῶς μὲν οὖ
(πῶς γὰρ ἀποξευχθεῖσα τοῦ Δοσικλέος;)
ζῆν δ' οὖν ὅμως ἔνδακρυν, ὡς οἶμαι, βίον.
274 Ἑρμῆς γὰρ οὐ ψεύσοιτο τὰς ὑποσχέσεις,
θεὸς πεφυκὼς καὶ θεῶν ὑπηρέτης."

Τοιοῦτον εἰπὼν ὁ Κράτανδρος τὸν λόγον
καταστελεῖν ἔδοξε τὸν Δοσικλέα,
ἀλλ' ἠγνόησεν ἀκοαῖς κωφαῖς λέγων·
ἀρξάμενος γὰρ τῆς τραγῳδίας πάλιν,
ὡς μηδενὸς λέγοντος ἠκουτισμένος,
ἤρμοττε ταῦτα τοῖς προτεθρηνημένοις
"Ὤμοι Ῥοδάνθη, τίς σε συγκρύπτει τόπος;
Ὡς εὐτυχὴς ἐκεῖνος" εἶπε "παρθένε.
Ἐντὸς παρ' αὐτὸν σὺ μένεις τὸν πυθμένα
ἢ πόντος ἐλθὼν νεκρὰν ἐξέβρασέ σε
καὶ σῶμα γυμνὸν ἐκτὸς ἐξέρριψέ σε,
καί τις παρελθὼν ἢ κατὰ ψάμμον μέσην
ἢ πρὸς τὸ χεῖλος τῆς θαλάττης ἐμπλέων
ἀσυγκάλυπτον, ὦ θεοί, δέδορκέ σε;

Ἰχθῦς διεῖλον καὶ διεσπάσαντό σε
ἢ κῦμα τοῖς κάχληξιν ἐξέθρυψέ σε
καὶ ταῖς ὑφάλοις τῶν πετρῶν ἥραξέ σε;
Πνέεις τι μικρὸν καὶ παρασπαίρεις ἔτι
ἢ κῆτος ἀντίνηκτον ἐρρόφησέ σε;
Ὡς δεινὰ μὲν τὰ πάντα καὶ δεινῶν πέρα.
Γένοιτο δ' ἂν ἡ θλῖψις εὐφορωτέρα,
277 εἰ μὴ πρὸς ἀκταῖς σῶμα γυμνὸν ἐρρίφης."
Τῷ μὲν Δοσικλεῖ τηλικοῦτος ὁ κλύδων,
ὡς καὶ μικροῦ λείποντος εἰς πόντον πόνου
ἡ φορτὶς αὐτῷ τῶν φρενῶν ἐνερρίφη·
ὃ δ' ἐντὸς αὐτὸν ἐμπεφόρτιστο σκάφος,
εἰς Πίσσαν αὐτὴν ἑνδεκαταῖον φθάνει,
πολλοῖς παλαισαν ἀγρίοις κλυδωνίοις.
Ἐκβάντες οὖν ἅπαντες ἐκ τῆς ὁλκάδος
ὁμοῦ Δοσικλεῖ καὶ Κρατάνδρῳ τοῖς φίλοις
φρουραῖς ἐνεβλήθησαν ἐξοφωμέναις,
ἕως Βρυάξης εἰσελάσας τὴν πόλιν
ψήφους ἐπ' αὐτοῖς τὰς δοκούσας θεσπίσοι.

Z

278 Τῷ μὲν Κρατάνδρῳ πρὸς δὲ τῷ Δοσικλεῖ
πάλιν φυλακαί, πάλιν αἰχμαλωσίαι,
κλοιοὶ σιδηροῖ καὶ σφυρήλατοι πέδαι
καὶ πρός γε τούτοις ἐλπίδων κενῶν φόβοι.
Τί δ' ἡ Ῥοδάνθη; Κἂν ἔγνω δούλην τύχην,
κἂν εἶδε τὸν Κράτωνα δεσπότην νέον,
οὐ τὸν πρὶν ἠγνόησε δεσπότην ἔρον·

κἂν ἐκ τύχης δέσποιναν ἔγνω τὴν Στάλην,
οὐ τὴν παλαιὰν Ἀφροδίτην ἠγνόει·
κἂν πλεῖστον ἐσμὸν εὗρε συνδούλων νέων,
σύνδουλον ἠπίστατο τὸν Δοσικλέα,
οὗ καὶ συχνῶς ᾤμωζε τὴν ἀπουσίαν,
σεμνῶς ὑποκλαίουσα τὴν θρηνῳδίαν,
μή πως φανεῖσα τοῖς νεαροῖς δεσπόταις
πολλοὺς κατ' αὐτῆς ἀντεπάξοι κονδύλους.
Ῥιπτουμένη γοῦν κατὰ γῆς νυκτῶν μέσων
"ὤμοι, Δοσίκλεις" δυσπαθῶς ἐκεκράγει,
"ἄνερ Δοσίκλεις ἄχρι γοῦν φωνῆς μόνης,
τίς γῆ σε, τίς θάλαττα, τίς βυθὸς φέρει;
τίς ναῦς; τίς ὁλκάς; τίς φυλακή; τίς σκότος;
τίς βάρβαρος χείρ; τίς μισάνθρωπος βία;
τίς δόξα; ποῖα λέκτρα; τίς καινὸς βίος;
τίς οἶκος; οἷα σκῆπτρα; τίς τύχης γέλως;
τίς ὄλβος; οἷα μνῆστρα; τίς πόθος νέος;
τίς παστάς; οἷος γάμος; οἵα παρθένος;
τίς τῶν ἐνόρκων ἐγγυῶν ἀμνηστία;
Ζῇς μοι, Δοσίκλεις, καὶ πνέεις τὸν ἀέρα;
δοῦλον βλέπεις φῶς, ἡμέραν ἐλευθέραν;
δεσμοῖς κατάγχῃ; τὰς ἀλύσεις ἐξέδυς;
παρὰ Βρυάξῃ σατραπεύεις δεσπότῃ;
βάρβαρον ἄλλον δεσπότην εὗρες νέον;
εἰς Πίσσαν οἰκεῖς; εἰς θάλατταν ἐμπλέεις;
κλύδων; γαλήνη; κῦμα; λειότης πλόου;
ἀντεμφυσήσεις ἀνέμων; ἡσυχίαι;
χρηστή, σαπρὰ ναῦς; ὑγιές, σαθρὸν σκάφος;
Εἶδες Ῥοδάνθην εἰς βυθὸν κατηγμένην;
οὐκ εἶδες, ἐμπεσόντος ἐν μέσῳ νέφους;
ἑώρακας τὸ ξύλον ὡς ἔσωσέ με;
ἑώρακας τὸν πόντον ὡς ἀπῆγχέ με;

ἑώρακας τὸ σκάφος ὡς ἤγειρέ με;
οὐκ εἶδες οὐδέν, οὐδὲ ναῦν οὐδὲ ξύλον·
ἔκλαυσας, οὐκ ἔκλαυσας; ἄλγος, δάκρυον;
οὐκ ἄλγος, οὐ δάκρυον, οὐ βραχὺς πόνος;
Ζῇς μοι, Δοσίκλεις, καὶ Ῥοδάνθην δακρύεις;
οὐ ζῇς, Δοσίκλεις, οὐ Ῥοδάνθην δακρύεις;
Ὁ πόντος, οὐχ ὁ πόντος, ἐρρύσησέ σε;
ἡ χέρσος, οὐχ ἡ χέρσος, ἐβρόχθισέ σε;
Ἤκουσας ὡς εἰς Κύπρον ἐξέδοντό με
εἰς χρυσίνων μνῶν καὶ μόνην τριακάδα;
ἤκουσας ὡς εὕρηκα δέσποιναν Στάλην;
οὐ Κύπρον, οὐδὲ νῆσον, οὐ μνᾶς, οὐ Στάλην;
Ὤμοι, Δοσίκλεις, ταῦτα μὲν πολὺς λόγος
καὶ ῥητὰ μῶρα καρδίας πλανωμένης·
σὺ δ' ἀλλ' ἴσως ἰδών με πρὸς βυθῷ μέσῳ
καὶ τὴν ἔννυγρον πικρὰν ἐλπίσας τύχην
σαυτὸν προαπέπνιξας αὐτὸς αὐτόχειρ;
καὶ σοῦ τυχὸν θανόντος (ὤμοι νυμφίε)
ἐμοῦ Ῥοδάνθης τῆς ταλαιπώρου χάριν
ἐγὼ βλέπω φῶς καὶ πνέω τὸν ἀέρα,
μὴ φῶς ἐρυθριῶσα, μὴ τὸν ἀέρα,
ὃν πνεῖν ἀφῆκας, ὃν βλέπειν ἡμῶν χάριν;
Ὁρῶ δὲ πόντον, πόντον οὐκ αἰδουμένη,
ὃν ἔσχες (αἰαῖ) καὶ τάφον καὶ παστάδα;
Πατῶ δὲ γῆς τὴν ῥάχιν ἐκτὸς αἰσχύνης,
ἣν οὐ πατεῖς σὺ (φεῦ θεοὶ) τίνος χάριν;
Ἐμοῦ χάριν; καὶ ζῶσαν οὐ πιμπρᾶτέ με;
Διχῇ λιπόντος τὸν βίον Δοσικλέος
βιοῖ Ῥοδάνθη καὶ βιοῦσα λανθάνει;
Ποῦ τῶν χαλαζῶν τὰ λιθοβολήματα;
ποῦ πλῆθος ὄμβρων, ἀστραπῶν μακραὶ φλόγες,
κτύπημα βροντῆς, ὑετός, πυρὸς γνάθοι,

ἥλιος εἰς γῆν, οὐρανὸς ῥαγεὶς μέσον,
γῆς χάσμα καινόν, ἀνέμων πνοὴ ξένη,
θάλαττα μέχρις οὐρανοῦ προηγμένη,
ἀνατροπή τε παντός, ἀλλαγὴ βίου;
Ὤμοι, Δοσίκλεις, ὡς ἐμοῦ θάρρει χάριν·
τί γὰρ φίλην γῆν, μητροπατρῷον πέδον,
τὸν φύντα, τὴν τεκοῦσαν, ἀδελφοὺς φίλους,
ἡλικιώτην ὁρμαθὸν συμπαρθένων,
χρυσοῦ βάρος, μάργαρον, ἄργυρον, λίθους,
290 τὸ μεῖζον εἰπεῖν, τὴν ἐλευθέραν τύχην
ἀφῆκα καὶ προῆλθον εἰς γέλων βίου
καὶ σὺν Δοσικλεῖ πλάνον ἀντηλλαξάμην
καὶ δεσμὸν ἀντέστερξα τῆς εὐζωίας·
καὶ νῦν τὸ δοῦλον οὐ προδώσω τῆς τύχης,
καὶ ταῦθ' ὑπὲρ σοῦ, φεῦ, ὑπὲρ Δοσικλέος,
φεῦ, ὑπὲρ οὗ τοσοῦτον εἱλόμην πόνον;
Οὐχὶ προδώσω καὶ πνοὴν καὶ καρδίαν,
σοῦ χάριν, ὅς μοι καὶ πνοὴ καὶ καρδία;
Οὐ ψεύσομαί σοι τὰς ἐνόρκους ἐγγύας
(κἂν οἱ θεοὶ ψεύδοιντο τὰς ὑποσχέσεις)
καὶ σοῦ θανόντος ὑπολειφθῶ τῷ βίῳ·
293 οὐ γὰρ σκιαὶ γένοιντο χωρὶς σωμάτων,
οὐδ' ἡ Ῥοδάνθη τοῦ Δοσικλέος δίχα.
Ἤ τίς δέοιτ' ἂν ὁλκάδων ἢ δικτύων
ἀποψυγείσης τῆς θαλάττης εἰς τέλος;
(Εἰ μὴ θαλαττώσειε τῆς γῆς τὸ πλάτος,
καὶ θαυματουργῶν ἁλιεύοι καὶ πλέοι,
ζωγροὶ δὲ καινὴν ἄγραν ἄλλων ἰχθύων,
ξηρὸν δὲ πόντον ἀνθ' ὑγροῦ τέμνειν ἔχοι.)
Τίνες δὲ καὶ πρίαιντο βοῦν ἀροτρέα
ἢ γηπονικὸν ὄργανον κτήσαιντό τι,
μὴ γῆς ὑπούσης ἣν γεωργῆσαι δέοι;

(Εἰ μὴ γεωργεῖν τὴν ὑγρὰν βούλοιτό τις
ἢ σπέρμα καρποῦ χωννύειν ἐν ἀέρι.)
Τίνες δ' ἀναπνεύσαιεν ἀέρος δίχα;
ἢ πῶς Ῥοδάνθη καὶ τίνα ζήσοι βίον
μὴ συμβιοῦντος τοῦ φίλου Δοσικλέους;
Θάρρει, Δοσίκλεις, τῶν ἐμῶν λέκτρων πέρι·
συνειπόμην σοι κἀν ξενώσει, κἂν πλάνῃ,
συνέψομαί σοι κἀν βυθῷ, κἂν πυθμένι.
Οὐ ψεύσομαι τὸν ὅρκον, οὐ τὴν ἐγγύην·
294 οὐ λυμανῶ τὸ φίλτρον, οὐ τὴν ἀγάπην·
οὐχ ὑβριῶ τὰ δῶρα τῶν φιλημάτων·
οὐκ αἰσχυνῶ τὸν ἄχρι τοῦ χείλους γάμον
ἢ γοῦν τὸ μέχρι τῆς περιπλοκῆς λέχος.
Θαρρεῖτε, πληθὺς παρθένων συμπαρθένων,
αἷς εἰς ἐραστάς, εἰς ἐρωμένους νέους,
αἷς ἐξ ἐραστῶν, ἐξ ἐρωμένων πόθος·
οὐ γὰρ μισηθήσεσθε πρὸς τῶν φιλτάτων
πλαστῶς φιλεῖν γυναῖκας ὑπωπτευκότων·
καλὸν γὰρ ὑπόδειγμα ταῖς ἐρωμέναις
δέδωκα νῦν. Ζηλοῦτε, ναὶ ζηλοῦτέ με.
Σὺ μέν, Δοσίκλεις, εἰσιὼν τὴν φορτίδα,
ἣν δυστυχῶς εἰσῆλθες, ἣν Μοιρῶν φθόνῳ,
ἐπεὶ συνελθεῖν καὶ Ῥοδάνθην ἠξίους,
πολλοὺς δι' αὐτὴν ὑπεδέξω κονδύλους,
κατὰ προσώπου τῷ παλαμναίῳ τυπείς.
Ὦ χεὶρ ἐκείνη, δυσμενὴς χεὶρ θηρίου,
χεὶρ ἀγρίου δράκοντος, οὐ συνεστάλης,
297 ἧψω δὲ τολμήσασα. Ναὶ ψυχρὸν τὸ πῦρ
καὶ τῶν θεῶν οὐκ οἶδε κόπτειν ἡ σπάθη·
ὑπὲρ καπνοῦ τὰ τόξα τῶν Ἐριννύων,
ὑπνοῦσιν οἱ Τιτᾶνες, ὦ θεία κρίσις.
Ἡμῖν δὲ καθεύδουσιν οὐδένα χρόνον,

ἀεὶ δὲ γρηγοροῦντες οἱ κακόσχολοι
ὀξύτερον βλέπουσιν αὐτοῦ Λυγκέως.
Σὺ μὲν πέπονθας τοῦτο καὶ τούτου πλέον·
ἐγὼ δὲ τὴν δούλειον ἐν Κύπρῳ τύχην
τῆς σὺν Δοσικλεῖ προκρινῶ συνοικίας; 140
Μὴ τοῦτο, μὴ Ζεῦ, μὴ θεῶν γερουσία.
298 Ὤμοι, Δοσίκλεις, ὦ καλὸν θέαμά μοι,
εἰ μὲν προεξέπνευσας ἤδη τὸν βίον,
ἐνναυαγήσας τῆς Ῥοδάνθης τοῖς γάμοις,
τοιαῦτα τἀμά, καὶ θανοῦσά σε φθάνω· 145
ὁπωστιοῦν γὰρ ἐγχρονίζειν τῷ βίῳ
ὁ τῶν ἐρώτων οὐκ ἐπιτρέπει νόμος.
Εἰ δ' ἄρα μὴ σύ, τίς γένωμαι, τί δράσω;
Δούλη μὲν εἰμί, δεσπότης δέ μοι Κράτων
καὶ τῆς ἐμῆς ἐκεῖνος ἐγκρατὴς τύχης. 150
Κἂν που φυγοῦσα κρυφίως τὸν δεσπότην
πάντη περιδράμοιμι μαστεύουσά σε,
ἐκεῖνος αὐτὸς πρῶτα μὲν φόβον φέρει,
μὴ προφθάσας φεύγουσαν εὕρῃ καὶ λάβῃ,
καὶ τοῦ σκοποῦ μὲν ἀστοχήσω παντάπαν, 155
κέρδος δὲ τὰς μάστιγας ἀντικερδάνω·
ἔπειτα ποίαν ἐξερευνήσω πόλιν;
ποίαν δὲ γῆν φθάσασα καὶ ποῖον τόπον
εὕρω Δοσικλῆν; Ἀγνοῶ ποῖ μὲν δράμω,
ποῖ δὲ δραμοῦσα τῆς φίλης τύχω θέας." 160
301 Τοιαῦτα πολλὰ δακρυούσης τῆς κόρης
ἄλλος μὲν οὐδείς, οὐ Κράτων, οὐχὶ Στάλη
ἐπηκροᾶτο τῆς πικρᾶς τραγῳδίας·
τὴν ἀκοὴν γὰρ εἶχον ἠσφαλισμένην,
ὕπνου καταφραγνύντος αὐτῆς τὰς θύρας· 165
οὐ μὴν Μύριλλαν τῆς Στάλης θυγατέρα
ὁ τῆς Ῥοδάνθης ἔσχε λανθάνειν γόος·

ὅλης δὲ νυκτὸς γρηγοροῦσιν ὠτίους
ἤκουεν ἀγρυπνοῦσα τῶν λαλουμένων.
Καὶ καινὸν οὐδέν· παρθένου γὰρ καρδίαν
ἔρως ὑπελθὼν καὶ γάμου φαντασία
καὶ νυμφικῶν ἔννοια παστοπηγίων
πολλαῖς μερίμναις ἐμμερίζει τὴν κόρην,
πολλοῖς λογισμοῖς ἐκδιδοῖ τὴν ἀθλίαν,
ὑφ' ὧν διασπασθεῖσα καὶ νυκτῶν μέσον
ὕπνος ἀνέστηκεν ὡς τὰς ἡμέρας·
κἂν πού τι μικρὸν ἀνεθῇ τῆς φροντίδος,
καὶ βραχὺς ὕπνος τὴν ταλαίπωρον λάβῃ,
ἡ ταυτοπαθὴς ἀγρυπνοῦσα παρθένος
τὸν ὕπνον ἐξέωσε τῆς κοιμωμένης
εἰποῦσα δακρύσασα κωκυσαμένη,
καὶ τὴν ζάλην ἤγειρεν ἡμερωμένην
καὶ τὴν πυρὰν ἀνῆψεν ἐσπυδισμένην.
302 Οἷόν τι καὶ Μύριλλαν εἰσπέσοι πάθος.
Ὡς γὰρ ἐρωτιῶσα καλὴ παρθένος
ἐρωτιώσης ἠκροᾶτο παρθένου,
ὡς οἷά τινι κεντρίῳ κεντουμένη
ἀνίσταται τὸ τάχος ἀπὸ τῆς κλίνης,
εἰς τὴν δακρυρροοῦσαν ἔρχεται κόρην,
πυνθάνεται τὸ πένθος ἐξ οὗ δακρύει,
καὶ τίς Δοσικλῆς καὶ πόθεν καὶ πῶς θάνοι·
ὄμνυσιν ἢ μὴν ἐν μυχῷ ψυχῆς μέσῳ
πάντας φυλάξειν οὓς ἀπαγγέλλοι λόγους.
Τοῦτον Μυρίλλης ἀξιούσης τὸν λόγον,
μύχιον οἰμώξασα κἀκ ψυχῆς μέσης
ἔφη Ῥοδάνθη προσκλάουσα τῷ λόγῳ
"δέσποινά μοι, Μύριλλα, ναὶ γὰρ ἐκ τύχης
δούλη Ῥοδάνθη καὶ Μύριλλα κυρία,
δούλην μὲν οὖσαν τὰς ἐμὰς λέγειν τύχας,

καὶ ταῦτα πρὸς δέσποιναν, ὡς πολὺ θράσος.
Ἐπεὶ δὲ καὶ κέλευσμα δεσποτῶν πάλιν
ποιεῖν ἀνάγκη τοῖς ὑπηρετουμένοις,
οὐκ ἂν θελήσω τὰς ἐμὰς κρύψαι τύχας.
Σὺ δ' ἄλλα φυλάξαιο μή τι δακρύσῃς·
οὐ γὰρ θεμιτόν, οὐ θεοῖς δεδογμένον
δεσποίναν οὖσαν δουλικοῖς κλαίειν πόνοις.
Γένη μὲν ἢ πατρίδας ἢ φυτοσπόρους
ἢ χρυσὸν ἀδρὸν ἢ μεγίστας ἑστίας
ἢ τἄλλα τῆς χθὲς ἢ πρὸς εὐετηρίας
περιττὸν ἀκοῦσαί σε καὶ πολὺς λόγος·
τῶν θλίψεων δὲ τὰς κορυφαίας μάθε,
καὶ πρόσχες εἴ που μὴ δεόντως δακρύω.
Συμπατριώτης εὐγενὴς νεανίας,
κλῆσιν Δοσικλῆς, εὐπρεπὴς τὴν ἰδέαν,
ἄρτι χνοῶσαν ἀνατέλλων τὴν γένυν
καὶ τὸ πρόσωπον εὐφυῶς περιστέφων
πρώτοις ἰούλοις τοῖς ἐπιγναθιδίοις,
τρίχας προΐσχων, ὦ θεοί, καλὰς ἰδεῖν.
Οἷον τὸ βοστρυχῶδες· ἡ δὲ ξανθότης,
τεράστιον τὸ κάλλος· ἡ δ' ὅλη χρόα,
ὑπὲρ λόγον τὸ θάμβος· ἡ δὲ λευκότης,
ἡλίκον εἰς ἔκπληξιν· ἡ δ' ἐρυθρότης,
ἀμήχανον τὸ χρῆμα. Τί χρή μοι λέγειν
κόρης παρειᾶς ὀφρύος χείλους πέρι,
τῆς τετραγώνου τῆς κεκανονισμένης
τῆς κυπαρίττῳ συγγενοῦς ἡλικίας,
ὤμων ἐκείνων καὶ σφυρῶν χειρῶν ποδῶν;
Καλὴ μὲν ἡ χείρ, ἀλλὰ πολλῷ καλλίων
ὅταν ἐνεργῇ φυσικῶς κινουμένη
(ἐρυθριῶ μὲν τὴν ἐνέργειαν λέγειν,
ἐρῶ δ' ὅμως, Μύριλλα, καὶ τί γὰρ πάθω;)

306 ἐμοῦ τραχήλου γνησίως ἠρτημένη.
Καλὸν τὸ χεῖλος, ἀλλὰ μὴν καὶ τὸ στόμα·
ὅταν δὲ καὶ κινοῖντο καὶ φθέγγοιντό τι
καλοῦντα καὶ γελῶντα καὶ φιλοῦντά με,
ἰαταταὶ τὸ κάλλος αὐτοῖς ἡλίκον;
Τί μοι τὰ πολλὰ καὶ τί μοι μακρὸς λόγος;
Θεοῦ τις ἦν ἀντικρὺς ἡ πᾶσα πλάσις.
Ἐκεῖνος οὗτος ἀγνοῶ ποίοις λόγοις
ἁλοὺς ἐμοῦ, δέσποινα, τῆς τρισαθλίας
ἔρον μὲν οὐ κέκληκεν εἰς συνεργίαν
(ἤρκει γὰρ ἀντ' ἔρωτος ἐμβλέψας μόνον),
φίλους δὲ τινὰς συγκυνηγέτας νέους·
καὶ συλλαβών με καὶ βαλὼν ἐν φορτίδι
φυγὰς καταπέπλευκεν ἄχρις εἰς Ῥόδον.
Ἐνταῦθα λῃστρικός τις εἰσπεσὼν στόλος,
οὗ βασιλεὺς Μιστύλος, ὑφ' ὃν Γωβρύας,
κατέσχεν ἡμᾶς καὶ βαλὼν ἐν ὁλκάδι
εἰς τὴν ἑαυτοῦ συμμετῆρε πατρίδα.
Καὶ δεσμὸς ἡμῖν καὶ φυλακὴ καὶ σκότος.
309 Ἐν οἷς προεισκέκλειστο καὶ νεανίας
κλῆσιν Κράτανδρος, Κύπρον αὐχῶν πατρίδα,
πατρὸς Κράτωνος καὶ Στάλης μητρὸς τέκνον,
ὡς αὐτὸς ἡμῖν ἐν διηγήσει λέγει.
Μίαν πεπλουτήκαμεν ἐν κακοῖς χάριν,
χρηστὸν συναιχμάλωτον ἐξευρηκότες."
Εἶπε Κράτανδρον τῆς Ῥοδάνθης τὸ στόμα,
καὶ τὴν Μύριλλαν ἔσχε καινή τις νόσος·
βεβλημένη γὰρ ὡς τυφῶνι τῷ λόγῳ
καὶ μακρὸν ἠχήσασα καὶ παχὺν γόον,
ὡς βοῦς τυπεὶς βουπλῆγι συγκινουμένη
καὶ τοῖς μελαγχολῶσιν ἐξεικασμένη
(φιλεῖ γὰρ ἀνύποπτος εἰσπεσὼν λόγος

κἂν ἢ τὸ κρεῖττον ἢ τὸ χεῖρον μηνύῃ,
ψυχὰς μεθύσκειν καὶ φρένας παρατρέπειν)
ἄνεισι τῆς γῆς, ἔρχεται πρὸς τὴν Στάλην
"ζῇ, μῆτερ, ὁ Κράτανδρος εἰς δεῦρο χρόνου,
ζῇ, μῆτερ, ὁ Κράτανδρος" ἐμβοωμένη.
"Τῆς δουλίδος πύθεσθε ταύτης τῆς νέας,
πύθεσθε καὶ μάθεσθε τοῦ παιδὸς πέρι."
Πρὸς ταῦτα κοινὴ ταραχή, κοινὸς θρόος,
ἀλαλαγὴ σύμμικτος ὄμβροις δακρύων.
Πάντες Ῥοδάνθην ἠξίουν ἢ μὴν λέγειν
ὅποι Κράτανδρος καὶ τίνα ζῇ τὸν βίον.
"Τανῦν ὅποι γένοιτο καὶ τίνος βίου"
ἔφη Ῥοδάνθη "μηδὲ πυνθάνεσθέ μου.
Ἀφ' οὗ γὰρ οἱ σώσαντες ἐξέδοντό με,
Κύπρον παροικῶ καὶ τὰ μακρὰν οὐ βλέπω·
ἃ δ' οἶδα προστάττουσι δεσπόταις λέγω.
Μιστύλος αὐτὸν εἶχεν ἐγκεκλεισμένον
φρουρᾷ σκοτεινῇ καὶ ζοφώδει χωρίῳ.
Μικρὸς παρῆλθε ναὶ μικρὸς μέσον χρόνος,
καί τις Βρυάξης ἀντιβὰς τῷ Μιστύλῳ
μάχην συνεκρότησεν ἐξ ἐναντίας
καὶ πᾶν κατεστρέψατο τούτου τὸ κράτος.
Ἐνταῦθα καὶ Κράτανδρον εἶλεν Ἀρτάπης
ὑπὸ Βρυάξῃ δεσπότῃ τεταγμένος
καὶ πλεῖστον ἄλλον ἐσμὸν αἰχμαλωσίας
κἀμὲ ξὺν αὐτοῖς καί τινας συμπαρθένους·
καὶ τῶν μὲν ἀνδρῶν ὁλκάδα πλήσας μίαν
καὶ τῶν γυναικῶν ὁλκάδα πάλιν μίαν
εἰς Πίσσαν ἐξώρμησε τὴν φίλην πόλιν.
Τῶν οὖν δυοῖν ὧν εἶπον ὁλκάδων μία,
ἡ κἀμὲ πιστευθεῖσα, δέσποτα Κράτων,
ῥαγεῖσα καὶ θρυβεῖσα πρὸς βυθῷ μέσῳ

πάντων ἀφεῖλε τὴν πνοὴν ἐμοῦ δίχα·
313 ἡ δ' ἀτέρα σέσωστο· κἂν μὲν εἰς τέλος, .
οὐκ οἶδα, πλὴν ἐλπίδες· εὐθὺς γὰρ τότε
κατεστορέσθη τῆς θαλάττης ὁ κλόνος.
Καὶ νῦν, δοκῶ, Κράτανδρος οὑμὸς δεσπότης 300
εἰς Πίσσαν ἐλθὼν ἢ κέκλεισται καὶ πάλιν
ἢ γοῦν δέδορκεν ἡμέραν ἐλευθέραν,
ὡς ἂν Βρυάξης ὁ κρατήσας θεσπίσῃ."
Τούτους Ῥοδάνθη συμπεραίνει τοὺς λόγους·
ὁ δ' ἄρα Κράτων "χαῖρέ μοι, τέκνον" φράσας 305
ἀπῆλθεν εἰς τοὔπισθεν ἅμα τῇ Στάλῃ,
καὶ δόξαν ἀμφοῖν μειδιώσας ἡμέρας
χρυσίου ἄρας τοῦ βάρους οὐ μετρίου
καὶ Κυπρίαν ναῦν εἰσιὼν χρηστῇ τύχῃ
εἰς Πίσσαν ἐξώρμησε τοῦ παιδὸς χάριν. 310
Ὦ σπλάγχνα πατρός, ὦ τεκόντος καρδία,
ὡς κρεῖττον οὐδὲν πατρὶ τῆς εὐστοργίας.
Ὁ μὲν Κράτων (πατὴρ γὰρ) οὕτω τοῦ πλόου
κατεφρόνησε τοῦ φίλου παιδὸς χάριν·
τί δὲ Κράτανδρος καὶ Δοσικλῆς οἱ ξένοι; 315
Ἆρ' ἴλεων ἐνεῖδεν αὐτοῖς ἡ Τύχη,
καὶ καθυφῆκεν ὁ Φθόνος τῶν μαστίγων;
Οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ὁ βάσκανος μίτος
πολλὰς ἐπεκλώσατο κακῶν ἰδέας.
314 Ὁ γὰρ Βρυάξης εἰσελάσας τὴν πόλιν 320
καὶ μικρὸν ἠρεμαῖον ἀνύσας χρόνον,
ὅπως ἀνακτήσαιτο καὶ τὸ σαρκίον
ἤδη πονηρῶς ἐκ μακρῶν ἔχον πόνων,
θεοῖς θύειν ἔμελλε τοῖς ἐγχωρίοις,
θύειν δὲ καὶ τὸ κρεῖττον ὧν σύλων λάβοι· 325
ταῖς γὰρ ἀπαρχαῖς τοὺς θεοὺς τιμητέον.
Οὐδὲν δὲ κρεῖττον εἶχε τοῦ Δοσικλέος

καὶ τοῦ Κρατάνδρου, τῆς καλῆς συζυγίας.
Ὢ κάλλος αἰσχρόν, ὦ θεῶν κακὴ χάρις.
Μὴ γὰρ καλοὶ γένοιντό τινες ἐν βίῳ,
ἂν εἰ κατασφάττοιντο τοῦ κάλλους χάριν.
Ἐπείπερ οὕτω ταῦτα, καὶ νόμος βίας,
ἄθεσμα θεσμὰ δυσμενοῦς τυραννίδος,
καὶ πᾶς ἐπεξύγωτο τοῦ λοιποῦ χρόνος
(τὴν γὰρ πυρὰν ἀνῆψαν οἱ νεωκόροι),
ἤγοντο μὲν λυθέντες οἱ νεανίαι,
εἱστήκεσαν δὲ τοῦ νεὼ πρὸς ταῖς θύραις
καθ' ὃν Βρυάξης ὑπεριζήσοι τόπον,
δυοῖν ἑαυτοὺς ἐμμερίσαντες πάθαις·
ὁ μὲν γάρ, ὁ Κράτανδρος, εἰς γῆν κυπτάσας
πρόδηλος ἦν τὸ πρᾶγμα δυσφόρως φέρων,
ὠχριακῶς τὴν ὄψιν, αὐχένα κλίνας,
317 τὸ βλέμμα πικρός, τὰ σκέλη τρομαλέος,
ὡς καὶ Βρυάξην ταῦτα πρὸς πάντας φάναι
"εἰς τοῦτον, ἄνδρες, οὐ δεοίμεθα σπάθης·
ἑαυτὸν αὐτὸς ἀνελεῖ πρὸ τοῦ ξίφους."
ὁ δ' ἄλλος ἱλαρός τις εἰς τὴν ἰδέαν
καὶ φαιδρὸς εἰς πρόσωπον εἱστήκει μέσος,
ὡς εἰς ἑορτὴν εἰσιὼν εἰς τὸν φόνον,
καλὸν νομίζων καὶ καλοῦ παντὸς πέρα
εἰ τῇ Ῥοδάνθῃ τὸν βίον συνεκλίποι·
ἐλπὶς γὰρ αὐτὸν δυστυχὴς ἐβουκόλει
ὡς κἂν τάφοις ἔρωτες εἰσὶ καὶ γάμοι.
Οὕτω τυφλόν τι χρῆμα καὶ μῶρον πόθος.
Ταῦτα Βρυάξης καὶ τὰ τοιαῦτα βλέπων,
ἄμφω κεκληκὼς εἰς ἑαυτὸν τοὺς νέους
καὶ τοῖς ὑπ' αὐτὸν μηνύσας σιγὴν ἔφη
"Ὅπως μὲν αἰσχμάλωτος ὑμῖν ἡ τύχη,
οἵπερ ποτ' ἂν εἴητε κἀξ οἵου γένους,

οὐ χρὴ διδάσκειν γνόντας ἐκ τῶν πραγμάτων.
οὐδ' ὡς ἐφεῖται πάντα δρᾶν τοῖς δεσπόταις,
οὐδ' ὡς τὸ κρατοῦν τοῖς κρατουμένοις νόμος,
τῇ φυσικῇ πεισθέντας ἀκολουθίᾳ.
Εἰ γὰρ μιᾷ τὰ πάντα συνέζη τύχῃ,
καὶ δοῦλος οὐδεὶς ἀλλὰ πᾶς ἐλεύθερος.
οὐκ ἦν κανών, οὐ μέτρον, οὐ στάθμη βίου,
οὐ συνταγὴ σύμπαντος, οὐκ εὐταξία,
τὸ πᾶν δὲ κατέστραπτο καὶ παρεφθάρη.
Ἐπεὶ δὲ πάντα φυσικὸς τάττει λόγος,
δούλους ἀνάγκη τυγχάνειν καὶ δεσπότας·
ἦ πῶς ἂν οἰκίζοιντο πάντως αἱ πόλεις,
ἂν ἀνδρὸς οὐ γίγνοιτο προσδεὴς ἀνήρ;
Ἦ γὰρ ἀνὴρ θούριος εἰς μέσην μάχην
οὐκ ἐνδεὴς φαίνοιτο χαλινορράφου;
οὐ τοῦ μεταλλεύοντος ὁ σφυρηλάτης;
οὐ λαμβάνοντος πᾶς διδούς; οὐ λαμβάνων
ἅπας διδόντος; οὐ τὸ κράνος ὁπλίτου;
οὐ τοῦ κράνους τοὔμπαλιν ἀνὴρ ὁπλίτης;
Οὐ πάντα πάντων ἐνδεᾶ φάμεν τάχα;
Τί γὰρ ξίφους λείποντος ἀνὴρ γεννάδας;
ἢ τί ξίφος λείποντος ἀνδρὸς γεννάδου;
Ἐπεὶ πρόδηλα ταῦτα (τίς γὰρ ἀγνοεῖ.
ἂν κόσμον οἰκῇ καὶ σὺν ἀνθρώποις μένῃ;)
ἐξῆν με πειθαρχοῦντα δεσποτῶν νόμοις
ὁποῖον ἂν τὸ δόξαν εἰς πέρας φέρειν.
Ἀλλ' οὐ Βρυάξου τοῦτο· μὴ γὰρ ἀκρίτως
ἀνθρωπίνου κρέατος ἡ σπάθη φάγοι.
Ἔξεστι μὲν γάρ, ἀλλὰ κἂν ἔξεστί μοι,
νόμοις προτιμῶ καὶ τὰ θεσμὰ τῆς δίκης.
Ἔχει μὲν οὕτω ταῦτα, καὶ καλῶς λέγω·
εἰ γὰρ κακῶς, ἀλλά τις ἐξέλεγχέ με.

Ἐπεὶ δ' ἐρωτᾶν καὶ βραχεῖς θέλω λόγους,
εἷς γοῦν ἀπ' ἀμφοῖν τὰς ἀποκρίσεις δότω.
Εἶχον μὲν οὖν θρησκείαν αἰτεῖν καὶ γένος,
ἀλλ' οὐκ ἀπαιτῶ τῇ στολῇ καὶ τῷ λόγῳ 395
τούτων ἁπάντων ἐντυχὼν διδασκάλοις·
οὐδ' ὡς θεοὺς σέβεσθε καὶ τούτους τίνας,
ἄλλην δ' ἐρωτῶ πεῦσιν, ἣν πειρῷ λύειν
ὅστις ποτ' οὖν βούλοιτο τῶν δυοῖν νέων.
Καλὸν σέβειν τὸ θεῖον, ἢ τίς σοι λόγος;" 400
"*Καλὸν*" *Δοσικλῆς εὐσταλῶς ἀπεκρίθη.*
"*Χαίροις ἂν*" *ἦ δ' ὅς,* "*ὡς καλῶς ἀπεκρίνω.*
Τί δ'; οὐ τὸ θύειν καὶ σέβειν ταὐτὸν λέγεις;"
"*Καὶ πῶς γὰρ οὐκ ἂν ταὐτόν;*" *ἀνταπεκρίθη.*
"*Εὖσοι, Δοσίκλεις, τοῦ τάχους*" *ἦ δ' ὃς πάλιν·* 405
"*οὐ γὰρ σχολαίας τὰς ἀποκρίσεις δίδως.*
Τί δ'; οὐ τὸν εὐρὺν καὶ παχὺν θύσοις βόα,
εἰ βουθυτεῖν βούλοιο;"
"*Ναὶ πάντως*" *ἔφη.*
"*Τί δ'; οὐ τὸ κρεῖττον τῶν μελικράτων χέοις*
καὶ τῶν θυσιῶν" *εἶπε* "*τὸ κρέας ῥάνοις;*" 410
"*Καὶ τοῦτο πάντως*" *ἦ δ' ὃς* "*ἀσφαλῶς λέγεις·*
322 *ἦ γὰρ τὸ κρεῖττον ἄξιον τῶν κρειττόνων.*"
"*Τί δ'; οὐκ ἐρῶσι τῶν καλῶν*" *ἔφη* "*θεοί;*"
"'*Ερῶσιν*" *ἦ δ' ὅς·* "*πῶς γὰρ οὐχ οὕτως ἔχει;*
"*Τί δ'; οὐ καλὸν τὸ κάλλος, ἢ σὺ πῶς λέγεις;*" 415
ἔφη Βρυάξης· "*εἰ γὰρ οὐχ οὕτως, φάθι.*"
"*Καὶ τοῦτο*" *φησίν·* "*ἄλλο λοιπὸν πυνθάνου.*"
"*Τῆς δ' οὖν δυσειδοῦς οὐκ ἐρῶσιν ἰδέας;*
κακὸν γὰρ" *ἦ δ' ὅς.*
"*Οὐ γὰρ οὖν*" *ἀπεκρίθη.*
"*Κἂν τις μικρὸν βοῦν βουθυτῶν*" *ἔφη* "*θύῃ,* 420
πάντως ἀπεχθάνοιντο τῷ τεθυκότι."

"Οὐ γὰρ ἂν ἄλλος" ἦ δ' ὅς, "ὡς δὲ σὺ ἧς ἔχοι."
"Τί δ' ; ἂν μυρίον ἐντιχὼν χρυσοῦ βάρος
ἔπειτα μέντοι σκεῦος ὀστράκου φέρω,
ὦρ'" εἶπεν "ἀγάσαιντο καὶ δέξαιντό με;"
"Οὐκ" ἦ δ' ὅς, "εἰ μὴ μᾶλλον ὀργίζοιντό σοι."
"Εἰ δ' ἄρα μὴ βοῦν προσφέρων θεοῖς" ἔφη
"ἀνθρωποθυτῶ, χωλὸν ἂν θυσιάσω,
τυφλόν, κορύζης ἔμπλεων, γηραλέον,
σαπροσκελῆ, τρέμοντα, κυρτὸν τὴν ῥάχιν,
λημῶντα, τοὺς ὀδόντας ἐξωρυγμένον,
ποδαγριῶντα καὶ φαλακρὸν τὴν κάραν,
πολύτριχον γένειον ἐξηρτημένον,
καὶ τοῦτο λευκὸν καὶ κινάβρας ἐκπνέον,
τίνος δ' ἂν αὐτῶν οἱ θεοὶ πρόσοιντό με;"
"Οὐδή τινός ποτ' οὖν σε· πῶς γάρ;" ἀντέφη.
"Τί δ'; ἀλλὰ νεκρὸν" εἶπε "θυσιαστέον;"
"Γελοῖον εἶπες" ἦ δ' ὅς "εἰ νεκρὸν θύεις;"
"Τί γοῦν" ἔφη "τὸ λεῖπον ἢ καλοὺς νέους
καὶ τοὺς ἐν ἀκμῇ τοῦ χρόνου θεοῖς θύειν;"
"Δοκεῖ, βασιλεῦ" εἶπεν. "ἀσφαλῶς ἔχειν."
"Τί δὴ τὸ συμπέρασμα τῶν λόγων;" ἔφη.
"Ὑμᾶς τυθῆναι τοῖς τροπαιούχοις θεοῖς,
τὰ πρωτόλεια τῶν ἐμῶν συλημάτων."
"Ναὶ θῦσον" ἦ δ' ὅς, "ἂν δοκῇ καλὸν θύειν."
Τούτων ἀκούων ὁ Βρυάξης τῶν λόγων
καὶ τὸν Δοσικλῆν ἐντρανέστερον βλέπων
ὀφρύν τε κατέσπασε τὴν ἐπηρμένην
καὶ τὴν ἀπηνῆ κατεκλάσθη καρδίαν.
Τῷ σατράπῃ γοῦν ἐνστραφεὶς Ἀρταξάνῃ
"ὦ μοι κράτιστε σατραπῶν πάντων" ἔφη,
"τοσοῦτος οἶκτος τοῦδε τοῦ νεανίου
εἰς τὴν ἐμὴν εἰσῆλθεν ἄρτι καρδίαν,

ὡς μέχρις αὐτῶν συγκινεῖν με δακρύων·
οἷος γὰρ ὢν εἰς ὥραν εἰς ἡλικίαν
εἰς ἦθος εἰς φρόνησιν εἰς ἀποκρίσεις
οἰχήσεται δείλαιος ἄρτι τοῦ βίου,
τῆς εὐπρεπείας τύμβον ἀντικερδάνας.
Ἐγὼ μὲν ἂν μεθῆκα τὸν νεανίαν
καὶ τῆς παρούσης συμφορᾶς ἐρρυσάμην,
εἰ μὴ θεοῖς ἔδοξεν εἰς παροινίαν.
Καὶ νῦν δυοῖν ἕστηκα παθῶν ἐν μέσῳ·
οἰκτός με τούτου καὶ θεῶν ἔχει φόβος.
Οὐκ οἶδα ποίῳ χαριοῦμαι τὸ πλέον·
οὐκ οἶδα ποῖ ῥέψαιμι καὶ πρὸς ὃ δράμω.
Ὡς οἷα παιδὸς κήδομαι Δοσικλέος·
ἀλλὰ πτοοῦμαι τοὺς θεοὺς ὡς δεσπότας."

Τοσαῦτα φήσας αὖθις ἀντανεστράφη
"καὶ σοὶ δ' ἄρα, Κράτανδρε, τίς τούτων λόγος;"
ἔφη "τί δ' εἰς μέγιστον ἐμπεσὼν φόβον
πέφρικας, ὠχρίακας, αὐχένα κλίνεις,
οὕτως ἀνάνδρως τὴν θανὴν ὑποτρέμεις;
Οὐ γὰρ τὸ θάρσος τοῦ Δοσικλέος βλέπεις,
ὅπως διεσπούδακεν εἰς τὴν θυσίαν,
καλῶς φρονῶν; θεοῖς γὰρ ἐγγίζειν θέλει,
καὶ ξημιοῦσθαι τὸν μέσον δοκεῖ χρόνον.
Εἰ γοῦν ἀπόχρη τῶν προλεχθέντων λόγων,
καὶ πλεῖον οὐδὲν οὐδὲ σὺ φράζειν ἔχεις,
μὴ ξημιῶμεν τὸν καλὸν Δοσικλέα,
ὑπερτιθέντες τοὔργον· ἂν δέ τι πλέον
λέγειν ἔχῃς, πρόελθε καὶ θαρρῶν λέγε."

"Καλοί, βασιλεῦ, οἱ Δοσικλέος λόγοι,
καλοί, βασιλεῦ" ὁ Κράτανδρος ἀντέφη,
"καὶ συνδοκοῦσι πάντες· ἓν δέ τι πλέον
τούτοις ἐπεντίθημι σοῦ δόντος λέγειν.

Τὸ ταυροθυτεῖν, βασιλεῦ, θεοῖς φίλον,
τὸ μοσχοθυτεῖν καὶ βοῶν ὀπτὰ κρέα
καὶ λιβανωτοῦ χόνδρος εἰς μέσην φλόγα·
ἀνθρωποθυσίας δὲ καὶ καινοὺς φόνους,
οἶμαι, θεοὶ μισοῦσιν· ἢ ποία πόλις,
ἣν ἐθύνουσιν εὐσεβεῖς νόμων λόγοι,
ἀνθρωποθυτεῖ καὶ θεοὺς οὕτω σέβει;
Εἰ δ' οὖν ὁ καλός, βασιλεῦ, τὴν ἰδέαν
ἄξιός ἐστιν τῆς θέας θανεῖν χάριν
καὶ θυσιασθεὶς τοῖς θεοῖς χάριν φέρει,
τί δή ποτε προῆλθεν εἰς γῆν, εἰπέ μοι;
Ὡς ἂν θάνῃ καὶ τοὺς θεοὺς ἑστιάσῃ;
Τί δ' οἱ θεοὶ παρῆξαν αὐτὸν ἐν βίῳ;
Ὡς ἂν τυθεὶς τράπεζαν αὐτοῖς ἀρτύσῃ;
Τί δ' ἀδικοῦντες οἱ καλοὶ τὴν ἰδέαν
θεοῖς ἑτοιμάζουσι τὴν εὐωχίαν;
Ἂν ὡς καλοὶ θνήσκωσιν (αἰδοῦμαι λέγειν·
ἐρῶ δ' ὅμως· πλὴν εὐμενῶς ἄκουέ μου),
καλὸν βασιλεὺς καὶ καλοῦ παντὸς πέρα.
Τί μὴ θυσιάζοιτο τοῖς ἀθανάτοις;
Εἰ δ' οἱ καλοὶ σφάττοιντο τῶν θεῶν χάριν,
τί δὴ τὸ συμπέρασμα τοῦ καινοῦ νόμου
πάντων καθάπαξ τῶν καλῶν ὀλωλότων;
Μόνους πατεῖν γῆν τοὺς κακοὺς καὶ ζῆν μόνους,
τὸ ζῆν λαβόντας εἰς ἀμοιβὴν κακίας,
αἰσχρὸν γενέσθαι τὸ πρόσωπον τοῦ βίου.
Οὔ τίς γένοιτ' ἂν ἀθλιώτερος νόμος;
Ἐμοὶ μὲν οὕτω συνδοκεῖ καλῶς λέγειν·
σὺ δ', ὦ βασιλεῦ, εἴτε δικαίως κρίνω
εἴτ' οὖν ἀδίκως, ἀρρεπῶς, οἶδα, κρίνεις."

Τούτων ἀκούσας ὁ Βρυάξης τῶν λόγων
μέγιστον οἷον ἀνακαγχάσας ἔφη

"τεράστιε Ζεῦ, ὡς τεράστια βλέπω.
Ὁ πεφρικὼς νῦν καὶ τελευτῶν ἐκ φόβου,
εἰς οἷον οἷον ἐξεκυλίσθη θράσος;"
Τοσοῦτον εἰπὼν καὶ χαμάξε κυπτάσας
σκοπεῖν ἐῴκει τῶν νεανιῶν πέρι.

Η

Τῷ μὲν Βρυάξῃ σκέψις ἦν τοῦ πρακτέου·
κατεσπακὼς γὰρ τὴν τάσιν τῶν ὀφρύων
καθῆστο σιγῶν οὐ βραχύν τινα χρόνον·
οὕτω δὲ τούτου συννοοῦντος ὃ δράσοι,
ἀλαλαγὴ θρηνοῦντος ἀνδρὸς ἐν μέσῳ
καὶ πάντας ἐξέπληξε τῷ καινῷ φόβῳ.
Ὁ δ' ἦν ὁ Κράτων· ὡς γὰρ εἰς Πίσσαν φθάσας
τῆς νηὸς ἐκβὰς ἀναβαίνει τὴν πόλιν
καὶ συντυχὼν γέροντι τινὶ βαρβάρῳ
(ἔροιτο γὰρ γέροντα Βρυάξου πέρι)
καὶ τὰς θυσίας ἐκμαθὼν καὶ τοὺς φόνους
πρόσεισιν εὐθὺς τῷ νεῷ κράζων μέγα,
δρύψας ἀμύξας τοῦ προσώπου τὴν χάριν,
λευκὴν σπαράξας καὶ γεραιτέραν τρίχα,
καὶ τοῦ Βρυάξου τοῖν ποδοῖν εἰλημμένος
οἴκτιστον οἷον ἐτραγῴδει τὸν λόγον
"Μὴ τοῦτο, μή, μέγιστε βασιλεῦ, δράσῃς·
μὴ τοῦτο, μὴ τὸν παῖδα τὸν γηροτρόφον
οὕτως ἀώρως ἐκτεμὼν ἐκ τοῦ βίου
γέροντι πατρὶ συντέμῃς τὰς ἐλπίδας.
Μὴ τοῦτο, μὴ Κράτανδρον ἐκδῷς τῷ ξίφει·
μὴ τοῦτο, μὴ Κράτανδρον εἰς πυρὰν βάλῃς.

Πολιὰ καὶ γῆρᾳς σε δυσωπησάτω·
ῥυτὶς προσώπου καὶ βάσις τρομαλέα
ἐκ τοῦ θυμοῦ πρὸς οἶκτον ἀντικαμψάτω.
Μάτην γὰρ ἀνύσαιμι τὸν πλοῦν τὸν τύσον,
εἰ Κύπρον ἀφεὶς ἐν κενοῖς ὧδε δράμω,
μάτην δὲ τῶν σῶν ἱερῶν ποδῶν θίγω.
Οὐ ζῶν τὸ τέκνον ὄψομαι πατὴρ γέρων;
Μὴ τοῦτο, θεῖε βασιλεῦ, μὴ πρὸς θεῶν.
Ἔχεις με, κἂν βούλοιο, τέμνε, πυρπόλει,
δίδου θεοῖς γέροντος ἀνθρώπου κρέας,
εἴπερ θεοὶ χαίρουσιν ἀνθρώπων φόνοις.
Ἔχεις με, τοὺς ὀδόντας ἐξόρυττέ μου,
εἴ τις παραλίποιτο τῷ γήρᾳ τέως.
Ἔχεις με, παττάλευε τὰς ἐμὰς κόρας,
337 *εἰ μὴ πεπαττάλευκεν αὐτὰς ὁ χρόνος.*
Δότω πατὴρ δείλαιος ἀνθ' υἱοῦ δίκας·
γέροντα θυσίαζε, μὴ καλὸν νέον·
γέροντι μὲν γὰρ τοῦ ξίφους μικρὸς λόγος,
ὡς μικρὸν ἤδη καὶ ξίφους χωρὶς θάνῃ·
νέῳ δὲ τοῦ ζῆν ἡ χάρις πρὸς τοῖς πρόσω.
Δεινόν, νέου θνήσκοντος ὡραιωμένου,
γέροντα σαπρὸν ἀγαπᾶν ἔτι πνέειν.
Ἦ μήν, βασιλεῦ, οὐκ ἀναστῶ τῶν κάτω,
οὐ βασιλικοὺς παύσομαι φιλῶν πόδας,
οὐ τῶν στεναγμῶν τὸν πολὺν στήσω κτύπον,
οὐδ' ἂν ἐπίσχω τὴν ῥοὴν τῶν δακρύων,
εἰ μὴ τὸν υἱὸν ζῶντά μοι δώσεις ἔχειν.
Δὸς τοῖς θεοῖς τὸν οἶκτον ἀντὶ θυσίας·
καλὴ θεοῖς τράπεζα φιλανθρωπία,
καλὸς κρατὴρ ἄνθρωπος ἐκφυγὼν φόνον.
Οὕτω θεοὶ δειπνοῦσι τὴν σωτηρίαν,
οὕτω θεῶν ἄριστος ἡ κοινὴ χαρά,

ἀλλ' οὐ κρέας βρότειον, οὐ πολὺς φόνος,
οὐχ αἷμα βλύζον, οὐ μεθυσθεῖσα σπάθη,
οὐ σάρκες ὀπταὶ καὶ μολυσμὸς ἀέρος.
Εἰ μὲν γὰρ ἦν τὸ σῶμα τοῖς ἀθανάτοις
καὶ τῇ καθ' ἡμᾶς ἐμφερεστάτη πλάσις,
338 ἂν γλῶτταν εἶχον, ἂν ὀδόντας, ἂν στόμα,
εἰ κοιλίας δοχεῖον, ἐντέρων θέσιν
καὶ τἄλλα πάντα τῆς ἐμῆς διαρτίας,
ἔδως ἂν αὐτοῖς καὶ τράπεζαν καὶ πότους
καὶ σάρκας ὀπτὰς καὶ μελικράτων σκύφους·
ἐπεὶ δ' ἄσαρκος ἡ θεῶν θεία φύσις,
οὐδ' ἂν φάγοι κρέατος οὐδ' οἴνου πίοι,
ἦ μὴν παροργίσειε τοὺς ἀθανάτους
ὁποῖος ὀπτήσειεν ἀνθρώπου κρέας.
Τί γάρ; κεραμεὺς ἂν κεράμιον πλάσῃ
κἄπειτα τοῦτο συντεθρυμμένον βλέπῃ,
οὐκ ἂν χαρῇ τὴν θρύψιν οὐδὲ καγχάσοι,
ὡς οὐδὲ τέκτων ἂν τριώροφα κτίσῃ
κἄπειτα συμπεσοῦσαν ἀθρῇ τὴν στέγην.
Θεοὺς δὲ χαίρειν ἀξιοῖς ἐμῷ φόνῳ,
τοὺς τέκτονάς μου, τοὺς ἐμοὺς κεραμέας,
τεθρυμμένων μάλιστα τῶν κεραμίων;
Οὕτω γὰρ ἂν ἴσχυον εἶναι τεχνίται
καὶ τὰς ἀφορμὰς λαμβάνοιεν τοῦ βίου,
ἄλλου θρυβέντος ἄλλο πλάττοντες νέον;
Ἀλλ' οὐ γελῶσι, πᾶν γε μὴν τοὐναντίον.
Θεοὶ δ' ἐφ' ᾧ τερφθεῖεν ἀνθρώπου φόνῳ;
Διὸς παῖδα πατρί, βασιλεῦ νικηφόρε,
341 δὸς παῖδα πατρὶ πρεσβύτῃ νεανίαν·
ποίησον ἡβῆσαί με τὸν γηραλέον.
Μακρόν, βασιλεῦ, καὶ πολὺν ἤδη χρόνον
τοῦ παιδὸς ἡ στέρησις ἐτρύχωσέ με·

μὴ νῦν ὀλεῖται δυστυχῶς ἠρημένος,
μὴ νῦν ὅταν ἤνοιξα βραχὺ τὰς κόρας
καὶ μικρὸν ἀντέβλεψα πρὸς φῶς ἡμέρας,
τότ' αὐτὸς αὐτὰς ἐξορύξεις εἰς τέλος."

Πρὸς ταῦτα θαυμάσαντα τὸν βασιλέα
ἐπῆλθεν εἰπεῖν τῷ γέροντι τοιάδε
"Ἔφθασε μέν μοι μέχρι καρδίας, γέρον,
τὰ ῥεῖθρα τῶν σῶν δακρύων, νὴ τὴν Θέμιν·
οὐ γὰρ λίθου προῆλθον, οὐ πέτρας ἔφυν,
οὐ δρῦς με παρήνεγκεν εἰς φῶς εἰς βίον,
ὡς ἂν ἀτέγκτως πρὸς τὸν ἐν λύπαις ἔχω
καὶ μὴ χαλῴμην καὶ μαλαττοίμην πόνοις.
Καὶ χρηστὸν υἱὸν πατρὶ δοῦναι πρεσβύτῃ
ἀπαλλαγέντα τῆς προκειμένης τύχης
θέλω· θεοὶ δὲ μάρτυρές μοι τοῦ λόγου·
ἀλλὰ πτοοῦμαι μὴ Ποσειδῶν ποντίσῃ,
Ἄρης δὲ πλήξῃ καὶ χαλαζώσῃ Κρόνος
καὶ Ζεὺς κεραυνόβλητον ἐργάσοιτό με.
342 *Καὶ συμφέρει Κράτανδρον ἐκθανεῖν μόνον*
ἢ πάντας ἡμᾶς τῶν θεῶν χολουμένων.
Ὁρᾷς τὸν ἐγγὺς τοῦ Κρατάνδρου τὸν νέον,
τὸν εὐπρεπῆ τὴν ὄψιν, ὦ γηραλέε;
καλὸς μέν ἐστιν, ἡλίκος καὶ σὺ βλέπεις·
τυθήσεται δέ, καὶ τί γὰρ ποιεῖν ἔχω;
Μελαγχολῶντος εἰς θεοὺς κροτεῖν μάχην.
Μὴ γοῦν ἀπαίτει τῆς δυνάμεως πέρα."

Τοσοῦτον εἰπὼν ἐξανέστη τοῦ θρόνου
καὶ πρὸς τὸ χεῖλος τοῦ πυρὸς πλησιάσας
καὶ χερσὶν ἀμφοῖν τοὺς νέους ἔχων ἔφη
"ὦ πάμμεγα Ζεῦ, ὦ Διὸς πάτερ Κρόνε,
Ἄρες, Πόσειδον καὶ θεῶν γερουσία,
τούτους Βρυάξης θυσιάζει τοὺς νέους,

τούτους ἀπαρχὴν τῶν σύλων ὑμῖν φέρει."
Οὐ τὸν λόγον προῆξεν αὐτὸς εἰς πέρας,
καὶ τὴν πυρὰν ἔδειξεν ἀπεσβεσμένην
καταρραγεὶς ἄνωθεν ὄμβρος ἀθρόος,
ὡς μηδὲ μικρὰν ὑπολειφθῆναι φλόγα
ἤ τι φλογὸς μόριον ἢ θρυαλλίδος.
Πρὸς ταῦτα πάντες οἱ Βρυάξου σατράπαι,
αὐτὸς Βρυάξης, Ἀρτάπης, Ἀρταξάνης,
ὁ λοιπὸς ὄχλος συμμιγῆ φωνὴν μίαν
345 ἔκραξαν "ἱλήκοιτε, δεσπόται θεοί,
ὡς ἐμφανῶς ἔδοσθε τὸ ξῆν τοῖς νέοις."
Ὁ δὲ Βρυάξης μηνύσας σιγὴν ἔφη
"σώζοισθε τέκνα καὶ πνοὴν ἐλευθέραν
πνέοιτε καὶ βλέποιτε λαμπρὰν ἡμέραν.
Ἔχεις τὸν υἱὸν ἐκ θεῶν, πάτερ γέρον·
ἔχεις, Δοσίκλεις, ἐκ θεῶν μὲν τὸν βίον,
ἐκ δὲ Βρυάξου τὴν ἐλευθέραν τύχην.
Πρόσιτε λαμπρῶς τοῖς ἑαυτῶν πατράσιν·
ἴδοισαν ὑμᾶς αἱ φιλοῦσαι μητέρες,
φίλων ἀδελφῶν, συγγενῶν ὁμηγύρεις.
Στείλασθε τὴν οἴκαδε χρησταῖς ἐλπίσι
καὶ τοῖς θεοῖς θύσατε τοῖς σωτηρίοις."
Ταῦτα Βρυάξης φάμενος πρὸς τοὺς νέους
τὸν σύλλογον λέλυκεν αὐτῷ τῷ λόγῳ.
Ὁ δὲ Κράτανδρος καὶ Δοσικλῆς καὶ Κράτων
τὴν Κυπρίαν ναῦν εἰσδεδυκότες μέσην
εἰς Κύπρον ἐξώρμησαν εὐτυχεῖ τύχῃ,
καὶ τῷ πλοῒ προσχόντες οὐ πολὺν χρόνον
τὴν νῆσον εἶδον τῇ θεῶν συνεργίᾳ.
Μαθοῦσα γοῦν Μύριλλα μέντοι καὶ Στάλη
ὡς ἦκεν ὁ Κράτανδρος, ἦλθεν ὁ Κράτων,
ἀκτῆς ἐπ' αὐτῆς αὐτίκα προηγμέναι

345 *οἷον τὸ γῆθος ἔσχον, ὡς πάνυ μέγα,*
ὡς εἶδον ἄμφω γῆν πατοῦντας Κυπρίαν
ἀδελφὸν υἱὸν πατέρα συνευνέτην
μήτηρ ἀδελφὴ θυγάτηρ συνευνέτις.
Πλησάμεναι γοῦν τοὺς ἐθισθέντας νόμους, 155
περιπλακεῖσαι δακρύσασαι τὸν νέον
ὥρμησαν εἰς τὸν οἶκον. Ἡ γε μὴν πόλις
ἐπεὶ τὸ συμβὰν καὶ τελούμενον μάθοι,
ἐξῇεσαν ξύγκλυδες ἐκ τῶν δωμάτων
ἀνδρῶν γυναικῶν ὄχλος, ἡβῶντες, νέοι, 160
γηρῶντες, οὐ γηρῶντες, εὐτυχῆς, πένης,
γραῶν ὅμιλος, παρθένων, οὐ παρθένων,
κοινὴν ἐποίουν χαρμονήν, κοινὸν κρότον,
κοινὸν θρίαμβον καὶ πανήγυριν μίαν
τὴν ἡδονὴν Κράτωνος ὡς δὲ καὶ Στάλης. 165
Πάντες προσεπλέξαντο τὸν νεανίαν,
πᾶσαι προσεπτύξαντο τὸν σεσωσμένον.
Ἔκλαιον ἤλγουν ἐξεκάγχαζον μέγα,
κρατῆρα μικτὸν ἡδονῆς καὶ δακρύων
κιρνῶντες ἐξέπινον ἄχρις εἰς μέθην. 170
Οὕτω Κράτανδρος εὑρεθεὶς εὗρε κλέος
καὶ τὴν ἑορτὴν ἔσχε πομπικωτάτην.
Ἀπόστασις γὰρ καὶ μακρυσμὸς τοῦ φίλου
349 *εἰωθε μᾶλλον τοὺς ποθοῦντας ἐκκαίειν·*
οὐδεὶς γὰρ ἐκφλέγοιτο πρὸς φίλου πόθον, 175
ἐπεὶ κατετρύφησε τῆς συνουσίας
συνὼν θεωρῶν συλλαλῶν καθ' ἡμέραν·
ἂν δ' ἐκ μέσου γένοιτο καὶ ῥυῇ χρόνος,
ἡ τῶν ποθούντων δαπανᾶται καρδία,
ὡς οἷα πεινάσασα τοὺς ποθουμένους· 180
κἂν ἡ τύχη δῷ καὶ συναφθεῖεν πάλιν,
ὅλην ἀπλήστως ἐκροφᾷ τὴν ἀγάπην.

Οὕτως ἑορτὴν ἔσχε κοινὴν ἡ πόλις
τὴν εἰς ἑαυτὴν τοῦ νέου παρουσίαν.
Οὐ μὴν ἐπελήσατο τοῦ Δοσικλέος
Κράτανδρος ἐλθὼν εἰς τόσον πομπῆς λόφον,
τοὺς δακτύλους δὲ συμβαλὼν τοῖς δακτύλοις
κοινωνὸν εἶχε τῆς χαρᾶς καὶ τοῦ κρότου.
Ἀλλ' οὐ Δοσικλῆς οὐ χαρὰν οὐδὲ κρότον
εἶχε ξὺν αὐτῷ, τὴν Ῥοδάνθην οὐ βλέπων.
Οὕτως ἐκείνων τῶν νέων τιμωμένων
ἔπαιξεν ὡς εἴωθεν ὁ δριμὺς Ἔρως,
πολλοὺς ὀιστοὺς τοῖς νέοις καὶ ταῖς νέαις
ἐκ τοῦ πυρώδους τανύων τοξαρίου.
Ὁ πᾶς γὰρ ὄχλος τῶν προπομπῶν παρθένων
ὅλοις βλεφάροις τὸν Δοσικλέα βλέπων
350 ἡλίκον εἰσδέδεκτο τῇ ψυχῇ βέλος·
ὁποῖα πάντως οἶδεν ἐντείνειν Ἔρως,
φαρμακτὰ πικρὰ πυροπολοῦντα καρδίαν.
Ἡ μὲν γὰρ αἰδοῦς ἐκποδὼν τεθειμένης
ἤγγισεν, ἀντέβλεψεν ἁπλήστοις κόραις,
ὡς ἐγγύθεν βλέπουσα καθαρῶς βλέποι·
ἄλλη προσῆλθε, τοῦ χιτῶνος ἥψατο
κἀκ τῆς ἁφῆς ἔλαβε δεύτερον βέλος·
ἄλλη παροιστρηθεῖσα ταῖν δυοῖν πλέον
καὶ πάντας ἐκπτύσασα δεσμοὺς αἰσχύνης,
ὠχρὰν δὲ σεμνὴν ἐξάρασα τῆς χρόας
προσῆλθεν ἡσπάσατο τὸν νεανίαν
καὶ πάντας ὠίστευτο τῆς ψυχῆς τόπους.
Ἦν οὖν ἰδεῖν πάσχοντα τὸν Δοσικλέα,
ἐπεὶ Ῥοδάνθην εἰς ἀνάμνησιν λάβοι·
ταῖς παρθένοις γὰρ τὴν ἑαυτοῦ παρθένον
ἀνανοῶν ἔκλαιεν ἐν τῇ καρδίᾳ·
φιλούμενος μέμνητο τῶν φιλημάτων,

μεμνημένος δὲ κρυπτὸν ἔστενε στόνον.
Τοιοῦτον ἔσχεν ἡ πανήγυρις τέλος.
Αἱ μὲν προπομποὶ παρθένοι βεβλημέναι
εἰς τὰς ἑαυτῶν ἀνταπῆλθον οἰκίας,
καὶ τοῦ πυρὸς φλέγοντος οὐδαμῆ δρόσος·
κἂν ἦν, ἀπεστρέφοντο ταύτην τὴν δρόσον·
ὅσον γὰρ ἐφλέγοντο τῷ λαμπαδίῳ,
τοσοῦτον ἡσπάζοντο τὴν χρυσῆν φλόγα·
ὅσον πεπυρπόληντο μέχρι καρδίας,
τόσον παρεῖχον τῷ πυρὶ πλείω ξύλα.
Ὦ πῦρ δροσίζον, ὦ φλογίζουσα δρόσος.
Τὸν δὲ Κράτανδρον ἀλλὰ καὶ Δοσικλέα
ἄμφω συνεισιόντας εἰς τὴν οἰκίαν
τροφαῖς ἐδεξιοῦτο λαμπραῖς ἡ Στάλη,
καὶ πάντες ἂν ἥπτοντο τῶν προκειμένων
καὶ τοῦ κρατῆρος ἡδέως ἀπερρόφων,
πάντες δὲ παρήπτοντο καὶ γελασμάτων·
μόνος Δοσικλῆς ἐξ ἁπάντων ἠθύμει,
μόνος Δοσικλῆς ἐξ ἁπάντων ἠτρόφει,
οἷον φαγὼν τράπεζαν ἐκ τοῦ σαρκίου,
οἷα πιὼν κύπελλον ἐκ τῶν αἱμάτων.
Ἐντεῦθεν ὠχριῶντα καὶ τετηγμένον
ἴσως ἐτεκμήρατο τοῦτον ὁ βλέπων,
ἐπεὶ ξένην τράπεζαν αἰσχρῶς ἀρτύων
τῆς σαρκὸς ἔσθει καὶ πίνει τῶν αἱμάτων,
κἀκ τῶν ἔσωθεν βρωμάτων πεπλησμένος
τῆς ἐκτὸς οὐ δέοιτο δειπνοφαγίας.
Συνητρόφει δὲ καὶ Μύριλλα τῷ ξένῳ,
μόνας κόρας τρέφουσα τὰς ἐποπτρίας
ἐφ' οἷς ἐνητένιζον εἰς Δοσικλέα.
Ὁρῶσα γοῦν ἐκεῖνον ἐν πένθει μέσῳ,
μηδὲν κατεσθίοντα τῶν προκειμένων

μηδ' ἐκροφῶντα κἂν μικρόν τι τοῦ σκύφου,
ἔμφροντις ἦν, θόρυβον εἶχε καὶ ζάλην,
κινοῦσα πάντα τῆς παροιμίας κάλων,
ἅπαν δὲ μηχάνημα μηχανωμένη,
πάντας δ' ἀνοχλίζουσα τοῦ λόγου λίθους,
ὡς ἂν Δοσικλῆς τῶν τεθέντων ἐκφάγοι.
Τοιγὰρ προσεγγίσασα τῷ φυτοσπόρῳ
"οὐ τὸν ξένον δέδορκας, ὦ πάτερ" λέγει,
"ὡς εἰς τὸ δεῖπνον ἐν κενοῖς παριζάνει
καὶ τὸ πρόσωπον τῆς ἐφεστώσης τύχης
(ἡλίκον ἀνθοῦν τῆς χαρᾶς τῷ φυκίῳ)
πενθῶν ἀμαυροῖ καὶ ταράττει τὸν πότον,
ἄσιτος οὕτως ἐνθακεύων τῷ θρόνῳ;"
Τούτους ὁ Κράτων τοὺς λόγους φθάσας λέγει
"τί ταῦτα ποιεῖς, ὦ Δοσίκλεις, ὦ τέκνον;
τί ταῦτα ποιεῖς; Οὐ καλὸν χαρᾶς μέσον
ἄγειν τὸ πένθος, οὐδαμῆ παρρησία.
357 Ἄφες τὸν πενθεῖν μειδιώσης τῆς τύχης·
αἰσχρὸν γὰρ εὖ παθόντα μὴ κροτεῖν μέγα
καὶ λῃστρικὴν φυγόντα χεῖρα βαρβάρων
ἄσιτον εἶναι, μὴ κρατῆρος ἐκπίνειν,
θεοῖς ἀχαριστοῦντα τοῖς εὐεργέταις.
Ἐγὼ πατήρ σοι πατρὸς ἐστερημένῳ,
μήτηρ ἐκείνη μητρὸς ἀπεζευγμένῳ,
ἀδελφὸς οὗτος, ἂν ἀδελφὸν δακρύῃς,
ὃν σοι πρὸ ἡμῶν συνέμιξαν αἱ τύχαι.
Οὐδὲν τὸ λεῖπον εἰς χαράν σοι καὶ κρότον."
Πρὸς ταῦτα καὶ Κράτανδρος οἰμώξας ἔφη
"οὐκ ἀγνοῶ τοὺς πόνους Δοσικλέος,
οὐκ ἀγνοῶ τὸ πένθος ἐξ οὗ δακρύεις·
αἰσθάνομαι δὲ τῆς ἀδελφικῆς τύχης,
ὡς βαρυδαίμων, ὡς ὀδυρμῶν ἀξία,

ὡς πᾶν ὑπερπέπαικε μέτρον δακρύων·
πλὴν ἀλλ' ἕως ποῦ λῆξιν ὁ θρῆνος λάβῃ,
καὶ πηνίκα στῇ τῶν στεναγμῶν ὁ κτύπος;
Οὐκ ἀνδρικῆς, βέλτιστε, ταῦτα καρδίας,
ἄληκτα πενθεῖν τοὺς κακῶς πεπονθότας.
Ἔκλαυσας ἠτρύγησας οὐ βραχὺν χρόνον·
ἄψαι μικρόν τι καὶ τρυφῆς καὶ φιάλης."
Ἔλεξε καὶ μέρος τι τῶν προκειμένων
358 βίᾳ φαγεῖν ἔπεισε τὸν Δοσικλέα.
Ὁ μὲν Δοσικλῆς ταῦτα· τὴν γὰρ παρθένον
ὁρῶν παρεστηκυῖαν ἐγγὺς ἠγνόει,
πῶς δ' οὐκ ἂν ἠγνόησε τὴν χρυσῆν κόρην,
σαπρόν τι χιτώνιον ἐνδεδυμένην,
τετηγμένον τὰς σάρκας, ἁπλῶς δουλίδα;
Οὐ μὴν Ῥοδάνθη τὸν Δοσικλῆν ἠγνόει,
καὶ προσφύναι μὲν καὶ φιλῆσαι τὸ στόμα
ἡλίκον οἷον ἠρέθιστο τῷ πόθῳ.
Εἵλκυστο δ' εἰς τοὔπισθεν αἰδοῖ καὶ φόβῳ.
Τέως γε μὴν ἔπραττε τὰ πρὸς ἰσχύος
ἀφ' ὧν ἑαυτὴν γνωριεῖ τῷ φιλτάτῳ·
ἐναντί παρίστατο τοῦ Δοσικλέος,
ὑπεστέναξεν, ἦρχέ που καὶ δακρύειν
καὶ μέχρι καρπῶν ἐξεγύμνου τὰς χέρας,
ὡς ἂν διαγνῷ τὴν θέσιν τῶν δακτύλων.
Οὕτως ἀπηώρητο τοῦ νεανίου,
ὡς καὶ Ῥοδάνθη μὴ δοκεῖν πεφυκέναι,
εἰ μὴ Ῥοδάνθην αὐτὸς αὐτὴν ἐκμάθοι.
Ἀνιστορεῖ γοῦν καὶ Δοσικλῆς τὴν κόρην
καὶ τῆς Ῥοδάνθης ἀνετύπου τὴν πλάσιν,
ὡς ἐμφερὴς φαίνοιτο τῇ δεικνυμένῃ.
Τέως γε μὴν οὐκ εἶχε σαφῶς εἰδέναι.
361 Καὶ ποῦ γὰρ ὑπώπτευκεν ὡς Κύπρον μέσην

οἰκεῖ Ῥοδάνθη τῶν βυθῶν ἀνηγμένη
καὶ τῆς θαλάττης ἐκφυγοῦσα τὸ στόμα;
Εἶχον μὲν οὕτω ταῦτα τοῖς νεανίαις.
Ἐπεὶ δὲ καὶ τὸ δεῖπνον ἔλθοι πρὸς πέρας,
καὶ τῆς περιττῆς λῆξις ὀψαρτυσίας
"ὦ μῆτερ" ὁ Κράτανδρος εἶπε τῇ Στάλῃ,
"ἡμᾶς μὲν οὕτως ἡ θεῶν εὐσπλαγχνία
συνῆψεν, ὡς ὁρῶμεν, ἀλλήλοις πάλιν
καὶ παῖδα μακρᾶς ἐκ πλάνης ῥυσαμένη
εἰς κόλπον ἐντέθεικε τοῖς φυτοσπόροις.
Ναὶ ναὶ θεῶν πρόνοια, ναὶ θεῶν κράτος,
κἀν τοῖς ἐφεξῆς ἀντιλαμβάνοισθέ μου.
Ποίῳ δὲ μηνύσαντι τὰς ἐμὰς τύχας
μαθὼν ὁ πατὴρ ὡς τὸ Πισσαῖον πέδον
δοῦλος παροικῶ καὶ Βρυάξου δεσπότου,
ἐλθὼν τελευτῆς ἐκ μέσης ἔσωσέ με
καὶ τῆς τυράννου χειρὸς ἐρρύσατό με;"
"Ὡς εὖ γέ σοι γένοιτο, τέκνον, τοῦ λόγου,
ὡς εὖ γέ σοι γένοιτο" φησὶν ἡ Στάλη·
"τῶν γὰρ λαθόντων εἰς ἀνάμνησιν φέρεις,
ὡς τῆς χαρᾶς τὸ πλῆθος ἡ μεγιστότης
τῶν πρὶν λαθέσθαι παντελῶς ἔπεισέ με."
Ἔλεξε ταῦτα καὶ Ῥοδάνθην εἰς μέσον
362 ἐλθεῖν ἐπιτρέψασα τῆς εὐωχίας
"ταύτην" ἔφη, "Κράτανδρε, χρηστῇ τῇ τύχῃ
τριακάδος μνῶν χρυσίνων πριαμένη
πλείω παρ' αὐτῆς ἀντεδεξάμην χάριν,
τὸν παῖδά σε Κράτανδρον ἐξευραμένη.
Αὐτὴ μὲν οὖν οὐ προῖκα μηνύσαιτό σε·
ἐλευθέρας γὰρ ἀντιτεύξεται τύχης·
ὅθεν δὲ καὶ πηνίκα γιγνώσκουσά σε
τὴν σὴν πρὸς ἡμᾶς ἀγγελοῖ σωτηρίαν,

ἰδοὺ πάρεστι, καὶ τὰ πάντα πυνθάνου."
Ἡ γοῦν Ῥοδάνθη προφθάσασα τὸν λόγον
τήν τε Κρατάνδρου πεῦσιν ἁρπασαμένη
"ὦ δέσποτα Κράτανδρε" γενναίως ἔφη.
"ὦ δέσποτα Κράτανδρε· ναὶ γὰρ δεσπότης.
ὡς πρὶν συναιχμάλωτος ἐκ τύχης ἔφυς·
οὐκ ἂν (θεοὶ μάρτυρες) ὑπώπτευκά σε
οὕτω Ῥοδάνθην ἀγνοεῖν ἱσταμένην·
πλέον δὲ πολλῷ σοῦ γε τὸν Δοσικλέα.
ὃς ζωγραφεῖν ὤμνυτο τὴν ἐμὴν θέαν
μέσῳ πρὸς αὐτῷ καρδίας πινακίῳ.
δι' ὃν παροικῶ Κύπρον ἐν δούλῃ τύχῃ·
ἣν αὐτὸς οἶδεν ἐκλιποῦσαν πατρίδα,
ἣν οἰκίαν, ὃν ὄλβον, οὓς φυτοσπόρους,
κἂν νῦν θεωρῶν ἀγνοεῖν πλάττοιτό με.
Ἐπεὶ δὲ πυνθάνοιο πῶς ἔγνωκά σε
καὶ γνοῦσα τοῖς τεκοῦσιν ἐξήγγειλά σε,
ἐρῶ τὸ πᾶν ἐντεῦθεν ἀπαρξαμένη."
Ἔφη Ῥοδάνθη, καὶ Δοσικλῆς αὐτίκα
ἀποστερηθεὶς τῆς πνοῆς καὶ τοῦ λόγου
ὡσεὶ νεκρὸς καθῆστο τὴν κάραν κλίνας·
καὶ τάχ' ἂν ἀπώνατο τῆς χαρᾶς μόρον,
εἰ μὴ Μύριλλα μύρα μυκτήρων μέσον
θεῖσα συνεξώωσε τὸν νεανίαν.
Ἐπεὶ δ' ἀναστὰς τὴν πνοὴν πάλιν λάβοι
"τί μοι, θεοί, τὸ φάσμα τοῦτο τὸ ξένον;
τίς ὁ πλατὺς ὄνειρος;" ἐξεκεκράγει.
"Ἡ που Ῥοδάνθην εἰσορῶ; παίζεις, Φθόνε·
γελᾷς, Τύχη, γέλωτα μεστὸν δακρύων,
εἴδωλα δεικνύουσα τῆς ποθουμένης.
Ζῇς μοι, Ῥοδάνθη, καὶ βλέπεις τὴν ἡμέραν;
ζῇς μοι, Ῥοδάνθη, ζῇς, ὁρᾷς, ἀναπνέεις;

Οὐ φάσμα τοῦτο; ναί, θεοί, τρανῶς βλέπω·
ὕπαρ τὸ παρόν, οὐκ ὄνειρος ἡ θέα·
ὕπαρ, θεοὶ σωτῆρες, οὐ γὰρ ἀπάτη·
οὐκ ἀπάτη τὸ πρᾶγμα καὶ φαντασία·
οὐ φαντασία καὶ τύχης ἄλλο δράμα.
Ὦ δεῦρο πρόσπτυξαί με, καλὴ παρθένε,
ὦ δεῦρο συμπλάκηθι τῷ σῷ νυμφίῳ."
Πρὸς ταῦτα καὶ Κράτανδρος ἀντεκεκράγει
"φεῦ φεῦ, τί τοῦτο, τί, τροπαιοῦχοι θεοί;
βιοῖ Ῥοδάνθη, καὶ Δοσικλῆς δακρύει;
Τί μοι κρατῆρος καὶ τρυφῆς; τί μοι πότου;
Ὤμοι πάτερ καὶ μῆτερ, ὦ πάντες φίλοι,
τίς τῆς ἑορτῆς τῆς προλαβούσης χάρις;
ἄλλην ἑορτάζωμεν εὐχαρεστέραν.
Ὡς ἐντελὲς τὸ γῆθος, ἡ θυμηδία,
καὶ τῶν θεῶν ἡ χάρις ὡς πληρεστάτη.
Σκιρτῶμεν οὖν σκιρτῶμεν, ἄνδρες, ὁμμάδην,
θεοῖς θύωμεν σῶστρα τοῖς σωτηρίοις.
Ἰδού, Δοσίκλεις, ἡ Ῥοδάνθη, μὴ κλάε·
ἰδού, Ῥοδάνθη, χαιρέτω τὰ δάκρυα,
εἰς μακρὰν ἐρρίφθωσαν οἱ συχνοὶ γόοι.
Τὸν σαπρὸν ἐκδύθητι πέπλον, παρθένε,
καὶ τῆς Ῥοδάνθης ἄξιαν στολὴν λάβε.
Ἐλθὲ ξὺν ἡμῖν, συσσιτοῦ τῷ φιλτάτῳ,
κάθιζε σαυτὴν πλησίον Δοσικλέος.
Ἔχεις τὸν αὐτὸν ἄρτον ὑπουργουμένη,
ἀλλ' οὐχ ὑπουργὸς τοῖς ἐφεστιωμένοις·
ἔχεις τὸν αὐτὸν οἶνον, εἰ πίνειν θέλεις.
Μῆτερ, προκείσθω δευτέρα πανδαισία·
πανήγυριν στήσωμεν εὐκλεεστέραν,
χορῶμεν, εὐφρανθῶμεν ἡδονὴν νέαν·
τὰ πρῶτα κακὰ τοῖς νέοις ὑπεκρύβη."

Τοσοῦτον εἰπὼν ἐξανέστη τοῦ θρόνου
κἀκ τοῦ χιτῶνος τῆς κόρης εἰλημμένος,
ὃν ἐνδύναι δέδωκεν εὐθὺς ἡ Στάλη
λευκὸν καθαρὸν καὶ Ῥοδάνθης ἄξιον,
σύνεδρον αὐτὴν τῷ Δοσικλεῖ δεικνύει.
Πρὸς ταῦτα ποῖον γῆθος, ἡδονὴ πόση.
Τίς οὐκ ἐνετρύφησε τοῖς τελουμένοις;
τίς οὐ θεοῖς δέδωκεν εὐχαριστίαν;
Κοινὴ τὰ πάντα χαρμονή, κοινὸς κρότος.
Μόνη Μυρίλλη τῇ θυγατρὶ τῆς Στάλης
ἡ χαρμονὴ πρὸς πένθος ἀνταναστρέπει.
Ἐπεὶ γὰρ οὗς ἔδοξεν εὐτυχεῖς γάμους
καὶ τὸν προελπισθέντα καλὸν νυμφίον
(ἐρωτικῆς γὰρ ἐλπίδος χειρογράφῳ
αὐτὴ προηγγύησε τὸν Δοσικλέα)
ἐπεὶ τὰ λέκτρα ταῦτα, τοῦτον τὸν γάμον
ἥρπαστο καὶ κέκαρτο πᾶσαν ἐλπίδα,
τῆς δουλίδος τὰ φίλα κλεψάσης λέχη,
ἐδυσφόρει τὸ πάθος, οὐκ ἐκαρτέρει·
370 *ἐζηλοτύπει τὴν πρὸ μικροῦ δουλίδα·*
πικρῶς ἐπωφθάλμιζε τῷ κορασίῳ.
Τούτοις μὲν οὖν ἔληξεν οὗτος ὁ κρότος,
ναὶ δῆτα καὶ τὸ δεῖπνον αὐτῷ τῷ κρότῳ·
οὐ μὴν ἔληξε καὶ Μυρίλλης ὁ φθόνος,
ἀεὶ δ' ἀπαξάπαντα τοῦ λοιποῦ χρόνου
κακορράφων ἔρραπτε λίνα δικτύων,
δι' ὧν ἀγρεῦσαι τὴν Ῥοδάνθην ἰσχύσοι.
Ὡς οὖν ἅπας κέκλειστο τῷ φθόνῳ τρόπος,
(τὰ πάντα γὰρ δραμοῦσα πάντων ἠστόχει)
τέλος τί ποιεῖ; ποῖον ἀρτύει δόλον;
Σκύφον ποτοῦ πίμπλησι δηλητηρίου
καὶ τοῦ Κρατάνδρου πρὸς δὲ καὶ Δοσικλέος

ὡς εἰς κυνηγέσιον ἐξωρμηκότων,
διδοῖ πιεῖν ἐκεῖνον ἐν δείπνῳ μέσῳ.
Τοῦ δὲ κρατῆρος τοὔργον οὐ ταχὺς φόνος,
οὐδὲ φρενῶν ἔκστασις οὐδ' ἄλλη νόσος,
μόνη δὲ πάντως πάρεσις τοῦ σαρκίου.
Τῆς οὖν Ῥοδάνθης ἐκπιούσης τοῦ σκύφου
εὐθὺς παρηρθρώθησεν ἡ πᾶσα πλάσις,
ἡ πᾶσα σὰρξ παρεῖτο, καὶ νεκροῦ δίκην
ἔχρηζε τοῦ κινοῦντος οὐ κινουμένη.
Ὢ ζηλοτύπου καρδίας καὶ βασκάνου·
373 ἐφ' ᾧ τυχεῖν ἔρωτος, ἐντυχεῖν γάμῳ,
ὧν οὐ τυχεῖν ἔμελλεν ἐνδίκῳ κρίσει,
ἐφ' ᾧ συνελθεῖν τῷ Δοσικλεῖ νυμφίῳ,
δέδωκε σαρκὸς πάρεσιν τῇ παρθένῳ.
Οὐ χεὶρ ἐκεῖ πράττουσα καὶ κινουμένη,
οὐ δάκτυλοι ποιοῦντες οὐδὲν οὐδέπω,
οὐ ποῦς ἐκεῖ πρὸς οἶμον εὖ ἐσταλμένος,
οὐ γλῶττα λάλος, οὐ κινούμενον στόμα.
Τί μοι τὰ πολλὰ καὶ τὰ πρὸς μέρος λέγειν;
ἁπλῶς γὰρ εἰπεῖν καὶ συνεκτικῷ λόγῳ,
ἐνεργὸν οὐδὲν τῶν μελῶν τῇ παρθένῳ.
Ἡ μὲν Μύριλλα ταῦτα βασκάνῳ τρόπῳ.
Τί δ' ἡ θεῶν χεὶρ καὶ τὰ δεσμὰ τῆς Δίκης;
Οὐκ εὐθὺς ἀντέστραπτο τῇ πονηρίᾳ;
Μέντοι· μισεῖ γὰρ τὴν κακότροπον φύσιν.
Ὁ γοῦν Δοσικλῆς καὶ Κράτανδρος, ὡς ἔφην,
θηρῶντες ὡς θηρῷεν ἐν λόχμαις μέσαις
ἄρκτον νοσοῦσαν εὗρον ἡμιπληξίαν,
τοῖς δεξιοῖς μὲν νεκράν, οὐ κινουμένην,
εὐωνύμοις δὲ προσεσυρμένην μόνοις.
Ὡς δὲ προῆλθεν εἰς ποηφόρον τόπον,
ἀνεσπακυῖα ποίαν εὐπρεπεστάτην,

ἧς ῥίζα λευκή, φύλλον ἀμφερὲς ῥόδοις,
374 ῥόδοις ἐρυθροῖς, οὐχὶ λευκόχροις ῥόδοις,
χαμαιγενεῖς ἔχουσαν καὶ πολλοὺς κλάδους,
ὥνπερ τὸ δέρμα ποιητικοῦν τὴν ἰδέαν·
τρίχρους ἁπλῶς ἡ πᾶσα τῆς πόας χάρις — 475
ταύτην περιτρίψασα τῷ νεκρῷ μέλει
ἡ φυσικὴ τεχνῖτις (ἄρκτος ἦν ἔγημεν)
τὸ νεκρὸν ἐξώωσεν ἅπαν σαρκίον
καὶ φυγὰς ἀρτίσωμος ᾤχετο δρόμῳ.
Ταύτην Δοσικλῆς τὴν ξένην ὁρῶν θέαν 480
καὶ θαυμάσας τὸ πρᾶγμα (πῶς γὰρ οὐκ ἔδει,
εἰ φυσικῷ τὰ ζῶα γιγνώσκει λόγῳ
ἃ καὶ μαθόντες ἀγνοοῦμεν πολλάκις;)
κύψας ἀνῆρε τὴν ἰάτειραν πόαν·
καὶ μὴ μελήσας μηδὲ πολλοστὸν χρόνον 485
ἅμα Κρατάνδρῳ πρὸς τὸν οἶκον ἐτράπη.
Δοῦλος δὲ τούτους εἰσιόντας προφθάσας
οἰκτρῶν κατῆρχεν ἀθλίων μηνυμάτων,
τὴν πάρεσιν, φεῦ, μηνύων τῆς παρθένου.
Οἵαν Δοσικλῆς ἔσχεν εὐθὺς καρδίαν, 490
οἵων ἀκούσας ἥψατο θρηνημάτων
οὐκ ἔστι μὴ παθόντας εἰπεῖν ὡς ἔχει.
"Φεῦ, πάλιν ἀρχὴ δραμάτων ἄλλων, Τύχη,
πάλιν γέλως σοι καὶ Δοσικλέι πόνος.
377 Νοσεῖ Ῥοδάνθη πάρεσιν τοῦ σαρκίου 495
καὶ ζῶσα θνήσκει, μηδαμῆ κινουμένη·
νοσεῖ Ῥοδάνθη, καὶ Δοσικλῆς ἱππότης
καὶ πρὸς κυνηγέσια καὶ θήραν τρέχει.
Χθὲς τὴν Ῥοδάνθην εἶδον, ὦ πικρὲ Φθόνε·
χθές, οὐ πρὸ καὶ πρώτριτα, δυσμενὴς Τύχη." 500
Ἔλεξε ταῦτα καὶ προσελθὼν τῇ κόρῃ
καὶ τὸ προῆκον ἐξαποστάξας ὄακρυ

τὸν κόλπον ἠρευνᾶτο τῆς πόας χάριν.
Ὡς δ' εὗρεν ἐξήγαγεν καὶ περιχρίσας
τὴν σάρκα πᾶσαν τῆς παρειμένης κόρης
ἔρρωσεν ἐζώωσεν· ὦ θεία χάρις.
Ἡ μηδ' ὅπως οὖν μηδαμῆ κινουμένη
ἀνήλατο, προσῆλθε τῷ ποθουμένῳ,
ἐπέσχε δακρύοντα τῆς θρηνῳδίας.
Ταύτην Δοσικλῆς ζῶσαν ἑστῶσαν βλέπων,
λαλοῦσαν ὡς βούλοιτο καὶ κινουμένην,
"ἔγνων, θεοὶ σωτῆρες" ἐξεκεκράγει,
"ὡς τῶν ἐμῶν κήδεσθε καὶ τῶν τῆς κόρης.
Ὑμῖν ἐμαυτὸν εἰς τὸ πᾶν ἐπιτρέπω·
ὑμῶν ἀναρτῶ τοῦ γάμου τὰς ἐλπίδας.
Σοὶ δ', ἄρκτε, τίς γένοιτο παρ' ἡμῶν χάρις
εἰς ἀνταμοιβὴν ἧς ἔδως χρυσῆς πόας;
378 Ἦ μὴν (θεοὶ δὲ μαρτυρούντων τῷ λόγῳ)
οὐκ ἄν ποτ' ἄρκτοις ἐντινάξαιμι σπάθην
οὐδὲ ξίφος θήξαιμι τοῖς διδασκάλοις."
Τοσοῦτον εἰπὼν ἠσπάσατο τὴν πόαν
καὶ "χαῖρε" φησὶ "γῆς θύγατερ ὀλβία,
ζωωτρία θνήσκοντος ἀνθρώπων γένους,
ψυχωτρία κλιθέντος εἰς ἀψυχίαν,
ἄρθρων ἀνάρθρων καὶ μελῶν παρειμένων
συνδεσμὲ καὶ κίνησις οὐ κινουμένων.
Οὕτω θεοὶ σώζοιτε τὸν Δοσικλέα·
οὕτω Ῥοδάνθης ἀντιλαμβάνου, Τύχη·
Ἑρμῆ λόγιε, μνημόνευε τοῦ λόγου
καὶ τοὺς ὑποσχεθέντας ἐκτέλει γάμους.

Θ

Τοσοῦτον εἶπεν ἢ τυχόν τι καὶ πλέον
ὁ πάντα καλὸς τῆς Ῥοδάνθης νυμφίος,
λέγειν τὰ πλεῖστα τῆς χαρᾶς δωρουμένης,
ἧς συμμεριστὴς καὶ Κράτανδρος καὶ Κράτων
αὐτῇ Στάλῃ καὶ πᾶσι τοῖς τῆς οἰκίας.
Μόνη Μύριλλα συντακεῖσα τῷ φθόνῳ,
καὶ μᾶλλον ὡς ἥμαρτε τῆς σκαιωρίας,
τὸ κοινὸν ἐντρύφημα, τὸν κοινὸν γέλων
οἰκεῖον εἶχε πένθος, οἰκεῖον δάκρυ.
Ἐπεὶ δὲ νὺξ προῆλθε φωτὸς ἐκστάσει,
καὶ πάντες ἐφύπνωττον ἐν μέσαις κλίναις,
μόνη Ῥοδάνθη πρὸς μόνον Δοσικλέα
ἔφη "Δοσίκλεις, ἀγαθὴ μὲν ἡ Στάλη,
καλὸς δὲ καὶ Κράτανδρος ὣς δὲ καὶ Κράτων,
σώζων, ξενίζων, ἐκ πλάνης ἐπιστρέφων·
καὶ Ζεὺς Ξένιος ἀντιδώσοι τὴν χάριν
τῷμῷ ξενιστῇ τῇ τ' ἐμῇ ξενιστρίᾳ,
ἀνθ' ὧν Δοσικλεῖ προσλαλεῖν ἔδοντό μοι,
ἀνθ' ὧν παρέσχον καὶ τύχην ἐλευθέραν·
ἡμῖν δὲ τὸ ξυνοῖσον ἐξευρητέον,
πάσαις δὲ βουλαῖς τοὺς πονηροὺς φευκτέον
καὶ τὴν ἑαυτῶν σκεπτέον σωτηρίαν
καὶ ποῖ λαθεῖν σχοίημεν εἰσηγητέον.
Τέως γε μὴν τὴν Κύπρον ἐκπορευτέον
καὶ τῆς Μυρίλλης τάχος ἀποστατέον
καὶ παντάπασι τὸν φθόνον φυλακτέον,
εἰ μὴ θέλοιμεν ταῖς πρὶν ἐμπεσχεῖν τύχαις.
Οἷαι δ' ἐκεῖναι καὶ πόσης τῆς πικρίας,
εὖ οἶσθα, πείρας πειραθεῖς διδασκάλου.
Ἦ γὰρ Μυρίλλης ὁ φθόνος λέληθέ σε;

Οὐ τὴν δοθεῖσαν φιάλην τοῦ φαρμάκου,
ἐξ ἧς παρείθην τὴν ὅλην διαρτίαν,
ἔγνως πόθεν κἀκ τίνος ἐστὶν αἰτίας;
οὐ τὸν καθ' ἡμῶν ἔσχες εἰδέναι δόλον,
τὴν ζηλοτύπου καρδίας κακουργίαν;
ἢ καὶ μαθὼν ἔστερξας ἴσως τὸ δρά μα
καὶ τῆς Ῥοδάνθης ὥσπερ ἐβδελυγμένης
εἴλου Μυρίλλης μᾶλλον εἶναι νυμφίος;
Εἰ τοῦτο, συζεύχθητι τῇ ποθουμένῃ·
λάβῃ θάνατον ἡ Ῥοδάνθη νυμφίον·
οὐ γὰρ ἀποζυγεῖσα τοῦ Δοσικλέος
ἄνυμφος ἔσται, συμμιγῆ δὲ τῷ σκότῳ
καὶ τῶν Χάρωνος ἀπολαύσει παστάδων.
Εἰ δ' ἄρα μὴ σὺ τῆς Μυρίλλης τὸν δόλον
σύνοιδας, ἐκφύγωμεν ἐκ Κύπρου μέσης,
μή που κατακριθῶμεν αὐτοχειρίαν,
οὐκ ἐκφυγόντες ὃν προήδειμεν φόνον.
Καλὸς Κράτανδρος, ναὶ καλός, καλὴ Στάλη,
ναὶ γὰρ καλή, μέντοι γε καλὸς ὁ Κράτων·
ἀλλ' οὐκ ἐμοὶ γοῦν καλλίων Δοσικλέος.
Ἐμοὶ μὲν ὡς Μύριλλαν ἀποφευκτέον
δοκεῖ συνοῖσον· οἷς δὲ φευκτέον τρόποις
καὶ ποῖ φυγόντας τὴν καλύβην κτισ_τέον
(ναὶ γὰρ καλύβην, ὡς ἔδοξε τῇ τύχῃ)
τῆς φροντίδος δέοιτο τοῦ Δοσικλέος."

Τούτους Δοσικλῆς τοὺς λόγους φθάσας ἔφη
"ὡς μὲν καλὸς Κράτανδρος, ὡς καλὴ Στάλη,
ὡς πάντα χρηστός, ὡς ἀγαθὸς ὁ Κράτων,
τῷ σῷ λόγῳ σύμφημι κἀγώ, παρθένε·
μὴ γὰρ τόσον πίοιμεν ἐκ λήθης πόμα
μηδ' ὕστερον πάθοιμεν ἀχαριστίας,
ὡς ἐκλαθέσθαι τῶν ξενίων ἁλάτων.

Ὡς δ' ἄρα καὶ Μύριλλαν εἰσέλθοι φθόνος
καὶ ζηλοτύπου μανίας καινὴ νόσος,
ἔγνων· ἐρῶν γὰρ τὰς ἐρώσας καρδίας
ῥᾷον διαγνῷ καὶ τί πάσχοιεν μάθῃ·
ἃ δὲ πρὸς ἀρχῇ τῆς ἁβρᾶς εὐωχίας
πέπονθε καὶ δέδρακεν, οὐ λέληθέ με·
ὡς δὲ προῄχθη πρὸς φθόνου τόσον πάχος,
ὡς καὶ Ῥοδάνθῃ φαρμάκων κιρνᾶν σκύφους,
ἐφ' ᾧ γένοιτ' ἂν πάρεσις τῷ σαρκίῳ,
ὅπως ἐπ' αὐτὴν ἀντικάμψω τὸν πόθον
ἰοὺ Ῥοδάνθης τῶν μελῶν παρειμένης,
οὐπώποθ' ὑπώπτευκα· μάρτυς ἡ Δίκη.
Καὶ ποῦ γὰρ ἂν ἦλπιστο τῷ Δοσικλέι
οὕτω Μύριλλαν τῶν φρενῶν ἀφεστάναι,
ὡς προσδοκῆσαι τὸν Δοσικλῆν ἑλκύσαι,
εἰ τῇ Ῥοδάνθῃ παρεθείσῃ προσβλέποι;
ὃς τηνικαῦτα καὶ σπάθην ἐσπασμένος
μέσων κατ' αὐτῶν ἐγκάτων ἐπῃξάμην;
Οὐ γοῦν προῄδειν τῆς Μυρίλλης τὸν δόλον·
οὐχὶ προῄδειν, οὐ μὰ τοῦτο τὸ στόμα,
οὐ μὰ τὸ χεῖλος τοῦτο" καὶ λέγων ἅμα
ἄμφω προσεπτύξατο καὶ συνεπλάκη.
"Ἐπεὶ δὲ νῦν ἔγνωκα τὴν σκαιωρίαν,
σοὶ τῇ Ῥοδάνθῃ συντυχὼν διδασκάλῳ
ἐρήσομαί σε, σὺ δ' ἀποκρίθητί μοι.
Εἰ Κύπρον ἁπλῶς ἐκφυγεῖν ἐπιτρέπεις,
ὡς ἂν ψιλὴν θέλησιν εἰς πέρας φέρῃς
καὶ τὸν Δοσικλῆν ἀκριβέστερον μάθῃς,
εἰ μέχρι καὶ νῦν ἀγνοεῖς αὐτὸν τέως,
ἐφέψομαί σοι, καὶ τί γὰρ ποιεῖν ἔχω;
εἰ δ' ἄρα βουλῇ καὶ σκοπῷ τὸ πᾶν δίδως,
βουλεύσομαι· θεὸς δὲ τὴν βουλὴν βλέποι.

Καὶ σὺ δὲ συμβούλευε συμπερισκόπει
μή που λαθόν με τὸ ξυνοῖσον ἐκφύγῃ·
κοινὴ γὰρ ἀμφοῖν ἐστὶν ἡ σωτηρία.
Πρῶτον μὲν οὖν δέοιτο βουλῆς καὶ λόγου
ποῖ καὶ τράπωμεν Κύπρον ἐκπεφευγότες
(τὰς γὰρ σύνεγγυς ἠγνοήσαμεν πόλεις),
τίνας δὲ καὶ σχοίημεν ὡς ποδηγέτας,
ἄν που τυχὸν θέλοιμεν ἐξαποδράναι·
οὐδεὶς γὰρ ἡμῖν γνησιαίτατος φίλος.
Ἔπειτα κἂν φύγοιμεν εἰς ἄλλην πόλιν,
τίς ἐγγυᾶται καὶ θεοὺς ὄμνυσί μοι
390 μὴ χεῖρα λῃστοῦ μήτε βάρβαρον στόλον
μηδὲ Βρυάξην δυσμενῆ βασιλέα
ἐλθόντα συνδῆσαί με δεσμοῖς ἀλύτοις
καὶ δοῦλον ἐκπέμψαί με πρὸς τὴν πατρίδα;
Κἂν θυσιάζειν τίς με τοῖς θεοῖς θέλῃ,
τίς τοῦ πυρὸς ῥύσαιτο δεύτερος Κράτων
καὶ τοῖς ἑαυτοῦ προσκαθιδρύσας δόμοις
δοίη Ῥοδάνθης τῷ προσώπῳ προσβλέπειν;
Ἐμοὶ μὲν οὖν ἡ Κύπρος ἀσφαλεστέρα
ὑπέρ γε πᾶσαν ἀγνοουμένην πόλιν,
ἣν εἶδον, ἣν διῆλθον, ἧς ἐπειράθην,
ἕως θεοὶ δείξαιεν ἔνθα στρεπτέον·
καὶ συμφέρει Μύριλλαν ἐγκοτεῖν μόνην,
μίαν γυναῖκα, μὴ στρατοὺς ἀνδρῶν ὅλους,
λῃστῶν διωκτῶν, ἁρπάγων ἀλαστόρων,
ὠμῶν φονευτῶν, αἱμοχαρῶν βαρβάρων.
Εἰ δ' ἄρα μή σοι συνδοκεῖ καλῶς κρίνειν,
σκοπήσομεν γοῦν εἰς νέωτα τὸν λόγον.
Νῦν δὲ φράσον πῶς καὶ πόθεν καὶ πηνίκα
καὶ τίς ποτε πρὸς Κύπρον εἰσήνεγκέ σε;"
"'Εχρῆν, Δοσίκλεις" ἀντέλεξεν ἡ κόρη,

"μὴ πυνθάνεσθαι τὰς προλαβούσας τύχας,
σκοπεῖν δὲ μᾶλλον τῶν παρεστώτων πέρι,
393 ὡς εὖ ἀνυσθῇ καὶ πέρας χρηστὸν λάβῃ·
αἱ μὲν γὰρ εὗρον οἷον ἂν εὗρον τέλος,
τὰ δὲ σκοποῦ δέοιτο καὶ συμβουλίας,
ὡς ἂν τελευτὴν αἰσίαν λαβεῖν ἔχοι.
Καὶ τὰς μὲν ἠνύσαμεν οἵῳ τῷ δρόμῳ,
κακῷ μὲν εἰπεῖν, εὐλαβοῦμαι τὸν λόγον,
καλῷ δὲ πάλιν, οὐκ ἀληθεύειν ἔχω·
ἠνύσαμεν δ' οὖν, ὡς δέδωκεν ἡ Τύχη·
τὰ δ' ἐλπίδων σταθμῶσι πλάστιγγες δύο,
ἡ μὲν πονηρῶν, ἃς ἀποτρέποις, Τύχη·
ἡ δ' οὐ πονηρῶν, αἷς θεοὶ δοῖεν τέλος.
Καλὸν μὲν οὖν ἦν τῶν ἐνεστώτων πέρι
σκοπεῖν ὅπως ἂν δεξιὸν πέρας λάβῃ·
ἐπεὶ δὲ τὴν φθάσασαν ἐκζητεῖς τύχην,
λέγειν ἀνάγκη· καὶ τί γὰρ ποιεῖν ἐχω
ἐπιτρέποντος τοῦ φίλου Δοσικλέος;
Οἷον μὲν ἦν τὸ κῦμα καὶ τίς ἡ ζάλη,
ὅταν ἐπιστεύθησαν ἡμᾶς τὰ σκάφη
εἰς Πίσσαν ἐκπλέοντα δυσμενεῖ τύχῃ,
οὐ χρὴ μαθεῖν παθόντα καὶ μαθόντά σε·
τὰ δ' ἔνδον οὐδὲν ἦ Φθόνος κακὰ πλέκων
καὶ χεὶρ θεῶν λύουσα τὰς πλοκαμίδας.
Ἦναῦς γὰρ ἦν εἰσῆλθον εὐθὺς ἐρράγη,
394 ὁ φόρτος ἅπας τῷ βυθῷ προσερρίφη,
ἐγὼ δὲ τῷ κλύδωνι συμμεθειλκόμην,
μικρῷ παριζήσασα προσβάδην ξύλῳ,
ἐφ' ᾧ τρόμῳ μέν, ὑπερέπλεον δ' ὅμως."
"Θεῶν λέγεις πρόνοιαν, ὡς ἔσωζέ σε"
τεμὼν Δοσικλῆς τὴν διήγησιν λέγει
"ὑπὲρ κορυφῆς ἀφανῶς ἱπταμένη

καὶ τῷ ξύλῳ διδοῦσα χειραγωγίαν."
"Μικρὸν προῆλθον" εἶπεν ἡ κόρη πάλιν
"καὶ πληθὺς εὐθὺς ἐμπόρων σώσασά με
ὤνιον ἀντέδοντο τῆς σωτηρίας
εἰς χρυσίνων μνῶν καὶ μόνην τριακάδα."
"Κερδαλέον τὸ χρῆμα, σεμνὴ παρθένε"
ἔφη Δοσικλῆς, "ηὐτύχησας τὴν πρᾶσιν,
εἰ τρὶς δέκα μνῶν ἐπρίω ζωὴν ὅλην·
καὶ τίς γένοιτ' ἂν ἀγοραστὴς βελτίων
τοῦ χρυσίῳ τὸν βίον ὠνησαμένου;"
"Ὡς δ' ἐν βαθείαις νυξὶν ἐθρήνησά σε"
ἔφη Ῥοδάνθη πάλιν, "ὡς ἔκλαυσά σε,
ὡς τῆς κεφαλῆς ἐσπάραξα τὴν κόμην,
ὡς τὸ πρόσωπον ἐξεδρύφθην πολλάκις,
ὡς τὰς παρειὰς" (καὶ λεγούσης τῆς κόρης
κύψας Δοσικλῆς ἠσπάσατο τοὺς τόπους)
397 "ἐμῶν ἐκοκκίνησα βαφαῖς αἱμάτων,
ὡς πικρόν, ὡς μέγιστον ὠλόλυξά σε
λέγειν περιττόν· ἓν δὲ γιγνώσκοις μόνον,
ὡς δάκρυ τοὐμόν, ἡ πικρὰ θρηνῳδία,
τοῦ Κύπρον οἰκεῖν τὸν Δοσικλῆν αἰτία."
Οἱ μὲν (νέοι γὰρ καὶ πόθων ὑπηρέται)
τὴν νύκτα πᾶσαν ἐν λόγοις κατηνάλουν·
Μοῖραι δ' ἐπεκλώθοντο τῷ χρυσῷ λίνῳ
πλάνης τελευτὴν καὶ συναφὴν τῶν νέων.
Ὁ γὰρ Λύσιππος πρὸς δὲ τούτῳ καὶ Στράτων,
οἱ τῶν ἐραστῶν εὐγενεῖς φυτοσπόροι,
τοὺς παῖδας ἁρπασθέντες ἐκ κόλπων μέσων,
ὁ μὲν Δοσικλῆν καὶ Ῥοδάνθην ὁ Στράτων,
ἐπεὶ μακρὰν ἔρευναν ἐξηνυκότες
εἰς χέρσον εἰς θάλατταν εἰς τὰ κυκλόθεν
οὐκ ἔσχον εὑρεῖν οὐδαμοῦ τοὺς φυγάδας,

τέλος διεγνώκεισαν ἐλθεῖν Δελφόσε,
ὡς τοῦ θεοῦ πύθοιντο τῶν παίδων πέρι.
Ἤροντο γοῦν ἐλθόντες εἰς τὴν Πυθίαν,
καὶ μὴ βραδύνας μηδὲ μικρὸν ὁ τρίπους
ἀνεῖλε τοῖς γέρουσι ταῦτα πατράσι
Τίπτε, δύω γενέτα, πολυηράτοιό τε μόσχου
πόρτιος θ' ἁπαλῆς σκολιὰς δίζεσθε κελεύθους;
398 Χέρσῳ ὑφ' ἁλικλύστῳ, ζωοτρόφον ποτὶ νᾶσον,
ἣν λάχε Κυπρογένεια Πόθου γενέτειρ' Ἀφροδίτη
ἠὲ παρασχομένη τόδε οὔνομα ἠὲ λαβοῦσα,
δερκόμενοι βιόωντας ἐλεύσετε· ἀλλ' ἐπὶ πάτρης
στέψαθ' ὑπὸ στεφάνοισι τροπαιοφόρου Κυθερείης·
τοὺς γὰρ Ἔρως τε Πόθος τε καὶ Ἀφρογένεια Κυθήρη
δμήσατο θειοδέτοιο ἀλυκτοπέδῃσι σιδάρου."
Ἡ μὲν Πυθία ταῦτα τοῖς γηραλέοις.
Τὸ δ' ἄρα χρησμῳόδημα λοξὸν τυγχάνον,
ὁποῖα πάντως οἶδεν ὁ τρίπους λέγειν,
πολλοῖς λογισμοῖς ἐξέδω τοὺς ἀθλίους.
Ὁ γὰρ ἐνεγκὼν τὴν Ῥοδάνθην εἰς βίον
(ὡς δὲ Στράτων καλοῖτο γιγνώσκειν ἔχεις)
κακῶς τὸ χρησμῳόδημα τοῦ θεοῦ κρίνων
ὤμωξεν ἐστέναξεν ἦρχε δακρύων,
δοκῶν τὸν υἱὸν ἐκθανεῖν εὑρημένον,
στιγμὴν ἀμαθῶς εἰς τὸ βιοῦντας τιθεὶς
κἄπειτα τοῖς ἔπειτα προσδιατρίβων.
Οὐ μὴν διέδρα καὶ Λύσιππον ὁ τρίπους,
γνοὺς δ' ἐξεσάφει τῷ Στράτωνι τὸν λόγον,
καλῶς διαγνοὺς τὸν σκοπὸν τῆς Πυθίας,
"ὡς ἄρα κατὰ Κύπρον εἰσὶν οἱ νέοι,
ὡς ἄρα καὶ βιοῦντας ἴσχοιμεν βλέπειν
οὓς οὔποτ' ἠλπίσαμεν ἐν βίῳ βλέπειν·
401 ὡς ἄρα συζευχθέντες ἀλλήλοις γάμῳ

ἡμῶν λάθοιντο, καὶ τελευτὴν ὁ τρίπους
τὴν λησμοσύνην εἶπε τῶν φυτοσπόρων."
Πεισθεὶς Λυσίππῳ ταῦτα φαμένῳ Στράτων
"ναὶ δεῦρο" φησὶ "συμμολῶμεν εἰς Κύπρον,
κἂν προσμένοιεν οἱ φυγάδες τῷ βίῳ,
γάμου προσεμπλέξωμεν αὐτοῖς παστάδα,
ἐπεὶ δοκοῦσι ταῦτα τοῖς ἀθανάτοις."
Ἔπεισεν εἰπὼν τὴν Λυσίππου καρδίαν·
κἀπεὶ διατρίψαντες οὐ μικρὸν δρόμον
ἐπιδράμοιεν τὴν Ἄβυδον Δελφόθεν,
εἰς Κύπρον ἐξώρμησαν εὐθὺς ὁμμάδην.
Ἐπεὶ δὲ καὶ τὴν νῆσον εἰσβαῖεν μέσην,
παντὸς παρεισήεισαν ἀνθρώπου δόμον,
ἀνδρῶν προσαιτῶν σχῆμα προσπεπλασμένοι·
οὐ γὰρ ὁ χρησμὸς εἶπε καὶ τὴν οἰκίαν.
Ἐπεὶ δὲ μακρῶν ἡμερῶν περιδρόμῳ
φθάσαιεν ὀψὲ καὶ τὸν οἶκον τῆς Στάλης,
ἰδοῦ Δοσικλῆς εἰς τὸν ὕπαιθρον δόμον.
Ὡς δὲ προκύψας εἶδε τοὺς γεραιτέρους
καὶ τίνες ἀνέγνωκεν ἐκ τῆς ἰδέας,
χαρὰν πεπονθὼς συμμεμιγμένην φόβῳ
καὶ τῇ Ῥοδάνθῃ προσπεσὼν καθημένῃ
402 "ὄνειρος" εἶπε "ταῦτα, σεμνὴ παρθένε;
ὄνειρος" εἶπε "ταῦτα καὶ φαντασία;
πλαστογραφία, ψεῦδος, ὀφθαλμοῦ πλάνη;
ἦ που καθ' ὕπνους τῷ Λυσίππῳ προσβλέπω
καὶ φασματοῦμαι τοῦ Στράτωνος τὴν θέαν;
ἄμφω γὰρ εἶδον εἰσιόντας τὴν θύραν.
Εἴ που δ' ἀπιστεῖς, δεῦρο καὶ σὺ καὶ βλέπε·
κἂν μὴ θεάσῃ, φάσμα πάντως ἡ θέα·
εἰ δ' οὐχὶ φάσμα, πῶς γε μὴν προσιτέον
σκοποῦ δέοιτ' ἂν καὶ σοφῆς συμβουλίας.

Φύγοιμεν ἢ σταίημεν ἐξ ἐναντίας;
Φυγεῖν μὲν αἰσχρὸν καὶ λιπεῖν τοὺς πατέρας
μακρὸν δι' ἡμᾶς οἶμον ἐξηνυκότας·
στῆναι δὲ πρὸς πρύσωπον αἰδὼς καὶ φόβος.
Πλὴν οὖν (τί γὰρ πάθωμεν;) ἐγγὺς ἰτέον
καὶ τοὺς τεκόντας γνησίως ἀσπαστέον.
Ἐρυθριᾷς μέν, οἶδα, τὸν φυτοσπόρον·
ἐρυθριᾷς μὲν καὶ προσελθεῖν αἰσχύνῃ,
μή σε προσείπῃ λειπόπατριν ὁ Στράτων·
πλὴν ἀλλὰ γὰρ τὸν φύντα μὴ παροπτέον·
ἔχεις ἀφορμὴν τῆς φυγῆς τυραννίδα.
Τβριστικῶς πρόσειπε τὸν Δοσικλέα,
λῃστήν, βιαστήν, ἅρπαγα, κλέψαντά σε·
ναὶ γὰρ τετυράννηκα λῃστρικῷ νόμῳ·
ναὶ τὴν Ῥοδάνθην ἐκ βίας ἡρπασάμην."
Τοσοῦτον εἶπεν ἢ τυχόν τι καὶ πλέον
καὶ τῆς Ῥοδάνθης τῷ λόγῳ πεπεισμένης
ἅμα προσῆλθον τοῖς ἑαυτῶν πατράσι,
καὶ προσπεσόντες τοῖν ποδοῖν ἑκατέρου,
ὁ μὲν Λυσίππου, καὶ Στράτωνος ἡ κόρη,
ἔλουον αὐτοὺς ἄλλο λουτρὸν δακρύων,
ἡ μὲν σιγῶσα καὶ λέγειν αἰδουμένη,
ὁ δὲ προτείνων τοὺς θεοὺς ἀθανάτους
καὶ σπλάγχνα πατρὸς καὶ φιλάνθρωπον φύσιν,
ὡς παντελῶς λάθοιτο τῆς παροινίας,
"ἀρκεῖ" λέγων, "ὦ πάτερ, εἰς τιμωρίαν
ἡ λῃστρικὴ χείρ, ἡ τυραννίς, ἡ πλάνη·
ἀρκεῖ τὰ δεσμά, τῆς φυλακῆς τὸ σκότος,
ἡ φλόξ, τὰ ναυάγια, τὸ στίλβον ξίφος,
ὁ μυρίος θάνατος, οἱ συχνοὶ φόνοι·
ἀρκοῦσα, πάτερ, ἡ τύχη ποινηλάτις,
δριμεῖα, ναὶ δριμεῖα τῷ Δοσικλεῖ,

ἦν ἐκ λόγων σύ, μὴ γὰρ ἐκ πείρας μάθοις.
Καὶ σοὶ δὲ ταῦτα, δέσποτα Στράτων, λέγω·
ἐγὼ τὸ θυγάτριον ἐξέκλεψά σου
καὶ τῆς ποθεινῆς παιδὸς ἐστέρησά σε.
406 Νῦν δ' ἀλλ' ἱλήκοις κἂν πεπαρῳνηκά σε.
Εἰ δ' ἐγκαλεῖν βούλοιο τὴν παροινίαν,
ἐγὼ διδοίην τοῦ κακοῦ τὰς εὐθύνας.
Ἰδοὺ πρόκειμαι, μαστίγου, κόλαζέ με,
πλήσθητι σαρκῶν, αἱμάτων κόρον λάβε.
Ὁ φώρ, ὁ λῃστὴς ἐν χεροῖν· δέσμει πόδας,
πᾶσαν βάσανον ἐννόει, μιᾶς δίχα·
μὴ τὴν Ῥοδάνθην ἐξ ἐμοῦ διασπάσῃς
οἰκτρῷ μερισμῷ καὶ πικρᾷ διαιρέσει,
οὓς οἱ θεοὶ συνῆψαν ἐξ ὀνειράτων."
Οὕτω Δοσικλῆς καὶ λέγων καὶ δακρύων
ἐξιλεοῦν ἔσπευδε τοὺς φυτοσπόρους·
ὑποφθάσας δὲ τὸν Δοσικλῆν ὁ Στράτων
καὶ τὴν Ῥοδάνθην τοῖν ποδοῖν ἀνασπάσας
"ὦ δεῦτε" φησὶ "τέκνα, προσπτύξασθέ με,
ὦ δεῦτε, προσπλάκητε τῷ φυτοσπόρῳ
καὶ χεῖρας εἰς τράχηλον ἀρτήσατέ μου·
ὦ τέκνον, ὦ θύγατερ, ἀσπάσαιό με.
Ὦ δεῦρο νύμφη, δεῦρο λαμπρὲ νυμφίε·
ὡς εὐτυχὴς ὁ γάμος ὑμῶν, τεκνία,
τοῖς ἀθανάτοις εὐτυχῶν νυμφοστόλοις.
Χρηστὴν τελευτὴν ἔσχεν ὑμῖν ἡ πλάνη.
Ἔχεις, Δοσίκλεις, ἀνθ' ἑνὸς φύντας δύο·
409 ἔχεις, Ῥοδάνθη, μητέρων συζυγίαν."
Οὕτως ἀνακραγόντες οἱ γηραλέοι
ἄμφω προσεπλέκοντο τοῖς νεανίαις.
Τὸν σχηματισμὸν καινὸν ἐξεζωγράφουν·
ὡρῶντο γὰρ τέτταρες ἄνθρωποι κάτω

ὡς εἰς κεφαλὴν προσπεφυκότες μίαν.
Εἶδον κἀγὼ πολλάκις ἐν πολλοῖς πέπλοις
(οὕς δημιουργεῖ σηρικὴ μιτουργία,
μία μὲν οὖσα τῷ λόγῳ τῆς οὐσίας,
πολυχρόοις δὲ ταῖς βαφαῖς κεχρωσμένη)
τοιοῦτον εἰκόνισμα καινοῦ ζωγράφου,
ὑφαντικῆς εὕρημα δηλαδὴ τέχνης,
μίαν κεφαλὴν εἰς τετρακτὺν σωμάτων
διαιρεθεῖσαν, ἢ τετρακτὺν σωμάτων
οἷον συνιζηκυῖαν εἰς κάραν μίαν,
ζῷόν τι τετράσωμον, ἢ τοὐναντίον
μονοπρόσωπον τεττάρων ζώων πλάσιν,
λέοντα καὶ λέοντας· οἱ γὰρ αὐχένες
ἅπαν τὸ λοιπὸν σῶμα τῆς οὐρᾶς μέχρι
τοὺς θῆρας ἐπλήθυνον τῇ διαστάσει·
τῷ δὲ προσώπῳ πάντες ἦσαν εἷς λέων.
Τούτοις ὁμοιόσχημον ἤθελε γράφειν
ἡ τῆς χαρᾶς χείρ, ἡ σοφὴ γεωμέτρις,
τῶν πατέρων τὸ σχῆμα καὶ τῶν παιδίων,
ὅτε προσεπλάκησαν ἀλλήλοις ἅμα.
Καὶ ῥᾷον ἄν τις συμφυεῖς πτόρθους δύο
λεπτοὺς χρονίους ἐμπλακέντας ἐκλύσοι
ἢ τοὺς τεκόντας ἐμπλακέντας τοῖς τέκνοις.
Ἀλλ' οἱ νέοι καὶ πάλιν οὐχ ἧττον νέοι.
Εἰς τοὐμφανὲς φιλοῦσα τὸν φυτοσπόρον
κρύβδην ἐφίλει τὸν Δοσικλῆν ἡ κόρη,
κἀκεῖνος αὐτὰ ταῦτα παντοίως ἔδρα,
ἄκρον τὸ χεῖλος τῷ Λυσίππῳ προσπλέκων,
ὅλον δὲ διδοὺς τῇ Ῥοδάνθῃ τὸ στόμα,
σφᾶς οἷον αὐτοὺς ὥσπερ ἀνεγνωκότες·
καὶ τῶν φθασάντων φανερῶν φιλημάτων
πλείω παρεῖχον τὰ κλαπέντα τὴν χάριν.

Τοσοῦτον ἐξήκμαζεν αὐτοῖς ἡ σχέσις.
Ἐντεῦθεν οἶμαι τῶν παλαιῶν οἱ λόγοι
λέγουσιν ἀγένειον εἶναι τὸν Πόθον,
τὴν σφοδρὰν ἀκμὴν τοῦ θεοῦ δεδειγμένοι.
Ὡς οὖν τὸ πλέγμα κἂν σχολῇ διεπλάκη,
πλατὺν Δοσικλῆς ἐξεκεκράγει λόγον
"ὦ καὶ ξενισταὶ καὶ ξένοι καὶ δεσπόται,
Κράτων, φίλε Κράτανδρε, παγκάλη Στάλη,
ὦ δεῦτε δεῦτε, συνεορτάζοιτέ μοι."
413 *Ὡς δὲ Κράτανδρος κατιὼν πτηνῷ τάχει*
τίς ἡ χαρὰ πύθοιτο τοῦ Δοσικλέος,
καὶ τὸν Στράτωνα τὸν δὲ Λύσιππον μάθοι,
ἀμφοῖν προσελθὼν καὶ φιλήσας εἰς στόμα
καὶ συλλαβὼν ἤνεγκεν εἰς τὸν πατέρα
καὶ "πάτερ" εἶπεν, "αἱ προελθοῦσαι τύχαι,
οἶμαι, μικραὶ φανεῖεν εἰς χαρᾶς λόγον,
εἰ συγκρίνειν βούλοιο ταύτας ταῖς νέαις.
Οἱ νῦν παρόντες ἄνδρες οὓς δεῦρο βλέπεις,
πατὴρ Ῥοδάνθης καὶ πατὴρ Δοσικλέος."
Μὴ γοῦν τὸ λοιπὸν καρτερήσας ὁ Κράτων,
ὡς καὶ προβῆναι τὸν λόγον περαιτέρω,
στὰς ὄρθιος προσεῖπεν ἄμφω γνησίως
"Συμπατέρες χαίροιτε, συγγηραλέοι
καὶ συμμερισταὶ τῆς ἐμῆς διπλῆς τύχης
τῆς δυστυχοῦς πρὶν καὶ καλῆς ἐν ἐσχάτοις.
Τὴν μητέρα, Κράτανδρε, συγκαλεστέον·
κρατῆρα καὶ τράπεζαν εὐτρεπιστέον·
ξενιστέον δὲ καὶ φιλοφρονητέον
οὓς ἄνδρας ὁ Ξένιος ἐξέπεμψέ μοι·
δειπνητέον δὲ καὶ πανηγυριστέον
τροφαῖς κρατῆρσι κυμβάλοις βουθυσίαις,
ἅπασιν ἁπλῶς οἷς δυναίμεθα τρόποις.

414 *Αἰσχρὸν τὰ λῷστα τῶν θεῶν δωρουμένων*
ἡμᾶς τὸ δῶρον ἐν σιγῇ παρατρέχειν
καὶ μὴ χαρᾶς τὸ πρᾶγμα ποιεῖν αἰτίαν." 385
Ταῦτ' εἶπε, καὶ τὸ δεῖπνον ἠὐτρεπισμένον·
καὶ συγκαθιζήσαντες οἱ πάντες κύκλῳ
ταῖς ἀρτυθείσαις τῶν τροφῶν ἐνετρύφων.
Ἐπεὶ δὲ μηδὲν μὴ Λύσιππος, μὴ Στράτων
ἔσθοιεν, ἠδὺ προσγελάσας ὁ Κράτων 390
"*ἐπείπερ*" *εἶπεν* "(*ἀγνοῶ δὲ τὸν τρόπον*)
οὐδὲν φαγεῖν θέλοιτε τῶν προκειμένων,
ἐγὼ γελοίους ἐν μέσῳ προθεὶς λόγους
κἂν γοῦν δι' αὐτῶν ἑστιάσω τοὺς φίλους.
Τὴν παιδικὴν γὰρ ἀνύων ἡλικίαν 395
πολλὰς διέγνων μυθικὰς ληρῳδίας
γραὸς τιθήνης εὐπορῶν διδασκάλου.
Ὡς γάρ ποτ' αὐτῆς ἀπορῶν ἐπυθόμην
ἐφ' ᾧπερ ἀτροφοῦσιν οἱ γεγηθότες,
τοιοῦτον εἶπεν ἡ διδάσκαλος λόγον 400
'ὡς ἄρα τρώγει τὴν χαρὰν ἡ καρδία·
κἂν εἰ περιττὴν καὶ κόρου μέχρι φάγοι,
μηκύνεται πρὸς πλάτος, ὀγκοῦται μέγα
καὶ πάντα πλατυνθεῖσα πληροῖ τὸν τόπον,
τὴν κοιλίαν, τὰ στέρνα καὶ τὸν αὐχένα· 405
417 *καὶ παντὸς ἐμπλησθέντος ἐντεῦθεν μέλους*
ὅλην ὁ χαίρων ἀτροφεῖ τὴν ἡμέραν·
κενὸν γὰρ οὐδέν ἐστιν ἄγγος ἐντέρου,
ὃ τὴν τροφὴν δέξαιτο κἂν φαγεῖν θέλῃ.'
Ἡ μὲν τιθήνη ταῦτα διδάξασά με 410
γελᾶν παρέσχε μέχρι τοῦ δεῦρο χρόνου·
νῦν δ', ὡς ἔοικεν, εἰς ἅπαν τοὐναντίον
ὑπεκτραπῆναι κινδυνεύει τὸ δράμα,
ὀρθῶς μὲν οὖν μάλιστα καὶ καλῶς ἔχον,

τῆς ἀκριβείας ἄγαν ἐστοχασμένον.
Εἴπερ γὰρ ἄλλως εἶχεν, οὐδ' ὑμεῖς, φίλοι,
ἄσιτον ἠνύσατε τὴν εὐωχίαν·
ἀλλ', ὡς ἔοικε, τῆς χαρᾶς ἡ πληρότης
δεξαμενὴν ἔπλησε παντὸς ἐντέρου,
ὡς μηδὲ μίαν ἰσχύειν λαβεῖν ψίχα
ἤ τι κρέως μόριον ἢ μικρὸν μέθυ
ἤ τι πλακοῦντος ἢ σισαμοῦντος μέρος.
Ναὶ χαῖρε, τίτθη, γραῦς φιλοσοφωτάτη,
ὡς φυσικῶς ἔλυσας ἡμῖν τὸν λόγον.
Ἦ που τυχὸν καὶ βίβλον Ἐμπεδοκλέος
καὶ δέλτον ἀνέγνωκας Ἀναξαγόρου
κἀκ τῆς ἐρεύνης τῶν φυσικῶν πυξίων
οὕτω προῆλθες εἰς τὸ τὰς πεύσεις λύειν;
418 Ἐξ ὧν, δοκεῖ μοι, καὶ τὸ λημᾶν τὰς κόρας
ἔχεις προσεγκύπτουσα πυκνὰ ταῖς βίβλοις."

Τὸν οὖν Κράτωνος ἀνθυποφθάσας λόγον
"τοσαῦτα μὲν βέβρωκα χαρμονῆς κρέα,
τοσοῦτον ἐξέπιον ἡδονῆς μέθυ,
ὡς κἂν μυρίαν εἶχον ἐντέρων θέσιν"
Λύσιππος εἶπε, "κἂν μυρίας γαστέρας,
πάσας ἂν ἐμπέπληκα τῇ θυμηδίᾳ,
ὄγκον λαβούσης, ὡς λέγεις, τῆς καρδίας.
Ὅμως φυλάττει καὶ τόπον τῇ φιλίᾳ,
ὡς μὴ Κράτων θλίβοιτο." Καὶ λέγων ἅμα
τοῦ κειμένου σύνεγγυς ἥψατο κρέως.

Οὕτω ξενίσας τοὺς γέροντας ὁ Κράτων
ἕως τελευτῆς ἡμερῶν δυοῖν ὅλων,
ἐπεὶ κατασχεῖν οὐ δεδύνητο πλέον,
εὐξάμενος τὰ λῷστα, χρηστοὺς ἀνέμους,
χρηστὴν θάλατταν, ἡμερώτατον πλόον,
τέλος προσελθὼν καὶ φιλήσας εἰς στόμα

πέμπει τριταίους εἰς τὸν ἴδιον τόπον,
καλῷ προπομπῷ τῷ Κρατάνδρῳ χρωμένους·
ὃν ἠξίουν μὲν καὶ Λύσιππος καὶ Στράτων
ἀντιστραφῆναι πρὸς τὸ πατρῷον πέδον,
ἐπεὶ σὺν αὐτοῖς ἦλθεν ἄχρις εἰς Ῥόδον·
421 οὐ μὴν ἔπειθον προσδραμεῖν τῇ πατρίδι,
ἕως μετ' αὐτῶν γῆν πατήσας Ἀβύδου
ἴδοι Ῥοδάνθης καὶ Δοσικλέος γάμον.
Ἐπεὶ δὲ προσπλεύσαντες αὐτῇ τῇ πόλει
ὁρᾶν ἔμελλον τὰς ἑαυτῶν οἰκίας,
ἐστασίαζον τίς τὸν ἕτερον λάβοι
οἴκαδε καὶ τίς τὴν τράπεζαν ἀρτύσοι
καὶ ποῖ ποτε πλέξαιεν αὐτὴν παστάδα
καὶ τὸν θεοῖς δοκοῦντα τῶν παίδων γάμον.
Οὕτως ἐκείνων στασιαζόντων ἅμα
γνωσθὲν τὸ πρᾶγμα τῇ Φιλίννῃ τῇ Φρύνῃ
ἄμφω πρὸς ἀκτὴν ἦγεν ἡλίκῳ δρόμῳ
(ἰδὼν ἂν εἶπες οὐ ποσί, πτεροῖς δέ γε
ὑπηνεμίους ὥσπερ οὐκ ἐν γῇ τρέχειν)
καὶ προσπλακείσας τοῖς ἑαυτῶν ἐκγόνοις
ὡς οἷα νεκροῖς ἐκ τάφων ἠγερμένοις
καὶ δακρυσάσας ἄλλο χαρμονῆς δάκρυ
ἡλίκον οἷον ἡδονῆς λαβεῖν γάνος
ἔπειθεν, ὡς μέγιστον, ὦ θεῶν γένη.
Αἱ μητέρες μέν, αἱ φίλων ὁμηγύρεις,
ὁ συμπολίτης ὄχλος αὐτοῖς τοῖς ξένοις
καινῶς ἐπηγάλλοντο τῷ τελουμένῳ.
Ὁ δ' Ἑρμαϊκὸς ἱερεὺς ἔνθους φθάσας
422 μυστηριωδῶν ἄγγελος μηνυμάτων
εἰς τὸν νεὼν ἅπαντας ἐλθεῖν προτρέπει,
ὡς ἂν Ῥοδάνθη συζυγῇ Δοσικλέι·
"Ἑρμῇ γὰρ οὕτω συνδοκεῖ ποιεῖν" ἔφη.

Ἔλεξε ταῦτα καὶ κλάδους κιττοῦ δύο
ἀμφοῖν ὀρέξας ἐν χεροῖν τοῖς νυμφίοις
εἰς τὸν νεὼν ἤνεγκε πάντας τοὺς ὄχλους.
Ἐνταῦθα συζυγέντες οἱ νεανίαι
ἤχθησαν εἰς τὸν οἶκον οἴῳ τῷ κρότῳ,
οἵαις λαλαγαῖς καὶ χοροῖς καὶ κυμβάλοις;
Καὶ τῆς ἑορτῆς τῆς τελουμένης πέρας·
ἔγνω Δοσικλῆν ἡ Ῥοδάνθη νυμφίον.

ΝΙΚΗΤΟΥ ΤΟΥ ΕΥΓΕΝΕΙΑΝΟΥ

ΤΩΝ ΚΑΤΑ ΡΟΔΟΛΙΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΑ Θ

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΛΟΥ ΒΙΒΛΙΟΥ

Αὐτοῦ Δροσίλλης ἀλλὰ καὶ Χαρικλέος
φυγὴ πλάνη κλύδωνες ἁρπαγαὶ βίαι,
λῃσταὶ φυλακαὶ πειραταὶ, λιμαγχόναι,
μέλαθρα δεινὰ καὶ κατεξοφωμένα,
ἐν ἡλίῳ λάμποντι μεστὰ τοῦ σκότους,
κλοιὸς σιδηροῦς ἐσφυρηλατημένος,
χωρισμὸς οἰκτρὸς δυστυχὴς ἑκατέρων,
πλὴν ἀλλὰ καὶ νυμφῶνες ὀψὲ καὶ γάμοι.

Α

Νῦν τοῦ φεραυγοῦς ἀστεράρχου φωσφόρου
ἐκ τοῦ κάτω φάναντος ἡμισφαιρίου,
ἐξ ὠκεανοῦ τῶν ῥοῶν λελουμένου
καὶ γῆς τοσαύτης ἐκταθείσης εἰς πλάτος
ἀναδραμόντος τοὺς κορυφαίους τόπους,
Πάρθοι προσεμπίπτουσι Βάρζῳ τῇ πόλει,
οὐχ ὡς κατ' αὐτῆς συγκροτήσοντες μάχην,
οὐδ' ὡς βαλοῦντες ῥιψεπάλξιδας λίθους
ἐκ πετροπομπῶν εἰς τὸ τεῖχος ὀργάνων,
οὐδ' ὡς κατασπάσοντες ἐκ τῶν ὑψόθεν
πέτραις χελώναις καὶ κριοῖς χαλκοστόμοις
(οὐκ ἦν γὰρ εὐάλωτος αὐτοῖς ἡ πόλις,
κρημνοῦ περισφίγγοντος αὐτὴν κυκλόθεν),
ἀλλ' ὡς ἁφαρπάσοντες ἄνδρας Βαρζίτας
οὓς ἐκτὸς ἂν λήψοιντο τῶν ὁρισμάτων,
καὶ πᾶσαν αὐτῶν τὴν τυχοῦσαν οὐσίαν.
Καὶ γοῦν ὑφαπλωθεῖσα καὶ τεταμένη
τῶν τῆς πολίχνης τειχέων ἀποστάδην
ὑπουργικὴ χεὶρ Παρθικῆς φυλαρχίας
αἰφνηδὸν ἐσκύλευε τοὺς πέριξ τόπους·
οἱ βάρβαροι δὲ συνδραμόντες αὐτίκα
λείαν Μυσῶν ἔθεντο τὰ πρὸς ταῖς πύλαις.
Τοὺς μὲν γὰρ ἐσπάθιζον ἄνδρας ἀθλίους,
οὓς ἀντιπίπτειν ἔβλεπον πειρωμένους,

τοὺς δὲ προῆγον δεσμίους κρατουμένους.
Πᾶν συγκατέκλων δένδρον ἐξ ἁπληστίας,
καίτοι βρίθον βλέποντες ἐξ εὐκαρπίας.
Τὴν αἶγα τὴν βοῦν συγκαθήρπαζον τότε,
ἢ μὴ τὸ τεῖχος εἰσδραμεῖν ἐπεφθάκει.
Γυναῖκας εἶλκον αἳ συνεῖλκον τὰ βρέφη·
ᾤμωξον αὐτῶν αἱ τάλαιναι μητέρες,
καὶ συνεμινύριζον αὐταῖς τὰ βρέφη·
οὐκ ἀπομαστεύειν γὰρ εἶχον εὐκόλως·
τῶν οὐθάτων γὰρ ἡ βρεφοτρόφος ῥύσις
εἰς αἱματοστάλακτον ὄμβρον ἐτράπη.
Ἐκεῖ στάχυς ἠμᾶτο καὶ πρὸ τοῦ θέρους,
τὴν ἵππον ὡς θρέψαιτο τὴν τῶν βαρβάρων·
καὶ βότρυς ἁδρὸς ἐθλίβη πρὸ τῆς τρύγης,
ὄνυξιν ἵππων συμπατηθεὶς ἀθλίως,
λεηλατούντων τὴν περίχωρον κύκλῳ
Πάρθων ἀπηνῶν δυμενῶν ἀλλοθρόων.
Τί γοῦν ἐφεξῆς; Οἱ μὲν ἐκτὸς τειχέων
ὅσοι φυγεῖν ἴσχυσαν ἐκ ξίφους τέως,
ἐλευθέρους πρὶν ἐντιθέντες αὐχένας
ξεύγλῃ βαρείᾳ δυσχεροῦς ὑπουργίας,
τὴν σφῶν κακίστην ἐξεδάκρυον τύχην·
οἱ δ' ἐντὸς αὐτῶν εἰσρυέντες τειχέων,
τὴν Παρθικὴν μάχαιραν ἐκπεφευγότες,
πρὸς τὴν ἐφ' ὕψους ἀσφαλῆ τείχους βάσιν
ἀναδραμόντες, τοῖς ἀπεξενωμένοις
συμπατριώταις ἀντεπέστενον μέγα
"τίς βάσκανος" λέγοντες "ἀγρία τύχη
καὶ νῦν διεσπάσατο τοὺς ὁμογνίους;
Φεῦ, τίς Ἐριννύς, τίς ἀλάστωρ, τίς τύχη
δουλοῖ κακούργοις βαρβάροις ἐλευθέρους;
Ποίοις ἀπ' αὐτῶν ἐνστενάξει τις μέγα;

τοῖς συσφαγεῖσι; τοῖς ἁλοῦσι δεσμίοις;
χήραις γυναιξί; ταῖς ἀνάνδροις παρθένοις;
ἀπειροκάκῳ τῇ βρεφῶν ὁμηγύρει;
ἡμῖν ἑαυτοῖς; ὦ κακῶν συγκυρμάτων."
Οὗτοι μὲν οὕτω τοῖς πόνοις ἐκαρτέρουν,
καὶ θρῆνος ἦρτο συμμιγὴς βαρὺς μέγας
ἀνδρῶν γυναικῶν παρθένων μειρακίων·
τὸ βάρβαρον δὲ συλλογῆς οὐκ ἠμέλει·
πρὸς ἁρπαγῆς γὰρ ἠσχολεῖτο φροντίδας·
ἀνὴρ γὰρ ἐχθρὸς βαρβαρόφρων ὠμόνους
ἀντὶ τρυφῆς εἴωθεν ἡγεῖσθαι πάσης
ἄνδρας σκυλεύειν μηδὲν ἠδικηκότας.
Τοὺς οὖν ἁλόντας συμπεδήσαντες μόλις
ἀπεῖδον ὀψὲ πρὸς τροφήν τε καὶ πόσιν.
Τούτοις συνῆν θήραμα καὶ τοῦτο ξένον,
ὃ καὶ συνεξέσφικτο δεσμοῖς ἀλύτοις
καὶ συγκατεστέναζε τοῖς πεδουμένοις
καλὸς Χαρικλῆς καὶ Δρόσιλλα καλλίων.
Καὶ δὴ συνιζήσαντες ἐν πεδιάδι
προκειμένης ἥπτοντο τῆς ἐδητύος.
Λειμὼν γὰρ ἦν ἥδιστος αὐτῆς ἐν μέσῳ,
οὗ γύροθεν μὲν ἦσαν ὡραῖαι δάφναι
καὶ κυπάριττοι καὶ πλάτανοι καὶ δρύες,
μέσον δὲ δένδρα τερπνὰ καὶ καρποτρόφα.
Πόα τε κρίνων καὶ πόα τερπνὴ ῥόδων
πολλὴ παρῆν ἐκεῖσε, λειμῶνος μέσον·
αἱ κάλυκες δὲ τῶν ῥόδων κεκλεισμέναι
ἦ μᾶλλον εἰπεῖν μικρὸν ἀνεῳγμέναι
ταύτην ἐθαλάμευον ὥσπερ παρθένον.
Τούτου δὲ πάντως αἰτίαν λογιστέον
θερμαντικὴν ἀκτῖνα τὴν τοῦ φωσφόρου·
ὅταν γὰρ αὕτη (καὶ καλῶς οὕτως ἔχει)

μέσον καλύκων φλεκτικῶς ἐπεισβάλῃ,
γυμνοῦσιν αὗται τὴν ῥοδόπνοον χάριν.
Καὶ νᾶμα πηγιμαῖον ἦν ἐκεῖ ῥέον,
ψυχρὸν διειδὲς καὶ γλυκάζον ὡς μέλι.
Κίων δέ τις ἀνεῖχε τῆς πηγῆς μέσον,
ἔσωθεν οὕτω τεχνικῶς γεγλυμμένος·
σωλῆνι μακρῷ δῆθεν ἐξεικασμένος,
δι' οὗ τὸ ῥυτὸν ὑπανήγετο τρέχον·
πλὴν ἀετός τις τοῦτο προσδεδεγμένος
(χαλκοῦς γὰρ ἦν ἄνωθεν ἑστὼς εὐτέχνως),
ἐξῆγε τοῦ στόματος αὖ καταῤῥέον.
Λευκῶν δὲ πετρῶν τῆς καλῆς πηγῆς μέσον
ἀγαλμάτων ἕστηκεν εὐξέστων κύκλος·
οἱ δ' ἀνδριάντες ἦσαν ἔργα Φειδίου
καὶ Ζεύξιδος πόνημα καὶ Πραξιτέλους,
ἀνδρῶν ἀρίστων εἰς ἀγαλματουργίαν.
Τῷ δεξιῷ δὲ τοῦ παραδείσου μέρει
ἔξωθεν αὐτῶν τῶν ξυλίνων θριγγίων
βωμὸς κατεσκεύαστο τῷ Διονύσῳ,
οὗ τὴν ἑορτὴν εἶχον ἄνδρες Βαρζίται.
Καθ' ἣν τὸ πλῆθος τῶν ἀθέσμων βαρβάρων
ἄφνω παρεισέῤῥευσε τοῖς ἐγχωρίοις
φυλακτικῶν ἔξωθεν οὖσι τειχέων
ὁμοῦ μετ' αὐτῶν τῶν γυναικῶν καὶ τέκνων
καὶ τὴν ἑορτὴν τοῦ θεοῦ Διονύσου
ἐκεῖ τελοῦσι καὶ συνεστιωμένοις
σκηνορραφικῶν ἔνδοθεν στεγασμάτων.
Δι' ἣν ἑορτὴν καὶ Δρόσιλλα, παρθένος
σὺν ταῖς κατ' αὐτὴν καὶ κόραις καὶ παρθένοις
τὸ τεῖχος ἤδη τῆς πολίχνης ἐξέδυ,
χοροῦ καλὴν τόρνωσιν ἑνστησαμένη.
Ὡς οὐρανὸς γὰρ ἦν ἔναστρος ἡ κόρη,

χρυσοῦν φαεινὸν λευκοπόρφυρον φάρος
πρὸς τὴν ἑορτὴν δῆθεν ἠμφιεσμένη.
Εὔρυθμος ἦβην· λευκόχειρ κρυσταλλόχειρ·
χείλη παρειὰς ἐξέρυθρος ὡς ῥόδον·
ὀφθαλμὸς αὐτῆς εὐπερίγραφος μέλας·
πυρσὴ παρειά· ῥὶς γρυπή· στιλπνὴ κόμη,
ναὶ καὶ χλιδῶσα καὶ διηνθετισμένη·
κάλυξ τὰ χείλη, σίμβλον ἀνεῳγμένον,
θυμῆρες ἐκρέοντα τοῦ λόγου μέλι,
γῆς ἄστρον ἑξαστράπτον, οὐρανοῦ ῥόδον·
εὔρυθμος ὁ τράχηλος ἐκτεταμένος·
τὰ πάντα τερπνά· κυκλοειδεῖς ὀφρύες·
καὶ πυρσὸν αἰγλήεντα λευκερυθρόχρουν
αἱ τῶν παρειῶν ἐξέπεμπον λαμπάδες·
χιὼν δὲ τἆλλα τοῦ προσώπου τῆς κόρης·
ὁ βόστρυχος χρύσειος· αἱ πλοκαμίδες
ξανθαὶ μελιχραὶ χρυσοειδεῖς κόσμιαι
τεταμέναι τε καὶ πνέουσαι τοῦ μύρου·
ἡ γνάθος ὁ τράχηλος ἐστιλβωμένα·
τὸ χεῖλος αὐτῆς νέκταρ ἦν ἀπορρέον·
τὸ στέρνον ἄλλην εἶχεν ὀρθρίαν δρόσον·
ἦβης τὸ μέτρον ὡς κυπάριττος νέα·
εὔτορνος ἡ ῥίς· τῶν ὀδόντων ἡ θέσις
ὡς σύνθεσίς τις μαργάρων λευκοχρόων·
τὰ κυκλοειδῆ τόξα τὰ τῶν ὀφρύων
ὡς τόξον ἦν Ἔρωτος ἐγκεχαρμένου·
ἔοικεν ὡς ἔμιξε γάλα καὶ ῥόδα
καὶ συνδιεχρώσατο καθὰ ζωγράφος
ταύτης τὸ σῶμα λευκέρυθρον ἡ φύσις.
Θάμβημα δ' ἄρ' ἦν συγχορευούσαις κόραις
λειμῶνος ἐντὸς τοῦ νεὼ Διονύσου.
Οἱ δάκτυλοι δὲ καὶ τὰ τῶν ὤτων ἄκρα

ἄνθρακας εἶχον, ὡς τὸ πῦρ ἀνημμένους,
χρυσῷ καθαρῷ συμπεπηγότας λίθους·
ἥστραπτον αὐτῆς χεῖρες ἐκ τοῦ χρυσίου,
ναὶ μὴν σὺν αὐταῖς ἀργυροσκελεῖς πόδες.
Οὕτω τοσαύτην ἡ Δρόσιλλα παρθένος
καινὴν ἐπηυτύχησε καλλονῆς χάριν.
Ἐπεὶ δὲ μακροῖς τοῖς πότοις ἐνετρύφων
καὶ μέχρι δυσμῶν καὶ βαθείας ἑσπέρας,
οἱ δυσμενεῖς χαίροντες ἐξηρπαγμένων
(τὸ βάρβαρον φύσει γὰρ ἐγχαίρει μέθαις,
φιλεῖ δὲ τρυφαῖς ἐκδίδοσθαι καὶ πότοις,
καὶ μᾶλλον εἴπερ εὐχερῶς ἁφαρπάσοι,
ἀλλοτρίαν ὕπαρξιν εὑρὸν ἀθρόαν)
ἐκ τῆς τραπέζης ἐξανέστησαν μόλις
ἐφ' ᾧ τραπῆναι καὶ πρὸς ὕπνον αὐτίκα.
Ὁ γοῦν Κρατύλος (τοῦτο γὰρ ὁ Παρθάναξ)
τῆς συνθολούσης μικρὸν ἐκνήψας μέθης
τῷ Λυσιμάχῳ ταῦτά φησι σατράπῃ
"ἡμεῖς μὲν ἤδη καὶ πότου καὶ σιτίων
ἐλάβομεν νῦν ἀλλὰ καὶ μέθης κόρον,
ἢ καὶ τὸν ὕπνον ἐντίθησι ταῖς κόραις·
καιρὸς τὸ λοιπὸν συγκλιθῆναι, σατράπα,
πρὸς ὕπνον ἡμᾶς τῇ τρυφῇ δεδωκότας.
Σὺ γοῦν, ἀληθῶς φιλάγρυπνε καρδία,
μὴ συγκαθευδήσειας ἐξ ἡμῶν μόνος·
λαβὼν δὲ σὺν σοὶ καὶ στρατοῦ τοὺς ἐκκρίτους,
ἵππευε κύκλῳ τῶν ἁλόντων δεσμίων,
τηρῶν φυλάσσων προσκοπῶν περιτρέχων,
μή πως ἀποδράσαιεν ἐν λεληθότι
καὶ μικρὸν ἡμῖν ἐμπαράσχοιεν γέλων
ἢ καὶ νεανικόν τι δράσαιεν τάχα
εἰς τοὺς ὑφ' ἡμᾶς ἡδέως κοιμωμένους."

Τοιοῦτον ἐξ ἄνακτος ἀλγεινὸν λόγον
ὁ Λυσίμαχος σατράπης δεδεγμένος,
ἤδη τὸν ὕπνον ἐκτινάξας μακρόθεν
εἰς φυλακὴν ἔσπευδε τῶν κρατουμένων.
Ἐπεὶ δ' ὁ λαμπρὸς ἥλιος διφρηλάτης
ἁπανταχοῦ γῆς τὴν ἑαυτοῦ λαμπάδα
ἐξῆπτε, φαιδρὰν δεικνύων τὴν ἡμέραν,
ἀνίσταται μὲν εὐθέως ὁ Παρθάναξ
καὶ Λυσίμαχον τῆς φυλακῆς θαυμάσας
λαμπροῖς τὸν ἄνδρα δεξιοῦται τοῖς λόγοις,
πολλὰς πρὸς αὐτὸν ἐκτελῶν ὑποσχέσεις·
ναὶ μὴν σὺν αὐτῷ καὶ τὸ τῆς λείας πλέον
αὐτοῖς παρασχεῖν τοῖς ὑπ' αὐτὸν ἐξέφη
"τοὺς γὰρ πονοῦντας ὑπὲρ ἄλλους τι πλέον
καὶ δωρεῶν χρὴ δεξιοῦσθαι μειζόνων."
Τοσαῦτα λέξας ἐξανέστη τῆς κλίνης·
ἀνίσταται δὲ καὶ τὸ βάρβαρον φύλον
οὐ βραδέως ἕτοιμον ἀνθυποστρέφειν,
καὶ δὴ συνάξαν τὰ διεσκορπισμένα,
τὴν αἶγα τὴν βοῦν τοὺς ἁλόντας δεσμίους,
αὐτῇ κελεύσει τοῦ κρατοῦντος Κρατύλου
ἰθυτενῶς ἤλαυνε πρὸς τὴν πατρίδα.
Φθάσαντες οὖν ἐκεῖσε πεμπταίῳ φάει
εἰς φυλακὴν ἔδοντο τοὺς κρατουμένους,
μίξαντες αὐτοὺς τοῖς προεγκεκλεισμένοις
ἐκ πρωτολείας αἰχμαλώτοις ἀθλίοις·
οἳ καὶ φυλακῆς ἔνδον ἐμβεβλημένοι,
χαμαὶ πεσόντες καὶ κλιθέντες εἰς γόνυ,
τὴν σφῶν ἀπωδύροντο δυσμενῆ τύχην,
μόνους ἐμακάριζον, αἴνων ἠξίουν
οὓς ἔργον εἰργάσατο τὸ ξίφος φόνου,
τούτων καλοῦντες τὴν σφαγὴν εὐεργέτιν·

ψυχὴ γὰρ ἀνέραστός ἐστι τοῦ βίου
λύπαις ἀμέτροις ἐμπεσοῦσα πολλάκις.
Τὴν δὲ Δρόσιλλαν δυστυχῶς δυσδαιμόνως
διαζυγεῖσαν ἐκ παλαμναίας τύχης
τοῦ μέχρι φωνῆς νυμφίου Χαρικλέος
ἡ τῆς Χρυσίλλης εἶχε γυναικωνίτις·
γυνὴ γὰρ ἡ Χρύσιλλα Πάρθου Κρατύλου.
Ὁ γοῦν Χαρικλῆς ἔνδον ἐγκεκλεισμένος
τῆς φυλακῆς, ὡς εἶπον, ἤρξατο στένειν.
Καὶ "τίς Ἐριννύς, Ζεῦ, Ὀλύμπιον κράτος,
Δρόσιλλαν ἐξήγαγεν ἐκ τῆς ἀγκάλης
τῆς τοῦ τοσαῦτα δυστυχοῦς Χαρικλέος;"
εἰπὼν Χαρικλῆς μεῖζον ἀντεκεκράγει
"ὤμοι, Δρόσιλλα, ποῦ πορεύῃ; ποῦ μένεις;
ποίαις ἐτάχθης δουλικαῖς ὑπουργίαις;
ἀνηρέθης πρός τινος ἐχθρῶν ἀγρίων
ἢ ζῇς ἀμυδρῶς, ὡς σκιὰ κινουμένη;
κλαίεις; γελᾷς; ὅλωλας; ἐρρύσθης φόνου;
χαίρεις; θλίβῃ; δέδοικας; οὐ φοβῇ ξίφος;
ἀλγεῖς; κροτῇ; πέπονθας; οὐ πάσχεις φθόρον;
τίνος μετέρχῃ λέκτρον ἀρχισατράπου;
ποῖός τις ἐχθρὸς νῦν φανείς σοι δεσπότης
ἐκ δακτύλων σῶν τὸν κρατῆρα λαμβάνει;
ἦ πού σε πολλῆς ἐμφορούμενος μέθης
τυχὸν πατάξει βαρβαρώδει κονδύλῳ
πταίουσαν οὐχ ἑκοῦσαν (αἰαῖ σοι τύχης),
ἢ καὶ Κρατύλος οὗτος ὀφθαλμὸν λίχνον
ἐπεμβαλεῖ σοι καὶ φθονήσει τοῦ γάμου·
πρὸ τοῦ τυχεῖν δὲ τῆς Χρυσίλλης ὁ φθόνος
διαφθερεῖ σκύφῳ σε δηλητηρίου;
Ὦ τοῦ Διὸς παῖ, Διόνυσε, πῶς πάλαι
τὸν τῆς Δροσίλλης ἀνθυπέσχου μοι γάμον,

ἐπεί σε πολλαῖς ὑπὲρ αὐτῆς θυσίαις
ἐδεξιούμην τὸν κακάγγελον τότε;
Ἆρ' οὖν ἔχεις ἔννοιαν ἐν τῇ καρδίᾳ
καὶ σύ, Δρούσιλλα, τοῦ φίλου Χαρικλέος
θρηνοῦντος οἰμώζοντος ἐγκεκλεισμένου;
Ἢ μὴν λέλησαι τοῦ θεοῦ Διονύσου
καὶ τῆς δι' αὐτοῦ πρὸς Χαρικλῆν ἐγγύης
ἐκ τῶν ἀναγκῶν ἐμποδών σοι κειμένων,
τῆς αἰχμαλώτου συμφορᾶς καὶ τοῦ πάθους."
Οὕτω Χαρικλεῖ πρὸς Δρούσιλλαν ἀσχέτως
πολύστονον πλέκοντι τὴν τραγῳδίαν
ἐφίσταταί τις ἀγαθὸς νεανίας,
τὸν φθόγγον ἡδύς, εὐγενὴς τὴν ἰδέαν,
συναιχμάλωτος συμφυλακίτης ξένος,
καὶ συγκαθεσθεὶς πλησίον Χαρικλέος
παρηγορεῖν ἔσπευδε συμπεπονθότα
λέγων "Χαρίκλεις, λῆξον ὀψὲ τῶν γόων·
ἐμοὶ λόγον δός, ἀνταπόκρισιν λάβε,
ὡς ἂν τὸ πλεῖστον τῆς ἀθυμίας βάρος
ἐκ προσλαλιᾶς κουφίσῃς αὐθαιρέτου·
λύπης γάρ ἐστι φάρμακον πάσης λόγος,
ψυχὴ δὲ πάντως οὐκ ἂν ἄλλως ἰσχύσοι
πῦρ ἐξαναφθὲν θλίψεων κατασβέσαι,
εἰ μὴ πρὸς ἄλλον ἐξαγάγῃ τὸ θλίβον,
παρηγορεῖν ἔχοντα τοὺς λυπουμένους."
"Καλῶς λέγεις, Κλέανδρε" Χαρικλῆς ἔφη·
"πλὴν ἀλλὰ νῦν πρόσρησις ἡ σὴ καὶ μόνη
ἀρκεῖ τὰ πολλὰ τῶν παθῶν μου κοιμίσαι.
Ἐπεὶ δὲ καὶ νὺξ ἀντεπῆλθεν, ὡς βλέπεις,
καὶ νυκτὶ πεισθῆναί με, φιλότης, πρέπει,
ἔα με λοιπὸν ἠρεμοῦντα συγκλίναι,
εἴ πως βραχὺν τὸν ὕπνον ὀφθαλμοῖς λάβω,

λήθην μικρὰν σχὼν τῶν ἐμῶν παθημάτων·
εἰς αὔριον δέ, νυκτὸς ἐκχωρησάσης,
ἐπακροάσῃ συμφορῶν Χαρικλέος."
Οὕτω τραπέντος εἰς ὕπνον Χαρικλέος
Δρόσιλλα πικρῶς ἐστέναξεν ἐκ βάθους
ἐν παρθενῶνι τῆς Χρυσίλλης κειμένη
(οὐ γὰρ κατασχεῖν ἠδυνήθη τὴν κόρην
νήδυμος ὕπνος ἐκχυθεὶς κατ' ὀμμάτων)
"ψυχὴ φίλη" λέγουσα "Χαρίκλεις ἄνερ,
ἄνερ Χαρίκλεις μέχρι γοῦν φωνῆς μόνης,
σὺ μὲν καθυπνοῖς τῆς φυλακῆς εἰς μέρος
Δρόσιλλαν εἰς νοῦν οὐδὲ μικρὸν εἰσφέρων,
ἀλλ' ἀμελήσας ἐκ κακῶν προκειμένων
καὶ τῆς προβάσης ἐγγύης αὐθαιρέτου
καὶ τοῦ θεοῦ με τοῦ συνάψαντος πάλαι
σοὶ τῷ Χαρικλεῖ, πλὴν ὑποσχέσει μόνῃ·
ἀλλ' ἡ Δρόσιλλα πολλὰ τοῦ Χαρικλέος
καταστενάζει δακρύων πληρουμένη
καὶ μέμφεταί σε καὶ πρὸ τοῦ τὰ τῆς Τύχης
ἀμνημονοῦντα τῆς προηγγυημένης.
Κἂν γὰρ τοσοῦτον ἡ παλαμναία Τύχη
ἀντιστρατεύῃ δυστυχῶς σοι, Χαρίκλεις,
ἢ καὶ πρὸ σοῦ μοι τῇ Δροσίλλῃ παρθένῳ,
ὡς τὴν ἀδιάρρηκτον ἀλληλουχίαν
ἡμῶν διασπᾶν καὶ μερίζειν εἰς δύο
(τί γάρ, Τύχη βάσκανε, μὴ κόρον δέχῃ
τῇ προφθασάσῃ ποικίλῃ περιστάσει
καὶ τῇ κατασχούσῃ με νῦν τιμωρίᾳ,
ἀλλ' ἐκτὸς ἐγκλείεις με τοῦ Χαρικλέος;
Ὑπὲρ τὸ φῶς μοι τῆς φυλακῆς τὸ σκότος,
εἰ συγκαθῆσθαι Χαρικλεῖ κατεκρίθην
καὶ χθὲς σὺν αὐτῷ τὴν φυλακὴν εἰσέδυν)

ἐχρῆν, Χαρίκλειs, κἂν τοσοῦτον ἡ Τύχη
ἀντιστρατεύῃ πρὸς διάστασιν φίλων
καὶ μηχανᾶται συμμερισμὸν τῶν δύο,
ἀγωνιᾷ δέ, φεῦ, διασπᾶν εἰς τέλος
τοὺς εἰς ἓν ἐμπνέοντας ἀλληλεγγύως,
μὴ καταπίπτειν μηδὲ λήθῃ διδόναι,
ἀλλὰ πρὸς αὐτὴν τὴν παλαιαίαν Τύχην
ἀλκὴν μεγίστην ἐνδιδύσκεσθαι πλέον.
Σὺ δ' ἀλλ' ἐφυπνοῖς καὶ Δροσίλλης λανθάνῃ,
ἡ δὲ στενάξει καὶ θεοὺς μαρτύρεται
διαρραγῆναι μηδαμῆ Χαρικλέος.
Κιττὸς γὰρ εἰς δρῦν δυσαποσπάστως ἔχει·
ἐθίζεται γὰρ συμπλοκαῖς ταῖς ἐκ νέου
καὶ σωματοῦται καὶ δοκεῖ πεφυκέναι
ἓν σῶμα, διπλῆν τὴν ἐνέργειαν φέρον·
οὕτω Δρόσιλλα πρὸς Χαρικλῆν νυμφίον
ἓν σῶμα καὶ φρόνημα καὶ ψυχὴ μία,
κἂν χθὲς τραπέζης κειμένης ὁ Κρατύλος
ἔκθηλος ἦν ἔρωτα δεινὸν ἐκτρέφων
καὶ βάσκανόν μοι βλέμμα δεικνύειν θέλων.
Ὤμοι, Χαρίκλειs, κλῆσις ἡ φιλητέα,
πῶς αἱ καθ' ἡμᾶς συμφοραὶ σχοῖεν τέλος;
Ὡς νῦν ἐγώ, σοῦ κἂν διῄρημαι, κρίνω
μικρὸν παρηγόρημα τὸ βλέπειν μόνον
καὶ τὴν φυλακὴν ἧς κατεκλείσθης ἔσω
(ναὶ τοῦτο μικρὸν) καὶ τὸ πάντως εἰδέναι
ποῦ νῦν διάγεις, ποῦ καθεύδεις, ποῦ κάθῃ.
Ἄφες τὸν ὕπνον, εἴπερ ὑπνώττειν ἔχεις·
γνῶθι Δρόσιλλαν· σὲ στενάζει, σὲ κλάει·
σύγκλαιε, συστέναζε, συγκατηφία.
Ἦ που, Χαρίκλειs, οὐκ ἀπὸ δρυῶν ἔφυς·
καὶ σὲ στενάζειν ἐννοῶ καὶ δακρύειν

καὶ μὴ διυπνώττειν σε νυξὶν ἐν μέσαις,
πολλὰ Δροσίλλης παρθένου μεμνημένον.
Ὦ δεῦρο, μακρόν, Ὕπνε, συγκάτασχέ με,
εἴ που φανεὶς ὄνειρος ἐγκαθηδύνει,
ἐμοὶ παριστῶν τὸν φίλον Χαρικλέα·
οἱ γὰρ ποθοῦντες ἢ φιλοῦντες πολλάκις
θέλουσιν, οὐ βλέποντες ἀλλήλους ὕπαρ,
ἐν τοῖς ὀνείροις συλλαλεῖν καὶ συμπνέειν."
Οὕτω λεγούσης τῆς Δροσίλλης παρθένου
καὶ νυκτερινὸν ἐκτραγῳδούσης γόον,
τοῖς αἰχμαλώτοις ἀντεπῆλθεν ἡμέρα
τοῖς ἐν φυλακῇ δυστυχῶς κεκλεισμένοις,
κἂν καὶ τὸ ταύτης ὡς βαθύτατον σκότος
κατακρατοῦν ἦν καὶ γνοφοῦν τὴν ἡμέραν.

B

Τῆς ἡμέρας δὲ θᾶττον ἀντιλαμψάσης
καὶ τοῦ γίγαντος καὶ φερανγοῦς ἡλίου
ἐκ τῶν στενωπῶν τῆς φυλακῆς νυγμάτων
ἀκτῖνα μικρὰν ἐμβαλόντος τοῖς ἔσω,
εὐθὺς Χαρικλῆς ἐξανίσταται μόνος·
ἰδὼν δὲ πάντας βαθέως κοιμωμένους,
μέγα στενάξας ἐκ μυχοῦ τῆς καρδίας
ἔφησεν " ἄνδρες συμπεφυλακισμένοι,
ἐοικὸς ὑμῖν ἐστὶν ὑπνοῦν εἰσέτι·
ὧν καὶ γὰρ οὐ κατέσχε καρδίας πλάτος
τὸ δριμὺ φίλτρον οὐδ' ὁ τοῦ πόθου πόνος,
ὧν οὐ κατεκράτησε τῆς ψυχῆς ἔρως,

τί καινὸν εἰ τὸν ὕπνον ἀσπάζοισθέ μοι
ἐκ νυκτὸς ἀρχῆς ἄχρι φωτὸς ἡλίου;
ὁ γὰρ Ἔρως εἴωθε νύκτωρ τὸ πλέον
ἀναπτεροῦσθαι τοῖς ἐρῶσιν εἰσρέων,
ψυχῆς ἐρῶντος ἐνσχολαζούσης τότε
ὅλης ἐκείνῳ δῆθεν ἀνακειμένης.
Ὡς ὤφελες γοῦν εὐσθενῶς ἔχων, Ἔρως,
ποιεῖν ἐρᾶν μὴ τοὺς χαμαὶ κινουμένους·
ποιῶν δὲ πάντως καὶ τυχεῖν πῶς οὐ δίδως,
πολλῶν δὲ πολλοὺς ἀξιοῖς παθημάτων,
ἕως τυχεῖν γένοιτο τοῦ ποθουμένου;"

Οὕτω Χαρικλῆς καθ' ἑαυτὸν ῥῆμα
θρηνῶν κατεστάλαττε ῥεῖθρα δακρύων·
πολύδακρυς γὰρ γίγνεται πάντως Ἔρως
ψυχαῖς ἐπαχθὴς ἐμπεσὼν τεθλιμμέναις.
Ἀλλ' οὐκ ἔλαθε τὸν Κλέανδρον δακρύων.
Προσέρχεται γοῦν ἐξαναστὰς εὐθέως
ὅπου Χαρικλῆς εἶχε τὴν γῆν ὡς κλίνην,
καὶ "χαῖρε" φησὶ "συμφυλακίτα ξένε.
Λέγοις ἂν ἡμῖν τὰ προϋπεσχημένα,
τὰς σάς, Χαρίκλεις, συμφορὰς καὶ τοὺς πόνους·
ἐνταῦθα δ' αὐτὸς συγκαθεσθεὶς ἐγγύθεν
τὰς ἀκοὰς διδοίμι τῇ τραγῳδίᾳ.
Καὶ γὰρ σὺ σαυτὸν κουφιεῖς στεναγμάτων
ἐμοὶ παριστῶν δῆλα τὰ θλίβοντά σε
καὶ τὸν Κλέανδρον τὸν συνεγκεκλεισμένον
ἐλαφρυνεῖς με τῶν ἐμῶν παθημάτων·
οὐ γὰρ μόνος σὺ τὴν φυλακὴν εἰσέδυς.
Εἰ καὶ πρὸ ταύτης αἰχμάλωτος ἐσχέθης
ψυχὴν ἔχων ἔρωτι πυρπολουμένην,
οὐδ' ὁ Κλέανδρος ἀνέραστος ἐσχέθη,
οὐ τὴν φυλακὴν δυστυχῶς προεισέδυ

ἐρωτικῶν ἄμοιρος ἐννοημάτων
καὶ συμφορῶν ἄγευστος, αἷς παίει Τύχη
ἐρωτικοῖς σε συμπλακέντα δικτύοις.
Ἀλγεῖς; συναλγῶ· δακρύεις; συνδακρύω·
ποθεῖς; ποθῶ, καὶ ταῦτα καλὴν παρθένον,
Καλλιγόνην μοι τὴν προεξηρπαγμένην."
"Κλέανδρε, σῶτερ τληπαθοῦς μοι καρδίας"
ἔφη Χαρικλῆς, "τίς σε τῶν Ὀλυμπίων
θεῶν ἀφῆκεν εἰς ἐμὴν εὐθυμίαν;
Λέγοις τὰ σαυτοῦ τληπαθήματα, λέγοις.
Λέγειν χρεών σε τὸν προεγκεκλεισμένον,
ἔπειτα κἀμὲ συμπεφυλακισμένον."
"Ἐγώ, Χαρίκλεις, Λέσβον ἔσχον πατρίδα·
σεμνῶν προῆλθον κοσμίων φυτοσπόρων,
μητρὸς Κυδίππης καὶ πατρὸς Καλλιστία.
Σύνεγγυς ἦν μοι παρθένος Καλλιγόνη,
τὴν ἀρρένων μὲν ὄψιν εὐλαβουμένη,
μυχαιτάτῳ δὲ θαλάμῳ φρουρουμένη.
Ταύτης τὸ κάλλος (οὐ γὰρ ἴσχυον βλέπειν)
ἐκ τῶν ὑπ' αὐτὴν ἐξεμάνθανον κλύων.
Οὐκ αἰσχύνη μοι ταῦτα, Χαρίκλεις, λέγειν
πρὸς τὸν νοσοῦντα ταυτοπαθῆ μοι νόσον.
Ἐπεὶ δὲ δώροις δεξιῶν δι' ἀγγέλων
Καλλιγόνην κατεῖδον ὀψὲ καὶ μόλις
ἐκ θυρίδων ἄπλαστον ἐκκρεμωμένην,
ταύτης ἑάλων ἀπαλῆς οὔσης ἔτι,
οὕτως ἐχούσης τοῦ προσώπου τῆς θέας,
ὡς μακρὸς ἐξήγγειλε τῆς φήμης λόγος.
Βαβαί, μὰ τὴν Ἔρωτος ὁπλοποιίαν,
φεῦ φεῦ, μὰ τὰς Χάριτας, ἰδὼν ἂν ἔφης
καὶ σύ, Χαρίκλεις, τὴν Δρόσιλλαν οὐ βλέπων,
μητρὸς Σελήνης, πατρὸς Ἡλίου τέκνον.

Τὰς τῶν ὁρώντων ἐξελίθου καρδίας,
ὁδοιποροῦντας ἐξεθήρευε πλέον·
οὐκ ἔβλεπε βλέποντας ἐξ ἁπλαστίας,
ἀλλ' ἔφλεγε ξύμπαντας ἐξ εὐμορφίας.
Παῖς ἦν ἐκείνη, παῖς ἁπαλή, παρθένος·
πλὴν δυσκινήτους ἐκ χρόνων ἀμετρίας
γέροντας εἵλκε πρὸς ἔρωτα τῇ θέᾳ,
οὐ πῦρ μόνον πνέοντας εὐζώνους νέους.
Ἔρωτος ἦν ἄγαλμα, τέκνον Ἡλίου,
φέρουσα πατρὸς ἐμφέρειαν Ἡλίου
ἣ καὶ πρὸς αὐτὸν ἀντεριζουσα πλέον.
Ἔμελλες, ὦ γέννημα θηρίων Ἔρως,
ἐμὴν πατάξαι καὶ σπαράξαι καρδίαν·
γάλα λεαίνης ἐξεμύζησας ἄρα
καὶ μαστὸν ἄρκτων ἐξεθήλασας τάχα.
Ὡς εἶδον οὖν, ἔπαθον εἰς ψυχὴν μέσην·
ἔτρυχεν ἐστρόβει με δυστυχὴς πόθος·
ἐβαλλόμην, ἔπιπτον, ἐσπαραττόμην·
οὐ γὰρ συνεῖχεν ἄγριος πόθος μόνον
(ἢ μᾶλλον αὐτὸς ἦν κατατρύχων Ἔρως),
στοργὴ δὲ πολλὴ παιδικῆς ἁπλαστίας
καὶ τῶν ἐκείνης οἴκτος αἰωρημάτων.
Ἦν, εὐσθενὴς ὢν ἐκ φιλήματος μόνου,
ἀντιστρατεύειν ταῖς Ἔρωτος σφενδόναις·
οὐκ ἤθελον σχεῖν ἐξ ἐκείνης τῆς κόρης
οὐδὲν πλέον τι τοῦ φιλήματος τότε,
καὶ τοῦτο πάντως φίλτρον ἐξ οἴκτου μόνου.
Τοίνυν προσεῖπον (οὐδὲ γὰρ ἠνεσχόμην)
'ἔργου πάρεργον μεῖζον, ὦ κόρη, βλέπω·
χείλη φιλεῖν σου μεῖζον ἢ λείχειν μέλι.'
'Αλλ' ἐθροήθη καὶ μικροῖς ἡ παῖς λόγοις·
ἐρωτικῶν γὰρ ἀδαὴς ἦν εἰσέτι.

Εὐθὺς μὲν οὖν κέκρυπτο (φεῦ μοι τῆς φρίκης)
καὶ τὰς παρειὰς τῶν ἑαυτῆς δουλίδων
ἔτυπτεν ἐγγελῶσα· καὶ γὰρ αἰσχύνη
κατέσχεν αὐτήν· οὐ γὰρ εἶχεν ὃ δράσοι
ἡ νηπιόφρων ἁπαλόχροος κόρη.
Εἰώθασι γὰρ ὠχρίαν προσλαμβάνειν
αἱ μὴ βλέπεσθαι προσδοκῶσαι παρθένοι,
ὅταν τις αὐταῖς ἀπροόπτως ἐγγίσῃ
καὶ προσλαλήσῃ μᾶλλον ἀξυμφωράτως.
Ἐντεῦθεν ἐλθὼν εἰς τὸν οἰκεῖον δόμον
ἐμαυτὸν ἐκδίδωμι τῷ κλινιδίῳ,
ἁδρὰν λαβὼν ἔρωτος ἀνθρακουργίαν
(δι' ὀμμάτων γὰρ δὺς Ἔρως τὴν καρδίαν
οὐ μέχρι ταύτης ἵσταται φλέγειν θέλων,
μέλη δὲ πάντα πυρπολεῖ περιτρέχων),
καὶ καθ' ἑαυτὸν ἐτραγῴδουν ἠρέμα
Μηδεὶς πτοείσθω κἂν πεφαρμακευμένα
τὰ τοῦ πόθου βέλεμνα τὰ ξιφηφόρα·
τὴν γὰρ φαρέτραν τῶν βελῶν πληρουμένην
ὅλην καθ' ἡμῶν ἐκκενοῖ μανεὶς Ἔρως.
Μὴ δειλιάτω τῶν πτερύγων τὸν κρότον·
Ἔρως γάρ, ὥσπερ ἐμπεσὼν ἐν ἰξίῳ,
τῇ καρδίᾳ μου συγκρατεῖται καὶ μένει.
Ἔρως Ἔρως δείλαιε, πῦρ πνέων Ἔρως,
ἂν εἶδες ἰξευθέντα τὸν στέρνου τόπον,
οὐκ ἂν καταπτὰς ἀμφεκολλήθης τάλας.
Πανδαμάτορ πάντολμε παντάναξ Ἔρως,
ποινηλατεῖς πικρῶς με μὴ πταίσαντά σοι·
οὐ χεῖρα κόπτεις οὐδὲ συντέμνεις πόδας
οὐδ' ἐξορύττεις τὰς κόρας τῶν ὀμμάτων,
αὐτὴν ὀιστεύεις δὲ καρδίαν μέσην
καὶ θανατοῖς με· δυσμενής, βριαρόχειρ,

σφάττεις, φονεύεις, πυρπολεῖς, καταφλέγεις,
πλήττεις, ἀναιρεῖς, φαρμακεύεις, ἐκτρέπεις.
Τῆς ἰσχύος σου, πτηνοτοξοπυρφόρε.'
Οὕτως ἐγὼ δείλαιος ἐξεκοπτόμην·
πλὴν φάρμακόν τι συννοῶ μου τῆς νόσου
μήνυμα γραπτὸν ἀντιπέμψαι τῇ κόρῃ·
ὑπέτρεχον γὰρ συλλογισμοί με ξένοι
ὡς τυχὸν ἀντέπαθε καὶ Καλλιγόνη
ἰδοῦσα τὸν Κλέανδρον ὡραιωμένον.
Μὴ γάρ, Χαρίκλεις, τὸν λαλοῦντα κερτόμει
βλέπων ἀμαυρωθέντα τῇ περιστάσει,
ὁρῶν σκοτεινὸν καὶ κατησβολωμένον,
ἐν πηλοφύρτῳ φυλακῇ κεκλεισμένον·
ψυχῆς γὰρ ἐντὸς θλίψεσι στροβουμένης
καὶ τῶν ἱμερτῶν ἔκπαλαι στερουμένης
πάντως ἀνάγκη σῶμα συμπάσχειν ὅλον."
"Ὡς εὖ λέγεις, Κλέανδρε" Χαρικλῆς ἔφη·
θάλλει νέου πρόσωπον, ὡραῖον μένει,
ψυχῆς ἀφορμὰς χαρμονῆς κεκτημένης."
"Γράψας τὸ λοιπὸν ἐξέπεμψα συντόμως"
Κλέανδρος ἀντέφησε "πρὸς Καλλιγόνην,
πειρώμενος σχεῖν πίστιν ἐκ τῶν πραγμάτων,
εἴ πού τι συμπέπονθε καὶ Καλλιγόνη."
"'Αλλ' ὡς ὄναιο τοῦ πόθου Καλλιγόνης"
ὁ Χαρικλῆς ἔλεξε τῷ ξένῳ πάλιν,
"Κλέανδρε, τούτων μηδὲν ἄρρητον λίπῃς,
ὧν γεγραφὼς ἔπεμψας πρὸς τὴν παρθένον."
"Ἄκουε λοιπὸν" ὁ Κλέανδρος ἀντέφη.

Τῆς σῆς ἐγώ, παῖ παγκάλη, μεμνημένος
θέας ἱμερτῆς ἣν ἰδὼν κατεπλάγην,
χθὲς ἐντυχὼν Χάρωνι μικρὸν ἠρόμην
καί σε πρὸ ἡμῶν, ὥσπερ εἶπεν, εἰδότι

'Ἆρ', ὦ χαρᾶς ἄμοιρε, δυσμενὴς Χάρων,
καὶ τὴν φερίστην ἐν νύραις Καλλιγόνην
σὺν τοῖς καθ' ἡμᾶς δυστυχῶς ἁφαρπάσεις
καὶ κάλλος αὐτὸ τὸ προτεθρυλλημένον
διαφθερεῖς καὶ κύκλα τοξεύοντά με
τῶν ὀμμάτων τοιαῦτα, φεῦ, διασπάσεις
ἢ πρὸς τὸ κάλλος συσταλῆς ἀποβλέπων;
Οὕτω μὲν αὐτὸς εἶπον· ἀλλ' ὁ γεννάδας
ὁ τρισθενὴς 'ναὶ' φησὶ δύσμορος Χάρων.
Καὶ διατείνας εὐθὺς ἀνταπεκρίθην
'αἰαῖ, κακῶν κάκιστε, τί δράσεις, Χάρων;'
Τί λοιπόν; ἀμφίνευσον, ὦ Καλλιγόνη·
ἔχεις με τὸν Κλέανδρον ἐξαιτοῦντά σε.

"Μικρὸν το γράμμα, μηχανῆς δ' ὅλως γέμον"
ὁ Χαρικλῆς ἔφησεν ἠκουτισμένος,
"ὅπως θανάτου καὶ Χάρωνος ἡ κόρη
λαβοῦσα νοῦν κλίναντα τὰς ἐπηρμένας
ἐπικλινὴς γένοιτο τῷ γράψαντί σοι.
Τί λοιπὸν εἰς Κλέανδρον ἡ Καλλιγόνη
ἀντεῖπεν ἀντέγραψεν, εἰδὼς εὖ, λέγοις."

"Οὐδέν, Χαρίκλεις, ὡς ἔοικεν, ἡ κόρη,
ἢ μὴ τὸ γράμμα τοῦτο προσδεδεγμένη
ἢ παισὶ συμπαίστορσιν ἠσχολημένη.
Καὶ δευτέρας οὖν συλλαβῆς ἄκουέ μου."

"'Αλλ', ὦ φίλε Κλέανδρε, μηδὲ τῆς τρίτης
ἐμοὶ φθονήσῃς συλλαβῆς πρὸς τὴν κόρην"
ἔφη Χαρικλῆς· ὁ Κλέανδρος ἀντέφη
"ἄκουε· ταύτης οὐ φθονῶ σοι, Χαρίκλεις·
κουφίζομαι γὰρ προσλαλῶν σοι τῆς νόσου.

Μῦθον τὸ Σειρήνειον ἐννοῶ μέλος,
ἀφ' οὗ τὸ σὸν πρόσωπον εἶδον, παρθένε.
Αὐχεῖς, ἰδού, τὸ κάλλος ὑπὲρ τὸν λόγον·
διδοῖς ἐμοὶ τὸ φίλτρον ὑπὲρ τὴν φύσιν·
λιθοῦσα πλήττεις· οὐδὲ γὰρ φεύγειν δίδως.
Ξανθὸν τὸ πλέγμα· δῦθι, χρυσέ, γῆν πάλιν.

Λαμπρὸν τὸ βλέμμα· χαῖρε, λαμπρότης λίθων.
Τὸ χρῶμα λευκόν· ἔρρε, μαργάρων χάρις·
τῆς σῆς γὰρ αὐτὸς φωσφορούσης, παρθένε,
θέας ἐκείνης πανταχοῦ μεμνημένος
τοῦ δυσμενοῦς Ἔρωτος οὐ κατισχύω
τοὺς ἀνθρακάς μοι τοὺς ἀναφθέντας σβέσαι.
Καὶ νοῦς μὲν αὐτὸς ἐξελίττει τὴν θέαν,
ἀνιστορῶν ἣν εἶχεν, ὡς εἶδον πάλαι·
ἀλλ' ἔνδον αὐτῆς τῆς ταλαίνης καρδίας
Ἔρως ὁ πικρός, ὁ δρακοντώδης γόνος,
ἑλίττεταί μοι λοξοειδῶς, ὡς ὄφις,
καὶ στέρνα μοι καὶ σπλάγχνα, φεῦ, κατεσθίει.
Σὸν ἔργον ἐστὶ καταπαῦσαι τὴν νόσον.
Τοὺς ἀνθρακας σβέννυε καὶ δρόσιζέ με
καὶ τὸν δράκοντα τὸν περιπλακέντά μοι
ταῖς σαῖς ἐπῳδαῖς ἐξαπόσπα, παρθένε."

"Ναὶ ναί, φίλε Κλέανδρε" Χαρικλῆς ἔφη,
ἁλόντος αὐτὰ καὶ παθούσης καρδίας·
ἔπαθες, ὡς φῄς· ἐξ ἐμαυτοῦ μανθάνω.
Τὸν τῶν βροτῶν τύραννον αὐτοδεσπότην
Ἔρωτα τὸν τοσαῦτα συντήξαντά με
δεσμῆσαν αὐτὸ τῶν Χαρίτων τὸ στίφος,
ταῖς εὐπροσώποις καλλοναῖς τῶν παρθένων
τὸν δεσπότην δίδωσιν ὡς ὑπηρέτην.
Ἡ Παφίη δὲ πανταχοῦ πλανωμένη
καὶ λύτρα δῶρα προσφέρουσα μυρία
ζητεῖ τὸ τέκνον πολλὰ ποτνιωμένη·
καὶ κἂν τις αὐτὸν εὑρεθῇ λῦσαι θέλων,
οὐ δραπετεύει· καὶ γὰρ ὡς ὑπηρέτης
τὸ προσμένειν ἔμαθεν ἐκ τῶν Χαρίτων."

"Ἄκουσον" ὁ Κλέανδρος εἶπε "καὶ τρίτης
ἡμῶν, Χαρίκλεις, συλλαβῆς πρὸς τὴν κόρην.
Ἐκ σοῦ, σελήνη, καὶ τὸ φῶς δοκῶ βλέπειν.
Σοὶ συγκινοῦμαι, συμμένω, σοὶ συμπνέω.
Σὺ χαρμονή μοι καὶ σὺ θλίψεως βέλος.

Σὺ καὶ νόσος μοι καὶ σὺ φάρμακον νόσου.
Σὺ φροντὶς εἶ καὶ Θᾶττον ἄφροντις βίος.
Σὺ καὶ νεκρὸν ζωοῖς με (τὸ πρᾶγμα ξένον)
καὶ ζῶντα νεκροῖς (θαῦμα). Καὶ γὰρ ἡ φύσις
κεστοὺς ὅλους λαβοῦσα πρὸς τὴν σὴν πλάσιν
ἀγαλματοῖ σε λευκερυθροφωσφόρον.
Ὦ ποῖον ἄστρον λαμπρὸν οὕτω καὶ μέγα,
μῆτερ Σελήνη φωσφόρος φυτοσπόρος,
ἐν τοῖς καθ' ἡμᾶς ἐξεγέννησας χρόνοις.
Νοσεῖς; νοσῶ· χαίρεις δέ; συγχαίρω μέγα·
ἀλγεῖς; συναλγῶ· δακρύεις; συνδακρύω.
Ἓν τοῦτο πικρόν, ἓν τὸ δάκνον, τὸ τρύχον·
ἀφ' οὗ γὰρ εἶδον, ἐξετοξεύθην τάλας,
ἀεὶ δέ μοι σὺ πετροκάρδιος μένεις·
οὐ φάρμακον γὰρ ἐμπαρέσχες αὐτίκα
τῇ καρδίᾳ μου τῇ τετρανματισμένῃ,
καὶ νῦν σαπέντος τοῦ πεπληγότος τόπου
ἐκφύντες οἱ σκώληκες ἐσθίουσί με·
οὕτως ἀεὶ τὸ τόξον ἐντείνων Ἔρως
σφάττει, φονεύει, τραυματοῖ, ξαίνει, θλίβει,
κεντεῖ, τιτρώσκει, θανατοῖ, τέμνει, τρύχει.
Ἔγγισον, ἴδε καρδίαν πεπληγμένην
καὶ στέρνον αὐτὸ καιρίως βεβλημένον.
Ἔνσταξον εἰς τὰ στέρνα γλυκεῖαν δρόσον
ὡς οἶνον ὡς ἔλαιον εἰς τὸ τραῦμά μου·
τοὺς κρυσταλώδεις ὧδε δακτύλους φέρε,
ὅλης ἐφάπτου τῆς παθούσης καρδίας·
τὸ λεπτοϋφὲς ἐξυφάπλου μοι φάρος,
τοὺς ἑλκεσιτραφεῖς δὲ δακνοκαρδίους
σκώληκας ἀδροὺς Θᾶττον ἐκκάθαιρέ μοι.
Οὕτως ὄναιο τῆς ἐμῆς σωτηρίας,
οὕτως ὀναίμην σῆς τόσης εὐποιίας.
Ποίησον οὕτως· ἅμ' ὑπὸ χλαῖναν μίαν
γενοίμεθα ζέοντι καρδίας πόθῳ,
ἐπαινετὴν πλέξαντες ἀλληλουχίαν.

Ἀλλ', ὦ Χαρίκλεις, εἰ δοκεῖ, σιγητέον·
εἰ δ' οὔ, τετάρτῃ συλλαβῇ δὸς ὠτίον."
"Λέγοις ἄν, ὦ Κλέανδρε" Χαρικλῆς ἔφη.

"Ἄκουε λοιπὸν ῥημάτων κατωδύνων
ὅσα προσεξέπεμψα τῇ Καλλιγόνῃ"
Κλέανδρος εἰπὼν ἦρχε τῆς τραγῳδίας

Χρυσοῦν δ' ἔχον τὸ μῆλον οὐ γεγραμμένον,
ὡ σῶμα συμπὰν εὐφυὲς Καλλιγόνη·
κἂν ἐγράφη δέ, πρὸς σὲ ποῖα τις ἔρις;
Δέχου, καλή, τὸ μῆλον, ὡς καλὴ μόνη·
τῶν παρθένων γὰρ ἐν χοροῖς σὺ καλλίων.
Συμμαρτυρεῖ καὶ Μῶμος αὐτός, ἁρμάς
ἰδὼν σὺν ἡμῖν εἰς πανήγυριν πάλαι
ἄνω κατοῦσαν καὶ προκύπτουσαν κάτω·
καὶ γὰρ τὸ χεῖλος ἐνδακὼν κατεπλάγη.
Μὴ σῴδρα μοι σύναγε τὰς ὑφρῦς ἄνω·
ἐκ τῶν Ἔρωτος ἐξετάκην φαρμάκων,
ἐκ τῶν ἐκείνου κατεκαύθην ἀνθράκων.
Ἐξ ἡλίου φλέγοντος ὡς ὁδοιπόρος
ὡς σκιερόν τι δένδρον ἐξεύρηκά σε·
ὡς κιττὸς εἰς δρῦν συμπλακείην παννύχως.
Εἰπεῖν δέον με τὴν ἀλήθειαν· ὅσον
χειμῶνός ἐστι κρεῖττον ἐκκρίτως ἔαρ,
στρουθῶν ἀηδόν, μῆλον ἠδὺ βραβύλων,
ὅσον γυναικῶν τριγάμων ἡ παρθένος,
τοσοῦτο τὸ πρόσωπον, ἡ σκιὰ μόνη
ἐθέλξε τὸν χθὲς ἀτενῶς βλέψαντά σε.
Ἡ Κύπρις, ὡς ἔοικεν, αὐτή, παρθένε,
τὰς χεῖρας εἰς τὸν κόλπον ἐντέθεικέ σου,
καὶ πᾶσα Χάρις ἐξεκαλλώπισέ σε.
Ἐμοὶ λογισμὸς ἦλθε μὴ σὺ Πανδώρα,
ἣν εἰσάγει τις μυθικὴ πλαστουργία.
Καὶ γοῦν ἐκείνην μῦθος αὐτὸς εἰσάγει·
ὅμως ἐναργὴς τῆς ἀληθείας λόγος
ἡμῖν παριστῶν ὡς ἄγαλμα δεικνύει
ἠλιοειδὲς καὶ κατηστερισμένον,
τὴν παρθένον σε, τὴν καλὴν Καλλιγόνην.
"Οὕτω, Χαρίκλεις, οὐδαμῇ στέγειν ἔχων
γραφὰς παρεξέπεμπον ἀλληλοδρόμους.
Τί γοῦν; ὁ τάλας ἀντεμηνύθην μόλις

ἐλθεῖν πρὸς αὐτοὺς παρθενῶνας ἐννύχως,
ἐν οἷς διημέρευεν ἡ γλυκυτάτη.
Καταλαβούσης τοιγαροῦν τῆς ἑσπέρας
ἀναλαβὼν κίθαριν ἠργυρωμένην
ἐπεκρότουν κρούσμασι καλλιστοκρότοις,
καὶ συγκροτῶν ᾠδευον εἰς Καλλιγόνην
καὶ (τῶν Ὀλυμπίων γὰρ ὑπερεφρόνουν)
τοιῶνδε τερπνῶν ἁσμάτων ἀπηργμένος

Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ἡ Νιόβη κλαίουσα λίθος εὑρέθη,
μὴ καρτεροῦσα τὴν στέρησιν τῶν τέκνων·
Πανδίονος δὲ θυγάτηρ παιδοκτόνος
ἐξωρνεώθη, πτῆσιν αἰτησαμένη.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ἐγὼ δ' ἔσοπτρον εὑρεθείην, Ζεῦ ἄναξ,
ὅπως ἀεὶ βλέπῃς με σύ, Καλλιγόνη·
χιτὼν γενοίμην χρυσόπαστος ποικίλος,
ὅπως ἔχω σου θιγγάνειν τοῦ σαρκίου.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ὕδωρ φανείην, ὡς προσώπου πᾶν μέρος
σχοίην ἀλείφειν εὐτυχῶς καθ' ἡμέραν·
μύρον γενοίμην, ὡς ἐπιχρίειν ἔχω
χείλη παρειὰς χεῖρας ὄμματα στόμα.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Τί μοι μεγίστων καὶ τυχεῖν μὴ ῥᾳδίων;
Ἥρκει γενέσθαι χρύσεόν με βλαυτίον
καὶ καρτερεῖν με συμπατούμενον μόνον
τῇ λευκοτάρσῳ τῶν ποδῶν σου συνθέσει.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ζεὺς ἀντὶ πυρὸς ἐμπαρέσχε τῷ βίῳ

πῦρ ἄλλο δεινόν, τῆς γυναικὸς τὴν πλάσιν.
Ὡς εἶθε μὴ πῦρ, μὴ γυναικεῖον φύλον
κατῆλθεν εἰς γῆν καὶ προῆλθεν εἰς βίον.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Τὸ πῦρ γὰρ αὐτό, κἂν ἀναφθείη, πάλιν
καὶ συντόμως σχοίη τις ἐγκατασβέσαι·
γυνὴ δὲ πῦρ ἄσβεστον ἐν ψυχῇ φέρει,
ἂν κάλλος εὐπρόσωπον ὡραῖον φέρῃ.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Τυχὸν γὰρ οὓς ἔσωσεν ἀνδρία μάχης,
ὧν μὴ κεφαλὴν ἐξέκοψεν ἡ σπάθη,
οὓς μὴ κλινήρεις ἀπέδειξεν ἡ νόσος,
οὓς δραστικὴ χεὶρ ἐρρύσατο κινδύνων,
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον,
οὓς οὐ κατειργάσαντο κύκλοι πραγμάτων,
οὓς δεσμὸς οὐ κατέσχεν, οὐ κλοιῶν βάρος,
ἀεὶ δὲ χωρὶς τῆς τρυχούσης φροντίδος
ζῶσι Κρονικὸν καὶ τὸν εὔθυμον βίον,
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον,
τούτους γυνὴ λαλοῦσα χαρμονῆς χάριν
ταῖς ἐξ ἐκείνης ἀστραπαῖς σελασφόροις,
ἄνθος κατατρύχουσα σαρκίου νέου,
ὡς ἐν κεραυνῷ πρηστικῷ καταφλέγει.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Σῶν χειλέων κάμινος ἐξῆπται μέσον,
Καλλιγόνη, θάμβημα τοῖς ἰδοῦσί σε,
ὁμοῦ κατ' αὐτὸ πῦρ φέρουσα καὶ δρόσον,
τῇ μὲν καλοῦσα, τῷ δ' ἀποτρέπουσά με.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Αὕτη τὸν ἐμβλέψαντα μακρόθεν φλέγει·
τὸν δὲ προσεγγίσαντα τῷ στόματί σου,
ἢ καὶ τυχόντα τοῦ φιλήματος μόνου

ψυχρᾷ ψεκάδι δεξιοῦται καὶ δρόσῳ.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ὦ πῦρ δροσίζον, ὦ φλογίζουσα δρόσος.
Ἀλλὰ φλεγέντα καὶ πεπυρπολημένον
ἐξ ἄνθρακος σῶν χειλέων παρηγόρει
διδοῦσα τὴν σὴν εἰς ἀνάψυξιν δρόσον.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.'

Γ

Οὕτω μελίζων, ὡς ἀηδὼν εἰς ἔαρ,
προσῆλθον εὗρον εἶδον αὐτὴν τὴν κόρην,
καὶ 'χαῖρε' φησὶν 'ὦ καθ' ὕπνους νυμφίε'
ἐμοῦ προαρπάσασα τὴν ὁμιλίαν·
'Ἔρως ἐπιστὰς τῇ πρὸ τῆς χθὲς ἑσπέρᾳ
ἐμοὶ συνῆψέ σε, Κλέανδρε, πρὸς γάμον,
ὡς εἶπε, προσχὼν οἷς ἐπένθεις δακρύοις.
Καὶ σκεπτέον σοι, ναί, Κλέανδρε, σκεπτέον
πῶς τῶν καθ' ἡμᾶς ἀσφαλῶς φροντιστέον.
Ἐγὼ γὰρ οὐ πῦρ, οὐ θάλασσαν, οὐ ξίφος
πρὸς τὴν Κλεάνδρου δειλιάσαιμι σχέσιν·
οὗς γὰρ θεὸς συνῆψε, τίς διασπάσοι;'
Τούτων ἀκούσας, ὦ Χαρίκλεις, τῶν λόγων
'Καλλιγόνη, σύγχαιρε' λοιπὸν ἀντέφην,
'καὶ δεῦρο δεῦρο πρὸς τὸν ἀγχοῦ λιμένα,
ὅπως ἀποπλεύσωμεν ἄμφω Λεσβόθεν,
Ἔρωτι δόξαν τῷ τυράννῳ, παρθένε.'
Οὐκοῦν ἑαυτοὺς ἐμβαλόντες ὁλκάδι
(οὐ γὰρ βραδύνειν ἐμμανὴς Ἔρως θέλει)

καὶ πέντε συμπλεύσαντες ἡμερῶν πλοῦν
τοῦ φωσφόρου κλίναντος ἄρτι πρὸς δύσιν
καὶ πνεύσαντος λαίλαπος ὠλεσισκάφου
ἄκοντες ἐξήχθημεν εἰς Βάρζον πόλιν,
ἧς καὶ προσωρμίσθημεν ἐν τῷ λιμένι,
μόλις φυγόντες τὴν ἀνάγκην τῆς ζάλης.
Οὕτω τυχὸν δὲ δυσμενεῖς Πάρθοι τότε
σφοδρῶς ἐληΐζοντο κύκλῳ τὴν πόλιν
(τοὺς Βαρζίτας γὰρ ζημιοῦσι πολλάκις
ἄφνω παρεμπίπτοντες ἠμελημένους),
οἳ συλλαβόντες πάντας ἡμᾶς ἀθρόως
τοὺς τῆς θαλάσσης ἐκφυγόντας τὸ στόμα,
Καλλιγόνην Κλέανδρον, ἄλλους ἐμβάτας,
τὴν φορταγωγὸν ἐξέκαυσαν ὁλκάδα.
Καλλιγόνη γοῦν ἐγκρυβεῖσα μυρίναις
(συνηρεφεῖς γὰρ ἦσαν ἀγχοῦ λιμένος)
τὴν Παρθικὴν ἔφυγεν ἀγερωχίαν,
ἐγὼ δὲ μέχρι τῆς παρούσης ἡμέρας,
ἀφ' οὗπερ αὐτῆς, ὦ θεοί, διεξύγην,
εἱρκτὴν κατοικῶ τὴν κατεξοφωμένην,
διττὴν πεπονθὼς συμφορὰν βαρυτάτην·
Καλλιγόνης γὰρ ἐστέρημαι παρθένου
καὶ νῦν παρ' ἐχθροῖς εἰμὶ δυσμενεστάτοις.
Σὺ γοῦν, Χαρίκλεις, ὡς ὑπέσχου μοι, λέγοις
τὸν σὸν πονηρὸν καὶ πύλοδακρυν βίον."
"Ποιεῖς μὲν ὄντως οὐκ ἀδακρύτως λέγειν,
Κλέανδρε, τὰ τρύχοντα καὶ θλίβοντά με"
ἔφη Χαρικλῆς τοῦ λαλεῖν ἀπηργμένος·
"ὅμως ἐπειδὴ καρδίαν ἐλαφρύνει
τὸ τοὺς κατ' αὐτὴν ἐξερεύγεσθαι πόνους,
Κλέανδρε, πρόσχες· οὐ κατοκνῶ γὰρ λέγειν.
Μήτηρ μὲν ἦν μοι Κρυστάλη, πατὴρ Φράτωρ,

οὐκ ἐκ γεναρχῶν ἀκλεῶν, πατρὶς Φθία.
Ἤδη δὲ τὸν μείρακα τῆς ἥβης νόμον
ἡλικιούμην εὐγενῶς τεθραμμένος·
μείραξι συνέχαιρον οἷς προσωμίλουν,
ἵππευον, ἀμφέπαιζον, ὡς νέοις νόμος,
λαγὼς ἐθήρων, εὐφυῶς ἱππηλάτουν
(συμπαίστορας γὰρ εἶχον εὐγενεστάτους),
ἐρωτικῶς δ' οὖν οὐκ ἔπαθον εἰσέτι,
οὔπω γέννυν ἴουλος ὑπεζωγράφει.
Διονύσου δὲ τῆς ἑορτῆς ἐνστάσης,
συνεξεληλύθειμεν ἡδονῆς χάριν
βωμὸν παρ' αὐτόν, ὃς παρ' αὐτῇ τῇ Φθίᾳ
ἔξωθεν ὠρόφωτο πλαξὶν εὐχρόοις.
Ἦν οὖν κατ' αὐτὸ τοῦ θεοῦ τὸ χωρίον
ἀεὶ τὸ δένδρον οἷον ἀνθοῦν εἰς ἔαρ
βρῖθόν τε καρπῷ καὶ τεθηλὸς φυλλάσι.
Καὶ γὰρ ποταμὸς ἐκρέει Μελιρρόας,
ἰδεῖν μὲν ἡδὺς καὶ πεπόσθαι βελτίων·
οἱ πλείονες δὲ τὸν γλυκὺν Μελιρρόαν
καλοῦσι Θρεψάγρωστιν ἄνδρες βουκόλοι
ὅσοι βόας νέμουσιν ἐν τῷ χωρίῳ,
ὡς ἡσυχῇ ῥέοντα τῆς ὄχθης ἔσω·
οὐ γὰρ χιὼν λυθεῖσα γεννῶσα τρέφει,
οὐδ' ἐξ ὄρους πρόεισι πολλὴ πλημμύρα
καὶ τὰς ἀρούρας τῇ ροῇ παρασύρει·
μόνος γὰρ οὗτος ἐν ποταμοῖς τῆς Φθίας
ἴσως ἀεὶ ῥεῖ καὶ περιρρέει κύκλῳ·
εὐδαιμονεῖ δὲ πᾶς νομεύς, πᾶς ἀγρότης,
ὃν ἔσχεν ἐντὸς τῶν ἑαυτοῦ ῥευμάτων·
ἐκ δ' οὐρανοῦ κάτεισιν ἡδίστη δρόσος,
ἀφ' ἧς συνεστὼς ἐστιν ἐξ ἴσου ῥέων.
Τούτου παρ' ὄχθαις χρῆμα χρυσῆς πλατάνου

ἐν θαλεραῖς ἔθαλλε χρυσαῖς φυλλάσιν.
Οὐδὲν πρὸς αὐτὴν ἐστιν ἐν παραθέσει
ἡ Ξερξικὴ πλάτανος ἡ θρυλλουμένη·
τὸ μὲν γὰρ ἀκρόπρεμνον ἐγγὺς αἰθέρος,
τὰ φύλλα δ' ἐσκίαζε τὴν γῆν τὴν πέριξ,
ὅσην συνέσχεν ἡ Μελιρρόου ῥύσις.
Ἐκρεῖ δὲ πηγὴ ῥιζόθεν τῆς πλατάνου,
οἵαν ἐοικὸς ἐστιν ἐντεῦθεν ῥέειν.
Ἡ γῆ δ' ἐπανθεῖ καὶ τὰ θρέμματα τρέφει
τῇ πλησμονῇ τε τῆς βορᾶς καὶ τῷ κόρῳ
καὶ τῷ ῥοθίῳ τοῦ καλοῦ Μελιρρόου·
μεθύσκεται γὰρ ἡ μικὰς αἶξ εἰ πίοι,
χλωραῖς τ' ἐπεσκίρτησε πολλάκις πόαις.
Νεωκόρος δὲ πρὸς θεοῦ τεταγμένος
μένει φυλάττων, ἀγρυπνῶν ἀκαμάτως,
τὴν ἱερὰν πλάτανον ἐξ ὁδοιπόρων
μὴ ποῦς πρὸς αὐτὴν ἰταμὸς προσεγγίσῃ.

Συνέδραμον οὖν πάντες ἔξω τῆς Φθίας
πρὸς τὴν ἑορτὴν τοῦ θεοῦ Διονύσου,
ἄνδρες γυναῖκες παρθένοι νεανίαι,
μείρακες ἀλλὰ καὶ νεάνιδες κόραι.
Ἐγὼ θεωρῶν ἀμύητος ἦν ἔτι
ἐρωτικῶν δήπουθεν ἐκτοξευμάτων.
Ὡς εἶδε τηνικαῦτα μὴ συνεξέδυν
τοῖς γνησίοις μείραξι τῆς Φθίας πύλης.
Προσήλθομεν δὲ συννεανίαι φίλοι
τῷ τοῦ τόπου φύλακι καὶ τῆς πλατάνου,
καὶ δῶρα δόντες ἔδραν ἔσχομεν ξένην
καὶ παρδίας τύραννον ἢ ποινηλάτιν
τῆς παρθενικῆς καλλονῆς θεωρίαν.
Εἴωθε καὶ γὰρ ὁ βριαρόχειρ Ἔρως,
ὁ πρεσβύτης παῖς, τὸ πρὸ τοῦ Κρόνου βρέφος,

ὡς ἐκ θυρίδων ἐμπεσὼν δι' ὀμμάτων,
τὰ σπλάγχνα πιμπρᾶν καὶ φλέγειν τὴν καρδίαν
καὶ νεκρὸν ὥσπερ τὸν ποθοῦντα δεικνύειν.
Καὶ γοῦν ὑπὸ πλάτανον αὐτὴν αὐτίκα
ἡλικιώταις συγκαθήμενος φίλοις
τρυφῆς μετεῖχον ποικιλοφαρτυμάτων,
ἀμφαγνοῶν δύστηνος ὡς γένοιτό μοι
τὴν τηλικαύτην χαρμονὴν καὶ τὸν γέλων
εἰς δακρύων ῥοῦν συμπεριστῆναι τέλος.
Ὅμως πάλιν ἔχαιρον οἷς συνετρύφων.
Τοιοῦτόν ἐστιν ἀγνοοῦσα καρδία
κακὸν τὸ μέλλον ἐν χαρᾷ καθημένη.
Γελωτοποιῶν ἠκροώμην ῥημάτων
ἐρωτικῶν, μᾶλλον δὲ τερπνῶν ᾀσμάτων.
Ὁ μὲν γὰρ αὐτῶν τῶν συνεστιωμένων
τοιούσδε τυχὸν ἐξέπεμπε τοὺς λόγους
πρὸς τὰς ἐκεῖσε συνδραμούσας παρθένους
ἢ πρὸς γυναικῶν ποικίλας ὁμηγύρεις
ἐκεῖθεν ἔνθεν τὴν ὁδὸν ποιουμένας
Ἡθὲς εἶχε πῦρ δίψης με, καὶ λαβὼν ὕδωρ
(τυχὸν γὰρ οὕτω τὴν ὁδὸν διηρχόμην)
ὡς ἄμβροτον ῥοῦν ἐξέπινον εἰς κόρον.
Μέμνησο τῆς χθές· σὺ γὰρ ἡ διδοῦσά μοι.
Ἀλλ' ὁ πτερωτὸς ὁ θρασύσπλαγχνος μόνος
Ἔρως δυσαντίβλεπτος ὁπλοτοξότης
κώνωψ φανεὶς ὤλισθεν ἔνδον τοῦ σκύφου·
ὃν καὶ πεπωκὼς γαργαλίζομαι τάλας
ἐκ τῶν πτερύγων ἔνδοθεν τῆς καρδίας,
καὶ μέχρι τοῦ νῦν (τῆς ὀδύνης, τοῦ πόνου)
κνήθει με καὶ δάκνει με, καὶ κακῶς ἔχω.
Τέως μαλαχθεὶς οὗτος ὀψὲ καὶ μόλις
ὁ τῶν βροτῶν τύραννος αὐθάδης Ἔρως

πέμπει με πρὸς σὲ τὴν ἰάσουσαν μόνην
τὸ τραῦμα καὶ τὸ ὄῆγμα καὶ τὴν καρδίαν·
πέμπει με, καὶ δέχου με ταῖς σαῖς ἀγκάλαις,
οὐδὲν ξένον ποιοῦσα· ναὶ δέχου, δέχου.'
'Αλλος μετ' αὐτὸν ἀντέφησεν εὐθέως
'Ιού, τί ταῦτα; τὴν κατάστερον κόρην
τὴν πολλὰ βακχεύουσαν ἐν κάλλει πάλαι,
ὡς ἡ Λαῒς τὸ πρῶτον ἡ Κορινθία,
τρύχει νόσος δύστηνος (ὢ κακὴ νόσος),
ἡ δ' εὐτραφὴς σάρξ, ὡς ὁρῶ, κατεστάλη.
Μὴ τοῦτο, μὴ μὴ τοῦτο· ῥῶσιν, σάρξ, λάβε·
ὅλοιτο πᾶσα τηκτικὴ καχεξία·
οὐ γὰρ γυναικὸς σάρξ τις ὅλλυται μία,
ἀλλ' οὖν σὺν αὐτῇ καὶ φίλων πληθὺς πόση.'
'Εντεῦθεν ἄλλην ἄλλος ἰδὼν ἀντέφη
'νεύεις κάτω, ποθοῦσα καὶ ποθουμένη,
ὁδοιποροῦντος τοῦ φιλοῦντος πολλάκις,
καὶ στέρνα καὶ πρόσωπον ἐγκρύπτειν θέλεις,
ζώνην δὲ τὴν σὴν ἀκρολυτεῖς ἀθρόον
καὶ τῶν ποδῶν σου τοῖς ἁπαλοῖς δακτύλοις
τὴν προστυχοῦσαν ἐγχαράττεις γῆς κόνιν.
Αἰδοῦς τὰ σεμνὰ ταῦτα, πλὴν οὐ συμφέρει·
οὐκ οἶδεν αἰδῶ Κύπρις, οὐδ' Ἔρως ὄκνον.
Εἰ γοῦν θέλεις τοσαῦτα τὴν αἰδῶ σέβειν,
ἐμοὶ χαρίζου κἂν τὸ νεῦμά σου μόνον.'
Τοὺν δὲ πάλιν ἄλλος ἀντεκεκράγει
'ὡς εὐχαριστῶ τῇ πολιᾷ μυρία.
Καλῶς δικάζει καὶ καλῶς πάντα κρίνει·
ἀρωγός ἐστι τῆς Κύπριδος, ὡς βλέπω,
ποινηλατοῦσα τὰς σοβαρὰς πρὸς πόθον.
Ἡ γαυριῶσα βοστρύχων εὐκοσμίᾳ
ὁρᾷ τὸ μακρὸν πλέγμα νῦν διαρρέον,

εἰς λευκὸν ἐτράπη δὲ τὸ ξανθὸν πάλαι·
ἡ τὰς ὀφρῦς ὑψοῦσα καὶ διηρμένη
ἀφῆκε πᾶσαν ἄρτι τοῦ κάλλους χάριν·
ὁ μαστὸς ἑστὼς ὄρθιος πρὶν τῆς κόρης
ὑπεκλίθη· καθεῖλεν αὐτὸν ὁ χρόνος·
γηραλέον τὸ φθέγμα, φεῦ, σοί, πρεσβύτις·
τὸ πρὶν δροσῶδες χεῖλος, ὡς αὐαλέον·
πέπτωκεν ὀφρύς, ἦλθεν εἰς ἀειδίαν·
τὸ πᾶν δέ σοι παρῆλθε τοῦ κάλλους, γύναι.
Τί λείπεταί σοι; δεῦρο, μαστρόπευέ μοι.
Ὕβριζες· ὑβρίσθητι νῦν, τρισαθλία.
Παρέτρεχές με· συμπαρατρέχω δέ σε.
Ἐπλῆττες, οἶδας· ἀντιπλήττου καιρίως.
Ἀλγεῖς; προήλγουν. Δυσφορεῖς; ἐδυσφόρουν.
Παθοῦσα καὶ μαθοῦσα νῦν, τὸ τοῦ λόγου,
δίδασκε πάσας τὰς προλοίπους παρθένους
ὑποκλίνεσθαι τοῖς ἐρῶσι ταχέως.'"

"'Ὦμοι, Χαρίκλεις, οἷος ἄρτι μοι γέλως
ἐκ σῶν μελιχρῶν ἦλθε διηγημάτων"
Κλέανδρος εἶπεν· "ὦ κακῶν προκειμένων.
Πλὴν ἀλλὰ καὶ σὲ μειδιῶντα νῦν βλέπω·
καίτοι προεῖπας ἐν καταρχῇ τοῦ λόγου
τὰ κατὰ σαυτὸν οὐκ ἀδακρύτως λέγειν."

"'Εῶ" Χαρικλῆς εἶπε "τὸν πολὺν λόγον,
ὃν εἶπεν ἄλλος συμποτῶν μοι γνησίων."

"Μή, πρὸς Δροσίλλης" ὁ Κλέανδρος ἀντέφη.
"'Ακουε λοιπὸν ῥημάτων μελιρρόων.
Φιλεῖς τὸν ἀνδρόθηλυν, ὡς ἠκηκόειν,
μαινάς, σοβάς, τάλαινα, πρέσβα παρθένε.
Θάρρει τὰ γαστρός, οὐ γὰρ ἐγκύμων γένῃ,
κἂν καὶ μετ' ἀνδρῶν συγκλιθήσῃ μυρίων,
κἂν Ἡρακλεῖ γὰρ συγκαθευδήσῃς, γύναι,

κἂν καὶ Πριήπῳ τῷ φιλάφῳ τοῦ μύθου.
Ἅπαις, πολύπαις οὖσα τὸν χρόνον πάλαι
ἄπαις μενεῖς· καλεῖ γὰρ ὁ Πλούτων κάτω.
Παύθητι κουρίζουσα· ναυστόλου, γύναι.'
Ἐξεῖπε ταῦτα καὶ πρὸς ἄλλην αὐτίκα
βαβαί, παλαιὸς ὡς διέψευσται λόγος.
Τρεῖς φησὶ τὰς Χάριτας, ἀλλ' ὁ σός, κόρη,
ὀφθαλμὸς εἷς Χάριτας αἴχει μυρίας.
Αἰαῖ, τεφροῖς με τῇ καμίνῳ τοῦ πόθου
καὶ πυρπολεῖς τὰ σπλάγχνα καὶ τὴν καρδίαν.
Ὦ μιαρὰ παῖ, τοῦτο πολλῆς ἀγάπης;
Μὴ τὰς ὑφρῦς ἔπαιρε· τὴν Κύπριν τρέμε·
σύννευε τοῖς φιλοῦσι· μέτρια φρόνει.
Κόρης ἀπειλὰς δῆθεν ἐκτιναχτρίας
αὐταγγέλους Κύπριδος ἔγνων πολλάκις,
τῶν σχημάτων δὲ τὴν πολύτροπον πλάσιν
καὶ τὴν σιωπήν, ἀνθυπόσχεσιν ξένην.
Καὶ πρὸς σὲ ταῦτα τὴν ἀμείλικτον βλέπει
σημεῖά μοι κάλλιστα. Χαῖρε, καρδία.
Φεῦ, σῆς ἱμερτῆς προσλαλιᾶς, παρθένε.
Ἀποστροφὴ σὴ δυσπαράκλητος τάχα
καὶ πέτραν αὐτὴν συγκινήσει πρὸς πόνον.
Τί γοῦν πάθῃ τις; Ἀλλ', ὁ τοξεύων Ἔρως,
τὴν πλῆξιν αὐτὸς ἐξιῶ μοι καὶ μόνος.
Σοὶ καὶ θαλασσῶν ἐκπεράσω πλημμύραν
καὶ πῦρ διέλθω τοῦ προσελθεῖν σοι χάριν.
Δὸς χαροπόν μοι νεῦμα, καὶ τὸ πᾶν ἔχω.
Μὴ πλῆττε, μὴ σύντριβε (κέρδος οὐκ ἔχεις)
πρὸς τὰς Ἔρωτος λαβυρινθώδεις πάγας.'
Οὕτως ἀπαγγείλαντος αὐτοῦ τῷ τέως
ἄλλος πρὸς ἄλλην ἄλλον ἀντέφη λόγον
Βαρύνεται σὸν ὄμμα τοῦ πόθου γέμον,

πολλὴ δ' ἀμαυροῖ τὰς παρειὰς ὠχρότης.
Ἔοικας ὕπνων ἐνδεὴς εἶναι, γύναι.
Εἰ μὲν παλαίστραις ὡμίλησας παννύχοις,
ὡς εὐτυχὴς ἐκεῖνος ὅλβιος μάκαρ
ὁ χεῖρας αὐτὰς ἐμβαλὼν σαῖς ὠλέναις.
Εἰ δὲ πρὸς ἧπαρ πῦρ βαλὼν Ἔρως φλέγει,
εἴης πρὸς ἡμᾶς μᾶλλον ἐκκεκαυμένη.
Σὺ νῦν Ἀχιλλεύς· Τήλεφον βλέπεις, γύναι·
ναί, παῦσον, ὡς ἔτρωσας, ἧπατος πόνους·
εἰ δ' οὐκ ἀρεστόν, ἄλλο βάλλε μοι μέρος,
τὸ δ' ἧπαρ ἄφες ἀλλὰ καὶ τὴν καρδίαν.
Τοιαῦτα προσπαίζουσι τοῖς νεανίαις
ἐφίσταταί τις τῶν συνήθων ἡλίκων,
Βαρβιτίων, ἄριστος εἰς εὐφωνίαν,
ὃς καὶ προσεῖπεν ἐγκαθεσθεὶς πλησίον
'ἀεὶ τὸ φιλοῦν αὐτόκλητον, φιλότης·'
καλῶς δὲ συνθεὶς τὴν ἀνὰ χεῖρας λύραν
καὶ πρὸς τὸ πλήττειν εὐφυῶς καθαρμόσας
ἔρωτος ἧσεν ᾆσμα τερπνὸν ἡδύνον.

Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
Ἡ Ῥοδόπη ποτ' ἄτιζε τὰ Κύπριδος ἀφρογενείης
καί ῥ' ἐς ὅλους λυκάβαντας ἐπήνεε συμβιοτεύειν
Ἀρτέμιδι, ποθέουσα κύνας ἐλάφους τε καὶ ἵππους,
τοξοφόρος δονάκεσσιν ἀν' οὔρεα μακρὰ βιβῶσα.
Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
Ἡ Κύπρις ἐστύγνασε· τὸν υἱέα τῇδ' ἐποτρύνει
τόξ' ὤμοισιν ἔχοντα καὶ ἀντίον ὤπλισεν αὐτῆς.
Ἡ Ῥοδόπη πρὸς ἔλαφον ὀρεινόμον ἔγχος ἐνώμα·
ἐς Ῥοδόπην ὁ Κύπριδος ἀγάστονα τόξα τιταίνει.
Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
Ἤυχεεν, ἀλλ' ἐβέβλητο· ταχύτερον ἔγχος Ἔρωτος.

Ἦλγεεν ὦμον ἕλαφος, ἐπέτρεχεν ἐς μέσον ὕλης·
ἐς κραδίην Ῥοδόπῃ δὲ καὶ ἐς φρένας ἦλγεεν αὐτάς,
ἔνθ' ὀλοὸν καὶ ἄτλητον Ἔρως ἐπέπηξε βέλεμνον.
Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
Ἦλγεεν, ἐστονάχιζεν, ἐπεὶ πόθος ἦλασεν ἔμπης.
Εὐθύνικον φιλέεσκε· βεβλημένος ἦν δὲ καὶ αὐτός.
Παῖς γὰρ ὃδ' ὠΐστευσε καὶ ἐς πόθον ἦλασεν αὐτῆς·
ἀλλήλους ἐσέδρακον, Ἔρως δ' ἄρα πῦρ ὑπανῆπτεν.
Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
Ἔργον δ' ἐκτετέλεστο, καὶ ἐς πόθον ἤλυθον ἄμφω·
παρθενίην δ' ἀπόειπεν ἄτλητον Ἔρωτος ἀνάγκῃ.
Φείδεο καὶ σὺ Κύπριδος· ἔγνως ῥά ἑ ὀμβριμόθυμον·
μηδὲ λόγοις ἀνάνευε λυγιζομένη παρ' ἐμεῖο.
Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.

Ἤδυνας ἡμᾶς, προσφιλὴς Βαρβιτίων'
ἔφημεν εὐθύς· 'ἀλλ' ἐφάπτου κειμένης
τῆς τῶν συνήθων ποικίλης πανδαισίας.'
Ἔφαγε πεισθείς, μέχρις ἦλθεν εἰς κόρον·
καὶ δεύτερον γοῦν εὖ διαθεὶς τὴν λύραν,
τὴν δεξιὰν ἤρεισεν εἰς γῆν ὠλένην
(λαιὸς γὰρ αὐτὸς εἰς τὸ πλήττειν ἐξέφυ)
καὶ τερπνὸν ᾖσε καὶ μελίφθογγον μέλος

Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
Παρθενικὴ χαρίεσσα ἐπήρατος ἦν ποτε Σύριγξ
κούρη, ψυχοδάμεια, εὔχροος, ἀργυρόπεζα.
Πὰν ἐσιδὼν ἐσέδραμεν ἐνὶ κραδίηφι πατάσσων.
Ἐσθλὴ πρόσθε πέφευγε, δίωκε δ' ὄπισθεν ἀμείνων·
Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε·
ἐν λειμῶνι Σύριγξ δὲ προέδραμεν ἐς καλαμῶνα·
γαῖα δ' ὑπὸ στέρνοισιν ἐδέξατο παρθένον αὐτήν.

Αὐτὰρ ὁ Πὰν μεμάνητο· Σύριγγα γὰρ ὤλεσε κούρην.
Φυλλάδος ἐμπῆς ἤψατο καὶ καλάμους διέτμηξεν,
Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε,
κηροχύτους δ' ἐπέπηξε, συνήρμοσε χείλεσιν ἐσθλοῖς,
φίλεεν ἠδ' ἄμπνυτο· πνοὴ δὲ κάλαμον ἐσῆλθε
καὶ μέλος ἡδὺ σύριξε, τὸ φάρμακόν ἐστιν ἐρώτων.
Καὶ σὺ μισεῖς στέργοντα, καὶ οὐ ποθέοντα ποθεῖς με;
Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
Σχέτλιος ὅσσ' ἐμόγησα· τί τὸν φιλέοντ' ἀποβάλλῃ;
Ὡς ὄφελες μοι κάλαμος ἠδὲ δάφνη τεθαλυῖα
καὶ σὺ ἔης, κυπάριττε τανύσκιε ὑψικάρηνε,
τήν ποθ' ὁ Φοῖβος ἔνυττε μιγήμεναι οὐκ ἐθέλουσαν,
Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε,
καί ποτ' ἐμὸν νόον ἄλγε' ἔχοντα βαρύστονα τέρπων
σαρκοφόροις δονάκεσσι διαμπερὲς ἐκροτάλιζον
ἢ στέφανον φορέων σε πυρὸς δρόσον εἶχον ἔρωτος.
Τοίη ἐμὰς κύκλωσε περὶ φρένας ἔσχεν ἐρωή.
Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.

Τοσοῦτον ἆσας ἐξανέστη τοῦ τόπου
καὶ 'δεῦτε' φησὶ 'τὰς χορευτρίας κόρας
ἴδωμεν αὐτοῖς ἐμπλακείσας δακτύλοις
καὶ κύκλον εὐκίνητον ἐκπονουμένας.'

Εἰπὼν ὀπαδοὺς εἶχε τοὺς μεανίας
καὶ πρῶτον ἄλλων τὸν λαλοῦντά σοι ξένον,
τὸν ἐν τοσούτοις τοῖς κακοῖς Χαρικλέα.
Τί γὰρ παθεῖν μου τὴν τάλαιναν καρδίαν
δοκεῖς, φίλε Κλέανδρε συμφυλακίτα,
ἐρωτικῶν πληγεῖσαν ἐξ ἀκουσμάτων;
Ὤδευον οὖν, ἔμπροσθεν ἔτρεχον τότε,
ὡς ἂν στάσιν σχῶ δεξιὰν πρὸς τὸ βλέπειν
τὰς τηνικαῦτα συγχορευούσας κόρας.
Ἐκεῖ σελήνην εἶδον ἐν τῇ γῇ κάτω,
κύκλῳ μετ' αὐτῶν ἀστέρων φορουμένην·
τοῦτο Δρόσιλλα συγχορευούσαις κόραις.
Καὶ τοὺς ἐρῶντας ἆχθος ἄλγος λαμβάνειν
γνοὺς ἐξ ἐκείνων τῶν προηνωτισμένων
'καλὸν μὲν ἦν, Δρόσιλλα' πρὸς νοῦν ἀντέφην,
'εἰ μὴ Χαρικλεῖ νῦν κατέστης εἰς θέαν·
ἐπεὶ δὲ τοῦτο τοῦ θεοῦ Διονύσου
θέλημα (τί; Κλέανδρε, μὴ συνδακρύῃς),
οὐ μέμψις ἐν σοὶ τληπαθῆσαι, παρθένε,
τὸν ἐκ θεοῦ σοι νυμφίον Χαρικλέα
καὶ καρτερῆσαι κἂν φυγὴν κἂν κινδύνους
κἂν ἁρπαγὴν σήν, πρὶν τυχεῖν σου τοῦ γάμου·
καὶ πᾶν τι δεινὸν ἄλλο συγκλώσειέ μοι
μιτὸς πονηρὸς ἐξ ἀλάστορος Τύχης.'
Τοσαῦτα λέξας καθ' ἑαυτὸν ἠρέμα,
παλινδρομήσας εἰς τὸ πατρῷον πέδον
ἀπεῖδον εἰς ἄγαλμα τοῦ Διονύσου,
ῥίψας δ' ἐμαυτὸν εἰς ἐκείνου τοὺς πόδας
πνέοντα νεκρόζωον ἀνεκεκράγειν
'ὦ παῖ Διός, νῦν θυσιῶν μεμνημένος
καὶ λιβανωτοῦ τοῦ πάλαι τεθυμένου,
ἀρωγὸς ἐλθὲ τῆς Δροσίλλης εἰς γάμον

ἐμοὶ Χαρικλεῖ τῷ νεαλεῖ πρὸς πόθον·
κἂν γοῦν τυχεῖν γένοιτο τοῦ ποθουμένου,
οὐκ ἀμελήσω πλειόνων σοι θυμάτων.
Ἐξῆλθον, ὦ παῖ Διόνυσε, σὴν χάριν
καὶ πικρὸν ἦλθον ἀντικερδάνας βέλος·
τὸ πῦρ γὰρ ἐντὸς βόσκεται τὴν καρδίαν,
ὃ σβεννύει φίλημα πάντως, οὐχ ὕδωρ.'

Οὕτως ἐπειπὼν τῷ θεῷ Διονύσῳ
εἰς ἁρπαγὴν ἕτοιμος ἦν τῆς παρθένου,
ἧς καὶ τυχεῖν ἔσπευδον ἀμφιδεξίως
καὶ τοὺς ὀπαδοὺς εὐφυῶς λεληθέναι·
ἐπεύχεται γὰρ ἡ φιλοῦσα καρδία
καταλαβεῖν τάχιστα καθ' ἣν ἡμέραν
κατατρυφᾶν δύναιτο τοῦ φιλουμένου.
Γνοὺς οὖν τὸ πρᾶγμα καὶ σκοπήσας τὸ θράσος,
ὡς οὐκ ἂν ἄλλως εὐχερῶς ἀκωλύτως
τὸ πᾶν ἀπαρτίσαιμι τοῦ σκοπουμένου,
εἰ μὴ συνίστωρ ἡ κόρη γένοιτό μοι,
δῆλον καθιστῶ τὸν πόθον τῇ παρθένῳ,
ἀνακαλύπτω τὸν σκοπόν, τὸ πρακτέον,
καὶ τὴν κατὰ νοῦν ἁρπαγὴν προμηνύω.
Αὕτη προλαμβάνουσα τὴν ἐσταλμένην
(γυνὴ γὰρ ἦν πρὸς ταῦτα δεξιωτάτη)
ἄλλῳ κατηγγύητο τοῖς γάμου νόμοις
εἶπε πρὸς αὐτὴν ἡ κόρη μετὰ πόνου.
Πρὸς δευτέραν οὖν μηχανὴν ἀποβλέπω,
δι' ἧς συνεργοῖς τοῖς φίλοις κεχρημένος
ἀκινδύνως λάβοιμι τὴν ἐρωμένην.
Ἀλλ' ἥδε προφθάνουσα ταῦτα καὶ πάλιν
ψυχῆς παθούσης ὑπέδειξεν ἐμφάσεις,
δι' ἀγγέλου μοι δῆθεν ἀντεσταλμένης
τὰ κρυπτὰ μηνύουσα καρδίας πάθη,

ὡς εἶδεν, ὡς ἔπαθεν εὐθὺς ἐξ ἴσου.
ὡς ἀντετρώθη τῇ Χαρικλέους θέᾳ,
καὶ προσλαβεῖν θέλει με τοῖς γάμου νόμοις.
Ὡρισμένον γοῦν ἀντεμήνυσα χρόνον,
καθ' ὃν συνέλθω πρὸς λόγους τῇ παρθένῳ.
Προσῆλθον εὗρον εἶδον αὐτὴν ἀσμένως·
λόγους δεδωκὼς ἀντεδεξάμην λόγους·
ὅρκοις συνεσχέθημεν ἀλληλεγγύοις
(ὁ Διόνυσος ἐμπεδῶν ἦν τοὺς λόγους,
ληφθεὶς παρ' ἡμῶν ταῖς ἐνόρκοις ἐγγύαις)
καὶ μέχρις αὐτοῦ τοῦ Δράκοντος λιμένος
(οὕτω γὰρ ὠνόμαστο τοῖς ἐγχωρίοις)
μετὰ Δροσίλλης ἔθραμον τῆς παρθένου,
καὶ ναῦν ἀποπλεύσουσαν εἰσδεδορκότες
λύουσαν ἤδη τοὺς ἐπὶ πρῴρας κάλως,
ταύτης ἑαυτοὺς ἔνδον ἐντεθεικότες
ἐναυστολοῦμεν οὐριοδρομωτάτως
ὑπὸ προπομπῷ τῷ θεῷ Διονύσῳ·
αὐτὸς γὰρ ἦν μοι νυμφαγωγῶν τὴν κόρην,
ἐμοὶ παραστὰς τῇ καθ' ὕπνους ἐμφάσει,
πρὸ τοῦ προβῆναι τοὺς μετ' ἀλλήλων λόγους.

Δ

Ὡδοιποροῦμεν τοιγαροῦν δι' ὁλκάδος
ὑγρὰν θαλάσσης λειοκύμονος τρίβον
ἐς ἥλιον τέταρτον ἄχρις ἑσπέρας,
καὶ θροῦς ἐρετμοῦ λῃστρικῆς ναυαρχίας
εὐθυπλοοῦσιν ἐμπεσὼν ἐπεκτύπει

καὶ τὸν λογισμόν, οὐ γὰρ ἀκοὰς μόνον,
τῶν ἐντὸς ἡμῶν ἦσπερ εἶπον ὁλκάδος.
Τῆς ἑσπέρας οὖν πανταχοῦ γνοφουμένης
τῷ γῆν ὑπελθεῖν τὸν γίγαντα φωσφόρον
οὐκ εἴχομεν σφᾶς ἐντρανέστερον βλέπειν·
ἀλλ' οἵδε συννεύσαντες εἰς μείζω δρόμον
καὶ χεῖρας ἐκτείναντες ἀλλὰ καὶ πόδας,
ὡς τὰς τριήρεις εὐδρομώτερον τρέχειν,
κωπηλατοῦντες ἦσαν ἐξ ὅλου σθένους,
τὴν τῆς θαλάσσης συρραπίζοντες ῥάχιν
γυμναῖς πρὸς εὔπλουν εὐσθενούσαις ὠλέναις,
καὶ τῇ καθ' ἡμᾶς ἐγγίσαντες ὁλκάδι
τὰ σφῶν ἑαυτῶν ἐξεγύμνωσαν ξίφη.
Οἱ γοῦν σὺν ἡμῖν, ὡς ἄριστοι ναυτίλοι,
καίτοι πρὸς αὐτοὺς τοὺς θρασεῖς ξιφηφόρους
πενιχρὸν ὄντες εὐαρίθμητον στίφος,
ἀναλαβόντες ἀνδρικῶς τὰς ἀσπίδας
τοῖς τὰ ξίφη φέρουσιν ἀντεναυμάχουν·
ἔσφαττον, ἐσφάττοντο, μὴ πεφρικότες
τὴν τῶν τοσούτων πειρατῶν ἀμετρίαν·
τὸ τῆς θαλάσσης ἐξεπορφύρουν ὕδωρ
καὶ μέχρι νυκτὸς ἀντέπιπτον εὐστόχως.
Ἀλλ' ὀψὲ τὴν ναῦν ἑλκύσαντες ἐκ μέσου,
ὡς συμπεσόντων ἐν μάχῃ τῶν πλειόνων,
εἰς χέρσον ἐξέωσαν ἠσθενηκότες.
Ἦν καὶ λιπόντες ἔμπλεων βαρημάτων,
τοῦ κυριαρχήσαντος ἠρεμωμένοι
ἔφευγον εἰς φάραγγας, εἰς ὄρη μέσα.
Τούτοις φυγῇ ζητοῦσι τὴν σωτηρίαν
κἀγὼ συνεκβὰς ἐκ μάχης τραυματίας
μετὰ Δροσίλλης παρθένου συνειπόμην.
Ἔσπευδον, εἶχον εἶλκον αὐτὴν τὴν κόρην,

ἐχειραγώγουν εἰς ἐπικρήμνους τόπους,
ἕως συνηρέφειαν εὑρόντες κλάδων
ταύτῃ συνιζήσαμεν ἐγκεκρυμμένοι.
Ἐς αὔριον δὲ λαμψάσης τῆς ἡμέρας
ὄρους ὑπερκύψαντες εἴδομεν κάτω
πυρκαϊὰν εἰς ὕψος ἐκτεταμένην·
εἰκάζομεν δὲ πυρπολεῖν τὴν ὁλκάδα
λῃστὰς ἐκείνους ἁρπαγαῖς ἐφησμένους,
φόρτου κενὴν σύμπαντος ἐξειλκυσμένην.
Ὡς οὖν ἐκεῖθεν ἔνθεν ἠπορημένοι
τὰς φωταγωγοὺς ἐξετείνομεν κόρας,
εὔπυργον ὕψος καθορῶμεν εὐθέως,
ἰσχνῶς ἀμυδρῶς· ἦν γὰρ ἡμῶν μακρόθεν.
Ἄμφω δὲ συνδραμόντες ὡς πρὸς τὴν πόλιν
ὀψὲ προσηγγίσαμεν αὐτῇ καὶ μόλις
ἐκ φωτὸς ἀρχῆς ἄχρις αὐτῆς ἑσπέρας·
ἦν καὶ συνεισέδυμεν ἐκπεφευγότες
τὴν ἐν θαλάσσῃ λῃστρικὴν ἀστοργίαν,
κἂν καὶ Χαρικλῆν, ὡς Κλέανδρον, ἡ πόλις
ἔμελλε χερσὶ Παρθικαῖς δεδωκέναι
καὶ τοὺς θαλασσῶν ἐκφυγόντα κινδύνους
πόνων ἀνάγκαις ἐμβαλεῖν με δευτέραις
μετὰ Δροσίλλης, ὦ θεοί, τῆς φιλτάτης.
Τῶν γὰρ κατοίκων ἐξιόντων τὴν πόλιν
αὖθις συνεξέδυμεν, ἐκτελουμένης
λαμπρᾶς ἑορτῆς τῶν Διὸς γενεθλίων.
Τὸ Παρθικὸν δὲ δυσμενέστατον φύλον
οὐκ οἶδ' ὅθεν προῆλθε· πλὴν συλλαμβάνει
καὶ τῆς ἑαυτοῦ μέχρι πατρίδος φέρον
εἰς τὴν φυλακὴν τὴν παροῦσαν εἰσάγει."

Τοιοῖσδε πολλοῖς ἀσχολούμενοι λόγοις
ἀλληλοπενθεῖς ἦσαν οἱ νεανίαι,

Κλέανδρος ἅμα καὶ Χαρικλῆς οἱ ξένοι.
Ὁ βάρβαρος δὲ Κρατύλος μετ' ὀφρύος
αὐτῇ Χρυσίλλῃ συγκαθεσθεὶς εἰς ἕω
εἶχε πρὸς αὐτῷ καὶ τὸν υἱὸν Κλεινίαν·
καὶ τοὺς ἁλόντας αἰχμαλωσίας νόμοις
ἐκ τῆς φυλακῆς ἐγκελεύεται φέρειν.
Ἔστησαν ἐξαχθέντες οἱ φυλακῖται·
ἔπαθεν εἰς τὸ στέρνον ἡ τοῦ βαρβάρου
γυνὴ Χρύσιλλα τὸν Χαρικλῆν ἀθρόον
ἰδοῦσα καὶ πληγεῖσα τῷ πόθου βέλει.
Ἦν γὰρ ἄχνους τις χρυσόθριξ ἐρυθρόχρους,
πλατὺς τὰ νῶτα, ξανθοβόστρυχον κόμην
ἔχων φθάνουσαν ἄχρι καὶ τῆς ὀσφύος·
χεῖρας δὲ λεπτὰς εἶχε λευκοδακτύλους,
καὶ τοὺς ἀμέτρως ἐκχυθέντας ἀστέρας
κάλλει καλύπτων καὶ προσώπου λαμπάσιν.
Ἑστηκότας οὖν εἰσορῶν ὁ Παρθάναξ
οὓς μὲν μερίζει τοῖς ὑπ' αὐτὸν σατράπαις
"μέγιστα δῶρα τῆς συνεργούσης τύχης
δέξασθε" φάσκων "Παρθικὴ φυλαρχία,"
οὓς δὲ προπέμπει φῶς ἐλεύθερον βλέπειν,
ἄλλους πρὸς εἰρκτὴν δυστυχῶς ἀντιστρέφει,
δώροις ὅπως λυθεῖεν ἐκ γεννητόρων·
πολλοὺς δὲ καὶ δίδωσι μοῖραν τῷ ξίφει,
δεκτὸν νομίζων αἷμα θῦμα τῶν ξένων
θεοῖς συνεργοῖς εἰς τὸ πᾶν σωτηρίοις·
χαρίζεται δὲ τὸν Χαρικλῆν Κλεινίᾳ,
οὐχ ὡς ἐκείνου τοῦτον αἰτησαμένου
(ὁ νοῦς γὰρ αὐτοῦ τὴν Δρόσιλλαν ἐσκόπει
πασῶν γυναικῶν οὖσαν εὐειδεστέραν)
ὡς ἐκ πατρὸς δὲ δῶρον εἰς υἱὸν μέγα·
ἦν γὰρ ἁπάντων τῶν προεγκεκλεισμένων

ὡραῖος ἰδεῖν, τῶν καλῶν δὲ καλλίων.
Τοσαῦτα πράξας ἐξανέστη τοῦ θρόνου
καὶ τοῖς θεοῖς ἔθυσε λαμπρὰς θυσίας.
Τετρωμένος γοῦν εἰς μέσην τὴν καρδίαν
ὁ Κλεινίας παῖς βαρβάρου τοῦ Κρατύλου
(καὶ γὰρ ἑάλω τῆς ἀλούσης παρθένου)
τοιαῦτα πολλὰ καὶ τοσαῦτα καὶ τόσα
ἐνιθύριζεν ἑτραγῴδει τῷ πάθει·
"δεινὸν πάθος πᾶς· ἂν δὲ καὶ φιλουμένης.
διπλοῦν τὸ δεινόν· εἰ δὲ καὶ κόρης νέας,
τριπλοῦν τὸ κέντρον· εἰ δὲ καὶ κάλλους γέμει,
πλεῖον τὸ δεινόν· εἰ δὲ πρὸς γάμον φέρει,
πῦρ ἔνδον αὐτὴν βόσκεται τὴν καρδίαν.
Οὐκ ἔστιν ἰσχὺς ἐκφυγεῖν τὸν τοξότην,
τὸν πυρφοροῦντα καὶ τὸν ἑπτερωμένον·
τῷ γὰρ πτερῷ φθάνει με, τῷ πυρὶ φλέγει,
τῇ τοξικῇ βάλλει δὲ κατὰ καρδίας.
Μῦθος δοκεῖ μοι νέκταρ ἡ θεῶν πόσις
πρὸς σὸν γλυκασμόν, κρυσταλόστερνε ξένη.
Εἰ γάρ σε περκάζουσαν ἄμπελον βλέπω,
τὸ στέρνον ἐκθλίψει τίς ὡς γλυκὺν βότρυν,
ἢ γλεῦκος ἡδὺ νεκταρῶδες ἐκχύσει
ἢ μυελὸν μέλιτος εὐωδεστάτου.
Λειμὼν δοκεῖ μοι σὸν πρόσωπον, παρθένε,
δούλη Χρυσίλλης μητρὸς εὐειδεστάτη·
τὸ χρῶμα τερπνὸν οἷον αὐτοῦ ναρκίσου·
ἄνθος παρειῶν ὡς ἐρυθρόχρουν ῥόδον·
ὡς κυαναυγὲς ἶον ὀφθαλμοὶ δύο·
οἱ βόστρυχοί σου κιττὸς ἐμπεπλεγμένος.
Ὦ πῶς ἀφέλκω τὰς κόρας τῶν ὀμμάτων
τῆς καλλονῆς σου, τοῦ προσώπου τῆς θέας;
ἀλλ' αἵδε προσμένουσιν ἀνθειλκυσμέναι,

οὐκ ἐνδιδοῦσαι πρὸς τὸ μὴ δεδογμένον.
Ἔρως φυτῶν γὰρ καὶ σιδήρου καὶ λίθου
κρατεῖν ἔοικεν, οὐ γὰρ ἀνθρώπων μόνον.
Καὶ γὰρ σίδηρος εἰς μαγνῆτιν ἐκτρέχει,
ἐρωτικόν μοι πῦρ δοκῶν ἔνδον φέρειν·
ἔνευσεν ἦλθεν ἔδραμε δρόμον ξένον·
ἐμοὶ δοκεῖ φίλημα τοῦτο τῶν δύο,
ἐρωμένης, ἐρῶντος· ὦ ξένη σχέσις.
Ἐρᾷ δὲ φυτοῦ φυτὸν ἄλλο πολλάκις·
φοῖνιξ δὲ πρὸς γῆν οὐδὲ ῥιζοῦσθαι θέλει,
εἰ μὴ τὸ θῆλυ συμφυτεύσειας πέλας.
Καὶ πόντος οἶδεν Ἀρεθούσης τοὺς γάμους,
πρὸς ἣν γλυκὺς πρόεισιν ἀγκυλορρόας
Ἀλφειὸς εὐρύς, οὗ τὸ ῥεῖθρον ἐν χύσει
ὁ συνδυασμὸς οὐ μετατρέπειν θέλει.
Ἄκουε, πετρόστερνε, χαλκῆ καρδία,
καὶ δὸς μετασχεῖν καλλονῆς ἀσυγκρίτου."

Οὕτως ἐρωτικόν τι πάσχων Κλεινίας
πρὸς μουσικόν τι θᾶττον ἐτράπη μέλος,
τοιόνδε ποιῶν λεπτολεύκοις δακτύλοις
τὸ φθέγμα καὶ τὸ κροῦμα τῆς εὐφωνίας
ἐν λιγυρᾷ φόρμιγγος ἡδυφωνίᾳ

"Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν.
Ἡ Κύπρις εἰς Ἔρωτα τὸν ταύτης γόνον
μέσαις ἀγυιαῖς ἐξεφώνει πρὶν μέγα
εἴ τις πλανηθὲν συλλάβῃ τὸ παιδίον
ἢ που στενωπῶν ἢ μέσαις ἐπ' ἀμφόδοις,
ὁ μηνυτής μοι λήψεται γέρας μέγα·
τὸ Κύπριδος φίλημα μισθὸν ἁρπάσει.
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν.

Πλὴν ἴσθι μοι τὸν παῖδα τοῦτον τοξότην,
τὸν δραπέτην Ἔρωτα, τὸν κακεργάτην,
καὶ πρόσχες αὐτῷ μὴ βαλεῖ σε καιρίως.
Ἄκουε τούτου καὶ διδάσκου τὸν τρόπον.
Ἂν προσχαρές τι μειδιῶντα προσβλέπῃς,
πλήττει τὰ πολλὰ καὶ κατασφάττειν θέλει·
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν·
ἂν συλλαβὼν θέλοντα προσπαίζειν ἰδῃς,
βάλλει σε, τοξεύει σε· πρόσχες οὖν κλύων·
εἰ δὲ προσορμᾶν καὶ φιλεῖν σε γνησίως,
ἔκφευγε· πυρπολεῖ σε καὶ καταφλέγει.
Παῖς ἐστί, πῦρ δὲ τόξα καὶ πτερὰ φέρει·
οὐκ ἐξ ἀδήλων φαίνεται πετασμάτων·
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν.
παίει, τιτρώσκει καὶ διώκει καὶ φθάνει·
προσμειδιᾷ γὰρ θηριόστερνος μένων
καὶ προσγελᾶν ἔοικε παίζων ἀγρίως
ὁ τοξοχάρης ὁ θρασὺς ὁ πυρφόρος.
Ὁ γοῦν ἐφευρὼν καὶ λαβὼν καὶ μηνύσας
τὸν μισθὸν οἷον εἶπον εὐκόλως λάβοι.
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν.
Μῦθος μὲν αὐτὸς ἐκτοκευθῆναι λέγει
κόρην Ἀθηνᾶν τοῦ Διὸς τὴν Παλλάδα
ἀπὸ κρατὸς πάνοπλον ἔννουν παρθένον·
σὲ ζωγραφεῖ δὲ μᾶλλον ὡραίαν Ἔρως
σῆς γαστρὶ μητρὸς ἐμβαλὼν τοὺς δακτύλους,
βαλὼν τὸ δίχρουν χρῶμα, γάλα καὶ ῥόδα·
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν·
καὶ ζωγραφεῖ πάντως σε μὴ διδοὺς ὅπλα·
οὐ γὰρ νέμει σοι τόξον, οὐ τομὸν ξίφος,
ὡς κρεῖττον ἦν βάλλειν σε πρὸς φονουργίαν·
ποεῖ δὲ τόξα κύκλα τῶν σῶν ὀφρύων,

βέλος δὲ πικρὸν τὰς βολὰς τῶν ὀμμάτων,
δι' ὧν ὀιστεύεις με κατὰ καρδίαν.
Ὦ πῶς Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν.
Ὡς εὔστοχον τὸ τόξον αὐτό, παρθένε·
ὡς εὐφυὲς τὸ πλῆκτρον. Ἐπλήγην· ἔγνων.
Τὸ τραῦμα πικρὸν οἷον ἀλλὰ καὶ πόσον.
Τὸ πρᾶγμα καινὸν οἷον ἀλλὰ καὶ ξένον.
Οὐ θανατοῖ τὸ κέντρον· ὢ ποῖος λόγος·
βάλλον δὲ ποιεῖ τῆξιν, ἀλλ' αἰωνίαν.
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν.
Πλὴν ἀλλ' ἰδοὺ νύξ ἐστι τῷ δοκεῖν, κόρη·
ἔχω μακρὰς ἐγὼ δὲ τὰς ὁδοὺς ἔτι·
ἢ προσλαβοῦ σύνδειπνον εὐνατῆρά σοι
ἢ μὴ θέλουσα τοῦτο δευτέρῳ λόγῳ
ὕφαψον ἐκ σῶν χειλέων μοι λαμπάδα
(ἐπίσταμαι γὰρ ὡς ἀνάψεις, εἰ θέλεις),
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν,
καὶ φαίδρυνόν μοι τὴν παροῦσαν ἑσπέραν
καὶ λάμπρυνόν μοι τὸ σκότος κατατρύχον
καὶ δὸς πρὸς οἶκον, ὦ φαεινὴ λυχνία,
δραμεῖν ἄτερ πλάνης με καὶ προσκομμάτων.
Νοσῶ φρενῖτιν καὶ μεμηνυῖαν νόσον·
μή μοι φθονήσῃς παυσολύπων φαρμάκων.
Ὦ πῶς, Δρόσιλλα, πυρπολεῖς τὸν Κλεινίαν."

Ὁ γοῦν Χαρικλῆς γνοὺς ἐρᾶν τὸν δεσπότην
πρόσεισιν αὐτῷ γνησιώτερον λέγων
"ἐρᾷς, ἐπέγνων, δέσποτά μου Κλεινία·
ἐρᾷς ἀδελφῆς τῆς ἐμῆς τῆς παρθένου·
ἐρᾷς Δροσίλλης τῆς καλῆς, τῆς παγκάλης.
Τί τοῦτο καινόν; σὸς γὰρ αὐτὸς οἰκέτης
δειλὸς Χαρικλῆς δυστυχὴς τλήμων ξένος

δεινῶς ἑάλων ἀπαλῆς πάλαι κόρης,
ἦ καὶ συνελθεῖν εἰς λόγους οὐκ ἰσχύων,
καίτοι θέλων πως (οὐ γὰρ εἶχον προσβλέπειν,
ὁποῖα καὶ σὺ τὴν Δρύσιλλαν οὐ βλέπεις)
μύλις θυρίδων εἶδον ἐκκρεμωμένος
εἰς κῆπον ἁδρὸν ἐκ ῥύδων ἐξ ἀνθέων
τὴν πανταχοῦ μοι συμπαροῦσαν εἰς φρένας
λεπτὴν ὀρύσον στάζουσαν ἐν τοῖς ὠχίμοις
καὶ βάλσαμα βρέχουσαν ἐκροῇ ῥύδων,
λωτοὺς ὑακίνθους τε καὶ φυτῶν στίφη
καὶ κρίνα λευκὰ καὶ κρόκους καὶ ναρκίσους
καὶ πλεῖστον ἐσμὸν ἀνθέων ἡδυπνόων.
Ἐκεῖ κατεῖδον ἡμιγύμνους ὠλένας,
αἷς οὐδὲ χιὼν ἀντερίσειν ἰσχύσοι·
ἐκεῖ κατεῖδον κρυσταλώδεις δακτύλους
καὶ πρὸς τὸ λευκὸν ἀντερίζοντας γάλα.
Ἰδὼν ἑάλων καλλονῆς ἀμετρίᾳ·
μὴ γὰρ δρυὸς προῆλθον ἢ πετρῶν ἔφυν·
ἁλοὺς προσεῖπον, μὴ κατασχεῖν ἰσχύων
Χαίροις, φυτουργὲ τῶν τοσούτων ἀνθέων·
τί καὶ σὺ ἡμᾶς οὐκ ἀνοίγεις τὴν θύραν;
Ἆρ' ἦλθες εἰς νοῦν τοῦ πάθους τοῦ Ναρκίσου
ἀπορριφέντος ἐξ ἔρωτος εἰς φρέαρ;
μνήμην τε παιδὸς Ὑακίνθου λαμβάνεις
καὶ τῶν ἐκείνου δυστυχῶν δισκευμάτων,
πῶς ἐξεκαρτέρησεν ἐκ φθόνου φόνον
ἀπὸ Ζεφυροῦ τῆς ἐρωτοληψίας;
ἔχεις τε πρὸς νοῦν Κύπριν αὐτὴν τὴν πάλαι
τὴν ἐξερυθρώσασαν ἐκ τῶν αἱμάτων
τῶν ἐκρυέντων τοῦ ποδὸς τετρωμένου
ἐκ τῶν ἀκανθῶν τὴν ῥοδώνυμον θέαν,
Ἀδώνιδος μαθοῦσαν ἄγριον φόνον

ἐξ Ἄρεος πεσόντος; Ὢ κακοῦ φθόνου
καὶ τοὺς ἐρῶντας θανατοῦντος πολλάκις.
Πλήρης ὁ κῆπος χαρμονῆς καὶ δακρύων·
καλὴν μὲν αὐχεῖ τὴν φυτουργὸν παρθένον,
ἐρωτικῶν γέμει δὲ δυσπραγημάτων·
σὺ δ' ἀγνοεῖν ἔοικας ἃ ξένα κλύεις.'
Οὕτω μὲν αὐτὸς εἶπον αὐτῇ τῇ κόρῃ·
ἡ δὲ πρὸς αὐτὰ θᾶττον ἀνταπεκρίθη·
''Ὡς ἡδυνάς μου τὴν πονοῦσαν καρδίαν.
Ἐπῳδὸς εἶ πανοῦργος; ὡς ὁρῶ, τάλαν·
ἀθυμίαν τρέπεις γὰρ εἰς εὐθυμίαν.
Δείλαιε, πῶς φῄς; βαῖνε τῆς θύρας ἔσω·
τὸ κηπίον θαύμαζε· τὴν κλίνην βλέπε
καὶ δεξιοῦ με τοῖς διηγήμασί σου,
πείρᾳ διδαχθεὶς ὡς κακὸν πόθος μέγα.
Ῥοδωνιᾶς τρύγησον ἐξ ἐμῆς ῥόδα·
ἀνακλίθητι· συγκατέρχομαι δέ σοι.
Φάγοις δέ τι, δείλαιε; καρπὸς οὐκ ἔνι·
κἂν μῆλον οὐχ ὥριμον ἐν τῷ κηπίῳ,
τὸ στέρνον ἡμῶν ἀντὶ μήλου προσδέχου·
εἴ σοι δοκεῖ, δύστηνε, συγκύψας φάγε·
κἂν μὴ πέπειρος βότρυς ἀναδενδράδι,
στέρνου στρυφνοῦ μοι θλίψον αὐτοῦ τὰς ῥάγας·
φίλημα τερπνὸν ἀντὶ σίμβλου μοι λάβε·
ἀντὶ περιπλοκῆς δὲ δένδρου καὶ κλάδων,
ἣν οἶδέ τις δρᾶν καρπὸν ἐκτρυγᾶν θέλων,
ἐγὼ τὸ δένδρον· δεῦρο, προσπλάκηθί μοι·
ἀντὶ κλάδων ἐμὰς γὰρ ὠλένας ἔχεις·
ἐγὼ τὸ δένδρον· ναὶ προσανάβηθί μοι
δρέπου τε καρπὸν τὸν γλυκὺν ὑπὲρ μέλι'.
''Ἐμοὶ τὰ σαυτοῦ πάντα λοιπὸν ἀνάθου,
καὶ πιστὸν ὄψει δοῦλον ἐκ τῶν πραγμάτων'.''

"Οὐκ αἰχμάλωτος οὐδὲ δοῦλος, ὡς ἐγώ"
τοῦ βαρβάρου παῖς ἀντέφησε Κλεινίας,
"ἐλεύθερος δέ, συμπατριώτης, φίλος
καὶ σατραπικῆς συμμετασχὼν ἀξίας
πάντως φανήσῃ κύριος κλήρου τόσου,
εἰ τῇ Δροσίλλῃ συμμιγῆναι καὶ μόνον
τῷ Κλεινίᾳ γένοιτο σῇ συνεργίᾳ.
Ἀλλ', ὦ Χαρίκλεις, ἐντυχὼν τῇ παρθένῳ
ἄγγελλε ταύτῃ τὴν ἐμὴν ἀχθηδόνα.
Νόσος με τήκει· σύντομον λόγον μάθε·
Ἅδης συναρπάζει με καὶ πρὸ τοῦ χρόνου.
Ὁ λαμπρὸς αὐτὸς ἀστεράρχης φωσφόρος
ἔδυνέ μοι τοῖς πᾶσιν ἀκτῖνα βρύων.
Πηγαὶ ποταμῶν συγκινείσθωσαν ἄνω·
θνήσκω γὰρ ὡς μόρσιμος, ἀλλὰ πρὸ χρόνου·
ἀνθησάτω καὶ βάτος ἡδύπνουν ῥόδον·
γένοιτο πάντα νῦν ἐνάλλαξ ἐν βίῳ,
τοῦ Κλεινίου θνήσκοντος, εἰ μὴ προφθάσει
ἡ σή, Χαρίκλεις, εἰς τὸ σῶσαι στερρότης."
"Τὰ πρὸς Δροσίλλαν, Κλεινία, θαρρητέον"
ὁ Χαρικλῆς ἔφησε, "μὴ κατηφία"
τούτοις ἐπειπὼν ἄλλον ἀστεῖον λόγον.
"Κοιμωμένην μέλιτταν ἐν ῥόδοις πάλαι
τῆς ποντογεννοῦς Ἀφροδίτης παῖς Ἔρως
οὐκ εἶδεν· ἐτρώθη δὲ δακτύλῳ μέσῳ,
καὶ στυφελιχθεὶς ἐπτερύξατο τρέχων
πρὸς τὴν τεκοῦσαν 'μῆτερ, οἴχομαι' λέγων·
'ὄφις με τύπτει μικρὸς ἐπτερωμένος,
μέλιτταν ἣν λέγουσιν ἄνδρες γηπόνοι.'
Ἀλλ' ἡ καλὴ Κυθήρα τῷ πεπληγμένῳ
ἀστεῖον ἐγγελῶσα λοιπὸν ἀντέφη
'εἰ τῆς μελίττης συνθλίβει τὸ κεντρίον,

πόσον δοκεῖς πονοῦσιν οἱ βεβλημένοι
ἐκ σῶν, Ἔρως παῖ, δυστυχῶν τοξευμάτων;'"
Εἴρηκε ταῦτα Χαρικλῆς τῷ Κλεινίᾳ,
καὶ τὸν Δροσίλλης ἐγγυώμενος γάμον
μικρὸν διέστη πρὸς διάσκεψιν τάχα,
οὐχ ὡς συνάψαι τὴν Δρόσιλλαν Κλεινίᾳ,
κακὴν δὲ βουλὴν ἐκφυγεῖν μᾶλλον θέλων.
Ἦν καὶ κατιδεῖν εὐκόλως ἠπειγμένος
ὡς συναποκλαύσαιτο τὴν δυστυχίαν,
λειμῶνος ἐντὸς εὗρε κειμένην μόνην,
κοιμωμένην μὲν ἐκ μεριμνῶν βαρέως,
ἄνθει δὲ λευκῶν ἀντερίζουσαν ῥόδων
καὶ μειδιᾶν δοκοῦσαν ἀκροωμένην
φθογγῆς μελιχρᾶς τῶν καλῶν χελιδόνων.
Ὢ θάμβος οἷον ἀλλὰ καὶ φρίκη πόση
ἐκεῖ Χαρικλῆν συγκατέσχεν ἀθρόον,
ὡς εἶδεν ὑπνώττουσαν ἐν τῷ κηπίῳ
ταύτην ἀπαστράπτουσαν ἡλίου δίκην
ἐαρινὴν λάμποντος ἀνθρώποις φλόγα.
Ὃς καὶ Δροσίλλης ἐγκαθισθεὶς πλησίον
(φειδὼ γὰρ εἶχε τήνδε μὴ διυπνίσαι)
ἔφασκε, ταύτην ἀτενέστερον βλέπων
"ἐνταῦθα καὶ Χάριτες, ὦ ποθουμένη,
κοιμωμένῃ σοι συμπάρεισιν ἡρέμα,
ἐπαγρυπνοῦσαι μή τι φαῦλον ἐμπέσῃ
σύγκυρμα πάντως ἐξ ἀποφράδος τύχης.
Ὢ ποῖον αὐτὴ λεπτὸν ἀσθμαίνεις, κόρη·
ὦ ποῖον ἡδὺ μειδιᾶν δοκεῖς τάχα·
ἧς ἐξεπορφύρωσεν ἡ φύσις πάλαι
χείλη παρειάς, ὡς δοκεῖν φλόγα τρέφειν,
καὶ βοστρύχους ἔτεινεν ἄχρις ὀσφύος,
οἷς οὐδὲ χρυσὸς ἀντερίσειν ἰσχύσοι.

Σιγῶσι πάντα σοῦ σιγώσης, παρθένε·
οὐ στρουθὸς ᾄδων, οὐχ ὁδοιπόρος τρέχων,
οὐδεὶς ὁμιλῶν, οὐ παρερπύζων ὄφις·
ἔπαυσεν, οἶμαι, καὶ πνοὴ τῶν ἀνέμων
τὸ κάλλος αἰδεσθεῖσα τῆς κοιμωμένης.
Ὦ πῶς σιγᾷ νῦν πᾶν μελῳδὸν στρουθίον.
Πηγαὶ μόναι νάουσιν, ὡ ποθουμένη,
ὡς μᾶλλον ἡδὺν ὕπνον ἐμβάλωσί σοι.
Καὶ φθογγὸς αὐτῶν ἡ ῥοὴ λέγουσά σοι
'ὦ καλλονὴν ἅπασαν ἠμφιεσμένη,
σιγᾷς· σιγᾷ σοι καὶ τὸ τῆς αὔρας ψύχον·
ὑπνοῖς· ἐφυπνοῖ καὶ τὸ τῆς αὔρας γένος·
πηγαὶ μόναι νῦν ἐγκελαρύζουσί σοι.'
Ἐντεῦθεν ἀντᾴδουσαν οὐκ ἔχοντά σε
σιγῶσι φιλόμουσα τῶν πτηνῶν γένη.
Πλὴν ἀλλὰ μή μοι στέργε τὸν λήθης ὕπνον·
λυπεῖς γάρ, ὡς ἔοικε, τὰς ἀηδόνας,
αἷς ἀντερίζει σὺν γλυκύτατον στόμα·
μελισταγὲς γὰρ προσλαλεῖς, ἡ παρθένος.
Ἀλλ' ὦ συνεργοὶ καὶ συνέμπνοοι φίλαι,
Χάριτες ἐσθλαί, μαργαρόστερνοι κόραι,
φρουρεῖτε καὶ τηρεῖτε πρὸς σωτηρίαν
τὰ στέρνα καὶ τὰ νῶτα τῆς κοιμωμένης,
μακρὰν τιθεῖσαι λιχνὰ τῶν μυιῶν γένη.
Ἔρωτος οὐδὲν ἄλλο φάρμακον ξένον·
ᾠδὴ δέ τις καὶ μοῦσα παῦλα τῶν πόνων.
Βεβλημένος γὰρ καὶ Πολύφημος πάλαι
τὸ στέρνον ἐξ Ἔρωτος ἀνδροτοξότου,
πλατὺ τρέφων τὸ φίλτρον εἰς Νηρηίδα
ἐφεῦρεν οὐδὲν ἄλλο φάρμακον νόσου,
ᾠδὴν δὲ καὶ σύριγγα καὶ θέλγον μέλος,
καὶ πέτραν ἕδραν, τῇ θαλάττῃ προσβλέπων.

Πρῶτον γὰρ οἶμαι (καὶ καλῶς οὕτως ἄρα)
πτηνοδρομῆσαι τοὺς λίθους εἰς αἰθέρα
καὶ λίθον ἀδάμαντα τμηθῆναι ξίφει
ἢ τοξικῆς Ἔρωτα παυθῆναι κάτω,
κάλλους παρόντος καὶ βλεπόντων ὀμμάτων.
Λήγει μὲν οὖν καὶ πόντος ὀψὲ τῆς ξάλης,
λήγουσιν ἤδη καὶ πνοαὶ τῶν ἀνέμων,
καὶ πῦρ ἀναφθὲν συγκατεσβέσθη πάλιν·
ξάλη δὲ καὶ πῦρ λῆξιν ἔσχεν οὐδ' ὅλως
τοῖς στερνοπλήκτοις ἐξ Ἔρωτος τοξότου·
τήκειν γὰρ οἶδεν, ὡς τὸ πῦρ τὸ κηρίον,
οὗς ἐνδὸν αὐτῆς τῆς καμίνου συλλάβῃ.
Ἀνιαρόν τι χρῆμα τοξότης Ἔρως·
ἐμφὺς γὰρ ὥσπερ βδέλλα λιμνῆτις πίνει
τὸν αἵματος ῥοῦν πάντα. Τῆς ἄκρας νόσου.
Ὡς ἐξαπίνης οὗς λάβοις, Ἔρως, Ἔρως,
καίεις φλογίζεις πυρπολεῖς καταφλέγεις·
ὡς ἐξ ἐκείνων τῶν προηνθρακωμένων
καὶ λύχνον ἁδρὸν ἐξανάψει τις θέλων.
Ποιεῖς δοκεῖν γὰρ ὑποκόλπιον φέρειν
ἐρωμένην ἐρῶντα πολλὰ πολλάκις.
Οὕτως ἐρῶν πᾶς (ὡς ἄφυκτόν τι πόθος)
ἁλίσκεται γὰρ τοῖς Ἔρωτος δικτύοις,
ὡς μῦς πρὸς ὑγρᾶς ἐμπεσὼν πίσσης χύτραν.
Δοκεῖ δέ μοί τις, ἂν παρέλθῃ καὶ φύγῃ
Ἔρωτα τὸν τύραννον ἐπτερωμένον,
καὶ τοὺς ἐφ' ὕψους ἐκμετρήσειν ἀστέρας."

E

Τοιαῦτα πολλὰ καὶ τοσαῦτα καὶ τόσα
ὑπετραγῴδει καθ' ἑαυτὸν ἡρέμα·
πλὴν ἐξανέστη καὶ Δροσίλλα τῷ τότε.
Ἔμεινε δ' οὖν ἄφθογγος εἰς πολὺν χρόνον,
ὡς εἶδε συμπαρόντα τὸν Χαρικλέα,
ψυχὴ φιλοῦσα καρδίαν ποθουμένην,
καὶ τὸν καταρρέοντα μαργάρων δίκην
ἱδρῶτα λεπτὸν ἀπεμόρυνυ δακτύλῳ.
Ἤν εἴ τις εἶδεν ὕπνον ἀφεῖσαν τότε
εἴρηκεν ἂν Ζεῦ, τῶν Ὀλυμπίων πάτερ,
τέρπειν μὲν οἶδε πάντα τερπνὰ τοῦ βίου,
ᾠδαί, τρυφαί, τράπεζα λαμπρὰ καὶ πόσις,
μέγιστος οἶκος, χρυσός, ἄργυρος, λίθος
καὶ πλοῦτος ἄλλος χρημάτων καὶ κτημάτων
(καὶ ταῦτα τέρπει· καὶ τίς ἀντίθρους λόγους;)
ἀλλ' οὐ τοσοῦτον ὡς ἐρυθρόχρους κόρη,
ὅταν διυπνισθεῖσα πρὸς μεσημβρίαν
θρόμβους περιρρέοντας ἱδρώτων φέρῃ,
ὡς εἰς ἔαρ ἄγρωστις ὀρθρίαν δρόσον·
ἧς εἰ φιλεῖν σχοίη τις αὐτὴν τὴν γνάθον
λεπτὴν ἀποστάζουσαν ἱδρώτων δρόσον,
τὸ πῦρ δροσίζει καὶ μαραίνει τὴν φλόγα
καίουσαν αὐτὴν ἔνδοθεν τὴν καρδίαν
τὴν δυσφοροῦσαν, τὴν πεπυρπολημένην,
ὡς δῆθεν ἐξ ἔρωτος ἠνθρακωμένην."
ἐξ ἄνθρακος δὲ χειλέων τῶν τῆς κόρης
τὸν ἄνθρακα σβέννυσι τὸν τῆς καρδίας.
Μόλις προσεῖπε πρὸς Χαρικλῆν τοιάδε
"σύ μοι, Χαρίκλεις, σὺ δοκεῖς ἐφεστάναι.
Αὐτὸς πάρει νῦν τῆς Δροσίλλης ἐγγύθεν,

ἢ φασμάτων ἔμφασις ἐμπαίζειν θέλει;
Ἔμβαπτε χείλει χεῖλος· ἅπλου δακτύλους·
ἐμῶν ἐφάπτου καὶ τραχήλου καὶ γνάθου.
Δὸς ἀντιφιλεῖν, Χαρίκλεις, φιλοῦντά με·
σοῦ μὴ φιλεῖν θέλοντος ἐκ ψυχῆς μέσης,
δοκῶ ποθεινῆς ἥμισυ ζωῆς ἔχειν.
Πῶς τοῦτο χρηστὸν τὴν φιλοῦσαν ἀλγύνειν;
Μίαν καλιὰν πῆξον εἰς ἕνα κλάδον,
οὗ μὴ προβαίνειν εὐχερῶς ἂν ἰσχύσοι
ἢ πτηνὸς ὄρνις ἢ προσερπύζων ὄφις.
Πρώτην δέ σε στέρξασαν ἀλγοίης κλύων;
Ἐν δευτέρῳ με τῆς Χρυσίλλης μὴ τιθῇς·
μὴ τῆς κόρης πρόκρινε τὴν γηραλέαν.
Ἔρως ὁ πλήττων ὡς ὑπόπτερος μάθε·
γυνὴ παρηκμακυῖα πῶς ἂν ἰσχύσοι
πτηνοδρομοῦντα συλλαβέσθαι τοξότην;"
Ἔφη Χαρικλῆς ἀντιπαίζων μετρίως
καὶ μὴ τὸ μέλλον προσκοπῶν καὶ προβλέπων
(τὸν γὰρ πρὸς αὐτόν, ὃν Δρόσιλλα μηνύει,
ἔρωτα δεινὸν τῆς Χρυσίλλης ἡγνόει)
"τοιαῦτα μὲν σὺ κερτομήματα πλέκεις·
οὐκ ἀγνοῶ δέ, δεινὸς ὢν πρὸς τὸν πόθον,
ὡς ζηλότυπον χρῆμα θηλειῶν ἔφυ·
γεννᾶν γὰρ οἶδε ψευδεπιπλάστους λόγους,
τὰς ἐν προλήψει τῶν φρενῶν ἀναπλάσεις
ἀεὶ νομίζον ὡς ἐφεστώσας βλέπειν·
δοκεῖ γὰρ αὐτὰς οὐσιῶν ὑποστάσεις.
Πλὴν καὶ φορητὰ κερτομούμενος φέρω·
περιφρονῶν δὲ τὰς προλοίπους ἐμφρόνως
μόνην ποθῶ· κέκτησο τὴν ζωὴν ὅλην."
Ἀλλ' ἡ Δρόσιλλα "ναί, Χαρίκλεις" ἀντέφη,
"εἶχον προφανῶς συντίθεσθαι σοῖς λόγοις,

εἰ μὴ Χρύσιλλα τὸν σύνευνον Κρατύλον
ἐκ φαρμάκων ἔσπευδεν ἀνηρηκέναι
ἐρῶσα, φεῦ φεῦ, τοῦ καλοῦ Χαρικλέος."
"Ὤμοι" Χαρικλῆς τὸν λόγον προαρπάσας
"Δρύσιλλα, τί φῄς;" ἀντέφησεν εὐθέως.
"Λέγεις τι μεστὸν χαρμονῆς καὶ δακρύων·
τὸ γὰρ θανεῖν μὲν τὸν τύραννον Κρατύλον
εὐκταῖον ἡμῖν δυστυχῶς δουλουμένοις·
ἴσως λυθῶμεν τοῦ ζυγοῦ τοὺς αὐχένας,
φροντίδα μικρὰν Κλεινίου τεθεικότες·
τὸ δὲ Χρύσιλλαν τὴν ῥεμβομένην
ἔρωτα πικρὸν νῦν ἐρᾶν Χαρικλέος
ἀπευκτὸν οὐκ ἔοικεν; οὔ, μὰ τὴν Θέμιν,
οὔ οὔ, μὰ τὴν Ἔρωτος ἀνθρακουργίαν,
οὐ προσπλακῆς μοι γραῦς τάλαινα, καρδίᾳ
θάλασσα πικρὰ τελματώδης ἀγρία.
Ποινὴ τὸ σὸν φίλημα πάντως, ὦ γύναι·
σκληρὸν τὸ χεῖλος, ξηρὸν αὐτὸ τὸ στόμα·
χρόνος δὲ τὰς σὰς ἐξεβύρσωσε γνάθους·
λημᾷς γὰρ ἤδη, κἂν ὁ κόχλος εἰς βάθος·
κατωχριᾷς δέ, κἂν τὸ φῦκος εἰς πάχος.
Καὶ κἂν ἐκείνης Ἀρτέμιδος καλλίων
Χρύσιλλα, λυπρὰ νῦν, γενήσεται πάλιν,
ποῦ ποῦ, Δρόσιλλα, τοὺς ἐνωμότους λόγους
θήσει Χαρικλῆς συζυγεὶς τῇ βαρβάρῳ;
Φθείρου, τυραννίς· ἔρρε, σατραπαρχία·
ὁ πλοῦτος, ἐκράγηθι τοῦ Χαρικλέος.
Οὐ μὴ προθῶμαι σωφροσύνης τὸ κλέος.
Συνουσιώθην τῆς Δροσίλλης τῷ πόθῳ·
ἀποστερηθείην δὲ μὴ σοῦ, παρθένε.
Ὁρᾷς ὁ καλλίμορφος ἐκ Διὸς γόνος;
σύ μοι Δροσίλλης ἠγγυήσω τὸν γάμον·

καὶ νῦν γυνὴ γραῦς βαρβαρόφρων ὠμόνους
ζητεῖ διασπᾶν τῆσδε τὸν Χαρικλέα.
Βλέπεις ἀνάγκην ἣν φέρει, βλέπεις νόσον.
Τὸν Κρατύλον φόνευε καὶ τὸν Κλεινίαν,
ναὶ καὶ σὺ σαυτήν, ὦ Χρύσιλλα κυρία,
οὕτω Χαρικλῆν ἡδυνεῖς σὸν οἰκέτην,
οὕτω Δρόσιλλαν εὐφρανεῖς σὴν οἰκέτιν.
Ταῦτ' οὖν μελήσει τοῖς θεοῖς, ὦ παρθένε·
τὸν δ' οὖν ἔρωτα Κλεινίου τοῦ δεσπότου
ποῦ τῆς καθ' ἡμᾶς θήσομεν δεινῆς τύχης;
Λέγοις τι μικρόν· ὡς ἀπέσταλμαι μόνος
ὑμᾶς συνάψων καὶ τὸ πᾶν καταρτίσων."

Πρὸς ταῦτα δακρύσασα μικρὸν ἡ κόρη
"Ὀλύμπιε Ζεῦ" φησὶν "αἰθεροκράτορ,
τί ζῆν με κακότητι συγχωρεῖς ἔτι,
τὴν λειπόπατριν, τὴν ἄποικον, τὴν ξένην;
Τί μὴ θαλάσσης ὑπεδέξατο στόμα;
Τί βάρβαρόν με μὴ κατέκτεινε ξίφος;
Ἐπεὶ δέ με ζῆν δυστυχῶς θέλεις ἔτι,
τί πρὸς λιθώδη μὴ μετατρέπεις φύσιν;
Τί μὴ πτέρυγας ἀντιδιδοῖς καὶ πάλιν,
ὡς Πανδίονος Ἀττικοῦ ταῖς ἐκγόνοις;
Τί μὴ βριαρὸς καὶ θρασύσπλαγχνος λέων
λόχμης προκύψας θᾶττον ἐσπάραξέ με,
ὅτε πρὸς ἄλση καὶ φαραγγώδεις τόπους
τὴν λῃστρικὴν ἔφευγον ἀγερωχίαν;
ὡς κρεῖττον ἦν θανοῦσαν, ὦ θεοί, τότε
ἀπαλλαγήν με τῶν κακῶν εὑρηκέναι
ἢ ζῆν ἀεὶ στένακτον ἐν γῇ βαρβάρων
δούλην ταπεινὴν αἰχμάλωτον ἀθλίαν.
Ἀλλ', ὦ ποθεινὸν ὄμμα καὶ φίλη θέα,
ἥδιστα ταῦτα πάντα· μὴ δάκρυέ μοι"

(γνοὺς γὰρ δι' αὐτὸν ταῦτα συμπεπονθέναι
αἰδούμενος δάκρυον ἐστάλαξέ τι)
ἔφη Δρόσιλλα· καὶ Χαρικλῆς ἀντέφη,
ἰδὼν πρὸς αὐτοὺς φωλεοὺς χελιδόνων
"Σὺ μὲν μολοῦσα ταῖς ἑαρος ἡμέραις,
καλὴ χελιδών, εἰς ἐπίτροχον μέλος
διττοῖς νεοττοῖς συντιθεῖς χειὰν μίαν·
ὅταν δὲ χειμὼν ἀντεπέλθῃ, φυγγάνεις·
ἀλλ' ὁ πτερωτός, ἀλλ' ὁ τοξότης Ἔρως
ἀεὶ καλιὰν εἰς ἐμὴν ψυχὴν πλέκει.
Πόθος δ' ὁ μὲν πτέρωσιν ἁδρὰν ἐκφύει,
ἄλλος δὲ τὴν κύησιν ἤδη μηνύει,
ὠοῦ δέ τις ἔξωθεν ἄλλος ἐκτρέχει·
ἀεὶ δὲ τὴν τάλαιναν ἐντὸς καρδίαν
βοὴ νεοττῶν ἐκθροεῖ κεχηνότων·
τῶν γὰρ τραφέντων ἐκτοκεύονται νέοι
τῇ καρδίᾳ. Τίς μηχανὴ γένοιτό μοι;
Ἐρωτιδεῖς γὰρ οὐ τοσούτους ἰσχύει
ἀεὶ τοκεύειν ζωπυρεῖν φέρειν τρέφειν.
Δεινὸν φιλῆσαι, μὴ φιλῆσαι δὲ πλέον·
δεινῶν δὲ πάντων χαλεπώτερον κρίνω
τὸ τοὺς φιλοῦντας εὐκόλως μὴ τυγχάνειν.
Κέρας μὲν οὖν ἔδωκε ταύροις ἡ φύσις,
ἵπποις ὁπλὰς δέ, τὴν ποδώκειαν πάλιν
δειλοῖς λαγωοῖς, τῇ λεόντων ἀγέλῃ
τὸ τῶν ὀνύχων ὀξυκέντητον σθένος,
τὸ νηκτὸν ἔθνει τῶν ἀφώνων ἰχθύων,
τοῖς ὀρνέοις τὴν πτῆσιν, ἀνδράσι φρένας·
πρὸς δ' οὖν Δρόσιλλαν, ἄλλο μὴ κεκτημένη,
δίδωσι κάλλος ἀντὶ πάσης ἀσπίδος,
ἀντὶ βελέμνων, ἀντὶ πολλῶν ἐγχέων·
νικᾷ δὲ καὶ σίδηρον εὖ τεθηγμένον

καὶ πάμφαγον πῦρ δραστικῶς ἀνημμένον.
Ἐγώ, Δρόσιλλα, Κλεινίᾳ τῷ δεσπότῃ
τὸν ὄλβιον σὸν ἠγγυησάμην γάμον,
οὐχ ὡς φρονῶν τοιαῦτα (μὴ γένοιτό μοι),
πλὴν βαρβάρῳ μὲν καρδίᾳ θυμουμένῃ
ὥραν παρασχὼν ἠρεμῆσαι μετρίαν,
ἡμῖν δὲ πάντως τί σκοπῆσαι συμφέρον.
Ἤδη δὲ καιρός, καὶ σκοπεῖν ἀπαρκτέον
πῶς τὸν Χρυσίλλης καὶ τὸν υἱοῦ Κλεινίου
ἔρωτα νῦν σχοίημεν ἐγκατασβέσαι."
Τοιοῖσδε λοιπὸν ἦσαν ἠσχολημένοι
(ἔρως ὁ σώφρων ἢ φιλάλληλος σχέσις)
αὐτὸς Χαρικλῆς καὶ Δρόσιλλα παρθένος·
καί τις παρεισέπνευσεν ἀντίθρους λόγος,
ὡς Κρατύλος πέπτωκεν ἀθρόᾳ νόσῳ.
Καὶ γοῦν διασπασθέντες ἀλλήλων τότε
ἀντιπροσῆλθον τοῖς ἑαυτῶν δεσπόταις
μαθεῖν τὸ πραχθέν, πενθίμως ἐσταλμένοι.
Καὶ συρρεόντων τῶν ὑπ' αὐτοὺς αὐτίκα
ἀνδρῶν γυναικῶν σατραπῶν καὶ βαρβάρων·
ὁμοῦ κατ' αὐτό, Κρατύλου προκειμένου
ᾤμωξεν ἡ Χρύσιλλα πάντων ἐν μέσῳ,
πρὸς μὲν τὸν ἄνδρα δῆθεν ἠσχολημένη,
τὸ δ' οὖν ἀληθὲς πρὸς Χαρικλέος θέαν
"σὺ μὲν προοίχῃ καὶ γυναικὸς καὶ τέκνου,
ἄνερ Κρατύλε, δυστυχῶς λελειμμένων,
ὃν οὔτε χεὶρ ἔκτεινεν ἀρχισατράπου
τείνουσα τὴν μάχαιραν ἐν καιρῷ μάχης·
οὔτ' ἄλλος ἐχθρῶν ἀντιπράττειν ἰσχύσας,
ἀλλ' ἡ θεῶν πρόνοια τῶν Ὀλυμπίων
εἰς κρυεροὺς ἔπεμψε Πλούτωνος δόμους.
Ποῖος δὲ τὴν σὴν δέξεται τυραννίδα;

Τίς τῆς Χρυσίλλης κυριαρχήσειέ μου;
Τίς πατρικὴν δείξειε φιλοστοργίαν
τοῖς ἀμφὶ τὴν σὴν καὶ τὸν ἐκ σοῦ Κλεινίαν;"
Τοιαῦτα ῥαψῳδοῦσα πρὸς Χαρικλέα
μήνυμα μεστὸν ἀντιπέμπει πικρίας
αὐτῷ Χαρικλεῖ καὶ Δρουσίλλῃ τοῖς νέοις
(ὁ γὰρ πεσὼν τύραννος αὐτὸς Κρατύλος
τέθαπτο πάντως ὡς ὁ βαρβάρων νόμος)
Κινεῖς μέν, οἶδα (τὴν ἀλήθειαν λέγω),
καὶ χαλκοτύπους ἀνδριάντας παρθένων
ἄγκτον εἰς ἔρωτα, δεινὲ Χαρίκλεις·
ἀλλ' οἱ θανόντες ὡς ἀνέλπιστοι σκόπει·
ἐν ζῶσιν ἐλπίς, ἐν θανοῦσιν οὐκέτι.
Σειρὴν μελιχρά, θέλγε τὴν ὁδοιπόρον·
ῥοτοῦς λιθοῦσα καὶ ῥοτοῦσα τοὺς λίθους,
ᾄδουσιν ἤχῳ τῶν ποδῶν σου καὶ λίθοι.
Ὦ λαμπρὸν ἄστρον, φέγγε καμοὶ τῇ ξένῃ.
Ἄσον, χελιδών, εἰπὲ θελκτικὸν μέλος·
Μοῦσαι γὰρ αὐταὶ νέκταρ ἐγχέουσί σοι
καί σου μελιχρὸν συγγλυκαίνουσι στόμα.
Πλὴν ἀλλὰ τί μοι ταῦτα; τὸν σκοπὸν μάθε.
Αὐχμὸς ποταμῷ καὶ χιὼν δένδρῳ βλάβη,
στρουθοῖς τὸ λίνον, ἡ νόσος τῷ σαρκίῳ,
νεανιῶν δὲ ταῖς γυναιξὶν ἀγάπη.
Τί μοι βλεπούσῃ γνησίως τρισασμένως
σύνοφρυς ἑστὼς ἀγρίως ἀντιβλέπεις;
Τέττιξ φίλος τέττιξι, ποιμὴν ποιμέσι,
μύρμηξι μύρμηξ· ἀλλ' ἐμοὶ σὺ καὶ μόνος.
Ἔρως δὲ τυφλός, οὐ γὰρ ὁ Πλοῦτος μόνος.
Ζητεῖ τὸν ἄρνα λύκος, αἴξ χλωρὰν πόαν,
λαγὼν δὲ κύνες, ἀμνὸν ἄρκτος ἀγρία,
στρουθοῦ νεοττοὺς ἀγκυλῶνυξ ἱέραξ·
ἐγὼ δέ σοι τὸ φίλτρον αὐξάνω μόνῳ.
Ἀεὶ δὲ νωθρὸς σὺ πρὸς ἡμᾶς καὶ πάλιν·
νικώμενος γὰρ οὐ φρονεῖς τὰ βατράχων·
οὐ γὰρ ἐκεῖνοι τοῖς χανοῦσιν εἰς ὕδωρ
ἐπεγκοτοῦσιν ἢ φθονοῦσι· μὴ σύ γε.

Οὐδείς, Χαρίκλεις, εὐλογύτροπος φόβος,
τοῦ συζυγέντος, ὡς ὁρᾷς, τεθνηκότος·
τοῖς οὖν ἐμοῖς κέχρησο καὶ τῇ κυρίᾳ·
κάταρχε, σατράπευε, δοξάζου μέγα·
ἀντ' αἰχμαλώτου δεσπότης πάντων γίνου
τῶν κειμένων μοι χρημάτων, τῆς οὐσίας·
τὴν σὴν ἀδελφὴν τὴν Δρόσιλλαν παρθένον
ἐλευθέραν μοι καὶ συνάρχουσαν βλέπε
οἵῳ θελήσει συζυγεῖσαν σατράπῃ.
Τίς μὴ τοσοῦτον ὄλβον ἀνθέλοιτό μοι;
Τοσαῦτα λαβὼν ἀνθυπόσχου τὸν γάμον,
ἄνερ Χαρίκλεις, εὐκλεής μοι νυμφίε.

Ἔφησε ταῦτα καὶ Δρόσιλλαν ἀσμένως
(ἐχρᾶτο καὶ γὰρ ἀγγέλῳ τῇ παρθένῳ)
ἐν ἀγκάλαις τίθησι καὶ "γένοιό μοι
συνεργὸς" εἶπε "τοῦ Χαρικλέος γάμου,
πασῶν γυναικῶν ὑπερηγαπημένη·
τὰς δωρεῶν γὰρ αὐτοπίστους ἐγγύας
ἔχεις μαθοῦσα· τί λόγων μοι πλειόνων;"

Τοιούσδε πικροὺς εἰσδεδεγμένην λόγους
πρηστὴρ κεραυνὸς φεψαλοῖ τὴν παρθένον.
Μερίζεται γοῦν ἀντιπαλαμωμένη
δυοῖν λογισμοῖν ἐμπαθῶς ἀντιρρόποιν·
"εἰπεῖν γὰρ αὐτὸν τὸν σκοπὸν τῆς βαρβάρου
οὐ βούλομαι νῦν" φησὶ "πρὸς Χαρικλέα·
ἀνέξεται γὰρ οὐδ' ἐκεῖνος ἃ λέγω·
ὅμως ἀφορμὴ τοῦ τυχεῖν Χαρικλέος·
ἐλεύσομαι πρόθυμος εἰς ὁμιλίαν."

Προσέρχεται γοῦν ἀμφὶ τὸν Χαρικλέα,
τοῦ φωσφόρου κλίναντος ἄρτι πρὸς δύσιν·
ὁ γὰρ Κρατύλος τοῖς ὑπ' αὐτὸν συλλόγοις,
ὡς εἴπομεν, τέθαπτο βαρβάρων νόμῳ.
Ἔφασκεν, ἐξήγγελλε δυσφορουμένη·
ψυχὴν διέσπα τὴν Χαρικλέος μέσην

ξίφει νοητῷ δυσχερῶν ἀκουσμάτων
λέγοντος· ὅμοι τῆς παρούσης ἡμέρας.
Ὦ γλυκερὸν φῶς, ὦ Δρόσιλλα παρθένε,
ὡς πικρὸν ἦλθες φθόγγον ἀγγέλουσά μοι.
Αἰαῖ, χελιδὼν ἡ γλυκύφθογγος μόνη,
ψυχὴν ἐμὴν σοῖς ἐξεπίκρανας λόγοις,
χρυσοῦν μελιχρὸν ποικιλόγλωττον στόμα."
"Αἰαῖ, Χαρίκλεις, τῆς ἀπανθρώπου τύχης,
ἥτις με μακραῖς ἐκπέζει φροντίσιν.
Ὦ ποῖον ἔσται τῶν καθ' ἡμᾶς κινδύνων
καὶ τῶν ἀναγκῶν τῶν πολυτρόπων τέλος;
Ποῖος θεῶν τις ἀλλὰ καὶ ποίῳ χρόνῳ
νεμεῖ τελευτὴν τῶν κακοπραγμάτων;
Ἕως πότε σχῇς, ἀγριαίνουσα Τύχη,
κινεῖν καθ' ἡμῶν μηχανὰς πολυτρόπους
καὶ συνδαμάζειν ἀλλεπαλλήλοις πόνοις;"
Οὕτως ἐκείνων συστεναζόντων μέγα
οὔπω παρῆλθον ἡμέραι δὶς ἐννέα
μετὰ τελευτὴν Κρατύλου τοῦ βαρβάρου,
καὶ σατράπης ἄνακτος Ἀράβων Χάγου
πρὸς τὴν Χρύσιλλαν γράμμα δουλείας φέρει.
Ἦκουσεν ἡ Χρύσιλλα καὶ συνεστάλη
ἰδοῦσα Μύγγον· τοῦτο γὰρ ὁ σατράπης·
ἐστυφελίχθη τῇ θέᾳ τοῦ σατράπου,
ἐξεθροήθη, καὶ τὸν υἱὸν Κλεινίαν
καλεῖ παρ' αὐτὴν καὶ τὸ γράμμα λαμβάνει
ταῖς ἔνδον αὐταῖς συλλαβαῖς οὕτως ἔχον
Ὁ τρισμέγιστος Χάγος, Ἀράβων ἄναξ,
φόρους ἀπαιτῶ καὶ κελεύω λαμβάνειν
ἀπὸ Χρυσίλλης Παρθάνακτος συζύγου
καὶ τῆς ὑπ' αὐτὴν Παρθικῆς φυλαρχίας.
Ἔλεσθε λοιπὸν θατέραν ὁδῶν δύο,
ἢ συντετάχθαι τοῖς ἄνακτι τῷ Χάγῳ

ὑπηρετοῦσιν εἰς ἐτησίους φόρους
καὶ τὴν ἐμὴν ἂν κερδανεῖν παραυτίκα
ταχεῖαν εὐμένειαν, εἰ πείθεσθέ μοι,
ἢ μὴν ἰδέσθαι τὴν στρατιὰν τοῦ Χάγου
ὑμῖν ἐπιβρίσασαν οὐ πεπεισμένοις."

Τούτους ἀναγνοὺς τοὺς λόγους ὁ Κλεινίας
(θρασὺς γὰρ ἦν τις καὶ σφριγῶν τὰ πρὸς μάχην)
ἐπιστολὴν ἔρρηξε ταύτην εἰς μέσον,
καὶ Μόγγον αὐτὸν τοῦ Χάγου τὸν σατράπην
μεθ' ὕβρεων ἔπεισεν ἀνθυποστρέφειν.

Εἴρηκε ταῦτα πάντα πατρίδα φθάσας
ἄνακτι Χάγῳ Μόγγος αὐτῷ σατράπης·
εἴρηκεν, ἐπλήρωσε θυμοῦ τὸν Χάγον·
καὶ τῶν στραταρχῶν συλλεγέντων ἐν τάχει,
πρὸς ἀντιπαράταξιν ἠρεθισμένων
ἐκ τῶν ἄνακτος γραμμάτων ταχυδρόμων,
ἔφιππος ἔστη τοῦ στρατοῦ μέσον Χάγος
πεζῇ καταρτίσαντος εὐμήκη κύκλον,
δόξης τε μεστὸς καὶ φρονήματος γέμων,
καὶ δῆλος ἦν τρόπαιον ὑψώσων μέγα,
ἀσπίδα χρυσῆν ἐν μέρει λαιῷ φέρων
στρατηγικῶς ἔχουσαν εἰκονισμένον
τὸν Ἡρακλῆν κτείνοντα Λερναίαν ὕδραν,
θυμὸν παροτρύνοντα καὶ νοῦν εἰς μάχην·
ἐχρῆν γὰρ ἐχρῆν τῆς γραφῆς τὸν ἐργάτην
εἰς ἀνδρὸς εὐθώρακος ἀσπίδα γράφειν
μέγιστον ἆθλον εὐσθενοῦς Ἡρακλέος.
Τοιοῦτος ἔστη λαμπρὸς ἱππότης Χάγος,
τόξον φαρέτραν καὶ σπάθην ἠρτημένος,
"ἄνδρες στρατηγοὶ καὶ φαλαγγάρχαι" λέγων
τοῖς Ἄρεος χαίροντες ἄθλων ὀργίοις,
ὁ συστρατηγὸς Μόγγος ἐξ ἐμοῦ κράτους

πρὸς Παρθικὴν χθὲς οὐθένειαν ἐστάλη,
ἧς ἐγκρατὴς νῦν ἐστὶν υἱὸς Κλεινίας
μετὰ Χρυσίλλης τῆς ἐκείνου τεξάσης,
φόρους ἀπατῶν καὶ κελεύων αὐτίκα
Ἄραψι Πάρθους ἐκτελεῖν ὑπουργίαν·
ἀλλ' οὐκ ἐδέχθη μικρὸν ἐμμεῖναι χρόνον,
οὐ πρὸς Χρυσίλλης, οὐ πρὸς αὐτοῦ Κλεινίου,
μεθ' ὕβρεων δὲ μᾶλλον ἀνταπεστάλη.
Τί φατὲ λοιπὸν" Χάγος ἵσταται λέγων,
"συναυλία χαίροιθλε καὶ ξιφηφόρε;"
"Ἄναξ μάκαρ" ἔφασαν οἱ στρατηλάται,
"οὐ τὸ κράτος φρίττουσι καὶ τὰ γῆς ἄκρα,
πᾶσα στρατιά, πᾶσα βαρβαραρχία
καὶ Περσανάκτων ἀρχιπερσοσατράπαι
καὶ πᾶς τις ἐχθρός, πᾶς ἄναξ, πᾶς σατράπης,
ὄλεθρος ἡμῖν ἐστὶ καὶ πλατὺς γέλως
τοῖς μακρὰν ἡμῶν, τοῖς πέριξ καὶ τοῖς πέλας,
καταφρονεῖσθαι Παρθικῇ στραταρχίᾳ,
ἣν οὐδὲ τῆς σῆς χρῄξομεν παρουσίας
κατατροποῦσθαι, τῇ θεῶν συνεργίᾳ.
Ἡμᾶς μόνους νῦν ἀντεπιστρατεύτεον
ἐπιτραπέντας τῷ μεγίστῳ σου κράτει
ἀντιδρομῆσαι πρὸς τὰ τῶν ἐναντίον,
ὡς μὴ πρὸς αὐτούς, τοὺς ἀνόπλους ἀγρότας,
τοὺς ληστρικῶς ζήσαντας ἐξ ἁρπαγμάτων,
τὸ σὸν κινηθῇ παντοτάρβητον κράτος."
"Αἰνῶ μὲν ὑμᾶς τῆς τόσης εὐανδρίας"
ὁ Χάγος ἀντέφησεν Ἀράβων ἄναξ,
"ἐμὸν γένος σύναθλον ἀσπιδηφόρον,
αὐτόχθονες γῆς ὀλβίας ἱπποτρόφου·
πλὴν οὖν Ἐπαμινώνδας, ἀνὴρ γεννάδας,
ἰδὼν στρατὸν γέμοντα πολλῆς ἀνδρίας,

ἀλλὰ στρατηγὸν ἄνδρα μὴ κεκτημένον,
ἔφη ‘μέγας θὴρ καὶ κεφαλὴν οὐκ ἔχει.’
Λοιπὸν μεθ’ ὑμῶν συστρατεῦσαί με πρέπον,
ὦ σύμμαχοί μοι καὶ πατρῴοι φίλοι.”
Οὕτω μὲν αὐτὸς εἶπεν Ἀράβων ἄναξ
καὶ τὴν ἑαυτοῦ στρατιὰν διεσκόπει,
ὁ πᾶς δὲ λαὸς τοῦ στρατοῦ τῶν Ἀράβων
ἐπευφήμησε τοῦ κρατοῦντος τοῖς λόγοις,
ἐκαρτέρει δὲ μὴ διιππεύειν ἔτι,
σάλπιγγος ἦχον καὶ βοὴν χαλκοστόμου
τὸν ἵππον ἀσκῶν καὶ καθαίρων τὸ κράνος
καὶ συμβιβάζων εἰς μάχας τοὺς δακτύλους.
Ἔνευσε τοίνυν ὁ κρατῶν προσαλπίσαι·
ἵππευσεν ἅπας ὁ στρατὸς τῶν Ἀράβων,
καὶ μέχρι Πάρθου τῆς ταλαίνης πατρίδος
εἰς ὄγδοον φθάνουσιν ἡμερῶν δρόμον.
Σκηνοῦσι τοίνυν ἐν μέσῃ πεδιάδι,
Σάρου ποταμοῦ προσρέοντος ἐγγύθεν.
Ἡ δυσμενὴς δὲ Παρθικὴ φυλαρχία
Ἄραψιν ἐκτὸς οὐκ ἐθάρρει τὴν μάχην,
πολλῆς παρούσης ἱππικῆς στραταρχίας·
οὐκοῦν περικλείσασα τέχνῃ τὰς πύλας,
τὸ τεῖχος ὠρόφωσε πέτραις χερμάσι
καὶ πετροπομποῖς τετρατάρσοις ὀργάνοις·
ἔστησε τοὺς βάλλοντας ἐκ τῶν ὑψόθεν
ἄνδρας ἐνόπλους λιθολεύστους εὐστόχους
καὶ τοξοχαρεῖς σφενδονήτας ὁπλίτας·
ὕψωσε πύργους ἀσφαλεῖς ἀπὸ ξύλων·
ἔσφιγξεν αὐτοὺς συμπλοκῇ τῇ τῶν λύγων
πύργους· ἀπηώρησεν ἐκ τῶν τειχέων
κώδωνας αὐτῶν φύλακας ἀντιτύπους·
πᾶσαν κατωχύρωσεν ὑατὴν τὴν πόλιν

πρὸς Ἀραβικὴν καρτερέμβολον μάχην.
Ἀλλ' αἱ κατ' αὐτὸν εἰσδραμοῦσαι μυρίαι
Ἀραβικαὶ φάλαγγες ἀσπιδηφόροι
σφοδρῶς ἐλίζοντο τοὺς πέριξ τόπους.
Τὰ μὲν κατεστρέφοντο τῶν σφῶν φρουρίων·
ἃ δ' οὐχ ἑλεῖν ἴσχυον εὐθὺς τοῖς ὅπλοις,
τὴν ἐν κύκλῳ γῆν, τοὺς κατοίκους ἀγρότας,
ἠνδραπόδιζον, ἠνδράκουν, ἐπυρπόλουν·
οὕτω πολὺν δύσφραστον ἀνθρώπων φόνον
Ἄραβες εἰργάσαντο μακροχοντίοις.
Ἐς αὔριον δὲ μηχανὰς χαλκοστόμους
ἐστῆσαν ἐγγὺς καὶ πρὸς αὐταῖς ταῖς πύλαις·
τεῖχος δὲ συμπλέξαντες ἐκ λύγων μέγα
τοῖς πετροπομποῖς ἀντεπέστησαν σκέπην
τὰς Παρθικὰς εἰρουσαν ἀφέσεις λίθων.
Ἔπεμπον εἰς τὸ τεῖχος Ἄραβες λίθους·
ἐβαλλον αὐτοὺς εὐστόχως οἱ τοξόται·
ἐκ τειχέων ἔπιπτον οἱ βεβλημένοι
τόξοις σὺν αὐτοῖς καὶ μετ' αὐτῶν τῶν λίθων.
Ἔρριπτον ἤδη τὰς ἐπάλξεις οἱ λίθοι,
ἔτυπτον, ἐσπάραττον αὐτὰς εὐστόχως·
πλὴν γίνεταί τι σκέμμα νυκτίου δόλου
Πάρθων παρ' αὐτῶν τῶν Ἀράβων ὀργάνοις
(δεινὴ γὰρ ἐστι Παρθικὴ φυλαρχία
τρόπους ἐφευρεῖν καὶ καταρτίσαι δόλους
δι' ὧν ἀποκρούσαιτο τοὺς ἐναντίους)·
οἳ στάντες ὑψοῦ καὶ σκοπήσαντες κάτω,
ὡς εὐστοχῆσαι τὰς βολὰς πρὸς τοὺς λύγους
τοὺς εἰς Ἀράβων χρηματίζοντας σκέπην,
σίδηρον ἐκπέμψαντες ἠνθρακωμένον,
τεφροῦσι πάσας μηχανὰς τῶν βαρβάρων·
ξηραὶ γὰρ οὖσαι τῶν λύγων αἱ φυλλάδες,

ἑτοιμόφλεκτοι τῇ πυρὸς παρενθέσει
ὤφθησαν· ἐξέκαυσαν ἀλλὰ ῥᾳδίως
ἀμυντικῶν ἅπασαν ὀργάνων θέσιν.
Ἐντεῦθεν ἦχοι καὶ κρότοι τῶν κυμβάλων
ἐκ Παρθικῆς ἤρθησαν ἀγερωχίας.
Πλὴν τοῦ τρίτου φθάσαντος ἡμέρας δρόμου
Ἄραβες ὡπλίσαντο καὶ μεμηνότες
ὅπλοις ἐκυκλώσαντο πᾶσαν τὴν πόλιν
καὶ συρραγείσης καρτερωτάτης μάχης
τὸ Παρθικὸν πύργωμα σύμπαν ἐσχέθη.
Ἐκεῖσε πάντως οὐχ ὁ χαλκόδους Ἄρης
Παρθῶν μεταξὺ καὶ μαχητῶν Ἀράβων
ἐμέμψατο στὰς τῆς μάχης κροτουμένης.
Ἡ γοῦν Χρύσιλλα Κλεινίου πεπτωκότος
(καὶ γὰρ μεταξὺ τῆς μάχης ἀνῃρέθη)
μάχαιραν ἐξήρπασεν εὖ τεθηγμένην,
καὶ δὴ κατ' αὐτῆς ἐμβαλοῦσα καρδίας
ψυχὴν μετ' αὐτοῦ δυστυχῶς ἐρυγγάνει·
ἡ δὲ Δρόσιλλα, καίπερ ἐν μέσῳ φόνῳ
(εἰς γὰρ τὸ κάλλος ἀσθενοῦσι καὶ ξίφη),
μέσον ξιφῶν ἔμεινεν ἐκτὸς τραυμάτων·
τοὺς πλείονας δὲ τῶν ἔσω φρουρουμένων
τὸ τῆς μαχαίρας ὑπεδέξατο στόμα.

Καὶ Παρθικῆς μὲν δυσμενοῦς φυλαρχίας
πολλὴ κατεκράτησε πανωλεθρία·
ὁ Χαρικλῆς δὲ σὺν Δροσίλλῃ τῇ κόρῃ,
ναὶ μὴν σὺν αὐτοῖς καὶ Κλέανδρος ὁ ξένος,
δεσμοῖς συνεσχέθησαν, ἀλλὰ δυσλύτοις,
Ἀραβικὴν μάχαιραν ἐκπεφευγότες,
καί, φεῦ, κατακριθέντες οἱ τρεῖς ἐκ τρίτου
τρίτης μετασχεῖν αὖθις αἰχμαλωσίας.

ς

Ὁ γοῦν κράτιστος Χάρης Ἀραβοκράτους
τὰς μὲν γυναῖκας, οἰκτισάμενος τάχα,
πᾶσάν τε τὴν ὕπαρξιν εὖ κινουμένην
ταῖς ἁρμαμάξαις εἶπεν ἐντεθεικέναι,
τοὺς δ' αἰχμαλώτους τῶν γυναικῶν χωρίσας
πεζοὺς βαδίζειν ἐγκελεύεται μόνους.
Ἤλαυνε λοιπὸν θᾶττον εἰς τὴν πατρίδα.
Καὶ διόντων εἰς ἐπίκρημνον τόπον
συνηρεφῶς ἔχοντα πευκαίας ὕλαις
κλάδος παρεμφὺς τῇ Δροσίλλης ἀγκάλῃ,
ἐξ ἁρμαμάξης εὐχερῶς ἁφαρπάσας
κατὰ πρανοῦς ἔρριψεν ἐξ ἕδρας μέσης.
Ἦν καὶ θαλάσσης ἀγριαίνων ὁ κλύδων
τὰ πρῶτα παίει ταῖς παραλίαις πέτραις
(θάλασσα καὶ γὰρ ἀμφὶ τὴν πέζαν ὄρους
οὐ ψάμμον ἀκτῆς εἶχεν ὑπεστρωμένην,
πετρῶν μελαινῶν ἐξοχὰς δὲ καὶ βάθος),
χαρίζεται δὲ μικρὸν ὕστερον πάλιν
φλοιὸν δρυὸς μήκιστον ἐξηραμμένον,
δι' οὗπερ εἰς γῆν ἦλθεν ἠρεμωμένην
ἀκινδύνως πλέουσα μέχρις ἑσπέρας.
Οὔκουν ἐγνώσθη τοῦτο τῷ Χαρικλέει·
οὐ γὰρ κατιδεῖν ἐκ συνηρεφοῦς ὕλης
πεσοῦσαν ἔσχε τὴν Δρόσιλλαν ἐξ ἕδρας·
ἢ γὰρ ἑαυτὸν εὐθέως συγκρημνίσας
συνῆλθεν αὐτῇ πρὸς θαλάσσης πυθμένας·
ἀλλὰ βραχὺς παῖς ἀπαλόφρων καρδίᾳ
μετὰ Δροσίλλης ἐγκαθήμενος μόνος
εἰς μίαν ἁρμάμαξαν ἀνεκεκράγει
ἰδὼν πεσοῦσαν εἰς θαλάττιον βάθος·

ὑφ' οὗ Χαρικλῆς ἐκδραμούσης ἡμέρας
τὴν τῆς κόρης ἔκπτωσιν ἀναμανθάνει·
ὃς καὶ σπαραχθεὶς ἐς μέσην τὴν καρδίαν,
"ὦ συμφορᾶς" ἔφασκε "δακνοκαρδίου.
Ὦ δυστυχὴς σύ, δυστυχὴς σύ, Χαρίκλεις.
Ἔμελλες ἄρα καὶ μετὰ πλάνην τόσην,
Τύχη πονηρὰ δυσμενὴς ποινηλάτις,
μετὰ φυλακὰς καὶ μετ' αἰχμαλωσίας,
μετὰ θαλάσσης κινδύνους πολυτρόπους,
μετὰ τὸν ὄμβρον τῶν τοσούτων δακρύων,
μετὰ φρικώδη λῃστρικὴν ἀστοργίαν,
μετὰ ζυγὸν δούλειον ἀθρόας μάχης
ἀντεισβαλεῖν μοι συμφορὰν βαρυτέραν,
ἣν οὐκ ἐνεγκεῖν ἔστι τῷ Χαρικλέει;
Ἔμελλες, αἰαῖ, καὶ διασπᾶν εἰς τέλος
τὴν ἀδιαχώριστον ἀλληλουχίαν,
τὴν πάντα κατάλληλον εὐαρμοστίαν;
Πῦρ ἐν πυρὶ προσῆξας, ἐν φλογὶ φλόγα,
βάθει προδοῦσα τὴν κόρην θαλαττίῳ
καὶ Χαρικλῆν ἐν ζῶσι συντηροῦσά με.
Οὐκ ὄκνος, οὐ μέλλησις, οὐ ῥᾳθυμία
μετὰ Δροσίλλης εὐτυχῶς συντεθνάναι·
τί γοῦν ἀπεστέρησας, ἐγκοτοῦσά μοι,
τοιοῦδε καλοῦ δυστυχῆ Χαρικλέα;
Ἢ καὶ Δρόσιλλαν ζῶσαν ἤθελον βλέπειν
ἢ μηδ' ἐμαυτόν, τῆσδέ μοι νεκρουμένης.
Ὦ ὦ ποθεινὴ καὶ μόνη μοι τῷ βίῳ
ὀφθαλμὲ καὶ φῶς καὶ πνοὴ καὶ καρδία,
ἔσβης, ἔδυς, ἔληξας, ἐψύχθης ἄφνω.
Ὡς εὐτυχὴς ἦν καὶ πρὸ μικροῦ, παρθένε,
ἔχων σε συμπάσχουσαν εἰς ἀθυμίαν.
Ἐξ ἡλίου φλέγοντος ὡς ὁδοιπόρος

ὑπὸ σκιὰν ἐπίπτον ἐν σαῖς ἀγκάλαις,
χρυσῇ καλὲ πλάτανε, τῆς ἀθημίας
καύσωνα φεύγον καὶ τὸ τῆς λύπης βάρος.
Κεῖσαι τὸ δένδρον καὶ νεκρὸν καὶ μέγα,
πλὴν ξηρὸν ἤδη καὶ νεκρόν, ζῶν οὐκέτι,
οἶκτος μὲν ἄλλως τοῖς ὁρῶσιν ἐγγύθεν,
εἴ που τὸ κῦμα τῆς θαλάσσης ἐκβράσαν
ἔρριψεν ἔξω· καθορῶ δὲ κειμένην·
ἐμοὶ δὲ λοιπὸν δακρύων ἐπομβρίαι.
Ἐπαπορῶ· τὸ πρᾶγμα θαῦμά μοι φέρει·
πῶς ὑδάτων, ὦ δένδρον, ἐντὸς μέσον;
ἠδύπνουν πῶς ἐξεμαράνθης ῥόδον;
Ὡς εἰ πρὸ σοῦ, φεῦ, ἐκ βροτῶν βὰς ᾠχόμην,
τάχ' ἂν θανὼν ἔζησα, κἂν ζῇν οὐκ ἔδει.
Οὔκουν ἀνεκτὸν οὐδαμῶς οὐδ' ἐν μέρει
νοσφισμὸς ἐστὶ συμπνεούσης παρθένου.
Λίαζ, προοίχῃ, καὶ συνοίχεσθαι θέλω.
Βαβαί, πονηρῶς ἐξ ἐμοῦ διῃρέθης,
ὡς οἱά τις κλὼν συμφυοῦς πτόρθου βίᾳ.
Ὦ προσφιλὴς σύμπνοια καὶ συμφυΐα,
ψυχαῖν δυοῖν ἕνωσις ἐκ συμφωνίας,
ἓν πνεῦμα, νοῦς εἷς, εἷς λόγος καὶ φρὴν μία,
ἓν πανταχοῦ νόημα δυσὶ καρδίαις.
Ποίου σε νηκτοῦ συγκατέκλεισε στόμα;
Ποῖόν σε κῆτος ἐκπέπωκεν ἀθρόον,
ἢ ποῖος ἐξέκαψεν ἐσμὸς ἰχθύων;
Ἆρ' ἐν θαλάσσῃ λῆξιν εὗρες τοῦ βίου,
ἢ κρημνὸς ἐξόφωσε σὰς κόρας, κόρη,
κεῖσαι δὲ νεκρὰ θηρίοις προκειμένη
εἰς δυστυχῆ δίαιταν ἠλεημένην;
Ὦ ποῦ ποτ' εἶ νῦν; οὐ δραμεῖν γὰρ ἰσχύω,
δεσμοῖς κρατηθείς, ψηλαφᾶν σε, παρθένε."

Τούτοις ὁ Χάγος ἀντιπροσχὼν τοῖς λόγοις
(οὔπω γὰρ ἔσχεν ὕπνος αὐτοῦ τὰς κόρας)
καλεῖ πρὸς αὐτὸν ἡκέναι Χαρικλέα,
οἴκτῳ μαλαχθεὶς καὶ παθὼν τὴν καρδίαν.
Ἤκουσεν, ἦλθε πενθικῶς ἐσταλμένος.
Ὁ Χάγος εἶπε "τίς; πόθεν; τί δακρύεις;"
Ἔφη Χαρικλῆς "αἰχμάλωτος Κρατύλῳ,
δοῦλος δὲ νῦν σός· ἡ πατρὶς δέ μοι Φθία·
θρηνῶ δ' ἀδελφήν, ἧς ἐγὼ λελειμμένος,
ὡς ἐμπεσούσης, φεῦ, θαλάσσης εἰς ὕδωρ,
μισῶ τὸ βιοῦν οὐδὲ φῶς θέλω βλέπειν."
"Μὴ Πάρθον ὄντα, πατρίδος δ' ἀπὸ Φθίας"
ἔφησε Χάγος "πῶς κρατεῖ σε Κρατύλος;"
"Μετὰ Δροσίλλης" ἦδ' ὃς "εἵλκον ἐκ λόγων
οἱ συγγενεῖς με πρὸς τὸ Καρίας πέδον.
Πρὸς οὓς ἀποπλέοντες ὁλκαδοφθόρῳ
ἐμπίπτομεν, φεῦ, λῃστρικῇ ναυαρχίᾳ,
ἐγώ τε καὶ Κλέανδρος, οἱ συνοικέται,
μετὰ Δροσίλλης τῆς ἀδελφῆς, ὡς ἔφην·
οὓς καὶ μόλις φυγόντες, ὡς τῆς ὁλκάδος
ἔξω παρ' ἡμῶν εὐτεχνῶς εἱλκυσμένης,
ἄκοντες εἰς τὴν Βάρζον ἦμεν τὴν πόλιν·
ἡ Παρθικὴ δὲ δυσμενὴς στραταρχία
συνέσχεν ἡμᾶς αἰχμαλωσίας νόμῳ,
καὶ μέχρι τῆς σῆς εὐτυχοῦς παρουσίας
ὑπεντιθέντες τῷ ζυγῷ τοὺς αὐχένας
ἐκαρτεροῦμεν ἀλλεπαλλήλους πόνους·
οὐ γὰρ τοσοῦτον εἶχε τὸ πρᾶγμα θλίβειν
ὁρῶντας ἡμᾶς τῇ βίᾳ νικωμένους,
ὅσον Δροσίλλης ὑπεραλγοῦμεν χάριν
γυναικὸς οὔσης καὶ νέας καὶ παρθένου.
Καὶ νῦν δι' αὐτὴν καὶ τὸ φῶς δεδορκότες

στυγοῦμεν οἰμώξοντες ὠδυνημένοι."
"Εὕρηκας εὖ" ὁ Χάγος ἀνταπεκρίθη·
"ποῦ δ' οὗτος ὁ Κλέανδρος; ἐλθέτω τάχει."
Ἔστη παραχθείς, δακρύων πεπλησμένος·
ὡς ἰδίαν γὰρ συμφορὰν ὁριμυτάτην
τὴν συμφορὰν ἡγεῖτο τοῦ Χαρικλέος·
ψυχὴ γὰρ ἄλγος ἴδιον κεκτημένη
ἑτοιμοπαθής ἐστι πρὸς τὸ δακρύειν,
ἄλλων λεγόντων καὶ στεναζόντων μέγα
τὰς σφῶν ἑαυτῶν δυσμενεστάτας τύχας.
Οὓς καὶ συναλγήσαντας ὤκτειρε βλέπων,
τὴν καλλονὴν ἣν εἶχον ἐκπεπληγμένος·
παρεμφερεῖς γὰρ ἦσαν οἱ νεανίαι.
Εὕρηκεν οὖν τοιούσδε συμπαθῆς λόγους
"Ἐπεὶ προεσχέθητε χειρὶ Κρατύλου
μόλις φυγόντες τὴν θαλαττίαν μάχην,
ἐπεὶ φυλακῆς καὶ πρὸ τοῦ Χάγου τόπος
κατέσχεν ὑμᾶς αἰχμαλώτους ἀθλίους
(ἄλλως γὰρ ἐστὲ καὶ φιλάλληλον γένος)
ἐλεύθεροι στέλλεσθε σὺν καλῇ τύχῃ.
Μὴ γὰρ τοσοῦτον ἐκκυλισθείη Χάγος
τῆς συμπαθείας τοῦ καθήκοντος τρόπου,
ὡς αἰχμαλώτους μηδὲν ἠδικηκότας,
μὴ τῶν Ἀράβων ἀντιβάντας τῷ κράτει,
ξένους, πρὸ πολλοῦ δυστυχεῖς δεδειγμένους,
δεσμοῖς βιαίοις συγκατασχεῖν εἰσέτι,
τῶν φύσεως ἔξωθεν ἐκπίπτων νόμων.
Μᾶλλον μὲν οὖν δίδωμι καὶ μνᾶς χρυσίου
ὑπὲρ Δροσίλλης τῆς πολὺ θρηνουμένης,
ἢ πρὸς θεῶν ἐν ζῶσι συντηρουμένη
ἕρμαιον ἔσται καὶ Χάγου λαμπρᾶς τύχης.
Καὶ συνδιασώσοιτε τὴν ἐλευθέραν

ὅπου θεοὶ βούλοιντο σῶσαι τῶν κάτω."
Οὐκοῦν Χαρικλῆς καὶ Κλέανδρος οἱ ξένοι
πρὸ τῶν ποδῶν κλίναντες αὐχένας Χάγου
τὴν γῆν ἐποίουν πλημμυρεῖν ἐκ δακρύων.
Μόλις ποτὲ στὰς ὁ Κλέανδρος ἀντέφη
(οὐ γὰρ Χαρικλῆς λῆξιν εἶχε δακρύων)
"Ζεὺς αὐτὸς ἄναξ ἀντιχαρίσαιτό σοι,
Χάγε, κραταιὲ τῶν Ἀράβων αὐτάναξ,
ψυχῆς ἅπαν νόημα τῆς σῆς συμβίου,
δοίη δὲ μακρὸν εὐθαλῆ ζωῆς χρόνον
καὶ δυσμενὲς πᾶν ὑποτάττοι σῷ κράτει."
Τούτοις Χαρικλῆς ἀντέφασκε τοιάδε
"χαίροις, Ἀράβων ὄλβιε κράτορ, Χάγε,
λύπη δὲ τὴν σὴν μὴ κατάσχῃ καρδίαν,
ἀνθ' ὧν ἀδελφοὺς τληπαθεῖς τρισαθλίους
ἐλευθεροῖς νῦν ἐκ φρενῶν σωτηρίων."
Οὕτως ἀπαλλαγέντες ἐξ Ἀραβίας
ὥδευον ἄμφω τὴν ὀπισθίαν τρίβον,
ποιούμενοι ζήτησιν ἐμμελεστάτην
αὐτῆς ἐκείνης τῆς Δροσίλλης παρθένου,
ὡς ἐντυχεῖν γένοιτο νεκρᾷ κειμένῃ,
ἣν τῷ πεσεῖν ᾤοντο μηδὲ ζῆν ἔτι.
Πλὴν ἀλλὰ καὶ πεσοῦσα καὶ σεσωσμένη
καὶ κυκλικοὺς τρεῖς ἡμερῶν περιδρόμους
σὺν ἕξ διανύσασα ταῖς ἐρημίαις
(ὁδοιπορεῖν γὰρ εἶχεν οὐδαμοῦ σθένος
τῷ συμπιεσμῷ τῶν μελῶν, τῶν ὀστέων,
ὃν ἐξεκαρτέρησεν ἐκ κρημνισμάτων),
διατροφὴν ἔχουσα γῆς χλόην μόνην
δένδρων τε καρποὺς τῶν ἀπηγριωμένων
ἴσχυσεν ἐλθεῖν εἴς τι χωρίον μόλις
τῶν πρὸς τὸ βιοῦν ἀφθονωτάτως ἔχον.

Ἐκεῖσε πολλῶν σπερμάτων πανσπερμίᾳ
καὶ παντοδαπῶν θρεμμάτων χορηγία,
γυναῖκες, ἄνδρες, παῖδες ὑπὲρ ἀστέρας
καὶ πανδοχεὺς εὐσπλαγχνος ἀμφὶ τοὺς ξένους.
Ἰδοῦσα τοῦτο μακρόθεν τὸ χωρίον
ἠδεῖτο λοιπὸν εἰσελεύσεσθαι μόνῃ·
ὅμως πρὸς ἄκρον εἰσδραμοῦσα τοῦ τόπου,
καὶ τοῦτο πολλῇ συστολῇ καὶ δειλίᾳ,
ἔμεινεν ἔνδον ἀστεγοῦς τινὸς δόμου·
ἔφαγεν οὐδὲν ἢ στεναγμοὺς καὶ γόους,
ἔπιεν οὐδὲν ἢ τὸ δακρύων πόμα·
τὸν γὰρ Χαρικλῆν καὶ τὰ τοῦ Χαρικλέος
ἀμφαγνοοῦσα θρῆνον ἦννε ξένον,
ἀναιρεθέντα προσδοκῶσα τεθνάναι.

Ἀλλ' ἐγὼ ἡ τρισάποτμος ἀπὸ σφετέροιο γενέθλου,
ἆδ' ἐγὼ ἡ πολύδακρυς ἀναλδέα πήματα μίμνω.
Κεῖμαι φθινύθουσα διαμπερὲς ἐγγοόωσα·
ὡς γὰρ μοῖρα μέλαινα δυσώνυμος ἀμφεκύκλωσεν,
οὐδ' ὁλοοῖο χόλοιο πεπαύσεται ἤματα πάντα.
Αὐτὰρ ὃν ἡ δύστηνος ἔχον πόρος εἰσορόωσα
ἐκ παθέων ἄμπαυλαν ἐρωτοτόκου μελεδῶνος,
ὃν ποθέεσκον ἄκριτα, Χαρικλῆς κεῖται ἀνάγκῃ
ὀρφναίοις νεφέεσσιν ἐνειλιμένος θανάτοιο,
κεῖται νεκρὸς ἄελπτος ἀπ' ὄμματος ἡμετέροιο,
τόν ῥα φάους ἀπέμερσε κακώνυμος, αἰὲν ἀτειρὴς
Μοῖρα, μέλαινα, φέραλγος, ἀπ' ἔγχεος Ἀραβίοιο.
Χείλεα ἱμερόεντα, τὰ πολλάκις ἐξεφίλησα,
πῦρ μαλερὸν κατέμαρψε καὶ αἰθαλόεντα φαάνθη·
ὄμματα παμφανόωντα ἀείδακρυς ὄρφνα κάλυψε·
βόστρυχον ἠλιάοντα μέλαν λύθρον ἐξεμίηνεν.

Ὤμοι ἐγὼ πανάποτμος, ἀεὶ μογέουσα Δρόσιλλα.
Ἔτλην φύξιν ἄελπτον ἀπὸ σφετέροιο τοκῆος·

μακρὸν δ' ἐξεμέτρησα βαρύβρομον οἶδμα θαλάσσης·
λῃστὰς ὑπεξέφυγον [δ'] ἀν' οὔρεα μακρὰ βιβῶσα·
αἰαῖ, δακρυόεσσα Χαρικλέος εἵνεκα κούρου,
δούλιον ἦμαρ ὄπωπα· βίῃ δέ τοι ἐστυφελίχθην
κλοιός μ' ἀμφεδάμαξε πυραγροφόροιο μέλημα·
οὔρεϊ ὑψικορύμβῳ ἀμαξόθεν ἔκπεσον αὖθις,
οἴδματι δ' ἀμφεπέλασσα καὶ εἰναλίῃσι πέτρῃσι
βένθεος ἀτρυγέτοιο καὶ ἀργαλέῃ στροφάλιγγι·
φλοιός μ' ἐξεσάωσεν ἀπὸ δρυὸς ὅς κεν ἐτύχθη.
Ὅμοι ἐγὼ βαρύδακρυς εἵνεκα σεῖο, Χαρίκλεις,
ὃν πάρος εἰσορόωσα διήνυον ὄλβιον ἦμαρ,
νυνὶ δὲ κρυπτομένοιο πολὺν χρόνον ἄλγεα πάσχω,
ἦλιον οὐκ ἐθέλουσα σελασφόρον ἀστέρα λεύσσειν."

Τοιαῦτα γοῦν φάσκουσαν οὐκ ἀδακρύτως
μαθοῦσά τις γραῦς ἀγαθὴ τὴν καρδίαν
ἤγγισεν, εὗρεν, εἶδεν, ἔστη πλησίον,
ὤμωξεν, ἠσπάσατο καὶ προσεπλάκη,
ἤγαγεν ἔνδον τῆς ἑαυτῆς οἰκίας
καὶ συμμετασχεῖν ἁλάτων κατηξίου.
Ἔφαγε μικρὸν καὶ πρὸς ὕπνον ἐτράπη
(νυκτὸς γὰρ ἤδη τὸ σκότος κατεκράτει)
καὶ συγκλιθεῖσα τῇ χαμαιστρώτῳ κλίνῃ
εἶδε γλυκὺν ὄνειρον, ἦλθεν εἰς κόρον
ὕπνου λυσαλγοῦς, παυσολύπου φαρμάκου.

Τὸ φῶς ἐπέστη, καὶ διέστη τὸ σκότος·
ἤγερτο καὶ "γραῦ" φησὶ "μῆτερ ὀλβία,
ὡς εὐχαριστῶ τῶν φιλοξενημάτων
καὶ τῆς χαμαιστρώτου δὲ ταυτησὶ κλίνης,
καθ' ἣν γλυκὺς ὄνειρος ἀντεπῆλθέ μοι
παρηγορῶν μου τὴν παθοῦσαν καρδίαν.
Ἀλλ' ἀντιφάσκοις εἴ τις ἐστὶν ἐνθάδε
ἀνὴρ ἀγαθὸς πανδοχεὺς Ξενοκράτης."

"Ναὶ" φησὶν ἡ γραῦς· "τίς δέσποτ' οὗτος λόγος."
"Ἔως ἐκεῖσε, λιπαρῶ, σύνελθέ μοι"
ἔφη Δρόσιλλα· "κατιδεῖν καὶ γὰρ θέλω
εἰ μὴ φανεὶς ὄνειρος ἠπάτησέ με."
Ὑπεῖξεν ἡ γραῦς καὶ λαβοῦσα τὴν κόρην
εἰς οἰκίαν ἦγαγε τὴν Ξενοκράτους,
πρὸ τῶν θυρῶν δὲ στᾶσα τῶν τῆς οἰκίας,
ἐκεῖ θελούσης καρτερεῖν τῆς παρθένου,
καλεῖ παρ' αὐτὴν Καλλίδημον ἥκειν,
τὸν φύντα παῖδα πατρὸς ἐκ Ξενοκράτους,
τῆς χειρὸς ἑλκύσασα νεύσει τὸν νέον.
Ὁ δ' ἀντεπελθὼν ἐξερευνᾷ τὴν κόρην
"τίς καὶ πόθεν σὺ καὶ πατὴρ τίς καὶ πόλις;"
Ὁμοῦ γὰρ αὐτὴν εἶδε καὶ κατεπλάγη,
τὴν καλλονὴν ἣν εἶχεν ἐκπεπληγμένος.
Ἡ δὲ Δρόσιλλα θᾶττον ἀντεπεκρίθη
"ἔα με, Καλλίδημε· τοῦτό μοι λέγε,
εἴπερ τις ἔνδον ἐκ ξένης νεανίας,
κλῆσιν Χαρικλῆς, εὐγενὴς τὴν ἰδέαν."
Ὁ δ' ἀλλ' ἐρασθεὶς εὐπροσώπου παρθένου,
ἔκδηλος ἀλοὺς καλλονῆς ἀσυγκρίτου
καὶ πρὸς Χαρικλῆν ἐγκοτήσας τῆς κόρης,
κόπους παρέσχε τῇ Δροσίλλῃ μυρίους,
καὶ μηδὲ κλῆσιν ἀντέφασκεν εἰδέναι,
εἴπερ τίς ἐστι καὶ Χαρικλῆς ἐν βίῳ.
"Τί δ' ἀλλά, Καλλίδημε, μὴ ξιφιδίῳ
πλήττων ἀναιρεῖς; Τί θαλάσσῃ μὴ δίδως;
Τί μὴ φονεύεις, αὐτόχειρ δεδειγμένος;"
μετὰ στεναγμῶν ἀντέφη καὶ δακρύων.
Ὡς νῦν με πικροῖς δεξιούμενος λόγοις
τὴν τῆξιν, ὤμοι, προξενεῖς οὐ μετρίαν."
"Εἰ καὶ Χαρικλῆν παραπώλεσας, κόρη,

μὴ κάμνε, μὴ στύγναζε, μὴ κατηφία·"
πρὸς τὴν Δρόσιλλαν Καλλίδημος ἀντέφη,
"μὴ τοῦ βιῶναι τὸν θάνατον προκρίνῃς.
Πολλοὶ παρ' ἡμῖν κρείττονες Χαρικλέος,
ζῆλον τιθέντες ταῖς ὁρώσαις παρθένοις."
Οὕτω μὲν οὖν ἐκεῖνος· ἡ δὲ παρθένος
Δρόσιλλα μειδιάσασα σμικρὸν λέγει
(εἴωθε καὶ γάρ, κἂν κατάσχετος πόνοις
ὀφθῇ τις, ἄφνω μειδιᾶν τι πολλάκις,
ὡσὰν παρούσης χαρμονῆς καὶ δακρύων)
"συμπατριωτῶν ἀστικῶν καλῶν νέων
πῶς ἄρα, Καλλίδημε, παῖ Ξενοκράτους,
χωριτικοὶ γένοιντο κρείττονες ξένοι;
Ἀλγῶ κεφαλήν, Καλλίδημε, καὶ πλέον,
τὸ νῦν ἔχον, σοὶ προσλαλεῖν οὐκ ἰσχύω."
Ὁ γοῦν Χαρικλῆς ἔνδον ἐς Ξενοκράτους
ὕπνωττε μικρὸν ὕπνον οὐκ ἐγνωσμένος,
κόπῳ βαρυνθεὶς καὶ πόνοις καὶ φροντίσιν.
Ἡ δὲ Δρόσιλλα λεπτὸν ἀσθμαίνουσά τι
καθῆστο μακρὰν οἰκίας Ξενοκράτους
"ὦ παῖ Διὸς" λέγουσα καὶ γοωμένη,
"ποῦ δή με τὴν τάλαιναν ἄξεις εἰσέτι
εὑρεῖν Χαρικλῆν; οὐ γὰρ ἐς Ξενοκράτους·
ἢ φασμάτων παίζεις με πάντως ἐμφάσει;
Ἐχρῆν ἐπαρήγειν σε δυσφορουμένῃ·
ἐχρῆν ἀπαλλάττειν με δυσπραγημάτων
καὶ τῶν ἐπαχθῶν καὶ μακρῶν στεναγμάτων·
ἐχρῆν ὁδηγεῖν πρὸς τὰ συμφέροντά με,
οὐ μὴν ἀνάγκας ταῖς ἀνάγκαις εἰσφέρειν,
ψευδηγοροῦντα τῇ καθ' ὕπνους ἐμφάσει.
Ἀλλ' εἰ θεὸς σὺ καὶ Διὸς γόνος πέλεις,
εἰ ζῇ Χαρικλῆς αὖθις ἐκδίδασκέ με·

καὶ γὰρ παρασταὶς τῇ πρὸ ταύτης ἑσπέρᾳ
καὶ ζῆν ἐθέλους καὶ πρὸς αὐτοῦ τοῦ Χάρου
ἠλευθερῶσθαι σὺν Κλεάνδρῳ τῷ ξένῳ
καὶ δεξιοῦσθαι παιδοχεῖ Ξενοκράτει.
Πράσσομα γοῦν σὸν οὐκ ἀληθὲς εὑρέθη.
Καὶ νῦν ἐπειδὴ μὴ Χαρικλῆς ἐνθάδε
οὐδ' ἐστί μοι ζῶν οὐδ' ἐλεύθερος μένει,
ἀλλ' ἢ προεξέρχηκε τοῦ βίου ξίφει,
ἢ δεσμὰ τὸν τράχηλον αὐτοῦ συνθλίβει,
καὶ ζῇ πονηρὸν καὶ παροίκτιστον βίον."

Ταύτης ἐπιστὰς Καλλίδημος ἐγγύθεν
ἐπηκροᾶτο τῶν κατωδύνων λόγων
καὶ μὴ κατασχεῖν οἷος ὢν οὗτο λέγει
"τὸ κάλλος ἡμᾶς ἐξελέγχει σου, κόρη,
ἁλόντας οἷς ἔφημεν ἔρρειν ἀθρόως.
Ἀλλ' ὁ τρισανόητος αὐτὸς ᾠόμην
σαθροῖς λογισμοῖς ἄσχετος κάλλει μένειν,
ὁμιλιῶν ἄγευστος, ἀδαὴς πόθου·
διέπτυον δὲ τῶν ἐρώντων τοὺς πόνους,
καὶ τοὺς γάμους σφῶν ὡς ἀπέστεργον πάλαι.
Νῦν δ' ἀλλὰ δοῦλος ἄθλιος κατεσχέθην,
ὁλοσχερῶς Ἔρωτι θητεύων βίᾳ·
ἄνθος δὲ τὸ πρὶν τὴν παρειὰν φυγγάνει,
τοῦ βλέμματος δὲ σβέννυταί μοι τὸ φλέγον
ἐκ δακρύων ῥύακος ὡς ἐξ ὑδάτων.
Οὕτως ἐγὼ τὸ πάθος οὐκ ἔχω φέρειν·
καὶ τὴν Ὁμήρου μέμφομαι Καλλιόπην
εἰποῦσαν εἶναι κοσμικῶν πάντων κόρον,
καὶ φιλοτήτων, ἀκορέστων, ὡς κρίνω·
οὐ πλησμονὴν ἔοικεν εἰσφέρειν ἔρως,
κἂν ἡδονὴ τελοῖτο, κἂν κλύοιτό μοι.
Ῥίψω τὸ λοιπόν, ὡς ὁ γηράσας λόγος,

ἐν κινδύνοις ἄγκυραν αὖθις ἐσχάτην
καὶ δεύτερον πλοῦν πλεύσομαι (τί γὰρ πάθω;)
καί σοι προσείπω τῇ τὸ πᾶν φιλουμένῃ·
τροφὴν γὰρ οἶδα τὴν σιωπὴν τῆς νόσου.
Ὦ πᾶσαν εὐτυχοῦσα καλλονῆς χάριν
καὶ πᾶν ἀκοντίζουσα καρδίας μέρος,
χεῖλος μὲν αὐχεῖς ἁπαλώτερον ῥόδου,
γλυκύτερον δὲ κηρίου σοι τὸ στόμα·
φίλημα δ' οὖν σόν, ὡς μελίττης κεντρίον,
πικρὸν θανατοῦν φαρμακεῦον ἀλγύνον.
Ὡς φαρμάκων σοι πλῆρές ἐστι τὸ στόμα,
κἂν ἐκτὸς ᾖ μέλιτι συγκεχρωσμένον·
οὗ καὶ φίλημα τῇ δοκήσει κερδάνας,
αἰαῖ, περιττὸν ἄχθος ἀντιλαμβάνω.
Τὸ στέρνον ἀλγῶ· πάλλομαι τὴν καρδίαν·
ἀνατραπεὶς ἔοικα σῶμα καὶ φρένας.
Οὐκ ἐκφύγῃ τις, κἂν δοκῇ πεφευγέναι,
Ἔρωτα τὸν τύραννον ὁπλοτοξότην,
ἄχρις ἂν ἐν γῇ φῶς τε καὶ κάλλος μένῃ,
καὶ τῶν βροτῶν ὄμματα πρὸς τοῦτο βλέπῃ·
Ἔρως γὰρ αὐτός, ὁ θρασύς, ὁ τοξότης,
καλὸς θεός τις μυθοπλαστεῖται νέος,
καὶ τόξα πλουτεῖ καὶ φαρέτραν εἰσφέρει.
Χαίρει τὰ πολλὰ τοιγαροῦν καὶ τοῖς νέοις·
ὅπου δὲ κάλλος, ἐκδιώκων προφθάνει
ἀναπτεροῖ τε καὶ φρένας καὶ καρδίαν·
οὗ φάρμακόν τις εὗρεν οὐδεὶς ἐν βίῳ,
εἰ μὴ περιπλοκήν τε καὶ γλυκὺν γάμον.
Θεὸν βαρύν σε θᾶττον ἐγνώκειν, Ἔρως,
εὗρον δρυμῶνος θρέμμα, θηρίου γόνον.
Ὡς ἄγριος, καὶ προσχαρὴς δοκῶν μάτην.
Ἄκουε λοιπὸν καὶ διδάσκου καὶ σύνες,

ἡ νῦν παρ' ἡμῖν μαργαρόστερνος κόρη,
φύσει λαχοῦσα χρυσοβύστρυχον κόμην,
τὸ κῦμα, τὸν κλύδωνα, τὴν ξάλην ὅσην.
Λαβεῖν σε πρὸς νοῦν ἱκετεύω τοὺς πάλαι
ἔρωτι συγκραθέντας εἰς ψυχὴν μίαν·
συνεννόει μοι τοῖς προλοίποις τῶν πάλαι
τὸν Ἀρσάκης ἔρωτα πρὸς Θεαγένην,
τὸν Ἀρχεμάρους πρὸς Χαρίκλειαν πόθον·
κἂν ὡς ἀσέμνους οὐ λαβεῖν εἰς νοῦν θέλῃς,
τοὺς εἰς ἔρωτας σωφρονήσαντας σκόπει,
οὓς ὅρκος αὐτὸς ὁ προβαίνων ὡς δέον
ἀπεῖργεν αἰσχροῦ καὶ προῆγεν ἐνδίκως
εἰς ἀσφαλῆ σύζευξιν ἐντόμου γάμου.
Οὐδὲν διοίσειν οἶδε πρὸς μέθην ἔρως·
πλὴν λίθος ἀμέθυσος ἡ Δρούσιλλά μοι.
Πρηστήριον πῦρ οἶδεν ἐντίκτειν ἔρως·
ἀλλ' Ἰνδικὴν λίθον σε παντάρβην ἔχω,
καὶ φεύξεταί με καὶ τὸ πῦρ φέροντά σε.
Πόνος μὲν ὁ τρύχων με πρὸς τὸ γῆς πλάτος
ὀφθαλμὸν αὐτὸν συγκαθέλκει μοι, κόρη·
ὄψις δὲ τῶν σῶν ἀντανέλκει χαρίτων.
Οὐκ εὐσθενές μοι σωφρονεῖν βλέποντί σε,
καὶ συγκινοῦμαι μᾶλλον εἰς τὸ μὴ βλέπειν,
ὡς μήποτε φλὸξ αὐξάνηται τοῦ πόθου
ὅλην ἔχουσα καὶ τροφὴν τὴν σὴν θέαν·
οὕτως ἄφυκτον τὴν σαγήνην τοῦ πόθου
ἐξ ὀμμάτων σῶν ἔσχες εἰς ἐμὴν ἄγραν.
Ἀκκίσματός σοι πλῆρες αὐτὸ τὸ στόμα,
ἡ χεὶρ δὲ ναρκᾷ πρὸς τὸ σῶσαι συντόμως
τὸν ἁρπαγέντα τῇ σαγήνῃ τῇ ξένῃ.
Οὕτω τυραννεῖς ὃν κρεμώμενον λάβῃς,
οὔτε πρὸς αὐτὴν γῆν ἐνεχθῆναι θέλεις,

οὔτε προσαρπαγέντα σώζεις αὐτίκα.
Ποίαν σοφίαν συγκινήσω καὶ πόθεν
ἐρωτικὰς ἴυγγας εὑρήσω τάλας,
ὡς ἄν σε πείσω καὶ παθεῖν ἀναγκάσω
ἑλκτηρίοις ἴυγξι καρδιοστρόφοις;
Γυνὴ γὰρ εἶ σύ (γνῶθι τὴν σαυτῆς φύσιν),
γυνὴ δὲ πασῶν τῶν καθ' ἡμᾶς καλλίων,
ὡς ἡ σελήνη τῶν προλοίπων ἀστέρων,
τεράστιόν τι πλάσμα φύσεως ξένης,
ὑπερφυές τι χρῆμα θήλεος γένους.
Λίδου τὸ πᾶν· μὴ βάλλε τοῖς λόγοις μόνοις·
ψυχῆς γὰρ ὡς ἔοικεν ἐγκρύπτειν πάθος,
ἀρνητικοῖς βάλλεις με λοιπὸν ἐν λόγοις.
Ἔχουσα δῆθεν εὐμένειαν μετρίαν,
ἐμοὶ προεῖπας, ὡς παρηνοχλημένη,
ἀλγεῖν κεφαλὴν πολλὰ δυσφορουμένην,
σὲ τὴν κεφαλὴν τὴν ἐμοὶ φιλουμένην.
Καὶ καινὸν οὐδέν, ὦ Δρόσιλλα παρθένε·
ἐλθοῦσα καὶ γὰρ εἰς ἄγνωστον χωρίον,
δήμῳ τε πολλῶν ἐμφανισθεῖσα ξένων
ἐπεσπάσω βάσκανον ὀφθαλμὸν τάχα·
πλὴν σήμερόν σε τὴν ἐμὴν νόσον θέλω
ἀπαλλαγῆναι τῆς ἐνοχλούσης νόσου·
ἀλλ' ἡ νόσος μοι καὶ πρὸς ὑγείαν δράμοι,
ὡς μὴ καχεκτοίημεν ἄμφω δυσφόρως.
Λάφνις ὁ παῖς ἐκεῖνος ἀλλὰ καὶ Χλόη
τρισευτυχῶς συνῆψαν αὐτοὺς εἰς γάμον·
Λάφνις ἐκεῖνος ὁ γλυκύς, ποιμὴν μόνον,
οὐ τῶν ἔρωτος ἀδαὴς τοξευμάτων,
φιλούμενος μέν, ἀντιφιλῶν δὲ πλέον,
καὶ μηδὲν εἰδὼς τῶν ἐρώτων τι πλέον·
τῇ παρθένῳ Χλόῃ γὰρ ἐκ τῶν σπαργάνων

ἐρωτικὸν συνῆπτο συμποίμην βρέφος.
Ταύτης ἐρῶν ἦν τῆς καλῆς Χλόης πάλαι,
Χλόης ἐκείνης τῆς ἁπλάστου παρθένου,
ἧς πῦρ μὲν ἦν τὸ βλέμμα τῷ νεανίᾳ,
λόγοι δὲ τόξα, καὶ περιπλοκαὶ βέλη.
Χρυσοῦν γένος πρὸς φίλτρον ἦν τὸ προφθάσαν·
ὁ γὰρ φιληθεὶς ἀντεφίλει μειζόνως·
οὐχ οἷόν ἐστι τοῦτο χάλκειον γένος·
φιλούμενον γὰρ ἀντιφιλεῖν οὐ θέλει.
Ὦ τίς λόγος, τί πρᾶγμα καὶ τίς ἡ φύσις,
ἡμᾶς τυραννεῖν τὰς ἐρώσας παρθένους
βληθείσας ἀντέρωτι δακνοκαρδίῳ;
Ἢ γὰρ πρὸς ἡμῶν οὐκ ἐρῶσι παρθένοι;
Ἐρῶσι, πλὴν γέμουσι τῶν ἀκκισμάτων·
φιλοῦσι, πλὴν τρύχουσι τοὺς φιλουμένους,
ποιοῦσιν αὐτοῖς ἐκκρεμῆ τὴν καρδίαν,
τήκουσιν, αἰαῖ, πρὸ χρόνου τὸ σαρκίον,
αὐτὴν ὀιστεύουσι τὴν ψυχὴν μέσην,
ὡς ἀγχόνη τὸ πρᾶγμα καὶ πέρας βίου
ἔρωτος εἰς τὸ πρᾶγμα δυσφορουμένοις.
Βαβαί, πόσος παρῆλθε καιρὸς ἐν μέσῳ,
καὶ τὴν σιδηρᾶν οὐκ ἔπεισα καρδίαν·
πῶς πολλαχοῦ προσῆλθον, ἀλλ' ἡ παρθένος
ἡ σκληροπετρόστερνος οὐκ ἔνευσέ μοι.
Ἀπόλλυμαι δείλαιος, οἴχομαι τάλας,
εἰ μηδὲ ταῦτα σὴν μαλάξει καρδίαν.
Ἡροῦς ἐρῶν Λέανδρος ὁ τλήμων πάλαι,
ὦμοι, θαλασσόπνικτος εὑρέθη νέκυς,
φεῦ, τοῦ λύχνου σβεσθέντος ἐκ τῶν ἀνέμων.
Ἄβυδος οἶδε ταῦτα καὶ Σηστὸς πόλις.
Πλὴν ἀλλὰ καὶ θάλασσαν εὑρηκὼς τάφον
σύντυμβον αὐτὴν ἔσχε τὴν ἐρωμένην

ἐκ τείχεος ῥίψασαν αὐτὴν εἰς ὕδωρ·
οὗς γὰρ πόθος συνῆψεν εἰς συζυγίαν
τούτους ἐκεῖνος ἦξεν εἰς συντυμβίαν.
Δυστυχὲς ἦν ἐκεῖνο τέρμα τοῦ βίου·
ὡς ὄλβιον κατ' ἄλλον εὑρέθη τρόπον.
συντυμβίαν γὰρ ἔσχεν ἰσοψυχία,
ἓν φίλτρον, ἓν νόημα σωμάτων δύο.
Ὦ πνεύματος σβέσαντος ἀκτῖνας δύο·
ἔσβεστο λύχνος, καὶ συνεσβέσθη πόθος.
Ὦ πνεύματος ῥίψαντος ἀστέρας δύο,
Ἡρώ τε καὶ Λέανδρον, ἐν βυθῷ μέσῳ.
Ὑπέρχεταί μοι σπλάγχνα τῆς μνήμης πόνος·
φλογίζεταί μοι στέρνα πυρὶ τοῦ πόθου.
Οὕτω μὲν οὖν ἐκεῖνος· ἀλλ' ἐγὼ τάλας
οὐ νυκτομαχῶν, οὐ θαλάσσῃ προσπλέων,
ἀποπνιγῆναι κινδυνεύω, φιλτάτη,
ἐκ τῆς κατασχούσης με τοῦ πόθου ξάλης,
εἰ μὴ φθάσῃς σὺ δοῦσα δεξιὰν φίλην.
Σκόπει τὸ ῥηχθέν, ἐννόει μοι τὸν πόθον.
Εὖ οἶδας ὡς γέννημα τοῦ πόθου πόνος.
Ἐμοὶ πύλας ἄνοιγε τῆς σῆς καρδίας,
καταστοροῦσα τὸν κλύδωνα τοῦ πόθου,
καὶ τὸν θαλασσόπλαγκτον ἤδη προσδέχου
σαῖς ἀγκάλαις δήπουθεν, ὡς ἐν λιμένι.
Οὐκ ἀγνοεῖς γὰρ ὡς Πολύφημος πάλαι
ἐρῶν ἐκείνης τῆς Γαλατείας Κύκλωψ
προσεῖλκεν ἀπειθοῦσαν αὐτὴν τὴν κόρην·
τὸ λάσιον γὰρ ἐβδελύττετο πλέον,
φυγοῦσα τὸν φιλοῦντα· πλὴν ἔστεργέ μοι,
μήλοις μόνοις βάλλουσα μικροῖς τὸν μέγαν.
Ὅμως ἐκεῖνος ἀνθυπισχνεῖτο ξένα·
ποθῶν γὰρ αὐτὴν εἰς τὸ πῦρ βαλεῖν ἔφη

καὶ χεῖρας αὐτοῦ καὶ πόδας καὶ κοιλίαν,
ὡς ἐκτεφρῶσαι τὴν λασιώδη τρίχα,
εἰ δυνατὸν δὲ καὶ μέσην τὴν καρδίαν,
εἴ που δοκεῖ καὶ τοῦτο τῇ ποθουμένῃ,
κἀκεῖνον ὅπερ εἶχεν εἰς τὸ φῶς ἕνα
ὀφθαλμὸν εὐρύν, κυκλοσύνθετον, μέγαν.
Οὕτως ἐρῶν προῄκεν. Ἐξελιπάρει
εἰς ἄντρον ἐλθεῖν τὴν Γαλάτειαν Κύκλωψ,
ὅπου νέους ἔφασκε νεβροὺς ἐκτρέφειν
ταύρους τε μύσχους, ἄρνας, ἄλλας ἀγέλας
κύνας τε πολλάς, ἀγρίας, λυκοκτόνους·
καὶ γλυκερὰς ἔφασκεν ἀμπέλους ἔχειν,
καὶ τυρὸν ἐν χειμῶνι καὶ καιρῷ θέρους
ταύλους τε τοῦ γάλακτος ἐκκεχυμένους,
σμήνη μελιττῶν ὑπὲρ ἑξηκοντάδα
καὶ κισσύβια τεχνικῶς γεγλυμμένα
καὶ δορκάδων ἄμετρα δερμάτων σκύτη.
Τούτοις ἔθελγε τὴν Γαλάτειαν Κύκλωψ
ᾄδων μελιχρόν, τῇ θαλάσσῃ προσβλέπων,
σύριγγα πρὸς τὸ χεῖλος εὔτεχνον φέρων·
τούτοις ἔθελγε καὶ προσεξελιπάρει
ὡς ἀνθέλοιτο τὴν ἐς ἄντρον ἑστίαν,
χαίρειν ἀφεῖσα τὸν θαλάττιον βίον.
Σὺ δ' οὔτε νεύεις οὔτε μηνύεις λόγον,
ἀλλ' οὐδὲ προσπαίζοντι συμπαίζειν θέλεις.
Οὐκ ἔστιν ἐν σοὶ μῆλον, οὐ γλυκὺς γέλως
ὁποῖος ἦν τὰ πρῶτα τῆς Νηρηίδος·
τὸ μειδίαμα προσδοκᾷς δέ μοι μέγα
χάρισμα πολλῶν ἀντιδιδόναι λόγων.
Ὡς εὐχαριστῶ τοῦ χαρίσματος, κόρη.
Πένης κόραξ γάρ, ὡς ὁ δημώδης λόγος,
οὖσης ἀνάγκης, συμπορίζεται τάλας

κἂν ἐκ δυσόσμων τὴν τροφὴν ἐντοσθίων.
Σύννευσον ἔνδον ἀμφὶ τὸν ζητοῦντά σε,
ὄψει δὲ πάντως καὶ Πολυφήμου πλέον
Κύκλωπος ἁδρὸν Καλλίδημον ἐν βίῳ.
Ξενοκράτης πρώτιστος ἐν τῷ χωρίῳ·
ὁ Καλλίδημος οὐκ ἄχαρις τὴν θέαν,
τῶν εὐγενῶν εἷς ἐστὶ καὶ τῶν εὐπόρων,
ᾧ συζυγεῖσαν οὐ μετάμελος λάβῃ
τὴν ἐν γυναιξί σε Δρόσιλλαν κοσμίαν.
Βούλει καθιστῶ δῆλα τῷ Ξενοκράτει;
καὶ Καλλιδήμου καὶ Δροσίλλης τοὺς γάμους
λαμπροῖς ἑορτάσειε παστοπηγίοις.
Τί μειδιᾷς νεύουσα πρὸς γῆν ἡσύχως,
ὦ γραῦς ἀγαθή, γραῦς καλή, γραῦς κοσμία;
μέτελθε καὶ σὺ τὴν ἀκαμπῆ παρθένον,
καὶ Καλλιδήμου μισθὸν ἐκλήψῃ μέγαν."

Τούτοις ἐνησμένιζεν ὁ Ξενοκράτους·
ἡ γραῦς δὲ μικρὰν ἐγκοπὴν ποιουμένη
τῆς Καλλιδήμου λαλιᾶς πρὸς τὴν κόρην
"εἰ καὶ Δρόσιλλα μὴ πλανᾶται τῷ βλέπειν"
ἔφασκε, "Καλλίδημε, παῖ Ξενοκράτους,
οὐκ ἄλλον εἰς γῆν ὄψεταί σου καλλίω."

Ἀλλ' οὗτος ἀντέφασκε τῇ κόρῃ πάλιν
"ὑπερβαλόντως ἡδύνεις ὁρωμένη,
ἀνεκλαλήτως ἀλγύνεις κεκρυμμένη.
Λειμὼν χαριτόβρυτος εὑρέθης μόνη·
δοκεῖς δὲ θριγκοὺς πολλαχοῦ συνεισφέρειν.
Καὶ νῦν ἱμερτὴ σὺ τρυγᾶσθαί μοι, κόρη,
ὡς ἀκροπρέμνων ἀναδενδροκαρπίας·
ἄνοιξον οὖν μοι τὰς θύρας τοῦ κηπίου
καὶ δὸς φαγέσθαι καὶ κορεσθῆναι μόλις.
Τίς ἦν ἐκεῖνος τῶν χαμαὶ κινουμένων

χαλκευτικῆς ἔμπειρος, ὃς λαβὼν φλόγα,
Ἡφαιστικὴν κάμινον ἐκκαύσας νέαν
καὶ τῇ πυράγρᾳ καρδίαν συναρπάσας
ἔδειξε χαλκῆν θεὶς μέσον τῶν ἀνθράκων;
Τίς ἦν ὁ βάσας, ὁ στομώσας εἰς φλόγα
τὴν καρδίαν σου τὴν ἀπεσκληρυμμένην;
Ὦ τῶν ἐκείνου δακτύλων δυστεκτόνων.
Φεῦ ἐργοχείρων ἀθλίων δυσδαιμόνων.
Ὦ δεξιᾶς μοι τεκτονευσάσης βάρη,
χαλκευσάσης σὰ στέρνα καὶ τὴν καρδίαν.
Τολμηρὸς ἦν ἐκεῖνος, ὡς Κύκλωψ νέος,
βαρὺς βριαρὸς αἱματωπὸς παμφάγος,
ὃς εἰς ἐμὴν δείλαιος ἀνθρώπων μόνος
πολλὴν ὀδύνην ἐξεχαλκούργησέ σε.
Τίς τὸν θανόντα ζῶντα δεικνύειν ἔχει;
Τίς τὸν πιόντα κόνδυ δηλητηρίου
ᾠδῆς μετασχεῖν φησὶ κηλητηρίου;
Ὅρα νεκρὸν τὸν ζῶντα. Καὶ τί τὸ πλέον;
οὕτως ἀπηνήνω με τὸν φιλοῦντά σε.
Τῆς καρδίας σου τῆς λιθοστερεμνίου.
Ἔρως, Ἔρως δείλαιε, πῦρ πνέων Ἔρως,
ὡς ἄνθρακές με, φεῦ, τὰ πικρά σου βέλη
καίουσιν. Αἰαῖ, μὴ τὸ τόξον πῦρ φέρει;
Φέρει μὲν ὄντως· ἀλλὰ τί δράσειν ἔχεις;
οὐδ' Ἡρακλῆς πρὸς δύο, δημώδης λόγος·
πρὸς τρεῖς δὲ σὺ Χάριτας ἁδροδακτύλους
οἷα βραχὺς παῖς, ἀντιπράττειν οὐκ ἔχων,
ἐκεῖθεν ἔνθεν ἐκδραμὼν κατεσχέθης
καὶ δοῦλος οἷα τληπαθεὶς καὶ προσμένεις·
κἂν καὶ πτερύσσῃ πανταχοῦ γῆς ἐκτρέχων,
ὅπου τὸ κάλλος, ἐκτελεῖς ὑπουργίαν,
αἱ Χάριτες τὸ τόξον ἐκτείνουσί σοι·

τὸν σφῶν ἐκεῖναι δοῦλον ὁπλίζουσί σε,
τὸν δραπέτην ἔχουσι πιστὸν οἰκέτην,
τὸν φυγάδα βλέπουσι προσμένοντά σε.
Ὡς ἠγρίωσαι, κἂν γλυκὺ γελᾷς, Ἔρως.
Ἄφυκτα δεσμὰ συγκροτοῦντά σε βλέπω.
Ὡς ἐξεμάνης, κἂν δοκῇς παίζειν θέλειν.
Ἔχων δὲ χεῖρας εἰς τὸ βάλλειν εὐτόνους
πλήττεις ἀφειδῶς· οὐ γὰρ ἡ τεκοῦσά σε
τῆς σῆς διέδρα τοξικῆς τὰ κεντρία.
Τὴν Νιόβην κλαίουσαν ἀγροῖκος βλέπων
ὦ πῶς ῥέει δάκρυον εἶπε καὶ λίθος·
ἡμᾶς δὲ σὸς νῦν ἔμπνοος λίθος, κόρη,
οὐδὲ βραχὺ στένοντας οἰκτείρειν θέλει.
Ὡς ἐν σκοπῷ μοι τόξον ὤφθης ἀθρόον,
ὑπερφερὴς σὺ παρθένων ἐγχωρίων.
Τοῦ σοῦ δὲ κάλλους ἂν συνέστηκε κρίσις,
ἡ Κύπρις οὐκ ἔτυχε πρωτείου πάλιν,
κἂν ὁ κριτὴς ἐκεῖνος ἦν ὧδε κρίνων
ἐρωτόληπτος ξανθοβόστρυχος Πάρις.
Σοὶ μαλθακὸν φίλημα, πλέγμα βοστρύχων,
ἡ τῶν μελῶν σου συμπλοκή, τὰ πάντα σοι·
ψυχὴ δ' ἀπειθὴς καὶ νοητὸς ἀδάμας.
Μέσον κακοῦμαι Παφίης καὶ Παλλάδος·
τίς Ταντάλειον δίψος ἰσχύει φέρειν;
Καὶ τοῦ Διὸς δὲ νῦν κατήγορος μένω
ὡς ἀνεράστου, μὴ καταβεβαμένου
πρὸς τὴν καθ' ἡμᾶς εὐπρεπεστέραν κόρην
Λήδας Δανάης Γανυμήδους Εὐρώπης.
Σοὶ καὶ ῥυτὶς μολοῦσα τῷ χρόνῳ μόλις
ἦβης ὁποῦ πρόκριτος, ὡς ἐγὼ κρίνω·
σὸν φθινόπωρον κρεῖττον (ἢ ποῖος λόγος;)
ἔαρος ἄλλης, σὸς δὲ χειμὼν καλλίων

ὑπωροφυοῦς εὐκραοῦς ἄλλου θέρους.
Ἀλλ' ἐκδυθείης μέχρις αὐτοῦ σαρκίου
καὶ γυμνὰ γυμνοῖς ἐμπελάσειας μέλη·
ἐμοὶ δοκεῖ γὰρ καὶ τὸ λεπτόν σου φάρος
τεῖχος Σεμιράμιδος. Ὡς γένοιτό μοι."
Τοσαῦτα λέξας εἰς τὸν οἶκον ἐστράφη,
τὴν γραῦν ὑπαδὸν λιπαρῶν ἐκ νευμάτων
ὡς τὴν κόρην πείσειεν ἐνδεδωκέναι·
ἡ καὶ λαβοῦσα τὴν κόρην ὡδοιπόρει·
ἡ νὺξ γὰρ ἠνάγκαζεν ἀνθυποστρέφειν.
Ὁ γοῦν Χαρικλῆς ἐν Ξενοκράτους μένων
πρὸς ὄρθρον ἀντέφασκε ταῖς χελιδόσι
"πᾶσαν μὲν ἤδη νύκτα γρηγορῶν μένω·
εἰ δ' ὄρθρος ἥξει μικρὸν ὕπνον ἐγχέων,
χελιδόνες τρίζουσιν, οὐκ ἐῶσί με.
Παύου, κακῶν κάκιστον ὀρνέων γένος.
Οὐκ αὐτὸς ἐξέκοψα μίξεως φόβῳ
τὴν Φιλομήλας γλῶτταν, ὡς μή τι φράσοι.
Ἀλλ' εἰς τραχεῖαν καὶ στυγνὴν ἐρημίαν
τὴν Ἴτυος ναὶ συμφορὰν θρηνεῖτέ μοι,
ὡς μικρὸν ὑπνώττοιμι· καὶ κοιμωμένῳ
ὄνειρος ἦκοι, χερσὶ τῆς ποθουμένης
ἴσως με τὸν ποθοῦντα συμπλέκειν θέλων.
Τιθωνέ, γηρᾷς· τὴν γὰρ Ἠῶ, τὴν φίλην
σὴν εὐνέτιν, ἤλασας ἐκ τοῦ σοῦ λέχους."
Ὧ καὶ πρὸς ὕπνον αὖθις ἐκνενευκότι
καὶ καλλίμορφος Διόνυσος ἐγγίσας
δηλοῖ μένειν Δρόσιλλαν ἐν τῷ χωρίῳ
εἰς τὸ γραὸς δόμημα τῆς Μαρυλλίδος,
καὶ τῆσδε συζήτησιν αὐτῷ προτρέπει.

Z

Ἤδη μὲν ὄρθρος καὶ κροκόχρως ἡμέρα,
καὶ φῶς ἐναργὲς πανταχοῦ κεχυμένον
ἐκ τοῦ μεγίστου καὶ διαυγοῦς ἀστέρος
ἐξ ὠκεανοῦ προσβαλόντος τῇ κτίσει,
ὡς ἡ σοφὴ ποίησις ἥδιστα γράφει,
σύμμετρα θερμαίνοντος ἐξ ὑψωμάτων
ὀρῶν κορυφὰς καὶ δασυσκίους πόδας
εἰς εὔγονον βλάστημα καὶ τέρψιν βίου·
ἀνίσταται δὲ καὶ Χαρικλῆς ἐξ ὕπνου,
πλήρης χαρᾶς, πλήρης δὲ καὶ θυμηδίας,
καὶ τοῦ δόμου πρόεισι τοῦ Ξενοκράτους,
λαβὼν μετ' αὐτοῦ καὶ Κλέανδρον τὸν φίλον.
Ἡ γραῦς δὲ λοιπὸν δακρύουσαν ὀρθρόθεν
παρηγορεῖσθαι τὴν κόρην πειρωμένη,
ἔφασκε "δεῦρο, τέκνον, ἐξάγγελλέ μοι·
πόθεν τίνος σὺ καὶ πατρὶς τίς καὶ πόλις,
τίς ὢν Χαρικλῆν ἐγκαλουμένη στένεις;
Πενθεῖς δ' ἀγεννῶς καὶ στενάζεις ἀφρόνως,
τὸν Καλλιδήμου γάμον οὐ δεδεγμένη,
ὃς ὑπὲρ ἄλλους τοὺς κατοίκους ἐνθάδε
ὡραῖός ἐστι καὶ τέθηλε χρυσίῳ.
Οὐκ εὖ γε ποιεῖς, ὦ πένησσα καὶ ξένη,
εἰ Καλλίδημον εὐγενῆ νεανίαν
οὐκ ἄξιόν σοι συμμιγῆναι νῦν κρίνεις."
Τῆς δὲ Δροσίλλης τοῦ λαλεῖν ἀπηργμένης
"μαθεῖν ἐπεὶ ζητεῖς με, μῆτερ, τὴν ξένην
τὰ κατ' ἐμαυτὴν καὶ τὰ τοῦ Χαρικλέους"
ἤκουσεν ὁ Κλέανδρος, ἔστη τοῦ δρόμου·
ἡ γὰρ Χαρικλοῦς κλῆσις ἔσχε τὸν νέον
ἔμπροσθεν ἐκτρέχοντα τοῦ Χαρικλέους·

καὶ "δός, Χαρίκλεις, τῆς χαρᾶς τὰς ἐγγύας
ἐμοὶ Κλεάνδρῳ συνταλαιπωροῦντί σοι"
στραφεὶς πρὸς αὐτόν φησι τὸν Χαρικλέα,
ὃν καὶ κατεξέπληξεν αὐτῷ τῷ λόγῳ,
ὃν καὶ κατεθρόησε τῇ φωνῇ μόνῃ.
Ἐντεῦθεν ἀντιδόντες ἀλλήλοις χέρας
ἄφνω παρεμβάλλουσιν αὐτῇ τῇ στέγῃ,
ἧς ἔνδον ἡ γραῦς, ἡ φίλοικτος καρδία,
μετὰ Δροσίλλης ἐμπαθῶς προσωμίλει.
Φωνὴ μεταξὺ χαρμονῆς καὶ δακρύων,
χειρῶν κρότος, θροῦς καὶ φιλημάτων κτύπος,
ἄμετρος ὄμβρος ἐκραγεὶς τῶν ὀμμάτων,
πρὸς τὸν Σεμέλης φθόγγος εὐχαριστίας,
καλοὶ μὲν εἰς γραῦν ἐκ Χαρικλέος λόγοι
ὑπὲρ Δροσίλλης τῶν φιλοξενημάτων,
πολλὴ δὲ πρὸς Κλέανδρον εὐχαριστία
ἀπὸ Δροσίλλης τῆς ἀρίστης παρθένου
τῶν πρὸς Χαρικλῆν συγκακοπραγημάτων.
Τοιοῦτος ἦν θροῦς ἐν μέσῳ τῶν τεσσάρων
σύμμικτος ὄντως χαρμονῆς καὶ δακρύων.
Οὐ μὴν ὁ Καλλίδημος ἠγνόησέ τι.
Ἀποσκοπῶν οὖν καθ' ἑαυτὸν ἀφρόνως
δράσειν φόνιον ἔργον εἰς Χαρικλέα
ἀτραυματίστως, οὐ καθημαγμένως,
ὡς εὐστοχήσοι τῆς Δροσίλλης τὸν γάμον,
ἔλαθεν αὐτῷ τὸν βρόχον παραρτύων.
Ὡς εἶδε δ' αὖθις γνόντα τὸν Χαρικλέα
τὴν τῆς κόρης ἄφιξιν ἐν τῷ χωρίῳ
πρὸ τοῦ προβῆναι τὸν σκοπούμενον δόλον,
ἀπαυθαδίσας ἐξ ἐρωτομανίας
πρὸς ἁρπαγὴν ὥρμησε ληστικωτέραν·
οὐκ αἰσχύνην γὰρ οἶδε πολλάκις ἔρως.

Σκοπῶν δὲ νυκτὸς ἀμφὶ τὴν ἐρημίαν
ἐπεισπεσεῖν ἄγνωστα τοῖς νεανίαις,
ἔχων σὺν αὐτῷ καὶ συνήλικας νέους,
ὡς δῆθεν αὐτὴν τὴν κόρην ἁφαρπάσων
(εἰς γὰρ ἀπόπλουν ηὐτρέπιζεν ὁλκάδα),
ἀντὶ φλογὸς μὲν ἦν ἀνῆπτον οἱ πόθοι,
πρηστήριον πῦρ εἶχε τριταίου τρόμου,
ἀνθ' ὁλκάδος δὲ τῆς ἀποπλευσουμένης
ἔσχηκεν αὐτὸν ἡ ταλαίπωρος κλίνη,
ἀντὶ δρόμου δὲ τοῦ πρὸς ἄλλο χωρίον,
μακρὰν ποδῶν εὕρηκεν ἀκινησίαν.
Ὁ γοῦν Χαρικλῆς εἶχεν οὐδένα κόρον
τῶν τῆς Δροσίλλης ἐνδρόσων φιλημάτων·
εἰ γὰρ φιλεῖν τις τὴν ποθουμένην λάβοι,
ἄπληστός ἐστιν ἐν μέσῃ τῇ καρδίᾳ
τὴν ἡδονὴν ῥέουσαν εὐκόλως ἔχων·
τὸ χεῖλος οὐκοῦν ἐστὶν ἐξηραμμένον
τοῦ γλυκύτητα μετρίαν κεκτημένου,
τῆς ἡδονῆς ἐκεῖσε συγκενουμένης.
Ἀπαλλαγέντων τοίνυν ἐκ φιλημάτων,
ἡ γραῦς Μαρυλλὶς ἀντένηψε καὶ λέγει
"τέκνον Χαρίκλεις, εὖ μὲν ἦλθες ἐνθάδε
εὑρὼν Δρόσιλλαν ἐκ θεῶν σεσωσμένην,
ἣ μέχρι καὶ νῦν οὐκ ἔληξε δακρύων
καὶ τῶν χάριν σοῦ πενθικῶν ὀδυρμάτων·
ὡς εὖ μὲν ἦλθες (τοῖς θεοῖς πολλὴ χάρις
τοῖς μέχρις ἡμῶν ὑγιᾶ σεσωκόσι
καὶ τῇ ποθούσῃ δεῦρο συμμίξασί σε)
ὡς εὖ μὲν ἦλθες, τέκνον, εὖ δὲ καὶ λέγοις
ὅπως μὲν εἰς σύμπνοιαν ἦλθετον μίαν,
ποία δὲ πατρὶς καὶ τὰ τοῦ πόθου πόθεν,
τίς δ' οὗτος ὁ Κλέανδρος αὐτὸς ὁ ξένος,

ποίῳ δ' ἀπεξεύχθητον ἀλλήλων λόγῳ
καὶ νῦν ἐπεγνώσθητον ἀλλήλοις πάλιν.
Ἔμελλε πάντως τοῦ λέγειν ἀπηργμένη
ἡ παρθένος μοι ταῦτα διεξιέναι,
ναὶ καὶ καθ' εἱρμὸν πάντα τετρανοκέναι
πρὸ τοῦ σὲ τὸ στέγασμα κατειληφέναι."
"Ἐπωδύνως οὖν καὶ μετὰ στεναγμάτων
(ἦ πῶς γὰρ)" ὁ Κλέανδρος εἶπεν "εὖ λέγοι;"
"Ἐπεὶ δὲ σύ μου τὴν στέγην, χρυσῆ τύχη,
ἔδυς, θεῶν ἔκ τινος ὡδηγημένος,
ὡς ἂν μικρὸν λήξειε τῶν ὀδυρμάτων
ἡ νύκτα δακρύουσα καὶ μεθ' ἡμέραν,
λέγοις ἂν ἡμῖν σὴν ἄφιξιν ἐνθάδε
καὶ τὴν Ἔρωτος μυστικὴν εὐτολμίαν
μεθ' ἡδονῆς πάντως τε καὶ προσχαρμάτων.
Τί γὰρ τὸ λυποῦν τὴν Δρόσιλλαν εἰσέτι
ἢ τὸ θλίβον τί, σοῦ, Χαρίκλεις, ἐγμένου;
Ὡς γὰρ ἀπόντος ἐστέναζεν, ἐδρύει,
ἔκλαιε πικρῶς, ὠλόλυζε βαρέως,
οὕτω παρόντος, ὦ θεῶν σωτηρίων,
πάντων κρατούσης τῆς χαρᾶς συνημμένων,
εὔχρηστον οἶμον ἡ διήγησις λάβοι.
Καθηδυνεῖς δὲ καὶ πλέον τὴν παρθένον,
σοῦ γλυκεροῦ στόματος ἠνεῳγμένου,
τὸν ἐξ ἐκείνου φθόγγον ἠνωτισμένην·
θάλψεις δὲ κἀμὲ συμπαθεῖν ἐγνωσμένην
οἷς μέχρι δεῦρο δυσχερῶς ἐπλημμέλει."
"Ὡς ἤθελον πρώτην μὲν αὐτὴν τὴν κόρην,
φίλον Μαρυλλίδιον, ἠρωτηκέναι"
ἔφη Χαρικλῆς "πῶς σέσωσται καὶ μόνη,
πεσοῦσα πρὸς θάλασσαν ἐξ ὕψους ὄρους.
Ὡς νῦν ἐγὼ καὶ θάμβος ἡλίκον φέρω,

εἰ μὴ Δροσίλλαν φασματούμενος βλέπω·
ἐπεὶ δὲ σὸν θέλημα, γραῦ, μὲ νῦν λέγειν
ἡμῶν τοσαύτας τληπαθεῖς περιόδους
εἰς ἀνταμοιβὴν τῶν φιλοφρονημάτων,
ἄκουε· πῶς γὰρ καὶ παραγκωνιστέον
τὴν τῆς τοσαύτης αἰτίαν θυμηδίας
ἐμοί, Δροσίλλῃ καὶ Κλεάνδρῳ τῷ ξένῳ;
Εὖ δ' ἴσθι· πατρίς ἐστιν ἡμῶν ἡ Φθία·
μήτηρ ἐμοὶ μὲν Κρυστάλη, πατὴρ Φράτωρ,
τῇ δὲ Δροσίλλῃ Μυρτίων, Ἡδυπνόη.
Ταύτην ἑορτὴν ἐντελῶς τελουμένην
τοῦ τῆς Σεμέλης καὶ Διὸς Διονύσου
ἔξω παρ' αὐταῖς ταῖς πύλαις τῆς πατρίδος
συνεξιοῦσαν ἁπαλαῖς σὺν παρθένοις
ἰδὼν ἑάλων· οὐδὲ γὰρ μέμψις, γύναι,
ὁρῶντα ταύτης τοῦ προσώπου τὴν θέαν·
εἰς γὰρ τοσοῦτον συρρέον πλῆθος τότε
οὐκ ἦν ἰδέσθαι τῆς Δροσίλλης καλλίω.
Ἅλους προσεῖπον καὶ προσειπὼν ἠξίουν
ἐμαυτὸν αὐτῇ τῇ φυγῇ μεθαρμόσαι.
Ἔνευσεν ἀντέρωτα πάσχουσα ξένον·
καὶ ναῦν ἀποπλέουσαν ἐξευρηκότες,
χαίρειν ἀφέντες συγγενεῖς καὶ πατρίδα
ὁμοῦ συνεισέδυμεν εἰς τὴν ὁλκάδα.
Πλὴν ἀλλὰ μικρὸν καὶ πλέοντες εὐδρόμως
ἤλωμεν οὕτως ἀπροόπτως ἀνδράσιν
τοῖς ναυτικῇ χαίρουσι τῇ λῃστηρίῳ,
ὧν χεῖρας ἐκφυγόντες ὀψὲ καὶ μόλις,
σεσώσμεθα κρυβέντες εἰς μέσην ὕλην
καὶ Βάρζον εἰσέδυμεν ἄστυ σὺν δρόμῳ.
Ὃ καὶ συνεξέδυμεν ἐκτελουμένης
κἀκεῖ μεγίστης τοῦ Διὸς πανδαισίας,

ἐμπίπτομεν δὲ Παρθικῇ στρατηχίᾳ
θήραμα καινόν· καὶ δεθέντες αὐχένας
εἰς τὴν ἐκείνων ἀνταπήχθημεν πόλιν.
Ἐκεῖσε πολλῶν ἡμερῶν περιδρόμους
μετὰ στεναγμῶν ἐκμετρήσαντες πόσων
καὶ τὸν καλὸν Κλέανδρον ὃν βλέπεις, γύναι,
προαιμαλωτισθέντα χειρὶ βαρβάρων
συνοικέτην κάλλιστον ἐξευρήκότες
(καὶ γὰρ φυλακῆς εἴδομεν παρ' ἐλπίδα
δούλειον ἦμαρ, ἀλλοφύλους δεσπότας
καὶ δυστυχεῖς ἔρωτας ἀλλὰ καὶ πόσους)
συνηχμαλωτίσθημεν αὖθις ἐκ τρίτου
Ἄραψι, Πάρθων κατατετροπωμένων.
Τοίνυν λαχόντες δέσμιοι, παρηγμένοι
ὁδὸν διελθεῖν πανταχοῦ στενουμένην
ἐκ τῆς δασείας καὶ συνηρεφοῦς ὕλης
ἠγωνιῶμεν, ἄλλος ἄλλον ἐκράτει,
ποιούμενοι δίκαιον εὔλογον φόβον
μὴ κατολισθήσαντες ἐκ κρημνισμάτων
σχοίημεν αὐτὴν τὴν θάλασσαν εἰς τάφον·
ὃ καὶ πέπονθεν ἡ παροῦσα παρθένος,
ἣν ζῶσαν, ὦ Ζεῦ καὶ θεοὶ πάντες, βλέπω.
Ὁ κύριος γοῦν Ἀράβων ἄναξ Χάγος
θρηνοῦντα νύκτωρ μανθάνων με τὴν κόρην
μετὰ Κλεάνδρου τοῦ παρόντος εὐθέως
ἐλευθεροῖ, σχὼν οἶκτον ἡμῶν τοῦ πάθους·
οὗ καὶ τὰ συμφέροντα πάντα τῷ βίῳ
τὴν τῶν θεῶν πρόνοιαν ἐξητηκότες
ἀπηλλάγημεν δουλικῆς ζεύγλης βάρους.
Ἐγγίζομεν δὲ δωδεκαταίῳ φάει
μόλις παρ' αὐτοῦ τῇ στέγῃ Ξενοκράτους·
ἐμέλλομεν δὲ σήμερον τὸ χωρίον

παρὰ βραχὺ λιπόντες ἀλλαχοῦ τρέχειν
(τρεῖς γὰρ διηνύκειμεν ἐν Ξενοκράτους
πρὸς παῦλαν ἄχθους ἡμερῶν περιδρόμους),
εἰ μὴ θεῶν ὄνειρος ἐξαπεστάλη,
ἢ μᾶλλον οὐκ ὄνειρος, ἀλλὰ προφθάσας
ὁ καλλίμορφος παῖς Διὸς καὶ Σεμέλης
ἐπέσχεν εἰπὼν 'μὴ πρόβαινε μηκέτι,
ἕως Δρόσιλλαν, ἣν ἰδεῖν ζῶσαν θέλεις,
θρηνοῦσαν εὕρῃς οὖσαν ἐν τῷ χωρίῳ.'
Τὰ γοῦν καθ' ἡμᾶς, ὥσπερ ἤτησας, γύναι,
ἔχεις μαθοῦσα· πλὴν τὰ λοιπὰ τοῦ λόγου
αὐτὴν ἐρωτᾶν ἀξιῶ τὴν παρθένον,
πῶς ἔσχεν εἰς θάλασσαν ἐξερριμμένη
ἐνταῦθα πάντως πρός σε κατειληφέναι
αὐτῇ φανεῖσαν δευτέραν Ὑδυπνόην."
"Ἐμοί, Χαρίκλεις, κἂν ὁ βάσκανος μίτος"
ἔφη Δρόσιλλα "τῆς ἀλάστορος τύχης
ἀεὶ τὰ λυπρὰ συμπερικλώθειν θέλῃ,
ἀλλ' ἡ θεοῦ πρόνοια τοῦ σωτηρίου,
ὃν καὶ συνεργὸν τῆς καθ' ἡμᾶς ἀγάπης
ἐπευτυχοῦμεν (ἀλλὰ μὴ λήγοις, ἄναξ,
τὴν λειπόπατριν συμφυλάττων, ὡς θέλεις),
ἀεὶ τὰ χρηστὰ βούλεται συνεισφέρειν,
ἥτις πεσοῦσαν (ὢ παλαμναίου κλάδου,
τοῦ χεῖρα συλλαβόντος ἐκ τῆς ἀγκάλης
καὶ πρὸς βυθὸν ῥίψαντος ἐξ ἕδρας μέσης)
ἔσωσε πέτραις πολλὰ προσκεκρουμένην
τὰ στέρνα καὶ τὰ σπλάγχνα καὶ τὰς ὠλένας."
(Καὶ συγκεκυφὼς προσλαλούσῃ τῇ κόρῃ
λευκοὺς ἐρυθροὺς κρυσταλώδεις δακτύλους
ταύτης Χαρικλῆς κατεφίλει δακρύων.)
"Τίς χερσίν, ἃς σὺ νῦν φιλεῖς καὶ κατέχεις,

τὸν φλοιὸν ἐντέθεικε καὶ δέδωκέ μοι
τοιοῦτον εὐρὺν καὶ παρεκτεταμένον,
ὡς θᾶττον εἰς γῆν ἐμβαλεῖν σεσωσμένην;
Ὦ χαῖρε χαῖρε, Διόνυσε, γῆς ἄναξ,
ὅστις με πολλῶν ἐξέσωσας κινδύνων
καὶ μεῖζον ἄλλο δῶρον ἀντεχαρίσω.
Ὃν ἐν νεκροῖς ἤλπιζον ἐν ζῶσι βλέπω."
Καὶ συμπλακέντες τῷ μεταξὺ τῶν λόγων
ὡς κισσὸς εἰς ὀρῦν ἀντεφίλουν ἀσμένως.
Οὕτω δυσαπόσπαστον εἶχον τὴν σχέσιν,
ὡς καὶ δόκησιν ἐμβαλεῖν Μαρυλλίδι
καὶ σῶμα πάντως ἓν γενέσθαι τοὺς δύο,
οἳ τῷ προλαλεῖν ἦλθον εἰς ψυχὴν μίαν.
Τοιοῦτός ἐστι πᾶς ἐρῶν πόθου πνέων·
καὶ γὰρ κατιδὼν ἦν ποθεῖ μετὰ χρόνον
ἄπληστα φιλεῖ πρὸς τὸ λῆξαι τοῦ πόθου.
Μόλις Χαρικλῆς ἄρτι νήψας ἀντέφη
"ἀλλ' ὦ τοσοῦτον ὥστε μὴ σθένειν λέγειν
ὦ φῶς ἱμερτόν, ὦ πνοὴ καὶ καρδία,
πῶς τὴν τοσαύτην καὶ διήνυσας τρίβον
καὶ πρὸς τὸ παρὸν ἔσχες ἐλθεῖν χωρίον;"
"Ἐκεῖνος αὐτὸς" εἶπεν αὖθις ἡ κόρη
"ἐλθεῖν καθωδήγησεν εἰς τὸ χωρίον
ὁ καὶ θαλάσσης πλημμυρούσης ἁρπάσας
καὶ τὸν Χαρικλῆν ζῶντά μοι δοὺς νῦν βλέπειν."
Τούτοις Μαρυλλὶς προσχαρὴς δεδειγμένη
ἔφησεν "ὡς καινόν τι δέρκομαι, ξένοι.
Καὶ γραῦς μὲν εἰμὶ καὶ προβᾶσα πρεσβύτις,
χρηστῶν δὲ πολλῶν καὶ κακῶν ἴδρις ἔφυν·
πλὴν ἀλλὰ γὰρ τοσοῦτον οὐκ ἔγνων πόθον
οὐδ' εἶδον οὕτως εὐφυῆ συζυγίαν
ἐλθοῦσαν εἰς μέθεξιν οἰκτρῶς ἐκ νέου

οὐ καρτερητῶν ἀλλεπαλλήλων πόνων.
Καὶ τὴν μέν, ὦ Ζεῦ, παρθένον τηρουμένην,
καὶ ταῦτα δούλην πολλάκις δεδειγμένην,
τοὺς ἐμμανεῖς ἔρωτας ἐκπεφευγέναι,
τὸν δὲ πρὸς αὐτὰ βαρβάρων γυμνὰ ξίφη
ὡσεὶ θέρους ἄγρωστιν ἐμπεπτωκότα
ἐν ζῶσιν εἶναι καὶ συνεῖναι τῇ κόρῃ
ταύτης λαχόντα τὴν διάξευξιν πάλαι,
θεοῦ λέγεις τὸ πρᾶγμα, καὶ καλῶς λέγεις,
σῶφρον Δρόσιλλα. Καλλίδημος ἐρρέτω.
Οὓς γὰρ θεὸς συνῆψε τίς διασπάσοι;"
Ἔφησε ταῦτα καὶ τράπεζαν εἰς μέσον
τέθεικεν "ὑμῖν συγχαρήσομαι, ξένοι,
τὴν σήμερον" λέγουσα "(συμπάρεστί μοι)
καὶ συγχορεύσω τῷ θεῷ Διονύσῳ
παθόντας οἰκτρὰ προσφυῶς ἡνωκότι."
Οὗτοι μὲν οὖν ἐντεῦθεν ἡσχολημένοι
τροφαῖς κρατῆρσιν ἀμφεγάνυυντο πλέον·
ἡ γραῦς δὲ (καὶ γὰρ προσχαρὴς ἦν τὴν φύσιν)
ὅλη φανεῖσα τῆς χαρᾶς καὶ τοῦ πότου
ἤγερτο λοιπὸν τῆς καθέδρας ὀρθία
καὶ πρὸς τὸ πρᾶγμα δῆθεν ἐσκευασμένη,
λαβοῦσα χειρόμακτρα χερσὶ ταῖς δύο
ὄρχησιν ὠρχήσατο βακχικωτέραν,
φθόγγον κορύζης οὐ μακρὰν ποιουμένη
χαρᾶς τελεστὴν καὶ γέλωτος ἐργάτην.
Ἔσφαλλε μέντοι θαμὰ συγκινουμένην
τὸ συνεχὲς λύγισμα τὴν Μαρυλλίδα,
πίπτει δὲ πάντως ἡ ταλαίπωρος κάτω
τῷ συμποδισμῷ τῶν σκελῶν τετραμμένη·
ὑψοῖ δὲ θᾶττον εἰς κεφαλὴν τοὺς πόδας,
καὶ τὴν κεφαλὴν ἀντερείδει τῇ κόνει.

Τοῖς συμπόταις ἐπῆρτο μακρός τις γέλως.
Οὕτως ἐκείνη συμπεσοῦσα κειμένη
ἡ γραῦς Μαρυλλὶς ἐξεπόρθησε τρίτον
τῷ συμπίλησιν τῆς κεφαλῆς μὴ φέρειν.
Οὔκουν ἐπεξήγερτο· μὴ γὰρ ἰσχύειν
ἔφασκεν ἡ τάλαινα, καὶ προκειμένη
τὰς χεῖρας αὐτῆς ἀντεφήπλου τοῖς νέοις.
Ἀλλ' ὁ Κλέανδρος συγκατασχεῖν οὐκ ἔχων,
ἐξυπτιάσας τῷ γέλωτι καὶ μόνος
ὡς ἡμιθνὴς ἔκειτο πυκνὸν ἐμπνέων.
Τί γοῦν Χαρικλῆς; τῶν γελώτων ἐν μέσῳ
καλῆς ἀφορμῆς τῷ δοκεῖν δεδραγμένος,
ἐπεισκεκυφὼς τῷ Δροσίλλης αὐχένι
ἐπεγγελάσων τῇ καλῇ Μαρυλλίδι,
οὐκ εἶχε πάντως τῶν φιλημάτων κόρον,
τῶν χειλέων ἐκεῖσε προσκολλωμένων.
Πλὴν ἀλλ' ἀναστὰς ὁ Κλέανδρος καὶ μύλις
ἔδειξεν εὐθὺς τὴν πεσοῦσαν ὀρθίαν,
οἶμαι, πτοηθεὶς ἐκ προσυμβεβηκότων
ὡς μή τι γ' αὖθις ἐκφορήσοι καὶ κόπρους
ἢ τὴν κεφαλὴν ἀλοηθῆ κειμένη,
μισθὸν λαβοῦσα τῶν φιλοξενημάτων
τὴν θρύψιν αὐτὴν ἐν πόνοις τοῦ κρανίου.
Ἦ καὶ συνιζήσασα τοῖς νέοις ἔφη
"μὰ τοὺς θεούς, ὦ τέκνα, ναὶ σκοπεῖτέ μοι·
ἐξ οὗ καλὸς παῖς τῆς Μαρυλλίδος Χράμος
τέθαπτο (καὶ γάρ ἐστιν ὄγδοος χρόνος),
οὐκ ἦλθον εἰς γέλωτας, οὐκ ὠρχησάμην·
ὑμῖν δὲ ταῦτα λοιπὸν ἐξ ἐμοῦ χάρις·
παισὶ πλανηθείς φασι καὶ γέρων τρέχει."
"Μὰ τὸν σὸν υἱὸν" ἀντέφησαν οἱ νέοι
"ἤδυνας ἡμᾶς, ὦ Μαρυλλὶς κοσμία,

ἄλλοις τε πολλοῖς καὶ τροφῇ σῇ καὶ πόσει·
ὄρχημα δ' οὖν σὸν καὶ τέχνη λυγισμάτων
καὶ σῶν ποδῶν κίνησις εὐτονωτέρα
καὶ πυκνὸν ἀντίλοξον εὔστροφον τάχος
ὑπὲρ τροφὴν ἤδυνεν, ὑπὲρ τὴν πόσιν,
ὑπὲρ τράπεζαν τὴν πολυτελεστάτην,
ὑπὲρ φιάλην τὴν ὑπερχειλεστάτην.
Καὶ καινὸν οὐδέν, μῆτερ, ὄντως εἰργάσω·
ἡμεῖς δὲ κἂν γέροντες ἦμεν τρισσάκις,
συμμετριάζειν οὐκ ἂν εἴχομεν φόβον,
πάντως τὰ λῷστα τῶν θεῶν δωρουμένων."
Τοιαῦτα πρὸς γραῦν εἶπον οἱ νεανίαι,
καὶ τῆς τραπέζης ἐκ ποδῶν τεθειμένης
ὁ μὲν Κλέανδρος εἰς τὸν ὕπνον ἐκλίθη,
ἡ γραῦς δὲ λοιπὸν ἔνθεν ἀντανεκλίθη.

Η

Ὁ γοῦν Χαρικλῆς χεῖρα δοὺς τῇ παρθένῳ
εὐθὺς μετ' αὐτῆς ἦλθεν εἰς τὸ κηπίον
ἐγγύθεν ὄν· προβὰς δὲ μικρὸν ἱστόρει
τὰ δένδρα, τὴν ὀπώραν, ἄνθη ποικίλα,
καλόν τι χρῆμα τοὺς ὁρῶντας ἡδύνον.
Καὶ δὴ συνιζήσαντες ὑπὸ μυρρίνην
συνῆλθον ἄμφω πρὸς λόγου κοινωνίαν.
Καὶ "τίς, φίλον μέλημα" Χαρικλῆς ἔφη,
"ὃν εἶπε Καλλίδημον ἡ γραῦς ἐν πότῳ;
μή σου κατηξίωτο βασκάνῳ τύχῃ
κατατρυφῆσαι καλλονῆς ἀσυγκρίτου,
δεινὸς βιαστὴς καὶ τύραννος ὠμόνους;

μή τις τὸ πῦρ ἔφθασεν ἐγκατασβέσαι,
ὃ πρὸς Χαρικλῆν ἔσχες ἐν ψυχῇ βάθει;
ὦ ὦ ποθεινὸν ὄμμα, μὴ σύγκριπτέ τι·
πρὸς γὰρ Χαρικλῆν ἐξερεῖς, οὐ πρὸς ξένον."
"Πῶς εἶπας; Εὐφήμησον" ἀνταπεκρίθη
πρὸς τὸν Χαρικλῆν ἡ Δρόσιλλα παρθένος,
"ἄνερ Χαρίκλεις· ναὶ γὰρ εἶ σὺ καὶ μόνος
ἀνὴρ ἐμός· καὶ τοῦτο μὴ ψευδὴς λόγος.
Παρεσφάλη σοι τὸ φρονοῦν καὶ τὸν κρίνον
ἐκ τῆς περισχούσης σε μακρᾶς ἀνίας·
καὶ γὰρ παρακόπτουσι λῦπαι καὶ φρένας.
Ἦ γάρ, πάτερ Ζεῦ καὶ θεῶν γερουσία,
εἰ μὴ Δρόσιλλα μέχρι καὶ νῦν παρθένος,
τὸ πρᾶγμα πάντως ἐξελέγξει καὶ μόνον.
Οἷος λόγος, κάλλιστε Χαρίκλεις ἄνερ,
τὸ τῶν ὀδόντων ἕρκος ἐξέφυγέ σου.
Ἐρῶ δέ σοι· καὶ μάρτυς ἔστω τοῦ λόγου
ὁ τοῦ Διὸς παῖς, ὃς πρὸ τῆς χθὲς καθ' ὕπνον
δηλοῖ παραστὰς κειμένῃ κοιμωμένῃ
τὴν σὴν κατασκήνωσιν εἰς Ξενοκράτους,
οὗ προσταγῇ πεισθεῖσα (πῶς γὰρ οὐκ ἔδει;)
πολλῆς χαρᾶς πλησθεῖσα γραῖαν ἠρόμην
εἴ τις παροικεῖ πανδοχεὺς τῷ χωρίῳ.
Δηλωσάσῃ πάντως δὲ τὸν Ξενοκράτην
ταύτῃ πρὸς αὐτοῦ τοὺς δόμους συνειπόμην.
Εἰδυῖα δ' αὕτη καὶ πρὸ τῆς σῆς παρθένου
τὸν Καλλίδημον παῖδα τοῦ Ξενοκράτους,
ἐλθεῖν πρὸς ἡμᾶς ἱκέτευε τὸν νέον,
ὡς ἐκπυθέσθαι σὴν ἔλευσιν ἐνθάδε·
οὐ γὰρ συνεισέδυμεν ἄμφω τὴν στέγην·
καὶ τοῦτο δεῖγμα τῆς ἐμῆς εὐκοσμίας.
Ὡς εἶθε πάντως εἰσέδυν τὴν οἰκίαν.

Καὶ χαρμονὴν εὕρηκα συντομωτέραν,
καὶ τηλικαύτην ἔσχον εὐετηρίαν,
θησαυρὸν ἄβρὸν γνοῦσα τὸν Χαρικλέα.
Ὁ γὰρ προλεχθεὶς Καλλίδημος εὐθέως
ἡμᾶς ἰδὼν ἔξεισι τοῦ δωματίου
καί μοι φθονήσας ἐξ ἀποφράδος τύχης
τῆς δεῦρό μοι σῆς εὐτυχοῦς παρουσίας
καὶ σήν, Χαρίκλεις, κλῆσιν ἐξηρνεῖτό μοι·
ἐγγὺς παρεστὼς, ἐκ κεφαλῆς εἰς πόδας
γεωμετρῶν με καὶ πυκνὸν μεταβλέπων
αὐτὴν ἔοικε τὴν πνοὴν λελοιπέναι."
(Εἰ γὰρ τὸ κάλλος δεινόν ἐστιν ἑλκύσαι
καὶ τοὺς παρακμάσαντας ἄνδρας πολλάκις,
πόσῳ τὸν ἀκμάζοντα καὶ νεανίαν;)
"Οἵους μὲν οὖν προεῖπεν εἰς μάτην λόγους,
ὅσας δὲ κατέλεξε τὰς ὑποσχέσεις,
οὐκ ἔστιν εἰπεῖν, ὦ Χαρίκλεις, κἂν θέλω·
καὶ πῶς γάρ, οἷς προσέσχον οὐδὲ μετρίως;
Ἓν οἶδα τοῦτο (μάρτυς ἡ γραῦς τοῦ πάθους)
ὡς σῆς ἐνωτισθεῖσα δακνοκαρδίως
ἐλεύσεως ἄρνησιν (αἰαῖ σοι Φθόνε)
αὐτὴν ἐᾠκειν ἐκκοπῆναι καρδίαν,
ψυχὴν ἐρυγεῖν θᾶττον ἠναγκαζόμην,
ἄψυχος ἦν, ἄναυδος, ἀνδριὰς ὅλη,
καὶ τοὺς θεούς, φεῦ, παγγενῶς ἐμεμφόμην,
ῥαίνουσα θερμὰ ῥεῖθρα πολλῶν δακρύων,
θρηνοῦσα πικρῶς ὑπὲρ ἀνδρὸς γνησίου.
Τοῦ τίνος; αἰαῖ, τοῦ καλοῦ Χαρικλέος."
Τούτοις Χαρικλῆς ἀντεπεῖπε "σοὶ χάρις,
ὦ τοῦ μεγίστου τῶν θεῶν Διὸς γόνε,
τῷ Καλλιδήμου τὴν ἐπίφθονον σχέσιν
ἣν πρὸς Δρόσιλλαν ἔσχεν ἡφανικότι

καὶ καθοδηγήσαιτι τὸν Χαρικλέα
πρὸς τὸ γραῶς δόμημα τῆς Μαρυλλίδος.
Εἰ μὴ γὰρ ἐφθόνησεν ἡμῖν τοῦ πόθου,
οὐκ ἐκ θεῶν ἂν ἀντεπέσχε τὴν νόσον."
Καὶ συγκεκυφὼς εἰς τὸν αὐτῆς αὐχένα
καὶ τρὶς φιλήσας, θεὶς ὑπ' αὐτὴν ἀγκάλην
τὰ τῶν γυναικῶν ἀντιπάσχειν ἠξίου
"ὁρᾷς" λέγων "τὰ δένδρα" (δείξας δακτύλῳ)
"ὅσας νεοττῶν καλιὰς ὑπερφέρει·
ἐκεῖ τελεῖται στρουθίων πάντως γάμος·
παστὰς τὸ δένδρον ἐστί, νυμφῶν ὁ κλάδος,
κλίνην ἔχει δὲ τὰς ἑαυτοῦ φυλλάδας·
ναὶ καὶ τὸν ὑμέναιον ἐξᾴδει μέγα
τὰ πτηνὰ συρρέοντα τοῦ κήπου πέριξ.
Δός μοι, Δρύσιλλα, καὶ σὺ τὸν σαυτῆς γάμον,
δι' ὃν διυπήνεγκα μυρίους πόνους,
δι' ὃν φυγήν, δούλωσιν, αἰχμαλωσίαν,
δι' ὃν στεναγμοὺς καὶ θαλάσσας δακρύων.
Ὦ φίλα δεσμὰ καὶ πλοκαὶ τῆς ἀγκάλης
καὶ δακτύλων ἕλιγμα καὶ ποδῶν στρέβλα.
Ἔγνων, ἐπέγνων, Ἄρες, ἐκ τῶν γραμμάτων
ὡς οὐδ' ἂν αὐτὸς ἀπρεπῶς ἐδυσφόρεις,
ἁλοὺς σιδηρώμασιν, Ἡφαίστου πόνοις,
τῇ ποντογεννεῖ συγκαθεύδων ἀσμένως.
Ἀλλ', ὦ φίλον πρόσφθεγμα, μὴ κώλυέ με.
Ἔρως, συνέργει συμπνέων τῇ παρθένῳ·
τὸν πτηνὸν οὐδεὶς φεύξεται πεζὸς τρέχων.
Ὦ φῶς ἐμὸν σύνθαλπε καὶ τὴν καρδίαν.
Ἄχαρι τέρπει κάλλος, ἀλλ' οὐ κατέχει,
δελήτιον καθώσπερ ἀγκίστρου δίχα.
Ἥρα δέ σε βλέπουσα καὶ Παλλὰς κόρη
'γυμνούμεθα' προσεῖπον 'ὡς πρὶν οὐκέτι·

ἀρκεῖ γὰρ ἡμῖν ποιμένος κρίσις μία'.
Εἴθε ζέφυρος νῦν γενοίμην, παρθένε,
σὺ δ' εὐκραὲς βλέπουσα προσπνέοντά με,
τὰ στέρνα γυμνώσασα προσλάβοις ἔσω.
Σὺ γοῦν, Σελήνη γλαυκοφεγγὴς ὀλβία,
ἄθρει ποδήγει φωταγώγει τὸν ξένον·
Ἐνδυμίων ἔφλεξε καὶ σὴν καρδίαν.
Ἔρροιεν ἄργυρός τε καὶ λαμπρὸς λίθος,
καὶ χρυσὸς αὐτὸς παρακόπτων καρδίας·
φθείροιντο ταῦτα, πλοῦτος ἄλλος μυρίος,
ὁ πρὸς Χρυσίλλης ἐγγυώμενος πάλαι.
Σύ μοι τὰ πάντα ταῦτα, σῶφρον παρθένε.
Τὸ ξανθὸν αὐχεῖς· ἔρρε, χρυσίου βάρος·
ἔχεις τὸ λευκόν· χαῖρε, μαργάρων χάρις·
περιπλοκὴ σὴ κόσμος ἐστὶν αὐχένος,
ἐπὶ πτυχὶ σῶν χειλέων ἄνθρακ λίθος.
Ὁ σὸς δὲ πάντως οὐκ ἀκόσμητος γάμος·
ἀηδόνες γὰρ ἐγχορεύουσαι κύκλῳ
ᾄδουσιν, ἀντᾴδουσιν αἱ χελιδόνες.
Δός, Ὑμέναιος, ταῦτα, δός μοι τὸν γάμον.
Ὁ στρουθὸς οἶδε μίξιν εἶναι τὸν γάμον·
ἡμεῖς δὲ καὶ ποθοῦντες οὐ μιγνύμεθα;"
Τοιαῦτα πολλὰ τῇ κόρῃ προσωμίλει·
ὁ γὰρ φιλῶν πᾶς τὴν ποθουμένην βλέπων
καὶ νοῦν πρὸς αὐτὴν ἐξανατείνων ὅλον
οὐδὲν τὰ λοιπὰ πάντα τοῦ βίου κρίνει.
Ἀλλ' ἡ Δροσίλλα τὸν καλὸν Χαρικλέα
καίτοι κρατοῦσα καὶ φιλοῦσα τὸν νέον
ἐδεξιοῦτο τῇ περιπλοκῇ μόνῃ
καὶ τῇ μελιχρότητι τῶν φιλημάτων.
Ἔφασκε καὶ γὰρ "ὦ Χαρίκλεις, καρδία,
τοῦ συνδυασμοῦ τῆς Δροσίλλης οὐ τύχῃς.

Μὴ κάμνε, μὴ βίαζε, μὴ μάτην πόνει·
ἀσχημονεῖν γὰρ σωφρονοῦσαν οὐ θέμις.
Φιλῶ μὲν οὖν σε· πῶς γὰρ οὔ; ποῖος λόγος;
Φιλῶ Χαρικλῆν καὶ ποθῶ πάντων πλέον·
πλὴν ὡς ἑταίρις οὐ προδῶ τὸ παρθένον
γνώμης τε χωρὶς μητροπατρῴου γένους.
Τῇ δὲ προνοίᾳ τῶν θεῶν θαρρῶν ἔσο·
μαρτύρομαι γὰρ οὐρανὸν γῆν ἀστέρας
ὡς οὐκ ἂν ἄλλοις ἐκδοθείην εἰς γάμον,
εἰ μὴ Χαρικλεῖ· πῶς γὰρ εἰκὸς ἐννόει.
Πλὴν ἴσθι λοιπὸν ὡς ἀπ' αὐτῆς ἑσπέρας,
καθ' ἣν μένειν ἐνταῦθα μηνύων, ἄνερ,
ὄνειρος ἦλθέ σε, τριφίλητον κάρα,
εὔελπις εἰμὶ τῇ θεοῦ συνεργίᾳ,
ὡς πάτραν αὐτὴν ὄψομαι μετὰ χρόνον
καὶ Μυρτίωνα καὶ φίλην Ἡδυπνόην
καὶ συγχορεύσω ταῖς ἐμαῖς συμπαρθένοις
εἰς βωμὸν αὐτὸν τοῦ θεοῦ Διονύσου,
πίω δὲ νᾶμα τοῦ καλοῦ Μελιρρόου
καί σοι, Χαρίκλεις, συμμετάσχω τοῦ γάμου.
Ἀμήχανον γάρ, οὐκ ἀνέξομαι κλύειν
μὴ σωφρονεῖν με μᾶλλον ἐν ξένοις τόποις."

"Ὦ σώφρονος νοῦ καὶ καλῶν βουλευμάτων
τῶν σῶν" Χαρικλῆς πρὸς Δρόσιλλαν ἀντέφη·
"ὡς εὖ τὸ χρυσοῦν νῦν ἀπαγγέλλει στόμα·
ὡς εὖ κελαδεῖ γλῶσσά σοι τρισολβία.
Πλὴν ἀλλὰ ταῦτα χρηστὰ πάντως, παρθένε,
εἰ μὴ πρὸς αὐτὴν συγκινούμενοι Φθίαν
παρεμποδισθείημεν αὖθις ἐκ Τύχης.
Καταδρομὰς δὲ λῃστρικὰς τὰς ἐν μέσῳ
καὶ βαρβάρων μάχαιραν ὠμοκαρδίων
καὶ τῆς θαλάσσης ἀγριώτατον στόμα

οὐκ ἀγνοεῖν ἔοικας· οὐ γὰρ λανθάνῃ
ἡμῖν τὰ συμπίπτοντα δεινὰ τῆς Τύχης·
τί γοῦν, ἂν (ἀλλ' ἴλαθι, δυσμενὴς Τύχη,
καὶ στῆσον ὀψὲ τὴν καθ' ἡμῶν μανίαν)
παρεμπεσεῖν μέλλωμεν αὖθις εἰς νέαν
πολύτροπον κάκωσιν αἰχμαλωσίας
ἢ καὶ διαζευχθῶμεν ἀλλήλων; λέγε."
"'Αλλ', ὦ Χαρίκλεις" ἀντέλεξεν ἡ κόρη,
"οὐ τὴν Δρόσιλλαν, ἀλλ' Ἔρωτος ἀγρίου
ἔοικας ἔργον τερπνὸν ἐνστερνικέναι."
Οὕτως ἐκείνων συλλαλούντων τῶν δύο
Κλέανδρος ἦλθε τρίτος ὡς μέγα στένων
"ὤμοι" λέγων, "τέθνηκεν ἡ Καλλιγόνη."
Καὶ "τίς, φίλε Κλέανδρε, τοῦτο μηνύει
ἄγγελμα πικρόν;" ἀντέφησαν οἱ νέοι.
"Γνάθων τις ἐλθὼν ἐμπορικὸς Βαρζόθεν"
ἀντεῖπεν ὁ Κλέανδρος· ἀλλ' "ὦ τοῦ πάθους"
ἔφησαν αὖθις, δάκρυον πεπομφότες.
Καὶ γοῦν μονῳδεῖν ὁ Κλέανδρος ἠργμένος
συνδακρύοντας αὖθις εἶχε τοὺς δύο.
Ἔφασκε τοίνυν ἐν στεναγμῷ μυρίῳ
τοιαῦτα καὶ πάνοικτρα καὶ τυχὸν τόσα,
ὡς οὐκ ἐώσης τῆς βαθείας ἑσπέρας
μακρὰν πρὸς αὐτοὺς ἐξερεῖν τραγῳδίαν
"ἰατατατὰξ τῆς παρούσης ἡμέρας,
καθ' ἣν ἐγώ, δείλαιος ἀνθρώπων μόνος,
τὴν σὴν τελευτὴν μανθάνω, Καλλιγόνη.
Νοσφίζομαί σου τῆς συνοικίας πάλαι,
Πάρθων φανείς, φεῦ, δοῦλος ἀγκυλοφρόνων·
εἶχον δὲ μικρὰν ἐλπίδα ζωοτρόφον,
ὡς χεῖρας ἀνδρῶν ἐκφυγοῦσαν βαρβάρων
σχοίην ποτ' αὖθις κατιδεῖν σε, παρθένε.

Καὶ νῦν δὲ μᾶλλον σωφρόνως ἠγαλλόμην,
ἐλεύθερον φῶς, ὦ θεοί, λαχὼν βλέπειν·
εὑρεῖν γὰρ εἰς νοῦν εἶχον ἀνθυποστρόφων.
Καὶ νῦν ἐμὸν φῶς ἐσκοτίσθης ἀθρόον.
Καὶ πῶς ὀδεύσω; ποῦ καταντήσω μόνος;
Οὐκ ὦφελον, γῆ, πῦρ, ὕδωρ, ἀήρ, νέφος
καὶ πανδεχὲς σῆς αἰθρώμα καὶ φῶς ἡλίου,
ἐκ γαστρὸς ἐλθεῖν καὶ προελθεῖν εἰς βίον.
Εἰ δ' ἦν ἀνάγκη πᾶσα φῦναι μητρόθεν,
ἐχρῆν δι' αὐτὰς τὰς ἀποφράδας τύχας
διαφθαρῆναι καὶ λυθῆναι πρὸς τέφραν,
πρὶν ἂν λαβεῖν αἴσθησιν ἐντελεστέραν
καὶ πρὶν ἰδεῖν με τὴν παροῦσαν ἡμέραν.
Αἰαῖ, στένω θνήσκουσαν ὡς τριγώμενον
ὄμφακα βότρυν ἢ παρήμερον στάχυν
ἐν ἀγρῷ τοῦ Χάρωνος ἐχθρῷ δακτύλῳ.
Πῶς ὑπενέγκω τὴν ἀπευκτὰν τύχην,
ἄλλης ἐπ' ἄλλῃ συμφορᾶς νεωτέρας
καταστεφούσης τὴν κεφαλήν μου κύκλῳ;
Χεῖρας μὲν ἐξέφυγες ἀνδρῶν βαρβάρων,
οὐ μὴν δὲ καὶ Χάρωνος ἀνθρωποκτόνου.
Ὤλωλεν ἐλπὶς μέχρι νῦν ζωοῦσά με·
ὤλωλε καὶ Κλέανδρος ὡς Καλλιγόνη.
Ὦ δυστυχὲς σὺ Βάρζος, ἀθλία πόλις,
καθ' ἣν διεζεύχθημεν ἀλλήλων βίᾳ.
Ὡς κρεῖττον ἦν μοι συνθανεῖν τῇ παρθένῳ,
ἢ ζῆν ἀμυδρῶς καὶ στενάζειν ἐκ βάθους,
οἰκεῖν δὲ τὴν γῆν ὡς σκιὰ κινουμένη.
Τὰ πάντα φροῦδα τῶν παλαιῶν ἐλπίδων.
Οὐδὲ προσεῖπόν σ' ἐν πνοαῖς ταῖς ἐσχάταις,
Καλλιγόνη, θάμβημα παρθένων κόρη.
Ὦ θαῦμα μακρὸν τὰς ἐμὰς ἔχει φρένας,

πῶς αἱ τοσαῦται συμφορῶν καταιγίδες
εἰς οἶκτον οὐκ ἔκαμψαν οὐδ' εὐσπλαγχνίαν
τήν, φεῦ, καθ' ἡμῶν δυσμεναίνουσαν Τύχην."
Οὕτως ἀποιμώζοντα τὸν νεανίαν
συνδακρύοντες οἱ νέοι παρηγόρουν
ἐξ ἱλαρῶν ἴυγγος ἡδείας λόγων.
Ὡς δ' ἦλθεν ἡ νὺξ συγκρυβείσης ἡμέρας,
ὁμοῦ συνῆλθον εἰς τὸ τῆς Μαρυλλίδος
οἴκημα καὶ τράπεξαν ἡτοιμασμένην
εὑρόντες ἐκλίθησαν· ἡ δὲ γραῦς πάλιν
τροφὰς ἐτίθει καὶ τὸν οἶνον εἰς μέσον.
Ἦν οὖν μετ' αὐτῶν ὁ ξένος συνιζάνων·
διπλῶν γὰρ ἦλθεν ἄγγελος μηνυμάτων,
πικροῦ Κλεάνδρῳ καὶ Χαρικλεῖ γλυκέος.
Καὶ χεῖρας εἰς τὸ δεῖπνον ἐμβεβληκότες
τὴν γραῦν κατηνάγκαζον ἐγκλῖναι γόνυ·
αὕτη δὲ πρὸς τὸν λύχνον ἀσχολουμένη,
μέριμναν εἰς ὕφαψιν εὖ ποιουμένη
ἔφησε "τέκνα, σὺ Κλεάνδρε καὶ Γνάθων
καὶ σὺ Χαρίκλεις καὶ Δρόσιλλα παρθένε,
οἱ τέσσαρες χαίροντες ἑστιᾶσθέ μοι·
φιλῶ γὰρ ὑμᾶς, ὡς ἐκεῖνον τὸν Χράμον,
ὃν υἱὸν εἶχον, ὃς προήχθη μου μόνος,
οὗ μικρὸν ἀπήλαυσα τῶν χαρισμάτων,
καὶ μακρόν εἰμι δυσφορουμένη χρόνον.
Οἱ τέσσαρες χαίροντες ἑστιᾶσθέ μοι,
οἱ τέσσαρες τὸν οἶνον ἐκροφεῖτέ μοι·
τροφὴν ἐγὼ γὰρ τὴν ὑμῶν ἔχω θέαν."
Ὡς δὲ Δρόσιλλαν καὶ Χαρικλῆν ὁ Γνάθων
τεραστίως ἤκουσεν ἐκ Μαρυλλίδος,
ὥρμησεν εἰπεῖν καὶ συνεστάλη πάλιν·
ἀλλὰ πρὸς αὐτοὺς ἐντρανέστερον βλέπων

καὶ γονὺς ἐναργῶς ἐν φιλαλλήλῳ σχέσει
αὐτοὺς ἐκείνους τυγχάνειν τοὺς φυγάδας
ἐνθουσιωδῶς εἶπεν ἐν θυμηδίᾳ
"ὡς ἀγαθή, Ζεῦ καὶ θεοί, νῦν ἡμέρα.
Εἰληφέναι γοῦν ἐκ δυοῖν ἀνδρῶν ἔχω
πάντως μεγίστας τῆς χαρᾶς τὰς ἐγγύας.
Ὦ χαῖρε, Φράτορ, ἀλλὰ καὶ σὺ Μυρτίον·
τοὺς παῖδας ὑμῖν ζῶντας ἀντιμηνύσω."
"Μεμιγμένον μέλιτι σὸν στόμα, Γνάθων"
εἰπόντες ἠρώτησαν οὗτοι τὸν ξένον
"ποῦ δὲ Φράτωρ πάρεστι καὶ ποῦ Μυρτίων
καὶ πῶς ἐκείνων παῖδας ἡμᾶς τοὺς δύο
εἶναι διέγνως ἀντιφάσκοις ἡδέως."
"Ἐγὼ διδάξω τοὺς διηπορηκότας"
ἔφησεν αὐτοῖς ὁ Γνάθων συνεσθίων·
"αὐτοὶ γὰρ ἄνδρες, οὓς δεδήλωκα, ξένοι,
οὓς εἶδον, οἷς συνῆλθον εἰς ὁμιλίαν,
πάλαι μετηνέχθησαν εἰς Βάρζον πόλιν,
πεμφθέντες, ὡς ἔφασκον, ἐξ ὀνειράτων,
βαρὺν μὲν ὄγκον εἰσφέροντες χρυσίου·
ποιούμενοι δὲ τῆς πολίχνης ἐν μέσῳ
πολὺν Δροσίλλης καὶ Χαρικλέος λόγον
σφοδρῶς ἐδυσχέραινον οἱ γηραλέοι,
λέγοντες αὐτοὺς τὸν Διὸς θεοῦ γόνον
ἀπὸ Φθίας εἰς Βάρζον ἀπεσταλκέναι,
καὶ τοὺς ἑαυτῶν παῖδας ἐξερευνῆσαι.
Ὡς οὖν ἐφευρεῖν εἶχον ὑμᾶς οὐδέπω,
'ἡμεῖς μὲν' εἶπον '(ποῦ γὰρ ἄν τις ἐκδράμοι;
καὶ ποῦ πλανηθῇ; ποῦ δ' ἐκείνους συλλάβοι;)
μενοῦμεν ὧδε τῷ θεῷ πεπεισμένοι·
ἴσως καταλάβοιεν ὀψὲ τὴν πόλιν.
Ὁ καθοδηγήσας γὰρ ἡμᾶς ἐνθάδε,

ἐκεῖνος αὐτοὺς εἰσδραμεῖν ἀναγκάσει,
καὶ λῆξιν ὀψὲ τῆς πλάνης εὑρηκέναι.
Σὺ δ', ὦ φίλων ἄριστε, Βαρζίτα Γνάθων,'
(εἶδον γὰρ ὡς ἔσαττον αὐτὰς τὰς ὄνους·
τὸ χωρίον φθάσαι δὲ κατηπειγόμην)
'ἔννοιαν αὐτῶν τῶν πλανωμένων ἔχε,
εἴ πως ἐφευρεῖν σὺν θεοῖς κατισχύσεις·
καὶ μηνύσας μνᾶς χρυσίου λάβῃς δέκα.'
Καὶ νῦν ὁμαρτήσασα χρηστή τις τύχη
ὑμᾶς ἐπεγνώρισεν, ὡς ὁρᾶτέ, μοι."

"Καλλιγόνη δὲ καλλίμορφος παρθένος
τέθνηκεν· αἰαῖ τῆς ἀπανθρώπου Τύχης"
Κλέανδρος εἶπε τὸν πανύστατον λόγον,
καὶ τὴν πνοὴν ἀφῆκεν ἅμα τῷ λόγῳ.
Σφάττειν γὰρ οἶδεν ὑπὲρ εὔθηκτον ξίφος
ὀξεῖα συμπεσοῦσα λύπη πολλάκις.

Οὕτω Δροσίλλης καὶ Χαρικλέος μέσον
οὐκ ἠμέλησε δυσμένεια τῆς Τύχης
πολὺν φορυτὸν συμφορῶν συνεισφέρειν
καὶ λυπρὰ χρηστοῖς ἐμπαθῶς συμμιγνύειν.

Θ

Ἤδη μὲν ὄρθρος καὶ τὸ φῶς τῆς ἡμέρας
ηὔγαζε λαμπρῶς πανταχοῦ γῆς ἐξ ἕω·
σφοδρῶς δὲ δακρύσαντες, ὡς φίλοις ἔθος,
τὸ σῶμα συγκαίουσιν Ἑλλήνων νόμῳ,
χοὰς ἐπισπείσαντες ἐξ ὠπτημένων
κρεῶν συνάμφω καὶ ῥοὸς μελικράτου.

Ἐκεῖ συνῆλθε πᾶς νομεύς, πᾶς ἀγρότης,
πᾶς συμπαθὴς ἄνθρωπος εἰς ξένου τάφον,
καὶ τῶν γυναικῶν πᾶσα τλημαθεστάτη,
μεθ' ὧν Μαρυλλὶς καὶ προῆρχε τοῦ γόου.
Ἐκεῖνον ἐθρήνησε καὶ δρῦς καὶ πέτρα
καὶ κοιλάδος ῥοῦς καὶ βαθύσκιοι νάπαι·
καὶ γὰρ ἱκανὸς ἦν Κλέανδρος τῷ τότε
κάμνειν πρὸς οἶκτον καὶ πετρῶν σκληρὸν γένος.
Ἡ δὲ Δρόσιλλα, καίπερ οὖσα παρθένος,
πασῶν γυναικῶν μεῖζον ἐθρήνει τότε.
Ὡς γὰρ θαλάσσης κυματωθείσης νότῳ
ἡ κυμάτων σύρροια κυλινδουμένη
ναῦν συσχεθεῖσαν τῇ φορᾷ περιτρέπει,
κἂν εὔτροπίς τις ᾖ, κἂν εὖ τέχνης ἔχῃ,
ἄλλου μετ' ἄλλο συμφυῶς γεννωμένου,
οἷς οὐδὲν εἰλίγματος καὶ πλήθους μέτρον,
εἰ μή τίς ἐστιν ἐκ Κορυβάντων μαινόλου
ὅμοιος υἱὸς καὶ πατρῴζει τὰς φρένας,
πειρώμενος μάταιος εἰς οὐδὲν δέον
φορὰς ἀμέτρους ἐκμετρῆσαι κυμάτων
ὅτε πρὸς ὥραν τῆς ὀπωροφθισίας
ὁ μὲν Ποσειδῶν ἐξεγείρει τὸν νότον,
νότος δὲ τὴν θάλασσαν ἀντικορθύει,
θάλασσα δ' αὐτὴ συνταράσσει τὰ σκάφη,
σκάφη δὲ πάντως τὰς πλεόντων καρδίας,
οὕτως ἀμέτρως ἐκχυθεῖσαι μυρίαι
ζάλαι ζέουσαι συμφορῶν ἀνενδότων
τὰς τῆς Δροσίλλης ἀντεπέκλυζον φρένας,
ὡς ναῦν ἀνερμάτιστον ἰσχυρὸς κλύδων.
Ἔφασκεν οὖν κλαίουσα τὸν νεανίαν
"ὦμοι, καλὲ Κλέανδρε, τίς βριαρόχειρ
δαίμων ἀλάστωρ εἰς λυπρὰς ὥρας φέρων,

βαρὺς καθ' ἡμῶν ἐμπεσὼν καὶ μηνίσας;
Ἐκ συμφορῶν γὰρ συμφορὰς ἄλλας ἄγει,
ἀεὶ δὲ τὴν γραῦν ἡ νέα νικᾶν θέλει.
Τί ταῦτα, Τύχη; Ποῖ ποτε σταῖεν τάδε;
Τίς τῶν καθ' ἡμῶν λῆξις ἔσται δακρύων;
Ὦ γλυκίων Κλέανδρε συμφυλακίτα,
σύνδουλε, συνέριθε, συννεανία,
συναιχμάλωτε, συνελεύθερε, ξένε,
οἴχῃ πρὸ ὥρας χλωρὸς ὡραῖος στάχυς,
οὐδὲ προσειπὼν τὸν σεαυτοῦ πατέρα
ἐν τῷ παραπνεῖν τὰς πνοὰς τὰς ἐσχάτας.
Ὦ κλὼν φανεὶς ὅρπηκος ἁδροῦ Λεσβίου,
ἔφυς μὲν ἁδρὸς καὶ καλὸς καὶ γλυκίων,
μικρὸν δὲ μικρὸν ὡς ἀπὸ φλογὸς ξένης
ἐπὶ φθορὰν νένευκας ἐξηραμμένος.
Χθὲς ἦς παρ' ἡμῖν, ἀλλὰ νῦν ἐν νερτέροις·
χθὲς ἦς λαλῶν μοι, σήμερον δὲ μὴ κλύων·
συνωμίλεις χθὲς εἰς ἐμὴν εὐθυμίαν,
ἄφωνος εἶ νῦν εἰς ἐμὴν ἀθυμίαν.
Οὐκ ἔστι δεινῶν τῶν καθ' ἡμῶν τις κόρος.
Καὶ ποῦ προβῶμεν τῶν κακῶν περαιτέρω;
Ὦ δυστυχὴς σύ, δυστυχὴς Καλλιστία.
Καὶ γὰρ τὸ τέκνον, ὁ Κλέανδρος, ὁ ξένος,
ὡς πτηνὸν ἐκπτὰς πατρικῆς ἐξ ἀγκάλης
κεῖται πεσὼν οἰκτιστος ἐν ξένοις τόποις.
Ἦ που τρέφεις, δείλαιε, χρηστὰς ἐλπίδας
εὑρεῖν τὸν υἱὸν καὶ λαβεῖν ἀπὸ πλάνης
καὶ πῦρ ἀνάψαι καὶ δᾷδας γαμηλίους
στῆσαί τε λαμπρὰ καὶ χοροὺς καὶ παστάδα
καὶ συγχαρῆναι τῇ Κυδίππῃ τὰς φίλας
τῷ τὸν καλὸν Κλέανδρον ἀπειληφέναι.
Πλὴν ὀψὲ μαθὼν τὴν κατὰ φρένας πλάνην

καὶ τοῦ λογισμοῦ τὴν ἀσύστατον ῥύμην
καὶ γνοὺς τὸν υἱὸν συμπεσεῖν ἐπὶ ξένης
(διδάσκαλος γὰρ ὁ χρόνος τῶν πραγμάτων)
καὶ πολλὰ κλαύσεις καὶ στενάξεις ἐκ βάθους,
ῥαίνειν πολλὶ ῥοῦν ὄμβρον ἐκ τῶν ὀμμάτων
ὑπὲρ τὸ πρὶν δάκρυον ἠναγκασμένος·
πρῴην γὰρ ἴσως ἐλπὶς εἶρξε μετρία
τὴν τῶν ῥεόντων δακρύων ἀμετρίαν·
μικρὸν δὲ μικρὸν καὶ τακήσῃ τῷ χρόνῳ
ἄνθραξι λύπης, ὡς χίων ὑπ' ἠλίου.
Αἰαῖ, συναιχμάλωτε, συνοδοιπόρε,
εἰ γοῦν Χαρικλῆς ἐξ ἀποφράδος τύχης
ἐμοὶ Δροσίλλῃ τλημαθεῖ τρισαθλίᾳ
ἁφαρπαγῆναι κινδυνεύσοι καὶ πάλιν,
τίς, τίς νεμεῖ κούφισμα τῆς λύπης βάρους;
Ποῖος κατασταίη τις εἰς παῦλαν πόνων
λόγῳ μελιχρῷ καὶ τρόπῳ σωτηρίῳ;
Ἡ ψυχαγωγία γάρ, ἡ σωτηρία,
ἡ πᾶσα παράκλησις ἐξόλωλέ μοι.
Τίς αὖρα λεπτὴ καὶ ὀρόσους φλογοφθόρος
ἀκάματον πῦρ καὶ διῃρμένην φλόγα
ἐμῶν παθῶν σβέσαιεν οὐ κοιμωμένων;
Στάσις δὲ τίς γένοιτο καὶ λῆξις πόνων,
καὶ νήνεμος νοῦς ἐκ παθῶν τρικυμίας;
Ὦ τίς, Χαρίκλεις, παραμυθήσαιτό σε,
εἴ τι Δρόσιλλα τῶν ἀπευκταίων πάθοι;
βαθεῖα γὰρ νὺξ καὶ βαθέσπερος γνόφος
καὶ χοῦς ἀμυδρὸς (ὦ κακῶν συγκυρμάτων)
ἔχουσι, φεῦ φεῦ, τὴν Κλεάνδρου καρδίαν.
Ὦ πῶς κλείσεις τὴν Κυδίππην μητέρα
ἐν ἀλλοδαπῇ δυστυχῶς τεθαμμένος
καὶ τοῖς στεφάνοις εὐφρανεῖς καὶ δοξάσεις

τὴν ὀσφὺν ἐξ ἧς εἰς τὸ φῶς ἦλθες τόδε,
σχοίη δέ σε σκίμπωνα καὶ βακτηρίαν
εἰς γῆρας ἐλθὼν ὁ σπορεὺς ἀπὸ χρόνων;
Ὢ φῶς, θρυαλλὶς χαρμονῆς, σέλας γένους,
ἔσβης, ἐθραύσθης, ἐφθάρης, ἀπεκρύβης."
Οὕτω Δροσίλλης κωκυούσης τὸν ξένον
"τῆς μὲν περιττῆς τῷ νεκρῷ τύρβης ἅλις
καὶ τῶν ἀμέτρων δακρύων καὶ τοῦ γόου"
ἔφη μέσον στὰς ἔμπορος Γνάθων ξένος·
"εἰ γὰρ μεταξὺ χαρμονῆς παρεμπέσοι
λυπρὸν τυχηρὸν δάκνον ἀλγῦνον φρένας,
τὸν εὖ φρονοῦντα τῇ χαρᾷ χρὴ διδόναι·
ὅταν μὲν οὖν ἄκρατόν ἐστι τὸ θλίβον,
οὐ μεμπτὸν εἴ τις καὶ κατ' ἄκρας δακρύει·
εἰ συμμιγῇ δὲ χρηστὰ ταῖς ἀλγηδόσι,
τὸ κρεῖττον, οἶμαι, τῆς τύχης ἐξελκτέον·
ὑπερφερῆ γὰρ δυστυχῆ τῶν κρειττόνων,
πλείω τε λυπρὰ τῶν καλῶν τῶν ἐν βίῳ.
Τῶν θλίψεων οὖν εὖ καταφρονητέον,
εἴ πού τι χρηστὸν ἐν μέσῳ παρεμπέσοι
ἀπροσδοκήτως ἐκ τύχης παρηγμένον·
οὐ γὰρ τοσοῦτον αἱ κατ' ἐλπίδας τύχαι
τοῖς εὖ παθεῖν μέλλουσιν ἀνθρώποις ἄρα
τὸ τερπνὸν εἰσφέρουσιν, ὡσὰν εἰδόσιν
αὐτοῖς, ἐκείνας προσδοκῶσι πρὸ χρόνων,
ὅσον τὸ συμβὰν ἀγαθὸν παρ' ἐλπίδα
ψυχὴν διογκοῖ καὶ πλατύνει καρδίαν,
καὶ πάντα λυπρὰ τὰ προσυμβεβηκότα
ἐκ τῶν νοητῶν ἐξελαύνει πυθμένων
καὶ τῶν ἀδήλων τοῦ λογισμοῦ χωρίων
καὶ τοὺς παθόντας εἰς ἀνάπλασιν φέρει,
τῶν ἀλγυνόντων ἐξαλεῖφον τοὺς τύπους

εἰς εἶδος ἄλλο καὶ κατάστασιν νέαν,
καὶ χρωματουργεῖ τοῦ προσώπου τὴν θέαν
εἰς ἐντελῆ μόρφωσιν ὡραϊσμένην.
Καὶ λῆξον οὐδὲ τῶν μακρῶν ὀδυρμάτων
ἄγουσα σαυτὴν εἰς ἀνάκτησιν, κόρη.
Ἄφες, Χαρίκλεις, καὶ σὺ τὴν θρηνῳδίαν·
γενοῦ σεαυτοῦ, μή τι φαῦλον ἐμπέσοι·
χρὴ γὰρ τὰ συμπίπτοντα γενναίως φέρειν."
Οὕτως ἐκεῖνοι τοῖς πόνοις ἐκαρτέρουν.
Οὔπω δὲ δίτται συμπαρῆλθον ἡμέραι,
καὶ πάντας οὓς ἤνεγκε φόρτους ὁ Γνάθων
ἀπεμπολήσας τοῖς ἐποίκοις ἀγρόταις,
λαβὼν μετ' αὐτοῦ τὴν φίλην συζυγίαν
ὧδευε πρὸς τὴν Βάρζον ἀπτέρῳ τάχει·
οὗ καὶ φθάσαντες τὴν πύλην τῆς εἰσόδου
ὁρῶσι τοὺς σφῶν ἀθλίους φυτοσπόρους
αὐτὸς Χαρικλῆς καὶ Δρύσιλλα παρθένος
εἰς πέτραν, ἕδραν εὔξοον, καθημένους,
καὶ θάμβος ἔσχον καὶ καλῆς αἰδοῦς τύπον.
Ἀλλὰ προλαβὼν ὁ Γνάθων καὶ προφθάσας
ἄμφω κατησπάσατο τοὺς γηραλέους
καὶ τὴν τέκνων ἄφιξιν αὐτοῖς μηνύσας
χρυσοῦ δέκα μνᾶς δῶρον ἀντιλαμβάνει.
Οἱ δ' ἀλλ' ἐπεὶ προσέσχον αὐτοῖς τοῖς τέκνοις,
ὁποῖον ἔσχον γῆθος οὐκ ἔχω λέγειν,
ὡς εἶδον αὐτὴν τὴν καλὴν ξυνωρίδα
τὴν Βαρζικὴν γῆν συμπατοῦσαν ἀθρόον·
οἳ πρῶτα δακρύσαντες, ὡς γήρᾳ νόμος,
τὰς σφῶν κεφαλὰς κατεφίλουν ἀσμένως,
ἔχαιρον, ἤλγουν, εὐθύμουν, ἐδυσφόρουν,
ἠγαλλίων, ἔκλαιον, ἐκρότουν μέγα·
τὸ τῆς χαρᾶς δάκρυον ἔρρει πλησμίως,

τῆς χαρμονῆς ὁ θρῆνος ὑψοῦτο πλέον.
Πληθὺς δὲ πᾶσα Βαρζιτῶν κοινῷ δρόμῳ,
ἐπεὶ τὸ συμβὰν ἐκ βοηδρόμων μάθοι,
ἐξῆλθοσαν χαίροντες οἰκείους δόμους,
οἱ παῖδες, ἡ γραῦς, ὁ σφριγῶν, ἡ παρθένος,
μεῖραξ, γυνή, παῖς ἀπαλὴ καὶ πρεσβύτις,
πάντες προσεπτύσσοντο πυκνὰ τοῖς νέοις.
Ὁ θρῆνος ἠκόντιζε τὸν πόλον κρότῳ,
ἡ χαρμονὴ δ' ἔκλινε τὴν θρηνῳδίαν·
οὕτω συνήλγουν καὶ συνεσκίρτων πάλιν
τοῖς πατράσι σφῶν πᾶσα κοινῶς ἡ πόλις.
Αὐτὸς δὲ Φράτωρ τῇ Δροσίλλῃ παρθένῳ
ἀντεμπλακεὶς ὡς καὶ τέκνῳ προσωμίλει
"γάννυσθε, παῖδες, πρὸς γονεῖς σεσωσμένοι·
διπλοῦς γὰρ ὑμεῖς εὐτυχεῖτε πατέρας,
ὡς αὖθις ἡμεῖς εὐτυχοῦμεν τεκνία.
Ὡς δεξιὸν τὸ τέρμα τῆς ὑμῶν πλάνης,
ὡς εὐτυχὴς ἡ λῆξις ἡ τῶν δακρύων.
Σώζεσθε καὶ τηρεῖσθε πρὸς συζυγίαν,
οὓς οἱ θεοὶ συνῆψαν ὡς νυμφοστόλοι."
Ἐπεὶ δὲ μακροῖς τοῖς μετ' ἀλλήλων λόγοις
καὶ μέχρι νυκτὸς ἦσαν ἠσχολημένοι,
μνήσαντο δόρπου· καὶ καθίσας ὁ Γνάθων
αἰτεῖ παρ' αὐτὸν ὡς καθίσοι καὶ Φράτωρ.
Φράτωρ δὲ τοῖς Γνάθωνος ὑπείξας λόγοις
καὶ Μυρτίωνα συνθακεύειν ἠξίου·
ὁ Μυρτίων δὲ νυμφίον Χαρικλέα
καὶ γοῦν Χαρικλῆς τὴν Δρόσιλλαν παρθένον.
Οἱ τρεῖς μὲν ἐκλίθησαν ἐξ εὐωνύμων,
ἐν δεξιοῖς δὲ προσφιλὴς συζυγία,
αὐτὸς Χαρικλῆς δηλαδὴ καὶ παρθένος·
ὃς οὐ μετρίας μέμψεως κατηξίου

ἀλλ' ὕβρεων δὲ μᾶλλον καὶ τοθασμάτων,
τὸν αἴτιον Γνάθωνα τῶν ξενισμάτων,
ὡς μὴ Δροσίλλαν ἀπέναντι καθίσοι
τῶν ἐκτακέντων ἐξ ἔρωτος ὀμμάτων
καὶ Μυρτίωνα τὸν φύσαντα τὴν κόρην
ἐγγὺς παρ' αὐτοῦ τῆς καθέδρας τῷ τόπῳ,
ὅπως τοσαύτης χαρμονῆς τελουμένης
ἀντιπροσώπων ἐμβλέποι τῇ παρθένῳ.
Καὶ μὴν ἐπεφθόνει δὲ (πᾶς τις ἐκφράσοι)
καὶ τῷ κυπέλλῳ τηλικούτων χειλέων
ἄριστα θιγγάνοντι τῶν τῆς παρθένου·
ἐξηλοτύπει καὶ πρὸς οἶνον τὴν πόσιν,
ὡς εἰς Δροσίλλης πλησιάζοντα στόμα.
Οὕτω μὲν εἶχε καὶ τὰ τῆς παιδαισίας·
καὶ νὺξ μελάμπους ἐγχυθεῖσα τοῖς ξένοις,
κατεσπακυῖα τὴν τάσιν τῶν ὀφρύων
τὸν ἡδύμον σφῶν ἦγεν ὀφθαλμοῖς ὕπνον.
Ἀλλὰ πρὸς ὄρθρον ἡ καλὴ καὶ παγκάλη,
ἡ τοῦ γέροντος Μυρτίωνος θυγάτηρ,
καταλαβοῦσα τὴν σορὸν Καλλιγόνης
ἔλουεν αὐτὴν ἄλλο λοιτρὸν δακρύων.
Τὸ γὰρ γυναικῶν συμπαθέστατον φύλον
ἑτοιμοπενθές ἐστι καὶ ξένοις πόνοις
καὶ φιλόδακρυ γίνεται παραυτίκα·
οὐκ ἐν μόνῃ γὰρ συμφορῶν περιστάσει
φιλεῖ τὸ πενθεῖν καὶ τὸ μακρὸν δακρύειν,
καὶ μᾶλλον εἴ τις ἐκπεράσοι τὸν βίον·
διηνεκῶς δὲ καὶ χρόνων περιδρόμοις
σῶζον κακῶν ἔννοιαν ἀμφιδακρύει.
Οὕτως ἐκείνη συμπαθῶς ἡ παρθένος
λαθοῦσα τοὺς τέσσαρας, ὡς κοιμωμένη,
Γνάθωνα, Μυρτίωνα τὸν φυτοσπόρον,

καὶ μὴν Χαρικλῆν καὶ τὸν αὐτοῦ πατέρα,
ἔκραζε κυπτάζουσα πρὸς Καλλιγόνην,
ἔτυπτεν εἰς τὸ στέρνον, ἀνεκεκράγει
μετὰ στεναγμῶν καὶ μετ' ὄμβρου δακρύων
"ὦ πολλὰ βασκαίνουσα, δυσμενὴς Τύχη,
οὐκ ἤρκεσάν σοι τὰ προσυμβεβηκότα
ἀλγεινὰ πικρὰ τῇ Δροσίλλης καρδίᾳ·
ἀλλὰ πρὸς αὐτοῖς καὶ τὸ λοιπὸν εἰσφέρεις.
Σὺ μὲν θανατοῖς παρθένον Καλλιγόνην,
Καλλιγόνη δὲ τὸν Κλέανδρον κτιννύει·
ὁ δὲ Κλέανδρος τοὺς ἐκείνου γνησίους
οὐ συνθανατοῖ, τῇ δὲ τούτων καρδίᾳ
λύπης τοσαύτης ἀντιπέμπει πικρίας.
Θρηνῶ σε τοίνυν, ὦ κόρη Καλλιγόνη,
συμπαρθένε, κλαίω σε γῇ κεχωσμένην
ἀντὶ Κλεάνδρου τοῦ προεξῳχηκότος,
τοῦ συγξενιτεύσαντος ἡμῖν ἐν ξένοις·
θρηνῶ σε μητρὸς καὶ πατρὸς στερουμένην,
καὶ (φεῦ) θανοῦσαν ἀλλὰ μακρὰν πατρίδος,
ἣν οὐ κατεῖδον, οὐ συνῆλθον εἰς λόγους,
οὐκ εἰς χαρὰν ἔστερξα καὶ προσεπλάκην,
ἐν συμφοραῖς οὐκ ἔσχον εἰς λύπης ἄκος.
Ὡς εἶθε καὶ Κλέανδρον οὐκ εἶδον πάλαι
καὶ συμμετέσχον καὶ τροφῶν καὶ δακρύων.
Σὺ δ' ἀλλὰ δέξαι τὴν ἐμὴν θρηνῳδίαν,
ἣν ὡς χοὰς νῦν πενθικὰς ἔσπεισά σοι."

Εἴρηκε ταῦτα, καὶ μετ' αἰδοῦς κοσμίας
Γνάθωνος αὖθις ἀντεσῆλθε τὴν στέγην,
ὅθεν ξενίσας τοὺς γέροντας ὁ Γνάθων
σὺν τοῖς τέκνοις σφῶν ἀμφὶ πρώτην ἡμέραν,
ἐκεῖ θέλοντας καρτερῆσαι μὴ πλέον
τέλος προσελθὼν καὶ προσειπὼν ἀσμένως

καὶ γνήσιον φίλημα δοὺς τοῖς ἀνδράσιν
εἰς δευτέραν ἔπεμψε πρὸς τὴν πατρίδα.
Τῆς οὖν θαλάσσης εὖ κατεστορεσμένης,
οὐ πνεύματος πνέοντος ὀλκαδοφθόρου,
οὐ τῶν κυμάτων ἀμφικυλινδουμένων,
οὗτοι προσηνοῦς ἡμερωτάτου πλόου
τυχόντες ἐστέλλοντο πρὸς γῆν φιλτάτην.
Ἐπεὶ δὲ προσπλεύσαντες ἡμέρας δέκα
φθάσαιεν οὐκ ἐς αὐτὴν πατρίδα
καὶ τοῖς ἐπευκτοῖς ἐμπατήσαιεν τόποις,
ὁ μὲν Χαρικλῆν ἀπογεννήσας Φράτωρ
μεθεῖλκε Μυρτίωνα πρὸς τὴν οἰκίαν,
ὁ δὲ Δρόσιλλαν ἐκτοκεύσας Μυρτίων
ἀντιμεθεῖλκε τοῦτον ἀμφὶ τὸν δόμον,
αἱ μητέρες δὲ τοῦ νέου καὶ τῆς κόρης,
Ἡδυπνόη τε καὶ σὺν αὐτῇ Κρυστάλη,
ἐπεὶ τὸ συμβὰν ἐκμάθοιεν, εὐθέως
ἐκεῖ δραμοῦσαι, προσπλακεῖσαι τοῖς τέκνοις
τοῖς τῆς χαρᾶς ἔλουον αὐτοὺς δακρύοις.
Τὸ προσφιλὲς δὲ μητροπάτρωον γένος,
ὁ πατριώτης ὄχλος, ὁ ξυμφυλέτης,
συνεκρότουν, ἔχαιρον, ἐσκίρτων μέγα,
ἠγαλλίων ὁποῖον ἀλλὰ καὶ πόσον.
Οὗτοι μὲν οὕτως εἶχον· εἷς δέ τις φθάσας
ὁ πρῶτος αὐτῶν, ἱερεὺς Διονύσου,
ἐπιτρέπει τάχιστα κατειληφέναι
εἰς τὸν νεὼν σύμπαντας αὐτοὺς τοὺς ὄχλους,
ὡς ἂν συναρμόσαιτο τῷ Χαρικλεῖ
νύμφην Δρόσιλλαν εἰς ὁμιλίαν γάμου.
Εἴρηκε ταῦτα καὶ διπλοῦς παραυτίκα
κλάδους παρασχὼν ἀμπέλου τοῖς νυμφίοις
εἰς τὸν νεὼν εἰσῆξεν ἅμα τοῖς ὄχλοις.

Τί γοῦν τὸ λοιπόν; συζυγεῖσα πρὸς γάμον
νύμφη Δρόσιλλα τῷ Χαρικλεῖ νυμφίῳ
καὶ πρὸς δόμους ἀχθεῖσα τῶν γεννητόρων
μετὰ στεφάνων καὶ κρότων καὶ κυμβάλων,
ἐν ἑσπέρᾳ μένουσα παρθένος κόρη
γυνὴ πρὸς ὄρθρον ἐξανέστη τῆς κλίνης.

ΕΚ ΤΩΝ

ΚΑΤΑ ΑΡΙΣΤΑΝΔΡΟΝ ΚΑΙ ΚΑΛΛΙΘΕΑΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Πλανῶνται γὰρ ἐπὶ πολὺ τῶν ὀφθαλμῶν τὰ κύκλα,
τῷ μήκει τῆς ὁράσεως ἀμβλυνομένης φύσει.
καὶ σμῆνος εὐαρίθμητον ἐξαίρουσιν εἰς μέγα·
ἂν τύχῃ δ' ἐγκαθήμενον ἐν τῇ ψυχῇ καὶ δέος,
τότε καὶ λίθους καὶ φυτὰ καὶ τὰς ἀνύχους φύσεις ὁ
ἄνδρες ἡγοῦνται μαχητὰς ὅπλα περικειμένους.

Καὶ γάρ τοι φιλαλλότριον ὁ στρατιώτης χρῆμα
καὶ λίχνον καὶ φιλάδικον, ἂν μή τις ἀναστέλλῃ.

Ψυχῇ γὰρ πάθος ἐμπεσὸν ἀπονεκροῖ καὶ νύσσει,
καὶ τὴν καρδίαν δυσαχθὴς ὡς λίθος συμπιέζει. 10
καὶ στόμα τὸ λαλίστατον εἰς ἀφωνίαν τρέπει.

Ὄντως ἡ λύπη περαιρεῖν οἶδε καὶ τὰς αἰσθήσεις.
Κάλλος γὰρ οὕτω θαλερόν, τόσων χαρίτων πλῆρες,
οὐ μόνον θέλγειν ἄνθρωπον καὶ τυραννεῖν ἰσχύει.
ἀλλ', οἶμαι, καὶ βαρύθυμον λέαιναν σκυμνοτρόφον
καὶ κάπρον χαυλιόδοντα καὶ ταῦρον μυκητίαν· 15
βέλος ἐστὶν ἀσίδηρον, ἀλλ' εἰς καρδίαν πλήττει,
καὶ φαρμακεύει τὴν ψυχὴν καὶ θανατοῖ τὸ βλέμμα.

Ἀλλ' ἦν οὐδέν, ὡς ἔοικε. χεῖρον ἀνδρὸς βαρβάρου
οὐ πῦρ, οὐχ ὕδωρ, οὐδὲ θήρ, οὐδὲ θαλάττης χάσμα. 20

Ὄντως οὐδεὶς τὰς τοῦ θεοῦ διαδιδράσκει κόρας,
οὐ δυσσεβής, οὐ δύσορκος, οὐ φονευτής, οὐ γόης,

κἂν ἀετοῦ τὰς πτέρυγας ἐπωμασίους σχοίη,
κἂν πρὸς ἐρήμους πετασθῇ, κἂν εἰς νεφέλας φθάσῃ,
κἂν ὑπὸ σκότον καλυφθῇ, κἂν ὑπὸ γῆν κρυβείη· 25
κακὴ δὲ βούβρωστις αὐτὸν ἐπὶ τὴν γῆν ἑλαύνει.
Ἢ γὰρ ἀνδραγαθίζεσθαι προσήκει στρατιώτῃ
ἢ πίπτειν καὶ μὴ μάρτυρα τὸν ἥλιον αἰσχύνης
καὶ γῆν τὴν παντοθρέπτειραν καὶ τὴν σελήνην
ἔχειν.
Τοῦτο καλὸν ἐντάφιον ἄνδρασι στρατιώταις, 30
ἐν μάχαις ἀριστεύοντας θνήσκειν, οὐκ ἐπὶ κλίνης.
Ὄντως οὐδέν τι βέβαιόν ἐστιν ἐν τοῖς ἀνθρώποις·
οὐδὲν γὰρ οὕτω πέφυκε δουλοῦν καὶ θρασυσπλάγχνους,
ὡς κῆπος ὡραιότητος, ὡς εὐπρεπείας ἄλσος·
ὁ γὰρ τοῦ κάλλους ὀχετὸς δι' ὀφθαλμῶν εἰσρέων 35
εἰς τὴν καρδίαν κάτεισι καὶ τὴν ψυχὴν θηλύνει,
κἂν εὕρῃ κάμινον θυμοῦ καὶ πῦρ ὀργῆς παφλάζον,
δροσίζει τὸ θυμούμενον καὶ τὴν ὀργὴν μαραίνει,
καὶ σαλαμάνδρα γίνεται καὶ σβέννυσι τὴν φλόγα,
ἄλλην δὲ πάλιν κάμινον καὶ πῦρ ὑπανακαίει, 40
ὧν Ἔρωτες καμινευταὶ καὶ φυσητὴρ ὁ Πόθος,
ἐξ ἀφανῶν ἀνάπτοντες τὴν φλόγα πυρεκβόλων.
Οὐδὲν γὰρ ἀναιδέστερον γαστρός ἐστι θηρίον,
ἥτις αὐτῆς μιμνήσκεσθαι πάντας ἐπαναγκάζει,
κἂν συμφοραῖς, κἂν πειρασμοῖς, κἂν ⏑ – ⏑ – πι-
κρασμοῖς. 45
Οἶδε [καὶ] γὰρ ἀναψυχῆς ψεκάδας ἐπιστάζειν
διηγηθὲν ἀλλότριον τὸ δυσπραγοῦντι πάθος.
Ἐστὶ μὲν γὰρ καὶ φίλοικτον ἄνθρωπος φύσει
ζῶον·
οὐ γὰρ μελανοκάρδιος ἔφυσε τοῦτον πέτρα, 49
οὐ δρῦς, ἀλλ' οὐδὲ σίδηρος, ἀλλ' οὐδὲ θὴρ φριξαύχην.

Εἰ δέ τινες ὁμογενεῖς ἐντύχοιεν ἀλλήλοις
συμφλαττεται, σύμμοχθοι, συναιχμαλωτισθέντες,
κοινοῦνται καὶ τὰς συμφορὰς καὶ τοὺς ἀλλήλων
πόνους,
συστένουσι, συγκλαίουσιν, ἀλλήλοις συμπενθοῦσιν.
Ἥλιξ γὰρ ἥλικα, φασί, τέρπει καὶ κόρη κόρην
καὶ γραῦς τριχόρωτος τὴν γραῦν καὶ πέμπελον
ὁ γέρων.
Ἔρως οὐ μόνον ἐν πλωτοῖς καὶ πτερωτοῖς ἰσχύει,
οὐκ ἐν ἀεροβάμοσιν οὐδ' ἐν τοῖς χερσοπόροις,
ἀλλὰ καὶ λίθων καὶ φυτῶν αὐτῶν κατακαυχᾶται
καὶ βέλος ἐπαφίησι καὶ τοῖς ἀνομοφύλοις·
Ἔρως ποιεῖ καὶ ποταμὸν γλυκὺν θαλασσοβάτην.
Ὁ γοῦν Ἠλεῖος Ἀλφειὸς ἐρᾷ τῆς Ἀρεθούσης
(πηγὴ δ' ἐστὶν Ἀρέθουσα κατὰ τὴν Σικελίαν)
καὶ διαβαίνει θάλασσαν καὶ δίεισι τὸ κῦμα,
καὶ κοῦφος ἐποχούμενος ἐν τοῖς τῆς ἅλμης νώτοις
σώζει τὸ ῥεῖθρον ἀμιγὲς ἀπὸ τῆς ἁλμυρίας
καὶ παραπέμπει πότιμον ἐπὶ τὴν ἐρωμένην,
τηρῶν νυμφίον ἑαυτὸν γλυκύρρουν ποντοβάτην.

Β

Χρυσῷ τῷ καὶ θεοὺς μαλάσσειν δυναμένῳ,
καὶ τῶν φαρμάκων τῶν ἐν γῇ πάντων δραστικω-
τέρῳ.
Τοῖς παροργίοις Ἔρωτος ὑπηρετεῖν τὸν οἶνον.
Ἐντεῦθεν οἶνος λέγεται γάλα τῆς Ἀφροδίτης.
Καὶ δύο δυσμαχώτατα τῶν ἐπὶ γῆς πραγμάτων,

υἱὸς Διὸς Διόνυσος, παῖς Ἀφροδίτης Ἔρως.
Οὐδὲν ἂν ἦν μωρότερον γραμματικῶν ἐν βίῳ,
ἂν γῆν μὴ περιέτρεχον τῶν ἰατρῶν οἱ παῖδες.
Φθόνος ἡ ῥίζα τῶν κακῶν, τὸ πονηρὸν θηρίον.
Ὄντως ἀεὶ τροχηλατεῖ τοὺς πονηροὺς ἡ Δίκη
καὶ πανταχόθεν βουτυπεῖ καὶ πάντοθεν ἐλαύνει,
ὡς οἶστρος ταῦρον μυκητήν, ὡς βούβρωστις, ὡς μύαι.
Οὐδεὶς παρόντος κρέατος θύμον δριμὺν ἐσθίει,
κἂν γογγυλίδας τρέφοιτο δοκῶν πυθαγορίζειν.
Δεινὸν καὶ πονηρὸν χρῆμα ψυχὴ προδότις·
ὅφις ἐστὶ συμπάρευνος, ἐγκάτοικος σκορπίος,
συγκοιμωμένη λέαινα, συγκαθημένη τίγρις,
πάρδαλις ὁμοτράπεζος, σύνδειπνος βασιλίσκος.
Ἂν ἔνδον ἔχῃς τὸ κακόν, ἂν τὸν προδότην θάλπῃς,
κἂν τεῖχος ἔχῃς σιδηροῦν, κἂν καταχάλκους πύργους,
εὐάλωτον τὸ φρούριον, ἀφύλακτος ἡ πόλις,
οἱ φύλακες οὐ φύλακες, οἱ κόποι κόποι μόνον.
Καὶ τίς ἀλύξει κίνδυνον καὶ τίς τὸ ξίφος φύγῃ,
ἂν γλῶσσα φιλολοίδορος πέρπερος συκοφάντης
αὐτόπιστος νομίζοιτο κἀπὶ τοῖς ἀνελέγκτοις,
ἂν δοῖεν οἱ δικάζοντες ὥτα τοῖς κατηγόροις,
καὶ πάντα παραδέχοιντο μὴ σὺν δοκιμασίᾳ,
καθάπερ ἀπὸ τρίποδος θεσπιῳδοῦ μαντείου,
οὐ φθάνοιεν ἐκτέμνοντες καὶ τραχηλοκοποῦντες,
δειροτομοῦντες, ὡς ἀρνοὺς ἐπὶ κρεωπολίου,
ὅλας ἀγέλας δημοτῶν, ἀγροίκων, οὐκ ἀγροίκων,
τρισευγενῶν, οὐκ εὐγενῶν, ἀχλαίνων, λυπροβίων.
Ἄνδρες, δεινὸν καὶ πονηρὸν ὁ συκοφάντης χρῆμα·
οὗτος καὶ πόλεις ὄλλυσι καὶ δόμους ἀνατρέπει,
ἐπανιστᾷ τῇ θυγατρὶ μητέρα πολεμίαν

καὶ τῷ πατρὶ τοὺς ἐξ αὐτοῦ ταυτογενεῖς συγγόνους·
ὅς τις ἐστὶ θανάσιμον φάρμακον ἀποπτύων,
ἰὸν ἀπερευγόμενος δεινὸν ἀνθρωποφόρτην,
φύσαλος θαλασσόβιος, πυρίπνοος κατώρλευ
καὶ μαρτιχόρας Ἰνδικὸν ἀνθρωποφάγον ζῶον,
ὡς ἐκ νευρᾶς τοῦ στόματος ἀποτοξεύων βέλη
καὶ βάλλων εὐστοχώτατα κατὰ τοὺς ἐχθρόλους,
λόγους πικροὺς θυμοδακεῖς, πλήττοντας ὑπὲρ βέλη·
ῥίζα πικρὰ φθοροποιός, ἑλλεβορώδης ῥίζα,
ἀκόντιτον φυόμενον ἐν νήσοις, ἐν ἠπείροις,
ἐκ σιελώδους χυμοῦ καρδίας μιαιφόνου·
ἄγριος δράκων, δαφοινὸς ἡπατοφάγος λέων,
γυὶ οὐκ ὀρύττων ὀφθαλμοὺς οὐδ' εἰς τὸ δέρτρον
δύνων,
ἀλλ' εἰς καρδίαν μέσην * *
Ἀνσιμπολίτην οὖν αὐτὸν τὸν συκοφάντην ἔχῃς,
οὐ φεξύῃ τούτου τὸν ἰόν, τὸ κέντρον οὐκ ἀλύξεις,
κἂν ὑψιβάμων αἰετὸς μεγαλοπτέρυξ γένῃ,
κἂν πετασθῇς μετάρσιος, κἂν εἰς αἰθέρα φύγῃς.
Ἡ γλῶσσα βλύζει τὸν ἰόν, τὴν λύσσαν ἡ καρδία·
τοξότης εὐστοχός ἐστι, φαρμάσσει καὶ τὰ βέλη·
εἰς οὐρανὸν τὸ βέλεμνον φθάνει καὶ τραυματίζει.
Τούτου τὸ βέλος ἄχαλκον, ἀσίδηρον τὸ βλῆμα,
τὸ τόξον οὐκ ἐκ κέρατος, οὐδ' ἡ νευρὰ βοεία,
καὶ φθάνει σε καὶ θανατοῖ, κἂν τῶν ἀστέρων
ψαύσῃς,
κἂν ἕως ὕψους πετασθῇς τῆς σφαίρας τῆς ἐνά-
στρου.
Ὁ φθόνος ὁ μισόκαλος πατὴρ συκοφαντίας,
συκοφαντία κύημα φθόνου τοῦ βαρυζήλου,
πατρὸς πικροῦ πικρότερον καὶ γέννημα καὶ θρέμμα,
ὡς ἐξ ἐχίδνης θυμικῆς ῥίγιστος τιγρολέων.

Ὄντως ὁ βόθρον τοῖς ἐγγὺς ὑπονομεύων φόνου
αὐτὸς αὐτὸς ἐς σήραγγας ἐμπίπτει βαθυχάους,
ἐς σήραγγα τὴν ἄφυκτον τὴν ὑποταρταρίαν.
Οὕτως οὐδὲν κακούργημα μέχρι παντὸς λανθάνει
οὐ τὰς θεοῦ παντιδερκεῖς καὶ πανοπτρίας κόρας,
ἀλλ' οὐδ' ἀνθρώπων τοὺς πολλούς, ἵνα μὴ λέγω πάντας.
Ἀλλὰ κακούς, ὡς ἔοικε, καὶ θάνατος φοβεῖται
καὶ δραπετεύει τοὺς σκαιοὺς καὶ κακοτρόπους τρέμει.
Ζῶόν ἐστι Παιονικόν, κλῆσις τῷ ξώῳ μόνωψ,
παρεμφερὲς εἰς μέγεθος ταύρῳ μεγαλοστέρνῳ.
Τοῦτο σιτεῖται τὰς πικρὰς καὶ θανασίμους ῥίζας·
κἂν ἐπακτὴρ διώκῃ τις αὐτὸ θηριοθήρας,
πυρόεν ἀποπάρδημα πέμπει δριμὺ φλογῶδες,
κἂν ψαύσῃ μόνον ῥαντισμὸς ἐκείνου τοῦ σκυβάλου,
κἂν σκυλακίου, κἂν ἀνδρός, κἂν τινος ἄλλου ζώου,
εὐθὺς εὐθὺς καὶ θανατοῖ καὶ παράχρημα φθείρει.
Ἀλλὰ κακούς, ὡς ἔοικεν, οἴδασι καὶ στοιχεῖα
καὶ πῦρ καὶ γῆ καὶ ποταμοὶ καὶ θῆρες ἀγρονόμοι,
καὶ πάντοθεν ἐλαύνουσι στυγοῦντες τὴν κακίαν·
ὄμμα δὲ Δίκης πανδερκὲς κυνηγετοῦν ἰχνεύει,
καὶ πάντοθεν ἐφέπεται τὸν δυσσεβῆ διῶκον,
ὡς Ἄργος ὁ πολύγληνος τὴν Ἰναχείαν κόρην,
κἂν Ἄτλαντος νιφόεντας ὑπερπηδήσῃ πάγους,
κἂν τοῖς βυθίοις ἐγκρυβῇ τοῦ Τρίτωνος θαλάμοις,
κἂν ὑποδὺς ὠκεανὸν ὑπόβρυχα μιμνάζῃ,
κἂν πτερωθεὶς ὡς ἀετὸς Λιβύην ὑπερπέτῃ
καὶ τὰ παρὰ Καυκάσια καὶ τὰ Γαδείρων πέρα,
κἂν φύγῃ πρὸς Ἀριμασπούς, κἂν ἐπὶ Μασσαγέτας·
οὕτως οὐδὲν ἀνέχεται τὸν ἀσεβῆ βαστάζειν,

οὐ ποταμός, οὐ δένδρεον οὐδ' ἡ παμμήτωρ γαῖα.
Ὀχλώδης γὰρ καὶ κραύγασος ἅπας λιμστὴς καὶ
λάλος.

Γ'

Οὐ γάρ τι βέβαιον θνητοῖς, ὁ δὲ τροχὸς τῆς Τύχης
συχνάκις κυλινδούμενος ἄνω καὶ κάτω ῥέπει
σκέμματα καὶ βουλεύματα καὶ τύχας ἀνθρωπίνας.
Κἂν ἦν ἀνθρώποις ἀνυστὸν πᾶν τὸ βεβουλευμένον,
ἀντικατέστη καὶ θεοῖς ἄνθρωπος ἂν εἰς μάχην·
καὶ τίς ἂν ἰσχυσεν ὀφρῦν ἀνθρώπου κατασπάσαι;
Ἀλλ' ὁ θεός, ὡς ἔοικεν, ἐπίτηδες κολούει
καὶ σφάλλει διαβούλια καὶ πράγματα συγχέει.
Ἂν ζῶντα γάρ τινα καλῶς ἡ μοῖρα προαρπάσῃ,
ὁ θάνατος οὐ θάνατος, ὁ πότμος οὐχὶ πότμος,
ἡ νέκρωσις οὐ νέκρωσις, ἀλλὰ τῶν πόνων παῦλα.
Καὶ γὰρ τὸν ἀνδροκάρδιον κἄξ εὐγενῶν φυέντα
καὶ τεθραμμένον εὐγενῶς ἢ ζῆν καλῶς προσήκει
ἢ καταλύειν τὴν ζωὴν καὶ θνήσκειν προσηκόντως.
Οὐκ ἀγνοεῖς, Ἀρίστανδρε, τὰ παίγνια τῆς
Τύχης.
Οὐκ ἀγνοεῖς, ὡς θάλασσά ποτε καὶ κυματοῦται
καὶ πνεύμασι τινάσσεται σφοδροῖς βαρυηχέσι
καὶ πάλιν κατευνάζεται καὶ πάλιν ἡμεροῦται
καὶ καταστέλλει τοὺς βρασμοὺς καὶ τοῦ θυμοῦ τοὺς
ὄγκους
ἐπιπνευσάσης εὐκραοῦς πνοῆς ἀπαλοπνόου.
Οὐ πάντοτε τὸ πρόσωπον τοῦ λαμπραυγοῦς ἡλίου

ἀχλύες παχυνέφελοι θολοῦσι καὶ σκοτοῦσιν,
οὐ πάντοτε κατήφειαι χειμῶνος τυραννοῦσιν,
οὐ φυλλοχόοι καὶ στυγνοὶ μῆνες ὀπωροφθόροι·
λάμπει ποτὲ καὶ φερανθὲς ὀπωροφόρον ἔαρ,
λάμπει καὶ τελειόκαρπος ὥρα ποτὲ θερεία,
τὸ σκυθρωπὸν ἐλαύνουσα τοῦ χειμερίου κρύους.
Οὐ πάντοτε τὸ ζάκοτον δαιμόνιον χολοῦται
οὐδὲ βλοσυροβλέφαρον ὄμμα θνητοῖς δεικνύει,
ἀλλ' ἔστιν ὅτε καὶ γελᾷ καὶ γαληνοῖς προσώποις
καὶ βλέμμασι προσδέρκεται τούτους ἱλαρωτέροις.
Κἀμοὶ τὸ περπερόγλωσσον καὶ τὸ κομψὸν ἐν λόγοις
ἀπειροκάλου καὶ ψυχῆς νομίζεται καὶ γλώσσης.
Οὕτως οὐ χρή ποτε θνητὸν εὐδαιμονίζειν ἄνδρα,
πρὶν ἂν περάσῃ πέλαγος θαλάσσης τῆς τοῦ βίου,
πέλαγος ὠρυόμενον μορμῦρον ὑπὲρ ἅλμην
Ἀτλαντικὴν καὶ Σικελὴν καὶ Πόντον κυματίτην.
Τῆς γὰρ φιλίας τὸ πιστὸν ὁ πειρασμὸς ἐλέγχει,
ὡς πῦρ δοκιμαστήριον τὸ καθαρὸν τῆς ὕλης,
ὡς λίθος ἄλλη τὸν χρυσὸν ἡ βασανιστηρία.
Κἀκεῖνος φίλος ἀκραιφνὴς ὁ πάσχοντος τοῦ φίλου
μὴ φεύγων μηδὲ προδιδοὺς μηδὲ τὰ νῶτα στρέφων.
Ὁ φίλος φίλος ἐν κακοῖς· ἐν γὰρ εὐημερίαις
ἀρκεῖ καὶ μόνος ὁ θεός· τίς τότε φίλου χρεία;
Ἂν δέ τις βλέπων συμφορᾷ ποντούμενον τὸν φίλον
ἔρημον οἴχοιτο λιπὼν ὡς σκάφος θαλασσόπλουν
οὐκ ἔχον τοὺς ἰθύνοντας, οὐ κάλωας, οὐ λαίφη,
δελφῖνος ἔργον καὶ φθειρὸς ἀλλ' οὐκ ἀνθρώπου πράττει·
ἕπεται γάρ τοι καὶ δελφὶς μέχρι καὶ γῆς τῇ σκάφῃ,
ἂν δ' ἴδῃ προσπελάζουσαν τῇ παρακτίῳ χέρσῳ
λειπόνεως γενόμενος καὶ λειποναύτης φεύγει·

καὶ φθεῖρες αἱματόθρεπτοι τοῖς αἵμασι σιζῶσιν
ἂν τοὺς ἁλόντων ὀχετοὺς εὑρίσκουσιν πλουτοῦντας·
ἂν δ' ἤδη λειφαιμήσαιεν, αἱ δ' αὖθωνται συγγέντων
καὶ κρεϋλλίων καὶ σαρκῶν καὶ τῶν ἐπιδερμίδων, 55
πόδα δραπέτην αἴρουσι καὶ σύνεισιν οὐκέτι.

Κοῦφον γὰρ φρόνημα, φασί, καὶ μετεωροβάμον
τῆς τύχης τὴν εὐμένειαν οὐ δύναται βαστάσαι,
βρίθουσαν ὑπὲρ μόλιβδον, ὑπὲρ σιδήρου βάρος.

Τὸ γὰρ περιφερόμενον, ὡς ἔοικεν, οὐ μῦθος ὃ 60
ὅτι συνέδεντο, φασίν, ἀλλήλοις τὰ στοιχεῖα
ἐπ' ἄλληλα τὰ παρ' ἀμφοῖν κρυπτὰ διαπορθμεύειν·
κἀντεῦθεν πάντα λέγουσιν ἐν στόμασιν ἀγλώσσοις.

Ἀλλ' ἄκρατον εὐτύχημα τίς γηγενῶν εὑρήσει;
ἡ Τύχη γάρ, ὡς ἔοικεν, ἐν τούτοις δυσμεναίνει 65
καὶ τοῖς τερπνοῖς παρακιρνᾷ καί τι τῶν πικραζόντων.

Λέγεται γάρ τοι βασιλεὺς στρουθιομήτωρ ὄρνις,
καὶ τὸν ὑπήκοον λαὸν ἀμφέπει καὶ συνέχει,
τοὺς ἀπτερώτους ἀπαλοὺς νηπίους ὀρταλίχους,
καὶ πᾶσαν ἔφοδον ἐχθρῶν καὶ βλάβην ἀπερύκει. 70

Οἴνου πολλοῦ γάρ, ὥς φασιν, εἰς σῶμα κατιόντος,
ἐπαναπλέει ῥήματα πᾶν κρύφιον τρανοῦντα.

Δ

Εἰς οἵαν ἅλμην συμφορῶν, εἰς πέλαγος πηλίκον
τὸ φῦλον τὸ ταλάντατον ῥιπτεῖται τῶν ἀνθρώπων

εὐθὺς εὐθὺς ἀπὸ γαστρός, ἀπὸ τοῦ πρώτου φάους.
Καὶ τῶν κακῶν ἐκκόλυμβον οὐ δύναται γενέσθαι,
πρὶν ἂν αὐτὸ νεκραγωγὸς μεταπορθμεύσῃ Χάρων
παντοδεχὲς ἐς φρούριον νέρτερον νεκροδέγμον,
ἐς ἄλλους χώρους ἀφεγγεῖς στυγνοὺς ἀσελαγήτους,
οὓς φλοῖσβος Ἀχερόντειος καὶ Κωκυτοῦ στροφάλιγξ
ἐνύδροις περιβρέχουσι καὶ σφίγγουσιν ἀγκάλαις.

Τὸ γὰρ πολὺ τῶν πειρασμῶν ὑπελαφρύνει βάρος
φίλη ψυχῶν συμβίωσις καὶ τὸ συζῆν ἀλλήλοις,
ὥσπερ δυοῖν δυσάγκαλον μεριζομένων ἄχθος.

Ἄνδρες δὲ λέγουσι σοφοὶ Μουσάων ὑποφῆται.
Ἂν ἦν ἀνθρώποις δυνατὸν πάντας ὁμοῦ γενέσθαι
καὶ τὰς ἰδίας ἕκαστον πικρίας καὶ τὰς θλίψεις
καὶ τῆς ψυχῆς τὴν συνοχὴν εἰς μέσον καταθεῖναι,
ἔπειτα κήρυξ παρελθὼν ἐβόησεν ἐντράνως
"Ἄνθρωποι πηλοφύρατοι, χωμάτινοι τὴν πλάσιν,
ἕκαστος ἀποθέμενος τὰς λύπας τὰς ἰδίας
αἷς τὴν ψυχὴν καμπτόμενος ἀλγεῖ καὶ σχετλιάζει
τὰς θλίψεις τὰς τοῦ σύνεγγυς ἀντεπιφορτισθήτω",
ἕκαστος ἂν τῶν γηγενῶν ἐπέγνω παραυτίκα
ὅσον αὐτὸς κουφότερον περίκειται φορτίον,
ὅσον εὐκομιστότερον ὡς ἐν κακῶν συγκρίσει·
οὐδεὶς γὰρ ἂν ἠθέλησεν ἄλλου βαστάσαι πόνους,
τὰς ἀχθηδόνας τῆς αὐτοῦ καρδίας ἀπορρίψας.

Τίς γὰρ κακῶν ἀπείρατος εἰς γῆν πεσὼν καθάπαξ,
ἢ τίνι περιπλέοντι τὴν ἅλμην τὴν τοῦ βίου
εὐρυχανὲς οὐκ ἤνοιξαν οἱ πειρασμοὶ τὸ στόμα,
καθάπερ ὀμβριμόγυια πολυχανδέα κήτη
αὐτοῖς ἱστοῖς αὐταῖς ναυσὶ ῥοφοῦντες τοὺς πλωτῆρας;

Τὸ γὰρ περιφερόμενον, ὡς ἔοικεν, οὐ ψεῦδος,

ὡς πᾶς ἀνὴρ ὁ μὴ πλουτῶν ἀμφὶ μελαίνας φρένας,
μὴ νοῦν αὐχῶν πευκάλιμον, μὴ συνορῶν τὸ δέον,
σκιρτᾷ κολακευόμενος καὶ περιπτύσσεταί σε
καὶ γάννυται καὶ γέγηθεν τὸ θελητὸν ἀκούων·
ἂν δὲ λαλήσῃς ἀληθῆ κἂν τοῖς ἐλέγχοις κνίσῃς,
στυγεῖ σε καὶ βδελύττεται καὶ δέχεται τοὺς λόγους
ὡς μαχαιρίδας, ὡς ἰὸν ἀσπίδος φαρμακτρίας,
ὡς ἄσθματα κατώβλεπος, ὡς μαρτιχώριον βλέμμα,
καὶ πρὸς τὴν ἀντιλύπησιν σπεύδει. Τῆς κουφονοίας.

Ἀλλὰ τὰς φρένας, ὥς φασι, νικᾷ τὸ πεπρωμένον
καὶ παραπλάζει τῆς ὁδοῦ καὶ κατὰ χάους βάλλει
καὶ καταβάλλει κύμβαχον ἐπὶ βρεχμόν, ἐπ' ὤμους.
Μικρὸς σπινθὴρ ἐρίβρομον κάμινον ἀνακάει·
ὅλην ἀγέλην ψωριῶν ἓν ξῶον διαφθείρει,
καὶ κάμπη μία δείκνυσιν ἄφυλλον ὅλον δένδρον,
καὶ πόλιν ὅλην φαυλουργὸς ἄνθρωπος εἷς αἰσχύνει.
Ἂν τὸν σπινθῆρα σβέσῃ τις, ἂν τοῦ πυρὸς τὸ σπέρμα,
φλὸξ οὐκ ἀνεγερθήσεται, κάμινος οὐ παφλάσει·
ἂν ἐκποδὼν ποιήσηται τὸ πάσχον ἀγελάρχης,
οὐ ψαύσει ψώρα τῶν λοιπῶν, οὐ τοῖς λοιποῖς πελάσει·
ἂν συμπατήσῃ φυτουργὸς τὴν χλωροφάγον κάμπην,
τὸ δένδρον εὖ πλησθήσεται σπερματισμοῦ καὶ γόνου,
καὶ γόνος ὁ νεώτερος οὐ φάγηται τὰ φύλλα·
ἂν τολμητίαν ἄνθρωπον ξίφος δειροτομήσῃ,
οὐδεὶς τοσοῦτον ἀναιδὴς καὶ θερμουργὸς ἐσσεῖται,
ὥστε τολμῆσαι τοῖς αὐτοῖς κακοῖς ἐπιχειρῆσαι,
ἀλλὰ τὴν θρασυκάρδιον ἀνασειράσει τόλμαν,
ἐγγὺς ἐγγὺς τὴν κόλασιν καὶ πρὸ βλεφάρων ἔχων.
Ἂν γὰρ μικρὸν δελφάκιον ὑπογρυλλίσαν μόνον 61

ἐλέφαντα βαρύσαρκον ἐκδειματοῦν ἰσχύῃ,
ἂν ἐκφοβῶσι λέοντας ἀλεκτοροφωνίαι,
πῶς οὐχὶ ξίφος ἄνθρωπον καὶ πέλεκυς φοβήσει,
κρεωκοπῶν μελεϊστὶ κακοεργάτας ἄνδρας;
Ὁ μὲν γὰρ κάκιστος ἀνὴρ τῷ βίῳ συγγηράσκει
καὶ ζῇ μακροὺς λυκάβαντας ἕως τριχὸς παλλεύκου,
καὶ θάνατος οὐ δύναται τούτου περιγενέσθαι·
μᾶλλον μὲν οὖν καὶ πέφρικεν ὁ θάνατος καὶ τρέμει
μὴ δάκῃ τοῦτον ὁ κακὸς καὶ μᾶλλον θανατώσει·
ἔχιδνα γάρ τοι, λέγουσι, ποτὲ φαρμακομήτωρ
εὐνοῦχον φθάσασα δακεῖν, ἐρράγη παραχρῆμα·
αἵματος γὰρ ἐγεύσατο πολλῷ φαρμακωτέρου
κἀκείνης τὸν θανάσιμον ἰὸν ὑπερνικῶντος·
ὁ δὲ καλὸς ἐπὶ μικρὸν ἀναθελήνας χρόνον
ψύγεται ῥόδον ὡς λοκρὸν καὶ φθίνει πρὸ τῆς ὥρας.

E

Οὐδὲν γὰρ χεῖρον ἕτερον νόμισμα παρ' ἀνθρώποις
ἔβλαστεν οἷον ὁ χρυσός, χρυσὸς ὁ κακορρέκτης,
ὁ τύραννος, ὁ βίαιος ἀνθρώπων κρεανόμος,
συκοφαντίας ὁ πατήρ, ὁ φυτουργὸς τοῦ ψεύδους,
ἀνθρωπαπάτης ὁ πικρός, ἡ τῆς κακίας ῥίζα·
οὗτος καὶ πόλεις ὄλλυσι καὶ δόμους ἀνατρέπει·
οὗτος τὸ πᾶν ἀσυστατεῖ καὶ φθείρει καὶ συμφύρει·
οὗτος διδάσκει τὰ κακὰ καὶ παραλλάσσει φρένας
καὶ νοῦν χρηστὸν εἰς ἔχθιστα πράγματα παρασύρει·
οὗτος θνητοὺς ἐδίδαξεν πᾶσαν κακοβουλίαν

καὶ σύμπασαν δυσκρήειαν καὶ μοχθηροτροπίαν.
Ἅπαν φρόνημα σκληρὸν αἰσχιστον πτῶμα πίπτει.
Οἵδε καὶ γὰρ ἀκρόασις θλίψεων ἀλλοτρίων
συγχέειν τοὺς ἀκούοντας καὶ συγκινεῖν εἰς πένθος,
τὸ μὲν ὑπαναξαίνουσα τὰς ἐν ἐκείνοις πάθας,
τὸ δὲ καὶ κατοικτίζεσθαι πείθουσα τὰ τῶν ἄλλων.
Καλῶν μὲν γὰρ συμπάθεξις τίκτει ποτὲ καὶ ᾠδίνων·
ὁπόσοι δ' ἂν μετάσχωσι ταυτοπαθῶν καμάτων,
ἀλλήλοις τὸ φιλάνθρωπον ἀντιφιλοτιμοῦντες
καὶ τὰς ἀλλήλων συμφορὰς οἰκτείροντες ἀλλήλοις,
ἀντιπροπίνουσι πικρὰν πένθους φιλοτησίαν.
Οὕτω καὶ μέγεθος χαρᾶς νέκρωσιν οἵδε φέρειν,
ἐν ὑπερμέτροις ἡδοναῖς τῶν ζωτικῶν μορίων
ἀτιμένων καὶ τῆς σφῶν θερμῆς ἐκπνουμένης·
ἔοικε δὲ καὶ τὸ πολὺ τῆς τέρψεως μεθύσκειν
τοὺς ταῖς ἀφύκτοις ἰυγξιν αὐτοῦ θηλυνομένους,
ὡς οἶνος παλαιόθερμος τοὺς ἀκρατοποτοῦντας.
Ἐν ζωσι πάντα τὰ τερπνά· παρὰ δὲ τοῖς νερτέροις
ὀστᾶ καὶ χοῦς κεισόμεθα καὶ μόνον κούφη κόνις.
Καλοὺς γὰρ τέρπουσι καλοὶ καὶ τοὺς αἰσχροὺς
οἱ φαῦλοι.
Θεοὶ γὰρ ἄκρατον οὐδὲν νέμουσι τοῖς ἀνθρώποις,
ἀλλὰ συναναφύρουσι τοῖς ἀγαθοῖς καὶ φαῦλα·
καὶ κάλλους μὲν χαρίζονται χρυσολαμπεῖς ἀκτῖνας,
ἀλλὰ τὸ κάλλος τοῦ νοὸς ἔμπαλιν ἀφαιροῦνται.
Ἄκρατος γὰρ ἐπιπεσὼν ὁ πανδαμάτωρ Ἔρως
καὶ τὴν καρδίαν κατασχὼν καὶ τὴν ψυχὴν μεθύσας
καὶ καθ' αὑτοῦ θυμαίνεσθαι τὸν ἐραστὴν ὁπλίζει.
Οὐδὲ γὰρ οὐδ' ὑπεύθυνόν ἐστι τὸ κατὰ βίαν.
Τὸ γὰρ ἑτοιμοδώρητον ἔχει τινὰ καὶ χάριν.
Παστάδων πηγνυμένων γὰρ καὶ γάμων τελουμένων

τὸ μὴ καὶ τὸν γεννήτορα παρεῖναι τοῦ νυμφίου
καὶ θύειν δειπνογάμια καὶ συμπανηγυρίζειν
οὐκ εὔλογον οὐδ' αἴσιον οὐδ' εὐπρεπὲς ἡγοῦμαι.
Οὕτω πολλάκις τοῖς πολλοῖς οἱ τῶν ἀνθρώπων φόβοι
ἐμποδισταὶ καθίστανται τῆς μοχθηροτροπίας.
Καί τις σφαδάζων πρὸς αἰσχρὰ καὶ πρὸς ἀθέσμους πράξεις
ὡς πῶλος πυριμάλακτον στόμιον ἀποπτύσας
καὶ μήθ' αὑτὸν αἰδούμενος μήτε τὸ θεῖον τρέμων,
ἂν ἔχῃ φόβον σύνοικον, ἂν ἐξ ἀνθρώπων πτοίαν,
ἐκ τῶν ἀτάκτων εἴργεται καὶ φαύλων σκιρτημάτων·
κημὸν γὰρ βαρυσίδηρον τὸν ἐκ τοῦ δέους φέρει.
Καὶ κύνα δέ ποτέ φασιν ἄγριον λυσσητῆρα
ἄνδρα τινὰ μεγάθυμον καὶ βριαρὸν φοβῆσαι
καὶ πρὸς εὐνὴν μοιχίδιον βεβακχευμένον εἶρξαι.

ς

Ὧν γάρ τις ἔραται τυχεῖν ταῦτα φαντασιοῦται.
Ὦ γύναι, κόσμος γυναιξὶ καὶ μᾶλλον ταῖς παρθένοις
μὴ γλωσσαλγεῖν ἐπὶ κενοῖς, ἀλλὰ θυροῦν τὸ στόμα
καὶ μὴ μακροῖς καὶ περιττοῖς ἐνδιατρίβειν λόγοις.
Αἱ τῶν μεγάλων, ὥς φασι, πραγμάτων ἐγχειρήσεις
μεγάλης γὰρ συσκέψεως χρῄζουσι καὶ φροντίδος·
ἂν γὰρ ἀπερισκέπτως τις οὕτω καὶ παραβόλως
καὶ μὴ προφυλαξάμενος τὸν τῶν κινδύνων ὄγκον
ἐπιθυμίᾳ νικηθῇ καὶ τολμηρόν τι δράσῃ,
ταὐτόν τι διαπράξασθαι δόξει τοῖς νουνεχέσιν,

ὡς εἴ τις ἀκοντίσειε κατὰ κριμνοῦ τὸ σῶμα
κατὰ τὰς κριμνοβλατίδας ὀρεσινόμους αἴγας
καὶ βαθυχάων κριμνωδῶν φαράγγων ἀνεκβάτων
ἢ καὶ γυμνοῖς τοῖς ξίφεσιν ἐγκατακυλιστήσοι.
Πρᾶξις μὲν γὰρ προφθάνουσα τοῦ λογισμοῦ τὴν κρίσιν
σφαλερωτέρα τὰ πολλὰ καὶ κινδυνωδεστέρα
καὶ ζημιώδης καὶ πολλὴν ἐπάγουσα τὴν βλάβην·
ἂν δέ τις προβουλεύσηται καὶ πάντα δοκιμάσῃ
καὶ τῆς βουλῆς ἐν τῇ ψυχῇ τὸ σπέρμα θησαυρίσῃ,
καλὸν καὶ τὸ γεώργιον καὶ τὸν καρπὸν κερδαίνει,
ὡς εἴ τις αὐλακίσμασι χρησάμενος βοστρύφοις
ἐκ γῆς λιπαροβώλακος θέρος ἀδρὸν θερίσοι.
Φύσει καὶ γὰρ ζηλότυπον τὸ τῶν εὐτυχούντων γένος·
κἂν πιστευθείῃ φυλακήν, οὐχὶ κατανυστάζει,
οὐχ ὡς πιστὸν τοῖς ἑαυτῶν δεσπόταις οὐδ' ὡς εὔνουν,
ἀλλὰ φθονοῦν ἀλλὰ ζηλοῦν ἀλλ' ἐγκοτοῦν τοῖς ἄλλοις,
καὶ μὴ δυνάμενον ποιεῖν εἴργει τοὺς δυναμένους.
Οὕτως καὶ κύνας λέγουσι δρᾶν τοὺς ἐπιφατνίους·
μὴ γὰρ αὐτοὶ δυνάμενοι κριθοφαγεῖν ὡς ἵπποι,
οὐδὲ τοῖς ἵπποις θέλουσιν ἐσθίειν συγχωροῦσιν.
Σύμφυτα γάρ τοι γυναιξὶ τὰ τῆς ζηλοτυπίας·
ἐπὰν δὲ καὶ ταῖς ἔρωτος ἐκκαίοιντο καμίνοις
καὶ ταῖς ἐκ τούτων φλέγοιντο πυρκαϊαῖς τὰ σπλάγχνα,
τοὺς ἐρωμένους τε συμβῇ σφίσιν ὡραίους εἶναι,
ἀγαλματίας τὴν μορφήν, εὐμήκεις ὡς πλατάνους,
τότε καὶ βλέμμα καὶ φωνὴν καὶ βάδισμα καὶ νεῦμα
καὶ κίνημα καὶ λάλημα φιλοῦσιν ὑποπτεύειν,
καὶ βλήμασι κνιζόμεναι τοῖς ἐκ τῆς ὑποψίας

γυναικολύπως φέρουσι ταῦτα καὶ ζηλοτύπως.
Εἰσὶ καὶ γάρ τοι συμφοραὶ καὶ τῶν δακρύων μείζους·
ἔχει γὰρ οὕτω φύσεως τὰ τῶν ἀνθρώπων πάθη·
ἐν μὲν εὐφόροις πάθεσιν ἄλγεσί τε μετρίοις
ἄφθονα καταστάζουσι τὰ τῶν δακρύων ῥεῖθρα
καὶ λούουσι τὰ βλέφαρα καὶ καταντλοῦσι κόρας,
ὡς ἔκ τινος προρέοντα πηγῆς εὐυδροτάτης,
καὶ τοῖς ἀλγοῦσι παύουσι τῶν ὀδυνῶν τὸ βάρος
ὡς ἐξοιδοῦντος τραύματος ἀποκουφιζομένοις·
ἐν δυσκομίστοις δὲ κακοῖς καὶ πόνοις δυσαγκάλοις
ἐκφεύγουσι τὰ δάκρυα τὰς κόρας προδιδόντα
καὶ φθάνουσι χωρήσαντα μᾶλλον ἐπὶ τὸ βάθος
ἢ πρόσωπον ῥαντίσαντα ῥανίσι λευκοθρόμβοις·
συναντομένη γὰρ αὐτοῖς ἡ σπλαγχνοφάγος λύπη
ἀναδραμεῖν σφαδάζουσιν εἰς βλέφαρα καὶ κόρας
τὴν ῥύμην τούτων ἵστησι πρὶν ἔξω παρακύψαι,
σφοδρῶς ἀναπιδύοντα κάτω μετοχετεύει·
τὸ δάκρυ δ' ἐκτρεπόμενον ὁδοῦ τῆς εἰς τὰς κόρας
εἰργόμενόν τε τῆς φορᾶς τῆς εἰς τὰς βλεφαρίδας
ἀντεπιρρεῖ πρὸς τὴν ψυχὴν ὥσπερ ἐν παλιρροίᾳ
καὶ χαλεπώτερον ποιεῖ τὸ τῆς καρδίας τραῦμα.
Πολλάκις γὰρ καὶ τελευτὴ ζωῆς εὐκταιοτέρα
καὶ θάνατος λυσίφροντις καὶ παύων ἀλγηδόνας
πολλῷ κερδαλεώτερος μεγαλοπόνου βίου·
καὶ πάντως οἷς βαρύμοχθος καὶ τλῆπαθὴς ὁ βίος,
ὁ πρὸ τῆς ὥρας θάνατος ἐκείνοις εὐεργέτης,
παυσώδυνος γενόμενος καὶ πόνων λήθην φέρων.

Ζ

Ἡ γῆ γὰρ οὖσα συγγενὴς ἡλίῳ καὶ τοῖς ἄστροις
ἀνακαλύπτει πρὸς αὐτὸν πάντα τὰ κεκρυμμένα
γλώσσαις ἀφθόγγοις διηρθρωμέναις καὶ στόμασιν ἀλάλοις.
Τὸ τόξον ἂν ἐν τάσει τις διηνεκῶς τηροίη,
ῥαγήσεται, τῆς τάσεως οὐκ ἐνεγκοῦν τὴν βίαν·
ἂν ὑπολύῃ τὴν φοράν, τὸν τόνον ἂν χαλῴη,
τὸ τόξον ἀνενέργητον ἡπάλυνται τὸ κέρας·
ἂν δὲ καθ' ὥραν τείνοιτο καὶ λύοιτο καθ' ὥραν,
καὶ συντηρεῖται καὶ καλῶς τοὺς ὀιστοὺς ἐκπέμπει,
ἐπιτυχεῖς δὲ τίθησι νευροσπαδεῖς ἀτράκτους
καὶ τὰς βολὰς οὐχὶ νεκράς, ἀλλ' οὐδ' ἀνεμωλίους·
κἂν ἄνθρωπος ἐμμέριμνον ἀεὶ ζωὴν ἀνύοι
καὶ τὴν ψυχὴν κατάφορτον φροντίσι περιφέροι
καὶ βούλοιτο τοῖς πράγμασιν ἀεὶ κατεσπουδάσθαι,
λάθοι μανεὶς καὶ φρενοπλὴξ αὖθις γεγενημένος
καὶ τῆς ψυχῆς τὸ σύντονον ῥαγεὶς καὶ κινδυνεύσας·
κἂν ἄμετρα θηλύνοιτο καὶ πίνοι καὶ τρυφῴη
καὶ ταῖς φιλαύλοις γυναιξὶ συμπαίζῃ καὶ συμψάλλῃ,
ὅλας διδοὺς ταῖς ἡδοναῖς τὰς τοῦ νοὸς ἡνίας,
νικήσει Σαρδανάπαλον, νικήσει Σμινδυρίδην,
πρὸς ἔργον ἅπαν ἑαυτὸν ἀχρεῖον καταστήσει,
ὑπερβαλεῖται Σάγαριν, τὸν μαλακὸν ἐκεῖνον,
ὃς μέχρι γήρως καὶ λευκῆς τριχὸς παλαιοχρόνου,
ἐκ τοῦ τῆς τίτθης στόματος ὡς βρέφος ἐσιτεῖτο
ἀληλεσμένην τὴν τροφὴν καταμεμασημένην,
ὡς ἂν μηδὲ μασώμενος ἀλγήσει τοὺς ὀδόντας,
τοῦ δ' ὀμφαλοῦ κατώτερον τὴν χεῖρα τὴν ἰδίαν
οὐδέποτε προήνεγκεν, οὐδ' εἰς αὐτὴν τὴν ἥβην.
Ἑστάτω γοῦν τὸ μέτριον κἀν ταῖς ἡδυπαθείαις
κἀν μόχθοις κἀν τοῖς ἄλγεσι κἀν ταῖς βαρυθυμίαις.

Σύνοικον γὰρ ὁ φθονερὸς τὴν τηκεδόνα φέρει,
οὐ μόνον βλέπων ἑαυτὸν ἐπὶ κακοῖς ἐσχάτοις,
ἀλλὰ κἂν ἕτερον καλῶς φερόμενον ὁρᾷῃ.
Ἀλλ' ἐστὶ σκότιον οὐδὲν ὅπερ εἰς φῶς οὐχ ἥκει,
οὐκ ἔστι κρύφιον οὐδὲν ὃ μὴ πρὸς γνῶσιν φθάνει,
κἂν ὑπὸ ῥίζας κρύπτοιτο γῆς ὑποπυθμενίους.
Ὁ φόβος γὰρ καὶ τὰ στενὰ τοῖς φεύγουσιν εὐρύνει.
Ἀλλ' ἀληθής, ὡς ἔοικεν, ὁ γνωματεύσας λόγος,
ὡς ὁ χρηστὸς οὐ δύναται τὴν γνώμην μεταθεῖναι,
οὐδ' ἐκλαθέσθαι τῆς ῥοπῆς τῆς εἰς ὀρθοτροπίαν.
Τὸ γὰρ δημοκοπούμενον, ὡς ἔοικεν, οὐ ψεῦδος,
ὡς ἄρα μόνος ὁ χρυσός, τἄλλα δ' οὐδὲν ἰσχύει.
Μίτοις αἱ Μοῖραι κλώθουσι πάντα τὰ τῶν ἀνθρώπων,
καὶ τὸ καθάπαξ κυρωθὲν οὐ δύναται λυθῆναι
οὐδ' ἐστὶν ἀναλύσιμον τοῦ δαίμονος τὸ κλῶστρον.
Καὶ τί ματαίως, ἄνθρωπε, τεχνάζῃ καὶ σοφίζῃ;
μὴ σθένων τὰ κλωστήρια τοῦ δαίμονος ἀμεῖψαι,
κἂν πάντα διαπράξαιο, κἂν εἰς μυρία κάμῃς,
κἂν πετασθῇς εἰς οὐρανόν, κἂν εἰς αἰθέρος ὕψος,
κἂν φθάσῃς ἅλμης εἰς βυθὸν καὶ τοὺς αὐτοῦ λιμένας·
ἢ ψεῦδος πάντα καὶ κενὴ ποιητικὴ τερθρεία;

Η

Πῶς ῥήγνυται σκολόπενδρα, τὸ ποντοβάμον ζῶον,
ἀνθρώπου πτύελον αὐτῆς ἀφέντος εἰς τὸ στόμα;

καὶ πῶς θλιβεὶς καὶ χυλωθεὶς καρπὸς ὁ τῆς ἰτέας
ἀνθρώπῳ τι παρά τινος προσενεχθεὶς εἰς πόσιν
τὸ παιδογονὸν καὶ γόνιμον σπέρμα νεκροῖ καὶ
ὑγίει;

Ἡ γὰρ ὁμίχλη τῶν κακῶν καὶ συμφορῶν τὸ
κνέφας
καὶ κάλλος οἶδεν ἀμαυροῦν καὶ τὴν μορφὴν αἰ-
σχύνειν,
καὶ κάμινος ἐρίβρομος ἡ τῶν πειρατηρίων
λοχρὸν ὡς ῥόδον δύναται τὸ πρόσωπον φυμφρύ-
γειν.

Ἂν ἔχῃς ὄψιν λάμπουσαν ὑπὲρ τὴν τοῦ Νιρέως,
ἂν Νηρηΐδος καλλονὴν ὡς Ἀχιλλεὺς πλουτοίης
καὶ σπλαγχνοφάγος σκώληξ σε θλίνεων κατεσθίῃ,
ταχὺ τὸ κάλλος ὑπορρεῖ, μαραίνεται τὸ ῥόδον,
καμπόρρωτον τῆς ὄψεως τὸ φύλλον χρηματίζει,
θάνος τὸ κρίνον γίνεται, σποδὸς τὸ λάμπον ἄνθος.
Ἂν ἔχῃς γίγαντος ἰσχύν, ἂν Ἐγκελάδου χεῖρας,
ἂν ὅλους δύνῃ Παρνασοὺς μετακινεῖν, ἂν Ἄθως,
ἂν ὥσπερ Ἄτλας οὐρανοῦ τοὺς κίονας βαστάζειν,
καὶ πειρασμῶν σοι βέλεμνον ἐπαφεθῇ πτερόεν
καὶ πεπασθῇ καὶ φθάσῃ σου τὸ τῆς καρδίας βάθος,
οὐ μέχρι κώνωπος ἰσχύς, οὐ μύρμηκος, οὐ σέρφου·
τῶν γὰρ κακῶν πιέζει σε τὸ βάρος καὶ συγκάμπτει,
ὡς εἴ τις ἁμαξοπηγὸς κάμῃ τροχὸν ἁμάξης.

Ὁ χρόνος δύναται παντὸς ἦθος ἀνδρὸς ἐλέγχειν,
ὡς ἡ Λυδία λίβδηλον καὶ καθαρὸν χρυσίον.

Ὁ φίλος ἐν κακοῖς ἐλέγχεται τοῦ φίλου
εἰ πλάττεται τὸ φίλιον, εἰ κατὰ βάθους ἔχει·
καὶ χρὴ τὸν φίλον συμπονεῖν ἐν συμφοραῖς τῷ φίλῳ.

Ὄνειροι γὰρ ὡς τὰ πολλὰ φαντασιοκοποῦσιν,
ἀνατυποῦντες εἴδωλα καὶ ζωγραφοῦντες τύπους

τῶν ἀκουστῶν καὶ θεατῶν ἡμερινῶν πραγμάτων· πολλάκις δὲ καὶ τῶν τροφῶν ποιότητες καὶ πλήθη καὶ πλεονάζοντες χυμοὶ καὶ νόσοι καὶ δειλίαι ἐπάγειν δύνανταί τισιν ὀνείρους ταραχώδεις.

Καρδία γὰρ ἀπάνουργος καὶ μὴ δολορραφοῦσα ψυχῆς δρακοντογνώμονος οὐκ οἶδε φαρμακείας. 36

Ἀλλὰ τὸ γενησόμενον, ὡς ἔοικε, καὶ μέλλον οὐ τεῖχος σχήσει σιδηροῦν οὐδὲ πυρὸς ἡ γνάθος, οὐ λογισμὸς ἀνθρώπινος ἰσχύσει περιτρέψαι· ὁ γὰρ θεὸς ἁπτόμενος ἀνθρώπου διανοίας 40 ἡνίκα τῷ δυσδαίμονι κίρνησι πένθους πόμα, οὐδὲν πολλάκις συγχωρεῖ βουλεύσασθαι συμφέρον.

Θ

Οὐ φυτὸν οὐράνιον ἄνθρωπος οὐδὲ θεῖον, οὐ δένδρον κηπευόμενον τῇ τοῦ θεοῦ παλάμῃ, ἀλλὰ θεοῦ διατριβὴ καὶ παίγνιον τῆς τύχης. Ὡς ἀκιδνότερον οὐδὲν ἀνθρώπου γαῖα τρέφει, ὡς βίος πᾶς ἀστάθμητος καὶ πᾶς αἰὼν ἀνθρώπου, ὅτι σκιὰ τὰ τῶν θνητῶν· ἡμέρα καὶ γὰρ μία 6 ὡς ῥόμβον πάντα καὶ τροχὸν καὶ στρέφει καὶ κυλίνδει.

Ὡς ἄρα βέβαιον οὐδέν, οὐ στάσιμον ἀνθρώποις, ἀλλὰ καπνὸς τὰ τῶν θνητῶν, ἀλλὰ σκιὰ τὰ πάντα.

Φύσει καὶ γὰρ ζηλότυπον ἅπας εὐνοῦχος χρῆμα. 10

Τῷ γὰρ τοξεύοντι, φασίν, εἰς οὐρανοῦ τὸ βάθος, εἰς ὀφθαλμούς, εἰς πρόσωπον τὸ βέλος ἀναστρέφει· κἂν πέτρον ὀκριόεντα φιλονεικῇ τις βάλλειν

καὶ πέμπειν εἰς χαλκόλιθον χαλκοβαρῆ μελίαν.
τὸ βέλος ἀντιόλιον, ἀπάλαμνος ὁ βάλλων,
οὐκ ἐντρόπιν τὸ σίγμαιον, ὁ πέμπων ματαίζει·
καὶ γὰρ ἀποκαλίζεται καὶ θραύεται τὸ δόρυ
καὶ κολοβοῦται τὴν ἰσχὺν τῆς ἐπιδορατίδος·
πῇ δὲ κοφὸν καὶ μάταιον ἐλέγχεται καὶ πίπτει
τριχθὰ θρυφθὲν καὶ τετραχθὰ δίκην ὀστράκου
κραύρου,
ποτὲ δὲ καὶ τοῦ βάλλοντος τὸ στέρνον διαπείρει,
ἀναστραφὲν ὡς ἔκ τινος γίγαντος εὐπαλάμου.

Καὶ πᾶς μὲν γὰρ ἀτιμασθεὶς καὶ δυστυχήσας ἔρως
ὡς κύων κάρχαρος λυττῶν ἐκμαίνεται καὶ δάκνει
καὶ τῆς μανίας τὸν ἐφορὸν καὶ τὸν θυμὸν τοῦ χόλου
ὡς κρυερὸν Κερβέρειον σίελον ἀπορλίζει·
ἂν δὲ γυνὴ καὶ βάρβαρος ἡ περιφρονουμένη,
ἂν δὲ καὶ τύχην ἔχουσα κυρίαν τοῦ κολάζειν,
ἰατατὰ κολαστικῆς καὶ μιαιφόνου γνώμης.

Λίαι κακὸν τὸ δούλιον βάρος τινὰ βαστάσαι·
τῇ βίᾳ γὰρ νικώμενος τολμᾷ τὸ μὴ προσῆκον.

Γίνεται γάρ τοι καὶ χαρά ποτε δακρύων μήτηρ,
ἀνιεμένων ὑπ' αὐτῆς τῶν τῆς καρδίας πόρων
καὶ προχεόντων ἐπ' αὐτὰ τῶν ὀφθαλμῶν τὰ κύκλα
καθάπερ εἰς διώρυχάς τινας ὑδατοδόχους
ἢ καὶ κλεψύδραν φυσικὴν νοτίδος ὑγροθέρμου.

Ὁ δαίμων γὰρ ξηλότυπος πρὸς τοὺς εὐημε-
ροῦντας
καὶ φθονερὸν καὶ ζάκοτον ἐμβλέπει τοῖς πλουτοῦσι
καὶ τοῖς σοφοῖς καὶ τοῖς καλοῖς καὶ τοῖς ἀνδρωδε-
στέροις.

Τὰ φαῦλα γὰρ καὶ δυσγενῆ καὶ τὰ παρερριμ-
μένα,
ὡς ἔοικεν, ἀνάξια καὶ τῶν θεοῦ μαστίγων.

Τὰ γὰρ ἀκούσια κακὰ καὶ τὰ παρὰ τὴν γνώμην
καὶ τοῖς ἀνθρώποις καὶ θεῷ συγγνώμης ἀξιοῦνται.
Τοὺς συντραφέντας ὁπλισμοῖς καὶ τοὺς ἐμπειρομάχους
ἢ χεῖρας χρὴ τοῖς αἵμασι τῶν πολεμίων χραίνειν
καὶ φόνοις σφῶν λυθρόβαπτον ἀμπέχεσθαι χιτῶνα
ἢ πίπτειν εὐτολμώτατα καὶ μεγαλοκαρδίως,
τοῖς ἀντιμάχοις καρτερῶς ἀντιπαλαμωμένους.
Ἂν γὰρ χαρᾶς ὀχέτιον, ἂν ἡδονῆς ῥανίδες
τὴν ῥίζαν τὴν πρωτόβλαστον ἄρδωσι τῆς καρδίας,
ἂν τὴν πηγὴν τοῦ ζωτικοῦ καὶ τοῦ θερμοῦ τοῦ πρώτου
νοτὶς ἀγαλλιάσεως γλυκεῖα περιβρέχῃ,
ἄνθος ἡδὺ φαιδρότητος τὴν ὄψιν περιτρέχει,
ἐνεαρίζειν ἔοικε τὸ βλέμμα καὶ νεάζειν,
καὶ μειδιᾷ πορφύρεον τὸ πρόσωπον ὡς ῥόδον
καὶ γίνεται λαμπρότερος εἰς κάλλος καὶ Νιρέως
ὁ τὴν μορφὴν ὡρακιῶν, ὁ καπνηρὸς τὴν ὄψιν,
κἂν εἴη μέλας Ἐρεμβὸς κἂν Ἄραψ κρικοφόρος.
Ἂν δὲ καρδίαν δαπανᾷ δακέθυμος ὀδύνη,
ἂν τὴν τοῦ σώματος ἀρχὴν τὴν πρώτην ὑπορύσσῃ
τῆς λύπης τὸ περίπικρον ὡς ξυλοφάγος σκώληξ,
ἂν συμφορῶν πυρκαϊὰ τὴν ῥίζαν ὑποκαίῃ,
ἰαταταί, συμφρύγονται καὶ κλῶνες καὶ στελέχη,
τὸ θαλερὸν μαραίνεται, τὸ κάλλος ὑπορρέει,
τὸ δὲ χλοάζον τῆς μορφῆς καὶ ψύγεται καὶ φθίνει
καὶ γίνεται σποδοειδὴς καὶ θάψινος τὴν χρόαν
ὁ πρώην ἀστερόμορφος, ὁ κάλλους αὐγὰς λάμπων,
κἂν Ἀχιλλέως καλλονὴν νικᾷ κἂν Ὑακίνθου,
κἂν ὡραιοτάτοις μαστοῖς καὶ γλάγεσιν ἐτράφη,
κἂν ἄρτι φθάσας εἰς τὸ φῶς αὐτοῖς ἐναπελούθη

τοῖς τῶν Χαρίτων νάμασι καὶ ταῖς πηγαῖς τοῦ Κάλλους.

Ἐν τοῖς πολέμοις πράξεων, ἀλλ' οὐχὶ λόγων χρεία,
καὶ μάχης τέλος ἐν χερσίν, ἀλλ' οὐκ ἐν στωμυλίᾳ.
..... σύνεσις ἰσχύος ὑπερτέρα, 74
καὶ κρεῖττον βούλευμα σοφὸν μυρίων βραχιόνων.
Οὐδὲ γὰρ λίθος μάρμαρος, οὐ σιδηρᾶ κορύνη
ὀστοῦν ἀνδρὸς συντρίψειε τραφέντος ἐν Λιγύπτῳ·
αἴτιον δ' ὅτι κεφαλὰς Λίγυπτιοι ξυρῶνται
εὐθὺς εὐθὺς ἀπὸ παιδὸς καὶ τῶν τριχῶν γυμνοῦνται·
οὐ χρῶνται πίλοις, οὓς τισιν ἑτέροις ἐπικράνοις· 80
ἀκαλύπτους γὰρ αἴρουσι τὰς κεφαλὰς ἡλίῳ·
ἐμφλόγων οὖν προσβαλλουσῶν ἡλιακῶν ἀκτίνων,
πυκνοῦνται καὶ παχύνονται πάντες ὀστώδεις πόροι,
ἐγγυμνεζόμενοι βολαῖς καυσώδεσιν ἀμέσως.
Ἐντεῦθεν σπάνιον ἰδεῖν παρὰ τοῖς Λίγυπτίοις 85
ἐκ φαλακρώσεώς τισι τὰς τρίχας ἐκρυείσας.
Ἡ τοῦ κερδαίνειν γὰρ ἐλπὶς ἐπείγει τοὺς ἐμπόρους
καὶ ποταμῶν καὶ θαλασσῶν κατατολμᾶν ἀγρίων
καὶ τὰς ψυχὰς διὰ χρυσὸν κινδύνοις παραβάλλειν.

INDEX NOMINUM ET RERUM.

Abradatas *E* pag. 233. vers. 21.
Abydus *ThP* II, 171 etc. *NE.* VI, 474.
Acamas Helenam repetitum missus, a Laodice amatus, quomodo ex ea genuerit Munitum *P* 21, 1 sqq.
Achaemenides *J* 525, 4.
Achaeus, puer pulcher ab Hipparino tyranno amatus; eius historia *P* 26, 22—27, 8.
Achaia: *Ἀχαιίδα καλλιγύναικα E.* 175, 19.
Achaicus populus *P* 25, 5. 9.
Acherusia *λίμνη ThP* VI, 432. *Ἀχερόντειος φλοῖσβος CM* IV, 8.
Achilles *NE* III, 251. pulcher *Ch* 3, 15. *CM* VIII, 11. IX, 68. Patrocli amicus *Ch* 11. 24. Lesbum diripiens *P* 24, 15 sqq. quosnam interfecerit *P* 24, 30 sqq. In Lesbo inscius interfecit Telamonis filium Trambelum eique magnum tumulum struxit *P* 28, 8 sqq. Methymnam obsidentis in amorem incidit Pisidice *P* 24, 22 sqq. Quomodo eam tractaverit *ib.* 26 sqq. Briseidem amat *AT* 46, 18. muliebri habitu pictus *AT* 156, 12.
aconitum *CM* II, 45.
Acrotatus, regis filius, a Chilonide Cleonymi uxore perdite amatus et redamans *P* 26, 11 sqq.
Admetus Pherenses *δεκατεύει P* 8, 22.
Adonis a Marte interemtus *NE* IV, 258.
Aeacida (Achilles) *P* 25, 4. Aeacidae *ib.* 15.
Aegialeus *XE* 380, 5 etc.
Aegialus, rex Cauni, filiam Hilebiam in matrimonium dat Lyrco *P* 3, 19 sqq.; postea eidem infensus *P* 4, 27 sqq.
Aegyptiorum ossa capitis durissima et quare *CM* IX, 76—86. eorum ingenium pusillanimitate et superbia mixtum *AT* 124, 13—17. Aegyptiae mulieris *ἐπῳδὴ* contra vesparum et apium morsus *AT* 62, 28 sq. Aegyptiorum defectio ab Artaxerxe *Ch* 119, 11.
Aegyptium mare *XE* 342, 2.
Aegyptus, Danai frater, *E* 204, 7.
Aegyptus Superior *XE* 376, 6. Latrones (*βουκόλοι*), Aegypti *τῶν παραλίων* incolae, *AT* 96, 25 sqq. 98, 28. *ποιμένες* dicti a *XE* 372, 15. eorum equi *AT* 98, 29—31. Apud *βουκόλους* paludes fiunt ex Nili inundatione, parvulas tantum naviculas perferentes *AT* 121, 3—13. Apud eosdem insulae papyris refertae *ib. l.* 13 sqq. Quomodo in iis degant et se tueantur *βουκόλοι ib. l.* 20 sqq. Virgines immolant deo in propitiationem *AT* 99, 1. 105, 3 sq.; id sacrificium describitur 101, 10 sqq.; in fine victimae partibus vescuntur *ib.* 28 sq. 105, 5. *Βουκόλων* urbs deleta *AT* 127, 15. eorum rex 97,

*) *P* = Parthenius; *AT* = Achilles Tatius; *J* = Jamblichus; *AD* = Antonius Diogenes; *L* = Longus; *XE* = Xenophon Ephesius; *Ch* = Chariton; *E* = Eustathius; *ThP* = Theodorus Prodromus; *NE* = Nicetas Eugenianus; *CM* = Constantinus Manasse.

8, alibi *λήσταρχος* dictus, 88, 31. 104, 30. 107, 11. 29. Aegypti satrapa *AT* 110, 21. 122, 19. *Ch* 119, 12. Aegypti praefectus *NE* 373, 11. 374, 15. 375, 17. 29. 377, 2. 9. 383, 11. 385, 24. Aegyptiae glebae opinio de perniciosior *AT* 99, 18 sqq. Aegyptiae mures quibus *NE* 378, 2 e. Aegyptiae naves *AT* 96, 18. triremes *Ch* 131, 31 sq. Aegyptia *ὁδή AT* 104, 17. sepultura *NE* 381, 15. Aegypti boves, v. *Nilotici*.

Aeneas, pater Cyzici *P* 29, 3.

Aenesidemus *AD* 234, 30.

Aeolus rex in insula Meligunide hospitio excipit et admiratur Ulixem, qui cum filia eius Polymela concumbit; quod pater quum sero resciverit, valde irascitur *P c.* 2. p. 5, 6. 16. 21. Eius filius Dioreus 5, 19. *Αἰολίδης* 5, 12.

Aeropes furtum *AT* 16, 15

Aesculapii donum *φάρμακον AT* 126, 16.

Aestatis descriptio *L* 255, 18 sqq. voluptates aestivae *L* 255, 25. 297, 15 sqq.

Aethiopes *NE* 376, 22. Aliquis niger *κατ' Αἰθίοπα E* 194, 18. Aethiops *νόθος* seminiger *AT* 96, 30. Aethiopes piratae, ferum genus, *E* 238, 11. Aethiops, elephanti moderator, *AT* 113, 29. pro flagello gerit ferream *πέλεκυν AT* 114, 1.

Aethiopia *NE* 374, 10. 13. 376, 6 sq. 382, 7. 13. 383, 13. 384, 4. *κεκαυμένη E* 175, 20. Aethiopiae montes *NE* 374, 13. Aethiopica avis Phoenix, quem vide.

Aetna: ibi degebat Daphnis *P* 29, 16.

Aethra post captam Troiam educavit Munitum *P* 21, 29.

Agamemno coelesti erat pulchritudine *AT* 46, 26 sqq. Chryseidem amat 16, 16. *E* 233, 1. a Clytaemestra caesus *AT* 46, 24.

Agathosthenes *ThP* I, 11. 15. III, 81.

Agele *L* 326, 5.

Agrigentini tyranni *Ch* 46, 32. *N*, 30. 11, 29.

Aiacis sentum, proverbialiter, *E* 260, 19.

Αἰδώς, v. *Pudor*.

Alanorum exercitus mercede stipendia faciens regi Babyloniae *J* 229, 25. 29.

Alastor, ex Nelidis, sponsus Harpalyces, cuius puerum ductam eripuit *P* 17, 15 sqq.

ἀλάστωρ NE 1, 54.

Alcibiades pulcher a pictoribus pictoribusque positus *Ch* 3, 16.

Alcinoe, filia Polybi Corinthii, uxor Amphilochi Dryantis filii; eius historia *P c.* 27. p. 28.

Alcinous *Ch* 36, 13. eius hortus *E* 162, 25.

Alcmenae causa Iuppiter *ἔχλινε τοῖς ὄπισθε ἡλίου AT* 86, 7. a Iove amatam manebat luctus et fuga 85, 10.

Alexander (Paris), Priami filius *Ch* 136, 17. *NE* VI, 623. Alexandri matrimonium prius cum Oenone fatidica, Cebrenis filia, et mortis genus narratur *P c.* 4. *p.* 6. Pater Corythi ex Oenone *P* 31, 29, sed secundum Nicandrum ex Helena 32, 4 sqq. *δεύτερος Πάρις ἐς Ἀθίκωμιν E* 203, 21. Vide *Paris*.

Alexander Magnus Tyrum cepit et incendit *AD* 237, 31 sqq. Alexandri dictus locus Alexandriae *AT* 129, 24.

Alexandria *AT* 82, 4. describitur 129, 15 — 130, 15. Memoratur *AT* 96, 20. 115, 28. 127, 17. 135, 32 sqq. *NE* 369, 20 etc. Alexandrinorum merces *ThP* IV, 249. Vide *Isis*.

Alphei et Arethusae amores *AT* 56, 21 sqq. *NE* IV, 147. *CM* I, 62.
Aloeus Thessalus maritus Iphimedae, pater Pancratus *P* 24, 1.
Althaea *XE* 395, 9.
Amaryllis *L* 265, 13. 266, 24. 26. 267, 20.
amethystus lapis ebrietatem frangit *NE* VI, 396.
amicus ἄλλος αὐτός *E* 164, 25. in re incerta cernitur *CM* III, 38 — 56. VIII, 26 — 28.
Amor *E* 169, 19. Jovis filius 270, 24. imperium habet in deos omnes et Jovem ipsum *Ch* 109, 24 sq. *AT* 39, 28 — 32. *L* 266, 10. Amoris pueri venustissima descriptio *L* 264, 10—266, 3. eius summa potentia exponitur *L* 266, 7—30. *CM* I, 57—68 remedium amoris 266, 27—30. *Ch* 110, 27. Amor Saturno vetustior, v. Saturnus. Amor ὁ πρεσβύτης παῖς *NE* III, 115. coll. *ThP* II. 422. nulla tempestate circumscriptus *E* 198, 9—11. Amoris currui insidentis cum ingenti comitatu pictura describitur *E* 174, 3—175, 25. 176, 21—26. 275, 25 sqq. Amor quomodo fictus cernatur *Ch* 84, 3—5. ἀγένειος *ThP* IX, 353. alatus cum pharetra et face *AT* 39, 24. Amor sagittarius matris iussa exsequitur *AT* 205, 27 sqq. eius arma et potentia *E* 178, 11—17. *ThP* II, 422—432. habitus *L* 244, 29 sq. 245, 10. militaris *AT* 61, 13 sq. 116, 4 — 8. Amoris vulnera qualia *AT* 44, 2 sqq. Amor in nuptiis Thetidis *E* 174, 19. Amoris templum sive simulacrum *XE* 330, 3. Amor deus φιλόνεικος et superbis inexorabilis ib. 7. *Ch* 3, 20. 33, 3. 112, 7. φοβερὸς *E* 213, 21. 247, 10. αὐτοδίδακτος, αὐτοσχέδιος σοφιστὴς *AT* 49, 4. 155, 21. magnos faciens sophistas *L* 314, 30. ἀναιδείας πατὴρ *AT* 60, 18. *E* 183, 28. δημαγωγὸς ἐκκλησίας *Ch* 5, 9. νυμφαγωγὸς *Ch* 48, 5. ποιμὴν *L* 326, 6 coll. 265, 15. 290, 8. Amoris λῃστήριον *L* 262, 3. Amores *AT* 39, 23. *CM* I, 41. varie ludentes circa Venerem *XE* 336, 25—28. amor cum ira comparatus *AT* 170, 9. amores animalium *AT* 55, 14—23. 57, 3—21. palmarum 56, 5 —20. magnetis et ferri 55, 30 —56, 4. Alphei et Arethusae 56, 21 — 57, 2. cf. *L* 314, 12 sq. *NE* IV, 135—148. παιδεραστία *AT* 84, 9 sqq. 87, 14 sqq. εἴδωλον, ἄγαλμα Ἔρωτος, proverbialiter, *E* 208, 3. *NE* II, 85. *E* 174, 15. V. *deorum* et *Juppiter*.
Amphilochus, Dryantis filius, maritus Alcinoes, *P* 28, 17.
Amphinomus *XE* 379, 1 etc.
Amphion in servitute natus *Ch* 41, 29.
Amphitrite *AT* 143, 4. *E* 235, 31. 237, 13. eius νέποδες 175, 22.
Amyclas, pater Daphnes, *P* 20, 1. ἀναθήματα *XE* 341, 23. 393, 21. 395, 29. 399, 13. *L* 241, 15. 243, 24. 261, 15. 279, 10. 25—27. 282, 16. 319, 13 — 17. *Ch* 60, 2. 62, 28.
Anchises bubulcus a Venere amatus *L* 314, 22.
Androcles *XE* 380, 26 etc.
Androcles *ThP* I, 163 etc.
Andromeda a Perseo servata, pictura Euanthis, *AT* 93, 27 — 95, 19.
anni laborum per singulos menses pictura allegorica singulatim describitur *E* 190, 31—195, 31.
Antheus filius regis urbis Assesi et Hellamenes, *P* 18, 1. 28.
Anthia *XE* 330, 6 etc.
Anthippe Chaonis; eius historia *P* 30, 22—31, 16.
ἀνθοσμίας οἶνος, v. Lesbus.

Antileontis agmen in Hipparchum a tyranno Lysacro est Heraclea urbs *P* c. 7. *p.* 10.
Antiochia urbs *NE* 353, 24.
Antipater Macedo, Philippi pater, Eucrates socer, *AD* 237, 30.
Antoninus imperator Verum mittit contra Vologaesum Parthum *J* 225, 8 sqq.
Antonius Diogenes quid de se ipso professus sit *AD* 237, 20 sqq.
aper: vulnus ex apri morsu quale *AT* 176, 16—21.
Aphrodisia: Ἀφροδίσιον κήρυξ *E* 180, 26.
Aphrodisiensis *Ch* 3, 1. 157, 15.
Apis: eius templum celeberrimum *NE* 385, 2. ubi Apis veluti mater considentibus 3. quomodo 3—7 sqq.
Apollo ἀκτοσκέλαις *E* 268, 20. ὁ Ἐκηβόλος 272, 27. Σωτήρ 273, 19. 279, 25. χοιραιωδός 208, 16. Apollinis fatidici fanum Colophone *NE* 335, 10 sq. 381, 31. Apollo boves mundos ad fontem Daphnae *E* 248, 26. V. *Daphnius*. Apollo Daphnem amat et Leucippum perdit *P* 20, 13 sqq. Daphnen persequitur *AT* 13, 10 sqq. lauro coronatus *ib.* 13. eius ara, templum, oraculum et festum Daphnepholi *E* 243, 17 sqq. 248, 12 sqq. 278, 30. caduceatores, κήρυκες, eius festi *E* 248, 25 sqq. Apollo amavit Branchum caprarium *L* 314, 23. Laomedonti servit 312, 8. eius ira (in Iliade) *E* 233, 8. Apollini similis Iuppiter Casius *AT* 93, 9. laurus Apollinis σπέρμα *E* 261, 8. V. *Ephesus* et *Phoebus*.
Apriate puella Lesbia; eius historia *P* 27, 25—28, 15.
Apsyrtus *NE* 344, 10 etc.
Apterus, unus ex Cretensium principibus, cur despuat a Cydonia hasta, *P* 32, 11. Lycastum, qui huic advenerat, ex insidiis interficit et Lyttum cremat Notathum fugit 25 sqq.
Aquitani *AD* 234, 21. Apud eos duo reges mutuis victoriis regnantes 24 sqq.
Arabes *NE* V, 282 etc. χρυσοφόροι *CM* IX, 58.
Arabia *NE* VI, 175 etc.
Ἀραβάρχατος *NE* VI, 1.
Aradus *Ch.* 133, 23. insula triginti stadiis a continente remota, cum vetusto templo Veneris 25 sqq. Memoratur praeterea 130, 31. 131, 12. 136, 5. 138, 30. 139, 27. 146, 29. 31. 148, 7. 176, 5.
aratoris imago *E* 194, 12—25.
Araxus *NE* 372, 20 etc.
αὐλή, v. *calcamentum*.
Arcadia *AD* 234, 2. τὸ κοινὸν τῶν Ἀρκάδων ibid.
Archemanes Heliodori *NE* VI, 389.
areopagus *Ch* 20, 8.
Arethusae et Alphei amor *AT* 56, 21 sqq. *NE* IV, 145. *CM* I, 62.
Areus vicus, Ἄρειος κώμη Aegypti, *NE* 382, 23. 283, 5. 12.
Arganthone, Cia, pulchra mulier: eius historia *P* c. 36. p. 33.
Argivi *P* 17, 21. 25, 21.
Argo *P* 29, 8.
Argos *P* 3, 17. 17, 7. 21.
Argus ὁ πανόπτης *CM* II, 86.
Ariadne *Ch* 70, 24. Theseo adempta a Baccho 51, 18. dormiens 13, 7. 136, 12. *L* 366, 4. eius sponsus Bacchus *Ch* 136, 12.
Arimaspi *CM* II, 92.
Arion a delphino servatus *AT* 166, 13.
Aristander *CM* 552. 2. III, 15.
Aristio *AD* 237, 38.
Aristo *Ch* 3, 17 etc.

Aristo Oetaeorum praefectus; eius uxoris historia *P* c. 25. p. 27.
Aristophanis comici lectione imbutus sacerdos Dianae Ephesiae *AT* 199, 21.
Armenia *Ch* 86, 25. Armeniae Magnae rex Soaemus *J* 225, 7.
Arsace Heliodori *NE* VI, 388.
Artabri, apud quos mulieres bellant, viri *οἰκουροῦσι*, *AD* 234, 29 sq.
Artapes *ThP* V, 479. 506. 513. VII, 285.
Artaxanes *ThP* IV, 9 etc.
Artaxerxes rex *Ch* 81, 17. 125, 4. 147, 15. 148, 18. 32.
Artycomis *E* 240, 31 etc. in qua Dianae ara 250, 22. 255, 21.
ἀσάνδαλος ποῦς E 170, 29. 180, 4.
Asia *Ch* 59, 28. *μεγάλη* 20, 12. Minor 329, 11. 361, 29. 362, 15.
Assaon secundum nonnullos pater Niobes; eius historia *P* c. 23. p. 31.
Assesus; eius urbis rex pater Anthei *P* 18, 20.
Assyrium mare *AT* 37, 1.
Astarte dicta a Sidoniis Phoenicum dea *AT* 37, 10. 66, 8.
Astraeus apud Getas in magna existimatione Xamolxidis amicus, *AD* 234, 9 sqq.
Astylus *L* 309, 27 etc.
Astyri populus *AD* 234, 9 sqq. 31.
Athenae, urbs magna et dives *Ch* 19, 29—20, 2. Athenae aureae *E* 161, 4.
Athenagoras rhetor, cuius *ὑπογραφεὺς* Charito, *Ch* 3, 1.
Athenienses *πολυπράγμονες*, garruli, *φιλόδικοι Ch* 20, 3—9. a Syracusanis victi *Ch* 3, 5. 118, 19. 131, 29. 151, 23. 152, 11, quae clades omnibus nota, *Ch* 125, 2 sq.
Athos *CM* VIII, 17.
Atlantici fluctus aestuosissimi, proverbialiter, *CM* III, 37.
Atlas mons *CM* II, 87. VIII, 18.
Atraces *E* 257, 28.
Attica penuria *Ch* 152, 11 sq.
aucupis imago *E* 193, 25—194, 11. aucupium describitur *L* 269, 12—14. 286, 7 sqq.
augurium *J* 230, 9—12. *AT* 131, 5 sqq. 143, 9. *E* 220, 5 sqq. Vide *oculus*.
Aulicomis *E* 161, 15 etc.
auri potestas *CM* II, 1 sq. V, 1 sqq. VII, 41 sq.
Aurora *NE* VI, 660. cuius cubile canunt cicadae *AT* 55, 1.
autumnus describitur *L* 262, 4 sqq.
aves hibernae enumerantur *L* 286, 15 sqq. eaedem *κιττοφάγοι* dicuntur *ib. μυρτοφάγοι* 288, 5.
Azulis *AD* 233, 17. 236, 9 sqq.

Babylon *Ch* 86, 30 etc. *J* 221, 18.
Babylonii quid faciant in itinere mortuorum cadavera offendentes *J* 218, 1 sqq. 222, 29 sqq. acerbum nuntium perferentes 227, 17 sq. ovum in fundam iniectum rotationis celeritate percoquunt 219, 27 sqq. Babyloniae regis *πρόοδος* pomposa *Addenda* p. LX. Babylonia *σκηνή* in thalamo nuptiali *XE* 336, 24. Babylonia tapetia *Ch* 150, 24. Babylonium textum *Ch* 111, 19. 138, 20. *χρυσοϋφές* 145, 39. Babyloniae vestes *XE* 352, 22. Babylonius Jamblichus, *J* 525, 2.
Bacchae *L* 263, 3. saltantes 306, 8. *ThP* IV, 367 sqq. 411. *βακχικὴ νεβρίς L* 250, 13.
Bacchus, Jovis filius *NE* I, 247. *ὁ Σεμέλης* VII, 43. coll. VII, 138. 196. ex Atheniensium fabula olim ab Icario exceptus *AT* 59, 12. Bacchus quomodo Tyriis primis,

a balneo exceptus, vinum ostenderat ex Tyriorum traditione narratur 59, 9—60, 2. Bacchi προτρυγαῖον festum apud Tyrios 58, 25. Bacchi festum vindemiae, vini laetos *L* 262, 23. Bacchi sacrum Lesbi 288, 20. 289, 1. 25. Barzi *NE* I, 108 sqq. Bacchi ara et templum cum Bacchicis picturis, quae enumerantur *L* 206, 1 sqq. 313, 11. 318, 31. ἱερὸν (παραδείσου) *NE* I, 107. 151. Bacchus, pater ἀκαιρωνιτίας *AT* 60, 18. imberbis *L* 251, 13. Satyris superior *ib.* 14. Ariadnen Theseo abripuit *Ch* 51, 18. 136, 12. Bacchi filius Staphylus *P* 4, 11. Bacchus poculo insculptus *AT* 60, 14. *ThP* IV, 305 sqq. ὄρχησις βακχικωτέρα *NE* VII, 278. Διονυσιακόναυλος in fistula cantatum *L* 281, 26. Διόνυσος pro vino *AT* 128, 5. 191, 10. Bacchus aegre vincendus *CM* II, 5 sq.

Bactra *Ch* 86, 9. 91, 5. 120, 6.

Balagrus (dux Alexandri Magni), maritus filiae Antipatri Philae, in obsidione Tyri *AD* 237, 29 sqq.

barbari natura sunt superstitiosi *XE* 372, 2. βαρβάροις οὐχ ἱκανὴ πρὸς ἀφροδίτην μία γυνή *AT* 132, 29. τὸ βάρβαρον γυναιμανές *Ch* 88, 8. ὀργὴ βαρβαρική *NE* 350, 9. barbaro homine nihil peius *CM* I, 18 sq. mulier barbara ζηλότυπος μαιφονωτάτη *CM* IX, 27.

Barbition *NE* III, 257 etc.

Barzus *NE* I, 6 etc. Barzitae I, 14 etc.

basiliscus *CM* II, 18.

Basilus, filius Lyrci et Hemitheae, regni successor *P* 5, 1.

Bellerophon; ex eius posteris Xanthius et Leucippus *P* 7, 14.

Belus: μὰ τὸν Βῆλον. *Addenda* p. LXI.

Berenice, Aegyptiorum regis filia; eius amores feri et incesti *J* 227, 30—31. postea regina 229, 3 sq.

Berytus urbs *AT* 81, 29; cum porto 31.

Bias *Ch* 96, 19.

Biblinum vinum *AT* 59, 5.

Bochorus *J* 224, 18.

Boeotia *P* 31, 13.

boreale sub polo coelum describitur: Ursa in vertice, nox per mensem, per sex menses, denique pergannum producta, aequinoctium dies; luna propinqua *AD* 236, 26—32.

bos natare scit *L* 260, 16. perit tamen in aqua, si unguiae decidunt 18. Hinc multi maris loci *Bospori* dicti 21. Boves Nilotici *AT* 70, 18 sqq. boum oculi magni *L* 251, 32. Vide Siculus.

Bosporus, v. bos.

βουβρωστις, asilus, *CM* I, 26. II, 12.

Βουκόλοι, v. Aegyptus.

Branchus caprarius ab Apolline amatus *L* 314, 23.

Brasidas Lacedaemonius *Ch* 141, 22.

Bretannus Celta, pater Celtines, *P* 30, 1.

Briseis *AT* 46, 18.

Brya servae nomen *ThP* I, 178.

Bryaxes, rex Pissae, *ThP* IV, 30 etc.

Bryaxis ducis nomen *L* 277, 22.

Byblis, filia Mileti; eius historia, *P* 15, 13—16, 19.

Byblis fons, ortus ex lacrymis Byblidis *P* 16, 19.

Byzantii: Lex apud eos: si quis virginem vitiasset, nulla alia poena teneri quam ut ducat uxorem *AT* 68, 4 sqq. Oraculum iis datum, initio bello cum Thracibus, de Hercule Tyrio placando *ib.* 11 sqq. In bello Thracibus superiores discesserunt ob ἐπιφάνειαν

Dianae Ephesiae *AT* 111, 49 sqq. Victores, eo bello profligato, theorias mittunt ad Herculem Tyrium et Dianam Ephesiam *AT* 127, 12 sqq.
Byzantium *AT* 40, 21. 41, 20. *XE* 360, 28 sq. 361, 14. A Thracibus bello infestatum *AT* 41, 24. 67, 24.

Cadmus Tyrius: ex eo Bacchus *AT* 59, 2. Cadmus et Harmonia ex Boeotia discedunt *P* 31, 13.
caduceatores, *κήρυκες*, in Diasiis *E* 161, 8 sqq. Iis lavantur pedes ab iis ad quos missi sunt *E* 167, 22—168, 9 item in festo Apollinis 249, 7.
calceamentum sacrum, *ἱερὸν πέδιλον*, caduceatoris Diasiorum *E* 161, 17. 164, 23. 189, 29. 203, 28. 205, 15. *ἀρβύλη* 245, 19, sacerdotis 272, 20.
Calchus, regulus Daunius; eius historia *P* 16, 20—17, 6.
Callichroë *ThP* II, 101.
Calligone *AT* 40, 25 etc.
Calligone *NE* II, 60 etc.
Calliope Homeri *NE* VI, 344.
Callippe *ThP* III, 361. 381.
Callirrhoë *Ch* 3, 5 etc.
ἡ Καλλίσφυρος Ch 70, 28.
Callisthenes *AT* 67, 16 etc.
Callistias *NE* II, 59 etc.
Callithea *CM* 553, 2.
Calumnia (*διαβολή*), cuius filia Fama *AT* 164, 9 sqq.
camelus sacra Tigrim et Euphratem traiiciens ex insula Veneris, atque eo rediens, *J* 218, 16 sqq. 225, 28 sqq.
Candaules ab uxore occisus *AT* 46, 19.
canes Aegyptii magni et terribiles *XE* 378, 29. Cretici *ThP* IV, 290. *προβατευτικοὶ L* 287, 20. de cane et adultero historiola *CM* V, 52—54. canes *ἐπιφάτνιοι* invidiosi *CM* VI, 28—30.
Cappadocia *XE* 359, 10. 22.
Cappadocum lingua *XE* 359, 26.
caprarii habitus *L* 312, 5—8. v. *Pastor*.
Κάπρος ὑλιγενὴς P 15, 26.
Caria *Ch* 61, 26. 71, 22. 72, 8. 74, 16. 78, 8 etc. Cariae satrapa *Ch* 70, 19 etc. Caria sacra balnea *P* 15, 26. Caricam naviculam habent Tyrii piratae, ne barbari videantur *L* 258, 18.
Carmanes *AD* 233, 17. 236, 23. 39.
Casius, v. Juppiter.
Caspium mare *AD* 233, 10.
Cassamenus (?) Thrax, Naxo profectus multas Graeciae regiones populatur; eius amor Pancratûs *P* 23, 25 sqq.
catena aurea, proverbialiter, *E* 163, 1.
catobleps *CM* II, 39. IV, 40.
Cauaras, nomen Galli potentis, qui Euippen abduxerat, p. 10 marg.
Caucasus: *τὰ Καυκάσια CM* II, 91.
Caunia *P* 5, 1.
Caunus, Mileti filius; eius historia *P* 15, 13—16, 19.
Caunus urbs a Cauno Mileti filio condita et appellata *P* 15, 13—16, 19. Cauni urbis rex Aegialus *P* 3, 18. 4, 26.
Cebren, pater Oenones, in Ida *P* 6, 11—28.
Celaeno, mater Tragasiae, uxoris Mileti, *P* 15, 21.
Celtae Ioniam devastant *P* 10, 27 sqq. eorum terra 29, 27 sqq. populus ferus et stultus *AD* 234, 18 sq. Vide *Celtus* et *Galli*. Celtica *P* 11, 13.
Celtine Bretanni in Celtis filia; eius historia *P* 30, 2 sqq.

Celtus, Lius Heraclis ex Celine, unde appellati Celtae, *P* 50, 8.
cenotaphiorum antiquus ritus apud Graecos *Ch AT* 141, 8.
Cercasori, vel Aegyptoi, situs describitur *AT* 129, 1 sqq.
Ceres *L* 311, 24.
Cerylli *AD* 234, 9 etc.
κτένοξ ἵππος, v. Calicantor.
Chaereas *AT* 124, 28 etc.
Chaereas *Ch* 3, 11 etc.
Chaerephon Byzantius *AT* 69, 7.
Chagus *NE* V, 282 etc.
Chalcidicus lapis *E* 164, 12.
Chaldaeus *J* 223, 18.
Chaones *P* 30, 22. 37. regis sui filium Cichyrum honorantes urbem Cichyrum condunt 31, 9 sqq.
Charicleae Hebridai *NE* VI, 389.
Charicles *AT* 15, 11 etc.
Charicles *NE* I, 71 etc.
Charidemus *E* 161, 15 etc.
Charissa *ThP* II, 381.
Charito Aphrodisiensis, Athenagorae rhetoris ὑπογραφεύς *Ch* 3, 1.
Charon *NE* II, 171 sqq. VIII, 219. 224. *CM* IV, 5. Charonis παιστῶλες *ThP* IX, 43.
Chilonis, uxor Cleonymi Laconis ex regio genere; eius historia *P* c. 23. p. 26.
(Chius) insula sub Oenopione feris infestata putatur ab Orione *P* 24, 7. Chius lapis *E* 164, 4. Glaucus Chius *AT* 60, 7. Chius (?) et Tyrus *Ch* 146, 30. Chium vinum ex Lacaena *AT* 59, 6.
Chloë nomen pastorale, *L* 214, 21 etc. *NE* VI. 415 sqq.
Chramus *NE* VII, 312.
Chromis *L* 292, 3. 15. 325, 19.
Chryseis *AT* 46, 16. *E* 233, 6.
Chrysilla *NE* I, 222 etc.
Chrysion *XE* 370, 4 etc.
Chrysorrhoë *ThP* I, 162 etc.
cicada capta ad canendum inclusa *L* 249, 28 sqq.
Cichyrus, Chaonum regis filius, imperatore occidit Anchippen *P* 30, 30 sqq. Cuius de ea nece valde dolentis in honorem eo in loco condunt urbem Cichyrum 31, 11 sqq.
Cilices mercatores *NE* 356, 22. Apud piratas Cilices Martis sacrum ut hostis humanus, quomodo *NE* 357, 27. 363, 9.
Cilicia *NE* 356, 26. 357, 26 etc. *Ch* 85, 11. In Cilicia magistratus deligitur post servandae proposita, εἰσηγητὴς προεστώς, ἄρχων τῆς εἰσηγητῆς τῆς ἐν Κιλικίᾳ *XE* 358, 9. 370, 6.
Cimmeria *E* 267, 29.
Cimmerii, apud quos lutea spectari possunt *AD* 233, 31.
Circe quomodo Calchum, regulum Daunium, amatorem tractaverit. *P* 16, 20 sqq.
circulatorum astes *ThP* IV, 214 sqq.
citharae usus in coena *AT* 43, 5 sqq.
Cius; ibi aliquamdiu degit Rhesus *P* 33, 1.
cladis in Aegypti paludibus descriptio *AT* 123, 12—124, 17.
Clearista *L* 310, 17.
Cleoboea, aliis Philaechme, uxor Phobii; eius historia *P* c. 14. p. 18.
Cleonymus Laco ex regio genere, Chilonidis maritus, quare post multa pro Lacedaemoniis praeclare gesta in Epirum abierit ad Pyrrhum eumque ad Peloponnesum invadendum excitaverit *P* 26, 6—21.
Clinias *AT* 44, 31 etc.
Clinias *NE* IV, 73 etc.
Clio servae nomen *AT* 55, 11 etc.
Clisthenes *XE* 390, 32 etc.
Clite, Κλείτη, uxor Cyzici, Aeneae filii; eius historia *P* c. 28. p. 29.
Clitopho *AT* 40, 17 etc.

Clitus, procus Pallenes, quomodo ea sit potitus, *P* 9, 5 sqq.
Clymenus Argivus, Telei filius, Epicastes maritus, pater Idae, Theragiri, Harpalyces; eius historia *P* c. 13. p. 17.
Clytaemnestra occidit Agamemnonem *AT* 46, 24.
Clytus *XE* 386, 4 etc.
Cnidus *XE* 341, 7.
cochlea in collyriis *NE* V, 82.
Cocytus *ThP* VI, 434. *CM* IV, 8.
Coelesyria *Ch* 125, 24.
coenae descriptio *ThP* IV, 122 sqq.
coitus in navi infaustus *AT* 143, 15 sqq. v. *Venus*.
Colophon ab Epheso octoginta stadiorum *διάπλῳ* distat *XE* 335, 10. Ibi fanum Apollinis *ibid.*
Concordiae, *Ὁμονοίας*, templum Mileti *Ch* 58, 8 sq. in quo sponsas accipiebant ducturi 9—10.
Conops servi nomen *AT* 73, 26 etc.
Κόπος (Fatigatio) describitur *E* 210, 26—211, 3.
Coptus, urbs Aegypti Aethiopiae vicina, *XE* 374, 8. 376, 21. 382, 32. 384, 5. Per eam multi transeunt in Aethiopiam vel Indiam profecturi 374, 10 sqq.
coquorum artificia *ThP* IV, 122 sqq.
Corinthii *Ch* 127, 19. Corinthius Polybus *P* 28, 17. Periander 21, 23.
Corinthus *P* 19, 3. *XE* 381, 4.
Cornelius, vide Gallus.
Coroebus, proverbialiter, *NE* IX, 23.
corona nuptialis *Ch* 50, 13.
Corymbus piratarum dux *XE* 343, 21 etc.
Corythus, Alexandri et Oenones filius; eius historia *P* 32, 1 sqq. Secundum Nicandrum Alexandri filius ex Helena, non ex Oenone 32, 4 sqq.
Cos *XE* 341, 7.
Cratander *ThP* I, 136 etc.
crater, v. *poculus*.
Cratisthenes *E* 164, 24 etc.
Crato *ThP* I, 161 etc.
Cratylus *NE* I, 192 etc.
Creta *P* 32, 10. *AT* 37, 16. *XE* 392, 28. 393, 4. *Ch* 56, 27. *AD* 233, 30. insula dives et magna *Ch* 52, 12. In eam proficiscuntur Thessali, Admeti regis tempore, *P* 8, 14. Creticae urbes in Cydonem insurgunt *P* 32, 13.
Cretinaeum, locus in agro Ephesino, quo habitatum concessit Leucippus, *P* 8, 16.
crocodilus describitur *AT* 128, 16—129, 14. Habet tot dentes, quot dies anni, 129, 10.
Croesus auxilia contra Cyrum contracta habet *P* 25, 23. 26. Eius filia Nanis Sardium arcem Cyro prodit 27 sqq. Croesi currus, Croeso opulentior *proverbialiter* *E* 174, 6. *AT* 165, 31.
Κρόνος, v. Saturnus.
crux poena *Ch* 20, 57 sqq. 72, 23. 75, 11. 16. 76, 7. 11. Quali modo noxii in Aegypto cruci affigantur *XE* 374, 25 sqq. 72, 23.
Crystale *NE* III, 51 etc.
Cyanippus, filius Pharacis Thessali, maritus Leucones, venationi vehementer deditus, quomodo uxorem perdiderit et se ipse occiderit *P* 14, 20—15, 12.
Cyclops, v. Polyphemus.
Cydippe *NE* II, 59 etc.
Cydon, pater Eulimenes, quam Aptero Cretensi despondit *P* 32, 10 sqq. Adversus eum insurgunt Creticae urbes *ib.* 13. Oraculum quale ei datum fuerit *ib.* 15 sqq. Quid imperarit in filia immolanda *ib.* 23 sq.
Cymbus *AD* 234, 1 etc.

Cyno *NE* 372, 22 etc.
Cypria *Ch* 141, 11.
Cyprus *NE* 302, 28. 303, 4. *Ch* 140, 20. 148, 7. 151, 20. *ThP* I, 136. 160, VI, 240. VII, 48. 51. sacrificia *P* 15, 25. Cypri boves deformes *AT* 70, 22.
Cyrus in servitute natus *Ch* 41, 29 sq. Primus Persarum rex, quae de exercitu per imperium recenseri constituerit 120, 13—29. Sardium arcem cepit per proditionem Natidis, filiae Croesi, *P* 25, 22—26, 5.
Cythere, v. Venus.
Cyzicus Aeneae filius; duplex de eo historia *P* c. 28. p. 29.

Daedali manus, proverbialiter *E* 163, 25.
daemones *AT* 118, 19. 124, 30. 166, 5 177, 3. *NE* 334, 31. *Ch* 16, 16. 25. 17, 12. 33, 20. *E* 254, 4. *δαίμων φάσκανος Ch* 50, 20. 100, 11. daemonum *παίγνιον E* 244, 20.
Damas eunuchus *J* 221, 21 etc.
Danaen: Jove amatam (*AT* 85, 26. *NE* VI, 632) manebat arca et mare *AT* 85, 11. 86, 6.
Daphne, Amyclae filia; eius historia *P* c. 15. p. 20. Daphnes Apollini amatae mythus *E* 248, 13—22. Daphne persequente Apolline in laurum mutata *AT* 43, 11 sqq. beneficio Telluris, quae eam susccpit, *E* 285, 11.
Daphnepolis *E* 243, 17 sqq. coll. 266, 32 sqq. Ibi festum Apollinis ad aram Daphnes amatae proximam *E* 248, 12. 278, 30. Nulla ibi Diasia 247, 13.
Daphnis Mercurii filius in Sicilia natus; eius historia *P* c. 29. p. 29. Daphnis nomen pastorale *L* 243, 10 etc. *NE* VI, 441.
Daphnius (Apollo) *E* 264, 32. 268, 21. 272, 22.
Dardanum oppidum *P* 21, 12.
Danaus: eorum regibus Caicbus *P* 16, 21. 17, 3. Danai invadunt insulam Circes 17, 2.
Delum templum suburbanum Naxi *P* 12, 28.
Delphi *ThP* IX, 191. 232. Donaria Delphici templi explevit Phavllus *P* 27, 17. Templum Minervae *Προνοίας* 27, 15.
delphinus navem ad litus usque prosecutus, cum illam orae proximam videt, retrorsum natat *CM* III, 48—51.
Delta Aegypti *AT* 169, 12. 14.
Demetrius philosophus Aegyptius *Ch* 143, 28 etc.
Demetrius *Ch* 55, 23.
Democharcs *AD* 233, 9.
deorum *ἄγαλμα E* 174, 15 *δάπιδον* 169, 27, *πασταὶ* 284, 3 proverbialiter. Vide *Amor* et *Juppiter*. Morbi causa in deos inferos collata *NE* 334, 32. *πρὸς θεῶν ξένων καὶ ἐγχωρίων AT* 80, 24. Iuratur per *πατρῴους θεούς* 148, 19. *NE* 369, 4. *θεοὶ βασίλειοι* Persarum *Ch* 107, 22. dei oculum nemo effugit *CM* I, 21—26. II, 68—70. deus non semper irascitur *CM* III, 15—31.
Diana *Ch* 64, 1. *E* 255, 22. *ThP* I, 41. virgo, virginibus praesidens dea, virginum tutela *AT* 111, 7. 172, 4. 192, 31 sq. Per eam iuvenis iurat virgini *P* 13, 9. Cf. *AT* 192, 6. 196, 23. *NE* 356, 19. 365, 12. eius pulcritudo *NE* V, 84. templum *AT* 185, 28 sqq. Magna Ephesiorum Diana *XE* 340, 32. Dianae Ephesiae sacerdos lauro cinctus *AT* 185, 8. Dianae festum Ephesi, in quo puellarum et epheborum pompa per stadia septem ad templum procedit *XE* 330, 12—331, 25. In qua multitudine iuvenili sponsas et sponsos quaeri mos

erat *XE* 330, 20 sq. Ordo pompae *ib.* 22 sqq. Quae pompam ducebat, ea instar Dianae exornata erat, canibus comitantibus *ib.* 26 sqq. Dianae ἑορομηνία Ephesi per integram noctem in vino celebratur *AT* 157, 19. παννυχὶς dicta 159, 10. 21. Diana cur amaverit Daphnen *P* 20, 6. quomodo Rhodopin virginem venationum sociam, quae Euthynico se dederat, puniverit *AT* 205, 9—206, 14. Diana venatrix *Ch* 112, 14—16. venatoribus apparens *Ch* 5, 5. Byzantiis belligerantibus *AT* 185, 15. Diana Scythica Tauris *AT* 190, 10. Dianae fons cum Dianae statua aurea, virginitatis puellarum index *E* 241, 18—242, 8. 254, 16. 263, 15. 282, 16. 31—283, 11.

Diantia *E* 186, 18.

Diasia, festum Jovis, *E* 161, 8. 166, 22—25. 167, 11. 201, 5. 203, 19. 210, 18. 215, 11 etc. Iis noctu fit Iovi *E* 223, 14 sq. Diasiorum caduceator, κήρυξ, (*E* 180, 25) Iovis θεράπων *E* 180, 15. 186, 12. 16. 26. cum laurea corona et sacro πεδίλῳ *E* 201, 4. 203, 18. 27—29. 205, 14—16. 245, 18 sqq. Quo ille venit, festum triduanum agitur *E* 189, 5—11. reduce ad suos, fit Iovi Σωτῆρι *E* 189, 11.

Δίκη *ThP* V, 207. 314. 357. 360. VIII, 461. IX, 74. *CM* II, 10—12. Δίκης ὅμμα *ib.* 84 sqq. Δίκης μάχαιρα *ThP* V, 228. μὰ τὴν Δίκην *ThP* III, 226.

Didymei (Apollinis) oraculum *P* 4, 5.

diei imago allegorica *E* 175, 9—15; 17—20. dies natalis celebratur *AT* 131, 4.

Dimoetas, frater Troezenis; eius historia *P* c. 31. p. 30.

Dinias *AD* 233, 8 etc.

Diogenes Antonius se veteris comoediae poetam dicit 237, 20. Ἄπιστα sua se hausisse profitetur ex veteribus, quorum nomina singulis libris praeposuit 237, 31 sqq.

Diognetus, dux Erythraeorum, socius Milesiorum, quos prodit ob amorem Polycrites, et interficitur *P* c. 9. p. 13, 1 sqq.

Diomedes Rhesum interficit *P* 33, 22. Diomedes et Acamas Helenam repetitum missi 20, 28.

Dionysius *Ch* 21, 21 etc.

Dionysophanes *L* 311, 16 etc.

Diophantus Tyrius *AT* 138, 7.

Diores, Aeoli filius, sororem Polymelam in matrimonium ducit *P* 5, 19.

Dioscuri φιλάδελφοι *E* 244, 24.

Docimus portus Mileti *Ch* 49, 14.

dolor (λύπη) *AT* 80, 3 sqq. 98, 20 sqq. *CM* I, 9—12. dolor quam vim exerceat in corpus *CM* IX, 59—71.

dona amatoria *AT* 45. 2 sqq. 53, 10. *L* 285, 29. *P* 10, 9. 27, 14.

Dorco, nomen pastorale *L* 250, 4 etc.

Dorienses sunt Syracusii *Ch* 127, 25.

Dosicles *ThP* I. 37 etc.

Draco portus *NE* III, 401.

Drosilla *NE* I, 74 etc.

Dryades nymphae *L* 283, 11. 296, 20.

Dryas, procus Pallenes, quo astu effectum sit ut succumberet Clito, *P* 9, 5 sqq.

Dryas, pater Amphilochi, *P* 28, 18.

Dryas, nomen pastorale, *L* 243, 12 etc.

Dryas, Glauconis filius *ThP* II, 89 etc.

Ecbatana *Ch* 120, 6.

Echenais nympha amabat Da-

Delphi, eius ... *P* 2, 17 sq.
Echeneis, ... *P* 16, 6.
Echion, pictor ... *P* 31, 12.
echo desertis *L* 205, 22 — 206, 2. Eius ... 206, 21 sq. Echus ... 207, 7.
elementa ... *CM* II, 81 sq.
elephantis ... *AT* 113, 5 sq. Eadem ... *AT* 114, 2 — 115, 3. pecu Arcana ... *CM* IV, 61 sq. elephantes a Persis in pugna adhibiti *Ch* 120, 17. *AT* 120, 17. Hippopotamus et elephas Aegypti *AT* 113, 2.
Elicus flavus (Niphon) *AT* 56, 22 *CM* I, 62.
Eleusinae mores *Ch* 91, 27.
Elidia *P* 20, 8.
Elysius campus a poetis celebratus *E* 162, 26. Ibi et in μεζάφωϱ insulae sunt beati heroes 215 5.
Empedocles philosophus *TAP* IX, 425.
Enceladus *CM* VIII, 16.
Endymion *NE* VIII, 115.
Enyo *TAP* V, 119.
Epaminondae dedicum *NEV*, 378.
Ephesia (Ephesi regio) *P* 8, 16.
Ephesus *NE* 329, 1 etc. *AT* 139, 22. 141, 1. 18. 27. 143, 21. 148, 9. ἱϱὸν *NE* 311, 27. Ibi Dianae templum agris propinquum *AT* 185, 27 sq. quod ingredi non licebat olim matronis ingenuis, sed solis viris, virginibus et servabus fugitivis. Matrona ingressa morte plectebatur *ib.* 31 sqq. Disceptatio cum hero servae fugitivae, quae deae serva addicebatur, si herus iniuste egerat *AT* 186, 3 sqq. In luco post templum Dianae est spelunca mulieribus inaccessa, virginibus patet. Ea ... suspensa ... 190, 13 — 16. Ubi ... Proserpinae ... reddet ... Ephesiorum ... postea Persarum ... Alexandri ... Ephesiorum ... *AT* 195, 7 sq. Ibi ... spelunca ... 12 sq. Per ... ἄϱτεμις Ἐφεσία Dianae supplicia ... suspensa ... dicatur ... Ephesii οἱ ἄϱτεμοι *AT* 185, 10. Cf. *Ephesia, Lex.*
Epicaste uxor Clymeni *P* 17, 7.
epigrammata *NE* 311, 26 sq. 502, 10 — 13.
Epimelides nymphae *L* 283, 12.
Epimetheus *E* 224, 21.
Epiro Tha Eleusis, cum Cadmo et Harmonia secedens ex Boeotia, deinde mortua sepeliretur in agro eto apud Chaonas: unde regioni secundum nonnullos accessit nomen Epiri *P* 31, 12 — 16.
Epirus *P* 26, 16. *Ch* 3, 12. ibi oraculum (Dodonaeum) *P* 5, 23. insulae prope Epirum *Ch* 3, 13. Vide *Epiro.*
equi ... eorum descriptio *AT* 51, 12 sqq. equi Arabici *TAP* IV, 290.
Erasinides Atheniensis *AD* 237, 8.
Erembi nigri *CM* IX, 58.
Eriphyles monile *AT* 96, 14. in templo Minervae Προνοίας Delphico positum, a Phayllo ablatum, *P* 27, 15 sqq. Ipsius Eriphyles sors 27, 21 sqq.
Eris in nuptiis Thetidis *Ch* 6, 10. convivium turbans *E* 174, 19. eius malum *ibid. et* 174, 20.
eruca (κάμπη) *CM* IV, 47. 55. καμπόδρωτος *CM* VIII, 14.
Erymanthus *Ch* 112, 15.
Erythia *P* 29, 26.
Erythraei, socii Milesiorum contra Naxios duce Diogneto *P* 13, 1.
Eryx Siciliae urbs *AD* 234, 38.
Euanthes pictor *AT* 93, 16. eius

tabulae duae Pelusii in Iovis Casii templo dedicatae accurate describuntur, Andromeda 93, 27—95, 19; Prometheus 95, 20—96, 16.
Eudoxus medicus *XE* 364, 3 etc.
Eudromus *L* 307, 8 etc.
Eulimene, Cydonis filia; eius historia *P* c. 35. p. 32.
Euippe, Tyrimnae filia; eius historia *P* c. 3. p. 5, 24.
Euippe, Megamedis uxor, *XE* 330, 28 etc.
eunuchus *ξηλότυπος CM* VI, 23 sqq. IX, 10. *φονᾷ* Add. p. LXII. De eunucho a vipera morso historiola *CM* IV, 71 sqq.
Euopis, filia Troezenis, uxor Dimoetae; eius historia *P* c. 31. p. 30.
Euphrates *Ch* 85, 17. 86, 4. 10. 115, 23. 120, 8 etc. eius aqua dulci et limpida rex Babyloniae utitur *J* 223, 32 sqq. Euphrates et Tigris insulam efficientes 224, 13.
Euphrates, frater Tigridis et Mesopotamiae *J* 224, 15 etc.
Euphrates Lysippi filius, *ThP* II, 172.
Europa (terra) *P* 6, 20. *Ch* 93, 30.
Europa a Iove rapta *AT* 70, 30. 85, 24. *NE* VI, 632. Europae raptae pictura multis describitur *AT* 37, 13—39, 28.
Euryalus, filius Ulyxis ex Euippe Tyrimnae filia, quomodo perierit *P* 5, 26 sqq.
Eurycles Graecis dicitur engastrimythus *J* 225, 1.
Eurycomis urbs *E* 161, 1 etc.
Euthymia, v. Addenda.
Euthynicus Ephesius, venationis studiosissimus, irata Venere in Rhodopidis amorem incidit *AT* 205, 21 sqq. *NE* III, 280 sqq.

Fabula de leone, culice et araneo, in qua leonis et culicis faceta descriptio *AT* 74, 11 sqq. Fabula de leone, elephante et culice 75, 5 sqq. Fabula de graculo pennis nudato commemoratur 87, 20.
Fama, filia Calumniae, *AT* 164, 9 sqq. Famae ala celerrima *AT* 188, 18 coll. *Ch* 11, 13. 48, 17 sqq. 83, 24. 88, 4.
fames cur propellatur nimio gaudio *ThP* IX, 401—409.
Faustinus, cui Antonius Diogenes librum suum mittit *AD* 237, 17
ferri et magnetis amor *AT* 55, 30—56, 4.
flores qui sint veris *πρωτοφορήματα L* 290, 14.
flumina nonnulla Graeca aqua frigidissima *τιτρώσκοντα AT* 128, 1.
fons amatorius *J* 229, 2. Vide *Arethusa* et *Siculus*.
Fortuna dea, *Τύχη*, *AT* 116, 2. 118, 14. 23. 125, 11. 130, 28. 135, 29. 137, 28. 138, 13 etc. *βάσκανος Ch* 25, 24. 71, 16. 85, 24. *NE* I, 52. 306. *CM* IX, 37—39. *φιλόκαινος Ch* 40, 5. 77, 7. *παλαμναία NE* I, 301. 319. *ἀλάστωρ* III, 350. VII, 207. Fortunae *τροχὸς CM* III, 1. *παράδειγμα E* 244, 20. *παίγνια CM* III, 15. IX, 3.
Furia *NE* I, 54. 226. eius descriptio *AT* 41, 9 sqq. Furiae *E* 218, 9. Furiarum arcus *ThP* VII, 133. exsultatio VI, 119. Furiarum epulum, mensa, *proverbialiter*, *AT* 133, 23. *E* 244, 21.
futurum immutabile *CM* VII, 43 sqq. VIII, 37 sqq.

Gades *CM* II, 91.
Γαλάται, v. Celtae et Galli.
Galatea *NE* VI, 502.
Galli. Gallicus sacrificii ritus *P* 12, 17 sqq. Mileti per Thesmophoria festum mulieres multas abducunt. *P* 10, 28 sqq.

gallī coitum leo reformidat *CM* IV, 63.
Gallus. Cornelius Gallus, poeta Romanus; huic Parthenius suam collectionem *ἐρωτικῶν παθημάτων* mittit et inscribit *P* 3, 1 sqq.
Ganymedes a Iove raptus *NE* VI, 632[a], curis in coelo ei percellor *L* 314, 24. *AT* 85, 7—86, 3.
Garmus, rex Babyloniae, *J* 218, 8 etc.
gaudium finium cur foenum expleat *THP* IX, 301—400. acuti delirium efficit et inebriat *CM* V, 22—27. gaudium lorianis gignit *CM* IX, 32—36. quodnam sit in corpus hominis ib. 49—58.
Geryonis boves *P* 29, 27.
Getae *AD* 235, 17. 26.
gladius sceleris *AT* 106, 1—10. 25—107, 5.
Glauci Chii crater *AT* 60, 7.
Glaucon *ThP* II, 39 etc.
Gnatho parasitus *L* 309, 29 etc. *Γναθωνάριον* 313, 18.
Gnatho *NE* VIII, 253 etc.
Gobryas *ThP* I, 62 etc.
Gorgias *AT* 124, 21 etc.
Gorgonis caput scutum Persei *AT* 95, 5 sqq.
graculus Aesopi pennis nudatus *AT* 87, 20.
Graeca nonnulla flumina aqua frigidissima *τιτρώσκοντα AT* 128, 1 sqq.
Graecanici dii, *Ἑλληνικοί*, *Ch* 146, 2.
Graeci *ἀλαζόνες καὶ πτωχοί Ch* 89, 7. *μικραίτιοι καὶ λάλοι* 116, 17.
Graecum mare *Ch* 84, 19.
grammaticis insulsiores medici *CM* II, 7 sq.
Gratiae *E* 209, 2. 212, 5. 238, 4. *NE* II, 229. 237. 307. III, 218 sq. IV, 375. VI, 598. 604. iuratur per Gratias *NE* II, 74. *Χαρίτων λιπαιών, μαίνεσθαι*, proverbialiter *E* 174, 16. 256, 24. item *Χαρίτων τέμενος ἀπολοῦσθαι CM* IX, 70 sq.
gynaecei alumnis dispositio et custodia per noctem *AT* 73, 6—20.
Gythymia *P* 19, 1 n. g. Vide *Addenda*.

Habrocomes *NE* 320, 3 etc.
Haemo, *Αἵμων*, filia Oenopionis et Helices nymphae; eius historia *P* c. 20. p. 21.
Halicarnassus *P* 18, 1.
Harmonia, v. *Cadmus*.
Harpalyce, filia Clymeni et Epicastes; eius historia *P* c. 13. p. 17.
harpe *AT* 41, 12.
hasta, Martis stilus, *E* 171, 16
Hebe *AT* 85, 27.
Hecate invocata ad magicum opus *AT* 104, 15.
Hector *P* 23, 25. Vide *Addenda*.
hederae usus in nuptiis *ThP* IX, 479.
Hedypnoe, *Ἡδυπνόη*, *NE* VII, 136.
Helena *P* 32, 2. *Ch* 36, 30 sq. 94, 31 a Paride rapta *P* 6, 26. *Ch* 88, 20 a Graecis per legatos repetitur *P* 20, 28. Helenae nuptiae Troiae excidium *AT* 46, 20. Helenam ducit Paris *P* 7, 6. Helena secundum Nicandrum mater Corythi 32, 5 sqq. Helena *λαθικηδὲς φάρμακον E* 187, 5.
Helicaon, frater Hicetaonis, *P* 25, 2.
Helice Nympha, ex Oenopione mater Haerūs, *P* 24, 4.
Heliopolis *AT* 109, 12. Eo venit Phoenix ibique sepelitur haec Solis avis 110, 10.
Hellamene, mater Anthei ex rege Assesi *P* 19, 25.
helleboraceus *CM* II, 44.

Hemithea, Staphyli filia, Bybassi cum Lyrco concumbit et ex eo gravida fit *P* 4, 14 sqq.
Hephaestio (Alexandri amicus) *AD* 237, 34.
Heraclea urbs Italiae *P* 9, 30. eius tyrannus 10, 11. quomodo interfectus et respublica instaurata 10, 16. Lex Heracleae obtinens de ovibus agendis 10. 25.
herba delumbibus salutaris *ThP* VIII, 470—475.
Hercules *NE* V, 318. ὁ πολὺς *E* 284, 27. ex Erythia redux in Celtis Bretanni filiam Celtinen compressit, unde natus Celtus *P* 29, 26—30, 9. Hercules Omphalae venditus per Mercurium, Iovis iussu, *AT* 62, 15. per ignem in coelum abiit 86, 6. immortalis *E* 284, 29. Hercules Argivus *AT* 93, 23, aquilam occidens Prometheiiecur vorantem, pictura Euanthis ibid. et 95, 22—96, 14. Hercules Tyrius 68, 16. 20. 212, 7. 9. *Ch* 125, 28. 146, 30. sacra ei fiunt *AT* 70, 10—30. Herculis Tyrii templum *AD* 237, 3. Herculis festum, Ἡράκλεια, Tyri celebratum, *AT* 186, 18. Tyriorum iusiurandum μὰ τὸν Ἡρακλέα *AT* 147, 6. cf. *E* 169, 18. Herculis fecunditas proverbialiter *NE* III, 211.
Herippe, Xanthi Milesii uxor; eius historia *P* c. 8. p. 11 sq.
Hermocrates, praetor Syracusanorum, victor Atheniensium, *Ch* 3, 4 sq. 19, 11 etc. trecentas nanas Atheniensium destruxit in pugna navali *Ch* 19, 11. Persarum rex ei quotannis munus mittit ob Athenienses devictos *Ch* 37, 10. Hermocratis sepulcrum ad mare, a navigantibus procul conspectum *Ch* 13, 23—25.
Hermupolis Aegypti *XE* 373, 27.
Hero et Leander *NE* VI, 471.
Hicetaon, filius Lepethymni et Methymnae, ab Achille in Lesbo interfectus *P* 24. 31 sqq.
hiems describitur *L* 285, 3.
Hilebia, Εἱλεβίη, Aegiali regis Cauni filia, Lyrco nupta, nullos ex ea liberos suscipienti, *P* 3, 19. Constans eius fidelitas in maritum 4, 31.
Hipparinus, puer formosus Heracleae in Italia; eius historia, *P* c. 24. p. 10, 1 sqq.
Hippasus, dux Mytilenaeorum, *L* 284, 7. 22.
Hippias, Clitophontis pater, *AT* 40, 18.
Hippocles Nelida *P* 18, 24.
Hippolytus pulcherrimus *Ch* 3, 16, amore Phaedrae occubuit *AT* 46, 23.
hippopotamus describitur *AT* 111, 28—112, 8. Eius mores et quomodo capiatur 112, 15—113, 3. Est quasi elephas Aegyptius, secundum ab Indico locum obtinens 113, 2.
histrionum gladius in manubrium condens ferrum *AT* 106, 1—10. 25—107, 5.
Homeri μεγαλοφωνία *E* 284, 14. Homeri poemata in theatris recitant, heroica armatura induti, *AT* 105, 21 sqq. Homeri pugna apri cum leone canitur a puella ad citharam *AT* 58, 11. Homeri Calliope *NE* VI, 344.
homo ad commiserationem pronus *CM* I, 48. hominibus nihil stabile est et cur *CM* III, 1—8. homines, dum vivunt, e malis enatare non valent *CM* IV, 1 sqq. hominum timidorum terriculamenta *CM* I, 4—6. mali homines longaevi *CM* IV, 66 sqq.
Ὁμόνοια, v. *Concordia*.
Horae, Ὧραι, *L* 310, 4.
horti (παραδείσου) descriptio *AT* 53, 25 sqq. *L* 305, 5—306,

10; *ἀκρότομοι* *L* 263, 31—264, 1. *E* 102, 13—32. 247, 21 sqq.; (*λιπαρὸς — περιφανέστατος*) *NE* I, 77—115. III, 65—100.
ἀκτινόβολος ὀπτεία *L* 251, 13 sq.
Hyacinthus in platanum mutatus *E* 285, 13. a Zephyro necatus *TMP* VI, 506. *NE* IV, 250. pulcherrimus *CM* IX, 68.
ἅβαλος ἡδονὴ αἰῶς *AT* 127, 30.
Hyginus, servi nomen, *Ch* 78, 27 etc.
Hymen, *Ταΐσιος*, *NE* VIII, 128. hymenaeus quali modo cantari ad ipsas fores thalami, *L* 326, 10 sqq.
Hyperanthes, juvenis pulcher, *NE* 369, 17 etc.
Hypsicreon Mylesius; ejus uxor Neaera adultera Naxum abit; eaque non dedita, multos bellum movet Mylesiorum contra Naxios *P* c. 18 p. 33.
Hyrcanium mare *AD* 233, 10.
Hyrcanus, canis nomen, *J* 227, 37.
Hyricus, pater Orionis, *P* 21, 6.
Hysmine *E* 164, 30 etc.
Hysminias *E* 161, 25 etc.

Iacchum canere et *ἐνάζειν* *L* 289, 27.
Iamblichus Babylonius Antonino et Vero Parthici belli exitum praedicit, *J* 525, 2—12.
Iapetum aetate superans, proverbialiter, *E* 175, 10.
Iason et Argonautae inscientes occiderunt Cyzicum *P* 29, 7.
Iberia; ibi civitas cuius incolae noctu vident, caeci interdiu *AD* 234, 15. Ibericus fluvius magnus, cuius undae citharae sonum edunt *AT* 69, 18—24.
Icarius ex Atheniensium fabula olim Bacchum excepit *AT* 59, 10.
Icarus *E* 285, 3. per mare, cui nomen dedit, immortalis 285, 4—5.
Icarus insula; eius vinum *AT* 59, 7.
Ida mons *P* 6, 10. 15.
Idas, fil. Clymeni, *P* 17, 8.
ignis ad orbitas rubicundas *TMP* I, 371. 386 sqq.
Illyris regio *P* 8, 28.
Inachus, rex Argivorum, nihil quidquam sensu, Io, a praedonibus Argivis quaesitae, *P* 3, 12. Inachia virgo *CM* II, 86.
Indi *NE* 356, 15. pueris nigri *AT* 69, 29. victi a Baccho *L* 306, 6. Indae mulieres ex arboribus vestes texunt *AT* 91, 22.
India, sedi proxima, colligere lucem fruitur; inde Indis corpus ferrei coloris *AT* 111, 19—22. nigra Indorum rosa 111, 22—115, 3. India aenifera 69, 25. *Ἰνδικὴ* *NE* 371, 11. Indi nervex alliquis 371, 26. Indicus elephas *AT* 113, 3. lapis *παντοφρὴς* *NE* VI, 338. Indica aromata *AT* 114, 9. Indicae merces *TMP* VI, 249.
inferiae *ThP* III, 82—101 pistorales *L* 260, 32—261, 8.
insaniae causa et medicina *AT* 118, 26—30. 119, 3—10.
Invidia dea, *Φθόνος*, *TMP* VIII, 370. 499. IX, 149. *NE* VIII, 65. invidiae malorum radix *CM* II, 9. mater sycophantae *ib.* 61—64.
Io Argiva, Inachi filia, a praedonibus abducta, *P* 3, 12. ab Argo custodita *CM* II, 86.
Iones *Ch* 79, 5. 121, 25. *AT* 165, 21. dispersi, in Caunum collecti a Cauno, Mileti filio, *P* 15, 18. 27. Iones *τρυφῶντες καὶ ἀπράγμονες* *Ch* 20, 13.
Ionia *NE* 329, 4. *AT* 190, 11. *Ch* 20, 11. 22, 3 etc. dives *Ch* 20, 11. Ionia a Gallis vastata *P* 10, 27. Ioniae et Lydiae satrapa *Ch* 80. 31. 96, 21.
Ionium mare *Ch* 52, 6. 15. 56, 27. 27, 28. 110, 18. 144, 8.

Iphimeda uxor Haloei Thessali *P* 24, 1.
irae physiologia *AT* 80, 3 sqq. 170, 9 sqq.
Ἰσχύς, v. Robur.
Isidora, soror Antonii Diogenis. *AD* 237, 19. 27.
Isis *XE* 372, 4. 9. σεμνή 335, 22. δέσποινα Αἰγύπτου 384, 21. Isidi sacra ipsa urbs Memphis 374, 3. virgo 372, 3. 9. iuratur per Isidem *AT* 140, 28. 153, 21. Isidis templum Alexandriae *AT* 140, 28, Rhodi *XE* 397, 15. 23. 25. Memphi *XE* 376, 12.
Italia *P* 11, 11. *Ch* 3, 12. 22, 2 etc. *XE* 377, 8. 379, 26. 386, 5. 20 etc. *AD* 234, 37.
Italiota (Rheginensis) *Ch* 6, 17.
Ithaca *P* 5, 28.
Ἴτυς, lusciniarum cantus, *L* 290, 20. *NE* VI, 656.
iudicia: Ephesi πρόεδρος in capitalium causarum iudicio exlege habebat συμβούλους ἐκ γεραιτέρων *AT* 184, 24. 201, 6, vel παρέδρους 184, 28. 197, 28. 198, 6 sq. etc.
Iuno: ei sacra Samos *NE* 340, 25. Iuno in nuptiis Thetidis *E* 174, 18. Iunonis γάμος, proverbialiter 288, 4.
Iuppiter *AT* 45, 31. 58, 15 a capra nutritus *L* 251, 8. rex Titanum *ThP* IV, 202. Minervam parit IV, 403. Ganymedem rapuit *L* 314, 24. Semelem *Ch* 51, 19. Alcmenes et Danaes amator *AT* 85, 12 sq. 86, 7. ob mulierem mugiit (39, 27. 70, 30) saltavit Satyrum, se fecit aurum 85, 24 sqq. Daphnen in laurum vertit *P* 20, 24. Mercurium iussit Herculem vendere Omphalae *AT* 62, 16. Iovis προμηθεία *E* 223, 7. 224, 27. aquila *AT* 93, 24. *L* 314, 27. Iovis Μειλιχίου et Οὐρανίου templa Alexandriae 130, 22. Iovis Casii, dei fatidici, statua in Pelusio 93, 8 sqq. eius templum 93, 15 sqq. Iuppiter Ἑταιρήιος *P* 23, 12. Κεραύνιος *ThP* III, 478. Ξένιος *P* 18, 7. 19, 8. 23, 12. *AT* 67, 11. 103, 21. 107, 14. *E* 206, 20. 31. 210, 17. 211, 18. 214, 9. 215, 1. 219, 27. 275, 8. *ThP* III, 125. IX, 16. ὁ Ξένιος IX, 379. Ὅρκιος *ThP* III, 479. Πατήρ *E* 215, 3. 220, 1. 10. 229, 4. *ThP* II, 468. 488. Σωτήρ *L* 318, 19. *E* 215, 13. 224, 30. Iovi Σωτῆρι bibere *E* 169, 8. eidem sacrificabatur in fine Diasiorum *E* 189, 11. 211, 8. Iuppiter Τεράστιος *ThP* VII, 518. coll. *AT* 131, 9 sqq. *E* 284, 24. 285, 6. Φίλιος 187, 7. 212, 32. ὦ Ζεῦ καὶ θεοί 176, 10. 203, 17. 247, 6. *ThP* VI, 335. ὦ Ζεῦ καὶ Ἥλιε *Ch* 47, 4. Ζεῦ Ὀλύμπιον κράτος *NE* I, 226. Ὀλύμπιε Ζεῦ V, 108. εἴδωλον Διός, proverbialiter, *E* 174, 16, v. *deorum* et *Amor*. Ἕτοιμος ὁμνύναι, εἰ δυνατόν, εἰς τὸν οὐρανὸν ἀναβὰς καὶ ἁψάμενος αὐτοῦ τοῦ Διός *Ch* 48, 1. Καλλιρρόη δὲ καὶ αὐτοῦ τοῦ Διὸς οὐκ ἄν ἡσπάσατο γάμους 118, 30. οὐδὲ γὰρ οὐδ' αὐτοῦ Διὸς φίλημα τοῖς σοῖς κατεπιθήσω φιλήμασι *E* 213, 20.
Iustitiae (Θέμιδος) statua allegorica *E* 172, 11—20. 173, 28—174, 2. νὴ τὴν Θέμιν *ThP* VIII, 94. *NE* V, 75.
ἴυγγες ἐρωτικαί *E* 169, 19.

Lacaena, nomen servae, *AT* 144, 11. 145, 1. 165, 8.
Lacaenae dictum ἢ τὰν ἢ ἐπὶ τάν *E* 233, 15. Lacaena canis 255, 11. Chium vinum ἐκ Λακαίνης *AT* 59, 6. lapis Chius ὁ ἐκ Λακαίνης *E* 164, 4.

Lacedaemon *XE* 380, 30. 381, 21.
Lacedaemonii *Ch* 127, 18. *XE* 381, 5.
Laconica *P* 20, 4.
lacrimarum physiologia *AT* 98, 12 sqq. 160, 26 sqq. 176, 25 sqq. *CM* VI, 40—59. cf. *XE* 337, 25—29. lacrimae gaudio genitae *CM* IX, 32—36.
Lais Corinthia *NE* III, 155.
Lamon pastoris nomen *L* 342, 10 etc.
Lampetus heros in Lesbo interfectus ab Achille *P* 24, 30.
Lampis bubulcus *L* 308, 3 etc.
Lampon caprarius *XE* 353, 32 etc.
Laodice Troica; eius historia *P* 20, 27—21, 22.
Laodicea Syriae *XE* 373, 18. 377, 14.
Laomedonti serviens Apollo *L* 312, 8.
lapis insularis *E* 163, 31. Lydia *CM* VIII, 25. Vide Chalcidicus, Chius, Lacaenae, Pentelicus, Thessalicus. Lapide uvae conteruntur *L* 262, 8. 269, 21 sq. Lapideorum lectorum descriptio *E* 164, 10.
Larissa, filia Piasi, Cyzici uxor secundum nonnullos, *P.* 29, 4.
Latona *περὶ καλλιτεχνίας* contendit cum Niobe eamque punit *P* 31, 20 sqq.
laurus *Ἀπόλλωνος σπέρμα E* 261, 8. *πρόμαντις* 270, 9. 271, 13 sq. laurea corona virginea, rosea amoris *E* 180, 26 etc. laurea corona caduceatoris Diasiorum 161, 13. 180, 26. 189, 28 etc.
Leander et Hero *NE* VI, 471.
Learchus *ThP* II, 390.
Leda *Ch* 70, 24. *NE* VI, 632.
Leleges: in eorum regione Caunus condita *P* 16, 5. Lelegea vestis 19, 24.
leo galli cantum timet *CM* IV, 63.
Leonas servi nomen *Ch* 21, 30 etc.
Leonidae trecenti *Ch* 128, 15.
Leontini *AD* 235, 1. 10. eorum tyrannus 231, 30.
Leontopolis, urbs Aegypti, *XE* 374, 6.
Lepethymnus ex Methymna pater Hecatomnis et Helicaonis *P* 24, 31.
Lernaea hydra *NE* V, 318.
Lesbus insula *P* 21, 17. *XE* 361, 30. 369, 23. *NE* I, 57 etc. eius ora Mytilenae proxima amoenitatum plena *L* 269, 3—6. In Lesbo lucus Nympharum cum tabula picta ibi consecrata 241, 1—12. Lesbus ab Achille directa *P* 24, 17. 28, 8 sqq. Vide Trambelus. Lesbia vitis valde humilis *L* 262, 17—22. Lesbium vinum, *ἀνθοσμίας AT* 59, 4. *L* 258, 21. 310, 11.
Lestius (*Λήστιος*) servi nomen *ThP* I, 193 etc.
Lethe: *λήθης κράτηρ ἐν Ἅιδου κιρνώμενος E* 284, 23.
Leucippe *AT* 41, 23 etc.
Leucippus, Oenomai filius, eius historia *P* c. 15. p. 20.
Leucippus, Xanthii filius, ex Bellerophontis prosapia; eius historia *P* c. 5. p. 7.
ἡ Λευκώλενος Ch 70, 28.
Leucon servi nomen *XE* 347, 30.
Leucone, uxor Cyanippi; eius historia *P* 14, 21—15, 12.
Leucophrye, Mandrolyti filia, Leucippi amore cives prodit *P* 8, 18.
lex: *ὁ νηίτης νόμος*, lex nautica in tempestate *E* 232, 18 sqq. 277, 10—13. Lex Ephesia: qui se ipse caedis accusaret, morte esse puniendum *AT* 184, 29. Heracleensis de ovibus agendis *P* 10, 25.
libri in initiationibus: *ἐπὶ σοὶ βί-*

βλῳ κατεμυήθην τὸν Ἔρωτα E 212, 31.
Libya *Ch* 52, 5. *CM* II, 90.
Libyca palus condens aurum, quod extrahunt Libycae virgines *AT* 69, 24—70, 4.
lingua maledica pestifera *CM* II, 23 sqq.
Locrensis rosa *E* 259, 9. *CM* IV, 76. VIII, 9.
λόγος αἰδοῦς καὶ λύπης καὶ ὀργῆς πατήρ AT 80, 9 sqq.
luctus vehemens describitur *E* 267, 1 sqq. cf. *AT* 52, 16—53, 23.
Luna *NE* II, 76 etc. virgo *ThP* I, 375. Lunae templum Rhodi I, 472, porta Alexandriae *AT* 129, 20. Selenes tauro insidentis pictura describitur *AT* 42, 5 sqq. Vide *Endymion*.
lupus: ad lupos capiendos fossae deprimuntur et lignis frondibusque teguntur *L* 246, 25 sqq.
Lycaenium *L* 292, 6 etc.
Lycastus amat Eulimenen, Cydonis filiam, *P* 32, 10. Quare eam ab se corruptam palam professus fuerit 32, 19. Ab Aptero per insidias occiditur 32, 25.
Lycia *XE* 355, 5. *Ch* 23, 27.
Lycii *P* 7, 16.
Lycomedes *XE* 329, 2.
Lycurgus vinctus *L* 306, 5.
Lydiae satrapa *Ch* 70, 19. Lydiae et Ioniae satrapa *Ch* 80, 31. 96, 21. maximus eorum qui a Rege mittuntur *ἐπὶ θάλατταν* 80, 32. Lydiae mulieres ebur inficientes *AT* 42, 10. Lydia lapis *CM* VIII, 25.
lymphaticae habitus *AT* 117, 25 sqq. 119, 19.
Lyncei visus, proverbialiter, *ThP* VII, 137.
λύπη, vide *dolor*.
Lyrcus, Phoronei filius, *P* c. 1. p. 3 sqq.
Lysilla *AD* 237, 36.
Lysimachus *NE* I, 170 etc.
Lysippus pater Dosiclis *ThP* II, 172 etc.
Magi (*Ch* 101, 29 sq.) locustarum, leonum, murium *J* 224, 35 sq. grandinis, serpentium, divinationis ex mortuis, engastrimythi 224, 38 sq.
magnetis et ferri amor *AT* 55, 30—56, 4. *NE* IV, 137.
malum Punicum (*ῥοιὰ*) in Iovis Casii manu *AT* 93, 11. eius significatio mystica *ibid.*
Mandrolytus, pater Leucophryes, *P* 8, 18.
Mantinias *AD* 233, 22 etc.
Manto *XE* 348, 11 etc.
Marathonia pugna *Ch* 118, 19.
mare externum *AD* 233, 15. per mare iuratur *XE* 343, 9. *Ch* 48, 3.
margaritae *E* 170, 14.
Maroneum vinum in Thracia *AT* 59, 5.
Mars (*AT* 116, 11. *ThP* V, 180) et Venus amantes *XE* 336, 29—337, 2. Mars Adonin interimit *NE* IV, 259. a Vulcano vinctus VII, 97. Martis simulacra apud Cilices piratas *XE* 357, 29. eius sacri ritus crudeles 358, 1—6. 363, 9. Mars *χαλκόδους NE* V, 434. Martis stilus hasta *E* 171, 16. belli duces *τοῖς Ἄρεος χαίρουτες ἄθλων ὀργίοις NE* V, 326.
Marsyas suspensus *L* 309, 10. arbori alligatus fingitur a *κορυπλάθοις AT* 101, 103.
martichoras *CM* II, 40. IV, 40.
Maryllis *NE* VI, 665. *Μαρυλλίδιον* VII, 123.
Massagetae *AD* 235, 15. *CM* II, 92.
Massilia *P* 11, 12.
Mazacus Cappadociae urbs *XE* 359, 61. 360, 2.
Medea Scythica *τεκνοκτόνος Ch* 41, 20 sq.

Medi *Ch* 123, 13. 126, 23. 132, 22. 152, 13.
medicus castrensis *AT* 118, 32. medici grammatici insulsiores *CM* II, 7 sq.
Megabyzes *Ch* 89, 18. 131, 11.
Megacles *L* 324, 1 etc.
Meganedes *XE* 339, 27.
mel novum inuentum fuit *L* 257, 4. mel ἐξ ἐρετῶν τροπῆς venenatum et ventris profluuium ciens *J* 217, 21 sqq. 222, 21 sqq.
Melantho seruae nomen *AT* 156, 5 etc.
Meliae, v. *Nymphae*.
Melignunis insula, in qua ventorum rex Aeolus, *P* 5, 6.
Melirrhoas fluuius *XE* III, 68.
Melissus ex Priene puer Idi (Actaeonis) *P* 19, 1 sqq.
Melite *AT* 139, 5 etc.
Memphis *AT* 120, 3. sedes satrapae Aegypti *Ch* 119, 14. Urbs Isidi sacra *XE* 374, 3. 376, 12. Ibi Isidis et Apidis templa 384, 20. 385, 2.
Memphitis mulieris nomen *XE* 376, 31.
Mende Aegypti *XE* 374, 4.
Menelaus Helenae maritus *Ch* 36, 29. 88, 19. Nili fossam fecit *XE* 374, 2.
Menelaus *AT* 82, 21 etc.
Meniscus *AD* 233, 17. 236, 23.
Meno Messenius *Ch* 14, 10.
mens in vultu conspicua *AT* 160, 9.
mensium anni duodecim pictura allegorica describitur *E* 190, 31—195, 31.
Mercurius Iouis iussu Herculem vendidit Omphalae *AT* 62, 15. Mercurii filius Daphnis Siculus *P* 29, 13. Mercurio Lesbii in conuiuio libant ex ultimo cratere *L* 323, 30. Mercurio veloci carus Anthus *P* 19, 5. Mercurius λόγιος *ThP* VIII, 529. Mercurii statua Romae III, 69. Ἑρμοῦ γοργὸς *E* 198, 19. 285, 29. ἀσύστιον, proverbium, *E* 198, 19. 23. Ἑρμαιζός *ThP* VI, 395. IX, 474.
Mesopotamia, Euphratis soror *J* 224, 15 etc.
messatoris imago *E* 192, 24—193, 2.
Messenius Meno *Ch* 14, 11.
Metapontum, Μεταπόντιον, *AD* 235, 13.
Methymna ex Lepethymno mater Hectaonis *P* 25, 1.
Methymna urbs *L* 271, 30. 277, 15. 284, 24. ab Achille obsessa et a Pisidice prodita *P* 24, 18 sqq. 25, 9 sqq.
Methymnaei *L* 268, 31. 269, 26. 270, 11 etc.
miles: eius habitus descriptus *E* 190, 31—191, 10. miles gulosus et alieni auidus *CM* I, 7 sq. militem quid deceat *ib.* 27—31. IX, 41—18.
Milesia (regio) *P* 11, 2.
Milesii sub imperio Phobii Nelidae *P* 18, 3. deinde Phrygii *P* 18, 20. Naxum obsidentes qua ratione perierint *P* 12, 24—14, 19. ab Hypsicreonte iniuriam passo permoti ut Naxiis bellum inferrent *P* 23, 24. quomodo celebrent Thargelia *P* 13, 22 sqq. Milesiae virgines 16, 17. Milesius Hypsicreon 23, 3. Milesiorum λιμένες *Ch* 27, 26 50, 18. 70, 5. 84, 19. Milesia triremis 44, 17, στολή 50, 13. 92, 11.
Miletus condidit urbem Oecusium et e Tragasia Celaenûs filia genuit Cannum et Byblidem *P* 15, 13. 20 sqq.
Miletus urbs *P* 23, 5. *Ch* 20, 16. 26, 16 etc. Mileti portuum (v. Milesii) unus Docimus dictus *Ch* 49, 14. Mileti nuptiae fiebant in Ὁμονοίας templo *Ch* 58, 9. Ibi-

dem Thesmophoria celebrantur in loco qui non procul abest ab urbe *P* 10, 28. Ex hoc loco per invasionem Galli multas mulieres abduxerunt *P* 11, 2 sqq.
Minerva *Ch* 64, 1. Iovis filia *NE* IV, 185 sqq. Minervae *Προνοίας* templum Delphis *P* 27, 15. Minervae ira et vindicta pro mercede textrici conducta non soluta 28, 18 coll. 28, 23 Minerva Vulcano iuncta in oraculo *AT* 68, 15 coll. 68, 31—69, 7. Minerva in nuptiis Thetidis *E* 174, 18. Minervae tibia *AT* 194, 8. milites *θούρια Παλλάδος βρέφη ThP* V, 170. *νὴ τὴν Ἀθηνᾶν AT* 61, 11.
Mistylus *ThP* I, 76 etc.
Mithridates *Ch* 70, 19 etc.
Mnason *AD* 237, 37. 238, 1. 3.
Mnesarchus *AD* 234, 11.
Moeris *XE* 351, 12 etc.
Momus *NE* II, 289.
Mongus *NE* V, 285 etc.
monile describitur *AT* 65, 25 sqq.
monops *CM* II, 73—80.
morbus sacer, *ἡ ἐκ θεῶν καλουμένη νόσος XE* 388, 12.
Mors, *Θάνατος*, deus, *XE* 369, 3. *θανάτου πύλαι AT* 166, 10. mors vitiosos homines reformidat *CM* II, 71 sq. IV, 66 sqq. mors, si honeste viventem ante tempus rapuerit, *πόνων παῦλα* est *CM* III, 9—11. nemo ante mortem beatus *ib.* 34—37.
mortuis *κατὰ νόμον κοινὸν παραγίνεσθαί τις δαίμων* dicitur *Ch* 16, 15 sqq.
mulieres aspere vituperatae *AT* 45, 29 sqq. earum habitus in re venerea *AT* 86, 14—87, 8. Silentium decet mulieres *E* 279, 29 *CM* VI, 2—4. Ad zelotypiam a natura comparatae *CM* VI, 31—39.
Munitus Acamantis filius ex Laodice, ab Aethra enutritus, quomodo obierit *P* 21, 19 sqq.
muraenae et viperae amor *AT* 57, 3—21.
muri (*Φριγγίου*) picturis ornati, qui hortum cingebat, descriptio, *E* 170, 3 sqq.
Musae *L* 296, 23. 26. 297, 2.
Mycene *πολύχρυσος E* 174, 6.
Myrtale *L* 243, 2 etc.
Myrtale *ThP* I, 163 etc.
Myrtipnoe *ThP* II, 53 etc.
Myrtion, *Μυρτίων*, *NE* VII, 135.
Myrto *AD* 233, 33.
Myrto *NE* III, 263 etc.
Mysorum praeda, proverbialiter, *ThP* I, 26. *NE* I, 22.
mysteria unde dicta *J* 224, 37.
Mytilene, urbs Lesbi, paucis describitur *L* 242, 1—5. eius acta amoena et instructa *L* 269, 3—6. Commemoratur *L* 304, 22 etc.
Mytilenaei *L* 269, 2 etc.

Nanis, Croesi filia; eius historia *P* 25, 21—26, 5.
Nape, nomen pastorale, *L* 244, 18 etc.
naufragium, v. *tempestas*.
Nausicrates *ThP* I, 485 etc.
nautarum *κελευστοῦ* cantilena *L* 295, 20. 296, 9.
navis soluta portu egrediens describitur *AT* 82, 7—17. Naves puras esse debere aphrodisiis, dicunt nautici viri *AT* 143, 15 sqq. Navis *νεκροπομπὸς E* 231, 20.
Naxius Promedon *P* 23, 3.
Naxus insula *P* 23, 17 sq. antiquitus vocata Strongyle *P* 23, 26 sq. Ex hac insula profecti piratae Thraces *ibid.* Quare Naxii a Milesiis bello impetiti *P* 23, 33 sqq. Ara in Naxiorum Prytaneo *P* 23, 20. Naxii a Milesiis urbe inclusi et obsessi quomodo servati fuerint *P* 12, 24—14, 19.

Neaera, uxor Hypsicreontis Milesii; eius historia *P* c. 18. p. 23.
Nelida *P* 18, 21. 19, 22. Neliadae *P* 17, 15. 18, 2.
Nemesis *Ch* 64, 3.
Neptunus *AT* 92, 23. 113, 3. *Ch* 59, 13. *E* 205, 16 etc. ἐνοσίγαιος, ἐνοσίχθων *E* 285, 20. Neptuni cetum *AT* 93, 25 sqq. Neptuno in navi sacra hirci ante pugnam navalem *TAP* V, 418 sqq. Neptuni potentia *TAP* V, 421—430.
Nereis *Ch* 3, 8. 33, 24. 50, 5. *NE* VI, 535. Nereides *E* 235, 13. *TAP* VI, 315. Nereidum chorus *AT* 113, 3. Nereidis (Thetidis) pulchritudo *CM* VIII, 11.
Nicandra textrix ab Alcinoe conducta et fraudata; hanc quomodo ulta fuerit Minerva *P* 28, 29 sqq.
Nicochis, vicus maior ῥουκόλων, *AT* 121, 21—31.
Nicostratus *AT* 202, 7.
Nilotici boves *AT* 70, 18 sqq.
Nilus ultra Thebas Aegyptias descendens, post Memphim in tria flumina dividitur, Delta efficiens, ubi fluminum illorum quodque in alia multa et magna flumina finditur *AT* 120, 2—13. Nili aqua suavissima *AT* 127, 27 sqq. Quomodo ex Nilo bibant Aegyptii *AT* 128, 6. In Nilo navigatio ῥουκόλων ὕδρει aliquamdiu intercepta, iterumque libera *AT* 127, 15—27. Nili miracula *AT* 120, 14—121, 3. Paludes facit in partibus ῥουκόλων *AT* 121, 3 sqq. Quomodo quaeque Nili fossa aggere instructa sit, quo rupta campus inundatur *AT* 123, 3 sqq. coll. 101, 7. 102, 9. Magna et lata fossa apud ῥουκόλους *AT* 123, 9 sqq. Nili ostia, ἐκβολαί, *XE* 372, 13. 375, 14. 21. Nili ostium Paraetonium *XE* 372. 13. Nili fossa a Menelao facta ad Schedium *XE* 374, 1 sq. Nili annalia *XE* 375, 12. Praeterea memoratur Nilus *AT* 82, 4. 96, 20. 119, 1. 7 etc.
Niobe a nonnullis non Tantali, sed Assaci filia, uxor autem Phlegiae dicta; eius secundum hos historia *P* c. 33. p. 31. Niobes fabula *AT* 102, 1. *E* 267, 9. *NE* II, 327. VI, 614.
Nireus *Ch* 3, 16. *CM* VIII, 10. IX, 56.
Nisaeus equus *Ch* 111, 16.
noctis imago allegorica describitur *E* 175, 9—12. 15—20.
Nuceria, Νουκέριον, Italiae, *XE* 389, 8. 392, 24.
Nympha *Ch* 33, 24. Nympharum cultus *L* 263, 13 sqq. 279, 6—18. 290, 16 sqq. Nympharum habitus describitur *L* 243, 15—19. 271, 19 sqq. Nympharum lucus *L* 241, 1—5, antrum *L* 243, 13—15. 19—26. Nymphae montium *Ch* 3, 8. Nymphae Ἕλειοι *L* 296, 20. ἐφυδριάδες *P* 19, 16. Epimelides *L* 283, 12. Μελίαι *L* 296, 19. ᾠδαὶ εἰς τὰς Νύμφας παλαιῶν ποιμένων ποιήματα *L* 279, 17. Per Nymphas iuratur *L* 272, 2. 283, 5. 293, 1. 315, 10. νυμφαῖον *L* 243, 23. 248, 10.
Ὀβελίας ἄρτος *L* 251, 11.
Oceanus Scythicus, inde Orientalis *AD* 233, 13 sq.
oculus ἔρωτος πηγή *AT* 42, 14. 48, 9 sqq. oculi vigiles amorem produnt *E* 181, 18. *AT* 45, 13. oculi lacrimis suffusi physiologia *AT* 160, 36 sqq. augurium ex oculo dextro micante capitur *E* 251, 26.
Odomantes, Thraciae populus, cuius rex Sithon, *P* 8, 23.
Oecusium, urbs a Mileto condita, *P* 15, 20.

Oedipus *E* 174, 32.
Oenomaus, pater Leucippi, *P* 20, 8.
Oenone, Cebrenis filia; eius historia *P* c. 4. p. 6. Mater Corythi ex Alexandro *P* 31, 29.
Oenopion, pater Haerûs ex Helice nympha; ebrius quomodo ultus sit Orionem filia vim inferentem *P* c. 20. p. 24.
Oetaeorum praefectus Aristo *P* 27, 10.
Olympia *Ch* 107, 12.
Olympici ludi *AT* 56, 28. *Ch* 107, 12. Olympicus agon *Ch* 91 26 sq.
Olympii dii *NE* II, 52, 324. V, 10, 188.
ὀλυμπιονίκης *E* 206, 11. 273, 12.
Olynthus, urbs Thraciae, *P* 21, 21.
Omphalae venditus Hercules *AT* 62, 15.
ὀπισθόδομος *AT* 93, 15.
oracula metrica *AT* 86, 13. *XE* 335, 16. 385, 16. *ThP* IX, 196 sqq.
Orci galea *AT* 95, 5. *E* 268, 24.
ordalia *AT* 195, 10 sqq. 206, 15 sqq. *E* 241, 18—242, 8. 282, 31—283, 11. *ThP* I, 374. 386 sqq.
Orion, Hyriei filius, Haerûs amore insulam (Chium) pacat feris infestatam; occaecatus a puellae patre ebrio *P* c. 20. p. 24.
osculi amatorii physiologia *AT* 63, 31 sqq. 86, 19 sqq. 87, 29 sqq. 116, 32 sqq.
Othryades *Ch* 128, 15.

Paapis sacerdos Aegyptius *AD* 233, 24 etc.
παιδαγωγία ἐρωτική *AT* 49, 3 sqq. *L* 293, 32—294, 9.
παίδων ἔρως *AT* 84, 10—85, 16. 87, 11—88, 5. 199, 27.
Palaestina *AT* 137, 20.
Pallene, filia Sithonis, regis Odomantum; eius historia *P* c. 6. p. 8 sq.
palma, φοῖνιξ: de amore palmarum maris et feminae fabula rusticorum *AT* 56, 5 sqq. *E* 264, 1 sq. *NE*, IV, 143.
palumbis, φάττα, prius virgo boves pascens; eius metamorphoseos fabula narratur *L* 257, 29. 258, 15.
Pamphylia *XE* 362, 16.
Pan *L* 241, 16. *E* 191, 23. deus φιλοπάρθενος *AT* 207, 2. ἐρωτικὸς καὶ ἄπιστος *L* 283, 9. Nymphas insectatur *L* 283, 11 sq. Pan amabat Syringem virginem; cuius fugientis capillos cum corripere vellet, arundines in manu habebat, unde quomodo musicum instrumentum concinnaverit *AT* 194, 18—195, 7. *NE* III, 308—321. Id deponit in spelunca, quam postea Dianae Ephesiae donavit *AT* 195, 7 sqq. Quomodo ea syrinx in antro virginitatis probationem agat 195, 12—29. Idem amor Syringis capras pascentis, metamorphosis virginis, et musici instrumenti inventio narratur *L* 280, 25—281, 7. 282, 5—13 coll. 283, 11. Pan amabat Pityn *L* 266, 23 sq. 283, 10. Pan et Pitys, cantilena, *L* 258, 3 sq. Panos cultus *L* 279, 20—29. 31 sqq. Pan sub pinu dedicatus *L* 275, 1. 290, 9. quo habitu *L* 275, 18—19. τὸ πλεον τράγος *L* 251, 10. Pan cum Amore et Nymphis *L* 241, 16. 324, 29. 325, 30. Echo nympha cur irae fuerit Pani *L* 296, 28 sqq. Grex Pani sacer *L* 306, 29. Relicto rure Pan multa bella gessit *L* 273, 4 sq. Panos φαντάσματα, Panici terrores *L* 276, 9—277, 21. Pan Στρατιώτης *L* 326, 8. Per Pana iuratur *L* 283,

3. 293, 1. 315, 10. per Pana et Nymphas *L* 272, 1. 278, 21.
Panorato, Helvidius, Thessalonicensis, a duobus Theodosiis imperatoribus amatus, *P* 24, 2 sq.
Pandionis tribus *NE* II, 329, V, 116.
Pandora *NE* II, 308.
Panolbius *LP* II, 3 sq.
παντοφάγος lupus *NE* VI, 308.
Panthia *AT* 41, 23 etc.
Panthia *E* 164, 27 etc.
Panthous Hesperi *Ch* 95, 1.
Paphus *Ch* 149, 23. ibi templum Veneris, cuius sacerdotes feminae sunt *Ch* 149, 31.
Paractonium, Nili ostium *NE* 372, 13.
Parcae, *Μοῖραι*, *AT* 49, 27. *TkP* VII, 125. IX, 182. *CM* III, 9. Parcarum βάσκανος μῖτος *TkP* VII, 318 *CM* VII, 45 sqq.
Paris *E* 203, 21: index *L* 304, 17. *E*. 174, 21. Helenae raptor *Ch* 88, 22. *Ἀλέξανδρος ὁ Πάριδος Ch* 136, 17. Vide *Alexander*.
Parmenio *AD* 237, 34.
Parnassus *CM* VIII, 17.
Parthi *NE* I, 6 etc.
Παρθάναξ NE I, 192 sqq.
Parthicum bellum Antonini et Veri *J* 525, 19.
passer femina βασιλεὺς dicitur *CM* III, 67.
pastoris imago *E* 191, 12—23. victus *L* 251, 11. varia genera cantus syringis, quibus utuntur pastores et caprarii, enumerantur *L* 312, 24—30. Vide *Syrinx*.
Patroclus *Ch* 11, 24. *Πάτροκλον πρόφασιν*, proverbialiter, *AT* 83, 25. *Ch* 147, 3.
pediculus corpus exsangue derelinquit *CM* III, 52—56.
Peleus, Thetidis deae maritus, *Ch* 51, 23.
Pelides (Achilles) *P* 24, 30. 25, 18.
Pelium *Ch* 6, 9.
Peloponnesii *Ch* 27, 19.
Peloponnesus *P* 20, 5. 23, 28. 26, 17. Peloponnesus et circumiectae insulae a Thracibus petitae, Nave profectis, infestatae *P* 23, 28.
Pelusium, urbs Aegypti, *NE* 372, 17. 373, 26. 384, 18. *AT* 93, 8. *Ch* 119, 15. 132, 25. eius sinus *Ch* 126, 22—26. Ubi Iovis Casii statua et templum *AT* 93, 8 sqq. Pelusiotae *NE* 373, 7. 374, 16.
Penelope, Ulyxis uxor; quo eius astu petierit Eurycalus, *P* 6, 1 sqq. Penelope pudica *AT* 16, 22.
Pentelicus lapis, *Πεντελίς*, *E* 164, 14.
Peratheus discerptus *L* 206, 5. Penthei reliquiis ad Chaones fert *Πτερώ P* 31, 14.
Periander Corinthius; cuius et matris eius historia *P* 21, 23—23, 2.
Perilaus *NE* 358, 9 etc.
Perinthus, urbs Thraciae vicina, urbium illic facile princeps, *NE* 360, 12—15. Byzantio propinqua *NE* 360, 28. Commemoratur praeterea *NE* 361, 3. 19. 28. 362, 14. *Ἡσυχάσιος NE* 390, 16.
Persae *P* 26, 1. Eorum rex Cyrus *P* 25, 22. Persarum regis tribunal quale *Ch* 91, 30 sqq. Persarum rex venatum quomodo proficiscatur *Ch* 111, 16—23. in bellum exiturus quid de more faciat *Ch* 120, 12—20. 121, 19—24. Vide *Cyrus*. Persarum regi in quavis regni urbe domus assignata est peculiaris *Ch* 138, 17—19 coll. 22, 17—19. Persarum *ὁμότιμοι Ch* 119, 27. magi *Ch* 101, 29.
Περσάναξ NE V, 311.
Perseus, Danaes ex Iove filius, *AT* 86, 7. Argivus *AT* 93, 23. Perseus, Andromedam servans,

pictura Euanthis *ibid.* et 94, 32 sqq. Persei gladius qualis *AT* 95, 11—18.
Perseus, Philobies maritus, Dardani praefectus, Laodices precibus commotus quid instituerit *P* 21, 4 sqq.
Phaedrae amor perdidit Hippolytum *AT* 46, 23.
Pharax, pater Cyanippi, Thessalus, *P* 14, 20.
Pharnaces *Ch* 70, 19. 80, 32.
Pharnuchus *J* 224, 27.
Pharsiris *J* 224, 27.
Pharus insula *AT* 127. 20. 131, 4. 132, 8. 134, 5. 208, 24. describitur *AT* 134, 6—12. Huic insulae στρατηγός praeficitur *AT* 134, 25 etc.
Phayllus tyrannus; eius historia *P* c. 25. p. 27.
Pherae sub Admeto *P* 8, 21.
Phidiae opera *NE* I, 102.
Philaechme, Phobii secundum nonnullos uxor, *P* 18, 4.
Phile, Antipatri filia, uxor Balagri, *AD* 237, 29.
Philetas pastor *L* 263, 27 etc.
Philinna *ThP* II, 174 etc.
Philobie, Persei uxor, *P* 21, 5.
Philocles, *AD* 237, 39.
Philoctetes sagitta vulnerat Paridem *P* 6, 29.
Philomelae mensa *AT* 46, 14. γλῶττα *NE* VI, 654. Vide *Procne.*
Philopoemen, nomen pastorale, *L* 326, 5.
Philotis *AD* 234, 12.
Philottus, secundum nonnullos Niobes maritus, in venatione perit, *P* 31, 19 sqq.
philtrum ἄκρατον insaniam affert *AT* 125, 3 sqq.
Phobius, filius Hippoclis Nelidae, Cleoboeae maritus, *P* 18, 2. 24. imperat Milesiis *P* 18, 3. Quare imperio cesserit Phrygio *P* 18, 18 sqq.
Phocas *Ch* 26, 14 etc.
Phoebus *E* 271, 15. 22. Phoebus Apollo *E* 267, 17. 270, 9. 272, 25 etc.
Phoenice *XE* 342, 19 etc. *Ch.* 119, 15 etc. Phoenices piratae *XE* 342, 13 sq. Phoenicum mater Sidon *AT* 37, 2.
Phoenix avis ex Aethiopia vel India in Aegyptum veniens, *AT* 109, 18 sqq. eius descriptio, fabula et sepulturae ritus *AT* 109, 22—110, 19. Eo patris sepulcrum ferente in bellum non exeunt Aegyptii *AT* 109, 17 sqq.
Phoroneus, Lyrci pater, *P* 3, 14.
Phrator *NE* III, 51 etc.
Φρόνησις, v. *Prudentia.*
Phrygia Magna *XE* 362, 15.
Phrygii latrones *Ch* 154. 22.
Phrygius Milesiis imperans post Phobium *P* 18, 20.
Phryne *ThP* II, 174 etc.
Phthia *NE* III, 52 etc. patria Achillis *P* 25, 15.
physalus piscis *CM* II, 39.
Piasus, pater Larissae, quacum rem habuit, *P* 29, 5.
picturarum descriptiones *AT* 37, 13—39, 28. 93, 15—96, 16. *E* 170, 7—172, 27. 174, 3—175, 25. 190, 31—195, 31.
pigmenta mulierum *AT* 87, 14.
piratae πορφυρεῖς (purpuram colligentes) in insula Pharo *AT* 135, 17.
Pisidice Methymnaea; eius historia *P* c. 21. p. 24, 20 sqq.
Pissa *ThP* IV, 30 etc.
Pitys, v. Pan.
Plangon, servae nomen, *Ch* 28, 19 etc. Πλαγγόνιον *Ch* 47, 6.
Pluto *E* 217, 26. *NE* III, 214. Ἀιδωνεύς *AT* 94, 18. 201, 23. Ἄιδαο πύλαι *Ch* 69, 16. *E* 268, 6. τὰ ἐν Ἄιδου apud Cimmerios vidit Dinias *AD* 233, 32. Plutonis domus *NE* V, 189. Vide *Orcus.*

Plutus *NE* V, 219. Plutus et Pluto oppositi *E* 217, 25 sqq.
poculi descriptio *AT* 60, 6—15. *ThP* IV, 331—411.
Polybus Corinthius, pater Alcinoes, *P* 28, 16.
Polycharmus *Ch* 11, 22 etc.
Polycles, frater Polyerites, unus ex praefectis urbis Naxi, *P* 14, 2.
Polycrite virgo relicta in Delo templo Naxi; eius historia *P* c. 9. p. 12, 29 sqq.
Polyidus *NE* 384, 15 etc.
Polymela, Aeoli filia; eius historia *P* c. 2. p. 5, 11. 18.
Polymestor *E* 204, 8.
Polyphemus ab Ulixe excaecatus *AT* 76, 30. Galateae amator *NE* VI, 501, 543.
pompa *J* 220, 12 sqq. funebris *Ch* 13, 4—22. 70, 15—20.
Pontus provincia *NE* 359, 11. *AD* 233, 10.
Πόθος CM I, 41. *ThP* IX, 203. 353. Veneris filius *ThP* IX, 199.
prati descriptio *NE* I, 77 sqq.
Praxiteles *NE* I, 103.
Priamus *Ch* 94, 31. Priami filius Alexander *P* 6, 10.
Priapi fecunditas, proverbialiter, *NE* III, 212.
Priene *Ch* 79, 4. 8. urbs parva, Graecae curiositatis plena *ib.* v. 15. Prienensium στρατηγός, *Ch* 79, 20. 25. 80, 3. 96, 19.
Procne. Pandionis filia, *NE* II, 329. V, 116. Procnes, Philomelae et Terei fabula picta *AT* 131, 13—132, 7. Eadem fabula multis explicatur *AT* 132, 25—133, 32. Iugulatio filii *AT* 46, 16.
proditoris saeva natura *CM* II, 15 sqq.
Promedon Naxius, amicus Hypsicreontis Milesii, cuius uxor eum ad adulterium adigit et in Naxum sequitur *P* 23, 3 sqq.
Prometheus animalia finxit *AT* 71, 11 sqq. Catenis alligatus, ab Hercule aquilam occidente liberandus, pictura Eoanthis, *AT* 95, 20—96, 16. Promethei aquila *E* 223, 23.
Προνοια, v. *Minerva*.
Proserpina *E* 217, 20. *Κόρη J* 225, 19. Proserpinae thalamus *E* 231, 21.
Protesilaus redivivus *Ch* 102, 29.
Proteus, proverbialiter, *E* 280, 15.
prytaneum Naxiorum *P* 23, 20.
proverbia et locutiones proverbiales: *συηγολόγων AT* 30, 4. *οὐχ ἑδρας ἔργον AT* 130, 15. *οὐχ ἑδοας καιρός E* 228, 30. *θεῶν ἄξιος AT* 111, 15 (cf. *Apostol.* Cent. VIII, 80 ed. *Leutsch.*) *ἔλαιος ἀντὶ παρθένου AT* 157, 1 marg. *ἐκ λύκου στόματος L* 255, 1. *κύνες ἐκ δεσμῶν λυθέντες L* 263, 20. *βοῦς ἐν αὐλίῳ καταλείπομαι L* 315, 11. *ὁ τρώσας αὐτὸς ἰάσεται Ch* 118, 28. *ἀγαθῶν χωρίον E* 169, 26. *ἰχθὺς ἐξ ἀγροῦ E* 177, 12. *ἐκ θαλάττης ταώς ibid. ὑπὲρ τὰ ἑσκαμμένα πηδᾶν E* 198, 16. *ἀπὸ γραμμῆς E* 207, 12. *ἄνθρακας τοὺς θησαυροὺς E* 220, 27. *καπνὸν φεύγοντες εἰς πῦρ ἐμπεπτώκαμεν καὶ ὕδωρ εἰς θάλατταν E* 230, 30. 215, 29. 281, 30. *λίθον ἀπὸ γραμμῆς κινῶ E* 267, 4. *πάντα πάντα συγκεκίνηκας κάλων ThP* III, 228. VIII, 249. *ὑπὲρ καπνοῦ τὰ τόξα τῶν Ἐρινύων ThP* VII, 133. *ὥσπερ τυφωνι βληθείς ThP* VII, 259. *πάντας δ' ἀνοχλίζουσα τοῦ λόγου λίνους ThP* VIII, 251. *παθοῦσα καὶ μαθοῦσα NE* III, 194. *τὸ φιλοῦν αὐτόκλητον ib.* 259. *μῦς εἰς πίτταν NE* IV, 410. *πῦρ ἐν πυρί NE* VI, 48. *ἄγκυρα ἐσχάτη ib.* 350. *δεύτερος πλοῦς ib.* 351. *Ἡρακλῆς πρὸς δύο NE*

VII, 598. ἥλιξ ἥλικα τέρπει *CM* I, 55. καπνὸς τὰ τῶν θνητῶν καὶ σκιά *CM* IX, 9. Alia proverbia in suis vocabulis referuntur.
Prudentia. Φρόνησις: eius imago allegorica describitur *E* 170, 7—171, 4; 172, 30—173, 7.
Psammis *XE* 371, 28 etc.
pudor, αἰδώς, *AT* 80, 3 sqq. *E* 200, 15. 19. 23. παὶς ἐλέγχων *E* 280, 19. Pudorem non novit Venus neque Amor *NE* III, 170.
puellae pulchrae descriptio *E* 184, 3—22. *NE* I, 120—158.
puerorum pulchritudo qualis *AT* 87, 20 sqq.
pulchritudinis genera duo, alterum coeleste, vulgare alterum *AT* 84, 29 sqq. pulchritudinis potestas *CM* I, 13—18. 33—42.
Punicum malum, v. *malum*.
purpurae inventio apud Tyrios *AT* 66, 9 sqq. purpurae collectores piratici *AT* 135, 17.
putei (φρέατος) artibus ornati descriptio *E* 163, 3—164, 9. *NE* I, 91—99.
Pyrrhum, Epiri regem, adit Cleonymus ad expeditionem in Peloponnesum suscipiendam exhortaturus *P* 26, 16 sqq.
Pythagoras *AD* 234, 11. Πυθαγορίζειν *CM* II, 14.
Pythia ara *E* 175, 1.

Rex apium *Ch* 32, 4.
Rhamnum *ThP* IV, 58 etc.
Rhegium *AD* 235, 12. Rhegii urbis tyranni *C*. 6, 17.
Rhenaea *XE* 385, 26 etc.
Rhenus, Celticus fluv., virginitatis puellarum explorator *E* 241, 19.
Rhesus multas regiones obiit et vectigales sibi reddidit *P* 32, 28. Apud Cium quo artificio Arganthonem venatricem in amorem suum pellexerit *P* 33, 1 sqq. Quae eum prohibere studuit a Troiana expeditione ib. 17 sqq. In qua pugnans ad *flumen*, quod nunc ab illo *Rhesus* vocatur, a Diomede interficitur *ib*. 22 sqq.
Rhipaei montes *AD* 233, 11.
Rhodanes *J* 221, 16 etc.
Rhodanthe *ThP* I, 37 etc.
Rhode *L* 324, 31.
Rhode, servae nomen, *XE* 347, 31 etc.
Rhodogyne *Ch* 89, 17. 30. 90, 19. 131, 13. 142, 12. 143, 19.
Rhodope *E* 251, 20 etc.
Rhodopis virgo venatrix, a Diana in fontem Stygem mutata, quare *AT* 205, 9—206, 14. *NE* III, 264—287.
Rhodus *ThP* I, 23. 66. 71. II, 26. III, 79. insula magna et pulcra *XE* 341, 8 sq. 392, 29. 394, 27. 395, 1 etc. *AD* 233, 29. eius portus *ThP* I, 7. II, 9—20. Ibi Solis templum *XE* 341, 21. 393, 22 et festum *XE* 395, 12 sqq. item templum Isidis *XE* 397, 15. 23. 25.
Rhoeo, filia Staphyli, Lyrcum amat et rixatur cum sorore Hemithea *P* 4, 17.
ῥοιά, v. *malum* Punicum.
Robur, Ἰσχύς, eius imago allegorica describitur *E* 171, 4—16. 173, 7—16.
rosa Amori sacra *E* 179, 15. 22. eius laus ex cantilena excerpta *AT* 58, 15—23. rosa nigra Indorum *AT* 114, 22—115, 3. Vide *Locrensis*.
ruris dii Ceres, Bacchus, Pan, Nymphae *L* 311, 24.
rustici imago *E* 190, 10—23.

Sacas eunuchus *J* 221, 21 etc.
Sacchuras Babyloniis dicitur engastrimythus *J* 225, 1.
sacra domestica *XE* 348, 24.

Sagaris *μαλακώτατος CM* VII, 22 sqq.
salamandra *CM* I, 30.
Salaminia puppis *Ch* 118, 19.
salicis semina vis *CM* VIII, 3 sqq.
saltatio mimica *ἐπιδέξιος L* 281, 25—282, 2. *μαχαιρωτική NE* VII, 278.
Samos Iunonis sacra insula *NE* 349, 5. Samius Xenides *P* 28, 19.
sapphiri scalpi descriptio *ThP* IV, 331—111.
Sarapta, vicus maritimus Tyriorum, *AT* 71, 21. 72, 22.
Sardanapalus *CM* VII, 20.
Sardes a Cyro obsessa, eiusque arx per proditionem capta *P* 25, 24. Sardium *P* 25, 21.
satoris imago *L* 194, 25—195, 7.
satrapa Aegyptius *AT* 119, 21. 122, 19.
Saturnus grandinis auctor *ThP* VIII, 103. Saturnia vita *NE* II, 305. *Κρόνιον πρεσβύτερος*, proverbialiter, *L* 265, 10. *NE* III, 115.
Satyrion, circulator; eius artes enarrantur *ThP* IV, 215 sqq.
Satyrus, servi nomen, *AT* 55, 9 etc.
Satyrum saltavit Iuppiter *AT* 85, 25. Satyri comites Bacchi *L* 251, 14. 306, 7. *ThP* IV, 367 sqq. Bacchabus insilientes *L* 263, 3.
Scellis, Thrax, Naxo profectus multas Graeciae regiones populatur: eius amor Panerati *P* 23, 25—24, 3.
Schedia Aegypti *XE* 374, 1. 383, 9.
σχήματα τὰ τῶν πολεμούντων ab equite rhythmice edita *AT* 101, 23.
scolopendra marina sputo hominis necatur *CM* VIII, 1 sqq.
Scythia *AT* 190, 11.
Scythica Diana *AT* 190, 10. Scythicus Oceanus *AD* 233, 13. Scythica nix, proverbialiter, *L* 286, 23.
Selene v. *Luna*.
Semele, Iovis amica, deflagrata, *AT* 85, 12. 86, 3. a Iove abrepta *Ch* 51, 19. Semelae portus *L* 316, 1.
Semiramidis mensis, proverbialiter, *NE* VI, 611.
sepulcrorum situs *NE* 368, 5. *Ch* 13, 23—25. 70, 1—4. 9 sqq.
sepultura pastoralis describitur *L* 360, 32—361, 8.
Serapidis, qui Graecis Iuppiter, *ἱερογλυφικὸς* quattuor magos cecinit Alexandriae celebratus *AT* 130, 16—22.
Sericum opus pharetra et arcus *Ch* 111, 22. *τὰ Σηρῶν ThP* IV, 271.
Sestus urbs *NE* VI, 474.
Setapus *J* 227, 2 sqq.
Sibylla vates a Cumana docta *AD* 236, 38.
Sicelicotae *Ch* 127, 20. *NE* 380, 14.
Sicilia *P* 5, 4. *NE* 380, 1. 381, 4 etc. *Ch* 3, 7 etc. *AD* 234, 37. insula magna et opulenta *NE* 383, 28. In Siciliae Daphnis *P* 29, 13.
Siculum mare *P* 5, 5. Siculi fluctus, proverbialiter, *CM* III, 37. Siculus fons (Arethusa) *AT* 56, 21. Siculus fons, in quo aqua igni mixta, *AT* 69, 12—18. Sicula regina Daphnidem amans *P* 29, 22. Siculus pastor *L* 280, 23. Boum Siculorum cornua tenuia *AT* 70, 22.
Sidon *AT* 81, 27. 137, 9. *Ch* 130, 13. urbs maritima Phoenicum *AT* 37, 1. eius portuum descriptio ib. v. 3 sqq. Sidoniorum dea Astarte *AT* 37, 10.
simia deformitatis specimen: *ὡς πρὸς Ἀφροδίτην μιμῶ E* 251, 22. *βούλεται συγκαθεύδειν πένητι καλῷ μᾶλλον ἢ πιθήκῳ πλουσίῳ L* 299, 13.
Simonis *J* 219, 12 etc.

Siren *E* 231, 22. Sirenes *AT* 46, 5. 97, 27. 164, 12. *E* 226, 8. Sirenes sepulcrum *AD* 234, 10. *Σειρήνειον μέλος NE* II, 202.
Sithon, rex Odomantum in Thracia, quomodo collocaverit Pallenen filiam, a plurimis amatam *P* p. 8 sq.
Sithonius puer *P* 16, 14.
Smindyrides *CM* VII, 20.
Smyrna *AT* 174, 21. 24. 182, 26. *ThP* V, 96.
Soaemus, Achaemenidae filius, Arsacidae nepos, rex Babylonis et Armeniae Magnae, senator et consul Romanus, sub Antonio et Vero *J* 225, 4 sqq.
Socrates sectatoribus circumdatus *E* 162, 7.
Sol *θεῶν κάλλιστος NE* II, 76. 85. eius templum et festum Rhodi *XE* 341, 23. 393, 22. 395, 12 etc. „Sol *ὃς Αἴγυπτον ἔχεις δι' ὅν καὶ γῆ καὶ θάλασσα πᾶσιν ἀνθρώποις πέφηνεν“ aliquis precatur *XE* 374, 30. *ὡ τὰ πάντων ἀνθρώπων ἐφορῶν Ἥλιε XE* 395, 20. coll. *Ch.* 106, 30 sqq. Sol *προπάτωρ* regis Persarum *Ch* 106, 29. Solis porta Alexandriae *AT* 129, 16. 20. Solis quadriga *ThP* I, 1. Solis avis Phoenix *AT* 109, 25 sq. 110, 17. Soli proxima India *AT* 114, 19 sq. Solis *ἀνατολαί* prope Oceanum Orientalem *AD* 233, 14. *ὦ Ζεῦ καὶ Ἥλιε Ch* 47, 4.
solatium unde peti possit *CM* I, 46 sq. IV, 10—12. V, 13—21.
somnia qualia et unde *CM* VIII, 29—34. Cf. *Addenda* p. LXII.
Somnus adducitur *φαρμάκῳ* quodam capiti illito *AT* 119, 7 sqq. *νηδυμος E* 182, 24. somni fons *τροφὴ καὶ πόσις καὶ κόπος E* 168, 16 sq. Somnus deus *NE* I, 347. *Σωφροσύνη E* 200, 15. 25. 29. Vide *Temperantia*.
Sophrosyne, servae nomen, *L* 317, 3.
Soraechus *J* 219, 12 etc.
Sosthenes *E* 162, 11 etc.
Sosthenes *AT* 144, 15 etc.
Sostratus *AT* 40, 18 etc.
Sparta *Ch* 141, 23. *σώφρων Ch* 88, 20.
Spartiata Lacedaemonius *XE* 380, 15.
Sphinx *E* 174, 32.
Stale *ThP* I, 161 etc.
Staphylus, Bacchi filius, Bybassi qua arte effecerit ut una ex filiabus, Hemithea, prolem ex Lyrco conciperet *P* 4, 11 sqq. Altera eius filia Rhoeo *P* 4, 15.
Statira, uxor Artaxerxis, *Ch* 88, 31 etc.
Stentor: *Στεντόρειον φάναι E* 272, 21. 283, 13.
Stheneboeae calumnia *AT* 46, 15.
stomachus *ἀναιδέστατον CM* I, 43.
strategemata *P* 13, 16. *AT* 122, 1 sqq.
Strato *ThP* II, 173 etc.
Stratocles *ThP* I, 452 etc.
Strongyle, antiquius nomen Naxi, *P* 23, 26. sq.
στρουθιομήτωρ ὄρνις, v. *passer*.
Styx *ThP* VI, 434. fons sacer Ephesi *AT* 205, 11. quomodo ortus sit *ib.* 205, 11—206, 14. In eum descendunt quae pudicitiae violatae arguuntur; fons culpam sive innocentiam indicat *ib.* 206, 15—22. 207, 19—25.
suis voce terretur elephas *CM* IV, 61 sq.
Susa *Ch* 8, 69.
Sybaris *Ch* 35, 4.
Sybaritae *Ch* 28, 10. Sybaritis mulier *Ch* 22, 3. 28, 8. 35, 1.
sycophantae natura *CM* II, 33—64.
συμβόλων interpretes quid de

fabulis pictis dicant *AT* 132, 11 sqq.
Syracusae *P* 27, 2. urbs magna et pulchra *XE* 380, 1. 382, 1. *Ch* 3, 2 etc. Syracusiorum tyrannus Hipparinus *P* 26, 22. Syracusis festum Veneris *δημοτελὲς Ch* 3, 23. Syracusiorum *λιμένες Ch* 54, 12.
Syria *XE* 348, 10. 352, 21 etc. *Ch* 119, 15. 120, 7. 124, 7 etc. *E* 225, 10. Syriae rex *J* 229, 39. 230, 4.
Syrinx virgo, amata a Pane et in instrumentum musicum mutata *AT* 194, 18—195, 7. *NE* III, 298—321. *L* 280, 25—281, 7. 13. 282, 5—13. In speluncis luci Dianae Ephesiae suspensa syrinx virginitatis probatrix *AT* 195, 7—29. syringis accurata descriptio et cum tubia comparatio *AT* 193, 20—194, 18. cf. *L* 246, 14. 261, 3. 20. 276, 27—30. 277, 30 sqq. 279, 29. 280, 11. 281, 11—24. 26 sq. 282, 11—13. 290, 18. *βουκολικὴ σύριγξ L* 250, 11 sqq. 259, 14 sqq. varii syringis cantus *L* 278, 2. 281, 20—21. 312, 16—32.

Tabulae cypressinae inscriptae *AD* 237, 7 sqq.
taenia virginis vice funis fungitur *L* 247, 23.
Tanais fluvius *P* 8, 28. viri nomen, unde fluvius appellatus *J* 224, 27 sqq. Tanaidis et Pharsiridis sunt quae ab accolis celebrantur mysteria Veneris *ib.* v. 28—30. Tanaidis ostia *AD* 233, 11
Tantalus, pater Niobes, *P* 31, 18. Tantali cibus *AT* 148, 14. poculum *AT* 84, 15. *Ταντάλειον δέπας NE* VI, 628.
Tarentum urbs Italiae *XE* 386, 23. 389, 12. 27. 391, 5.
Tarsenses *XE* 364, 6.
Tarsus urbs Ciliciae *XE* 358, 18. 359, 1. 364, 2.
Tauri, ubi Diana humano sanguine sacrum fit *AT* 190, 9. 12.
Tauromenium in Sicilia *XE* 386, 32 sq. 390, 16.
Taygetus mons *Ch* 112, 15.
Telamon, pater Traumeli, *P* 27, 25. 28, 13.
Teleos Argivus, pater Clymeni, *P* 17, 7.
Tellus, *Γῆ*, recondit cantica Echûs nymphae, dum cantaret occisae, *L* 297, 2. Tellus mater Daphnen fugientem supplicem recipit et servat *E* 218, 18 sq. 261, 18. 285, 11.
Temperantia, *Σωφροσύνη*: eius imago allegorica describitur *E* 171, 17—172, 11. 173, 16—28.
tempestas in mari et naufragium describitur *AT* 88, 6—93, 7.
Tereus, v. *Procne*. Terei mensam canunt hirundines *AT* 55, 2.
Termera *P* 32, 27.
thalami nuptialis descriptio *XE* 336, 22 sqq.
Thamyras Thrax excaecatus *P* 29, 25.
θάψος CM VIII, 15. *θάψινος* IX, 61.
Thargelia Milesiorum *P* 13, 22.
Theagenes Heliodori *NE* VI, 388.
Thebae Aegyptiae *AT* 120, 2.
Thebani a Phoenicibus orti *AT* 37, 2.
Telephus *NE* III, 251.
Thelxinoe *XE* 380, 17 etc.
Θέμις: v. *Iustitia*.
Themisteus *E* 186, 17 etc. *Θεμιστείδης E* 254, 15.
Themisto *XE* 329, 3.
Themistocles ex iuvene *ἀχολάστῳ* vir factus virtute et sapientia eximius *AT* 211, 19 sqq.
Theophilus *AT* 137, 10.
Θεωρία: v. *pompa*.

Theragrus, filius Clymeni, *P* 17, 8.
Thermopylarum pugna *Ch* 127, 29.
Theron *Ch* 13, 29 etc.
Thersander *AT* 150, 15 etc.
Theseo abrepta Ariadne a Baccho *Ch* 51, 18.
thesmophoria Milesiorum *P* 10, 28.
Thessali in Cretam proficiscuntur duce Leucippo *P* 8, 14 coll. v. 21. Thessalorum artes magicae et philtra *AT* 149, 2 sqq.
Thessalia *P* 14, 20. a piratis direpta *P* 23, 29. Thessalicus lapis *E* 163, 7. 164, 4. 12. *θετταλίζω τῇ γλώττῃ P* 27, 4.
Thetis *Ch* 110, 11. nupsit Peleo *Ch* 51, 43. Thetidis nuptiae in Pelio, a poetis celebratae, in quibus Eris intervenit, *Ch* 6, 8—10. *E* 174, 17. mater Achillis *P* 25, 14.
Thraces *P* 9, 28. *AD* 235, 14. Byzantium infestant *AT* 41, 24.
Thracia *P* 8, 27. 21, 22. Ibi Maronea vitis *AT* 59, 5.
Θρεψάγρωστις, fluvii Melirrhoae cognomen, *NE* III, 71.
Thruscanus *AD* 235, 34.
Thule insula *AD* 233, 2 etc. *Θουλίτης AD* 235, 35.
thuris grana *ThP* VII, 488.
Thurius Zenophanes *Ch* 14, 10.
Thymoetas Homeri *Ch* 95, 1.
tiara *ἀνακινθινοβαφής Ch* 111, 20.
Tigris, Mesopotamiae frater, a quo fluvius nomen accepit *J* 224, 15. 31 sqq. 225, 15 sqq. Tigris et Euphrates fluvii insulam efficientes *J* 224, 13.
τιγρολέων CM II, 64.
Titanes dii vindices *ThP* VII, 134. Furiis iuncti *ThP* VI, 120. Titanum rex Iuppiter *ThP* IV, 202.
Tithonus *NE* VI, 660.
Tityrus nomen pastorale *L* 280, 2. 281, 10.
torquendi sontes instrumenta *AT* 171, 30 sqq. 172, 25. *XE* 349, 31 sq. 351, 33. *Ch* 55, 20 sq. 66, 2. 73, 15.
torques argentea *E* 170, 23.
Tragasia, Celaenûs filia, uxor Mileti, *P* 15, 21.
Trambelus, Telamonis filius; eius historia *P* 27, 25—28, 15. Heroum Trambeli in Lesbo *P* 28, 15.
τρίπους Apollinis *E* 270, 9. 271, 13. *καθάπερ ἀπὸ τρίποδος* proverbialiter *CM* II, 28.
Tritonis *βύθιοι θάλαμοι CM* II, 88.
Troades *P* 21, 14.
Troezen, frater Dimoetae, pater Euopidis, *P* 30, 10 sqq.
Troianum bellum *P* 32, 1. 33, 15. Troia capta *P* 5, 8. 21, 20. *AT* 46, 21. ex Troia reduces Graeci *P* 5, 9. spolia Troiana *P* 5, 14.
Trophime mulieris nomen *J* 226, 22.
Tyndaris (Helena) *P*. 32, 9.
Tyrii bellicosissimi, ut quorum deus illustrissimus Hercules, *Ch* 125, 26 sqq. Tyrii Bacchum, ob Cadmi mythum, suum sibi deum vindicant *AT* 59, 1 sqq. Hunc bubulco Tyrio, qui se exceperit, vinum primum ostendisse narrant, ex ipsisque ad reliquos homines vinum pervenisse *AT* 59, 9 sqq. Apud Tyrios festum Bacchi *πρωτρυγαίον AT* 58, 25. Tyrii Veneris peplum tingunt ea purpura, quam olim pastoris canis invenerat *AT* 66, 7. Tyriorum festum, in quo virgines ad mare procedunt *AT* 71, 12. Tyrii piratae *L* 258, 17. eorum armatura qualis *ibid.* 20. 260, 4—7.
Tyrimmas in Epiro familiari hospitio excipit Ulixen, qui eius filiam Euippen vitiat, *P* 5, 24 sqq.
Tyrus *AT* 40, 17. 23. 68, 19. 70, 5. 8. 71, 19 etc. *AD* 233, 25.

234, 3. Herculi dedicata *Ch* 125, 29, eius situs describitur *Ch* 125, 30—126, 6. Tyro proxima parva insula, Rhodopolis tumulus dicta, in qua navium statio, *AT* 71, 27—30. Tyrus in oraculo per ambages significata *AT* 68, 13 sqq. in cuius explicatione multa de eius situ referuntur *AT* 68, 21 sqq. et de loco sacro, mercatibus circumdato, in quo edis admissitur ignis *AT* 69, 2—7. Tyrii Herculis templum *AD* 237, 3. *Ch* 116, 30. In suburbio Tyri habitant piratae *NE* 341, 8. Tyrus ab Alexandro capta *AD* 237, 30 sqq. Tyria purpura *Ch* 111, 19. 138, 20. 151, 8.

Tyrrheni *AD* 233, 31. Tyrrheni nautae transformati a Baccho *L* 306, 6. Tyrrhenica tuba *E* 203, 14.

Tyrrhenum mare *P* 5, 4.

Ulixes *E* 187, 11. Circes in eum amor *P* 16, 20 sqq. Ulixes apud Aeolum in insula Meligunide eiusque amores *P* c. 2. p. 5. Post procorum occisionem Ulixes in Epirum profectus consultum, vitiat Tyrimmae hospitis filiam Euippen, exeaque generat Eurya-lum. Hunc puberem a matre in Ithacam missum, Penelopes astu circumventus, sua manu occidit, non multo post ab alio filio interfectus *P* c. 3. p. 5 sq. Ulixes Polyphemum excaecat *AT* 76, 31.

urinatores in pugna navali hostiles naves ferreis malleolis perforant *ThP* VI, 6—21.

ursae artificia medicinalia *ThP* VIII, 466 sqq.

Venatoris imago *E* 195, 8—21.

Veneralia, *Ἀφροδίσια*, *E* 180, 26.

Venus *AT* 111, 16. 116, 11. *Ch* 3, 9. *E* 169, 19. maris filia *AT* 142, 25. *Ch* 101, 11. 152, 3. *Ἀφρογένεια ThP* IX, 203. *NE* III, 264. *πουτογενής NE* IV, 311. patria Cypriorum dea *NE* 303, 5. *Ἀναδυομένη ThP* IX, 199. Cytherea *ThP* IX, 203. Cytherea ib. 202. *ἡ Παφία NE*, II, 232. VI, 627. mater *Ἡδονή ThP* IX, 199. de *ἀγαμήτιος AT* 142, 26. *χοιρᾶς Ch* 83, 28. Venus *ἄκρα* Methymnaea, amorem fi-lestum immensa filio eius *P* 25, 3. Per Veneris iram Leucippus amat sororem *P* 7, 18. Quomodo Venus ulta fuerit contemptum Rhodopidis et Euthynici. Deae et venationi unice deditorum *AT* 205, 15—206, 13. Venus amavit Anchisem bubulcum *L* 311, 22. pomum accepit in certamine pul-chritudinis *L* 314, 15. Venus cre-debatur apparere *ἐπιφανής* in agris prope Miletum *Ch* 24, 21. 29, 15—19. 60, 7. Veneris sta-tua in thalamo nupti di *NE* 336, 25 sq. templum antiquum in Arado insula *Ch* 130, 26. Paphi *Ch* 110, 23. in insula quam circumfluunt Euphrates et Tigris *J* 221, 9. 14 sqq. 24 sq. quae ibi lex de insom-niis *J* 224, 25 sqq. Veneris myste-ria celebrata in regione circa Ta-nain sunt Tanaidis et Pharsiridis *J* 224, 29. Veneris *τέμενος* prope Syracusas *Ch* 94, 9. festum apud Syracusanos *Ch* 3, 23. ibi statua deae *ib.* 4, 16. eiusdem templum et statua prope Miletum *Ch* 29, 24. 32, 21. 34, 7. 19. 49, 18. 59, 29. 69, 23. Venus in nuptiis Thetidis *E* 174, 18. *αἱ ἐς Ἀφρο-δίτην πωλούμεναι* (meretrices) *AT* 86, 12. 209, 1. *Ἀφροδίτης μυστήρια AT* 142, 9. *ὄργια ib.* 111, 2. *τὰ πρῶτα τῆς Ἀφροδί-της XE* 338. 16 sq. *ἔργον AT* 116, 30. *χάρις ib.* 177, 21. *ἀφροδίσιος πάλη ib.* 131, 21 sqq. *Ἀφροδίτης ἀκμή ib.* 86, 24. *τέρμα ib.* v. 29. *Ἀφροδίτη ἀργή ib.* 87, 9. *συνουσία οὐκ ἀργή*

Ch 40, 13. Veneris cestus, proverbialiter, *E* 174, 16. 256, 26. *NE* II, 247, itemque mel Veneris *E* 248, 10. Veneris *νυμφών E* 284, 4. *παστάς E* 231, 21, fons *E* 180, 24. Vinum lac Veneris *CM* II, 4. Venus nectar temperans Amoribus *E* 209, 20. *ὡς πρὸς Ἀφροδίτην μιμῶ E* 251, 22. *ἡ Κύπρις τὰς χεῖρας εἰς τὸν κόλπον ἐντέθεικέ σοι NE* II, 306. Vide *Aphrodisia.*

ver describitur *L* 245, 22 sqq.

Verus Imperator, ab Antonino mittitur contra Vologaesum Parthum *J* 225, 9 sqq.

vestis sacra caduceatoris Diasiorum *E* 161, 17. 164, 22.

vindemiarum descriptio *L* 262, 4—263, 9. *ThP* IV, 344 sqq.

vindemiatoris imago *E* 193, 14—24.

vini genera varia *AT* 59, 4—7. vini effectus *CM* II, 3—6 multis describitur *ThP* III, 2—16. in vino veritas *CM* III, 71 sq. *οἶνος λευκός L* 251, 12. Vide *Lesbus.*

violarum duplex genus *L* 264, 3.

viperae et muraenae amor *AT* 57, 3—21. vipera, quum eunuchum momordisset, rupta est *CM* IV, 71 sqq.

vita humana fluctuosior undis Siculis *CM* III, 36 sq.

Vologaesus Parthus quo eventu pugnaverit contra Verum imperatorem *J* 225, 10—12.

Vulcanus artifex *E* 163, 25. vincula Martis *Ἡφαίστου πόνος NE* VIII, 99. *Ἡφαιστικὴ κάμινος NE* VI, 574. Verba *Ἀθηνᾶν δὲ Ἥφαιστος ἔχει* in oraculo quid sibi velint *AT* 68, 31—69, 7 coll. 68, 15.

Xanthius ex prosapia Bellerophontis, Leucippi pater, *P* 7, 13. a filio interfectus *P* 8, 11.

Xanthus urbs Lyciae prope mare *XE* 355, 6, 387, 15.

Xanthus. Ad Xanthum Termera post caedem commissam fugit Apterus *P* 32, 27.

Xanthus, homo nobilis Mileti, quanta fecerit ut recuperaret Herippen uxorem indignissimam, *P* c. 8. p. 11 sq.

Xanthus Samius, ab Alcinoe, uxore Amphilochi, perdite amatus, *P* 28, 19.

Xenodamas *AT* 137, 9.

Xenocrates *NE* VI, 253 etc.

Xerxes *Ch* 127, 30. eius platanus *NE* III, 86.

Zamolxis apud Getas deus habitus *AD* 235, 15 sqq.

Zeno, servi nomen, *AT* 71, 23 etc.

Zenophanes Thurius *Ch* 14, 9.

Zephyrus *AT* 58, 20. Hyacinthum occidit *ThP* VI, 306. *NE* IV, 253.

Zethus in servitute natus *Ch* 41, 29.

Zeuxis *NE* I, 103.

Zobaras *J* 228, 38. 229, 2.

Zopyrus *Ch* 89, 18. 131, 13.

Adde haec:

Antheus Halicarnassensis; eius historia *P* c. 14. p. 18 sq.

Arsacides *J* 225, 4.

Bacchiadae *P* 19, 4.

Bybassus urbs *P* 4, 11.

Cephallenia *Ch* 54, 5.

Codri nobilior, proverbialiter, *AT* 165, 30.

heroes ubi post mortem versentur *E* 215, 5.

Hipparinus, Syracusarum tyrannus; eius hist. *P* c. 24. p. 26 sq.

Pag. 592b, 12 corrige c. 7. p. 9 sq.

INDEX SCRIPTORUM.

Aeschylus *E* 223, 30 sq.
Agathiam imitatur *NE* III, 175—188.
Alexander Aetolus *Ἀπόλλωνι P* 18, 22—19, 31.
Anacreontea imitatur *NE* II, 227—237. III, 139—145. IV, 313—314. V, 131—145. 149—159.
Andriscus *Ναξιακῶν α' P* 12, 21 marg. *β' P* 23, 25 mg.
Antipatrum Thessalum imitatur *NE* VI, 660 sq.
Antiphanes *τερατολόγος AD* 238, 32.
Apollonius Rhodius *Μογοντιακῶν α' P* 29, 3 mg. *Καύκῳ P* 3, 12 mg. *Κανὸν κτίσει P* 15, 13 sq.
Aretadas *P* 17, 7 mg.
Aristocritus *περὶ Μιλήτου P* 15, 13 mg. 18, 16 mg.
Aristodemus Nysaeensis *ἐν α' Ἱστοριῶν P* 10, 27 mg.
Aristophanes *E* 228, 18. 284, 12.
Aristoteles *P* 18, 1 mg.
Asclepiades Myrleanus *Βιθυνιακῶν α' P* 32, 10 mg.
Cephalo Gergithius *P* 31, 29 mg. *ἐν Τρωικοῖς P* 6, 10 mg.
Chaeremon *E* 250, 9 sq.
Demosthenes *Ch* 7, 21. 127, 2, v. *Cobet.* Nov. Lectt. p 372.
Diodorus Elaïtes *ἐν Ἐλεγείαις P* 20, 1 mg.
epigrammatistam anonymum (Anthol. Pal. 5, 83) imitatur *NE* VIII, 110—112.
Euphorio *Ἀπολλοδώρῳ P* 29, 3 mg. *Θρᾳκί P* 17, 7 mg. 27, 25 mg.
Euripides *E* 176, 27 (cf. Hecub. 255. 181, 15*). 187, 9 sq. 201, 18. 204, 7. 24. 218, 4. 220, 14 sq. 222, 23 sq. 224, 12 sq. 14. 253, 2 sq. 234, 11. 241, 11. 13. 245, 15 sq. 26. 249, 25 sq. 262, 23 sq. 265, 21 sq. *CM* III, 43. IX, 39 sq.
Gregorius Nazianzenus *E* 171, 27 sq.
Hegesippus *Μιλησιακῶν α' P* 20, 27 mg. *ἐν Παλληνιακοῖς P* 8, 23 mg.
Hellanicus *Τρωικῶν ** P* 31 29 mg.
Hermesianax *P* 25, 21 mg. *Λεοντίῳ P* 7, 13 mg.
Hesiodus *E* 168, 21—23. 172, 4. 192, 28 sq. 197, 7. 19. 22 sq 212, 9 sq. 279, 27.
Hippocrates (*περὶ τροφῶν* 8) *E* 169, 22.
Homerus *AT* 46, 1 sq. 28. 85, 5 sq. *Ch* 5, 25. 10, 5—7. 11, 24. 14, 29 (*ἔνθεν εἶών*, quod redit 98, 29. 154. 3.) 31, 15 sq. 42, 14 sq. 54, 29. 58, 3 sq. 60, 3. 69, 16. 70, 4. 28. 77, 29. 80, 13. 83, 28. 87, 26—28. 92, 6. 94, 31—95, 1. 95, 3. 104, 20

*) Diductis literis scribere debebam verba *πέπονθας* et *ἐρᾷς . . . σὺν* ita legi *πολλοῖς βροτῶν*, v. *Eurip.* Hipp. 438. 440.

sq. 106, 15 sq. 107, 30. 112, 14—16. 124, 13. 125, 10 sq. 127, 8—10. 128, 31. 129, 17. 139, 11. 147, 3 sq. *E* 168, 13 sq. 174, 6. 175, 19 sq. 177, 24. 178, 22. 182, 24. 186 19 sq. 187, 5. 189, 14. 198, 3 sq. 200, 19. 213, 17. 215, 26. 221, 1. 223, 19. 231, 19 sq. 234, 9. 244, 17. 250, 5 sq. 251, 12. 260, 22. *ThP* V, 96 sq. *NE* VI, 344—346. *CM* I, 26. II, 48.

Irenaeum imitatur *NE* III, 163—172.

ὁ *τὴν Λέσβου κτίσιν ποιήσας P* 24, 29—25, 20.

Licymnius Chius *μελοποιός P* 25, 21 mg.

Lucianus (V. H. 1, 6) *E* 281, 24—27.

Lycophro *E* 273, 30. 274, 4 sq.

Macedonium imitatur *NE* III, 153—156. 251. 252—254. VI, 614—617. 624—628.

Menander *Ch* 9, 16. 84, 12.

οἱ τὰ Μιλησιακά P 18, 1 mg.

Moero *ἐν ταῖς Ἀραῖς P* 28, 16 mg.

Moschum imitatur *NE* IV, 157.

Neanthes *β' P* 31, 17 mg.

Nicaenetus *P* 15, 14—29. *ἐν τῷ Λύρκῳ P* 3, 12 mg.

Nicander *P* 32, 4—10. *ἐν τῷ Περὶ ποιητῶν P* 6, 10 mg.

Oppianus (Hal. 1, 2) *E* 175, 22 sq.

Palladam imitatur *NE* VI, 629—632.

Paulum Silentiarium imitatur *NE* II, 125—129. III, 243—250. VI, 633—637. 638—641. 649—659.

Phanius Eresius *P* 9, 30 mg.

Philetas *Ἑρμῇ P* 5, 4 mg,

Philodemum imitatur *NE* VIII, 115.

Philostratus *CM* V, 17.

Phylarchus *P* 27, 9 mg. 30, 10 mg. *ἐν ιε'* P 20, 1 mg.

poetae *Ch* 27, 18.

Psalmi (17, 12) *E* 170, 18 sq. (7, 15) *CM* II, 65.

Rufianum imitatnr *NE* VIII, 107—109.

Simmias Rhodius *P* 31, 17 mg.

Sophocles *E* 174, 9 sq. 178, 18 sq. 179, 10. 262, 28 sq. *Εὐρυάλῳ P* 5, 21 mg.

Theagenes *P* 8, 23 mg.

Theocritus *E* 190, 1. 216, 4. 251, 26. imitatur eum *NE* II, 296. 299—304. 305—307. IV, 399—401. V, 202 sq. 212—214. 217 sq. 220—223. VI, 299. 378 sq.

Theophrastus *ἐν α' τῶν Πρὸς τοὺς καιρούς P* 23, 3 mg. *ἐν τῷ δ' τῶν Πρὸς τοὺς καιρούς P* 12, 24 mg.

Thucydides *Ch* 132, 16, v. *Cobet.* l. c. p. 373.

Timaeus *Σικελικοῖς P* 29, 13 mg.

versus *ἀδέσποτοι AT* 144, 5. 160, 31. *E* 181, 24. 282, 10 sq.

Xanthus *Λυδιακοῖς P* 31, 17 mg.

Xenophon Atheniensis *Ch* 90, 16, v. *Cobet.* l. c. p. 372.